37. Murmur interim rursum adversus illum excitatur: morum duritles exprobratur impositumque ab eo pondus intolerabile, et quod ipse, si ad talem pœnam condemnaretur, indigne laturus foret. Nihil enim patiebatur ipse, sed ex insidiis, multos exponebat pœnis intolerabilibus. Cum vero maneret non sine gemitu, et rem ægre ferret in animo pascens magnificentia imperatoria Constantinopolim, sermone autem Paphlagoniam amplectens, ubi plurimos pulchros sermones composuerat, quibus postmodum privabatur Constantinopolis, gloriabatur sibi servatos esse ibi thesauros, quamdam portam quidem Phanii, quam instaurabat ignorantibus qua sorte pro illis ipse vexaretur. Hæc erant argumenta ab illo jactata in turbit densis et plus semel, ac quadam die coram quibusdam ex liberalioribus plebis, quos nihil unquam terruerat, eo quod nulla causa eis erat ob quam timerent; et placuit illis exclamare, quomodo, si nulla hic sibi jucunda essent, non remaneret Megalopoli pro urbis felicitate: quis jam enim de talis viri salute animo curaverit? Viæ dux patrona nostræ urbis nobis sufficiet ad procuranda nobis utilia adversus omnia. Postquam ergo his quæ nugando loquebatur eos refrenasset, subito tacet, scena comica finita, nihilque amplius dicere præsumit. Cum igitur hæc machinatio nihil profecisset, funiculus ipsius, ut allegorice dicebat, nihil ex nobis elicuisset, nec fictum propositum discedendi nullius esse potuisset utilitatis, et cum omnia figmenta et colorata quæ adjutura fuerant ipsi in consiliis de solio imperatorio, adjuvisse ut pro primo duce dux esset secundus vidisset, novam quamdam viam aperit. Neutiquam fuit hæc ut turbæ omnis generis protenus ad ipsum accederent, sed qui erant in illis eminentes, quos magno numero huc illuc sparsurus erat et præpositurus quasi extremo agmini. Hi homines erant reipublicæ pestes, factiosi, seditiosi, reges unusquisque inter pares. Namque pro levitate nostra sequi amamus eos qui ducunt ad ea ad quæ impellit natura; plerique enim natura impellimur ad novas res, cupidi novorum eventuum, postulantes ut tempus interdum res insolitas renovet.

λη'. Οἱ τοίνυν τῶν τοῦ δήμου τὰ πρῶτα φέροντες, καὶ ἀνεγείρειν τοὺς λοιποὺς ἔχοντες, προβληματισθέντες οἷον ὑπὸ τοῦ Ἀνδρονίκου τὸ βουλητέον ἐκείνῳ, εἶτα τόπους αὐτοὶ ἐξεύρισκον κατὰ τοὺς δεινοὺς τοιαῦτα σοφίζεσθαι, δι' ὧν ἐπιχειρήσαντες συμπε-

38. Qui igitur primatum populi tenent, et cæteros excitare præsumunt, defensores Andronici juxta voluntatem ejus, argumenta quam possunt validissima emittunt in fortes, quibus insolita et absurda, cum pace dixerim, perficiunt. Mysteria etiam non sane a

facientes ad hoc pervenerunt, ut in lucem adducerent quæ tenebris sunt digna, multitudinique persuaderent quod civitas ruinam non effugiet, nisi cum parvo et inexperto Alexio in imperii consortium admitteretur Andronicus, optimæ indolis, et in regnandi arte adeo versatus, ut cum illo imperii gubernacula bene recturus foret ; non ita ut avelleretur, sed ut produceretur maxime magnificareturque parvitas ejus; communitate quidem unius dignitatis, consortio vero laborum ærumnarumque quibus plus satis assuefactus erat Andronicus, multimoda experientia exercitatus. Non paucis persuaserunt ut benevolis auribus audirent ac increscerent ad consummationem communis imperii Alexii et Andronici. In principio quidem de machinatione mussitabatur, postea sermo flebat, paulo post palam etiam clamabatur. Cæterum publice ad principatum invitandus erat Andronicus ; qui nisi obediret, jamjam rogandus esset ; si vero nec ita exaudiret, inflexibilis permanens, vis adhibenda foret. Dicunt et hoc esse melius, illum pati quod non vult, scilicet regnare, quam mundum ruinam pati. Huic assentiunt multi ex plebe. In hunc vero torrentem fluit quædam colluvies ex congregatione aliorum, non abundans quidem, sed nocens ideoque a nobis abhorrendum. Non enim simpliciter detestabatur ætatem puerilem Alexii imperatoris Andronici gratia, sed furore suo res turbavit, utque Andronicus fureret fuit causa.

39. Inter illos erunt celebres ii qui fuerunt tum fideles, Constantinus Patrenus, imago accurata adulationis, et imbelli manu Michael, vir difficilis gubernatu, facilis vero ad pravitatem. Erat vero in illis vir insignis quasi ferens signum ruinæ (erat forte tunc in media ætate) natus ex patre perito de re publica judicandi seque in latrocinia immergendi : Stephanus quidem nomine appellatus, et super illo Hagiochristophorites, qui mutatus, ex quo adversus Deum operatur, antichristophorites cognominatur ab iis qui recte sentiunt. Huic jam tempus statuam vitii erexerat. Cum enim affinitatem non junxisset eum semetipso, sed nequius egisset quam pro connubio nobili, dedit etiam insignem vindictam. Nares enim ejus difissæ sunt, ita ut non bene respiraret, scilicet ex qua non decebat, loraque castigantia super dorsum ejus non pauca ceciderunt. Æque autem inverecundus, omni pudore e fronte deposito, non abstinuit in publico apparere ut in derisum verteretur, sed quasi malum nullum fecisset deambulabat, sicut antea, audacia superbus, ostendensque non se pudere, et sic vi persuadens malum nihil esse, sive faciat sive sustineat. Cum itaque ab omnibus despiceretur, et illustris matrimonii spe frustratus, nullaque alia spes promotionis adesset, sed frustra limina imperatoria tereret, quadam die forte edidit verbum alias quidem effectum malum sortiturum, quod ipsi vero

A ρανοῦσι τὸ ἔκτοπον, καὶ ὀκνητέον δὲ εἰπεῖν, καὶ ἄτοπον· καὶ μυστηριασθέντες τὸ μὴ ὅσιον, ἐτελοῦντο πρὸς ἐκεῖνο, καὶ ἐδαδούχουν εἰς ἐμφανὲς τὰ σκότους ἄξια, καὶ ἀναπείσαντες τοὺς ὄχλους μὴ ἂν ἐκφυγεῖν τὴν πόλιν τὸ ἀπολεῖσθαι, εἰ μὴ τῷ μικρῷ καὶ ἀγυμνάστῳ Ἀλεξίῳ τὰ εἰς βασιλείαν τὸν Ἀνδρονικὸν συνδυάσουσιν, εὖ μάλα δεδασμένον, καὶ τὰ εἰς τοιαύτας τέχνας οἷόν τε ὄντα συνδιαφέρειν ἐκείνῳ τὸν βασίλειον ζυγόν· οὐχ ὥστε μὴν καὶ καταῤῥιπτεῖν, ἀλλὰ καὶ μάλιστα ὑπανέχειν, καὶ τὴν ἐκείνου μεγαλύνειν σμικρότητα· κοινωνίᾳ μὲν ἀξίας μιᾶς, ὑπεροχῇ δὲ κόπων καὶ πόνων, οἷς ὁ Ἀνδρόνικος εἴθιστο ἄδδην, πολυπλάνοις πλάναις κατὰ τὸν εἰπόντα γεγυμνασμένος· ἤγειραν οὐκ ὀλίγους ἀναπεισθῆναι, ὀρθῶς ἀκούειν καὶ διαθερμανθῆναι εἰς ἐξάνυσιν τοῦ
B συνάρχειν βασιλικῶς τόν τε Ἀλέξιον, τόν τε Ἀνδρόνικον. Καὶ τὴν ἀρχὴν μὲν ὑπεψιθυρίζετο ἠρέμα τὸ σόφισμα· μετὰ δὲ ἐλαλεῖτο, μικρὸν δὲ ὅσον καὶ ἐξεβοᾶτο τρανέστερον· καὶ ἔδει λοιπὸν ἐμφανῶς προκληθῆναι εἰς τὴν ἀρχὴν τὸν Ἀνδρόνικον· καὶ εἰ μὴ πείθοιτο, ἀλλὰ τότε δυσωπηθῆναι· εἰ δὲ μηδὲ οὕτω κατακλίνοιτο, ἀτενῶς ἔχων, πειραθῆναι καὶ βίας. Καὶ κάλλιόν φασιν ὃν παθεῖν ἐκεῖνον, ὃ μὴ βούλεται, τὸ βασιλεῦσαι δηλαδή, ἢπερ ἐξολέσθαι τὰ κοσμικά. Καὶ ἑταιρίζονται μὲν εἰς τοῦτο πολλοὶ τῶν τοῦ λαοῦ· συνεπιῤῥέει δὲ τῷ κλύδωνι τούτῳ καὶ ἀπόῤῥοιά τις τῶν τῆς συγκλήτου, οὐ πολλὴ μέν, ἐπίῤῥητος δέ, καὶ τοῦτό γε ἡμῖν ἀπόῤῥητος. Οὐ γὰρ ἁπλῶς ἀφωσιοῦτο αὕτη τὴν κατὰ τοῦ βασιλέως Ἀλεξίου νεωτέρισιν
C κατὰ χάριν Ἀνδρονίκου, ἀλλ' ὡσεὶ καὶ μεμηνυῖα βυσσόθεν ἐκυκᾶτο, καὶ τὸν Ἀνδρόνικον συνεξέμαινε.

λθ'. Καὶ ἔσονται ἀοίδιμοι ἐν τούτοις οἱ τῆς ἡμέρας ἐκεῖνοι πιστοί, Κωνσταντῖνος ὁ Πατρηνὸς, τὸ τῆς κολακείας ἠκριβωμένον ἀφίδρυμα, καὶ ὁ ἁπλούχειρ Μιχαὴλ, ἀνὴρ γλοιὸς μὲν πολιτεύσασθαι, στρυφνὸς δὲ πονηρεύσασθαι. Ἦν δὲ καί τις ἀνὴρ λάμπων ἐν τοῖς τοιούτοις ὡσεί που καὶ φρυκτὸς ὁλέθριος (μέσος ἦν ὅτε τὴν τύχην), πατρὸς ἐκφὺς δεξιοῦ λογίζεσθαι τὰ δημόσια, καὶ ἐμβαθύνειν κλέμμασιν· Στέφανος μὲν τὸ κύριον, τὸ δὲ ἐπ' αὐτῷ Ἁγιοχριστοφορίτης· ὃς μεταθέμενος, ἐξ ὧν ὁ κατὰ Θεὸν διάκειται, Ἀντιχριστοφορίτης παρωνυμεῖτο τοῖς ὀρθὰ νοοῦσι. Τοῦτον ὁ μὲν φθάσας χρόνος παρεσημήνατο εἰς ἀνδριάντα φαυλότητος. Κηδεύσας γὰρ οὐ καθ' ἑαυτὸν, ἀλλὰ
D πανουργεύσάμενος ὑπὲρ ἀξίαν γάμον εὐγενῆ, δέδωκε τιμωρίαν οὐκ ἀγεννῆ. Τὰς ῥῖνάς τε γὰρ ἀπεσχίσθη, ἃ τε μὴ καλῶς φρυμαξάμενος, καθ' ἃς οὐκ ἔπρεπε· καὶ τῶν αὐτοῦ νώτων σωφρονιστῆρες ἱμάντες κατεχόρευσαν. Καὶ ὅμως ἰταμὸς ὤν, καὶ τὴν αἰσχύνην ἀπὸ προσώπου θέμενος, οὐκ ἀπῆγαγεν ἑαυτὸν τοῦ προφαίνεσθαι, μὴ καὶ γελῷτο· ἀλλ' οἷα μηδέν τι κακὸν δεδρακὼς, περιήρχετο, ἔνθα καὶ πρώην, φιλενδεικτῶν τὸ θράσος, καὶ ἐπιδεικνύμενος τὸ μὴ αἰδεῖσθαι, καὶ οὕτω βιαζόμενος τὸ μηδέν τι φαῦλον ἢ ποιῆσαι, ἢ παθεῖν. Ὡς δὲ περιεωρᾶτο πρὸς πάντων, καὶ τοῦ γάμου τε τοῦ ὑψηλοῦ ἦν ἔκπτωτος, καὶ οὐδέ τινα εἶχεν ἄλλην ἀνάβασιν, ἀλλ' ἐν κενοῖς τὰς βασιλείους θύρας ἐξέτριβε, λαγχάνει ποτὲ προηκάμενος ἔπος, ἄλλως μὲν σφαλερὸν, ἐκυτῷ δὲ ἀνα-

στάσιμον. Ὡς γὰρ ὁ Μαυροζώμης Θεόδωρος, ὁ ἐκ Πελοποννήσου, ἄνθρωπος πολυμεμφής, ἐφ' οἷς ὑπὲρ τὸ δέον ἔδρα, μετὰ θάνατον τοῦ Ἀγιοθεοδωρίτου Μιχαὴλ, τοῦ ἐν ὑπογραφεῦσι βασιλικοῖς μεγάλου, ἔγγιστα τῷ βασιλεῖ γεγονὼς ὑπερεφαίνετο, οἱ μὲν ἄλλοι ἐχεφρονοῦντες ἔπεττον, εἴ τί που χόλου καὶ εἶχον, ἐφ' οἷς μὴ ἀνέβαινον· ὁ δὲ πρὸ τῆς βασιλείου σκηνῆς καθήμενος, ἐξεβόησεν εἰς πολλῶν ἀκοὰς λόγῳ σχετλιασμοῦ ἄδικα πάσχειν, εἴπερ ὁ δεῖνα μὲν καὶ ὁ δεῖνα, οὐκ εἰς τοσοῦτον κακοὶ πεφηνότες, εἶτα ὑψοῦνται, αὐτὸς δὲ φαυλεπίφαυλος ὤν, καὶ, ὡς ἄν τις κωμικευόμενος εἴποι, μιαρὸς, καὶ παμμίαρος, καὶ μιαρώτατος, καὶ ἄνθος κακίας, καὶ πονηρίας ἄβυσσος, καὶ οἷος διορᾶσθαι, ὅσα καὶ δαίμων, ἀφίεται ζῆν εἰκῆ, καὶ οὐκ εἰς μέσον παράγεται, τὰ οἰκεῖα ἐπιδειξόμενος, καὶ ἀρέσων εἰς πλουτοποιίαν. Ἐπῆγε δὲ ἑαυτῷ καὶ ὅρκον μέγιστον, μὴ ἂν εὑρήσεσθαι τὸν ἐπὶ κακίᾳ ἴσον. Ἔφη ταῦτα στηλογραφῶν ἑαυτὸν, καὶ περιαυτολογῶν, ὡς αὐτῷ ἔπρεπε, καὶ ἐπὶ πᾶσιν ἐστέναξεν ὡς βαρυπενθῶν, καὶ ἐξεπυρώθη χόλῳ τὸ πρόσωπον. Καὶ οἱ μὲν ἄλλοι ἐταράχθησαν πρὸς τὸν λόγον, καὶ ἐκαραδόκουν κακὰ, λογιζόμενοι, ὡς οὐ μόνον αὐτὸς δεινὰ πείσεται αὐτίκα, τῆς βοῆς ἐντὸς ἀκουσθείσης, καὶ εἰς ὕβριν τῷ βασιλεῖ λογισθείσης, ἀλλὰ καὶ αὐτοὶ πρὸς μέμψεως ἔσονται, ὅτι μὴ θυμὸν κατὰ τοιούτου ἀνδρὸς ἀνέλαβον. Καὶ αὐτοὶ μὲν οὕτως. Τοῦ δὲ καθ' ἡμᾶς βίου τὸ χρεὼν οἷς ἡμάρτομεν τότε μὲν ἀθῶον ἀφῆκε μεῖναι τὸν ἄνδρα, μέγα καὶ τοῦτο δοκοῦν εἶναι. Οὐ μακρὸς δὲ διέσχε χρόνος, καὶ ἤρξατο παρυφοῦσθαι ὁ ἄνθρωπος· καὶ κηρύξας ἑαυτὸν πονηρότατον, εὗρηκεν ἐπὶ πείρᾳ γέρας ὅμοιον, ὡσεὶ καὶ δεινός τις κλέπτειν εἶναι ἀναχηρύξας, προσληφθείη ποθέν. Καὶ ἐκεῖθεν ἀρξάμενος τοῦ κατὰ βίον ὕψους, γίνεται ἐπὶ τοῦ στρατοῦ, καὶ εὑρεθεὶς ἐπὶ τοῦ Ἀνδρονίκου τοιοῦτος, προσλαμβάνεται. Καὶ ἡ καθ' ἡμῶν πτερωθεῖσα συμφορὰ αἴρει αὐτὸν ἐπὶ πλέον ὀφοῦ, καὶ εἰς ψυχὴν ἐντήκει φιλίως τῷ Ἀνδρονίκῳ, ἵνα πάγχυ κακὸς κακὸν ἠγηλάζῃ, καὶ μὴ τὰ καλὰ τοῖς κακοῖς συμφύρηται, καὶ ὁ ὅμοιος εἰς τὸν ὅμοιον ἄγηται. Καὶ οὕτω φρονηματισθεὶς εἰς πλέον, καὶ οὐκ ἀνασχόμενος, εἰ καιρὸν ἄρτι ἐξευρὼν οὐ πτερύξεται, καθά τι δαιμόνιον πρόσωπον, πειρᾶται ὑπερπαίειν αὐτὸς εἰς τὸ κακὸν πάντας τε τοὺς ὡς ἐῤῥέθη τοῦ δήμου προάγοντας, καὶ δὴ καὶ ἑαυτόν. Καὶ συλλαβόμενος, ὅσοι τῆς καλῆς συγκλήτου βουλῆς παραπτυσθέντες ἐξεβράσθησαν κατ' αὐτὸν, κόμασιν ἑλαυνόμενοι, ἃ πνεῦμα πονηρὸν ἤγειρεν (ἦν γὰρ καί τις δαιμονοφόρητος λέσχη σύγκλητος, ὡς προέκκειται, εὐφυῶς ἔχουσα κατ' ἐκεῖνον ἀλλοφρονεῖν) οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς φαύλας κεφαλὰς τοῦ δήμου, πρὸς δὲ καὶ τὸν τηνικαῦτα πατριαρχοῦντα, τὸν Καματηρὸν Βασίλειον, ἄνδρα θερμὸν καὶ οἷον καθομιλεῖν τοὺς καιροὺς, ὡς τὸ παρ' αὐτῷ βουλόμενον ἔκρινεν (ὃς τοῦ μεγάλου Θεοδοσίου, τῆς φίλης καθαρειότητος γενομένου, ἀντεισῆκται, ὃν ὁ Ἀνδρόνικος ἤθελε, καὶ ἀνακάμψαι τὴν φράσιν, ὃς τὸν Ἀνδρόνικον ἤθελεν· ἓν μένος οὗτοι πνέοντες, καὶ οἷον δι' ἀλλήλων ἥκοντες κατά τινα σύντηξιν ἤθους, καὶ ταυτιζόμενοι τοῖς ὧν ἔκρατον αἱρέσε-

A vitam restituit. Ubi enim Maurozomes Theodorus, ex Peloponneso, homo omni vituperatione dignus, omnis pravitatis sectator, mortuo Agiotheodorito Michaele, inter scribas imperatoris insigni, qui secundus ab imperatore erat, cæteri prudentiores ad illum confugiebant, si aliquam molestiam experirentur quod non promoverentur. Ille vero ante imperatoris tabernaculum sedens, in omnium aures voce lamentabili clamabat se iniqua pati, cum hic et hic, qui non in tantum criminum profecerant, promoveantur, ipse vero, qui est pessimus, atque, ut stylo comico dixeris, vitiosus, omni vitio vitiosus ac vitiosissimus, perversitatis flos, pravitatis abyssus, scientia mali nec a dæmone B victus, qui vivere sineretur, atque in publico non appareret, cum proprio apparatu et divitiarum jactatione. Juramento insuper sponte confirmavit, non æqualem sibi malitia unquam inveniri pos e. Hæc dicebat infamiam sibi inurens ac detrahens ut ipsum decebat, de omnibus gemebat ut mœrore confectus, indignatione autem erubescebat vultus. Hoc vero sermone cæteri conturbati sunt, anxie mala exspectantes ac dicentes non solum mala eum statim perpessurum esse, auditis intus his clamoribus atque in opprobrium imperatoris versis, sed etiam ipsos pariter esse vituperandos, quod non irascantur hujuscemodi homini. Sic illi. Nostræ vitæ auctor ob peccata nostra impunitum talem virum dimittit et servatum, quod ipsum magnum videtur. C Non multo post, vir noster promoveri incepit; cumque denuntiasset se esse pessimum, in tentamento reperit similem mercedem, quemadmodum cum aliquis se peritum furandi denuntiasset, alicubi comprehenditur. Postquam sic ad honores promoveri incepisset, exercitui præficitur, talisque inventus ab Andronico, aggregatur. Fatum nostrum velocibus alis in majorem altitudinem illum extollit, et pro amico sese insinuat in Andronici animam, ita ut malus malum omnino posset agere, neque bona cum malis miscerentur, eque contra simile simili jungeretur. In hac altitudine majore adhuc cupidissimus, nec contentus, si occasionem nactus non advolaverit, quemadmodum genius infernalis, ipse pravitate omnes supradictos populi præsides vincere conatur, etiamque seipsum. Ab illo D comprehensi omnes qui in hoc pulchro conventu fluctibus compulsi, adversus ipsum efferbuerant, quæ spiritus malus inspirabat (hic enim conventus erat quasi a dæmonio possessus, sicut expositum est superius, feliciter propensus ad certandum adversus illum), alii vero etiam homines seditiosos populi, præterea qui tunc gerebat patriarchatum, Camaterum Basilium, virum studiosum, quique cum se daret occasio colloqui poterat juxta quod ab eo exigebatur (qui magno Theodosio, in sancta integritate relicto, successerat, quem Andronicus volebat et, ut emendetur phrasis, qui volebat Andronicum; fortiter navigantes, ut sibi invicem consimiles juxta dispositionem morum utque con-

sentientes unanimiter in his quæ peragebant) ; ita vero iste adjunctus quoque hinc pravorum acuto logothetæ (damnatus enim ad mulctam fuerat Augustus vocari, non reipsa hujusmodi ad negotium aptus) accedunt cum eo ad Andronicum, tyrannidem celebrantes, illum terribilia parare una dictitantes in modum communicationis, si cum Dei auxilio qui ipsi confidentes perierint neglexerit, non solum maximam hanc civitatem, sed omnes regiones quas habet, sive ad orientem, sive ad occidentem, omnesque cæteras. Parvum autem regem venerabantur ob bonas naturæ dotes. Quod vero ad præsens nihil illum esse sanctum dicebant, orphanumque despiciebant ; ad pedes ejus prosternebant se maxime adulationibus indulgentes, ad fidelitatem suam imperatori testificandam atque ad habenas imperii simul cum illo tenendas, ne non juxta fabulam juvenis Phaethontis, qui cum inscius curru paterno uti voluerat, omnia misere perdiderit. Cum vero a pedibus Andronici rediissent erecti, manus extendere cœperunt ad Deum, et eadem rogaverunt. Ille vero his jam visis erectis, quid intus pateretur, quamque incredibiliter gauderet, quis non suspicaretur ? Foris autem alias fucabat seipsum, videbaturque nec valere nec posse vivere si talia audiret, quasi ut fiduciam destrueret laborasset. Quis sum ego, aiebat, et quomodo jam possem ? quomodo fugiam, quomodo mutabo vivendi rationem nisi recessero ? Tunc sese percutiebat, sæviebat in crines, ac ubique secedebat, visus eligere secreta loca pro fuga, se tradens alias clam lætitiæ et cachinnis, mutata facie hic et illic, qualis ille, pessima.

40. Cum vero commodius tentorium figere conatus fuisset, ita disposuit illud ut supra cubile staret, ut forte sic multis persuasum fieret ipsum in antecessum constituisse horam post quam fugeret turbamque non excitaret, adulatores ineptias suas concinnantes, tot multi ut non fuerint, voces extulerant, custodias ordinaverant observationesque viarum quæ illuc ducebant exquirebantque quid eventurum esset. Tunc patriarcha illos extricans modo quo nos audito risimus nuncque maxime ridemus, inter nos repetentes hoc scurrilius : « Lude, lude de malis eventibus, » ille dicebat compedes, manicas collariaque Comneno parari, quibus retineretur. Hæc ille quidem. Multi aspiciebant ad inventionem cujusdam ænei operis : Quid fient ista ? aiebant. Ille vero oblique vertens tegumentum capitis dextramque in altum erigens in signum crucis, vincula, alligantibus applaudebat ; tum habitu archipresbyterali Andronicum retinebat, locum designans, ubi manentem invenerat ; insistebatque ne relinqueret civitatem soque ad aliam converteret. Hic vero scilicet invitus patiens, adversus patriarcham exclamat, eo quod sic ipsum ad fugam paratum alligaverit. Heu ! inquit, quid agis, despota ? Ac postquam hoc sæpe repetiisset, desinit alta voce lamentari quasi ob

A σιν·)· οὕτω δὴ οὖν προσειληφὼς καὶ τοῦτον ὁ τῶν φαύλων ῥινηλάτης λογοθέτης (τοῦτό τε γὰρ ἐτιμήθη, καὶ τὸ σεβαστὸς κληθῆναι, οὐ δήπου καὶ ὢν τοιοῦτος πρὸς πρᾶγμα), ἥκουσι παρὰ τὸν Ἀνδρόνικον, τὴν τυραννίδα χοροβατήσαντες, δεινὰ ποιεῖν ἐκεῖνον λογοποιοῦντες κοινῇ ὡς ἐν ἐπικλήματος λόγῳ, εἰ τοὺς αὐτῷ πιστευθέντας παρὰ Θεοῦ περιόψεται ὀλομένους· καὶ οὐ μόνον πόλιν ταύτην μεγίστην, ἀλλὰ καὶ δσων μερῶν αὐτὴ ἔχεται πρός τε ἥλιον ἀνίσχοντα, καὶ πρὸς δυσμὰς, καὶ δσα λοιπά. Καὶ ἐσέμνυνον μὲν τὸν μικρὸν βασιλέα κατά γε τὸ φύσει καλόν· πρὸς δέ γε τὸ παρὸν οὐδὲν ἱερὸν αὐτὸν ἔφασκον εἶναι, καὶ ἀπεδοκίμαζον μονούμενον· καὶ προέπιπτον αὐτῷ τῶν ποδῶν οἱ τὴν κολακείαν περιττότερα πεισθῆναι εἰς βασιλείαν, καὶ τῶν αὐτῆς ἡνίων συνεπιδρόξασθαι, μὴ καὶ κατὰ μῦθον ὁ νεανίας οὗτος Φαέθων, ἀτέχνως τὸ ἅρμα τῆς ἀρχῆς χειριζόμενος, κακῶς τὰ πᾶν διαθήσεται. Ὅτε δὲ καὶ τῶν ποδῶν ἀπαλλαγεῖεν τοῦ Ἀνδρονίκου ὀρθούμενοι, αἱ χεῖρες αὐτοῖς ὡς εἰς Θεὸν ἀνετείνοντο· καὶ ἐθεοκλύτουν ἐπὶ τοῖς αὐτοῖς. Ὁ δὲ κατορθούμενον ἤδη βλέπων τὸ ἐφετὸν, ἔνδον μὲν οἷα ἔπασχεν ἄν, καὶ ὡς ἔχαιρεν ἀμύθητα, τίς οὐκ ἂν τεκμήραιτο ; τὰ μέντοι ἐκτὸς ἄλλως ἔχρωζεν ἑαυτὸν, καὶ ἐδόκει μὴ ἂν φέρειν μηδὲ ζῆν, εἰ τοιαῦτα ἀκούοι, καὶ ὡς εἰς ἀπιστίαν γυμνάζοιτο. Καὶ τίς ἐγὼ, ἔλεγε, καὶ πῶς ἂν δυναίμην ; καὶ ὡς φευξοῦμαι, καὶ ὡς μεταστήσω τοῦ βιοῦν ἐμαυτὸν, εἰ μὴ ἀφίεμαι. Καὶ ἐῤῥάπιζεν ἑαυτὸν, καὶ ταῖς θριξὶν ἐνύβριζε, καὶ πολλαχοῦ εἱλεῖτο, δοκῶν μὲν ἐθέ-

B

C λειν διέκδυσιν ὡς εἰς φυγὴν, διδοὺς δὲ ἄλλως τόπον χαρᾷ καὶ γέλωτι λεληθότως ἐν τῷ στρέφειν ὧδε καὶ ἐκεῖ τὸ πρόσωπον, ὁποῖος ἐκεῖνος, τὸ περιπόνηρον.

μ'. Ὡς δὲ τὴν σκηνὴν ταύτην συμπήξεσθαι τεχνασάμενος ἀσφαλέστερον, προσεποιήσατο πλασάμενος καὶ τοῦ ὑπερῴου γενέσθαι, εἴ πως οὕτω φαντάσει τοὺς πολλοὺς, ὡς ὑπερθέμενος τὴν ἐνεστηκυῖαν ὥραν, φευξεῖται μετ' αὐτὴν, καὶ ἀπαλλαγήσεται τοῦ ὀχλοκοπεῖσθαι, οἱ κόλακες ἐντεινάμενοι τὴν ἁρμονίαν τοῦ λήρου, εἰς ὅσον πλέον οὐκ ἦν, φωνάς τε ἦραν, καὶ φυλακὰς ἐπέταττον καὶ συντηρήσεις τῶν ἐκεῖ διεξόδων, καὶ διηπορεῦντο, τί ἂν καὶ γένοιτο. Καὶ ὁ πατριάρχης ἐπιλυόμενος αὐτοῖς τὸ ἄπορον, ὡς ἡμεῖς καὶ τότε μανθάνοντες ἐγελῶμεν, καὶ νῦν

D δὲ ἔτι γελῶμεν, παρμδοῦντες ἕκαστος ἑαυτῷ κωμικώτερον τό· « Παῖζε, παῖζ' ἐπὶ συμφοραῖς, » αὐτὸς ἔφη καὶ ποδοκάκην, καὶ χειροπέδας, καὶ κλοιὸν περιτραχήλιον, καὶ ὅσα τοιάδε μηχανήσασθαι τῷ Κομνηνῷ, δι' ὧν κατέχοιτο ἄν. Εἶπεν ἐκεῖνος ταῦτα. Καὶ οἱ πολλοὶ ἀφεώρων πρὸς ἐπίνοιάν τινος χαλκεύματος· καὶ, Πῶς ἔσται ταῦτα ; Ἔλεγον. Ὁ δ' εὐθὺς πλαγιάσας τὸ τῆς κεφαλῆς κάλυμμα, καὶ τὴν δεξιὰν εὐθετίσας εἰς ἀέριον σταυρικὸν χάραγμα, καταχροτεῖ δεσμοὺς τοὺς ἀρέσαντας· καὶ ἀμφιβαλὼν ἱεραρχικῶς ἐπέχει τὸν Ἀνδρόνικον, καὶ ἀφερίζει, ὅποι εὕρε μένοντα· καὶ κατασκήπτει μὴ ἂν ἀφεῖναι τὴν πόλιν, καὶ ἄλλην τραπῆναι. Ὁ δὲ ὡς ἀβούλητα δῆθεν παθὼν, καταβοᾶται τοῦ πατριάρχου, οἷα οὕτω καταδήσαντος τὸν τρέχειν ἕτοιμον· καὶ, Ἄμοι,

φησὶ, τί ποιεῖς, δέσποτα; Καὶ συχνὰ τοῦτο λογοκοπήσας, ἄνεισιν ὑψοῦ στενάζων, ὡς ἐπὶ μεγάλῳ κακῷ. Καὶ ὁ πατριάρχης ὑπειπὼν τὰ δοκοῦντα, ἡσύχαζε.

A malum magnum. Tum patriarcha verba probata dicente, conticuit.

μα'. Καὶ τοῦ λοιποῦ (ἵνα μὴ τὴν κοσμικὴν ἀηδίαν ἀδολεσχῶ) γίνεται τῶν κακῶν δρόμος εἰς τὸν περίδοξον ναὸν τοῦ Σωτῆρος Χριστοῦ, τοῦ Καλκίτου, καὶ εὐφημία τοῦ Ἀνδρονίκου ἄκοντος εἰς βασιλέα, ὡς ἂν καὶ αὐτοὶ καὶ ἐκεῖνος εἵποιεν· εἶτα καὶ βία εἰς ἐκεῖνον, ὡς Καὶ μὴ ἐθέλων ἀρχηγὸς ἡμῶν γενοῦ· καὶ περίθεσις παρασήμων τῇ βασιλείᾳ πεδίλων, ἐκείνου μὴ καθιστῶντος τοὺς πόδας, καὶ περίδυσις διαδήματος· καὶ ῥίψις μὲν καπνικοῦ καλύμματος τοῦ περὶ κεφαλὴν, ὅπερ Λαζόθεν εἶχε τὴν ἀφορμὴν εἰς σύμβολον, ὧν ἔμελλε καπνῷ φῦραι, κατεμπρήσας τὸ πᾶν, ἀντιφόρησις δὲ ἐρυθροῦ, αἰνιττομένη, ὅσων κεφαλῶν καταψηφιεῖσθαι μέλλει αἵματα. Καὶ συγκάθηται τὸ ἐντεῦθεν τῷ βασιλεῖ Ἀλεξίῳ, καὶ προκάθηται. Ὑπερέκειτο γὰρ αὐθωρὸν ἐκείνου τὸ ἀπὸ τοῦδε, καὶ συντιμᾷ, οὓς αὐτὸς ἐπέκρινε· καὶ προβάλλεται ἀρχὰς, ἐξ αὐτῶν βαλβίδων τὸ τῆς κατ' αὐτὸν βασιλείας ἅρμα πρόσθεν βαλών. Καὶ τὸ μέγα κακὸν τῷ μικρῷ καλῷ συγκίρναται.

41. Cæterum (ne cum tædio omnium garriam) malorum concursus fit in gloriosissimum templum Salvatoris Christi, Chalcitis, jamque palam Andronicus imperium renuere ferebatur ancipiti fama; fit deinde vis in illum: Dux vel invitus noster esto. Deinde cothurni imperatorii, illo pedes non præbente, ac diadema afferuntur; capitis velum fumosi coloris amovet, quod Lazo tenus quibusdam temporibus portabat in signum eorum quæ fumo miscenda erant; cumque omnia incendisset, rubrum contra jubet afferri, significans quantorum capitum sanguis damnandus esset. Dein cum imperatore Alexio sedet ac præsidet. Exinde enim supra illum sedebat, et quos condignos judicabat cohonestavi. Dimittit magistratus, atque a repagulis currum imperatorium projecit. Sic parvo bono malum magnum miscetur.

μβ'. Βραχὺς ὁ ἐν μέσῳ χρόνος, καὶ περιγίνεται· καὶ ὡς ἂν μὴ θρήνου μεγάλου ἔξαρχος καθισταίμην τοῖς φιλαλεξίοις, εἴτ' οὖν φιλοβασιλεῦσι, λεπτοτομῶν ταχεῖαν σκυθρωπότητα ἐκ ποδῶν ἀπάγει τὸν συμβασιλέα. Καὶ τοῦ ζυγοῦ τὸν Ἀλέξιον ἐκτινάξας, εἴτε πνιγμῷ τῷ δι' ἀγχόνης, ὡς διαῤῥέει λόγος ὁ πλείων, εἴτε καὶ ἄλλως, ὡς ἐκεῖνος οἶδε καὶ οἱ συγκακοῦργοι, ἀντεμβάλλει τὸν υἱὸν Ἰωάννην, τὸν τοῦ Μανουὴλ ὕστερον, οὐχ ὅτι καλλίων ἦν, ἀλλ' ὅτι ὁ μὲν Μανουὴλ ἀπεστύγει τὰ τοῦ πατρὸς, καί πως ἔβλεπεν εἰς τὸ μέλλον, καὶ τὸν Θεὸν ἐπίστροφον εἶναι τῶν γινομένων κακῶν ὑπελάμβανε· ὁ δὲ Ἰωάννης ἔστεργε, καὶ τοῖς πλημμελουμένοις ἔχαιρε συνεφαπτόμενος.

42. His rebus breve temporis intervallum intercedit et tamen superfluum, ac quasi magni luctus constitutus essem dux philalexiis et philimperatoribus, idem tempus, humorem densum mœstitiæ minuens, coimperatorem abigit. Ex jugo postquam Alexium præcipitasset sive strangulatione cum func, ut refert fama magis credita, sive aliter, re cognita ille et consortes ejus, substituit Joannem, filium Manuelis ultimum, non quod erat melior, sed quod Manuel patrem detestabatur, eo quod etiam futurum providebat, Deumque cito vel tardius vindicem esse malorum operum sentiebat. Joannes vero dissolutos amabat, eorumque commercio delectabatur.

μγ'. Ἃ δὲ τὸ ἐντεῦθεν ὁ Ἀνδρόνικος οὐ λέγω ἥμαρτεν, ἢ ἐπλημμέλησεν (ἄλλως γὰρ οἱ θερμότεροι ὀνομάσαιεν ἄν), γλώττης δεῖται νεανικῆς φράζειν, καὶ πρὸ αὐτῆς λογισμοῦ βαθέος καὶ οἵου εὔστοχα βάλλειν, καθ' ὧν ἂν ἐπεσβαλεῖ· ἅπερ ἡμεῖς ἀπολωλεκόσες τῷ γήρᾳ, τοσοῦτόν φαμεν ἐπιτέμνοντες, ὅτι, ὑποιά τις Δαυὶδ μεμελετηκὼς ἀπεκδῆναι ἔν γε τῷ κατὰ τὸν Οὐρίαν καὶ τὴν γαμετὴν, τὸν μὲν ἄνδρα βασιλέα, τὸν Ἀλέξιον, προλάπτει κάτω παραστεῖλας τοῦ ζῆν, εἶτα καὶ βυθῷ θαλάσσης πεστεύσας, καθά τινές φασιν, ὡς οὐκ ἂν ἐγὼ ἀνακρίνατμι, καθάπαξ ἀπεστογηκὼς τὴν φαύλην ταύτην περίστασιν. Καὶ ἐκεῖνος μὲν οὕτω τὸν παῖδα βασιλέα συνόστειλεν, εἰ καὶ λόγοι τινὲς ὕστερον ζωὴν ἐκείνου κατεψεύσαντο· εἰς ὃ παίζων ὁ Ἀνδρόνικος ἐξελάλησέ τε δρεμύ· ὃς ἀκούσας περί που τὰ κατὰ Σικελίαν τεμελεῖσθαι τὸν Ἀλέξιον βασιλικῶς, ἡδὺ γελάσας, Ἦ δή, ἔφη, ἄριστος κολυμβητὴς, εἴπερ ἐν Κωνσταντινουπόλει κατακυβιστήσας εἰς βαθεῖαν θάλασσαν, ἀπνευστὶ διεξέδυ περὶ τὸν ἐκεῖσε πορθμόν.

43. Quæ deinde Andronicus non dico peccavit (aliter enim severiores eum recensebunt) ea narrare juniorem linguam exigit et quæ examinabit res antequam eas in medium proferet. Quantum perdidimus in senectute tantum repetimus, scilicet, sicut David meminit de Uria et uxore peccasse, virum imperatorem, Alexium præcipitasse, vitæ terminum posuisse deindeque abysso maris commisisse, juxta quosdam, sicut nos non judicabimus, hanc odiosam circumstantiam in perpetuum horrentes. Hancque ille puero imperatori sepulturam donavit, etsi postea illum vivere falso quidam dixerint. In quo cavillans Andronicus crudele aliquid temere dixit. Cum audiisset in quodam loco in Sicilia imperatorio honore receptum fuisse Alexium, læte risit: Equidem, ait, urinator optimus est, cum Constantinopoli in profundum mare mersus, in hunc portum uno tenore pernatavit.

44. Viro Alexio sic expulso, apud se recepit uxorem, heu! etiam hujus mali teneram filiam, hoc matrimonium regis Franciæ horrentem, ut refertur. Jam enim superbia tumens, aliasque expetita ab amasio maxime polito, istius feros mores detestabatur. Aliquando in somnis de juvene somniasse eam referunt, et, O Alexi, exclamasse; quæ passa fuerit, ipsa novit.

μδ'. Ἀποικίσας δὲ οὕτω τὸν ἄνδρα Ἀλέξιον, εἰσοικίζεται τὴν αὐτῷ μνηστὴν, ὦ καὶ ἐκείνου κακοῦ νεάνιδα θυγατέρα, τοῦ τῆς Φραγγίας ῥηγὸς, ὀκνοῦσαν μὲν, ὡς περιῴδεται, τὴν συναφήν. Ἤδη γὰρ καὶ φρενῶν ὑπεπίμπλατο· καὶ πεπειραμένη δὲ ἄλλως λειότητος ἐραστοῦ τὸν τραχὺν ἀπέστεργε. Καί ποτε, φασὶ, καθ' ὕπνους φαντασαμένη τὸν νεανίαν, καὶ, Ὦ Ἀλέξιε, ἀνακράξασα, οἷα ἔπαθεν, οἶδεν αὐτή.

45. Ad vitium modice pronus, operabatur, siquidem cum ad istum gradum iniquitatis pervenisset, cessaverit et conversus sit in verum hominem, et regnum aggressus sibi magnam molestiam attraxerit. Ille autem in morum feritatem relapsus, terrorem omnibus meditatur. Pater ejus qui mitis erat, in furorem intolerabilem incidit. Sic autem parva mala operabatur, quando Alexii imperatoris salutem prætexebat, pro suis proque puero Joanne satagit; atque in tam altam columnam erexit furorem, ut Joannes ipse suspiciens vertigine die quadam fuerit correptus. Revelavit ergo ille ipse quadam die patri dolorem mentis suæ, declaravitque se pro futuro timere, de quibus nunc in magna fiducia versaretur pater; lugetque mollius, nec vexat patrem ut in malis viriliter agat terribiliaque consilia secum meditetur. Ideoque voce prophetica hoc pulchrum consilium aperiens, mulieres ac filios compellat, amplectens quoque ipsum Manuelem, deinde cum imprecatione promittit, ne postea locus detur ambitioni; illos solos futuros esse magnos, mortuo patre; pastinatoresque (ut sicut ipse loquar), pistores, unguentarios atque hujusmodi generis dimissurum se esse jactitabat, quos ipsi deinceps imperaturi, nunc forte timent; valde extollebat filiis dignitatem imperatoris, ut libentius parvi imperatores fierent, quasi gigantum regno spolians, consolari voluisset, imperium Pygmæorum illis promittens.

με'. Καὶ ἦν μὲν ἴσως μέτριος τὴν κακίαν, εἴπερ ἐνταῦθα ἐλθὼν ἀδικήματος, ἔληξε καὶ ἐστράφη πρὸς τὸν ἀληθῶς ἄνθρωπον, ἀδικήσας εἰς βασιλείαν, καὶ μεγάλου τυχὼν πράγματος· ὁ δ' ἀλλὰ πρὸς δεινὸν, μέγα μεταπλασθεὶς τῇ θηριωδίᾳ, τὸ κατὰ πάντων φοβερὸν πραγματεύεται. Καὶ ἀφίησι μὲν πατὴρ ὡς ἥπιος εἶναι, ἀνθαιρεῖται δὲ μαίνεσθαι οὐκέτ' ἀνεκτῶς. Καὶ ὡς εἴπερ μικρὰ ἐποίει κακὰ, ὅτε πρόφασιν εἶχε τὴν τοῦ βασιλέως Ἀλεξίου περιποίησιν, πολλαπλασιάζει τὰ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ παιδὸς Ἰωάννου· καὶ εἰς οὕτως ἄποπτον ἐκκορυφοῖ τὸν τῆς μανίας κολωνὸν, ὡς καὶ τὸν Ἰωάννην ἀναβλέψαντά ποτε παθεῖν ὀλιγγον. Καὶ τοίνυν καὶ ἀνεκάλυψέ ποτε τῷ πατρὶ καὶ ἐκεῖνος τὸ κατὰ ψυχὴν πάθος, καὶ ἔδειξε φόβον ἔχειν εἰς τὸ μέλλον, ἐφ' οἷς ὁ πατὴρ ἄρτι θρασύνεται. Καὶ ὑποκλαίει μὲν μαλθακώτερον, οὐκ ἀποκναίει δὲ τὸν πατέρα τοῦ ἐν κακοῖς ἀνδρίζεσθαι καὶ δεινὰ βούλεσθαι. Διὸ καὶ προαναφωνῶν τὸ καλὸν ἐκεῖνος βούλευμα, γυναῖκάς τε τοὺς υἱοὺς προσέφη, ἐπιπλέξας ἐνταῦθα καὶ τὸν Μανουήλ· καὶ ἐπαρᾶται μὴ ἂν εἰς ἄξιον ἐλθεῖν τοῦ ἡσυχῇ ζήσειν, μεγαλείους μόνους ἐκείνους ἐσομένους, ἐπὰν ὁ πατὴρ θάνοι. Καὶ κομπάζει, μακελλαρίους (εἰπεῖν κατ' ἐκεῖνον) καὶ μάγειρας καὶ μύρων ἐψητὰς μέλλειν ἀφήσειν περιεῖναι, καὶ τοιουσδε τινὰς, ὧν αὐτοὶ ἄρξοντες ὕστερον, εἰκῇ ἄρτι δειλοῦνται· μεγάλα σεμνύνων ἐκεῖνος τὴν βασιλείαν τοῖς παισὶν, εἰ οὕτω μικροβασιλεῖς ἀποβήσονται, ὅμοιον ὡς εἰ καὶ γιγάντων ἀποστερῶν ἐθέλοι παραμυθεῖσθαι, οἷς Πυγμαίων ἄρξειν αὐτοὺς ὑπόσχοιτο.

46. Fit ergo homo plus quam inhumanus, ex quo feram induit. Conventus qui illum non juvabant ad firmandum imperium, ubi tot et tales quidem adducebat eosque plurimos, alios vero e medio alio transferebat, innumerosque alios sic projiciebat, ordinatim comprehendendo, non ob talem causam, sed propterea quod illi placuisset ipsos vivere, ipse solus homo exsistere desiderans, propter suspiciones malas naturæ alte insitas, quibus dolosus semper fuerat in illos qui supra se erant; unde omnes imperatores secum comparando judicabat. Nec dico multitudinem eorum qui passi sunt; non de singulis refero; non expono quas contra illos machinationes conceperat; nec modos nec loca refero juxta quæ ac quomodo tentatum fuerit malum, nihil hujusmodi amplius, ne tædio fastidiam. Illud unum dico, eum excelluisse verum dicendo de promissionibus filiis datis. Non enim multo post parum abfuit quin præclaris ho-

μς'. Γίνεται οὖν ὁ ἄνθρωπος ἐπὶ πλέον ἀπάνθρωπος, τὴν θῆρα μετενδυσάμενος. Καὶ οἷα μὴ ἀρκοῦν αὐτῷ στερεῶσαι βασιλείαν, εἰ τοσούτους καὶ τοιούτους λογάδας, τοὺς μὲν ἀπήγαγεν εἰς τοὺς πλείονας, τοὺς δ' ἄλλως ἐκ μέσου ἔστησε, προσεπικαταβάλλει καὶ ἄλλους μυρίους ὅσους, μάρπτων ἐξείης, οὐ κατὰ αἰτίαν οὖσαν, ἀλλ' ὁποίας πλάσαιτ' ἂν κατὰ ζώντων, ἄνθρωπος αὐτὸς μόνος ἐφιέμενος ζῆν διὰ τὸ φύσει καχύποπτον, ὃ παγίως αὐτῷ ἐνερρίζωτό, οἷς αὐτὴ ἀεὶ ἐδολίου κατὰ τῶν πρὸ αὐτοῦ· ὅθεν ᾤετο πάντας βασιλεῖς κατ' αὐτόν. Καὶ οὐ λέγω τὸ πλῆθος τῶν πεπονθότων· οὐ προσάπτομαι τῆς ποιότητος· οὐκ ἐκτίθεμαι τὰ κατ' ἐκείνων συμπλάσματα· οὐ περιηγοῦμαι τρόπους ἢ τόπους, καθ' οὓς καὶ ὅπως παρανθείη τὸ κακὸν· οὐκ ἄλλο τοιοῦτον οὐδέν· μὴ καὶ ἀηδίας ἀναταράξω βόρβορον. Ἐκεῖνο μόνον λέγω, ὡς ἠρίστευεν ἀληθεύων ἐπὶ τῇ πρὸς τοὺς υἱοὺς ὑποσχέσει. Οὐ πολλοῦ γὰρ ἐνέλιπε ψιλῶσαι ἀνθρώπων ἐπιδόξων τὴν Μεγαλόπολιν. Καὶ οὕτω

μὲν κατὰ πάντων αὐτός· ἦσαν δὲ οὐδ' οἱ πάντες ἀπεοικότες ἐκείνου πρός γε τὸ μῖσος. Μισούμενοι γὰρ ἐφιλοτιμοῦντο ἀντιμισεῖν, οὐκ εὐαγγελικῶς μὲν, κατὰ βασιλικὸν δὲ ἐκεῖνο παράδειγμα. Καὶ συλλεγέντες τῇ ἀμύνῃ πρός τι ἦν, δρᾷν ἤθελον καὶ ἀντιλυπεῖν τὸν κατάρξαντα. Ἦσαν δὲ ἐν τοῖς δρῶσι πρὸς ἄμυναν, ὅτι καὶ ἐν τοῖς παθοῦσι, καὶ οἱ τῆς Ἄγαρ. Τὰ γὰρ κατὰ Νικαέων πάθη, καὶ ὅσα οἱ Προυσαεῖς ἔτλησαν, ἤψαντο καὶ ἐκείνης, καὶ εἰς πολὺ ἐχθίστην ἡμῖν ἐνέγραψαν. Πολλοὺς γὰρ καὶ τῶν αὐτῇ; ἐπελέγδην ἡ Νίκαια, ναὶ δὲ καὶ ἡ Προῦσα μετὰ πολύπονον ἅλωσιν μετεωρισθέντας εἶδον, ὅθεν ἔστι καταβῆναι εἰς ᾅδην καὶ ταχὺ καὶ οἰκτιστα.

μζ'. Καὶ οἷα μὲν ἐντεῦθεν οἱ Ἀνατολικοὶ ἔπαθον, εἰς μνήμην, εἰ καὶ μὴ μετ' ἐγκωμίων τοῦ Ἀνδρονίκου, συγγραφέσθω ἕτερος, ἐκεχειρίαν τε ἄγων ἱκανὴν, ἀλλὰ καὶ δακρύοις πλουτῶν· ἡμᾶς γὰρ ἐπέλιπον καὶ αὐτά. Ἡμῖν δὲ οἷα ἐκεῖθεν συνέπεσον, καὶ ὡς ἡ τοῦ Ἀνδρονίκου, ὁμαλῶς λέξαι, οὐ προσήνεια καθίκετο καὶ ἡμῶν ὀλεθρία, φράσων ἔρχομαι, οὐ πρὸς εὐρυλογίαν οὐδ' αὐτὰ, μὴ καὶ πλατὺ μάλα βιβλιογραφήσειν ἀνάγκην εὑρήσω, ἀλλ' ὡς πρὸς ἐσκιαγραφημένην τῶν πεπραγμένων ὑπόδειξιν.

μη'. Οἱ βλαβέντες ἐκεῖνοι, οἱ πολλοὶ, οἱ ποικίλοι, οἱ πολύγλωσσοι, διασπαρέντες ἄλλοι ἄλλοθεν, εἴ τις φρήτρη ἐκ Πίσης, εἴ τις ἀπὸ Γενούης· τὸ τῶν Τούσκων φῦλον, καί τι Λαμπαρδικόν· οὐκ ἀπελίπετο δὲ οὐδὲ τὸ ἐκ Λογγιβάρδων βλαβὲν, οὐδ' ὅσα ἄλλα· οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν Εὐγενείας ἐπιτεταγμένων. Μαρσεῖνος δέ τις, καὶ Δαλασηνὸς, καὶ Κλάδων, καί τινες τοιοῦτοι τῶν τῆς ὑφειμένης, πρὸς δὲ καὶ θεραπευταὶ ἀρχόντων, οὓς ὁ Ἀνδρόνικος φαύλως διέθετο· οὗτοι δὴ, καὶ ὅσοι δὲ ἄλλοι ἐν ὁμοίοις κακοῖς ἦσαν, ἐπρέσβευσαν παρὰ πολλοὺς τῶν μέγιστα δυναμένων, περί τε τὰ τῆς ἑῴας λήξεως, καὶ τὰ ἑσπέρια. Καὶ οἱ μὲν τὸν σουλτὰν ἠρέθισαν, τὰ πλείω πρ ἰσχόμενοι εἰς δυσωπίαν τὸν τοῦ βραχυβίου βασιλέως Ἀλεξίου θάνατον, ᾧπερ ὤφειλε πιστὰ διὰ τὸν πατέρα Μανουὴλ ὁ τῶν Ἀγαρηνῶν ἔθναρχος· ἕτεροι δὲ τὸν ἐν Ἀντιοχείᾳ προκαθήμενον, τόν τε κατὰ κόσμον, καὶ τὸν ἐκκλησιαστικῶς· ἄλλοι δὲ τὸν ἐν Ἱεροσολύμοις ζηλοῦντα βασιλικῶς ὑπὲρ τοῦ καλοῦ. Ὠφειλέτην δὲ ἄρα καὶ τούτω τὼ ἄρχοντε ὀρθὴν ἀγάπην καὶ ἐπικουρίαν μετὰ τὸν Μανουὴλ ἀδικουμένῳ τῷ υἱῷ Ἀλεξίῳ. Αἱ δὲ ἐντρεχέστεραι τῶν πρεσβειῶν περὶ τὰ καθ' ἑσπέραν ἐξετελοῦντο. Καὶ ἐλιτάζετο πρὸς μένα τῶν ὁ τῶν ἐν μεγάλῃ Ῥώμῃ ἀρχιερατικῶς ὑπερεστὼς, καὶ εἴ τις ἄλλος παρ' αὐτῷ καὶ κατ' αὐτὸν ἰσχύων· πρὸς δὲ τῶν ὁ Γερμανικὸς φύλαρχος. Ὠχλεῖτο δὲ πρεσβευτικῶς καὶ ὁ πολὺς τὴν ἐξουσίαν Ἀλαμανός. Καὶ οὐδὲ ὁ Μαρκέσιος ἡσυχῇ μένειν ἀφίετο, καθάπερ οὐδὲ ὁ τῆς Οὐγγρίας κράλης· καὶ ὃς δὲ ἄλλος ἰσχυρὸς περίοικος. Καὶ ὅλως, ἔνθα περιήγησις ἀρχικῶν ὀνομάτων, ἐκεῖ ἀπέβλεπεν αὐτοῖς τὸ δεόμενον τῆς ψυχῆς· καὶ οἱ πόδες αὐτίκα ἔτρεχον, καὶ ἡ γλῶσσα ἐλάλει, καὶ ἐνήργει πρὸς πειθώ.

minibus Constantinopolim denudarit. Satis ergo ille erga omnes erat; non vero omnes erant illi dissimiles odio. Odium enim odio reddentes gloriabantur, non quidem juxta Evangelium hoc facientes, sed juxta imperatorium exemplum. Coadunantes se ad vindictam contra unum agere volebant, vicissimque molestare eum qui imperat. Erant vero qui vindictam desiderabant, quia erant qui fuerant passi, et Agar filii. Quæ enim Nicæenses atque Prusenses sustinuerunt, accenderunt eam funestissimamque nobis reddiderunt. Nicæa enim itemque Prusa post durissimam expugnationem multos electos hujusmodi homines in aere sublatos viderunt, unde in infernum rapidus et miscrandus est descensus.

47. Qualia deinde Orientales fuerint passi, in memoriam, etsi non in laudem Andronici, alter conscribat, inducias justas agens, sed rivos lacrymarum movens; hæ scilicet deerant nobis. Qualia vero inde nobis evenerint, et quomodo Andronici, ut eadem intentione soni dicam, non benignitas tetigerit quoque nos mortaliter, narraturi jam sumus, ne hic longius quam alibi sermonem protrahamus; non enim magnum librum scribendi necessitas incumbit nobis, sed adumbratim facta demonstrandi.

48. Qui læsi fuerunt multi, varii, linguarum diversarum periti, alii alio dispersi, si qua tribus ex Pisa, si qua Genuensis; tribus Tuscorum atque Lombardorum; non enim obliti sumus quod passi sumus ex Longibardis, nec alia similia; nec vero alias deputatorum nobilium. Quidam vero Malinus, et Dalasenus et Clado, ac quidam hujusmodi secundi ordinis, præterea ministri quoque magistratuum, quos Andronicus male tractavit; hi quidem et quicunque alii in malis paribus erant, legati iverunt ad multos potentissimorum, ad Orientis et ad Occidentis finium regiones. Plerique irritaverunt sultanem referentes juvenis Alexii mortem præmaturam imperatoris, cui fidem debebat propter Manuelem patrem Agarenorum rex; alii vero eum qui regnabat Antiochiæ et per orbem, illumque qui præerat Ecclesiæ; alii etiam eum qui Hierosolymis regis titulo militabat pro bono. Illi reges igitur post Manuelem filio ejus Alexio injuste habito amorem et curam merito debebant. Celeriores vero legationes Occidentis partes viserunt. Rogabat quoque pro hujusmodi qui Romæ magnæ archipresbyterio præest, ac si quis est prope illum potens; pro aliis dux Germanorum. Movebatur vero legatione multus potestate Alemanus. Nec Marcesius tranquillus poterat manere, nec Hungariæ dux, nec quicumque viciniæ princeps. Ac ubique, hic descriptio principum nominum, ibi si vita deerat respiciebatur ad illos, pedesque statim currebant, ac lingua loquebatur simul, ac pro persuasione operabatur.

49. Maxime ejusmodi plebem expertus fuit A seu rex seu tyrannus Siciliæ, sicut Dionysii qui in historia memorantur, atque Phalarides, aliique multi, quorum regnum tyrannicum et erat et dicebatur. Ibi qui primus per vim regnaverat, et nomen Romanum comitis in nomen regis commutaverat, Rogerius erat, vir celer, ac maxime strenue agens, interque multos alios maxime loqui de se dedit scriptoribus. Secundus vero post illum tempore, manu ac fortuna, filius illius, nescio quomodo sit appellandus; hic adhuc vivens (Gulielmum eum dicunt), vir magnus consiliis, sed parvus exsecutione, quippe qui pauca gessit, perpetuo usus infortunio et, sicut observavit Aristoteles, in plerisque tertiis generationibus tyrannorum familiam primum florere, deinde emarcescere frequens B experientia demonstravit. Ille vero, cum bene sortitus sit sibi, forte credebat fore ut non solum non marcesceret, licet tertius generatione, sed etiam fructum referret. Omnino enim in nobis bene fortunatus fuit.

μθ'. Μάλιστα δὲ τοιουτου ἐπειράθη ὄχλου ὁ τῶν Σικελῶν εἴτε ῥὴξ, εἴτε τύραννος, ὡς οἱ Διονύσιοι καθ' ἱστορίαν βεβαιοῦνται, καὶ οἱ Φαλάριδες, καὶ ὅσοις δὲ ἄλλοις τὸ ἐκεῖ ἄρχειν τυραννεῖν καὶ ἦν καὶ ἐλέγετο. Ἔνθα ὁ πρῶτος πρὸς βίαν κατάρξας, καὶ τὸ Ῥωμαϊκὸν ἐκεῖνο κομητάτον εἰς ῥηγάτον μεταγράψας, Ῥογέριος ἦν, ῥίκτης ἀνὴρ, καὶ τῷ ὄντι δραστήριος, καὶ ἐν τοῖς ἐκεῖσε πολλὴν ἱστορίαν ὑπὲρ ἑαυτοῦ περικείμενος· δεύτερος δὲ μετ' ἐκεῖνον καὶ χρόνῳ καὶ χειρὶ καὶ τύχῃ, παῖς ἐξ ἐκείνου, οὐκ οἶδ' ὅπως ἤκων τοῦ ὀνομάζεσθαι· ὁ δὲ ἄρτι ζῶν (Γελίελμον ἐκεῖνόν φασιν), μεγαλεπήβολος μὲν τὴν ἔφεσιν, μικροτελεστὴς δὲ ἐν ταῖς ἐπιβολαῖς. Ὀλίγα μὲν γάρ τινα ἠνδραγαθίσατο, τὰ πλείω δὲ ἔπταισε. Καὶ ὡς μὲν κατὰ τὴν σκέψιν Ἀριστοτέλους εἰς τριγονίαν τὰ πολλὰ τὸ τυραννικὸν φῦλον ἀνθοῦν, εἶτα μαραίνεται, συχνὴ πεῖρα παρέδειξεν. Οὗτος δὲ, οἷς ἄρτι εὐτυχῶς ἑαυτῷ ἐπέτρεψεν, οἴοιτο ἂν τάχα οὐ μόνον οὐκ ἀπανθήσειν, τρίτος ὢν αὐτὸς τῷ γένει, ἀλλὰ καὶ κάρπιμος ἔσεσθαι. Πάνυ γὰρ ἡμῶν κατευτύχησεν.

50. Gulielmus ergo ille odium, puto, nutriebat, quod Manuel exercitum suum fuderat, multumque vexatum percusserat, simul ac affectabat antiquum patrimonium in litore maris situm prope Constantinopolim, quod imperfectum reliquerat pater. Simul igitur inflammatus memoria Manuelis qui terra marique Siculos aggressus fuerat (utrumque enim exorsus erat, magno quidem consilio capto, fortuna vero belli ceciderat), suscepit legationem Andronici inimicorum, quibus imperare gloriabatur Alexius Comnenus, qui quoque peregre multum longumque fecerat iter. Præter alios populos regiones Tauricorum ac Scytharum peragraverat, multis laboribus propter Andronicum tolerati. Verbum profert Siculus, copiisque suis terram mareque replet, quasique nubes jam imminent Megalopoli, et qua profundens mortem Andronici exercitum submersurus est, interea magna operante, hancque nubem persequente Alexio Comneno. Dicebat enim atque credebat penes ipsummet adesse omnem gentem Romanam, sincereque ipsum amare; nec ullos a se alienaturos esse, sed simul ivisse seu ad observandum seu ad provocandum indicio, statimque in subditionem D se metipsos tradituros confidentes. In his vero verbis latebat hoc consilium; scilicet, cum ita se haberent, ita diligerent sibique invicem intimos animi sensus aperuissent, illum imperaturum esse, Andronico vi amoto, rectaque via sic adhuc prætermissa. Etenim rex Siculus aliud voluit, atque ut adversus ceteros Siciliam regnumque ipsius obfirmaret, proficisci Megalopolim statuit.

ν'. Ὁ δὲ οὖν Γελίελμος οὗτος κότον τε, οἶμαι, τρέφων, οἷς ποτε ὁ Μανουὴλ κατεστράτευσε τῆς αὐτοῦ, καὶ πολλὰ καὶ ἐλύπησε καὶ ἔβλαψε, καὶ ἅμα καὶ ζηλῶν πατρικὴν διὰ θαλάσσης ὁρμήν ποτε παλαιὰν κατὰ τῆς Κωνσταντινουπόλεως, ἣν ὁ πατὴρ ἀνήνυτον ἐξετέλεσεν· ὁμοῦ δὲ καὶ συνάψας εἰς νοῦν τήν τε καὶ διὰ γῆς καὶ διὰ θαλάττης μελέτην τοῦ Μανουὴλ κατὰ τῆς τῶν Σικελῶν (κατάμφω γὰρ ἐκεῖνος C ἐπεχείρησε, καλῷ μὲν ἐπιβαλὼν πράγματι, κατακυδευθεὶς δὲ τύχαις πολέμου), προσίεται τὴν πρεσβείαν τῶν τοῦ Ἀνδρονίκου ἐχθρῶν, ὧν κατάρχειν ὁ Κομνηνὸς Ἀλέξιος ἠγλαΐζετο, πολυπλάνητος καὶ αὐτὸς, καὶ μακρὰ περιοδεύσας· εἶγε πρὸς τοῖς ἄλλοις καὶ διὰ Ταυρικῆς καὶ Σκυθίδος γῆς ἐλθὼν, διὰ τὸν Ἀνδρόνικον μυρία ἔκαμε. Καὶ τυγχάνει βαλὼν ἔπος ὁ Σικελὸς, τήν τε ξηρὰν τήν τε ὑγρὰν ἐμπλῆσαι τῆς κατ' αὐτὸν δυνάμεως, καὶ οἷόν τινα νέφη στρατοῦ ὑπερστῆσαι καὶ αὐτῆς τῆς Μεγαλοπόλεως, δι' ὧν ἐπιβρέξας ὄλεθρον κατακλύσει τοὺς ἀμφὶ τὸν Ἀνδρόνικον· φυσῶντος ἐνταῦθα μεγάλα, καὶ τὰ τοιαῦτα νέφη συνελαύνοντος καὶ τοῦ Κομνηνοῦ Ἀλεξίου. Ἔλεγε γὰρ, ἀλλὰ καὶ ἐδόξαζε, πρὸς αὐτοῦ εἶναι τὴν πᾶσαν Ῥωμαΐδα, καὶ φιλεῖν αὐτὸν εἰς τὸ γνήσιον· καὶ μὴ ἂν ἀφέξεσθαί τινας αὐτοῦ· ἀλλ' ἅμα ἢ κατιδεῖν ἢ μηνύματι ἐρεθισθῆναι, καὶ αὐτίκα ἐπιδιδόναι κατακύπτοντας ἑαυτοὺς εἰς ὑποταγήν. Ἐνεκρύπτετο δὲ τοῖς λόγοις τούτοις καὶ νοῦς, ὡς οὕτως ἔχων, καὶ οὕτω φιλούμενος, καὶ εἰς τὰ ἑκάστων παραδυόμενος σπλάγχνα, βασιλεύσει αὐτὸς, ῥίψας τὸν Ἀνδρόνικον, παραγόμενος κάνταῦθα τῆς ὁρθῆς. Ὁ γὰρ Σικελὸς ῥὴξ ἄλλα ἤθελε· καὶ Σικελίαν μὲν καὶ τὸ κατ' αὐτὴν ῥηγάτον ἑτέροις, ὡς φασιν, ἀποκαταστῆσαι, αὐτὸς δὲ μετεμβῆναι εἰς τὴν Μεγαλόπολιν μεμελέτηκε.

51. In his vero tale quid evenit. Post maximam nostram calamitatem vidimus virum quemdam decenti habitu, largiore nigro colore, optime vestitum omnino more Latino præter barbam longam; qui videbatur quasi missus a superioribus ecclesiasticis,

να'. Συνέπεσε δέ τι ἐν τούτοις καὶ τοιοῦτον. Εἴδομεν ἡμεῖς μετὰ τὴν ἐν ἡμῖν μεγίστην δυσπραγίαν ἄνδρα τινὰ εὐσταλῆ, μελαγχρῆ πρὸς βάθος, ἐσταλμένον εὖ μάλα τὰ πάντα κατὰ Λατίνους, πλὴν ὅσον βαθυγένειον· ἐσχηματισμένον μὲν ὡσεὶ καὶ ἀποστο-

λικῶς, λεγόμενον δὲ ὑπερπόνηρον εἶναι. Ἡ δὲ φήμη καὶ ἱππότην δεξιὸν αὐτὸν εἶχεν, ὡς καὶ ὁ εὐγενὴς ἵππος ὑπομαρτυρεῖν ἐῴκει, ὃς αὐτὸν ἔφερε, καὶ οἱ ἐκείνου ἐξελιγμοὶ, ὅτε ἥρετο ἔφιππος. Ὑπισχνεῖτο δὲ τὸ κατὰ ζώνην αὐτῷ ξίφος καὶ ὁπλίτην αὐτὸν εἶναι. Οὕτω τὸν μοναχὸν ἐψεύδετο, εἰς ὃν ἐπιπολῆς ἐχρηματίστο. Ἀλεξίου δὲ κλῆσιν φέρων, Σικουντηνὸν ἑαυτὸν ἐπεκάλει Φιλαδελφηνὸν, ἄλλα τινὰ πρὸς ἑτέροις καὶ γνωριζόμενος καὶ λεγόμενος. Οὗτος ὁ ἄνθρωπος, ὅστις ποτὲ καὶ ἔστι, πλέον τῶν ἄλλων κατά γε πονηρὰν μέθοδον τὸ πῦρ τοῦ καταιθαλώσαντος ἡμᾶς πολέμου ἐξηνέμωσεν εἰς αἰθέριον. Ἦν μὲν γὰρ ὁ δακρύων ἄξιος βασιλεὺς Ἀλέξιος κείμενος, ὡς ὁ Ἀνδρόνικος ἔθετο· αὐτὸς δὲ ὁ μοναχὸς οὐκ οἶδα σαφῶς ὅθεν πλεύσας εἰς τὰ ὑπὲρ τὸν Ἀδρίαν ἔθνη, ἐπεδείκνυέ τινα παῖδα, ἐς ὅμοιόν τι καὶ χρόας καὶ ἡλικίας ἥκειν φαινόμενον τῷ βασιλεῖ Ἀλεξίῳ. Καὶ ἦν μὲν, φασὶν, ἐκεῖνο παιδίον ἀγροικικὸν ἔκ ποθεν Βαγεντίας· αὐτὸς δὲ ταῖς ἡμῶν ἁμαρτίαις τὸ τοιοῦτον σόφισμα διδαχθεὶς, καὶ παρίστατο δουλικώτερον τῷ ἀγεννεῖ ἐκείνῳ παιδίῳ, καὶ τοὺς πόδας ἔνιπτε, καὶ ὅσα ἄλλα πρὸς ὑπηρεσίαν, ἐτέλει ὡς ἐπὶ βασιλεῖ, ῥᾳδιουργῶν κατὰ πονηρίαν, καὶ ἀναδιδάξας, ἐκεῖνον βασιλέα ἑαυτὸν ἐπιλέγειν, καὶ θαῤῥύνας, καὶ ἐγκελεύεσθαι τούτῳ ὅσα καὶ δούλῳ, καὶ ἀπειλεῖσθαι δριμύτερον. Καὶ βασιλικὴν αὐτῷ σκηνὴν οὕτω πηξάμενος, περιέφερεν ἐξ ἔθνους εἰς ἔθνος, καὶ μάλιστα εἰς ὅσα κακῶς διέθετο ὁ Ἀνδρόνικος. Καὶ συνέκλαιε τραγικώτερον· καὶ σκηνοβατῶν ἀδικίαν μεγάλην ὡς ἐπὶ βασιλικῷ τούτῳ παιδὶ ὀφειλομένῳ πιστὴν φιλίαν ὑπὸ Χριστιανῶν ἀγαθῶν, προεκαλεῖτο εἰς ἄμυναν, ὑποδεικνὺς κατὰ τὸ εἰκὸς καὶ σημεῖα τριχῶν ξανθότητα, ὀδόντος λεῖψιν, ὁποίαν τινὰ καὶ ὁ ἀληθὴς Ἀλέξιος ἐκεῖνος δυσπραγεῖν εἰλήχει, βλέμματος ἐμβρίθειαν ὡσεὶ καὶ βασιλικοῦ, πλάσιν σώματος εὐπαγῆ, καθ᾽ ἣν μάλιστα τὸ ἀγροικικὸν εὐδοκίμως ἔχει, καὶ ἄλλα τινά. Καὶ οἱ δυσωπούμενοι διετίθεντο πρὸς πένθος, καὶ ἠλέουν, οἷα μὴ ἐξακριβοῦν ἔχοντες, οἷς ἐπεπρόσθει τῇ διακρίσει τῶν σημείων τοῖς ἔθνεσιν ἡ κατὰ τοῦ Ἀνδρονίκου μῆνις. Ὅθεν καὶ ἀπανούργως πειθόμενοι τὸν παῖδα βλέπειν Ἀλέξιον, ὃ καὶ ὁ ἐξ ἀγροιωτῶν οὗτος παῖς ἐτέθη καλεῖσθαι, κατέκυπτεν εἰς προσκύνησιν, ἠσπάζοντο, μετέωρον ἦγον, δώροις ἐδεξιοῦντο πολλοῖς· ἃ δὴ κατέσπα ὁ μοναχὸς, ἀπεκβαίνων βαρύπλουτος, οἷς ἐμπορικῶς τὸν παῖδα καπηλεύων ἐχρηματίζετο. Καὶ ἡ μὲν ἀλήθεια οὕτω λαθοῦσα ἐνδόμυχος ἦν, τὸ δὲ ψεῦδος ἐκνικῆσαν ἐξεθύμωσε τὰ ἔθνη πρὸς ἄμυναν· οἳ φθάσαντες ἐνέδησαν αὐτοὺς ὅρκοις εἰς πίστιν τῷ τε Μανουὴλ καὶ τῷ διαδεξαμένῳ αὐτὸν υἱῷ Ἀλεξίῳ. Ἤχθη δὲ καὶ πρὸς τὸν ῥῆγα Σικελίας ὁ τοιοῦτος πλαστὸς βασιλεύς. Καὶ ὁ μὲν Κομνηνὸς Ἀλέξιος, ὁ τὸν Σικελὸν ἐρεθίσας, ἤλεγχε τὸν ἀγροιώτην τοῦτον παῖδα, ναὶ δὲ καὶ οἱ σὺν αὐτῷ· οἱ δὲ ἐκ τῶν ἐθνῶν ἐβεβαιοῦντο, εὖ ὅτι μάλα καὶ ἀπηκριβωμένως ἐπίστασθαι αὐτὸν ἐκεῖνον εἶναι τὸν παῖδα τοῦ Μανουὴλ, ὑπὲρ οὗ καὶ ἀποθανεῖσθαι αὐτούς. Τέλος δὲ ὁ μὲν Σικελὸς, εἰ καὶ ἐπέγνω, φασὶ, τὸ ἀληθὲς, ὅμως πεισμονὴν ἰδίαν ἔχων, καὶ τοῦ θρόνου Κωνσταντινου-

A dixitque se esse maxime fatigatum. Ex fama eques dexter erat, quod et nobilis equus testari videbatur, qui eum portabat, ut evolutiones quoque, cum equo insideret. Gladius quo cinctus erat militem esse quoque spondebat. Sic monachum simulabat, cujus habitum portare cernebatur. Alexii nomen ferens Sicuntenum Philadelphium se vocabat, quibusdam aliis nominibus præter cætera agnitus et nominatus. Hic homo, quiquis sit vel fuerit, præ cæteris, funestis artibus in aera sufflavit ignem belli quo accensi sumus. Etenim lacrimabilis Alexius imperator mortuus erat, cum erigeretur Andronicus. Hic monachus qui, nescio unde, navigaverat ad regiones supra mare Adriaticum sitas, quemdam puerum monstraverat satis specie ac
B ætate similem imperatori Alexio. Illum puerum fuisse dicunt ruricolam oriundum Bagentia, et qui nos propter peccata nostra hanc machinationem docuisset, coram hoc puero ignoti generis ut subjectus astabat, pedes lavabat ejus, et alia multa reverentiæ causa, officia hæc præstabat quasi imperatori, maximo dolo agens, cumque notum fecisset se illum regem eligere, ausus est et illum hortari dureque etiam illi minari. Illi quoque postquam tabernaculum imperatorium fixisset, de gente in gentem eum ducebat, præsertim in eas quæ aversabantur Andronicum. Exclamabat autem modo tragico, palamque damnabat magnam iniquitatem quasi in imperatorium hunc puerum cui deberetur
C fides ex animo a bonis Christianis, incitabat eos ad vindictam, ut signa demonstrans, flavos capillos, dentis lacunam, quæ quidem huic vero Alexio acciderat, gravitatem aspectus quasi imperatorii, formam tandem corporis bene constitutam, quam imprimis habet ruricola, et alia quædam. Homines ægre ad luctum dispositi erant, miserebanturque, eo quod non satis certo discernere poterant, quibus oblata erant signa apta ad iram adversus Andronicum revocandam. Unde simpliciter credentes puerum Alexium videre in hoc puero qui ex medio ruricolarum venerat ut agnosceretur, proni venerabantur eum, amplectebantur, in altum extollebant, donis cumulabant, quæ accipiens monachus, dives discedebat, atque ex illis pretium percipiebat pue-
D rum cauponando. Et veritas quidem sic involuta latebat, mendacium vero superstes gentes ad vindictam excitabat; quidam jam se devinxerant juramentis ad fidelitatem erga Manuelem eumque qui illi successerat Alexium, filium ejus. Hic pseudoimperator ad regem Siciliæ ductus est. Alexius autem Comnenus, qui regem Siciliæ jam excitaverat, amovit hunc ruricolam puerum, et qui cum illo erant; sed qui erant ex aliis gentibus, eo quod accurate agnovissent, asserebant filium esse Manuelis seque ipsius causa esse morituros. Denique rex Siciliæ, etsi dicunt, verum cognoverit, fidem propriam habebat, thronique Constantinopolis cupidus erat. Ethnici vero imperatoris Alexii idolum pro simulacro ferebant (obtensum enim fi-

lium Sicilia probat agri esse alumnum), volebantque constituere hoc simulacrum in imperatorem adversus Megalopolitanos superbientes, adversum nos audacia magna moventur. Hæc impedimenta gravissima erant ut apparet ex optimorum sententiis, episcopi Panormitani in Sicilia episcopique Messinæ et aliorum, qui omnes quod rectum erat tantum videbant sanæ mentis regula seipsos dirigentes, ita ut judicarent non licere comitem Siculum agnosci imperatorem universalem qui olim ut dux subditus erat Constantinopoli, causamque hujus belli non justam esse. Etenim, quamvis qui regit Constantinopolim peccaret vel cæde, vel tyrannide, quid causæ daretur regi qui circumscribitur in Sicilia? Alioquin omnis principatus, cum male successit inceptum, in periculo esset ne dirigatur ab alio principatu auxiliari, sive disciplinæ sive servitutis causa.

52. Attamen Alexio Comneno totis viribus enitente ut quam citissime Constantinopolim regi Siciliæ traderet, quasi imperite inter manus retineret, fit motus multarum gentium Siculum eligentium et unanimiter proclamantium. Thesaurus publicus tunc illi aperitur non admodum diviti, tumque mari committit longas naves ac cæteras, alias tandem plus quam ducentas equos vecturas. Sub pedibus equitum electorum resonat tellus, et insuper milites portabat undique fœderatos. Dicunt autem circiter centum viro coadunatos esse et alios multo plures; ex his autem et illis quosdam paucos cum elegisset, cæteros neglexit. Erant quoque illi equites, numero trecenti, qui possint, unusquisque restituere in bello nullo modo Comneni dissimiles. Illic solus hoc imperium se brevi occupaturum fore credidit, tantum pedibus equi confisus et ut passeris nidum illud capere tentaverat, verbo quidem Siculo regi, reapse vero sibi. Videbatur enim (nescimus quomodo), sicut antea exposuimus, simul ubique pervulgari, omnes oculos Romanorum in ipsum ut in solem converti, eique soli se submittere.

πόλεως ἐφιεμενος· οἱ δὲ ἐθνικοὶ Ἀλεξίου βασιλέως εἴδωλον πρὸ τῆς φαντασίας φέροντες (τὸν γὰρ δηλωθέντα παῖδα ἡ Σικελία ἔχει ἀπελεγχθέντα θρέμμα εἶναι ἀγροῦ), καὶ ἐγκαταστῆσαι τὴν φαντασίαν εἰς βασιλέα τοῖς Μεγαλοπολίταις φρυαττόμενοι, κινοῦνται καθ' ἡμῶν θάρσει πολλῷ· καὶ ταῦτα κωλύμης οὔτι μάλα μὴ σταθερᾶς, ὡς ἐξῆν, ἀναφαινομένης ἐκ τῶν κρειττόνων συμβούλων, τοῦ τε ἱεράρχου, φασί, τοῦ κατὰ Σικελίαν Πανόρμου, καὶ τοῦ τῆς ἐκεῖσε Μεσσήνης, καὶ ἑτέρων, ὅσοι τὸ θέον συνεώρων, ἀγχινοίας τε στάθμῃ ἀπορθοῦντες ἑαυτοὺς εἰς προόρασιν τοῦ μὴ ἂν ἐξεῖναι τὸν Σικελὸν κόμητα εἰς κοσμικὸν ἐγγραφήσεσθαι βασιλέα, ὃς ποτε τῇ Κωνσταντινουπόλει δοὺξ ὑπέκειτο, καὶ τὸ μηδὲ εὖ ἔχειν λόγου τὴν τῆς μάχης πρόφασιν. Τί γὰρ, εἴπερ ὁ τὴν Κωνσταντινούπολιν διέπων ἐξαμαρτάνοι, φονεύων ἢ τυραννῶν, δίκας ἂν διδοίη τῷ παρεγγράπτῳ ῥηγὶ τῷ ἐν Σικελοῖς; εἰ μὴ ἄρα πᾶσα βασιλεία, πταίουσά τι κατὰ βίον, εὐθύνεσθαι κινδυνευτέα πρὸς τοῦ ὠρεγμένου, ὡς εἰ καὶ ἐπαιδαγωγεῖτο ἢ ἐδεσπόζετο.

ογ'. Καὶ ὁ μὲν τοιοῦτος Λατῖνος ὧδε συγκροτεῖται πρὸς ἀλήθειαν, καὶ ἄλλως οὐχ οἷός τε ὢν ψεύσασθαι. Ὁ δὲ Ἀβούδιμος Μανουὴλ ἀνὴρ ἰχθύων τιμῆς μελόμενος, νῦν μὲν ὠμογέρων, πάλαι δέ ποτε περιᾳδόμενος μέγας εἶναι τὴν χεῖρα, καὶ βριαρὸς αὐτὴν κατενεγκεῖν τῶν ἀνθισταμένων, οὗ καὶ τὸ κατὰ σῶμα εὐσταλὲς ἔτι κατηγορεῖ τὴν ῥώμην, ἣν λέγεταί ποτε πλουτεῖν ὁ ἄνθρωπος, αὐτὸς δὴ ἐφανέρωσε πρόδοτον εἶναι τὴν πανταχοῦ γῆς περιφόρητον τῷ κλέει Θεσσαλονίκην. Οὔπω γὰρ ἀκραιφνὴς ἡμέρα ἡ κατὰ τὴν ἅλωσιν, ἀλλ' ἔτι νὺξ ἀμφιλύκη, καθ' ἣν ἔτι καὶ τὸ ἐῷον τεῖχος ἀπρόσβατον ἐχθροῖς ἦν. Καὶ αὐτὸς τοῦ ὕπνου ἀνεθεὶς, καὶ τὴν οἰκίαν ἀφεὶς ὀπίσω, ἵνα ἔργων ἅπτοιτο, εὗρε πέντε ἄνδρας Ἀλα-

μανοὺς ἐνόπλους ἐφίππους, ὁμοῦ συνεστῶτας καὶ ὁμιλοῦντας τὰ σφίσι δοκοῦντα. Καὶ ὁ μὲν παρῴχετο ἐκείνους ὁδοῦ λόγῳ· οἱ δὲ προσεκαλέσαντο· καὶ ὡς ἐπέλασεν αὐτοῖς μετὰ πολλὰ τὰ ἐν μέσῳ, ἀπήγαγον αὐτοῦ τὴν δεξιὰν χεῖρα δυστυχῶς τῷ ἀνδρί. Γυμνώσας γὰρ εἷς ἐκείνων ξίφος, καὶ καταγαγὼν ἀπήραξεν αὐτήν. Οὐκ ἔσχε δὲ καὶ εἰς πλέον βλάψαι, περωθέντα οἷον εἰς φυγήν.

A dextram fataliter ei abstulerunt. Unus enim ex iis gladio districto eam præcidit. Amplius autem nocere non potuit homini in celerem fugam converso.

οδ'. Τοιοῦτον καὶ τὸ τοῦ Ἀλαμανικοῦ τάγματος προδοτικὸν, οὗ πρόδρομοι τὴν χθὲς δείλην τρεῖς τῶν δυσμικῶν πυλῶν τῆς πόλεως κατεπήδησαν, καὶ πάντων τῶν ἐκεῖ βλεπόντων τοῖς βαρβάροις φιλίως συνέμιξαν. Ἡ δὲ πρὸ δυοῖν ἡμέραιν τῆς ἁλώσεως περὶ πέμπτην τῆς ἑβδομάδος βαθείας ἑσπέρας ἐπιφάνεια Θεοφάνους τοῦ Προβατᾶ ἔσω πάλεως, ὃς ἐκ Δυῤῥαχίου συνωμάρτει τοῖς Λατίνοις φίλιος, τίνας οὐκ ἂν εἰς νοῦν προδοτικὸν ἐναγάγῃ μαθόντας αὐτήν; ἦν Λέων τις ἵππων ἀγαθὸς μελητής, ὁ Ἁγιοευφημίτης, ἰδὼν καὶ περιεργασάμενος, καὶ θυμῷ μὲν βληθείς, οὐκ ἔχων δ', ὅ τι καὶ δράσειεν, ὡσιώσατο ἄμυναν τῇ πατρίδι, ἐξειπὼν τὸ κακὸν τοῖς μὴ τολμῶσι λαλεῖν τι πρὸς τὸν ἐπὶ δυσπραγίᾳ κοινῇ φοβερὸν Δαυΐδ.

74. Hæc fuit Alamannorum turmæ proditio, quorum præcursores hesterno die tres e portis occidentalibus exsilierant et in conspectu omnium cum Barbaris amicitiam junxerunt. Duobus diebus ante expugnationem, quinta fere hebdomadis die, circa vesperis finem apparuit Theophanes Probatæ filius intra urbem, qui e Dyrrachio Latinos comitatus proditionis se suspectum reddidit. Leo quidam Agiocuphemites equiso, eo cognito, in mente quidem permovebatur, sed dubius quid faceret, patriam vindicare statuit, malum minans eis qui non ausi fuerint loqui in Davidem communi infortunio formidandum.

οε'. Ἀλλὰ ταῦτα μὲν οὕτως ἡμῖν ἀναγκαίως ἐπεμβεβλήσθω, ἢ μάλιστα προειλήφθω. Οἱ δὲ πολέμιοι στερεῶς κατὰ τῶν ἑῴων μερῶν τῆς πόλεως τῶν κατ' αἰγιαλὸν ἕως καὶ τῶν κατὰ τοὺς ἀσωμάτους πυλῶν ἐπέκειντο· καὶ κατὰ τὴν πέμπτην καὶ δεκάτην, ὡς προέκειται, τοῦ Αὐγούστου τὰς νῆας λιμενίσαντες, τῇ αὔριον πρωΐθεν, ὧν ἐβουλεύσαντο, εἶχοντο, καὶ ὀξυχειρίας ἐπιβαλόντες ἐποίουν τὰ τοῦ πολέμου. Καὶ ἦν ἰδεῖν κατὰ τὴν Ἡροδότειον Μοῦσαν νέφη βελῶν τῶν τε κατὰ πέτρας, τῶν τε κατὰ εἴστους, δι' ὧν ἀὴρ ἐσκιάζετο. Καὶ ἐβάλλοντο μὲν καὶ οἱ ἐκ τῶν τειχέων (καὶ πῶς γὰρ οὔ; εἴγε ξυνὸς ὁ Ἐνυάλιος)· ἐβλάπτοντο δὲ τῶν μὲν ἡμετέρων ἥκιστοι, τῶν δὲ ἐναντίων πλεῖστοι. Πάνυ γὰρ ἐδεξίωσεν ὁ Θεὸς οὐ τοὺς στρατιώτας μόνους, ἀλλὰ καὶ τὰ λοιπὰ τέκνα τῆς πόλεως, οἳ καὶ βάλλειν τοὺς πολεμίους εὐτύχουν, καὶ εἰς μῆκος δὲ πολὺ ὅσον ἀφιέναι τὰ βέλη, ὡς ἐντεῦθεν τοὺς ἐχθροὺς τοξότας ἀναποδίζοντας ἄπρακτα βάλλειν καθ' ἡμῶν ἐκ μακρᾶς ἀποστάσεως. Ἀπὸ γοῦν τῆς Χρυσῆς πύλης τῆς περὶ δυσμὰς ἀφιέμενα βέλη ἐκ τόξων, ἐφύλασσον μετέωρον τὸ πτερὸν ἕως καὶ εἰς τὸ καλόν ποτε σεμνεῖον, ὃ περιεῖπεν ὁ μυροβλύτης μέγας Νικόλαος, καὶ ἐνέπιπτον ταῖς τῶν βαρβάρων σκηναῖς. Καὶ εὐθὺς ἐκεῖναι μετίσταντο. Ὅμοια δέ τινα ἐγίνοντο καὶ περὶ θάτερον μέρος, ἔνθα τὸ ναύλοχον. καὶ οἱ πλώϊμοι τὰς ἐπηρεαζομένας νῆας ἀνακωχεύοντες, κατὰ σπουδὴν ἐξέστελλον.

75. Has res nos quidem eo quo acciderunt ordine aut anticipando narravimus. Hostes autem contra orientales urbis partes per littus usque ad portas ἀσωμάτους processerunt, et quinto decimo die Augusti naves in portum receperunt, postero die mane quod voluerunt obtinuere celeriterque opus bellicum perfecerunt. Ibi, ut cum Musa Herodoti loquar, telorum ac lapidum nubem videre erat, quibus aer obscurabatur. Tela e muris quoque (Mars enim communis) in nos, et a nostris in muros projiciebantur, unde factum est ut pauci de nostris, ex hostibus plurimi læderentur. Optime enim Deus non solum milites, sed cæteram quoque urbis juventutem accommodavit, qui hostes interficere et tela e longe conjicere valebant, ut hi retrogredientes in nos ex magna distantia in vanum tela rejicerent. Tela igitur a porta Aurea occidentali projecta sublimia per aerem ferebantur usque ad insigne olim templum cui præerat sanctus Nicolaus, et in Barbarorum tentoria cadebant, quæ confestim mutata sunt. Eadem autem in utraque parte evaserunt intra portum, et naves alias periclitantes ancoris suffultæ, celeriter solverunt.

ος'. Ὅτι δὲ ἐξέτρεχον οἱ ἡμέτεροι, καταπηδῶντες ἐκ τῶν τειχέων, ὡς οὐκ ἂν εἰδείη ὁ εἰρηνικὸς στρατηγὸς, ψιλοὶ ὅπλων οἱ πολλοί, καὶ ἠνδραγαθίζοντο, ἐν οἷς καὶ παῖδες τοῦ μυροβλύτου ἄλλοι τε, καὶ ἐκ τῆς τῶν Σέρβων τεθέντες αὐτῷ· καὶ ὅτι περιεφρόνουν τοὺς ἐχθρούς· καὶ ὡς ἐξ αὐτῶν τῶν βαρβαρικῶν σκηνῶν ἁρπάζοντες ἀπήλαυνον ζῶα· καὶ ὡς τοὺς ἀντεπεξιόντας ἠμύνοντο οἰκοντες, βάλλοντες, ῥίπτοντες· καὶ ὅπως ἐντεῦθεν θυμὸς καὶ προθυμία τους στρατιώτας ὑπεδύετο ἄπλετος, ὡς καὶ στρατηγὸν βαρύνειν, οἷς ὤχλουν ἀφιέναι αὐτοὺς

76. Videre erat nostros currere, postquam e mœnibus descendissent quales dux pacificus nunquam vidit, plerosque inermes; deinde præclare fecerunt, inter quos etiam filios Beati, et Serbios, despicientes hostes; adde quod pecudes in barbarorum tentoriis raptas abducebant, et adversarios telis et jaculis longe propellebant; quod ardor et animi alacritas milites replebat, ita ut dux ipse ægre ferret eorum impetum, et quod ille postquam urbis ruinam statuerat nunquam animum mutavit. idque tum maxime cum Chumnus bellum excitas-

set et illi a civibus lædi potuissent, ipse eos custodiebat; sed cur sermonem fastidiosum prolongem? Davides murum de quo diximus, adeo neglexit, ut vivaciores anathema clamarent.

A ἐξορμᾷν· καὶ ὡς ἐκεῖνος καθάπαξ ἐντυπωσάμενος ἐς ψυχὴν τὴν κατάδυσιν τῆς πόλεως, οὐκέτι τὸ ἐμμαχθὲν ἐξαλείφειν ἤθελε· καὶ ὡς; ἐκ τούτου ὁ πομάκιστα, ὅτε τοῦ Χούμνου συῤῥήξαντος πόλεμον, ἐξὸν αὐτοὺς βλαβῆναι πρὸς τῶν τῆς πόλεως, καθὰ προεκτέθειται, ὁ δὲ ἐφυλάξατο, ὡς οἷα περιέπων αὐτούς· τί δεῖ μακρότερον διαπετεννύειν εἰς συγγραφήν (βαρυνθείη δ' ἄν τις)· καὶ ὅτι τοῦ τείχους ὑπονομευομένου κατημέλησεν ὁ Δαυΐδ, εἰς ὅσον καὶ ἀνάθεμα πρὸς τῶν θερμοτέρων καταψάλλεσθαι;

77. Mœnium enim, ut ita dicam, devoratores ubi muro appropinquassent et destructionem pararent, totis viribus restiterunt, ita ut fundamentis ipsis erutis, muros penitus destruere possent. Et voti quidem compotes facti sunt. Caput et dorsum sic abscondita erant, reliquum autem corpus eaque eorum detecta erat. Quod plerosque latebat, donec Basilius Tzuscus Thessalonicensis, re examinata id quod erat vidit et indignabundus quantum potuit velocissime ad primum ducis ministrum cucurrit, et cum lamentatione petiit ab eo ut tanto malo obstaret. Hic autem (o egregie alumne qui boni ducis doctrinam in mente reposuisti!) usque in posterum diem exspectandum esse dixit, donec hostes in cavi angustiis et fumo a sarmentis excitato suffocarentur. Sic venator feram facile persequitur in campis, non autem is qui eam in caverna prehendere vult; sic qui apes colunt alveum ipsum adeunt speculaturi.

οζ'. Οἱ μὲν γὰρ τρῶκται τοῦ τειχίσματος, εἰ χρὴ οὕτω φάναι, αὐτοὶ μὲν τῷ τείχει πελάσαντες, καὶ συσκευασάμενοι γλύφειν, φραγνύμενοι δὲ κατόπιν τοῖς κάτωθεν ἀκροβολιζομένοις ἄνω, ἔργου ἥπτοντο ἐγκρατῶς, οἷα ἐπισπέρχοντες τὸ γλαφύρωμα, ὡς ἂν καθυποδύντες αὐτὸ ἐμβαθύνωσι, καὶ καθ' ἡσυχίαν διαμπερὲς τοῦ τειχισμοῦ ταχὺ τὴν συνέχειαν λύσωσι. Καὶ ἦνυον τὰ τοῦ σκοποῦ. Καὶ αἱ μὲν κεφαλαὶ αὐτοῖς καί τι τῶν μεταφρένων ἐκρύπτοντο· ὁ δὲ λοιπὸς ἄνθρωπος ἑκάστῳ ἐκείνων ἔξω βραχὺ προὐφαίνετο. Ἐλάνθανε δὲ ἄρα τοῦτο τοὺς πλείονας, ἕως ὁ ἐν Θεσσαλονίκῃ Βασίλειος ὁ Τζύσκος, κατακύψαι ἄνωθεν τολμήσας καὶ ἰσχύσας, εἶδε τὸ πρᾶγμα. Ὅς καὶ καρδιώξας ἔδραμε τὴν ταχίστην εἰς τὸν τοῦ στρατηγοῦ πρωτοθεράποντα· καὶ ἐκλαλήσας τὸ πρᾶγμα μετὰ οἴκτου, προεκαλέσατο εἰς κωλύμην τοῦ κακοῦ. Ὁ δὲ (ὦ μαθητοῦ ἀγαθοῦ, ἐκμαξαμένου εὐφυῶς τὰ τοῦ καλοῦ στρατηγοῦ διδασκάλια) χρῆναι μεθίεσθαι ἀπεφήνατο μέχρις ἐς αὔριον, ἕως οἱ ἐχθροὶ ἐντὸς εἰληθέντες τοῦ τρυπήματος, εἶτα τῷ ἐκ φρυγάνων καπνῷ ῥᾷον καταπνιγείεν ἐντός, ὅμοιον ὡς εἰ καὶ κυνηγέτης πρόχειρον ἄγραν ἔχων θέσθαιθηρίου ἐν τοῖς πεδινοῖς, ὁ δ' ἀλλὰ μεθεὶς καραδοκεῖ τὴν ἐν σπήλυγγι ἐκείνου κατάδυσιν, ὡς οὕτω μᾶλλον ἀγρεύσων ἐκεῖνο· καθὰ καὶ μελίσσας ἔσω σμήνους οἱ περὶ ταύτας πονούμενοι.

78. Talem se primus ducis minister gerebat. Davides vero, ipsius herus rem aliter aggressus est. Audito enim quod murus extrinsecus perforaretur: Vos quoque intus perforare necesse est; et diu cunctatus, aliquandiu semimortuus, statuæ similis mansit, ut de ficu narrat comœdiarum auctor. Et sic linguam movere videbatur et dicere quando murum extrinsecus lapidibus peti audiebat, Jaculamini vos quoque ab intus. O ludibrium, quo nos mactabamur, ipse autem imperatoris inimicitiam effugiebat; erat enim is qui ubi vigilare opus est, obdormit, et qui veteri vocum simplicitate utitur; et nihilominus si juste spectes, excubias agit. Quod enim proposuit, vigilando peregit, nec cessavit donec omnia rite peracta essent.

οη'. Καὶ τοιοῦτος μὲν ὁ ἀρχιθεράπων μηχανικός. Ὁ δ' ἀρχιτέκτωρ αὐτοῦ Δαυΐδ ἄλλως ἔπαιζε τὸ μηχανᾶσθαι· καὶ ἀκούων, ὡς τρυπᾶται τὸ τεῖχος ἔξωθεν, Τρυπητέον, ἔλεγε, καὶ ὑμᾶς ἔσωθεν. Καὶ εἰς τοσοῦτον χασμησάμενος, ἐκάθητο τοῦ λοιποῦ χαῦνος, εἰκὼν ζῶντος, ἐμποδίζων οἷον ἰσχάδας καὶ αὐτὸς κατὰ τὸν κωμικόν. Καὶ τὴν γλῶτταν ὧδε σαλεύσας ἀτελεσφόρητα, ἐῴκει, εἰ καὶ τὸ τεῖχος ἔξωθεν ἀκούσοι λίθοις βάλλεσθαι, εἰπεῖν ἄν, ὡ. Βάλλετε αὐτὸ καὶ ὑμεῖς ἔσωθεν. Ὦ παίγνια, δι' ὧν ἐσφαττόμεθα μὲν ἡμεῖς, αὐτὸς δὲ τὸν δύσνουν βασιλέα ἐξέφευγεν· ἄνθρωπος, ἐφ' οἷς ἕδει ἐγρηγορέναι, κατακείμενος, καὶ κατὰ παλαιὰν ἀφέλειαν ὀνομάτων εἰπεῖν ἀναπεσᾶς· καὶ μὴν σκέψασθαι ἄλλως, καὶ πάνυ ἐστὼς αὐτὸς ἦν καὶ νηφάλιος. Ὃ γὰρ προὔθετο, ἐνῆφε ποιεῖν· καὶ οὐκ ἀνῆκεν, ἕως αὐτὸ τεχνικῶς ἀπετέλεσε.

79. Sic igitur hostibus ruina muri profuit, nobis obfuit; saxa enim ex magna machina jacta pinnacula destruxerunt et mœnia custodibus denudarunt; multa etiam in loca interiora præcipitata multum mali fecerunt. Igitur cum murum e regione exstruere conarentur et jam manum apposuissent, a nostris repulsi sunt. Murorum enim ædificatores saxa supereminentia reformidabant, non ut Tantalus falsa somniantes, sed quia malum verum ante oculos habebant. Tum res ridicula accidit si amaris

οθ'. Καὶ οὕτω μὲν προὐδόθη τοῖς πολεμίοις καὶ ἡ τῶν λίθων τοῦ τείχους ἐπὶ κακῷ ἡμετέρῳ ὑπολάξευσις κάτω· αἱ δὲ ἐκ τῆς μεγάλης μηχανῆς πέτραι τάς τε ἐπάλξεις κατήρειπον, καὶ ἐγύμνουν τὸ τεῖχος φυλάκων· πολλαὶ δὲ καὶ ὑπερπεταννύμεναι κατέπιπτον ἔσω, ποιοῦσαί τινα δεινὰ καὶ αὐταί. Διὸ καὶ τεῖχος ἕτερον ἀνταναστῆσαι μελετήσαντες, καὶ ἤδη καὶ ἐγχειρήσαντες οἱ καθ' ἡμᾶς, ἀπετρέποντο. Ἐδεδίεσαν γὰρ οἱ τειχοποιοὶ τοὺς ὑπερτέλλοντας πέτρους, οὐ Ταντάλειον ταύτην φαντασίαν ὀνειρο-

πολοῦντες, ἀλλὰ πρόπτον ἔχοντες τὸ κακόν· ἔνθα καί τι γελοῖον συνέπεσεν, εἴ τι χρὴ τοῖς πικροῖς γλευκάζοντα συγκιρνᾷν εἰρμῷ τε ἱστορίας, καὶ ἵνα μὴ ὁ μανθάνων τὰ καθ' ἡμᾶς ἀκράτως παθαίνοιτο.

A dulce fas est in historiæ cursu commiscere, ne lector fastidium de nobis capiat.

π'. Ἦν μὲν γὰρ πολιτικὸν μυστήριον ἡ τοῦ τείχους ἀντανάστασις. Ἐλαφρίαν δέ τις ἔνω παθὼν, ἐξεβόησε τοῖς ἐχθροῖς, ἄπρακτα μωροὺς ἐκείνους πονεῖσθαι κατὰ τοῦ τείχους, ἔσωθεν ἀντεγειρομένου ἑτέρου. Ὃς δὴ λόγος καὶ μᾶλλον ἡμᾶς προσέβλαψεν. Ἀραιὰ γὰρ τὰ πρὸ τούτου ἀφιέντες τοὺς τειχοσείστας λίθους οἱ ἔξω, ἐπύκνουν αὐτοὺς ἔκτοτε, μεθ' ἡμέραν τε οὕτω βλάπτοντες ἡμᾶς, καὶ οὐδὲ νυκτὸς βέλη ἀνιέντες διὰ τῆς μεγίστης μηχανῆς· καθ' ἧς ἡμεῖς λαλήσαντες ὡς δεινῆς, εἴ πως ἀποκρουσθείη μηχανικῶς τοῦ καθ' ἡμᾶς τείνεσθαι ἐσοφίσθημεν εἰς μάθησιν ἐξ ἀγαθῆς κεφαλῆς, ἀκούσαντες, ὡς πόλις ἐκ τοιαύτης πέτρας οὐ βλάπτεται. Τί δέ; ἀλλ' ὠφελεῖται, ὦ σοφὲ, μηχανὰς ἐξουθενοῦν; Ἀλλὰ συνίσταται. Οὔκουν πάντως; Οὐκοῦν τὸ ἀνάπαλιν· εἶγε καὶ καταῤῥίπτεται οὕτω τὰ ἐρυμνότατα. Εἴπομεν ἡμεῖς οὕτω, καὶ ὁ λόγος εἰκῇ ἀπέῤῥευσε καὶ αὐτός.

80. Cum enim istius muri adversi constructio civibus res mysteriosa esset, vir quidam frivolæ indolis supra stans hostibus alta voce dixit, frustra illos circa hunc murum fatigari, cum alter intus contra strueretur; quæ vox nos quoque non parum offendit. Externi enim raro lapides in mœnium ruinam projecerant, sic interdiu nos lædentes, noctu autem e magna machina tela in nos conjicere non poterant. De qua si tanquam tormento horribili locuti sumus, et si quærimus utrum multum nobis inde periculi immineat, scito nos a teste gravi didicisse quod urbs ab ista lædi non posset. Quid autem? An commodum est, o philosophe, machinas contemnere? Sed obfirmat.—An prorsus? Imo contrarium, siquidem hoc modo fortissima diruuntur munimenta. Sic nos disserebamus, et sermo, ut fit, effluxit.

πα'. Καὶ ἐλύπουν μὲν τὴν πόλιν καὶ τὰ μικρὰ πετροβόλα, οὕτω δεξιῶς βάλλοντα, ὡς καὶ τοὺς μοδίους, οἳ πλοίων ὄϊστοῖς ἐνδεδεμένοι μετέωροι ἔκρυπτον ἔνδον ἄνδρας, εἰωθότας ἐκεῖθεν καταπέμπειν τὰ βλάπτοντα, συνεχῶς εὔσκοπα βάλλειν, καὶ κατακλᾷν, καὶ ἀγῶνα παρέχειν τοῖς μαχηταῖς ἐκεῖθεν, διεκχεῖσθαι κάτω καὶ περισώζεσθαι. Ἦσαν δὲ τὰ τοιαῦτα ὡσεὶ καὶ βέλη νηπίων, πρὸς τὴν μητέρα μεγάλην μηχανὴν παραβαλλόμενα, εἴ τι χρὴ ἐκ τοῦ σοφοῦ στρατηγοῦ πορίσασθαί τι νόημα. Ὃς τοὺς ἐκεῖθεν ἐπαφιεμένους λίθους τεθηπὼς τοῦ κτύπου, Ἄκουε τὴν γραῖαν, ἔλεγεν, ἀπαθὴς οὕτω τι καὶ μέτριος ὤν, καὶ τὴν θρεψαμένην μαῖαν οἶμαι φαντάζεσθαι δοκῶν, παθαινομένην ἐπ' αὐτῷ καὶ κλαίουσαν. Λακωνίζων δὲ καὶ ἄλλως ἐκεῖνος τὴν φράσιν, ὡς ἐν μεταποιήσει κάμνει ἡ γραῖα, πάλιν ἐμογγιλάλει. Ἀπεφοίβαζε δὲ ἄρα ὁ λόγος οὗτος κατά τι πυθωνικνὸν, ὡς ἡ πρεσβυτάτη Θεσσαλονίκη πρὸς εἴδωλα καμόντων οἴχεται, καθὰ καὶ πάλαι ποτὲ, ὡς ἐξ ἱστορίας καθήκει καὶ εἰς ἡμᾶς. Καὶ ἦσαν οἱ λίθοι ἀκριβῶς ἀνδραχθεῖς, ὁποίους κατὰ τῶν ἀμφὶ τὸν Ὀδυσσέα οἱ Λαιστρυγόνες διεχειρίζοντο.

81. Sed minora etiam saxa projecta urbem lædebant. Nam tanta dexteritate conjiciebantur, ut etiam modii qui cymbis alligati intus viros continerent assuetos projectilibus hostem aggredi, scopum nunquam non attingerent et adversarios non parum fatigarent. Sed hæc puerorum armis similia sunt comparata ad magnam machinam, ducis simul ratione habita, qui quando lapides cum fragore cadebant, immotus ut erat, Audi anum, dixit; adeo natura intrepidus ac moderatus enim erat, ut nutricem, si de eo gravaretur, stupiditatis accusavisset. Laconice autem respondit quod anus restaurando fatigaretur. Hic sermo Pythonem redolebat, sicut antiqua Thessalonica ad idola defunctarum accedit, sicut dudum ex historia didicimus. Lapides autem viri pondus habebant, iis similes, quas Læstrygones contra Ulyssis socios jaculati sunt.

πβ'. Τοῦ τοίνυν κακοῦ κάτω μὲν ἀναστομοῦντος εἰς ἀξιόλογον χάσμα τὴν τοῦ τείχους στεγανότητα, ἄνω δὲ τοιούτοις λίθοις εἰς τρόμον βιαζομένου, ὁλάζει τὸ καὶ τοὺς πόδας καὶ τὰ ὕπερθεν παθόν. Καί πως ἐπὶ γόνυ συνιζάνει, τά γε πρῶτα εὐμηχάνως συνεστηκὸς, ἕως οἱ μὲν ὑπορύττοντες τὸν κατ' αὐτοὺς ἄθλον διηνυκότες, ἀποκατέστησαν ταῖς τῶν συμβαρβάρων σκηναῖς· τὰ δὲ ὑποβεβλημένα εἰς ἔρεισμα τῇ διορυγῇ κατεκάη, ὡς δοῦναι τόπον ἐντεῦθεν τῇ κατακύψει τοῦ τείχους. Οὗπερ οὕτως ὑποκλιθέντος εἰς πλαγιασμὸν, συμβαίνει τὸ ἐκείνου ἄκρον διαιρεθῆναι ἄνωθεν ἕως καὶ κάτω, ἔνθα πως ἐγλωχινοῦτο γωνιούμενον, καὶ διαχανεῖν εἰς ἡμέτερον ὄλεθρον. Τοῦ γὰρ συνδετικοῦ παραλυθέντος εἱρμοῦ, ἔσχιστο ἐξ ἀνάγκης, ὅτι μηδὲ εἶχεν ἡ ἐχο-

82. Dum igitur murus inferior late apertus esset ut vorago, superior autem lapidibus projectis ad timorem injiciendum hiaret, malum undique grassabatur. Interdum autem ad genua procumbebant dum suffodientes post exantlatos labores a tentoriis Barbarorum recesserunt; quod autem contra vallum projectum fuerat in fossa igni consumptum est, ut muri spatium inane ampliaretur, Sic inclinato muro accidit, ut apex a summo ad ima scinderetur, ita ut angulus factus sit nobis magnopere damnosus. Postquam enim compages solutæ essent scissura secuta est, quod latus alteri lateri aptari non posset in oppositum tracto pondere, sed relaxata aliqua sui parte; vicino inclinato adhærere desiit, et sic os immensum

Tartari adversus nos in chaos miseriæ dilatavit. A μένη πλευρὰ ἐγκαθεστῶτι ἡρμόσθαι, τῆς ἐκ πλαγίων ὑπενδούσης κατὰ βάρος· ἀλλ' ἐκπέμψασά τι ἑαυτῆς, ἀφῆκεν ἐπακολουθεῖν κατακλιθείσῃ τῇ γείτονι· καὶ οὕτω χάσμημα καθ' ἡμῶν ᾅδου εὐρυνθὲν κατέσπακεν εἰς χάος ἀρτύγετον.

83. Isti autem loco nomen erat Chamædracontis, cui custodiendi illum cum militibus suis strenuis negotium datum fuerat, et qui nobis quoque postea rei militaris peritia sua utilem operam tulit. Cum enim solus in urbe teneretur sive morbo, sive prudentia, postea autem commilito, periculorumque socius mortem oppetiisset, nisi nos Dei sapientia monente, remoto periculo, tempus distulissemus, quo barbarus ejus emollitus est animus, ita ut homini nostro vitæ, qua jam nunc fruitur, sospitatores fuerimus.

πγ'. Ἦν δὲ ὁ τόπος οὗτος πύργος Χαμαιδράκοντος ἐπικληθεὶς τῷ λαχόντι ἐπιστατεῖν σύν γε τοῖς ἀμφ' αὐτὸν οὐκ ἀεργοῖς στρατιωτικοῖς, ἀνδρὶ τότε μὲν τακτικῷ, ὕστερον καὶ συμπόνῳ ἡμῖν· ὃς μόνος τῶν ἄλλων ἐνσχεθεὶς τῇ πόλει, τὸ μὲν φαινόμενον κατὰ νόσον, ἄλλως δὲ προμηθείᾳ καὶ συναεθλεύων ἡμῖν παρήγορα, θρὶξ, ὅ φασιν, ἀνὰ μέσον καὶ ἔβλεπε θάνατον, εἰ μὴ τὸ τῆς τριχὸς ταύτης γραμμικὸν οἷα καὶ εἴς τι πλατὺ ἐπίπεδον ἡμεῖς διαστήσαντες, ὡς μεθώδευσεν ὁ τῆς σοφίας Θεὸς, καὶ παρατείναντες καιρὸν, δι' οὗ ὁ βαρβαρικὸς ἐμαλάχθη θυμὸς, συνετελέσαμέν τι καὶ αὐτοὶ τῷ ἀνθρώπῳ B εἰς τὸ καλὸν, ἧς ἄρτι ἔχει, ζωῆς.

84. Muro itaque diruto ubi dies illuxit et illud foramen Charonium hostes nostrique vidissent, illi ferarum more hiabant contra nos, nobis autem oculos claudentibus omnis spes interierat. Dux autem antea plenus fiducia erat, jactitans apud haud ignaros, quod muris nihil accideret, et si ceciderint, ipse tamen optimis e copiis electis viris murum ferreum spondet se oppositurum, armis compactum, custodemque futurum civitati per quadraginta dies. Postremo autem hic homo jactabundus sermocinando in muri scissura jactantiæ finem imposuit; ipse autem non manens se inde proripuit.

πδ'. Τοῦ τοίνυν τείχους ἐκείνου παθόντος, ὡς ἔπαθεν, ἐπείπερ ἡμέρα διέφαυσε, καὶ εἶδον τὸ ἐκεῖσε Χαρώνειον χάσμα οἵ τε ἐχθροὶ, οἵ τε ἡμεδαποὶ, ἐκεῖνοι μὲν συνέχασκον θηριωδῶς τοῦ λοιποῦ καθ' ἡμῶν· ἡμῖν δὲ συμμύσασι ξύμπασα ἐκλείσθη ἐλπίς. Καὶ ἦν μὲν τὰ πρὸ τούτου θρασὺς ὁ στρατηγὸς, κομπάζων πρὸς τοὺς εὖ εἰδότας, τὸ τεῖχος οὐκ εὖ πείσεσθαι, ὡς, εἰ καὶ καταπεσεῖται, ὅμως αὐτὸς ἐπιλέγδην κρίνας τοὺς ἀρίστους τῆς στρατιᾶς, τεῖχος σιδήρεον ἀντιστήσει, τὸ ἐκ τῶν ὅπλων, καὶ ἕως καὶ εἰς τεσσαράκοντα ἡμέρας φύλαξ ἔσται τῆς πόλεως. Τότε δὲ ὁ μέχρι λόγου θρασὺς ῥηξήνωρ τῇ τοῦ τείχους ῥήξει διεκόπη τῶν αὐχημάτων· καὶ μὴ μένων C ὁ αὐτὸς, ἔμπαλιν ἐξένευσεν.

85. Simul ac hastam in mœnibus dirutis vidit, quo unus e nautis ascenderat, quos ut fortes et ad ejusmodi res habiles Siphanti navis advexerat (Siphantus pirata cum Siculis fœdus inierat, qui nos quoque hospitio excepit, ut rem prout habet referamus, in nave ut hoc quoque paucis dicamus); quod ubi primum vidit David tremebundus, ecce præmissis oblivioni datis quadraginta dies ad aliquot horas reduxit et dorsum hostibus obtulit. Cum igitur milites coram omnibus vociferarentur: « Comnene, stamen et peditatus, » ille autem vocem terminalem addidisset, καταβαλίκευμα, et: Sicut me videtis, Pegasum invenire cupiit quocum in montes aut in undas maris altisoni avolare potuisset; postremo mulo suo qui eum tum portabat, contentus fuit. Aufugiit igitur modo antea inusitato, delicatus visu, veste bona amictus, manu strenuus, ut gymnasiasta, sanguine non maculatus sicut aries cæteros omnes pedissequos habebat. In hac multitudine erant viri magnanimi, qui duci ignaviam exprobraverant, e quibus alii cum beato honore ceciderunt, alii post præclare facta hastam hostilem secuti sunt. In principio autem Barbari ascendentes deturbati sunt a civibus nostris non militibus. Hi enim pro viribus restiterunt donec circumventi periculum viderent, non perterriti panico Davidis timore; sed de internecione cogitabant eorum qui excursionibus suis tantum mali ipsis intulerant. Qui

πε'. Ἅμα γὰρ δόρυ ἐσκέψατο πολεμικὸν ἐπὶ τοῦ ῥήγματος ἀναῤῥιχησαμένου τῶν τινος πλωΐμων, οὓς ἀνδρικοὺς τὰ τοιαῦτα καὶ δεξιοὺς ἡ τοῦ Σιφάντου ναῦς ἐπλώϊζε (πειρατὴς δὲ ὁ Σιφάντος, ἑκὼν προσχωρήσας τοῖς Σικελοῖς κατά τινα ῥήτρην τὴν συνδόξασιν· ὃς καὶ ἡμᾶς ἑλὼν ἐξένισε, ῥητέον γὰρ οὕτως, ἐπὶ νεὼς τῆς κατ' αὐτὸν, ὡς καὶ ὑποκαταβάντες λόγῳ βραχὺ παραστησόμεθα), ἅμα γοῦν οὕτως εἶδεν ὁ τρέσας Δαυῒδ, καὶ ἅμα κατόπιν βαλὼν τὰς ἀνδρικὰς ὑποσχέσεις, καὶ τὰς τεσσαράκοντα ἡμέρας εἰς οὐδὲ λεπτὸν συστείλας ὥρας, ἔδειξε μετάφρενα τοῖς ἐχθροῖς. Καὶ τῶν στρατιωτικῶν φωνούντων λεωφορουμένῃ βοῇ τό· « Κομνηνὲ, στάμα καὶ πέ- D ζευμα· ὁ δ' ἐπιτελεύτιον οἷον ἀντιμύξας τό· « Καβαλίκευμα, » καὶ τό· « Καθά με βλέπετε, » ἐπόθει μὲν ἴσως παρατυχεῖν που τοῦ τηνικαῦτα Πήγασόν τινα, δι' οὗ πτερύξεται εἰς ὄρος, εἴθε ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης. Ἠρκέσθη δὲ ὅμως τῇ φίλῃ ἡμιόνῳ, ἣ καὶ τότε φέρειν αὐτὸν ἔλαχε. Καὶ παραδειγματικῶς προφεύγων, τρυφερὸς ἰδεῖν, εὔυφος τὴν ἀναβολὴν, ἄτριπτος ὅπλοις τὰς χεῖρας, γυμνασίῳ πρέπων, ἀμίαντος αἵματι, εἶχεν ὡσεὶ καὶ κτίλος ἐφεπομένους τοὺς ἅπαντας παρά τι ὀλίγον. Ἦσαν γὰρ ἐν τοσούτῳ πλήθει καὶ μεγάθυμοι ἄνδρες, οἳ καὶ ἀντισταθέντες ἐν τῷ τὸν στρατηγὸν ἄνετα διώκειν ἑαυτὸν εἰς φυγὴν, οἱ μὲν ἔπεσον μακαρίως καὶ εὐγενῶς, οἱ δὲ γενναῖα δράσαντες ἐνδεδώκασιν, ὅπου γε καὶ τὸ πολεμικὸν ἐκεῖνο δόρυ. Καὶ οἱ συνα-

ναβάντες τὴν ἀρχὴν βάρβαροι κατεσείσθησαν ὑπό A τινων ἡμετέρων πολιτῶν, οὔκουν γε στρατιωτῶν. Οἱ δὴ πολῖται καὶ κατὰ κράτος ἀντέσχον, ἕως κυκλωθέντες εἶδον κίνδυνον· οὐ πτυρέντες δείματι πανικῷ τῷ τοῦ Δαυΐδ, ἀλλὰ μεμνημένοι βλάπτειν ἔτι μάλιστα πόλεως, οὗς καὶ ἐκτὸς ὥρμαινον σίνεσθαι, εἴπερ ἀφίεντο. Ὃ δὲ ἐτροχαλώθησαν οὗτοι κύκλωμα, οὐκ ἐκ τῶν ἄνωθεν ἦν, ἀλλὰ τῶν εἰσδραμόντων βαρβάρων ἐκ τῶν ἑῴων πυλῶν· ἃς ὁ στρατηγὸς ἀνεῳγμένας ἔωθεν τοῖς ἐχθροῖς ἐχαρίσατο εἰς παρείσδυσιν ἄπονον, ἐπειδὰν ἐγχειρήσας φυγεῖν ἐπέτρεψε τῷ κατεπανεύοντι συναναφεύγειν εἰς τὴν ἀκρόπολιν, ἐάσαντα τὰς πύλας, αὐτὸν δὴ τὸν ἐκείνου φάναι λόγον, πυρέσσειν, ὡς οἱ ἀκηκοότες διδάσκουσιν.

eos sic circumveniebant, non erant ex his qui partes superiores occupaverant, sed ex barbaris qui accurrerant ex portis orientalibus, quas mane dux reliquerat hostibus apertas quasi ingressum faciliorem daturus, cum fugiendo commendasset, qui comitari abnuebat, ut in arcem fugeret, sinens portas, ut reddantur verba ipsius, inflammari, sicut tradunt qui audierunt.

πς'. Οὕτω δὴ οὖν τοῦ πολεμικοῦ δόρατος ἀναφανέντος ἐπὶ τοῦ τείχους, ἤδη ἐψιλωμένου τῶν ἡμετέρων (λέγω δὴ τοῦ ἑῴου· τὸ γὰρ δυσμικὸν οὐ τοιούτους εἶχε προμάχους· ἀλλὰ τῶν τινες ἐκείνων ἀντεῖχον, ὡς οὐκ ἂν εἴη ἀνδρικώτερον· ὧν ἐν τοῖς μάλιστα Λέων ὁ Κουταλᾶς, καὶ φρενῶν καὶ ῥώμης καὶ ἀνδρίας πλήρης ἀνήρ· ὃς ἕως καὶ περὶ πλήθουσαν ἀγορὰν, τῆς πόλεως ἤδη μεμεστωμένης, ὧν οὐκ ἠθέλομεν, ἀντιστάς, εἶτα πρὸς οὐδενὸς ἔχων ἐπικουρίαν, καθυφῆκε, καὶ εὐτυχῶς γυμνωθεὶς ἐκέρδανεν ἑαυτὸν εὐκλεῶς, τότε μὲν πολλὰ κεκλαυμένος ὑφ' ἡμῶν, ἄρτι δὲ ἐν τοῖς τῶν ἐπαινουμένων πρώτοις τασσόμενος παρά γε ἡμῖν, οἵπερ οἴδαμεν) — τοῦ τοίνυν ὑψοῦ, ὡς ἐῤῥέθη, φανέντος [δόρατος ἐκείνου τῇ συνήθει μετακλίσει καὶ κατακύψει, ὡς εἰ καί τινι κατανεύσει κεφαλῆς ἢ καὶ χειρὸς νεύματι μετακαλουμένου τοὺς ἔξω, βραχύ τι ὥρας μέσον ἦν, καὶ ἡ πόλις πλήρης ἦν τῶν πολεμίων, περιάγοντος Αὐγούστου τετάρτην καὶ εἰκοστὴν ἡμέραν, ἐξότου ἐνέστη πρῶτα μὲν τῶν τοῦ ναυτικοῦ, εἶτα κατὰ συνάφειαν καὶ τοῦ ἱππικοῦ.

86. Cum ita hostilia arma visa fuissent in muro, jam nostris nudato (orientali vero dico; murus enim occidentalis non hujusmodi habebat defensores; sed quidam et illis resistebant, ut fortius non possent; inter quos imprimis erat Leo Cutalas, vir spiritus, fortitudinis et animi plenus; qui postquam restitisset usque ad forum turba plenum, jam urbe redundante his quos abhorrebamus, deinde a nullo auxilium recipiens, cessit felicique sui ipsius desertione seipsum gloriose lucrifecit; tunc quidem multum a nobis defletus, nunc vero inter eos qui laude dignissimi sunt habitus a nobis, qui eum novimus), armis igitur, ut dictum est, visis in superiori parte juxta assuetam invitationem atque inspectionem, quasi capite vel manu eo qui exterius invitassent, vix post dimidiam horam, civitas hostibus erat repleta, die vicesima quarta Augusti, ex quo primum classis apparuit, deinde equitatus qui illi se adjunxerat.

πζ'. Καὶ ἦν ἰδεῖν τὴν ἡμέραν τότε οὐκ ἔθ' ἡμέραν, ἀλλὰ νυκτὶ ἐοικυῖαν, καὶ οἷον παθαινομένην καὶ σκυθρωπάζουσαν, ἐφ' οἷς ἑώρα. Ὁμίχλη γὰρ αὐτὴν βαθεῖα ἐπήχυνεν ὡσεὶ καὶ ἐκ κονιορτοῦ, ὃν ἡ τυφὼς αἴρει ἢ πόδες ζώων, ἅπερ ἀριθμὸς μετρεῖ ἀπειροπληθής· ὡς εἶναι εἰπεῖν, ὀκνεῖν λάμπειν τὸν ἥλιον, οἷς αἱ τῶν ὅπλων ὑπερηύγαζον αὐτὸν λαμπρότητες· παρῳδῆσαι δὲ καὶ ἐκ παλαιᾶς Μούσης « ὀκτωκαίδεκα μὲν πλέεν ἤματα ποντοπορεῦον » τὸ τῆς πόλεως σκάφος, « ἐννεακαιδεκάτῃ δ' ἐφάνη οὔρεα σκιόεντα, » δι' ὧν ὁ τῆς ζωῆς ἡμῖν ἥλιος ἀποτειχιζόμενος, ἐμέλαινε σκιὰν ἐπικαλύψουσαν ἡμᾶς ψαλμικῶς. Οἱ δὲ χθὲς καὶ πρώην ἀλαλαγμοὶ, καὶ αἱ κατὰ πόλεμον βοαὶ, καὶ ὁ ἐντεῦθεν θροῦς οὐκέτ' ἦσαν· ἀλλ' ἀντιστρέψαντα τὸ ψαλμικὸν, οὐκ ἦν ἀλαλαγμὸς ἐν τοῖς ἡμῶν πλήθεσιν. Εἶδες δ' ἂν καὶ ὀρνέων πετομένων κενὸν τὸν ἀέρα, οὐκ οἶδ' εἴτε διὰ τὸ τοῦ ἀέρος στυγνὸν, εἴτε καὶ ὅτι φρικτὸν ἦν καὶ ἐκείνοις τὸ πρᾶγμα Ἡμέραι γοῦν ἱκαναὶ, καὶ οὐδαμοῦ οὔτε στρουθοὶ, οὔτε πέλειαι, οὔτε κόρακες, οἳ τῇ καθ' ἡμᾶς πρώην ἐπεχωρίαζον, οὔτε ἄλλος τις ὄρνις τὸν ἀέρα διενήχοντο, ἀλλ' ἐκτετοπισμένα ἐνέμοντο καὶ ἡμῖν ἄφαντα. Ἀλλὰ τοῦτο μὲν καὶ μετὰ τὴν ἅλωσιν ἐφ' ἱκανὸν, οἷα τοῦ δέους καὶ τοῖς ἀλόγοις παραμένοντος. Ἡμέραι γὰρ ὕστερον συχναὶ, καὶ αἱ μὲν ἄμφοδοι τῆς πόλεως

87. Videre erat diem qui nondum erat dies, sed nocti similis, quasi indignanter doleret ex his quæ videbat. Turbo enim crassus eum condensabat quasi ex pulvere quem vel typhon excitat vel pedes jumentorum, quæ innumera erant; ita ut arbitreris solem lucere dubitare eo quod splendores armorum illum vincerent. Exemplo Musæ veteris dicendum esset « decem et octo quidem dies civitatis navis mare trajecit; decimo nono vero montes umbrosi apparuerunt » quibus sol vitæ nostræ circumvallatus obscuravit umbram quæ obtexit nos, ut ait Psalmista. Jam non audiebantur clamores gaudii, belli vociferationes, deinde multitudinis strepitus quæ heri et nudiustertius resonuerant; sed in alia cantica mutata non erant gaudii clamores in populo nostro. Non videbas etiam aves in aere volantes, nescio, utrum ob difficultatem aeris, an res horribilis etiam illis fuerit; satis multi fuerunt dies quibus nec passeres, nec columbæ, nec corvi jam apud nos habitabant, nec alia avis aera permeabat, sed alias versabantur nobisque invisibiles. At terriculamentum, quod solitum est animalibus, satis diu post expugnationem apud nos permansit. Multi enim deinde fuerunt dies qui-

bus loca vicina civitatis omnis generis seminibus impleta erant, quibus delectantur quædam ex avibus (barbarus scilicet non sine rapina et vastatione vivit); nec unquam descendit volucris. Quod vero esse mirabilius puto, id est, quod pluvia vehementer lapsa, ex illis dissipaverunt hostes, tollentes quidem, huic vero pulchro territorio semina non committentes; ex frumentis item abundantia et magnitudine insignibus, nullum animal aliquid gustavit, sed eligendum illi erat pulvere aut aliquo germine vesci, vel variis plantis quibus vicinitatem contaminaverunt, seu quod, juxta eos qui habitabant, ut fama est, cum antiquo Diomede, Barbaros et ipsi oderant, utpote illis non assuefacti.

88. Hæc autem et alia hujusmodi non sunt rejicienda ut superflua ex historia. Civitas igitur, conculcata sic ab adversariis, passa est omne quod inhæret bello. Nostri autem, non unus, aut alter, sed omnes, non retrospicientes, fugerunt, se subducendo brevi numero, ut diximus, inter quos Boleas, unus ex ordine ecclesiastico, qui, prope triginta secuti necatis, aliis vero allo modo vita orbatis, magno hostium conatu matrem suam terram osculatus est. Hoc est etiam turpitudini Davidi, qui, postquam jurasset fore nunquam ut fugeret, sed potius periret gladio suo, deinde saluti fuga consuluit, sanguine incontaminatus.

89. Fuga vero nostra modo memorata non inordinata fuit; sed fuit ex potestate politica primi ducis, sicut jam diximus; qui, si faciem suam hostibus ostendisset, prout illum hortabantur nobilissimi cum illo fugientes, cito plagam civitatis curasset. Milites quippe hostilis agminis erant fessi, fugientes apprehendendo, prædamque ferendo. In his opus erat homine quodam salvo et integro qui desuper animadvertisset ac significasset, telorum vehementiam Deo retundente. Homo enim his calamitatibus intricatus, ac de semetipso præcipue cogitans, omnia accurate conscribere non poterit, præter quæ sunt maxime opportuna ex his quæ didicit, quibusque multis modis immistus est.

90. Nos igitur cum de arce desperavissemus ob defectum aquæ cujus dux conductor factus est atque necessariam supellectilem, eo quod de illa dividenda providissemus inter nos et eos qui circa nos sunt, ut jam dictum est, nullo modo curabamus de fuga in sanctum Myroblytæ (1) sepulcrum nec in alia loca sacra (non enim latebat nos, quomodo ex omnibus qui in illa confugerant, multis vita erepta fuisset vulneribus ac suffocatione), domique manentes, Psalmista qui cantat « viventes sancto servire, » aspectus et auditus malorum sine numero, admiratione nos vincunt, quomodo restitimus, extremam barbam, ut aiunt, vellentes, procedimus inter mille gladios districtos crepitantesque quemadmodum campus spicis frequens; propulsi, percussi pugnis, contumeliis affecti quales nescit hominum mos, salutarem passionem hæc judica-

(1) Demetrii.

ἐπλήθων σπορίμων παντοδαπῶν, οἷς χαίρουσιν οἱ τῶν ὀρνίθων σπερμοφάγοι (τὸ βάρβαρον γὰρ οὐκ ἀνίει ἁρπάζον καὶ κατακενοῦν)· ὄρνις δέ ποθεν οὐ κατέβαινε. Τούτου δὲ, οἶμαι, καινότερον ἐκεῖνο ἦν, ὅτι περ, ὑετοῦ καταῤῥαγέντος, καὶ ἐξ ὧν οἱ ἐχθροὶ ἐσκόρπιζον, ἀροῦντες μὲν, οὐκουν σπείροντες δὲ τὸ καλὸν ὅλον ἄστυ, λῃῶν ὥσπερ ἀναφυέντων συχνῶν, καὶ εἰς μῆκος ἐπιδεδωκότων, οὐδὲν ζῶον ποηφάγον ἐκεῖθεν ἐκέρδανέ τι, ἀλλ' εἶχεν αἵρεσιν, κόνεως ἐρέπτεσθαι, ἥπερ ἐκ τῶν βεβλαστηκότων φαγεῖν· ὡς ἢ πεφαρμαγμένων, οἷς τὸ περιέχον μεμίαντο, ἢ καὶ ὅτι κατὰ τοὺς ᾠκειωμένους, ὡς λόγος, τῷ πάλαι Διομήδει συνεμίσουν τὸ βάρβαρον καὶ αὐτοὶ, οἷα μὴ ἐθάδες ἐκείνων.

πη'. Καὶ τοιοῦτον μὲν καὶ τοῦτο, παραῤῥιφὲν οὐ περιττῶς εἰς συγγραφήν. Ἡ δὲ πόλις, εἰσπηδησάντων τῶν ἀντιμάχων, ἔπασχεν, ὅσα φιλεῖ δρᾶν ἄγριος πόλεμος. Καὶ οἱ μὲν ἡμέτεροι, οὐχ ὁ μὲν, ὁ δ' οὔ, ἀλλὰ πάντες ἔφευγον ἀμεταστρεπτὶ καθ' ὑπεξαίρεσιν εὐαριθμήτων τινῶν, ὅπερ ἔφαμεν· ἐν οἷς καὶ τις Βολέας τῶν τῆς ἐκκλησιαστικῆς ξυνοικίας, ὃς ἐγγὺς ἐς τριάκοντα τοὺς μὲν ἀξίνῃ διχάσας, τοὺς δὲ καὶ ἄλλως εἰς τὸ ζῆν ἀχρειώσας πολλῇ σπουδῇ τῶν πολεμίων, τὴν μητέρα γῆν ἠσπάσατο. Αἰσχύνη καὶ αὐτὸ τοῦ Δαυὶδ, ὃς μὴ ἂν ποτε φυγεῖν ἀπομνὺς, ἀλλ' ἐπὶ τῷ αὐτοῦ ξίφει πεσεῖν, εἶτα προὐτράπετο σωθῆναι, λύθρῳ ἄχραντος.

πθ'. Καὶ ἦν ἡ καθιστορουμένη φυγὴ οὐκ ἀσύντακτος, ἀλλ' ἐνδόντος ἀρχᾶς, ὡς προεκτέθειται, τοῦ κορυφαίου στρατηγοῦ· ὅς, εἴπερ ἔδειξε πρόσωπον τοῖς ἐχθροῖς, ὡς ἐνεκελεύοντο οἱ τῶν συμφευγόντων γενναιότεροι, συνούλωσεν ἂν ταχὺ τὸ τραῦμα τῆς πόλεως. Οἱ δὲ τοῦ πολεμίου στίφους ἔκαμνον, καὶ ῥίπτοντες τοὺς φεύγοντας, καὶ σαττόμενοι λάφυρα. Καὶ ἐχρῆν μὲν ἐν τούτοις ἄβλητόν τινα καὶ ἀνούτατον ἐκ μετεώρου ποθὲν τὴν μάχην σκέπτεσθαι, καὶ παρασημαίνεσθαι, τοῦ Θεοῦ βελέων ἀπερυκότος ἐρωήν. Ἄνθρωπος γὰρ ἐνδεθεὶς τοιούτῳ κακῷ, πρὸς ἑαυτῷ ταμάλιστα τὸν νοῦν ἔχων, οὐκ ἂν σχοίη ἀκριβῶς τὸ πᾶν συγγράψασθαι, πλὴν εἰς ὅσα τὰ καίρια, ὧν τε ἔμαθε, καὶ οἷς αὐτὸς πολυτρόπως ἐπέστησεν.

ι'. Ἡμεῖς οὖν τῆς μὲν ἀκροπόλεως ἀπογνόντες διὰ τὴν τοῦ ἐκεῖσε ὕδατος ἐκδημίαν, ἧς ὁδηγὸς ὁ στρατηγὸς γέγονε, καὶ τὴν ἀναγκαίαν ἀποσκευὴν, ἣν προεμηθευσάμεθα ἡμῶν τε αὐτῶν χάριν καὶ τῶν περὶ ἡμᾶς διανειμάμενοι, ὡς καὶ προπέφρασται, μερίμνης δὲ θέμενοι ἔξω καὶ τὴν εἰς τὸν ἅγιον τάφον τοῦ Μυροβλύτου καταφυγὴν, ἔτι δὲ καὶ τὴν εἰς ἑτέρους θείους ναοὺς (οὐ γὰρ δήπουθεν ἐλάνθανεν ἡμᾶς, ὡς πάντων τῶν φευγόντων ἐν τοῖς τοιούτοις ῥυΐσκομένων, πολλοὶ παρασυρήσονται τοῦ ζῆν ὠθισμοῖς, καὶ τοῖς ἐντεῦθεν πνιγμοῖς), καὶ τῷ οἴκῳ παραμείναντες, ὃς περιᾴδεται ζῶντα ἐκθεραπεύειν τὸν ἅγιον, καὶ πολλὰ καὶ μυρία κακὰ καὶ τεθεαμένοι καὶ πεπονθότες, ἐφ' οἷς θαῦμα περίεισιν ἡμᾶς, ὅπως ἀντέσχομεν, τέλος τοῦ πώγωνος, ὃ φασιν, ἑλκυσθέντες, ἀπηγόμεθα διὰ ξιφῶν μυρίων ἀνατεινομένων καὶ φρισσόντων ὡσεὶ καὶ λῆϊον, πεπυκνωμένον ἀσταχύεσι·

καὶ ὠθούμενοι μὲν καὶ κονδυλιζόμενοι, καὶ ὕβρεις οὐ τὰς ἐν ἔθει μανθάνοντες, μακάριον τὸ πάθος ἐκρίνομεν, εὐχόμενοι ἐν τοιούτοις εἶναι. Ὅτε δὲ καὶ σπάθη καθ' ἡμῶν ἐγαυροῦτο, καὶ παραξιφὶς ἐπλαγίαζεν, ὡς εἰς σπλάγχνα βάψουσα, καὶ δοράτια τὰ μὲν ἔνθεν, τὰ δ' ἐκεῖθεν τῶν πλευρῶν εὐθύνοντο ἀπειλητικῶς, ἀλλ' ἐνταῦθα εὐχαὶ καὶ μόναι ἀντέπραττον βύθιαι. Προενεγκεῖν γὰρ αὐτὰς πῶς ποτε ἦν;

Κα'. Καὶ ἕως μὲν καὶ τοῦ πολιτικοῦ καθ' ἡμᾶς ἱπποδρόμου τοιαύτη διάθεσις ἡμᾶς εὔθυνεν. Ἐκεῖ δὲ τὸν ἤδη ἀποτεθέντα εἰς μνήμην Σιφάντον εὑρόντες, εὔιππον ἑστηκότα, μετά γε καὶ τοῦ Μαυροζώμη, καὶ σκεπτόμενον, τί ἂν ἕλοι, μεθειλκύσθημεν ὑπ' αὐτοῦ, λόγῳ μὲν τῷ μὴ ἐπὶ πλέον κόπον σχεῖν τὸν ἀρχιεπίσκοπον, ἀληθῶς δὲ, ἵνα δευτέρων χειρόνων πειρασώμεθα. Βραχὺ γὰρ ἐκεῖσε τὰ γόνατα κάμψαντες ἐν τινι μικροκαλύβῃ καὶ ξηροῦ ἄρτου ἀποδακόντες, ἵνα ὕδατος ἐμπιώμεθα (ἦν γὰρ ἡ καρδία ἡμῶν καιομένη ἐν ἡμῖν, ὡς καὶ πάντα τὰ ἐντὸς), εἶτα κατὰ τιμὴν μυαρίου κελευσθέντες ἐπιβῆναι, (μὴ γὰρ οὐ τοιοῦτον ἐκεῖνο τὸ ἱππαρίδιον;) πεισθέντες τῷ ἐπιτάξαντι, καὶ ἀνατεθέντες εἰς ἐκεῖνο, ἠγόμεθα, ἔνθα τὸ ναύσταθμον, μετὰ καὶ γωρυτοῦ καὶ φαρέτρας, ἅπερ ἡ σελλὶς ἔτυχε φέρουσα.

Κβ'. Ὦ μοι τῶν ἐντεῦθεν κακῶν! Ὡς γὰρ μὴ ἀρκεσάντων τῶν νεκρῶν, δι' ὧν πεζεύων ὥδευσα θερμοῖς ἀτμιζόντων αἵμασι, διὰ σωρείας ἑτέρων ἱππότης περιηγόμην, ὧν οἱ πλείους κατεστρωμένοι πρὸ τοῦ τείχους ἔκειντο οὕτω πεπυκνωμένοι, ὡς τὸ ἱππίδιον ἢ μὴ ἔχειν, ὅποι γῆς θήσει πόδα, ἢ ἀλλὰ μεταξὺ τῶν τε προσθίων ποδῶν δύο ἢ τρεῖς ἔχειν ὑποκειμένους νεκρούς. Τῆς δὲ δυσκολίας τῆς τῶν πυλῶν ἐξόδου ἐν οὕτω μυρίοις Ἀγριολατίνοις, καὶ ὅσα δὲ ἔξω ἕως καὶ εἰς τοὺς λιμένας, ἐγὼ μὲν ἐδάκρυσα, καὶ οἱ βλέποντες Χριστιανοί. Οὐκ ἂν δὲ αὐτὰ ἐκθήσομαι, ἵνα μὴ, ἐν οἷς ἐπιτέμνειν ἐθέλω, περιττολογῶ.

Κγ'. Ταῦτα καὶ μόνον κεφαλαιώσομαι, ὅτι τέσσαρας χρυσίνων χιλιάδας ἐγκρατῶς ἐζητήθημεν, οἱ μηδὲ ψαμμίων ἢ χοὸς δράκα, ἢ τὸ καθομιλούμενον σίελον ἐπὶ στόματος ἔχοντες· ἀκούσαντες καὶ ὀλίγα ταῦτα εἶναι ἐξ ἀνθρώπου, ὃς ἀρχιεπισκοπὴν περιέπει, κεντηνάρια ἓς ἑκατὸν (ὦ πλούτου!) ἔτους ἑκάστου δωροφοροῦσαν αὐτῷ· καὶ ὅτι ἐν τῇ τοῦ Σιφάντου νηΐ, ὡς ἦν ἐγχωροῦν, ἀναπαυσάμενοι τῇ καραδοκίᾳ τῶν χιλιάδων, ἃς ἡμῖν ἐπέγραψαν οἱ μεγαλοπρεπεῖς πειραταί· αὐτὴ γὰρ ἡμῖν κατάλυμα πρῶτον εὐτυχήθη, αἰχμαλώτων γέμουσα κατὰ τὰς λοιπὰς ἁπάσας· οἳ καὶ γοᾶσθαι ἡμᾶς ὀργῶντες, αὐτὸ μὲν ποιεῖν οὐκ εἶχον τόλμαν, ὠσίουν δὲ τὸ πένθος προσώπου συναγωγῇ πρὸς σκυθρωπότητα, καὶ δυσωπίᾳ ἐκθλιβούσῃ δάκρυα, ὁποίοις καὶ ἡμεῖς, ὁ κατ' ἐκείνους δυστυχὴς φόρτος, αὐτοὺς ἠμειβόμεθα. Οὐδὲ γὰρ οὐδὲ προσφωνῆσαι ἐξῆν.

Κδ'. Ἐν τοίνυν τῇ τοιαύτῃ νηΐ τότε καταπαύσαντες, τῇ ἐπαύριον μετὰ τιμῆς ὁμοίας ἀνήχθημεν εἰς τὸν Κομνηνὸν Ἀλέξιον· ἔνθα θῆρα εἰκονομάχον, Γελίελμόν τινα, ὃς ἐκ τῆς Νικαέων διέδρα τὸν Ἀνδρόνικον, ὁ τόπος ἡμῖν ἐξέφηνεν, ἄγριον ἐκεῖνον, καὶ οἷον θανατοῦν, καὶ πρωτοῦ ἐμφαγεῖν· ὃς οἷά τις

A mus, et ut in istis simus supplicantes. Cum vero acinaces adversum nos sæviret gladiusque trucidaret, sicut in visceribus se abluentes, jacula hinc et illinc adversus latera dirigebantur minaciter; tuncque preces tantum humiles avertebant; at quomodo tunc deprecari poteramus?

91. Et hæc usque ad Hippodromum procedentes passi sumus. Tunc cum invenissemus cum Maurozoma Siphantum, qui jam in memoriam revocatus est, in equo stantem, atque circumspicientem quid facere deberet, abducti sumus ab eo, verbo quidem dato ne archiepiscopus amplius pateretur, revera autem ut nova prioribus
B pejora experiremur. Brevi enim genua flectentes in quadam parva casa sedentes siccumque panem mordentes, ut aquam biberemus (cor enim nostrum ardens erat in nobis sicut et alia interiora), deinde reverentia ordinis invitati ad conscendendum (nonne hic erat ille caballus?) jubenti parentes, atque illi insidentes ducebamur jam in portum, inter pharetras quas forte carina ferebat.

92. Heu! quot et quanta mala deinde vidimus! Quasi non satis fuissent mortui per quos ambulaveram pedes, sanguine calido fumante, equo occurrebam aliorum acervis, quorum plerique ante muros jacebant tam densi ut caballus non haberet ubi poneret pedes, sed inter anteriores pedes duos
C vel tres mortuos haberet. Difficilis fuga e portis inter tot millia ferocium Latinorum, omniaque usque ad portum tam tristia fuerunt ut ego lacrymarem ac spectatores Christiani. Hæc vero non exponam ne ea quæ abbreviare volo longius protraham.

93. Hæc tantum summatim dicemus, scilicet quatuor millibus aureorum præbere jubebamur, nos qui nec arenam in manu nec salivam in ore habebamus; cum audivissemus aliqua pauca esse ex homine qui archiepiscopatum quotannis obibat, nos illis daturos centum quinquaginta aureos (o divitiæ!) promisimus; in navi quoque Siphanti, ut licebat, quieturi exspectatione aureorum quos
D nobis ascripserunt magnifici piratæ. Hæc navis enim fuit nobis primum bonum hospitium omni cætero spatio captivis repleto; ut nos querebamur hi valde cupiebant, hoc facere non audentes; testabantur vero luctum suum contractione vultus morositatem indicante, demissione oculorum lacrymas velante, in quibus et nos, illorum infortunii socii, illos imitabamur. Nullo modo enim licebat palam conqueri.

94. In hac ergo navi cum quievissemus, die postera ad Comnenum Alexium honorifice adducti sumus, ubi quemdam Gulielmum, iconoclasten ferocem obvium habuimus meditantem qui Nicæa Andronicum deseruerat, quomodo interficeret atque ad devorandum paratum. Similis erat

Erinnydi tragicæ, ut illa habens faces ad inquirendum nos (jam enim erat nox), cumque invenisset, ubi humi jaceremus, non ob somnum (qui jam pluribus abhinc noctibus avolaverat), sed quod non haberemus ubi sederemus vel staremus, jam dudum malis defessi, barbarico clamore ex frequenti imprecabatur pœnamque paratam illi qui nos non interficeret minabatur; præsente etiam quodam bono fratre ex quo hanc feram furere contra sacras imagines didicimus. Cum interrogaremus quid causæ nobis esset mortis, primum iratus magis, judicium confirmabat, quod, si in principio nobis adfuisset, caput nunc non haberemus. Deinde ut justificaret contra nos iram, suam exhauriebat sapientiam nos accusando infidelitatis erga Deum, cum erga Andronicum fideles essemus; ad hæc nos dissimulantes, variaque dicentes et clamantes huic insano (charum enim nobis caput nostrum), tamen ferocem adeo delinivimus, ut, postquam nos complexatus esset manumque esset osculatus, discederet.

95. Ita ergo agitatam noctem habuimus modo facibus, modo clamoribus illius; nunc autem inter jacentes captivos Comneni, cum ibi paucos dies consumpsissemus, ex misericordia cibum recipientes, atque ex quodam illius nummos æreos, quorum donum tunc comparatum fuit thesauris Crœsi (donatoris misereatur Deus!); deinde ad contos, ut magis usuvenit, ad comites (non enim barbaras voces sustinere possum), conversi sumus.

96. Summatim adhuc referemus nos, postquam multa ibi passi fuissemus, ægre post aliquos dies domo Sancti restitutos fuisse; occurrentibusque ibi tribubus Latinis locaque aliis hominibus repleta videntes, superioribus inferioribusque partibus jam occupatis, ad hortulum concessisse; primum tradentes nos delectationi brevissimi balnei humi jaculisse, puro gramine supposito; octo dies consumpsisse, in quibus panem purum non vidimus, sed panibus subcinericiis ex furfure confectis ventris aviditatem satiavimus; post hos dies non vino usos fuisse, sed paululum vini fucati et quasi guttatim bibisse, panemque fermentatum comedisse ac aliquot alia; nec hortulum fuisse nobis portum adversus tumultus Latinicos. Si quem juvarent arbores imprimisque feulneæ, quarum fructus immaturus insalubris erat his qui crudis vescuntur, si item areolæ e quibus quotquot deliciæ enascuntur, alia cura est his qui maxime hujusmodi delectantur. Si tapetem pedum conculcarent, nihil erat dicendum quasi impatibilis fuisset qui sustinebat. Simul enim sedebamus et pauperes commensales, panes ex furfure pro cibo sumentes. Male educati parati ad vellendum e terra quæ semper juvant eos qui horto perfruuntur, nobis idem facturi erant; accedentes, deinde revertentes, circa sedem se spoliantes, dejectionum causa se demittentes appropinquando nobis nil nisi

A Ἐρινὺς τραγῳδικὴ ἔχων κατ' ἐκείνην, καὶ δᾷδας ἐρεβοδιφήσας ἡμᾶς (ἦν γὰρ ἤδη νύξ), καὶ εὑρὼν, ἔνθα γῆ; ἐκοιταζόμεθα, οὐ πρὸς ὕπνον (ἐπτερύξατο γὰρ καὶ αὐτὸς ἐξ ἡμῶν ἐπὶ νύκτας ἤδη πολλὰς), ἀλλ' ὅτι μὴ εἴχομεν ἢ καθῆσθαι ἢ ἱστασθαι, οἷα πολυημέροις καταπεπονημένοι κακοῖς, ἀνάθεμα πρὸς βοὴν συχνὰ ἐβαρβάριζε κατά τι κακὸν φροίμιον τῷ μὴ φονεύσαντι ἡμᾶς· παρόντος καὶ ἀγαθοῦ τινος ἀδελφοῦ αὐτῷ, ἐξ οὗ κατὰ τῶν σεπτῶν εἰκόνων τὸν ὕῆρα ἐράθομεν μαίνεσθαι. Ὡς δὲ ἡμεῖς ἠρόμεθα, τί τὸ αἴτιον τοῦ φονευτέους ἡμᾶς εἶναι, πρῶτα μὲν θυμωθεὶς αὐτὸς εἰς πλέον, ἐπέκρινεν, ὡς, εἴπερ αὐτὸς τὴν ἀρχὴν ἡμῖν περιέτυχεν, οὐκ ἂν ἄρτι κεφαλὴν εἴχομεν· εἶτα καὶ αἰτιολογήσας τὸν καθ' ἡμῶν θυμὸν, ἐπέραινε τὴν αὐτοῦ σοφίαν εἰς τὸ ἀπίστους ἡμᾶς B εἶναι Θεῷ, οἷα τῷ Ἀνδρονίκῳ πιστούς· πρὸς ἅπερ ἡμεῖς ὑπουλευσάμενοι, καὶ ποικίλα λαλήσαντες, ἢ λαλαγήσαντες, πρὸς ἄνδρα μαινόμενον (ἠγαπῶμεν γὰρ ἔχειν κεφαλὴν), μόλις ἐξημερώσαμεν τὸν ἀτίθασσον, ὡς καὶ ἀσπάσασθαι ἡμᾶς, καὶ εἰς χεῖρα φιλήσαντα οἴχεσθαι.

ιε'. Καὶοὕτως ἡμεῖς τε νύκτα καταθετικὴν εὕρομεν, τῶν ἐκείνου δᾴδων καὶ λάλων ἀπαλλαγέντες χειλέων, καὶ οἱ συγκατεστρωμένοι αἰχμάλωτοι ἐς Κομνηνοῦ, καὶ διαγαγόντες ἐκεῖ μετὰ τῶν συναιχμαλώτων ἡμέρας ὀλίγας, καί τι καὶ ἐλεηθέντες εἰς τροφὴν, καὶ δὲ ὑπό τινος τῶν ἐκείνου καὶ εἰς χάλκεα κέρματα, ὧν ἡ δόσις ἡμῖν τηνικαῦτα εἰς θησαυροὺς ἀναγράφη Κροίσου (καὶ ἐλεήσαι ὁ Θεὸς ἐκεῖνον τὸν ἄνθρωπον) εἶτα καὶ εἰς τοὺς κόντους, εἰπεῖν δὲ συνηθέστερον, κόμητας (μισῶ γὰρ τὸ ἀκράτως βάρβαρον) ἐκομίσθημεν

C ις'. Ἔτι κεφαλαιώσομαι, καὶὅτι ἀεθλεύσαντες μακρὰ καὶ ἐκεῖ, μόλις μετὰ καὶ ἑτέρας ἡμέρας μετρίας τῷ τοῦ ἁγίου οἴκῳ ἀποκατέστημεν· καὶ ὅτι εὑρόντες ἐκεῖ φῦλα Λατινικὰ, καὶ ἑτεροίων δὲ ἀνθρώπων γέμοντα ἰδόντες, τά τε ἄνω τά τε κάτω ἐξ ἀνάγκης ἐγενόμεθα τοῦ κατὰ τὸν οἶκον κηπιδίου· καὶ ἐπιδόντες ἑαυτοὺς πεσσουλίῳ τοῦ ἐκεῖσε βραχυτάτου λοετροῦ, ἐκείμεθα, χόρτον ἄμικτον ὑποβεβλημένοι· καὶ ὅτι ὀκτὼ μετρήσαντες ἡμέρας, ἐν αἷς ἄρτον ἀκραιφνῆ οὐδὲ εἴδομεν, ἀλλὰ τοῖς ἐκ πιτύρων ἐγκρυφίαις ἐχρεωκοποῦμεν τὸ τῆς γαστρὸς λίχνον· καὶ οἴνου δὲ μηδὲ μύρισμα εὐτυχήσαντες μετ' αὐτὰς, καὶ οἴνου ψευδωνύμου ἠρέμα καὶ ὡς ἀληθῶς κατὰ στράγγα μετέσχομεν, καὶ ἄρτου δὲ ζυμίτου, καὶ D ἄλλων δέ τινων· καὶ ὅτι οὐδὲ τὸ κηπίον εἶχε λιμὴν ἡμῖν γενέσθαι τοῦ Λατινικοῦ κλύδωνος. Καὶ εἰ μὲν δένδροις ἠχρειοῦτο, καὶ μάλιστα συκαῖς, ὧν καὶ ἄωρος ὁ καρπὸς παρηνομεῖτο τοῖς ὠμησταῖς εἰς ἔμβρωμα, ἔτι δὲ καὶ πρασιαῖς, ἃ δὴ φίλτατα ἡμῖν ἔφυσαν, ἄλλη τοῦτο λύπη τοῖς γε φιλοτοιούτοις. Ὅτε δὲ καὶ τὴν ὑποποδιαίαν ἠχρείουν τράπεζαν, ἀλλ' ἐκεῖνο οὐκ ἔχω φράσαι, ὅπως ἂν φέροι τις ἀπαθῶς. Ἐκαθήμεθα μὲν γὰρ ὁμιλαδὸν οἱ πτωχοὶ σύσσιτοι, τοὺς πιτυρίας προβεβλημένοι πρὸς τροφήν. Οἱ δὲ ἀπαίδευτοι ἁφέντες κείρειν τὰ ἐκ τῆς γῆς, οἷς ἔχαιρον ἐμφιλοχωροῦντες ἀεὶ τῷ κήπῳ, ἐσκευάζοντο καθ' ἡμῶν· καὶ ἐγγίσαντες, εἶτα στραφέντες, καὶ τὰ περὶ τὴν ἕδραν γυμνώσαντες, καὶ

εἰς ἔκκρισιν ὑφιζήσαντες, κατεστοχάζοντο ἐξ ἐναντίας ἡμῶν ἀποκοντοῦν τὰ περιττὰ τῆς γαστρὸς, ῥυΐσκόμενα καθ' ὕδωρ διὰ τὰς ὀχετηγοὺς σταφυλάς. Καὶ ἐποίουν οὕτω. Καὶ οἱ μὲν μεθ' ἡμῶν βδελυττόμενοι, ὡς ἔδει, τὸ μυσαρὸν, διερρήγνυντο θυμῷ, καὶ κατηκονῶντο ἀτίμως ἀπαγαγεῖν τοὺς (εἰ χρὴ Ἑλληνικῶς προσρηθῆναι) Ὀζόλας. Ἡμεῖς δὲ ἐπείχομεν τοῦ ἔργου, κρίνοντες, ὡς οἱ ἁμαρτιῶν βορβόροις ἐγκαλινδούμενοι καὶ τοιούτων ἀποβαίνουσιν ὀδμῶν ἄξιοι.

A lavare ventrem cogitabant, aquam dimittentes ad rivulos efformandos. Sic agebant. Qui erant nobiscum exsecrantes, ut merito, hanc immunditiam, indignationis impotentes erant, ac se parabant ad ignominiose ejiciendos hos (si hellenice dicendum) Ozolas (olidos). Nos vero retinebamus eos, persuasum habentes, qui se in cœno peccatorum volutaverunt hujusmodi odoribus dignos esse.

ιζ'. Προσθήσω ταῖς κεφαλαιώσεσι ταύταις καὶ, ὡς ἡ ξηρὰ κοίτη, ἐπὶ πλέον παραμείνασα, ὀψέ ποτε ὑπὸ θεοφιλῶν ἐξεθεραπεύθη ἀνδρῶν, ὥσπερ καὶ ἡ γυμνιτεία, ὧν οὐχ ἡμεῖς δαψιλῶς εἴχομεν μόνοι, ἀλλὰ καὶ πάντες οἱ μεθ' ἡμῶν· καὶ ὅτι καὶ ἀπὸ τῶν ἐχθρῶν παρηγάγομέν τι κέρδους, αἰμύλα κωτίλαντες καὶ βαθέα· ὧν οὐκ ἂν ὤκνησέ τις μεμνῆσθαι διὰ τὸ ὑπογλάφυρον, εἴπερ ἦν καιρὸς, ἐνταῦθα περιηγηθῆναι καὶ αὐτά. Καὶ ἀφαίρεμα μέν τι τῶν ἐξ ἡμῶν (ἡμίονον θετέον εἰπεῖν, ἢ βίβλον μίαν γοῦν, ἢ στρῶμα, ἢ ἄλλο τι τῶν ἡμετέρων) ἐκσπάσαι τοῦ κατ' αὐτοὺς χάους οὐκ ἔσχομεν. Χρυσίνους δὲ πεντήκοντα ἐπορισάμεθα, οὐ πάντη φορμίσαντες ἀδώρητα· ὅθεν ἡμῖν ἡσυχαία τις ἀνάστασις τοῦ κατὰ παντελῆ πτωχείαν γέγονε πτώματος τοῦ Μυροβλύτου, καὶ ἀλλοίαν ἐπίῤῥοιαν παντοίαν πλημμύροντος, καθὰ καὶ ἐξ ὠκεανοῦ τινος· ἀφ' οὗ καὶ ἡμεῖς ἐζήσαμεν, καὶ τὸ τῆς πόλεως δὲ ἅπαν περιλειπόμενον. Οὐκ ἂν γάρ τις ματαιωθείη, καὶ εἰς Ἰουδαϊκὴν ἐκκυλισθείη ἀχαριστίαν, ὡς τολμῆσαι προενεγκεῖν τῶν χειλέων, ἀκερδῆς ἐκ τοῦ Μυροβλύτου ἀπεκβαίνειν τά τε εἰς τροφὴν, καὶ λοιπὰ δέ τινα.

97. His summatim dictis adhuc addam, velut alvus quæ postquam diu sicca remanserat, postea aliquando a sanctis hominibus sanata est; velut etiam milites armaturæ levis quos non nos soli plurimos habemus, sed etiam omnes nobiscum, nos ex hostibus aliquid lucri reportasse gravia leniter dicendo, quæ neminem pigebit reminisci ob luxum dicendi, et etiam, si tempus adest, illa narrare. Quoad illa quæ a nobis auferri poterant (mulas ponendus esset, vel unus liber, vel stratum, vel aliquid nostrorum), nihil insignis pretii habebamus. Quinquaginta nummos aureos fueramus largiti, nec omnino gratis fides moveramus; et ad pauperatis levamen contigit feliciter Myroblytæ reviviscens scaturigo, velut e quodam oceano fluens, unde nos et quod reliquum erat civitatis sustentati sumus. In vanitatem enim quis nonne recidisset et in Judaicam duritiam, si labiis ausus esset dicere, se sine fructu a Myroblyta discedere quoad cibum, ac cætera?

ιη'. Καὶ ταῦτα μὲν ἡμῖν παρεκβεβάσθω συμμέτρως, καὶ οὐδὲ πάνυ ἔξω τοῦ δέοντος. Οἱ δὲ βάρβαροι πληρώσαντες τὴν πόλιν ὅλην, ἐξ αὐτῶν τῶν ἑῴων πυλῶν ἀρξάμενοι, ἐθέριζον τοὺς καθ' ἡμᾶς· καὶ συχνὰ ταῦτα δράγματα ῥίπτοντες, σωροὺς ἐστοίβαζον, ἐξ ὧν ᾅδης φιλεῖ σιτούμενος. Καὶ οἱ μὲν ἐπὶ τῶν ἀμφόδων φεύγοντες ἔπιπτον περὶ αὐτὰς, καὶ ἅμα ἐγυμνοῦντο σκυλευόμενοι· καὶ οὕτως αἱ ἀγυιαὶ εἰς οἰκτρὰ ἐσχεδιάζοντο πολυάνδρια, ἡλίου ἐφορῶντος, ἃ μὴ ἔπρεπεν. Οἱ δὲ ἐν ταῖς οἰκίαις παρέμενον αὐταῖς εἰς ἀδιεξόδευτον· καὶ οὐκ ἦν εὑρέσθαι οἰκίαν, ἣν οἰκῶν ἄνθρωπος ἠλεήθη, πλὴν εἰ μὴ ἄρα πλῆθος εἶχεν ὁ οἶκος. Ἐκείνου γὰρ οἱ μέν τινες ἔπιπτον ἔσω, οἷς καὶ ἦσαν αἱ οἰκίαι αὐτῶν τάφοι αὐτῶν, παραθεῖναι τὸ ψαλλόμενον· οἱ δὲ διεκχυθέντες εἰς φυγὴν, τῇ τοῦ πολέμου τύχῃ ἐπεδίδοντο. Καὶ τέως μὲν ἁπλοῖ ἔκειντο οἱ ῥιπτόμενοι· μικρὸν δὲ ὅσον τῶν πολεμίων ῥαισάντων τῆς ἄγαν ἐντρεχείας καὶ ὑποπαιζόντων πικρότερον, κατὰ γαίας, ὅ δὴ λέγεται, κωφῆς καὶ ἑτεροῖα νεκριμαῖα ἐπέκειντο. Καὶ ὁ μέν τις νεκρὸς ἄνθρωπος ὄνῳ κειμένῳ συνεδυάζετο· ἕτερος δὲ κύνα εἶχε συμπαρακείμενον. Καὶ τούτων τὰ πλείω καταπεπαιγμένα. Ἦσαν, ὡς εἰς διάθεσιν συμπλοκῆς καὶ φιλήματος Ἄλλος ὁμοῦ ἦν αἰλούρῳ κατοικιδίῳ. Οὐδὲ τοιούτων γὰρ τὸ βάρβαρον ἐφείδοντο, καὶ μάλιστα κυναρίων ὡς καθυλακτούντων καὶ ἐπιτρεχόντων· διὸ καὶ αὐτῶν

98. Hoc quidem dicis causa memorentur, non omnino tamen immerito. Cum vero Barbari omnem civitatem replessent, a portis ipsis Orientalibus incipientes, messuerunt nostros, aliosque manipulos multos jacientes, acervos struxerunt quibus infernus amat vesci. Qui ergo in compita fugerant, in illis cadebant spoliaque eorum qui nudi derelicti erant auferebantur; sic viæ in tristia cœmeteria subito mutatæ sunt, quod sol nunquam antea inspexerat. Qui vero in habitationibus remanebant, ex illis jam exire nequibant; nec ulla habitatio inveniebatur, cujus habitatori parcitum fuisset, nisi multi non fuissent illic. Illius enim quidam intus peribant, quibus domus suæ ipsorum sepulcra flebant, ut in Psalmis; qui vero in fugam conversi fuerant, fortunæ belli traditi erant. Hucusque jacebant simpliciter prostrati; pauci ex hostibus ardorem nimium temperantes, crudelius illudebant, et in terra, quod quidem dicitur, muta cadavera alterius generis jacebant. Quidam mortuus asino jacenti jungebatur; alter canem comitem habebat; pleraque horum ex ludo facta fuerant velut in dispositionem amplexus et osculi. Alius simul erat cum fele sua. Illis enim non parcebat Barbarus, atque imprimis catulis latrantibus et accurrentibus, unde illis civitas nostra caruit. Si quis alicubi superesset, ad hominem Romanum latrans accurrebat; coram La-

tino vero recedebat gannicndo ; noverat enim ex illis qui mali essent. Erat autem fama sparsa ut de ranis tacentibus in Seripho, deque hujusmodi quibusdam cicadis Italiæ, ita apud nos de canibus mutis. εἶχε παροιμιάσασθαί τις τότε κατὰ τοὺς ἐν Σερίφῳ σιγῶντας βατράχους καὶ τινας τοιούτους; Ἰταλοὺς τέττιγας, οὕτω καὶ κύνας ἀφώνους τοὺς παρ' ἡμῖν.

A ἡ καθ' ἡμᾶς πόλις ἐσπάνισεν. Εἴ τι δέ που καὶ περιλέλειπτο, ἀνδρὸς μὲν Ῥωμαίου κατεβάδισεν ἂν καὶ κατέδραμε· Λατίνῳ δὲ ὑπεξεχωρει κνυζώμενον. Κατέγνω γὰρ καὶ τὰ τοιαῦτα οἱ κακοῦ ἦσαν. Καὶ

99. Direptiones per vias et domos in novum modum prælii, non vero bonam patientiam referet quis; at templa divina violari hoc divina pugna brevi judicabitur. Alii post alios currentes barbari, omnis generis malum faciebant atque in vindictam Deum provocabant. Quam multos viros sacros, vestibus sacris quasi lorica indutos feriebant plerosque ad mortem, alios quidem in ipso pulpito sacro, alios vero extra templa, quos forte invenissent coram Deo sicarii, omnes etiam laicos quorum ora resonabant voce, « Kyrie, eleison » plectebant capitibus quærendo ironice quid esset « Kyrie eleison, » ac ridendo. Mulieres venerabiles in templis depictæ ad salacitatem, deque castitate vexatæ. Ecce eas, legantor de causis, aliæ matrimonio alligatæ, aliæ ob virginitatem Deo dicatæ, aliæ sponsæ Dei. Si una tantum ex illis depingeretur, forte minus esset malum. Quæ sunt vero communes in hujusmodi, ut quidam diceret, anus, non luctum condignum invenirent.

ιθ'. Καὶ ἀμφόδους μὲν κατατρέχεσθαι καὶ οἰκίας, οὐκ εὖ πάσχειν οὐκ ἂν εἰς μάχης καινοπράγημα θείη τις· θείους δὲ ναοὺς τυραννιεῖσθαι, ἀλλὰ τοῦτο θεομαχίᾳ κρίνοιτ' ἂν ἀγχίθυρον. Εἰστρέχοντες γὰρ καὶ εἰς αὐτοὺς ἑκάστους οἱ βάρβαροι, ἐποίουν πάνδεινα, καὶ οἷα θεὸν ἐρεθίζειν εἰς ἄμυναν. Καὶ ὅσους μὲν ἱεροὺς ἄνδρας, τεθωρακισμένους οἷον ταῖς ἁγιωτέραις τῶν στολῶν, κατέκοπτον τοὺς πλείους εἰς θάνατον, τοὺς μὲν ἐπ' αὐτοῦ τοῦ ἐνθέου βήματος, τοὺς δὲ καὶ ἐκτὸς, ὅπου τύχῃ εὕροιεν οἱ φονευταὶ ἑνστάτας παρὰ Θεῷ· καὶ ὅσον δὲ λαϊκὸν, οἳ τοῦ στόματος πλήρους ὄντος τοῦ « Κύριε, ἐλέησον » ἀπηράσσαντο τὰς κεφαλὰς, ἐπαναχρινόμενοι, τί τὸ « Κύριε, ἐλέησον, » καὶ γελώμενοι· αἱ δὲ κατὰ λαγνείαν χρανθεῖσαι σεμναὶ γυναῖκες ἐν τοῖς ἱεροῖς, καὶ εἰς ἁγνείαν ἐπηρεασθεῖσαι, ἰδοὺ εἰσι, καὶ πρεσβευέτωσαν κατὰ τῶν αἰτίων, αἱ ὑπὸ γάμου ζυγὸν, αἱ διὰ παρθενίαν ἄνετοι, αἱ νύμφαι τοῦ Θεοῦ. Καὶ μιᾷ μὲν ἵνα τινὰ συγχρωσθῆναι, εἴη ἂν μεῖόν τι κακόν· αἱ δ' ἐν τοιούτοις κοιναὶ, καθά τις ἂν εἴποι, ἀμίδες, οὐκ ἂν εὕροιεν κλαυθμὸν ἐπάξιον.

100. Hic aliquid boni de Barbaris mihi dicendum est, scilicet quosdam in loca sacra missos ad interficiendum, extra quidem illos extraxisse, sicque interfecisse, malum ita lenientes.

ρ'. Ἔχω καλόν τι ἐνταῦθα τῶν βαρβάρων εἰπεῖν, ὅτι φονεύειν τοὺς ἐν τοῖς ἱεροῖς ἐπιβαλόμενοί τινες, ἀπέσυρον αὐτοὺς ἔξω γοῦν, καὶ οὕτω καθῆρουν, τῷ C ζῆν μετριάζοντες τὸ κακόν.

101. Sacris illudentes, et imagines augustas prætendentia dilacerantes, quæcunque in se materiam pretiosam non includentia, alia vero vi nudantes ornamentis ipsorum, nescientes autem hæc agere, nostri bene meminerant, nunc autem cum sciant, non spernunt. Quomodo enim nudatos fuisse homines in ecclesia discendo deque eo dolendo, posses non rumpere stomachum, spoliationem sacrorum thesaurorum sciens ? Quanta tolerantia Dei, si Barbarum, qui sacrum formidandumque thesaurum conculcavit, membra genitalia retexit, minxitque consulto, vivere siverit incolumem ? Venerandæ crucis, robur nostrum, quibus etiam illuserunt vestri violatores ! At virtus divina non ea est quæ aliquando non expergefiat.

ρα'. Οἱ δὲ τοῖς θείοις ἐνυβρίζοντες, καὶ τὰ μὲν τῶν σεβασμίων τυπωμάτων κατασχίζοντες, ὅσα μηδέν τι γλαφυρὸν ἐκ τιμίας ὕλης εἶχον, τὰ δὲ ψιλοῦντες τοῦ κατ' αὐτὰ κόσμου μετὰ πληγῶν, οὔτε ταῦτα ὀρᾷν διεγνωσμένοι, ἐχώρουν εἰς εὔφημον ἡμετέραν μνήμην· καὶ νῦν δὲ εἰς νοῦν ἐλθόντες ἡμῖν ἀποπτύονται. Καὶ πῶς γὰρ ἄν τις γυμνοῦσθαι ἀνθρώπους ἐπ' ἐκκλησίας μαθὼν καὶ ἀχθόμενος, ἀνάσχοιτ' ἂν μὴ οὐ χόλῳ διαῤῥαγῆναι, γύμνωσιν κειμηλίων θείων ἐγνωκώς ; Ὦ Θεοῦ ἀνεξικακίας ! εἰ βάρβαρον ἄνδρα κατὰ τῆς ἱερᾶς καὶ φρικτῆς τραπέζης ἀναπηδήσαντα, καὶ ἐκκαλύψαντα τὴν αἰδῶ, καὶ ἐνουροῦντα εἰς ἀκοντισμὸν, ἀφῆκε ζῆν, ἀνεχόμενος. Ὦ σταυροὶ τίμιοι, τὸ ἡμέτερον κράτος, ὅσοις καὶ ὁμῶν οἱ μιαροὶ ἐνέπαιξαν ! καὶ ἡ θεία δύναμις ἀτρεμοῦσα οὐκ ἔσθ' ὅπως οὐκ ἐξεγερθήσεται.

102. Quomodo quis hic exponeret hanc quoque socordiam, cum effrenati in templum irruerent lampadibus crystallinis lucentibus, tanquam matulis, dicet tragœdia, eumque urinarum vasibus ut poculis ad bibendum uterentur ? Cum enim in puteos urinam vesicarum suarum fluere sivissent, deinde exhaurientes biberunt hanc spurcitiam, hocque iterum atque iterum, semperque circulum hunc turpem volventes.

ρβ'. Τί ἂν τις ἐνταῦθα ἐκθείη καὶ ταύτην μιαρίαν, ὡς τοῖς μὲν ἐξ ὑέλου ἐκκλησιαστικοῖς λαμπτῆρσιν ἐνεθόρουν οἱ ἀσύνταχτοι, ὅσα καὶ οὐράναις, εἶποι ἂν ἡ τραγῳδία· τοῖς δὲ τῶν οὔρων δοχείοις οἷα καὶ ποτηρίοις ἐκέχρηντο ; Οἵ γε καὶ κατὰ φρεάτων ἀφιέντες προῤῥέειν τὸν τοῦ κατ' αὐτοὺς ἀσκοῦ προῦχοντα πόδα, εἶτα ὑδρευόμενοι, ἔπινον τοῦ μιασμοῦ, καὶ τοῦτο πάλιν καὶ πάλιν, καὶ εἰσαεὶ κύκλον τοῦτον ἑλίττοντες ἀσελγῆ.

103. At illud jocosum esset aliquo modo additum sermoni velut hic ; quæ vero superius scripta sunt, hæc lacrymas innumeras merentur, quale

ργ'. Ἀλλὰ τοῦτο μὲν εἴη ἂν καὶ γελοῖον, παραῤῥιφὲν εἰρμῷ τινι καὶ αὐτό. Ἃ δὲ ἀνόπιν συγγεγράφαται, ἀλλ' ἐκεῖνα μυρία προκαλοῦνται δάκρυα·

ὁποῖον καὶ τὸ τοῦ μυροβλύτου, οὗ τῷ τάφῳ ἐμπε- A
παικότες μετὰ πελέκεων οἱ τοιούτων εἰς ποινὴν
ἄξιοι, τὸν τε πέριξ ἐπιπολάζοντα κόσμον ἐξ ἀργύρου
κατέκοψαν, καὶ τὸν ὑπὲρ κεφαλῆς δὲ περιείλοντο
χρύσεον στέφανον, καὶ μὴν καὶ τὸν ἕτερον ἀπήγαγον
τοῖν ποδοῖν· ἵνα τάχα τὸ ποδῶκες τῆς ἐξ ἐκείνου
δίκης ἐκκλίναιεν. Κἂν ἐξέπραξαν ἐς τὸ πᾶν, εἰ μὴ
τὸ Θεῖον ἀντέβη, καὶ ταχὺ ὁδηγῆσαν τοὺς κρείττο-
νας ἔν γε τοῖς βαρβάροις, εἰς κωλύμην κατεπέτασε
τοῦ κακοῦ. Εὐνοῦχος γὰρ τοῦ ῥηγὸς, ἀμιρᾶς τὴν
ἀξίαν, πράττειν ὀξὺς καὶ θερμὸς, οἷος φόβον βαθὺν
κατασπάσπειν, οἷς ἂν ἄγριος προσενεχθείη, ἔφιππος
εἰσελάσας, ὡς οὐκ ἂν τις ἐλπίσοι, ἕως εἰς βαθὺ τοῦ
θείου ναοῦ, ὡς μὲν οἱ πολλοὶ ἐνόμισαν, διὰ περι-
φρόνησιν καὶ αὐτὸς κατ' ἐκεῖνον (ὃς ἐν τῇ τῆς μη- B
τροπόλεως καθολικῇ καθιππεύσας, τόν τε ἵππον ἀπέ-
βαλε συγκατενεχθεὶς θραυσθέντα, καὶ αὐτὸς οὐκ εὖ
ἀπήλλαξεν, ἀληθῶς δὲ κατὰ προμήθειαν· ἵνα καὶ
ῥᾷον οὕτω διὰ τῆς πυκνότητος τοῦ λαοῦ παρεισδύοιτο
φευγόντων ἑκάστων, συμπατηθῆναι τῷ ἵππῳ, καὶ
ἄποπτος δὲ ὢν βλέποι τότε καὶ ἀντιβλέποι τοὺς κα-
κουργοῦντας, καὶ οὕτως αὐτοὺς ἀμύνοιτο)· εἰσδρα-
μὼν γοῦν ὁ εὐνοῦχος οὕτω μετ' εὐγενοῦς ἵππου,
καὶ τὴν μετὰ χεῖρα σιδηρέαν κορύνην κατάγων,
συνεπιλαμβανομένων ἅμα καὶ τῶν ἑπομένων θερα-
πόντων, οἳ καὶ αὐτοὶ σφοδροὶ δρᾷν ἦσαν, φόνους
τε πολλοὺς ἐκώλυσε καὶ γυμνώσεις ἀνδρῶν τε καὶ
γυναικῶν· ἃ δὴ ἑτέρωθι κωλυθῆναι οὐκ ἔσχε· καὶ
τοὺς ἐπιβούλους δὲ τοῦ ἁγίου τάφου ἀπήγαγεν, ὡς
οὐκ ἂν ἐκεῖνοι ἤθελον, κερδήσαντας μόνα (μυρία C
δὲ ἦσαν ἐκεῖνα), ὅσα πρὶ αὐτοῦ κατέσπασαν φθά-
σαντες. Καὶ φόνους μὲν τοὺς ἐκεῖ κατέσχεν ὁ ἄρ-
χων· τοῦ δὲ πνιγμοῦ τῶν φυγόντων ἐν τῷ ναῷ οὐκ
ἦν ἐπίσχεσις· ἀλλ' ὥσπερ ἐν ταῖς ἄλλαις καθολι-
καῖς, οὕτω καὶ ταύτῃ οὐκ ὀλίγῃ μοίρᾳ τοὺς ζῶντας
ὁ πνιγμὸς ἐδικαίωσεν, ὧν ὁ ἀριθμὸς ἐρίζοι ἂν πρὸς
τοὺς ἐπ' ἀκροπόλεως πεπνιγότας, ὡς ἡ ἀρχὴ τοῦ
λόγου συνέγραψε.

ρδ'. Τί ἂν λέγοιμι τοὺς τῶν τειχέων οἴκων ἀνω-
θεν καθαλλομένους ἐπὶ μελέτῃ θανάτου, ὅτε τὸ μέγα
κακὸν καὶ αὐτοὺς περιεστοίχιζεν; Οἳ πτερύξασθαι
εἰς αἰθέρα μὴ ἔχοντες, οὕπερ ἐφίεντο ἄν, τὸ τῶν
βαρέων ἔπασχον, καὶ ἐλάκουν εἰς θάνατον, ἐκ με-
τεώρου κατασκήπτοντες. Τί δὲ τοὺς κατὰ φρεάτων
ὡσεὶ καί τινος κωκυτοῦ καὶ ἀχεροντίου ὕδατος βυ- D
θιζομένους; ἄνδρας τε καὶ γυναῖκας; τοὺς μὲν φόβῳ
τοῦ μὴ ἄνω πεσεῖν θανάτῳ, τὰς δὲ καὶ κατὰ σεμνό-
τητα. Καινὸν δὲ οὐδὲν οὐδὲ ἡ τοιαύτη ἔμπτωσίς τε
καὶ κατάπτωτις παρ' ἀνθρώποις, οἳ μὴ μόνον πέτρας
εὔχοντο ἂν ῥαγῆναι εἰς ὑποδοχὴν αὑτοῖς, καὶ βου-
νοὺς εἰς κρύψιν κατακυλισθῆναι, καὶ οὐρανὸν δὲ αὖ-
θν ἐπικαταπεσεῖν· ἀλλά που καὶ χάος καὶ τάρταρον
ἐφαντάζοντο εἰς κατάδυσιν καὶ βίου κατάλυσιν. Τὸ
γὰρ καθ' ἱστορίαν βάραθρον, καὶ οἱ κρημνοὶ μικρὰ
καὶ αὐτὰ ἦσαν τοῖς ἀφαντωθῆναι θέλουσιν.

ρε'. Ὦ μοι καὶ τῶν λίθων, οἵπερ ἐπαφιέμενοι τοῖς
τοιούτοις πρὸς τῶν βαρβάρων, ἀνανεύειν οὐκ ἀφίε-
σαν, ἀλλ' ἐπιπωμάζοντες κατεχώννυον τοὺς ἐλεει-
νούς. Οὐαὶ τότε καὶ ὅσαι κατὰ γαστέρων εἶχον, ἃς

hoc quod ad Myroblytam spectat, cujus cum sepulcrum securibus percussissent, qui ipsi istam pœnam merebantur, ornamentum argenteum quod circumdabat illud præciderunt, coronamque auream quæ caput ejus cingebat detraxerunt, simul et alia pedes ejus cingentes, fortasse ut promptam sancti vindictam effugerent. Sic ubique egissent nisi Providentia obvenisset, adhibensque brevi viros meliores e medio Barbarorum ad impediendum malum præsto fuisset. Eunuchus enim regis, ameræ dignitate ornatus, ad actum promptus ac fervidus, terrorem maximum incutere valens, agrestis aspectus causa, equo sedens irruerat, nemine exspectante, usque ad intimam partem templi divini, juxta quod multi crediderunt, per contemptum (equitans per metropolis cathedralem equum suum emiserat quam velocissime, nec cohibuit, equidem prudentiæ causa, ut sic per frequentiam populi facilius penetraret, unoquoque fugiente, ne equo conculcaretur, illeque invisibilis videre posset spoliatores sicque illos punire); currens ergo eunuchus ita equo strenuo insidens, manuque ferream clavam tenens, simul auxiliantibus ministris qui illum comitabantur, quique fortissimi erant in agendo, cædes cohibuit multas ac spoliationes virorum ac mulierum; quæ vero impedire alias non potuit. Fures sepulcri sancti fugavit, modo qui non eis placuit, asportantes tantum (et quidem multa) quæ ante adventum illius rapuerant. Cædes ibi quidem hominum hic cohibuit; at fugientium in templo suffocationem non erat qui impedire posset; sed quemadmodum in aliis cœtibus, sic et in isto non paucos viventes ad mortem damnavit turba, quorum numerus certabat cum numero eorum qui suffocati fuerant in arce, ut in principio libri hujus dictum est.

104. Quid dicam de his qui e tectis domorum præ mortis metu in tanto periculo prosiliebant? Qui in aerem volare non valentes, sicut voluissent, ex pondere corporis patiebantur, mortis sonitum dabant, ex alto decidentes. Quid de illis qui in puteis velut in aquis prisci illius Cocyti et Acherontis se immergebant viri ac mulieres; illi timore casus mortalis, hæ autem verecundiæ causa? Nec saltus nec casus aliquid novi erant ullo modo hominibus, qui non solum jactabant eligeuros petras super quas caderent, e saxis dilapsuros in abyssos, ac usque ad cœlum casuros; sed passim chaos et tartarum se offerebant ut receptaculum et ad solutionem vitæ. Nam juxta historiam barathrum et abyssi parva erant his qui se invisibiles facere volebant

105. Heu! quid de lapidibus qui missi adversus illos a Barbaris, non sinebant eos nutare, sed obtegentes eos miserabiliter sepeliebant. Væ tunc his quæ uterum gestabant, quas in fuga detinebat charum

juxta naturam onus, ex debilitate subito dejiciebantur in infernum, prævenientes mortem ex gladio. Non vero minus erat tristis sors matrum, quas in fuga comitabantur pueruli : sæpe enim ab invicem separabantur : periculo enim instante, matres antecedebant, at hoc infeliciter quidem ac infortunate. Nam cum adverterent, jam non adhærere sibi charos suos, sed æmulatores Herodis contra petras elidentes eos; vel cadebant et ipsæ in manus eorum qui eas apprehendebant, exsecrantes ne in amorem eorum inciderent, ejulabant, e contra, per omnem viam qua pueri incesserant. Patres quoque fugiebant retro relinquentes pueros matribus orbos. Hi autem clamabant salutis causa, illi vero non advertentes currebant, naturaque frustra clamabat. Si illi æquabant cursu, quod in se erat quidem faciebant, genitor vero idem erat, amore naturali timore mortis juxta pedes superato. Si autem pater de vita sua curabat, illi prostrati conculcatique, peribant in acervis cadaverum. Sic animalia domestica lupis accurrentibus cito relinquunt parvulos suos, ac fugiunt; lupus autem nulli scit parcere.

A ἐν τῷ φεύγειν βαρύνων ὁ κατὰ φύσιν φίλιος φόρτος, ἐξ ὀλιγοπελίης κατέῤῥιπτε συμποδίζων εἰς ᾅδην, φθανούσας τὸν διὰ ξιφῶν ὅλεθρον. Οἰκτρὸν δὲ τούτων οὐκ ἔλαττον καὶ μητέρες, αἷς φευγούσαις καὶ ἀπαλοὶ παῖδες συνέτρεχον, καὶ τέως μὲν ὁμοῦ ἦσαν· ἐπισπέρχοντος δὲ τοῦ κακοῦ, ἐνίκων τὸν δρόμον αἱ μητέρες, δυστυχῶς γε τοῦτο καὶ μάλα. Ἐπιστραφεῖσαι γὰρ, ἢ οὐκέτ' ἔβλεπον τοὺς ποθουμένους, ἀνθαμίλλους Ἡρώδου δή τινι ψήφῳ περιπεπτωκότας· ἢ ἔπιπτον καὶ αὐταὶ πρὸς τῶν ἐπικαταλαμβανόντων, μισούμεναι, ὅτι μὴ ἐκείνων πρὸς ἔρωτα ἐπεστρέφοντο, ἀλλ' ἕκλαιον τὸν ὕστατον δόλιχον, ὃν ἐστείλαντο. Ἔφευγον καὶ πατέρες, νεογνὰ μητέρων ὀρφανὰ ὀπίσω ἀφιέντες. Καὶ αὐτὰ μὲν ὡς ἐπὶ σωτηρίᾳ ἐγῳοῦντο· οἱ δὲ μὴ ἐπιστρεφόμενοι ἔθεον, καὶ B ἡ φύσις ἐβόα κενά. Εἰ δὲ καὶ ἐξέβραμον ἐκεῖνα συμφεύγειν, αὐτὰ μὲν ἐποίουν τὸ δυνατόν· ὁ δὲ γενέτωρ ἦν ὁ αὐτὸς, τοὺς πόδας τοῦ κατὰ θάνατον φόβου τὴν φυσικὴν ἐκνικῶντος στοργήν. Καὶ εἴπερ ὁ τεκνωσάμενος περιποιήσεται ζωὴν, ἀλλ' αὐτὰ συμπατούμενα, καὶ πρὸς βίαν σκαρίζοντα, ἐξώλλυντο εἰς ἐπιθήκην τῶν κατ' ἄνδρας νεκρῶν. Οὕτω καὶ θρέμμα τραχὺ λύκων ἐπιτρεχόντων ἀφίησι τὰ οἰκεῖα νεογιλὰ, καὶ φεύγει· καὶ ὁ λύκος οὐκ οἶδεν οὐδενὸς φείδεσθαι.

106. Hic ego gemo, in memoriam revocans, quomodo fugimus nos omnes sicut oves occisionis, nullo pastore defendente, nec mercenario. Felices ii quorum nihil morabatur fugam. Nunc vero plerique in ora luporum parumper dilapsi sumus. C Cædes hæ innumeræ, quæ hanc urbem florentem et ab incolis bonæ frugis habitatam depopulatæ sunt. Qui vario modo sic perierunt septem millia superarunt, adeo persecutores eorum ictus suos potenti solertia dirigebant, numeratis ex Bulgaris peditibus militibusque exercitus. Barbari vero, qui alias fuerant operati, quinque millia numeraverunt mortuorum, illis non annumeratis qui suffocati fuerant, vel in domibus suis perierant, sed iis tantum numeratis quos sol ictibus ipsorum expositos ostenderat.

ρς'. Κλαίω δ' ἐνταῦθα ἐγὼ, ἀναπολήσας εἰς νοῦν, ὡς καὶ ἡμεῖς ἅπαντες οὕτως ἐφεύγομεν, οἷα σφαγῆς πρόβατα, οὔτε ποιμένος προμαχοῦντος, οὔτε μὴν μισθωτοῦ. Καὶ μακάριον, εἴπερ ἐφεύγομεν διὰ τέλους. Νῦν δὲ ἀλλὰ μικροῦ δέον οἱ πλείους τοῖς τῶν λύκων περιεπίπτομεν στόμασι. Μυρία δὴ ταῦτα πτώματα, καὶ οἷα πόλιν ἀποκενοῦν εὐφοροῦσαν ἦν ὅτε οἰκητόρων ἀγαθῶν. Καὶ μετροῖντο ἂν οἱ οὕτω πολυτρόπως πεσόντες ὑπὲρ χιλιάδας ἑπτὰ, ὡς οἱ περιελθόντες ἐστοχάσαντο πρὸς δυνατὴν ἀκρίβειαν, σύν γε τοῖς ἐκ Βουλγάρων πεζοῖς, καὶ ὅσοι τοῦ στρατιωτικοῦ συνέπεσον. Οἱ δὲ βάρβαροι περιεργασάμενοι ἄλλως, εἰς πέντε χιλιάδας ἠρίθμησαν τὸ κακὸν, μήτε τοὺς πεπνιγμένους συγκεφαλαιωσάμενοι τούτοις, μήτε δηλαδὴ τοὺς ἐπ' οἴκων πεσόντας, ἀλλὰ μόνους ἀριθμῷ δεδωκότες, ὅσους αὐτοῖς ἐκθέτους κειμένους ἥλιος ἔφηνεν.

107. Ecce hic quod remordebit cor hominum misericordium, scilicet, eos qui jacebant in vils atque in acropoli animalibus brutis miscentes Barbari cremabant, inhumanitati suæ hoc ultimum addentes. Cum primum illos hortati essemus ut inhumarent cadavera ne hoc triste spectaculum adesset vaporesque pestilentes exhalarentur, hujusmodi se esse assuetos dicebant, hisque spectaculis et odoribus gaudere.

ρζ'. Ἐνταῦθα δάκοι ἂν καρδίαν ἀνδρὸς φιλοίκτου καὶ ὅτι τοὺς κειμένους ἔν τε ταῖς ἀμφόδοις καὶ ἐν D τῇ ἀκροπόλει ἀλόγοις ζώοις ἀναμιγνύντες, κατέκαιον οἱ ἐχθροὶ τὸ μισάνθρωπον, ὤμὲ καὶ τοῦτο δράσαντες. Τὰ πρῶτα γὰρ ὑφ' ἡμῶν παρακαλούμενοι καταχῶσαι τοὺς νεκροὺς, μὴ καὶ θέα δυσπρόσωπος ἔκκεινται, καὶ ἀποφορὰς δὲ νοσερὰς ἀτμίσωσιν, ἐθάδες τοιούτων αὐτοὶ ἔφασαν εἶναι, καὶ χαίρειν τοιαύταις θέαις τε καὶ ὀδμαῖς.

108. Cædes quidem raptusque violenti ac pleraque mala cessare visa sunt ex jussu comitum, ad meridiem diei, qua expugnata est civitas. Erat vero Sabbatum, quo fugæ locus non erat, quam ex Evangelio deprecaturi fuissent, sed tantæ urbis exitium. Quæ deinceps acciderunt nemo accurate dixerit. Ea vero quæ eligere potuimus, quod ea scribere potuerimus, gloriabimur. Omnes

ρη'. Οἱ μὲν δὴ πολλοὶ φόνοι, καὶ αἱ σφοδραὶ ἁρπαγαὶ, καὶ τὰ πλείω κακὰ δοκοῖεν ἂν λῆξαι μετὰ μεσημβρίαν τῆς ἡμέρας, καθ' ἣν ἡ ἅλωσις, ἐξ ἐπιτάγματος τῶν κομήτων. Ἦν δὲ Σάββατον, οὐ φυγὴν ἔχον, ἣν εὐαγγελικῶς ἀπεύξαιτ' ἂν τις, ἀλλὰ τηλικαύτης πόλεως ὅλεθρον. Τὰ δὲ ἐντεῦθεν οὐκ ἂν μέν τις φράσαι, ὡς μηδέν τι ἐλλεῖψαι. Ὅσα δὲ ἔστιν ἐπιλέξασθαι, αὐχήσωμεν ἂν καὶ αὐτοὶ ἱκανοὶ

Ἔσεσθαι ἀπογράψασθαι. Πάντες οἱ ἔξω ἱππόται, καὶ οἱ ναύαρχοι δὲ, ἀκολούθως δὲ καὶ οἱ ἀμφ' αὐτοὺς, ἀναχαθήραντες ἤδη τὰ σφίσι φοβερὰ, καὶ μισήσαντες εἰς πλέον αἰθριοκοιτεῖν, ἔπλησαν ἀξιῶς τὰς οἰκήσεις τῆς πόλεως· τὰς μὲν μείζους κατὰ κεφαλὰς, καὶ ὅσοι περὶ αὐτάς· τὰς δὲ ἐλάττους κατά τινας ἕλας ἑτέρας, ὅσαις ἦν σύμμετρον τὸ κατάλυμα. Καὶ τὸ ἐντεῦθεν αὐτοὶ μὲν ἦσαν οἴκων εἴσω· τὸ δὲ πολιτικὸν ἅπαν σύστημα ἐπλάζετο, ἐν οἷς καὶ ἡμεῖς. Καὶ τὸ μὲν βάρβαρον ἐνέμετο τὰς ἐπ' οἴκων ἐνθέσεις· οἱ δὲ οἰκοδεσπόται ἀπελήλαντο, καὶ περιενόστουν ὧδε κἀκεῖ, πεινῶντες, διψῶντες, ῥιγοῦντες, ὅτι καὶ γυμνοί. Καὶ εἴθε μὲν γυμνοὶ, ὡς ἄν που καὶ ἐλεοῖντο ἐκ τῶν γυμνωσάντων· νῦν δὲ σοφιζόμενοι τὴν ἔνδυσιν, διὰ τὸ ἄλλως κατ' ὄψιν αἰσχρὸν, οὐκ εἶχον ἔλεον, οἷα τῆς ἀνάγκης ἑκάστῳ, εἰ καὶ ἄναλλον, ἀλλ' οὖν τινα στολὴν ἀφοσιούσης· ὁποίαν ἰδὼν ὁ μὲν ἔξω πένθους, γελάσοι ἂν διὰ τὸ σκηνικώτερον, ὁ δὲ συγγεγευμένος τοῦ πάθους οὐκ ἂν ὀκνήσοι μὴ ἐκθανεῖν λυπούμενος. Ἐτρύπησέ τις ψίαθον, καὶ περιβαλόμενος, ἔκρυπτε μόγις τὴν προσθίαν αἰσχύνην. Καὶ ἠγάπα οὕτω καλυψάμενος, εὐδαίμων αὐτὸς τῇ πρὸς ἑτέρους παραβολῇ, ὅσοι τὸ κατὰ χεῖρα θέναρ καὶ τὰ δάκτυλα καθά τι παραπέτασμα προθέμενοι, καὶ κρύπτοντες, ἅπερ ἐχρῆν, ἠρκοῦντο, μὴ ἔχοντες ὅ τι πλέον δράσουσι. Καὶ ἦν μὲν καὶ αὐτὸ οὐ θέας ἄξιον. Εἰ δὲ καὶ γυναῖκες τοῦ πάθους ἐκοινώνουν τοῦδε, τί δὴ ἔλαμπεν ἥλιος, ὡς καὶ τοιαῦτα καθορᾷν;

ρθ'. Ἀλλ' αὐτὸς μὲν εἶχεν ἄλλως ἐνδείκνυσθαί τι καλὸν, ἐκτρέπων τοὺς αὐταῖς ἐνυβρίζοντας. Ὁ δὲ ἑπιὼν ἕσπερος πάνδεινα ἐποίει, σκότον προβαλλόμενος εἰς ἀποκρυφὴν καὶ ἀναίδειαν. Ἡ μὲν γὰρ ἡμέρα εἶχέ τι σῶφρον δέει τῶν ὑπερεχόντων· ἡ δὲ νὺξ ἐπαῤῥησίαζε τὰ μὴ ὅσια. Ἦν τις τότε, καὶ ὃς ῥάκος εὑρηκὼς παρεῤῥιμμένον που ἀποκαθημένης τυχὸν ἢ καὶ ἀλλοῖον, ὁποίοις πολλοῖς οἱ λεωφόροι κατέστρωνται, καὶ συχνὰ τοιαῦτα συγκεκρουκὼς εἰς βαφὴν, ὡς εἶχε, καὶ λεντίου τρόπον συσκευασάμενος, ἄκων ἤθελε τὴν ἀσυνήθη περιστολήν. Ἄλλοι συνθέματα ἐρεᾶ μαδῶντα ἐξευρίσκοντες, καὶ ἐναπτόμενοι, κοιλίαν μὲν καὶ ῥάχιν καὶ τὰ κατωτέρω ἔσκεπον σχοίνῳ σαθρᾷ καὶ ῥυπαρᾷ, τῇ ἐκ φιλύρας, ἢ τοιοῦδέ τινος περιζωσάμενοι, τὰ δὲ λοιπὰ ἐν χρῷ κατ' αὐτὴν σάρκα τῷ ἀέρι γινόμενοι. Ἱματισμένον δέ τινα ἰδεῖν τὸ ὅλον ὅμοιον ἦν ὡς εἰ καὶ ῥῆγα εἶδεν, ἢ ἄλλον ἄνδρα λαμπρότητος. Πόρναις μόναις ἐνέλαμπε κάλλος ἱματισμοῦ, αἳ τοῖς ἱεροῖς πεπλώμασιν ἠγλαΐζοντο, εὐπάρυφοι τοῖς μιαροῖς ἑρασταῖς παρομαρτοῦσαι, καὶ βλεπόντων ἡμῶν παῤῥησιαζόμεναι τὴν ἁμαρτίαν, καὶ συγκαταχορεύουσαι, ὦ κἀνταῦθα θείας ἀνοχῆς! Αἱ δὲ κεφαλαὶ τοῖς μὲν πλείοσιν ἦσαν ἀκατακάλυπτοι, τῶν Λατίνων οὕτω σκευωρησάντων, ὡς ἂν ἔχοιμεν τὸ ὁμόστολον.

ρι'. Καὶ τοῦτο μὲν οἱ δυνάμενοι ἔπασχον. Ὅσοις δὲ τὰ τῆς κεφαλῆς οὐκ εἶχεν ἀπαθῶς, ἀλλ' ἔδει κατακεκαλύφθαι αὐτὰς διὰ τὸ ἄῤῥωστον, ἀλλ' αὐτοὺς βλέπων τις παντοῖος ἂν τὴν λύπην γένοιτο, τῇ ποι-

equites qui erant extra muros, ducesque classis, omnesque qui eos comitabantur, jam de omni periculo securi, nolentesque diutius sub dio manere, fiducialiter domos urbis impleverunt; majores certo militum numero, minores vero reliquis aliorum agminum, modo quo hospitium hospitibus accommodaretur; deinceps habitaverunt intra domos. Omnis vero administratio civitatis dissoluta erat, cujus nos eramus. Barbari domibus tributum constituerant; domini vero earum expulsi fuerant, hic et illic errantes, fame, siti cruciati, horrentes præ nuditate. Et utinam fuissent nudi, ut forte nudantes ipsos commovere potuissent! nunc vero, indumento novi generis invento, quod alias visu turpe est, non commoti sunt quamdam tunicam relinquendo, quam necessitas uniculque donaverat, licet unicam. Qui eam videbat, nedum lugeret, ridebat e contra eo quod magis scenicum esset; qui vero passionis particeps fuerat, non hæsitabat timore mortis. Stoream aliquis perforabat, circumdansque vix anterius pudendum circumtegebat. Postquam ita circumtexerat sibi videbatur esse beatus præ cæteris, qui, volam manus ac digitos velut quoddam velum proponentes abscondentesque quod erat abscondendum, sufficere existimabant, non habentes unde amplius facerent. Hoc quidem erat visu miserabile. Si etiam mulieres passæ fuerunt, quid sol illuxit ut hæc contemplaretur?

109. At illi saltem hoc referendum boni quod qui illis insultabant averteret. Vesper vero sequens gravissima attulit, tenebras projiciens ut omnia absconderentur omnisque pudor abesset. Dies enim prudentiam aliquam imponebat ob metum dominantium, dum nox sacrilega esset et sanctitatis contemptrix. Quidam ubi pannum laceratum aut simile quid, ut videre est in viis publicis, invenisset, partes laceras summa cura consutas in lintei formam mutabat et sic vestem insolitam vel contra voluntatem induebat. Alii pannos laneos humidos cum invenirent, consuebant, velabantque ventrem, renes ac partes inferiores func vili ac debili, ex tiliæ cortice facta, vel quodam alio præcingentes, alias vero partes corporis nudas, aeri expositas, habentes. Cui vestimentum integrum, is ut rex vel alius vir insignis habebatur. Meretrices solæ splendore vestimentorum fulgebant, sacris velaminibus exsplendescentes; purpuratæ impuris amatoribus jungebantur, ac sub oculis nostris peccatum audebant chorosque ducere. O quanta tunc patientia Dei! capita vero plerorumque equidem nudata erant, Latinis id agentibus ut eodem modo vestiti essemus.

110. Hoc vero patiebantur qui potestatem habebant. Eos autem qui capite dolebant et propter malam valetudinem illud contegere debebant, si quis conspexit, summo mœrore affectus et ob va-

ria, quæ vidit, veluti stupore correptus est. Nam fortunatissimi quique, ubi pileum commodum capiti imponendi facultas dabatur, beatissimi sibi videbantur, dum plerique cæteri ejusmodi tegumenta ex junco, arundine, calamo conficere satagebant, eaque camisiarum ad instar desuper perforata portabant. Et usu quidem omnia terebantur, sive barbarorum mores redolebant, sive artis vestigia exhibebant, pili sic perforati ut infundibulum pro signo symbolico erant.

111. His erant omnes induti vestimentis, quorum in multis fulgebant, quasi lapides purpurei, plagæ purpuratæ ex sanguine eorum effuso; spectaculum visu miserabile; primum quidem cum umbræ ex inferis irruere viderentur; secundum vero, eo quod non jam characteres naturales habebant, seu quod intus undique currebant, seu quod effudissent hunc pretiosum liquorem quo florescat rubia. Labor erat ergo cognoscere in illis quem maxime diligebas, unusquisque unumquemque interrogabat quis forte esset, eo quod omnes eodem colore essent atque in nullo differentes.

112. Ite in ecclesias ibique omnes inspicite atque interrogate, quis scilicet inter eos esset dives, vel pauper et his similia. At quis sacerdos est? quis lector est? quis ex populo? Omnibus enim una imago, eademque forma, ac nisi quis ex aliis respondisset, in sanctuarium intrasset, preces effusurus, et aliquis in templum intrans ascendisset psallendi causa, nulla horum et laicorum erat distinctio; hi omnes aliquid grave ostendebant, licet alias tristius. Solutis enim calceis omnes sanctæ domus crepidæ evaserant.

113. Inspiciendum cibos uniuscujusque, ut agnoscatur quod nihil a contribulibus acciperent, omnibus eadem fame cruciatis. Pauci ex Latinis obolos quosdam apud se habebant, unde parce vivebant. Plerique vero ex his diabolum appellabant mendicantem (hoc est apud illos in medio positum) convicia dabant velut panem et insuper pugnum pro condimento. Misericordia sic quidem difficillima erat excepto Myroblyta qui, ut supra scriptum est, omnes cives urbis nutrierat quantum erat necessarium. Si quis, ut mos est, pretium pro cibis offerret, heu quam barbara inhumanitas! Judæo enim ac Armenio quos finitima Crania et Zemenicus nutriunt metiebantur tantum quantum decebat, atque etiam aliquid amplius, captivo vero civi minimum, si quando ad illum reversum sit. Panis frustulum curvatum in annuli formam tantum quantum pollex indexque circumscribere possent tribus æneis stateribus miserabili civi vendebant, vix obolo uno taxatum.

114. De Armeniis loquendo, efferbuerunt interiora mea in mentem revocantis quæ mala illis

A χιλίᾳ τῶν βλεπομένων συμπεριαγόμενος. Πῖλον μὲν γὰρ ἀσκητὸν περιτεθεῖσθαι, οἱ εὐτυχέστατοι κατεπλούτουν· τῶν δ' ἄλλων οἱ πλείους ψιάθων πλέγματα ἢ σχοίνων ἢ καλάμης ἐσχεδίαζον εἰς τοιαύτην σκέπην, τὰ πολλὰ καὶ διατετρημένα τὴν κορυφὴν κατὰ καπνοδόκην. Τὰ μὲν ἐδρῶτο καταβοσκησαμένου, τὰ δὲ καὶ κατὰ βαρβαρικὸν ἄθυρμα, οὐκ ὀλίγα δὲ καὶ πρὸς τέχνην, ἵνα διὰ τοῦ τρήματος ὁ πῖλος, οἷα καί τις χώνη τοῖς διψῶσιν, ἐνερεύγηται συμβολήν.

ρια'. Καὶ ἦσαν οἱ πάντες ἐκ τῶν τοιούτων στολισμάτων, ὧν πολλοῖς ἐνέλαμπον ὡς οἷά τινες πορφύρεοι λίθοι πληγαὶ πορφύρουσαι τῷ ἐξ αἵματος λύθρῳ, θέαμα καὶ δυσπρόσοπτον καὶ δυσείκαστον· τὸ μέν, B οἷς ἐκ νεκρῶν ἥκειν ἐδόκουν σκιαί τινες ἀΐσσουσαι, τὸ δ', ὅτι τοὺς κατὰ φύσιν χαρακτῆρας οὐκέτ' εἶχον, διὰ τὸ ἔνδον που ἀναχωρῆσαι ἢ καὶ τέλεον ἐκλιπεῖν τὸν φίλιον χυμὸν, δι' οὗπερ ἐξανθεῖ τὸ ἐρύθημα. Ἦν οὖν ἔργον γνωρίσαι καὶ τὸν πάνυ ἐν τούτοις φίλτατον· καὶ ἕκαστος ἀνηρώτα ἕκαστον, ὅστις ποτ' ἂν καὶ εἴη, διὰ τὸ κατὰ χρόαν πάντων ὁμοειδὲς, καὶ διάφορον κατ' οὐδέν.

ριβ'. Ἴτέον ἐπὶ τὰς ἐκκλησίας, καὶ θεωρητέον τοὺς τοιούτους καὶ ἐκεῖ, καὶ ἐρωτητέον, τίς ἄρα ἐν τούτοις ὁ πλούσιος, ἢ πένης, καὶ ὅσα τοιαῦτα. Ἀλλὰ τίς μὲν ἱερᾶται; τίς δὲ ἐπὶ τοῦ ἀναγινώσκειν ἐστί; τίς δὲ τοῦ λαοῦ εἶναι εἴληχε; Πάντες γὰρ εἶδος ἦν, καὶ μορφὴ ἡ αὐτὴ, κἂν εἰ μή τις ἀποκριθεὶς τῶν C ἄλλων, τὸ ἱερὸν εἰσέλθοι βῆμα, στησόμενος εἰς εὐχὰς, καί τις ἄλλος εἰς τὸν ἱερὸν ἀνέλθοι ὀκρίβαντα ψαλμοῦ χάριν, οὐκ ἦν διάκρισις τούτων τε καὶ τῶν τοῦ λαοῦ. Εἶχον δέ τι πάντες οὗτοι σεμνὸν, εἰ καὶ ἄλλως λυπηρόν. Ἀλυμένοι γὰρ ἐκ τῶν ποδῶν πάντες τὰ ὑποδήματα, τῶν τοῦ ἁγίου οἴκου κρηπίδων ἐγίνοντο.

ριγ'. Σκοπητέον καὶ τὰς ἑκάστων τροφὰς, καὶ γνωστέον, ὡς ἐκ τῶν συμφυλετῶν μὲν οὐκ ἦν ὅ τι καὶ λάβοιεν, πάντων ἐξ ἴσου πεινώντων. Τῶν δὲ Λατίνων ὀλίγοι μέν τινες ἐχορήγουν ὀβολοὺς τοὺς παρὰ σφίσιν, ὅθεν ἦν γλίσχρως ἀποζῆν· οἱ δὲ πλείους διάβολον ἐπικαλοῦντες τὸν ἐπαιτοῦντα (τοῦτο δὴ τὸ παρ' αὐτοῖς εὐχορήγητον), ὕβρεις ἐδίδουν ὡσεὶ καὶ ψωμὸν, καὶ κόνδυλον ὄψον ἐπ' αὐταῖς. Καὶ ὁ D ἔλεος μὲν οὕτως ἦν δυσεύρετος δίχα γε τῶν ἐκ τοῦ Μυροβλύτου, ὃς, καθὰ καὶ προὐγέγραπται, πάντας τοὺς πολίτας ἔθρεψεν, εἰς ὅσον ἐχρῆν. Εἰ δέ τις καὶ εὐπορηκώς ποθεν ἐθέλοι τιμήματος πορίσασθαι τὸ τρέφον, βαβαὶ τῆς βαρβαρικῆς ἀπανθρωπίας! Ἰουδαίῳ μὲν γὰρ καὶ Ἀρμενίῳ, οὓς ἡ ἀγχιτέρμων Κρανία καὶ ὁ Ζεμενίκος φέρουσιν, ἐπεμέτρει, ἐς ὅσον τε καθῆκον ἦν, καί τι καὶ εἰς ὑπέρμετρον· ἐαλωκότι δὲ πολίτῃ ἐλάχιστον, εἴ που καὶ ἐπιστραφείη αὐτοῦ. Ἀρτίδιον γοῦν περιηγμένον ὡς εἰς κρίκον, ὅσον ἂν ἀντίχειρ καὶ λιχανὸς διαγράψαιεν, τριῶν χαλκῶν στατήρων ἀπεδίδου τῷ ἐλεεινῷ πολίτῃ, μόλις ὀβολοῦ ἀξιούμενον.

ριδ'. Ἀλλ' ἅμα ὑπεκρουσάμην Ἀρμενίους, καὶ ζέσιν ἔπαθον περικάρδιον, ἐννοησάμενος, ὁποῖα κα-

κὰ καὶ αὐτοὺς ὁ βάσκανος δαίμων ἡμῖν προσέθετο, ἔξω μὲν πρὸ τῆς ἁλώσεως ἐν ὄντας τοῖς πολεμίοις, καὶ θερμοτέρους ἐκείνων εἰς τὰ καθ' ἡμῶν ἀποδεικνυμένους κακὰ, ἐν ἐφόδοις, ἐν λόχοις, ἐν προόδοις ταῖς εἰς λείαν, ἐν μηχαναῖς, ἐν ἐκφάνσεσι τῶν λανθανόντων· ἔσω δὲ δεσπόζοντας ἡμῶν καὶ αὐτοὺς, ἀπειλουμένους, ἐπιτάσσοντας, ἀποστεροῦντας, τύπτοντας, ἄγχοντας τοῖς ὠνίοις. Ἀρτίσκον γὰρ παλάμῃ περιληπτὸν, ὃν ὁβολοῦ ἂν τις τιμήσαιτο, πολλοῦ αὐτοὶ ἐσταθμῶντο, καὶ Λατινικῶς καὶ αὐτοὶ ἡμᾶς ἀπέκτνιγον. Καὶ ἀπολώλαμεν ἂν τηνικαῦτα, εἰ μὴ τὴν ὀπώραν κατ' ἄμμον πληθύνας ὁ Θεὸς (ἐν αἷς καὶ τὰς σταφυλὰς, ἃς ἄλλων κεκοπιακότων ἕτεροι ἕδρεπον, εἰς τοὺς κόπους ἐκείνων εἰσερχόμενοι), ἔθρεψε καὶ ἡμᾶς. Μὴ γὰρ ἐπὶ νοῦν ἀγέτω τις, ἄλλο τι εἰς τροφὴν καὶ τρυφὴν ἐνδεδῳλεῦσθαι ἡμῖν· ὧν ἐκθλιβομένων μὲν, οἶνον εἴχομεν, εἰ καὶ πνευματίαν ἐκεῖνον καὶ βρόμιον, καὶ οὐ προσηνῆ πρὸς ὑγίειαν, ἀλλ' οὖν παραμυθητικώτερον ὕδατος· καὶ ἀλλοίαν δὲ τροφὴν, ναὶ δὲ καὶ ἱματισμὸν τῇ ἀπεμπολήσει, καὶ εἴ τι δὲ ἄλλο ῥᾴδιον καὶ πρόχειρον πορίσασθαι. Οἱ δὲ ἐξώλεις Ἀρμένιοι λέγονται καὶ καταμιαίνειν ἡμῖν τοὺς ἄρτους. Ἦν δὲ αὐτὸ οὐχ ἱκανὸν, τοὺς πτωχοὺς ἐκτρέπειν τοῦ προσίεσθαι τὰ πωλούμενα. Δεινὴ γὰρ ἡ ἀνάγκη, τὸ καθῆκον ἐκκρούεσθαί, καὶ μόνου τοῦ πρὸς βίαν ἐγκειμένου γίνεσθαι. Τοιοῦτον δέ τινα μιασμὸν διαῤῥέει φήμη καὶ ἐκ τῶν Λατίνων πάσχειν ἡμᾶς. Ἔλαιον γὰρ πιμελαῖς καὶ στέασιν ἐγκατακεραννύντες, ἐγίνοντο τοῖς ἀγαθοῖς Χριστιανοῖς αἴτιοι τοῦ παρανομεῖν τὴν νηστείαν τὴν κατὰ τὰς τετράδας καὶ παρασκευάς· ἵνα μὴ μόνον τὴν τύχην ἡμῖν ἀλλοιώσωσιν, οἷς ἡμᾶς κατεδουλώσαντο, ἀλλὰ καὶ τῇ ἁγίᾳ θρησκείᾳ ἐμπαροινήσωσιν. Ὧ τίς ἂν ἀνάσχοιτο ἐκείνων;

ριε'. Καὶ ὅτε ἡμεῖς μὲν ἐν τῷ τοῦ μεγάλου μυροβλύτου ναῷ ὕμνους ἱεροὺς ἐτελοῦμεν περιστάμενοι τὸν περιώνυμον ἐλεήμονα, οἱ δ' ἐν ταῖς πλαγίαις τοῦ ἱεροῦ βήματος τὰ ἑαυτῶν ἐτέλουν, ἀντιφωνοῦντες ἡμῖν, καὶ τὰς πολίτιδας φωνὰς ὑπερφωνεῖν ἐθέλοντες βοαῖς κορυζώσαις καὶ ἀπηχέσι, πολλάκις δὲ καὶ ταῖς τῶν καθ' ἡμᾶς θείων Εὐαγγελίων ἐκφωνήσεσι, πρὸς ἔριν οἱ ἀχαριτώτατοι ἀντεπεξαγόμενοι, καὶ συγχέοντες οὕτω τὸ εὔτακτον, καὶ τὴν ἱερὰν ἁρμονίαν λύοντες. Καὶ ἐλάλησα μὲν εὐλαβῶς καὶ περὶ τοῦδε τῷ κόμητι Ἀλδουΐνῳ, εἴ πως γένηται τάξις, καὶ μὴ γελῶντο τὰ θεῖα τῇ αὐτονομίᾳ τῶν παρ' αὐτοῖς ἱερέων. Ἀνύσαι δὲ ἔσχον οὐδὲν, εἰ καὶ ἄλλως ἐκεῖνος ἐῴκει ἐν οὐκ ὀλίγοις ἐθέλειν τὰ Ῥωμαϊκὰ τάσσειν, ὡς μὴ καταλύεσθαι. Ὅς γε καὶ δικαιοπραγεῖν εἴτε προσποιούμενος, εἴτε καὶ πρὸς ἀλήθειαν βουλόμενος, ἔν τε τῷ κρίνειν καὶ κολάζειν τοὺς ὑπαιτίους, καὶ ἰσότητα διανέμειν καὶ μώλωψι καὶ λοιπαῖς αἰκίαις, ἀλλὰ καὶ σκόλοψι τῶν τινας κακούργων τιμᾶσθαι, καὶ τῷ τοῦ ἁγίου τάφῳ ἄργυρον καὶ χρυσὸν ἐχορήγησε τὸν ἀρκοῦντα· εἰς ἀναπλήρωσιν τοῦ ἐλλείψαντος· καὶ βίβλους δὲ, εἰ καὶ μὴ τὰς ἀφῃρημένας καὶ οὐδὲ πάνυ τι εὐχρήστους, ἀλλ' οὖν, ὅσας εὑρεστήθη, ἐφιλοτιμήσατο δοῦναι· καὶ σήγματα δὲ κηρῶν ἀργύρεα μεταφορητὰ ἐν

A quoque adversum nos improbus dæmon suggesserit, extra quidem civitatem, ante expugnationem, in mediis hostibus, illis etiam ferventiores in malis adversum nos ostendendis, in aggressionibus, in insidiis, in incursionibus ad prædam rapiendam, in machinis, in revelationibus absconditorum; intra vero civitatem in nos etiam tyrannice sævientes, minantes, præcipientes, rapientes, percutientes, in commercio opprimentes. Massulam enim palmæ mensura, quæ obolo constitisset, multi illi æstimabant, Latiniceque et ipsi nos jugulabant. Tunc periissemus, nisi autumnum nobis consummans Deus (quo tempore uvis abundantibus, pro quibus alii laboraverant, alii vindemiarant, in labores eorum intrantes) nos enutrisset Deus. Ne quis enim existimet aliquo alio in primam et secundam mensam B donatos nos fuisse; ex uvis quas presseramus vinum quidem habebamus, licet ventosum et fetores generans nec sanitati favens, sed aqua jucundius, alioque cibo aut vestimento ex foro, ac si quod aliud paratum ac facile comparatu. Scelerati etiam Armenii panes nobis corrupisse dicuntur. Hoc vero justum non erat pauperes ab emendis necessariis avertere. Terribilis necessitas est a justo prohiberi, solumque prohibitum fieri. Talia etiam fama fuit nos a Latinis fuisse passos. Adipem enim et sebum cum oleo miscentes causa fuerunt cur boni Christiani jejunia Quadragesimæ ac Parasceves non observarint, ita ut non solum non liberos C esse sinerent in electione nostræ servitutis sed etiam cultui sacro insultarent. Quis hæc tandem sustineret?

115. Cum in templo magni Myroblytæ hymnos sacros cantaremus, celebrem eleemosynarium colentes, illi vero in gradibus sanctuarii sua perficiebant, nostris vocibus suas opponentes, altius cantus profanos canere volentes raucis clamoribus ac dissonantibus, persæpe enuntiando sacra evangelia nostra, ita longe a charitate ad rixas provocantes, rectum ordinem turbantes harmoniamque sanctam dissolventes. Prudenter autem de istis comiti Alduino locutus sum, si quando fieret ordo, ac ne sacerdotum suorum privilegiis D illuderent. Nihil obtinere potui, licet ille visus fuisset alias non in paucis Romana restituere velle, non autem dissolvere. Equidem justus ille fuerat visus sive in his quæ ad ipsum spectabant, sive ad veritatem, judicando ac puniendo nocentes, atque ad æqualitatem pœnarum pro plagis cæterisque ictibus violentis, et etiam ad palum quosdam malefactorum damnando; sancti sepulcri argentum quoque et aurum præbuit quantum sufficeret ad supplendum ei quod deerat. Libros etiam, licet non ablatos, nec omnino utiles, sed qui grati esse possent, dare gloriatus est; donavit quoque ceræ figuras argenteas symbolicas in atriis sanctis positas, memoratu di-

guas. Cibaria vero quoque nobis præbuit simul cum libris quos non valde appetebamus, divinas imagines quarum rogati exemplaria accuratissima comitibus illius partiti sumus, nec recusare quivimus, adhuc et sanctam supellectilem (non enim celanda est veritas), ex qua aliquot ornamenta partiti sumus multis sanctarum ecclesiarum.

A ἱεραῖς εἰσόδοις, λόγου ἄξια, ἐχαρίσατο· καὶ ἡμῖν δέ τινα ζωαρκῆ ἐπένειμε σύν γε καὶ βίβλοις, ἃς οὔτι λίαν ἐποθοῦμεν, καὶ εἰκονίσματα θεῖα, ὧν τὰ περφροντισμένα τοῖς ἐκείνου ἡμεῖς αὖθις ἐπεμερίσαμεν, αἰτηθέντες, καὶ μὴ ἔχοντες ἀπαρνήσασθαι· ἔτι δὲ καὶ ἱερὰ ἔπιπλα (μὴ γὰρ κρυπτέον τὸ ἀληθὲς), ἐξ ὧν ἐπικοσμήματός τι πολλαῖς τῶν ἁγίων ἐκκλησιῶν διεμοιρασάμεθα.

116. In his laudandus est comes Latinus, licet alias aliquid mali mistum habuerit, natura enim juxta bonum malum apposuerat, craterem hujusmodi in illo commiscens. Clam enim Latinice agebat cum nostratibus, ac sæpe dicebat illis inter dentes, quod abominatio eis fuisset quod die expugnationis omnem civitatem non jugulassent : Ad quid capita talibus corporibus imponuntur? sanguinem eorum cum nostro non esse commistum; regem non esse advocaturos, hosque omnes se esse submissuros, Latinos vero solos eos esse renovaturos, sicque omnia bene esse futura. Hæ autem sequebantur minæ adversum nos, ac unaquaque hora ira comiti inspirabatur a diabolo, dum voces hæc audirentur : Cras, cras, et statim omnis Dei populus nobiscum. Necesse ergo erat opus facere ac loqui, sic quoque sæpe egimus, diverso modo laborantes. Dei gratia hoc suadebamus persæpe eo quod dux illuc irreperet, ante non nos produxeramus usquedum omnino mutati (hæc non dico in homiliam, sed in concionem) causam nostram defendebamus, non adulatione abstinentes, sermonem autem jucundum efficientes, dure tamen aliquid dicentes, querendo de atrocitate occupationis Latinorum, extollendo vero opportune laudem Thessalonicensium, hos sermones multiformes omnino concinnentes accommodantesque rudibus hominibus, ita ut cum cautione scriptoris convinceremus, vituperaremus, ac exhortaremur illos, qui tempore paris ex nostris monitis ignavi fuerant in adimplendis integre præceptis evangelicis, ne inviti pateremur, virum firmaveramus, cumque firmiter stabilitus fuisset, adduximus ad jurandum, equidem jam non metum cædis vel alterius mali victos sollicitaturum esse. Deinde quievimus usquedum licuerit. Non vero omnino licebat cum Latinis Romanorum osoribus.

B ρις'. Τοῦ δὲ κόμητος τούτου ἐκεῖνο μάλιστα τὸ καλὸν, εἰ καὶ ἄλλως εἶχέ τι καὶ κακὸν συμμιγὲς, παρὰ καλῷ κακὸν θεμένης τῆς φύσεως, κρατῆρος τοιοῦτον κερασαμένης αὐτῷ. Εἶχε μὲν γὰρ τὸ Λατινικὸν ὑπούλως περὶ τοὺς καθ' ἡμᾶς, καὶ συχνὸν αὐτοῖς ὑπ' ὀδόντας, ὡς ἀνάθεμα τοῖς μὴ κατὰ τὴν ἡμέραν τῆς ἁλώσεως ἅπαν τὸ πολιτικὸν κατασφάξωσι, καὶ τό· Διατί κεφαλαὶ τοιούτοις ἐπικάθηνται σώμασι; καὶ ὅτι τὸ τούτων αἷμα οὐ ποιεῖ σύγκρασιν πρὸς τὸ ἡμέτερον· καὶ ὅτι παρακλητεύσομεν τὸν ῥῆγα, καὶ πεσοῦνται μὲν πάντες οὗτοι, ἀντεισοικισθήσονται δὲ καταμόνας Λατῖνοι, καὶ οὕτως ἅπαντα καλὰ ἔσονται. Οὐκοῦν ἀκόλουθοι τούτοις ἀπειλαὶ καθ' ἡμῶν καὶ ῥίπισμα ὅσαι ὧραι τοῦ κατὰ τὸν κόμητα θυμοῦ ἐκ διαβολῶν, καὶ ἀναφώνησις τῶν ἐνδιαβαλλόντων τό· Αὔριον, αὔριον, καὶ ὁ τοῦ Θεοῦ λαὸς ἅπας εὐθὺς περὶ ἡμᾶς. Καὶ ἦν ἀνάγκη κοπιᾷν καὶ λαλεῖν· καὶ ἐποιοῦμεν οὕτω συχνὰ, πολυτρόπως πονούμενοι. Καὶ Θεοῦ χαριτοῦντος ἐπείθομεν καὶ τοῦτο πλειστάκις διὰ τὸ τὸν ἄρχοντα ῥέπειν ἐκεῖσε· καὶ οὐ πρώην ἀνήκαμεν, ἕως τὸ τελευταῖον παντοῖοι (οὐ λέγω τὰ εἰς ὁμιλίαν, ἀλλὰ δημηγορίαν) γενόμενοι, καὶ δικαιολογησάμενοι, καὶ οὐδὲ κολακείας ἀπεσχημένοι καὶ χαριεντισάμενοι, καὶ ἐμβριθῶς δέ τι λαλήσαντες, καὶ μεμφάμενοι μὲν τὴν τῶν συγκλύδων Λατίνων δεινότητα, ἔπαινον δὲ τῶν Θεσσαλονικέων προενεγκόντες καίριον, καὶ ὅλως τοὺς λόγους πολυειδῶς ἁρμοσάμενοι καὶ οἰκονομήσαντες πρὸς ἀνθρώπους ἀγρίους, κατά τι ἀμυδρὸν ἀπήχημα γραφικῆς ἐλέγξεως καὶ ἐπιτιμήσεως καὶ παρακλήσεως, οἱ καὶ κατὰ καιρὸν εἰρήνης ἐπὶ τῶν ἡμετέρων ἄτολμοι ὄντες ποιεῖν τὰ εὐαγγελικὰ εἰς ἄκρατον, ἵνα μὴ πάσχοιμεν ἀβούλητα, ἐβεβαιώσαμεν τὸν ἄνδρα, καὶ εἰς ἔμπεδον καταστήσαντες, περιηγάγομεν διομόσασθαι ἢ μὴν μηκέτι φόβον ἐπαρτηθήσεσθαι φόνου ἢ τινος ἑτέρου κακοῦ τοῖς ἑαλωκόσι. Καὶ τὸ ἐντεῦθεν ἀνεπαυόμεθα, εἰς ὅσον ἦν ἐγχωροῦν. Ἐνεχώρει δὲ μὴ εἰς τὸ πᾶν παρά γε τοῖς οὕτω μισορωμαίοις Λατίνοις.

C

D

117. Sed revertendum est ad priora postquam res comitis exposuimus, vitæ operationibus divisis in actus diei et actus nocturnos. Dies equidem mentiti fuerant urbanitatem, attenta rusticitate Latinorum quam dissimulabant ; qui ergo ipsis et nobis mundum sufficere non judicabant, nobis occurrendo, nos consputabant, propellebant, supplantabant, aspergebant injuriis. Hoc sæpe in ore eorum versabatur ut versus intercalaris : « Veni, bone Joannes. » Hoc cavillum oriebatur ex eo quod tempore obsidionis gloriati eramus regem Joannem brevi nobis esse opitulaturum. Si

ριζ'. Ἀλλ' ἐπανιτέον πάλιν ἐκ τῶν τοῦ κόμητος ἐπὶ τὰ πρότερον, διχῇ διῃρημένων τῶν κατὰ βίον εἴς τε τὰ καθ' ἡμέραν καὶ τὰ νύκτερα. Αἱ μὲν ἡμέραι ἡμῖν ἐψεύδοντο τὸ ἥμερον διὰ τὴν ἐν τοῖς Λατίνοις ἀγριότητα, τὴν ἀμυδρῶς ὑπολαληθεῖσαν· οἱ μὴ χωρητὸν αὐτοῖς καὶ ἡμῖν τὸν κόσμον εἶναι κρίνουσι, συναντῶντες γοῦν κατέπτυον, ὤθουν, ἐσκέλιζον, κατέβρεχον ὕβρεις. Συχνὸν ἦν αὐτοῖς ὡς εἰς ἐπῳδὸν τό· Ἐλθὲ, Καλοϊωάννης. Μυκτὴρ οὗτος, ὡς ἡμῶν ἐν τῇ πολιορκίᾳ γαυρουμένων, μικρὸν ὅσον τὸν βασιλέα Ἰωάννην ἐλθεῖν ἡμῖν ἐπίκουρον. Εἰ δέ τις τῶν συναιχμαλώτων πεζῇ τὴν λεωφόρον τρίβοι (τίς δὲ οὐ

τοιοῦτος τότε ; ὅτε καὶ ἡμεῖς ἐπάσχομεν οὕτω, κατάκοποι, καὶ τὰ σκέλη παράφοροι, καὶ τεταραγμένοι, καὶ σεσαλευμένοι κατὰ μεθύοντας), εἰ τοίνυν οὕτω τις περὶ στενωπὸν ὁδεύοι, καὶ τύχοι Λατῖνον παρέχεσθαι ἔφιππον, οὐκ ἂν ἐκεῖνος φείσαιτο καταπατῆσαι καὶ συντρίψαι τὸν ἄνθρωπον, κεντρίζων τὸν ἵππον εἰς κατασκίρτημα. Οὕτως ἐφλουν ἡμᾶς οἱ ἄνθρωποι, συχνὰ πρὸς πάντα λόγον καὶ πρὸς πᾶν ἔργον προϊσχόμενοι εἰς δικαίωσιν τοῦ κακουργεῖν τὸ ἀπὸ σπάθης ἡμᾶς ἑλεῖν· οὐκ ἀνθρώπινα λαλοῦντες, ἀλλ' ὡσεὶ καὶ λέων ἅγραν ἑλὼν ἐθέλει διασπᾷν αὐτὴν, οὐχ ὅτι πεινῴη καὶ ποθοίη σάρκας, ἀλλὰ δικαίῳ τοῦ συσχεῖν αὐτὴν ὄνυξιν. Οὐκ ἦν ἐπὶ τούτοις οὐδὲ ὑποστένειν ἡμᾶς, οὔκουν οὐδὲ κατ' ὄψιν σκυθρωπάζειν, ἃ δὴ τοῖς ἐν κλύδωνι συμφορῶν ἀνεῖται πρὸς ἐκβολὴν τοῦ κατὰ ψυχὴν ἄχθους. Πολὺ γὰρ αὐτοῖς ἐνταῦθα τὸ « Διάβολε, τί στενάζεις ; Ἐβούλοντο γὰρ ἀναισθητεῖν ἡμᾶς καὶ φρενοβλαβεῖν, ὡς καὶ χαίρειν, ἐφ' οἷς κακῶς ἐπάσχομεν. Εἰ δέ πη ξυμπεσὸν ὧδε γελᾷν εἴτε μειδιᾷν ἐπέλθοι τινὶ, χολὴ καὶ τοῦτο δριμεῖα τῷ κατιδόντι Λατίνῳ, Ἐνόμιζε γὰρ, ὡς ἔοικεν, ἢ καταγελᾷν ἡμᾶς τῶν Λατινικῶν πράξεων, ἢ ἀγαθὰ κεραδοκοῦντας ὁ χαιρέκακος εἴτε καὶ πεπονθότας ἀγαλλιᾶσθαι, ὃ τοῖς ἐχθροῖς ἀπενέφαινε. Καὶ τοίνυν δακτύλους εἰς γρόνθον ἔπτυσσον, καὶ τὴν χεῖρα γογγυλίζοντες, ἐρρύθμιζον πὺξ πλήττειν, « Τί γελᾷς, ὦ διάβολε, » βατταρίζοντες. Καὶ οὕτω τὴν αἰθρίαν τοῦ μειδιάματος εἰς νέφος δακρυόεν μετέστρεφον, ἢ καὶ ἑτέρως εἰπεῖν, τὸν γελῶντα Δημόκριτον εἰς Ἡράκλειτον μετεποίουν δακρύοντα.

ριη'. Ἀνεψηλαφῶντο παρ' αὐτῶν καὶ τὰ τῶν παροδευόντων προκόλπια, καὶ ἐξεκενοῦντο, εἴ τί που καὶ ἔφερον χρηματισμοῦ, εἰ καὶ βραχύ τι ἐκεῖνο ἦν. Περιειργάζοντο καὶ μηροὺς, μή που μαχαίρας παρήρτηνται. Καὶ εἴ που εὑρεθείη ἐγχειρίδιον ὁποιονοῦν, αἱ μὲν κόρσαι τοῦ φέροντος εἶχον πληγὰς, ὁ δὲ Λατῖνος τὴν μάχαιραν. Ἔδει καὶ διερρηγμένα πάντας ἡμᾶς περιδεδύσθαι. Εἰ γάρ τις ἱματίζετο εἰς ἀκέραιον, ἀνεθεματίζετο παρ' αὐτοῖς ὁ μὴ λωποδυτήσας τὸν ἄνθρωπον.

ριθ'. Ὅτε δὲ τἄλλα παρήσουσιν, ἐπεβούλευον ταῖς ἑκάστων κεφαλαῖς, ἐπίσης μισοῦντες τούς τε ἀκειρεκόμας, τούς τε βαθυπώγωνας. Καὶ οὐκ ἦν ἰδεῖν ἄνδρα εἴτε καὶ παῖδα τύχης τῆς οἱασοῦν μὴ κουρίαν κατὰ κύκλον, ὁποῖά τις οἶμαι καὶ ἡ παροιμιαζομένη Ἑκτόρειος κουρὰ, εἶτ' οὖν ἡ κατὰ Θησέα τὰ πρόσθεν· ὡς τότε ἀντίθετον βαθεῖαι ἦσαν αἱ πάλαι κόμαι κατὰ τοὺς Ἄβαντας, καὶ οὐ κατὰ τοὺς Λατίνους τούτους, κύκλωθι τροχαλαὶ, καὶ ὡς εἰπεῖν ἀκρόκομοι. Καὶ ὑπούργει πρὸς ταῦτα τοῖς τῶν τριχῶν ἐπιστρόφοις Λατίνοις πῇ μὲν ξυρὸς, πῇ δὲ μάχαιρα· τοῖς δὲ θερμοτέροις καὶ ξίφος. Καὶ αὐτίκα καὶ ὁ πώγων ἠλαφρύνετο τῷ οὕτω κειραμένῳ ἀνδρί. Καὶ ἦν πάντη σπάνιον ἰδεῖν ἄνδρα Ῥωμαῖον ἄρτιον τὴν κεφαλήν. Εἶχον γὰρ ἀνάπαλιν τῷ· « Θρὶξ ἐκ τῆς κεφαλῆς ἡμῶν οὐ μὴ ἀπόλλυται [ἀπολεῖται?]. » Ἦ γὰρ πολλὴ ἁμαρτία, δι' ἣν καὶ πρωῒ πεποινηλατήμεθα, κατὰ τὸν αὐχήσαντα, τὰ εἰς τὰς πρωΐας

A quis vero concaptivorum via publica pedes ambularet (quis tunc non ita ambulabat? cum nos ipsi hoc sustineremus, fessi, cruribus incertis, turbati titubantesque sicut ebrii), si ergo sic aliquis via arcta iter faceret occurreretque Latino in equo sedenti, hic non dubitabat conculcare illumque elidere, equum stimulando ut subsiliret. Homines istiusmodi ita nos diligebant, ut in verbis aut factis pro excusatione delicti dicebant nos sica feriisse, non jam more hominum loquentes, sed sicut leo, qui, capta præda, eam dilaniare vult, non eo quod esuriat vel appetat carnem, sed ut eam unguibus retineat. In his nec ullum gemitum edere poteramus, nec videri mœrentes, quod utique in tormentis eventuum ad animæ oppressæ levamen. Tunc enim repetebant : « Diabole, cur gemis? » Volebant enim nos non sentire et insanire, ac quasi gaudere malis quæ patiebamur. Si accideret cuidam, viso labente, ut rideret vel subrideret, Latinus irascebatur etiam vehementer illi qui viderat. Existimabat enim, ut videtur, sive nos actus Latinorum deridere, sive bonum exspectantes ut malo gaudentes, sive tandem de eo gaudere quod hostes latebat. Digitos igitur flectebant in modum tibicinis, manumque rotundantes in numerum agitabant ad pugnum impingendum : « Cur rides, o diabole? » balbutiebant. Sicque serenitatem risus lenis in nebulam lacrymarum convertebant, sive, ut aliter dicatur, ridentem Democritum in Heraclitum flentem mutabant.

118. Vestimentorum sinus viatorum tangebant evacuabantque, si quid utile esset licet parvi momenti. Curiose scrutabantur crura ne quando penderet gladius. Si quando pugio quantuluscunque inveniretur, genæ quidem ferentis ictus sentiebant, Latinus vero pugionem rapiebat. Quod vero dilaceratum fuerat a nobis omnibus induendum erat. Si autem aliquis inducebat puritatis gratia, ab illis damnabatur qui non hunc hominem despoliaverat.

119. At his non contenti, uniuscujusque ex nostris capiti dicam movebant, æquali prorsus odio habentes et eos qui longis capillis et eos qui densa barba utebantur. Non videre erat virum aut puerum quemcunque non habentem tonsuram rotundam, qualis erat, puto, tonsura quæ in proverbio Hectorea, tonsura antica Thesei : tunc quasi ex antithesi densæ erant ex longo comæ Abantarum, non vero comæ Latinorum horum quæ tonsæ in toto circuitu quoddam genus apicis efformabant. Ad hæc Latini, de capillis suis solliciti, utuntur, alii novacula, alii gladio, alii ferventiores acinace; statimque tonso sic viro barba alleviabatur. Erat ergo rarum omnino videre Romanum virum, capite integro. Proverbium quoddam erat eis contrarium : « Capillus de capite nostro non peribit. » Quia multa erant peccata, ideo e mane pœnas dedimus per eum qui gloriabatur e mane peccatores terræ inter-

ficere ac delere e civitate Domini operantes iniquitatem, usque ad ipsos capillos malum nobis exaltavit, ut toto frigeremus corpore, nudati capillis. Si vero alicui barba salva fuerit, decens erat velut ex natura, mali tonsores eum tangentes una manu, altera vero capitis capillos, hæc quidem bona esse dicebant, illa vero mala, barbæ scilicet, jocantes in non jocosis.

120. Volentes vero sic in istiusmodi nos ipsis similes esse, oderant tamen communem vitam cum illis; ideo nobiscum vivere non dignabantur. Sed cum quidam dominorum, huc et illuc errans, domum in memoriam revocaret, sua imaginaretur, illuc adire desideraret, accederet, respiceret intus, interrogatusque quis esset ut ita ageret, responderet ipsum esse jamdudum domus dominum, læte recipiebatur, abnuens præ reverentia, deinde intus circumspecte ambulabat, dabanturque salus et sedes, cibus et potus; hujusmodi vero observationes ut ab homine barbaro lethiferæ erant. Etenim pro bonorum ostensione ac donatione ciborum, injuriæ, e paleis fumus et alia novi generis mala; quæ semel data ordinate rursum dabantur; adhuc et anxietates miseri, intolerabiles ictuum sustentationes, usquedum carnifices vel crudelitati satisfecissent, vel fuissent miserti. Nam hoc aliquando evenit, quemadmodum leo esuriens, cum prædam dilaceraverit, deinde miseratur aut vita vexatam derelinquit. Quosdam ex his qui sic et aliter patiebantur transtulerunt e vita persecutores, timentes ne, postquam magnum thesaurum apud victimas invenissent, ipsis a comitibus extorqueretur, sicut conventum fuerat. Quidam Constantinus (nomine solo), vir bonus, divitiis cumulatus, bona propria jactans, quibus cor suum devinxerat, sicque desiderio domi captus, cum fuisset suspensus, milleque plagas accepisset, ad unamquamque suspensionem bona projecisset, sicque in tantum ut mente captus videretur; cum inquirens novas artes ab eis depulsus fuisset, ac fuisset minatus se rem comitibus denuntiaturum, non jam caput habuit; sed amputatum ac sepultum est in terra; reliquus vero Constantinus abjectus est cadaver auxilio destitutus.

121. Aliam immoderationem habebat adhuc hoc malum. Allecti enim lucro dominorum Barbari, intra portas insidias pararunt. Ac si quem transeuntem viderent, speciem certam viri divitis præbentem, apprehendebant eum intus, velut p'eræque terribiles feræ ex antro irruentes; tenentesque eum torquebant usquedum scopum attigissent. Si vero quidam vivere cum captivis volebant, deinde habebat quoque hoc incommodum, scilicet hoc libentersufferre dicebantur; quod erat magis fraternum et humanius. Tunc non erat possibile in templis sacris sponte hymnos canere; sed huic bono

A ἀποκτείνειν τοὺς ἁμαρτωλοὺς τῆς γῆς, καὶ ἐξολοθρεύειν ἐκ πόλεως Κυρίου τοὺς ἐργαζομένους τὸ ἄνομον μέχρι καὶ εἰς αὐτὰς τρίχας τὸ κακὸν ἡμῖν ἐκορύφωσεν, ἵνα εἰς τὸ πᾶν ῥιγῶμεν ἐψιλωμένοι καὶ τὰς κεφαλάς. Κἂν εἴ που διεκπέφευγέ τινι πώγων, καὶ ἦν καθιέμενος κοσμίως, ὡς εἶχε φύσεως, ἁπτόμενοι τούτου οἱ φαῦλοι κουρεῖς τῇ ἑτέρᾳ χειρὶ, θατέρᾳ δὲ τῶν κατὰ κεφαλὴν τριχῶν, ταῦτα μὲν εἶναι καλὰ ἔλεγον, ἐκεῖνα δὲ κακὰ, τὰ τοῦ πώγωνος, ἀστειζόμενοι ἐν οὐ παικτοῖς.

ρκ'. Στέργοντες δὲ οὕτω τὴν ἐπὶ τοιούτοις πρὸς αὐτοὺς ἡμετέραν ἐξομοίωσιν, τὸ συζῆν αὐτοῖς ὅμως ἀπέστεργον· διόπερ οὐδὲ συμβιοτεύειν ἡμῖν ἠροῦντο. Ἀλλ' ὅτε τις τῶν οἰκοδεσποτούντων, ὧδε καὶ ἐκεῖ πλαζόμενος ἀναπολήσει τὴν οἰκίαν εἰς νοῦν, B καὶ φαντάσεται τὰ ἑαυτοῦ, καὶ ἐπιθυμήσει παρελθεῖν ἐκεῖ, καὶ ἐγγίσει, καὶ παρακύψει ἐντὸς, καὶ ἐρωτηθείη, τίς ὢν οὕτω ποιεῖ, καὶ ἐξείπῃ αὐτὸς τοῦ οἴκου κύριός ποτε εἶναι, παρελαμβάνετο μὲν ἡδέως, καὶ ὑπανεχόμενος, ὡς ἐπὶ τιμῇ, ἔβαινεν ἀδρὸς ἔσω, καὶ εἶχεν ἀσπασμὸν καὶ προεδρίαν καὶ βρῶσιν καὶ τὸ πιεῖν· τὰ δ' ἐπὶ τούτοις τῷ ἀνδρὶ ἐκ τῶν βαρβάρων δεξιώματα θανατηρά. Κρεμάθραι γὰρ, καὶ αἰκισμοὶ, καὶ ἐξ ἀχύρων καπνοὶ, καὶ ἕτερα καινότροπα κακὰ, ἐπὶ χρημάτων ἐκφάνσει καὶ δόσει· ὧν διδομένων, πάλιν κύκλος ἐν τοῖς αὐτοῖς. Ἀναρτήσεις γὰρ τοῦ ἀθλίου καὶ καταφοραὶ βαρεῖαι πληγῶν, ἕως ἂν ἢ ἐμπλησθῶσι τῶν ποθουμένων οἱ δήμιοι, ἢ ἐλεήσωσιν. Ἐγένετο γάρ ποτε καὶ τοιόνδε τι, ὡσεὶ καὶ λέων πεινῶν καὶ ἐνδακὼν, εἶτα ἐλεήσει, ἢ ἀφήσει τὸν αἰκιζόμενον ἡ ζωή. Τῶν τινας δὲ οὕτω παC σχόντων καὶ ἄλλως τοῦ ζῆν μετέστησαν οἱ αἰκιζόμενοι, δείσαντες, μὴ πολὺν θησαυρὸν ἐκ τοῦ κολαζομένου ἐξευρηκότες, ἀφαιρεθῶσι πρὸς τῶν κομητῶν τὸ εὑρημένον, καθὰ συνέκειτο. Κωνσταντῖνος γοῦν τις (ὁ ἐπίκλην κεκαλεσμένος), ἀνὴρ ἀγαθὸς καὶ πλήθων τὰς χεῖρας, φαντασάμενος τὰ οἰκεῖα, οἷς τὴν καρδίαν κεκόλλητο, καὶ οὕτω πόθῳ τοῦ οἴκου ἀγρευθεὶς, καὶ ἁπαιωρηθεὶς, καὶ μυρίας πληγὰς ἐντριβεὶς, καὶ κατὰ ἑκάστην ἀπαιώρησιν ἐξεράσας χρήματα, καὶ εἰς πολλὰ κορυφώσας αὐτὰ, εἶτα καὶ ἐλαφρίαν παθῶν λογισμοῦ, καὶ ἐν τῷ ζητῆσαι λαβεῖν τι ἐκεῖθεν παρακρουσθεὶς, καὶ ἀπειλησάμενος, καταμηνύσαι τὸ πρᾶγμα τοῖς κόμησιν, οὐκ ἔσχεν ἔτι κεφαλὴν, ἀλλ' αὐτὴ μὲν κατεχώσθη D που ἐκκοπεῖσα· ὁ δὲ λοιπὸς Κωνσταντῖνος ἐξερρίφη νεκρὸς ἀβοήθητος.

ρκα'. Ἔσχε δὲ καὶ τοῦτο τὸ κακὸν ἑτερολαν ἐπίτασιν. Γλυκανθέντες γὰρ οὕτω τῷ κέρδει τῶν οἰκοδεσποτούντων οἱ βάρβαροι, ἐνελόχων ἔσω πυλῶν. Καὶ εἴ τινα παροδεύοντα ἴδοιεν, δόκησιν ἀνδρὸς πέμποντα πλουτοῦντός ποτε, ἥρπαζον αὐτὸν ἔσω, οἷά τινες δεινοὶ θῆρες ἐκ φωλεοῦ· καὶ βιαζόμενοι ἐτυράννουν, ἕως τι τῶν κατὰ σκοπὸν ἀνύσαιεν. Εἰ δέ τινες καὶ συμβιοτεύειν αἰχμαλώτοις ἤθελον, εἶχε μέν τι καὶ τοῦτο βάρος ὡς οἱ εὖ πάσχειν δοκοῦντες περιηγοῦντο· ἦν δέ πως φιλάλληλον αὐτὸ καὶ ἀνθρωπικώτερον. Οὐκ ἦν οὐδὲ τοὺς θείους ναοὺς ὕμνοις ἀσκύλτως περιᾴδεσθαι τότε· ἀλλ' εἶχε καὶ τὸ καλὸν

ἔργον τοῦτο ἐπῆρειαν. Καὶ τὰς μὲν ἀρχὰς ἱκαναὶ ἡμέραι, καὶ οὔτε ἐκλείοντο, οὔτε σύναξις ἦν ἡ ἐθάς, ὡς ὑμνεῖσθαι Θεὸν, ἀλλ' εἴ που ὡς ἐπὶ σκέπῃ καὶ ἀναπαύσει αἰχμαλωσίας, δσα καὶ κατ' οἴκους. Ὅτε δέ ποτε καί τις ἄδεια ἐξεφάνη, καὶ θεῖοι πυλεῶνες ἀνεῳγέσθησαν, καὶ φῶς μυστικὸν ἀνήφθη, καὶ ἠρμόσθησαν ψαλμοὶ, καὶ ἱερεὺς ἐτέλει, καὶ λαὸς ἡμέτερος εἶχε σχολὴν κατὰ ἰσχὺν, τότε ὁ δαίμων ἀντέπραττε, τῶν φαύλων Λατίνων εἰστρεχόντων, καὶ ταῖς ἱεραῖς φωναῖς ἐπιβουλευόντων, καὶ λαλαγούντων, καὶ συνήθη βαῦζόντων, εἴ πως ἐγκόπτουσι τὴν συνέχειαν τοῦ καλοῦ.

ρκβ'. Οἱ δ' αὐτοὶ καὶ τὸ ξύλον, ὅπερ εὔθετόν ἐστι, κήρυκος δίκην σημαίνειν τῷ λαῷ τὴν ἐπ' ἐκκλησίας ἄθροισιν, κωλύειν ἤθελον. Ὅτε γοῦν τὴν ἀρχὴν ἐκρούσθη τοῦτο περὶ τὴν καθολικὴν πρὸς δείλην ἑσπερινὴν, ξιφήρεις αὐτίκα ἐπὶ τὸν κρούσαντα κατὰ βίκην ὀφθαλμοῦ ἢ τάχος ἀστραπῆς οἱ βάρβαροι· καὶ τὸν διάβολον συνήθως μασώμενοι καθ' ὕβριν ἡμετέραν, Τί τοῦτο; ἔλεγον, καὶ ἐκώλυσαν τότε τὸ ἔργον. Καὶ διέβη τὸ τούτων θέλημα κατὰ φόβον τὸν ἐξ ἡμῶν καὶ εἰς τοὺς λοιποὺς, ὅσοι οὕτως ἔψαλλον. Μετὰ δὲ οὐ πολλὰς ἡμέρας, τῆς ἑορτῆς ἡμῖν ἑταύριον ἀχθησομένης τῆς ὑψώσεως τοῦ παντίμου σταυροῦ, ἀνῆλθον μὲν οἱ ἱεροκήρυκες εἰς τὴν τοῦ καθ' ἡμᾶς καθολικοῦ ἱεροῦ κορυφὴν, τὰ συνήθη τελέσοντες ἐν ἐπιτομῇ· οὐδὲ γὰρ ἐξῆν πλατῦναι διὰ τὸ τῆς εὐφημίας οὐκ ἀπρόσκοπον. Καὶ ὡς ἐσήμαναν τῷ ξύλῳ τὴν ἑορτὴν τρανέστερον, πάλιν οἱ βάρβαροι· ξίφη γυμνὰ, καὶ ἄνοδοι αὐτῶν ἐντρεχεῖς, καὶ ἀναχρίσεις, καὶ ἔρευναι τῶν κύκλῳ κατά τινα ἰχνηλάτησιν, μὴ καί τις δόλος ὑποκρύπτοιτο. Ὡς δὲ καὶ πολυπραγμονήσαντες, καὶ κακολογήσαντες, καὶ ἀπειλησάμενοι, σταθεροὺς ἑρμηνευτὰς τοῦ πράγματος εὗρον, τοὺς περὶ ἡμᾶς, ἐπραΰνθησαν, καὶ κατῆλθον ἥμεροι, καὶ οὐκέτι ἠνώχλησαν οὐδαμοῦ, οἷα λελυμένου τοῦ ἀπόρου σφίσι πρὸς ἀλήθειαν. Τότε δὴ καὶ ἐπῆλθεν ἡμῖν ἀπορῆσαι, τί δήποτε τοὺς μὲν ἄνω περὶ τὸν τοῦ μυροβλύτου ναὸν σημαντικοὺς τοῦ ψάλλειν μεγάλους κώδωνας οὐχ ὑποπτεύουσι, τὸ δὲ περὶ τὴν μητρόπολιν συνθηματίζον ξύλον τὴν ἱερὰν σύναξιν βαρέως φέρουσι; Καὶ διενοησάμεθα, ὡς εἰκὸς, μὴ τοὺς τυχόντας Λατίνους δυσαρεστηθῆναι, ἀλλὰ τῶν τινας ἐκ τῆς Μεγαλοπόλεως οἳ τῷ ἱερῷ παρατυχόντες πολέμῳ, τῷ προεκτεθειμένῳ εἰς ἱστορίαν, καὶ μαθόντες ἐν τῷ μεγάλῳ ναῷ τότε ξύλα τοιαῦτα κροταλιζόμενα, καὶ τὸν Ἀνδρόνικον προκαλούμενα, ὡς εἰς ἐπικουρίαν τῶν τῆς ἐκκλησίας, ψήθησαν κἀνταῦθα ἡμᾶς τοιοῦτόν τι μηχανᾶσθαι.

ρκγ'. Καὶ τοιαῦτα μὲν ἡμῖν τὰ ἡμερινὰ κακὰ, ἐξ ἀπείρων μέτρια καθιστορῆσαι· τὰ δὲ τῶν νυκτῶν, οὐδ' αὐτὰ ἔχουσι μὴ οὐ πρὸς ἔριν τούτοις ἀντεπεξάγεσθαι. Καὶ τέως ἡλίου κατακυλισθέντος εἰς δύσιν, ἐχρῆν τὸν φρονοῦντα ἔσω καλύβης εἶναι, μοχλοῖς τὰς θύρας ἀσφαλισάμενον· ὡς, εἴ γε μὴ οὕτω ἐποίει, οὐδεὶς ἂν ἐγγύην ἐδίδου περισωθήσεσθαι τὸν ἄνθρωπον. Ἀλλ' ὅτε καὶ κατ' οἶκον κρυβείς, οὐκ ἔχοι σκότον, ἀλλὰ πυρὶ καταλάμποιτο ὑπουργῷ, ἢ καὶ φωτὶ, ἕτερος τοῦτο κίνδυνος, περιιόντων τῶν Σαρα-

operi persecutio quoque sua erat. Ac in principio multi fuerunt dies quibus nec claudebantur, nec assueta synaxis fiebat, ad Dei laudes canendas, nisi quis esset receptus et perfugiens captivitati, scilicet etiam domibus. Cum vero aliquando libertas apparuit, portæ sacræ clausæ fuerunt, lumen mysticum accensum est, concinnati sunt psalmi, sacerdos celebravit, populusque noster, quantum poterat, otium habebat; tunc contradixit dæmon, improbis Latinis irruentibus, sacris vocibus insidiantibus, vociferantibus, assuetaque balbutientibus, si continuitatem boni intermittent.

122. Illi vero ligni pulsationem ad indicandum populo in ecclesia cœtum, impedire voluerunt. Cum e principio pulsatum est hoc ad concionem hora vespertina, armati statim sunt adversum nuntium, ad ictum oculi aut celeritatem fulguris Barbari; diaboli juxta consuetudinem verbis utentes nobis conviciando, Quid hoc? dicentes, tumque illud opus prohibuerunt. Hæc eorum voluntas ex timore nostro ad reliquos venit qui tunc psallebant. Non multos vero post dies, postridie ad festum apud nos exaltationis reverendissimæ crucis celebrandum, præcones ascenderunt in apicem nostri Catholici sacri ut assueto officio fungerentur; non enim licebat longius differre ne bonus nuntius negligeretur. Ubi in ligno indicassent clarius festum, en iterum barbari: nudi gladii, gressus eorum prompti, quæstiones, inquisitiones circumstantium, quasi post vestigia, ne dolus aliquis latitaret. Ubi vero post multas inutiles indagationes, et injurias ac minas, aptos interpretes rei invenerunt, qui apud nos erant, placati sunt, comites devenerunt, nullo modo jam trepidantes· quia dubium in veritatem abierat. Tunc scire non poteramus quid tandem non suspicentur magna tintinnabula quæ sunt supra templum Myroblytæ ad officium divinum vocantia, sed ægre ferunt lignum quod in metropoli indicat sacram synaxim? Excogitavimus autem, quod erat verisimile, non quoslibet Latinos illud improbare, sed quosdam ex Megalopolitanis: illi, qui adfuerant bello sacro de quo primo fit mentio in historia, cum didicissent in magno templo ligna tum esse resonantia, putarunt illa Andronicum appellare velut in auxilium eorum qui erant in ecclesia, ideoque nos aliquid hujusmodi machinari.

123. Hæc sunt mala diurna, ad historiam modica jam toleratis comparata, nocturna vero non comparanda. Statim ut sol occiderat homo prudens domi se includere debebat, fores pessulis occludens; nisi ita factum fuerit, nemine illum salvum fore spondere valenti. Sed cum, licet domi inclusus, in tenebris non esset, sed igne solito vel lumine illuminaretur domus, hoc erat aliud periculum, supervenientibus Saracenis, ac si qui sicut illi nefarii homines (illi vero sunt multi), interrogan-

tibusque : Quid agit dominus quod non se somno tradat ? fractisque portis, intus penetrant faciuntque quod ipsis lubuerit. Dicendum vero nobis est non istos solos esse qui male tractarentur, splendore ignis aut luminis favente; sed erant quoque sine igne et sine lumine. Nemine teste enim hi nefarii penetrantes, nocte quasi inferni favente, galeroque obvolvente protecti, mulieres abducebant a latere maritorum, ligamen matrimonii violento raptu fœde profanantes; quam lucente sole consideraverant, rapiebant nocte, puellas quoque a matribus, nondum factas, ut aiunt, supplicationes matrum pro nihilo habentes. Si bona raperent, quasi eleemosynas quasdam, quasique malum divites opum censebant. Erant vero qui in domibus suis jugularentur, malum impunitum absente sole patientes. Ratio erat furor nocturnorum furtorum ac gemitus miserorum. Qui ex Barbaris urbaniores erant ac facetl, amabant in portas irruere, virgis frangere, avellere auferreque in derisum, vel adhuc dominos loci somno privare.

κήνων, καὶ εἴ τινες δὲ ἄλλοι κατ' αὐτοὺς κακοῦργοι (πολλοὶ δὲ οἱ τοιοῦτοι), καὶ ἀνακρινόντων, τί ποιῶν ὁ οἰκοδεσπότης εἰς ὕπνον οὐ κατακέκλιται; καὶ κατακλώντων τὰς θύρας, καὶ εἰσπηδώντων ἔσω, καὶ δρώντων, ὅσα ἂν καὶ εἶεν βουλομένοις αὐτοῖς. Ἔχομεν δ' εἰπεῖν καὶ ὡς οὐχ οὗτοι μόνοι ἐκακοῦντο διὰ πρόφασιν, τὸ πῦρ καὶ τὸ φῶς, ἀλλὰ καὶ οἱ ἀνεμπύρευτοι καὶ ἀφώτιστοι. Ἀνεξέλεγκτα γὰρ ἐπεισφροῦντες οἱ κακοί, καὶ τὴν νύκτα ὡσεὶ καὶ ᾅδου κυνέην εἰς ἐπίκρυψιν ἀμφιβεβλημένοι γυναικάς τε ἁπῆγον τῶν συνεύνων, ἀφιέντες τὸν τοῦ γάμου ζυγὸν ἑτεροκλινῇ τῇ ἁρπαγῇ τῆς δυνάμεως· ἣν ὑπὸ ἡλίῳ διευκρινοῦντι κατασκεπτόμενοι, νυκτὸς ἀφήρπαζον· καὶ νεάνιδας τῶν γειναμένων, ἀτελεῖς, καθά τις ἔφη, τὰς τῶν τεκόντων ἐπ' αὐταῖς εὐχὰς τιθέμενοι. Εἰ δὲ καὶ χρήματα συναπῆγον, ὅσα καὶ προῖκάς τινας, ἐκ περιουσίας τουτὶ τὸ κακόν. Ἦσαν δὲ οἳ καὶ ἐσφάττοντο ἐπὶ τῶν οἰκιῶν τηνικαῦτα, ἡλίῳ ἀμάρτυρον κακὸν πάσχοντες. Καὶ τὸ αἴτιον ἡ νυκτιλόχος μανία, ἢ ὅτι ἐξεδόων οἱ κακουργούμενοι. Ὅσοι δὲ τῶν βαρβάρων ἐπιεικέστεροι καὶ παιγνήμονες, οὗτοι δὲ ἀλλ' ἠγάπων θύραις ἐναλλόμενοι, καὶ κόπτοντες ῥάβδοις αὐτὰς, καὶ ἢ ῥιπτοῦντες καὶ εἰς φόρτον ἄγοντες, ἢ ἀλλὰ γοῦν τοὺς κυρίους τοῦ τόπου ἀποστεροῦντες τοῦ ὑπνοῦν.

124. Hæc equidem et alia plura his ac imprimis nuditas, fames multos captivorum turbantes commoventesque animas usque ad mortem, ex necessitate eas impulerunt (quid enim aliud adhuc excogitassent?) ad sibi omnibus rationibus Latinos conciliandos, præveniendo, adulando, blandiendo, obsequendo, serviendo, omnia denique agendo ut vivere possent ac absque timore essent. Sed deinde sunt qui inviti in sua recte festinatione offenderunt. Insani enim intempestive locuti sunt, abdita thesaurorum patefecerunt, rapuerunt ac despoliaverunt. Persecuti sunt fugientes, multos ejusdem sanguinis, capiendos venatoribus malis tradiderunt, in multisque aliis peccaverunt, non sponte sua in omnibus agentes, sed ut cum vulgo loquamur, vellent nollent.

ρκδ'. Ταῦτα δὴ καὶ τούτων ἕτερα πλείω, καὶ μάλιστα τὸ γυμνιτεύειν, καὶ ὁ λιμὸς τοὺς πολλοὺς τῶν αἰχμαλώτων, θροοῦντα καὶ διαταράττοντα ἕως καὶ εἰς θάνατον τὰς ψυχὰς ἠρέθισαν κατ' ἀνάγκην (καὶ τί γὰρ ἄλλο ἐμηχανήσαντο ἄν;) ὑπαικάλλειν τοὺς Λατίνους, ὑποτρέχειν, κολακεύειν, θώπτειν, σαίνειν, δουλεύειν, πάντα ποιεῖν, ἐξ ὧν ἂν καὶ ζήσαιεν, καὶ μηδὲ φόβον ἔχοιεν. Κἀντεῦθεν εἰσὶν οἱ προσέκοψαν εἰς τὸν ὀρθὸν δρόμον ἄκοντες. Οἱ γὰρ μὴ ἔμφρονες καὶ κατελάλησαν, καὶ θησαυρῶν κατεμήνυσαν κρύψεις, καὶ ἥρπασαν, καὶ ἐσύλησαν. Ἰχνηλάτησαν δὲ καὶ φυγάδας, τοῦ αὐτοῦ αἵματος τοὺς πολλούς, καὶ ἀγρεῦσαι τοῖς κακοῖς θηραταῖς δεδώκασι, καὶ πολλὰ ἕτερα ἐξήμαρτον, οὔτι ἑκόντες ἔς γε τὸ πᾶν, ἀλλ' εἰπεῖν καθωμιλημένως, ἑκουσιακούσιοι.

125. Hæc sunt gravia quidem atque ad pudorem nostrum spectantia quæ commissa sunt in propria gente (quidam enim eo descendisse convincuntur), ne per labia sua meminerit Deus. Inde matrimonia non legitima, inde mulieres recusantes quos viros lex novit, tum virginum defloralionos, de quibus duces partim non fuerunt liberi, partim illas dimiserunt; tum loca fornicationum, de quibus multa audenter locutus, nullum fructum percepi, non valens avertere quæ peccatum admiserant, eo quod dulce amarum jam gustavissent, aliquando adversum me, ut gravem ad videndum, succlamantes « canem abortivum gustasse. »

ρκε'. Τῶν δέ γε καὶ μεγάλα καὶ πρὸς ἀναίδειαν κατενεχθέντων τοῦ φυλετικοῦ γένους (κατηγοροῦνται γὰρ καὶ τοιοῦτοι ἐκβῆναί τινες) μήποτε μνησθείη διὰ χειλέων αὐτοῦ ὁ Κύριος. Ἐντεῦθεν οἱ αὐτόνομοι γάμοι· ἐντεῦθεν γυναικῶν ἀπαρνήσεις ἀπανηναμένων, οὓς νόμος οἶδεν ἄνδρας. Ἐντεῦθεν παρθένων φθοραὶ, τῶν μὲν οὔτι καθ' ἑκούσιον τῶν ἀρχηγετῶν αὐταῖς τοῦ εἶναι, τῶν δὲ καὶ ἐκείνων προεμένων αὐτάς. Ἐντεῦθεν σεμνεῖα πεπορνευμένα· ἐφ' οἷς ἐγὼ πολλὰ καὶ παρακληθεὶς καὶ παρρησιασάμενος ἄπρακτος ἔμεινα, μηδὲ τὰς πασχούσας τὸ ἐφάμαρτον ἐπιστρέψαι δυνάμενος, οἷα γεγευμένας ἤδη τοῦ γλυκυπίκρου, καί πως ὑποφωνούσας μοι, ὡς χαλεπὸν, χορίου κύνα γεῦσαι.

126. Denique soli motus et fissuræ quibus domus omnes effossæ fuerant, suffodientibus Barbaris quasi cuniculi vel talpæ, vel porci, vel aliud animal radices edens sub humo vivens, ut vero aliter loquamur, quasi aratores. Videtur enim velut cum

ρκς'. Ἐντεῦθεν δαπέδων σάλοι καὶ ἀνασχίσεις, δι' ὧν οἶκοι πάντες ἐξωρωρύχατο, ὑπονομευόντων τῶν βαρβάρων κατὰ λαγιδεῖς, ἢ ἀσπάλακας, ἢ καὶ χοίρους, ἢ ἄλλο τι ζῶον ῥιζοφάγον γεωχαρὲς, εἰπεῖν δὲ καὶ ἄλλως, κατὰ ἀροτρέας. Φαίνεται γὰρ, ὡς καὶ

ἀρότροις ἀνέσχιζον ἂν τὰ τῶν οἰκιῶν, εἴπερ ἐχώρει τὸ κατ' αὐτὰς ἐμβαδόν. Ἔναγχος γάρ τοι ἄσπαρτα καὶ ἀνήροτα δρεψάμενοι κατά τι πεπαροιμιασμένον θέρος χρύσεον, εἶτα καὶ ἄροτον οἷον τοῦτον διεχειρίζοντο, ἐξ οὗ αὐτοφυῆ τὰ καλὰ ἐκέρδαινον ἔρμαια. Καὶ τοῖς ἀμφὶ τὸν ἥλιον μὴ ἀγαπῶντες πλουτισμοῖς, ἐπεβούλευον καὶ τοῖς κατὰ γῆς. Δοτέον μοι τοὺς αὐτοὺς καλέσαι καὶ χρυσωρύχους τὴν ἐπιβολήν, κατά γε τοὺς ἔνδοθεν μύρμηκας (τοιαύτης γὰρ ὕλης ἔρωτι παρηνώχλουν τῇ γῇ)· τοὺς δ' αὐτοὺς καὶ τυμβωρύχους μυριαχοῦ. Οὐδὲ γὰρ οὐδὲ τοὺς νεκροὺς ἀνεπιβουλεύτους παρέτρεχον· ὡς δὲ θησαυροφυλακοῦντας ἐλύπουν, διασκαλεύοντες πλούτου χάριν, καὶ οὕτω τὸν ᾅδην Πλούτωνα καὶ αὐτοὶ νοεῖν ὑπεμφαίνοντες.

ρκζ'. Τί μοι πλείω γράφειν, ἔνθα οὐδὲ βίβλοι ὅλαι μακραὶ ἱκανώσαιεν ἄν με, εἰς αὔταρκες διαγράφοντα τοῖς φιληκόοις, ὁποῖα ἡμῖν συνέπεσε; Δι' ὧν ὀψέ ποτε σὺν κακῷ ἔμαθον οἱ ἐν ἡμῖν κομψοὶ τὴν νόησιν, χρῆναι τὰ θεόθεν σημεῖα λεπτολογεῖν, καὶ πρὸς αὐτοῖς διευκρινουμένοις ἔχειν τὸν νοῦν, καὶ ποιεῖν τὰ δηλούμενα. Εἰ δέ τις ἐνταῦθα ποθῶν φαίνεται προσιστορηθῆναι, καὶ οἷα σήματα τῶν μελλόντων προύφάνη, ἀκουέτω βραχυλογικῶς, καὶ ταῦθ' ἡμῶν εἰς ἱστορίαν ἐκτιθεμένων.

ρκη'. Ἐν πρώτοις μὲν ἀγαθῶν ἀνδρῶν ὀνείρατα, ὁποῖα καὶ ἡ ἱερὰ οἶδε Γραφὴ μηνυτικὰ μελλόντων εἶναι, προελάλουν, οἷα πεισόμεθα. Καὶ ἡμεῖς ἐγελῶμεν, ἐξουθενοῦντες τὰς καθ' ὕπνους δηλώσεις, καὶ διαστολὴν οὐκ ἐθέλοντες ἐξευρίσκειν ὁράματός τε καὶ τῶν λοιπῶν, ἅπερ ὕπνος φαίνει. Καὶ ἀπεῖναι δὲ τὸν μυροβλύτην τῆς καθ' ἡμᾶς πόλεως, καὶ κατ' αὐτὴν τὴν ἅλωσιν εἰσελεύσεσθαι, οἱ αὐτοὶ ἑωράκασι, καὶ ἡμεῖς οὐ πεπιστεύκαμεν. Ὡς γὰρ ὀχλοῦντες οἱ πιστοὶ πρὸς ἐπικουρίαν ἐνέκειντο, ἀνεκάλυψεν αὐτὸς προορατικῶς εἰς μάτην τύραννα δυσωπεῖσθαι. Οὐ γὰρ ἄρτι, ἀλλ' ἢ μετὰ τρεῖς ἡμέρας ἐλεύσεσθαι. Ἦν δὲ τετάρτη μετὰ τὰς τρεῖς ἡ τῆς πορθήσεως. Καὶ συχνὰ μὲν ἐποτνιώμεθα· « Ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, μή ποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ πολιοῦχος αὐτῶν; » Ὁ δ' οὐχ ὑπακούων, ἐξετόπιζεν ἡμῶν ἑαυτόν.

ρκθ'. Ἐδάκρυον ἅγιοι ἐν εἰκονίσμασι· καὶ ἔχαιρον οἱ κενέλπιδες, λέγοντες δυσωπεῖν ἐκείνους ὑπὲρ ἡμῶν. Ἐλέγομεν ἡμεῖς· Ναί, ἀλλ' οὐκ εἰσακούονται, διὸ καὶ ἐπιμένουσι κλαίοντες. Καὶ ἠπίστουν ἡμῖν. Καὶ αὐτοὶ μὲν ἦσαν ἐν ἐλπίσιν· ἡμεῖς δὲ εὖ εἰδότες τὸν ὄλεθρον, ἐξ ὧν καὶ ἐωρῶμεν καὶ ἐλλόγως συνήγομεν, οὐκ εἴχομεν ὅ τι καὶ δράσομεν· λέγοντες καὶ αὐτοὶ μή τι πρὸς ἀγαθῷ εἶναί τινι τὸ μέλλον εἰδέναι, ἔνθα τῷ φρονοῦντι μηδὲν ἡ γνῶσις λυσιτελεῖ· καὶ κατὰ τὴν τῆς ἱστορίας Κασάνδραν (ὀκνῶ γὰρ εἰπεῖν, τὰ μείζω παρεισκυκλήσας; καὶ προφητικὰ) ἀληθιζόμενοι μὲν, ἀφιέμενοι δὲ λαλεῖν εἰς ἀνήκοον.

ρλ'. Ἔδειξέ τι τέρας τότε οὐκ αἴσιον καὶ ἡ πάναγνος Θεομήτωρ, ἡ παρ' ἡμῖν τοῦ ὁδηγεῖν ἐπώνυμος, δεικνῦσα, ὡς ἀποστέργει τὰ καθ' ἡμᾶς, καὶ οὐκ ἐθέλει μεθ' ἡμῶν εἶναι. Προοδεύουσα γάρ ποτε τότε καθ' ἡμέραν, ἡ τὸ κῦρος ἔχει τοῦ τοιούτου καλοῦ, καὶ περιελθοῦσα, ἔνθα τῆς πόλεως ἡ ἀδελφότης ἤθελε,

Aratris enim domorum fundamenta excidisse videntur, si nihil obstabat. Auream enim messem, ut poetæ dicunt, ex agris non consitis, non aratro subactis eosdem arando tulerunt, et pulchras fruges spontaneas, in areis deposuerunt. Sic non contenti opibus subsolanis subterraneas quoque indagarunt. Liceat mihi eos aurifossores vocitare, ut formicas appellamus, quæ istius metalli amore ductæ solum vertunt; sed et sepulcrorum effossores sexcenties audiunt. Nam nec ipsos mortuos intactos præteribant, sed ut gazæ custodes lædebant, auri gratia spoliantes et infernum et Plutonem, id est divitiarum deum, eumdem esse asserentes.

127. Cui bono plura scribam, siquidem libri integri et grandes non sufficerent ad conscribendum ea quæ nobis acciderunt? Attamen qui apud nostrates ejusmodi rebus student, simul didicerunt Dei signa observanda esse, et mandata ejus perficienda. Si quis igitur historiam ediscere et ex signis futura augurari voluerit, quæ memoriæ tradidimus attenta mente legito.

128. Jam ab initio de somniis quæ sacra Scriptura novit ut rerum futurarum indicia, quæ sentimus jam diximus. Igitur nos risimus, flocci-facientes somniorum indicia quæ intersomnum et somnia, quæ per somnum videmus distinguere nolumus. Iidem enim interpretes dum viderunt Myroblytam a civitate nostra absentem obsidionis tempore reversurum esse, nos fidem nullam habuimus. Cum enim creduli impatienter auxilium exspectarent, ipse prophetice declaravit de tyranno trepidandum esse, qui post tres tantum dies venturus esset. Erat autem quarta dies ab urbe excisa; et sæpe supplices precati sumus: Veni ad salvandos nos, nequando dicant gentes, Ubi est patronus eorum? Ille autem non audiens peregre abiit.

129. Sancti lacrymabantur in suis imaginibus, et gaudebant qui vana spe ducebantur, dicentes illos nostri causa affligi; nos autem dicebamus: Esto, sed non exaudiuntur, ideo lacrymari pergunt. Et nullam nobis fidem habebant, etsi ipsi sperarent. Nos autem qui ruinam probe prævidebamus ac ratiocinabamur ex iis quæ ante oculos habebamus dubii hærebamus quid faciendum esset, et futuri scientiam nihil prodesse affirmantes, ubi ipsi prudenti nihil commodi affert; et sicut Cassandra (non enim de ejus prophetiis plura afferam), verum diximus, sed ad surdas aures.

130. Tum miraculum minime faustum purissima Mater Dei, quæ apud nos Hodegetria, viæ dux, audit, exhibuit, indicans quod res nostras odisset, et nobiscum stare nollet. De quodam festo cum, fratribus præeuntibus, per totam civitatem ambulasset S. Mater, et in eo esset ut in ædem suam

ingrederetur, per portam intrare recusans eum qui ipsam humeris portabat, pedem referre coegit, dum pondere insolito sensim ingravescente oppressus pæne humi caderet, nec ipse solus, sed quotquot manum imponere conarentur. Primo quidem qui portabat in suspicionem venit quasi domi hæc machinatus esset, ut sæpe fit. Ubi autem viri sacri, integris moribus et qui nefas committere haud possent, manum imagini promovendæ frustra apposuissent, ac nihilo minus tot quot erant, movere loco valebant, metus ingens omnes invadit vel cordatissimos, donec effusis lacrymis et gemitibus vocem elevarint ad Filium sanctæ Matris, neque inde destiterunt donec comprobato prodigio unus jam expeditus sine magno labore sanctam imaginem ad sedem suam portarit. Quod viris gravibus futile est visum; nos autem miseri qui onere isto gravati fuimus, probe novimus, quid res sibi velit.

καὶ ἀποκαθισταμένη αὖθις εἰς τὸν οἶκον αὐτῆς, καὶ ταῖς εἰσόδοις ἐγγίσασα, οὕτως ὤκνει τὴν εἴσοδον, ὡς ἀνὰ πόδα χωρεῖν κραταιῶς βιάζεσθαι τὸν αὐτὴν φέροντα, καὶ ἐνιστάμενον βαρύνεσθαι ὀτιμάλα, καὶ πρὸς τῷ καταπίπτειν γίνεσθαι· καὶ οὐ μόνον ἐκεῖνον, ἀλλὰ καὶ ἄλλους, ὅσοι συνεπιλάβοιντο. Καὶ ἦν μὲν τὴν ἀρχὴν ὁ ἐκείνην ἀνέχων ὕποπτος, ὡς οἴκοθεν τοιαῦτα τεχνώμενος, ὁποῖα πολλοὶ τερθρεύονται· ὡς δὲ καὶ ἱεροὶ ἄνδρες, ἀγαθοὶ τὸ ἦθος, καὶ οἷοι μὴ παλαμᾶσθαι τὰ μὴ δέοντα, συνήραντο ἐγκρατῶς, καὶ πάντες ἐλάττους ἦσαν τῆς τοῦ ἱεροῦ σίγνου ἰσχύος, καὶ οὐκ ἐπείθετο εἰσελθεῖν, ἀλλ' ἦν, ὡς εἰπεῖν, ἀφόρητον, ὑπέρχεται φόβος ἅπαντας, ὅσον ἐχρῆν παθεῖν, ἐχέφρονας· καὶ ἀναπρήσαντες δάκρυα, ὕψωσαν κλαυθμὸν, καὶ φωνὰς ἐπῆραν πρὸς τὸν ὕψιστον Υἱὸν τῆς πανάγνου Μητρός. Καὶ οὐκ ἐνέδωκαν, ἕως τοῦ σημείου ἤδη διασειχθέντος, εἶτα μόνος ὁ βαστάζων ἀδάρυντος καὶ ἀπαραπόδιστος ἦγαγε τὸ ἅγιον μόρφωμα, ἔνθα ἵδρυται. Καὶ ἐδόκει μὲν καὶ τοῦτο τοῖς γενναίοις φρονεῖν ἐλαφρόν· ἡμεῖς δὲ οἱ ἀσθενεῖς ἐβαρυνόμεθα, ὑπονοοῦντες, ὅπου νεύει τὰ τοῦ πράγματος.

131. Sacra oracula interrogata eventus futuros, diem urbis expugnatæ, exterminationem nostram prædixerunt. O certam prophetiam! O rei indubitatæ et minime æquivocæ revelationem! O surditatem nostram!

ρλα'. Ἀπεκρίναντο καὶ τὰ ἱερὰ λόγια ἐξ ἐρωτήσεως τὰς ἀπιθάσεις τῶν ἐν τῷ μέλλοντι, τὴν ἅλωσιν, τὴν ἡμέραν αὐτῆς, τὸ κατακοπήσεσθαι ἡμᾶς. Ὦ προφητικῆς εὐκρινείας ἐκείνης! ὦ ἀνεπικρύπτου ἀποφάσεως, καὶ μὴ ἐπισυρομένης λόξωσιν! Καὶ ἡμεῖς ἐκωφεύομεν.

132. Erat tunc tempus, expugnationis inquam, quo verba evangelica quibus calamitates Sion præfiguratæ fuerant, in ecclesia recitari debebant. Viri enim graves de civitate ea interpretabantur. Tunc duci qui de eventu desperabat, res nostras disponere, nosque indolentes excitare cœpit, ut eædem ei cordi esse viderentur iis qui earum rerum ignari erant. Nam quasi ludendo circa magna templa excubias agere nobis præcepit. Cur enim pro civitatis salute preces facere? In mente autem habebat religionem colere, quod non sine aliquo simulacro faciebat, ut maximam civitatis curam gerere videretur, preces pro ea facere jubendo. Equidem puto civitatis statum eum fuisse ut certe supplicationibus ei ante omnia opus esset. Ita medicus qui imperitia sua hominis ægri vitam in discrimine posuit, sacerdotem advocat ut viatico morientis salutem firmet. Gravior enim erat quam qui jocaretur, quæ est indoles eorum qui hominum mores ex usu cognitos habent. Idcirco rem religiositatis specie probatam fecit. Utcunque fuerit, illi jubenti ecclesiastici obedierunt. Et cum necesse esset ut carmina dulcia Davidis canerentur, accidit inopportunum aliquid (erat autem diluculum, post quod sole oriente capti sumus) ut psalmum eligerent cujus initium, Deus, venerunt gentes in hæreditatem tuam; et deinde, Polluerunt templum sanctum tuum; posuerunt morticina servorum tuorum, et reliqua. Propheta enim divinus ex revelatione eorum qui precum faciendarum gratia convenerant inspiratus erat, dicens:

ρλβ'. Ἦν τηνικαῦτα καιρὸς, παρὰ τὰ τελευταῖα τῆς ἁλώσεως, καὶ περικοπὰς εὐαγγελικὰς ἐπ' ἐκκλησίας ἐκφωνεῖσθαι, ἃ' ὧν τὰ τῆς Σιὼν στηλογραφοῦνται κακά. Καὶ οἱ ἔσω φρενῶν ἱερολογίαν κατὰ τῆς πόλεως ὑπενόουν αὐτά. Ἔδοξε τῷ ἀρχηγῷ τηνικαῦτα, οἷα τῶν στρατηγικῶν ἀπεγνωκότι, διατάττεσθαι τὰ καθ' ἡμᾶς, καὶ διεγείρειν ὡς οἷον ἀπονυστάζοντας, ἵνα φαίνοιτο τοῖς μὴ συνιεῖσι διὰ πάντων ἡμῶν καὶ προμηθέστατος. Μηνύεται γοῦν ἡμῖν πανυχίδας ἀγρυπνητὰς ἐπιτάξαι περὶ τοὺς μεγάλους ναοὺς, παίζων ἐκεῖνος κάνταῦθα. Τί γὰρ καὶ ἔδει προτρέπειν εὔχεσθαι, ὅπερ ἐκεῖνος ἀπηύχετο, τὴν σωτηρίαν τῆς πόλεως; Ἦν δέ οἱ ἐπίνοια ὁσιοῦσθαι τὸ εὐσεβεῖν, καὶ ἐπικρύπτειν τὴν ὄρεξιν, ἵνα δοκῇ πάνυ περιποιεῖσθαι τὴν πόλιν ἐφ' ἅπασιν, εἴ γε θέλει καὶ εὐχὰς τὰς ὑπὲρ αὐτῆς· οἶμαι δὲ, καὶ ἐνδεικνύμενος, οὕτω καταστῆσαι τὰ τῆς πόλεως, ὡς εὐχῶν καὶ μόνων αὐτὴν δέεσθαι· ὅμοιον ὡς εἰ καὶ ἰατρὸς κατεργασάμενος ἔκ τινος φαυλότητος ἐπὶ θανάτῳ ἄνθρωπον, εἶτα ἐπιτάσσει προκαλεῖσθαι ἱερέα, ἐφοδιάσοντα ἤδη θνήσκοντα σωστικῷ ἁγιάσματι. Οὐδὲ γὰρ ἦν ἐπιπόλαιος, ἀλλὰ καὶ λίαν βαθὺς εὐτραπελεύεσθαι, ὅσα γε πειράσασθαι τοῦ ἀνδρὸς τοὺς δεινοὺς γνωματεύειν ἦθη τῶν, οἷς ἂν περιτύχωσι. Διὸ καὶ ταύτην προσεποιεῖτο τὴν θεοκλύτησιν, ὡς οὐκ ἂν τὸ Θεῖον θεραπεύοιτο. Ὅπως δ' ἂν εἶχε τὸ πρᾶγμα, ὁ μὲν εἶπεν, οἱ δ' ἐκκλησιαστικοὶ ἐπήκουον. Καὶ δὴ χρεὼν προλάμπειν τοῦ ψάλλειν τὸν γλυκὺν μελῳδὸν Δαυΐδ, ἐπῆλθεν οὔτι κατὰ εἶσιον τοῖς δεησομένοις (ἦν δὲ βαθὺς ὄρθρος τότε, οὗ λαμφθέντος ἡλίῳ ἐάλωμεν), ἐπιλέξασθαι ψαλμὸν ἐκεῖνον, οὗ κατάρχει μὲν τό· « Ὁ Θεὸς, ἦλ-

θοσιν ἔθνη εἰς τὴν κληρονομίαν σου· » ἀφέπεται δὲ τό· « Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, » καὶ τὸ ἑξῆς· μονονοὺ χρησμῳδοῦντος τοῦ Προφήτου καὶ θεοπάτορος δι' ὑποφητείας τῶν ἠθροισμένων εἰς δέησιν, καὶ λέγοντος· Τί ἂν ἔτι δεοίμεθα πρεσβειῶν εἰς Θεὸν, ἔνθα ἐκείνῳ τὰ καθ' ἡμῶν ἀποπέφανται;

A Ad quid precibus ad Deum opus habemus, qui res nostras plane cognitas habet?

ρλγ'. Εἶχεν οὕτω ταῦτα, πλείοσιν ἑτέροις παρασπιζόμενα συγκροτήμασι τῆς τοῦ κακοῦ δηλώσεως. Καὶ τοίνυν τῷ συχνῷ τούτων ἅπαντες ἀνεφρονοῦμεν, ὄψιμον συνάγοντες νοῦν, καὶ τὸ πρώην θράσος ἀποποιούμενοι. Οὐ γὰρ ἂν ἐκεῖνο θάρσος, εἴποιμι, ἐλλόγως εἴχομεν, καὶ ἐνοοῦμεν οὐκέθ' ἡμῖν εἶναι φυκτά. Οὔκουν ἔφθησαν καταντῆσαι εἰς πέρας αἱ τῶν ἐκκλησιῶν δεητήριοι ἁρμονίαι, καὶ ὁ πόλεμος, ἔτι τῶν ψαλμῶν εἱλουμένων ἐν τοῖς τῶν δεομένων στόμασι, θρήνους παρέβυσε, καὶ εἰς γόους οἰκτροὺς καὶ ἀλαλαγμοὺς ᾄδου ἀντιπεριέστησε, καὶ εἰς φυγὴν αὐτοὺς ἀθροισθέντας ἔπτυρε, καὶ τοιαῦτα διέθετο, ὥνπερ δίω μεμνῆσεσθαι τοὺς ζῶντας ἔν περ ὀνείροις· εἴπερ οὐ τὰ ἡδέα μόνον προπίπτουσι τῆς καθ' ὕπνον φαντασίας, ἀλλ' οὐδὲν ἧττον καὶ τὰ φόβον ἐνδειξάμενα.

B 133. Hæc et plura alia ad ærumnas nostras conspirabant, quarum frequentia fecit ut resipisceremus, et temeritate deposita sana mente omnia examinaremus. Illa enim audacia rationem comitem non habebat, et nihil nobis fugiendum esse judicabamus. Sic igitur dum in concionibus ecclesiasticis solamen quærebant, bellum, cum psalmi a supplicantibus canerentur, lamentationes suggessit, in gemitus et infernalia suspiria convertit, et concione dissipata animos ita affecit ut qui vita superstites erant, lugubrem istius calamitatis memoriam servaturi sint, siquidem non jucundæ tantum res, sed formidolosæ etiam dormientium imaginationem tangunt.

ρλδ'. Καὶ οὕτως ἐξ ἰδίας ἔχθρας, τῆς τε κατὰ τὸν βασιλέα Ἀνδρόνικον, καὶ τῆς κατὰ τὸν δοῦκα Δαυὶδ, κοινὸν κακὸν κατέσκηψεν ἀνάπαλιν τῷ γνωματευσαμένῳ πολλὰ τῶν κοινῶν κατά τινας ἰδίας ἔχθρας λαγχάνειν ἐπανόρθωσιν. Καὶ οὐκ εὐφραδὴς ἡμέρα, ἡ τῆς πανωλεθρίας, κατερράγη ἡμῖν· ἣν ἤθελον μὲν ἐκ τῶν τοῦ καλοῦ ἐνιαυτοῦ ἀναπληρωμάτων αὐτίκα ἐκκοπῆναι, ὁποῖόν τι λελυπημένος καὶ ὁ καρτερικὸς Ἰὼβ εὔξατο. Ἀλλ' ὁ ἐπιτάξας τῷ ἡλίῳ ὁρίζειν τὰ τοῦ ἐνιαυτοῦ καθ' εἱρμὸν τὸν ἀπ' αἰώνων, ἐξουδενώσει πάντως τὸ τῆς εὐχῆς ταύτης, πεπαιδευκὼς ἄλλως εὔχεσθαι, ἀνθρωπικώτερον. Τὸ γὰρ οὕτω γονυπετεῖν ἐν δεήσεσιν οὐκ ἂν εἴη ψυχῆς μὴ παραφερομένης, οἷς παθαίνεται· ὅθεν καὶ συγγνωστὰ, εἰ καὶ οὕτω λαλοῦμεν. Λίθοι γὰρ ἐνταῦθα οὐκ ἂν παθήναιντο, καὶ ὅσους κατ' αὐτούς. Πῶς γὰρ ἄνθρωπος, ἔνθα καὶ τῶν πολεμίων οἱ φαινόμενοι Θεὸν εἰδέναι, καί τι ἔχειν οἴκτου, καὶ ἀθηρίωτοι, ἐδάκρυον καὶ κατεστέναζον, βλέποντες πόλιν τοιαύτην οὕτω κατηκισμένην καὶ ἐζημιωμένην κακοῖς, ἅπερ, εἰ διενεμήθη, πλείστην ἂν τῆς οἰκουμένης εἰς εὐδαιμονισμὸν ἐξήρτυσαν; Οὐ γὰρ πόλις ἦν ἡ ἁπλῶς, ἀλλὰ μακάρων γῆ, ὁποίαν ὁ μαθὼν οὐκ ἂν ἔχοι λαθέσθαι αὐτῆς· ἡ θάλλουσα ἐσαεὶ τοῖς κατὰ κόσμον καλοῖς, ἐξήνθησε τότε ἀτημελήτοις νεκροῖς, ὧν καὶ εἰσέτι σώματα ἀκηδέα κεῖται ἐν παραβύστοις, ἀνδρῶν, γυναικῶν, νηπίων, ἀκμαίων, μεσαιπολίων, γερόντων· εἰπεῖν τὸ ἀνηλεέστερον, παρειμένων, ἢ καὶ ἄλλο τι σίνος παθόντων ἀποτυχίᾳ φύσεως· καὶ αὐτῶν δὴ τῶν ὁπηδήποτε νοσοκομουμένων, οὓς οὔτε τεῖχος εἶδεν, οὔθ' ὅπλον ἔτρωσε. Τὸν γοῦν ἐκκλησιαστικὸν ξενῶνα εἰσδραμόντες οἱ δεινοὶ, καὶ κατὰ σκιῶν ἀνδρίζεσθαι, πρῶτον εἰς αὐτοὺς ἀπησχόλησαν τὰ ξίφη· μετὰ δὲ κενὸν τὸ πᾶν ἀφῆκαν, ὧν ἐντὸς ἔστεγε, τῶν τε πρὸς ἰατρείαν, καὶ οἷς οἱ τληπαθεῖς ἐσκέπτοντο. Καὶ νῦν τὸ τοιοῦτον καλὸν οὐκ ἔχει τινὰ ξεναγωγεῖν. Ἀλλ' οἱ πρὸς νοσοκομίαν ἀπονεύοντες ἐρχόμενοι, καὶ τὸ κένωμα βλέποντες, καὶ τὸ πρὸς ὑγίειαν βοήθημα, ὡσεὶ καὶ θανάτου καταγώ-

C 134. Sic ex odio privato in Andronicum et Davidem ducem malum commune rursus ingruit in animos eorum, qui sentiunt pleraque mala communia ab odio privato emendari posse. Nobis autem non pulchra dies, imo quæ nobis omnibus exitiosa fuit, illuxit, et quam ex anni spatio statim recisam vellem, sicut Job in afflictione ac mœrore suo deprecatus est. Sed qui soli ab initio sæculorum cursum præscripsit, istas preces respuit, utpote humanæ naturæ incongruas. Genibus enim flexis orare non est animæ quæ mala patienter fert; ideoque sermoni nostro ignoscendum erit. Nam lapides ipsi non tacerent in isto statu positi. Quomodo enim homo non moveretur, ubi vel inter hostes ii qui Dei notionem habere, ac misericordia moveri censentur, lacrymabundi gemebant, urbem talem, tantis ærumnis obrutam, et tot bonis orbatam videntes, quæ si repartita fuissent, magnam terræ partem beassent? Non enim urbs vulgaris erat, sed fortunatorum sedes, quam qui noverat, oblivisci non

D poterat; quæ bonis terrestribus semper abundans tunc cadaveribus scatebat, quæ nunc queque in locis obscuris jacent, virorum, mulierum, puerorum, infantium, adultorum, mediæ ætatis, senum miserrime derelictorum, aut si alia a natura labe afflicti erant, quos tamen nec murus viderat nec tela tetigerant. Cum in ecclesiasticorum hospitium intrassent, manu fortes, cum umbris pugnare assueti, primogladios in ipsos verterunt; postea vero omnem locum habitandum medicis et ægrotorum custodibus reliquerunt. Attamen hæc magnifica domus neminem adhuc hospitio excepit. Qui autem ad ægrotorum curationem venerunt, loco vacuo conspecto, id genus auxilii ad mortem ducentis perhorrescentes, capita tundentes et quasi in extremis gementes domum redeunt, morti se commendaturi. Ibi nec guttam, nec ramentum salutiferum aut aliud simile

ullibi in deserta urbe invenisses, quia barbari feroces et inhumani omnia abstulerant, homines inculti et ignari, sine morum nedum artium cultura, quarum ne rudimenta quidem no erant; homines eloquentia æque at venustatis industriæ vulgarissimæ expertes, qui nostram urbem omnibus hisce bonis privarunt, ita ut mirum non sit quod tot cædes locum habuerint, siquidem vel animalibus non pepercerunt in furore suo et in vasa, ut lecythos et alia viliora insævierunt. Adde quod multi adeo vecordes fuerunt ut nec verum statum viderent.

A γιον, ἀποτροπιαζόμενοι, τύπτοντες τὰς αὐτῶν κεφαλὰς. καὶ οἰμώζοντες ὡς ἐπιτελεύτια, ἐπαναστρέφουσιν οἴκαδε, καὶ κεῖνται, θανάτῳ ἐπιτρέψαντες ἑαυτούς. Οὐδὲ γὰρ οὐδὲ ἔστι ῥανίδα ἢ ψῆγμά τι νοσήλειον, οὐδ' ἄλλοθί που τῆς καθ' ἡμᾶς ἐρημοπόλεως εὑρέσθαι, πάντων ὑπὸ τῶν καὶ ἀγροίκων καὶ ἀπηνεστάτων ἐξηφανισμένων· οἳ οὐδεμίαν χάριν μὴ ὅτι γε καταπλουτοῦντες, ἀλλ' οὐδὲ οἶμαι εἰδότες· ἄνθρωποι ἀχαρίστεροι πάντων, ὧν ἂν εἴποι τις, καὶ λόγον ἄλλον ἀπειρόκαλοι, καθότι τῷ χυδαίῳ τῆς πολιτεύσεως καλοῦ παντὸς ἦσαν ἀπείρατοι, καὶ τῶν τοιούτων ἁπάντων ἀγαθῶν τὴν καθ' ἡμᾶς πόλιν ἀπωρφάνισαν, ὡς μηκέτι θαυμάζεσθαι, τί δήποτε αὐτοὶ κατ' ἀνθρώπων θάνατοι αὐτόχρημα ἐξέβησαν, εἰ δίχα τῶν τοιούτων καὶ ἀλόγων ἀφειδεῖς ἦσαν κατὰ μανίαν τὴν καθ' ἡμῶν, καὶ ἀγγείοις ἐνύβριζον εἰς κατάκλασμα, μέχρι καὶ αὐτῶν λαγύνων καὶ ληκύθων, καὶ εἴ τι φαυλότερον. Οἱ δὲ καὶ ἄλλως εἰς τόσον ἀγροικικῶς εἶχον, ὡς μηδὲ ὀφθαλμοῖς ποτε διαλαβέσθαι δοκεῖν τὰ σπουδαιότερα.

135. Igitur multas res pretiosas in saccis ac pannis lineis certatim collegerunt, alia intus comprehenderunt, vasorum ora recludendo, vilia autem vasa in fenus destinarunt, præsertim iis diebus ubi rapinæ omnium cupiditatem exercitabant. Qui autem alii post alios supervenerunt, quascunque res volebant abstulere, ac divites evaserunt. Erant autem rudissimi ingenii et maxime agrestis. Qui porro mercaturæ faciendæ gratia prodibant et pro facultatibus magnum aut parvum ubi quid acquirere poterant, parvo contenti res ad vitam necessarias emerunt. In quo sciendum est quod aurum dupli pretii erat, argentum multiplicis ponderis ac pretii æstimatum cum nummis æreis commutabatur. Nec libri, quorum jactura litteratum hominem penitus affligere posset, nec vestes quibus Seres præ omnibus gaudent, nec opera textilia aranearum telis comparanda, et aut quæ a verme artifice e tenui filo conficiuntur homines barbaros et omnium delicatiorum ignaros movere poterant; quare ista omnia vili pretio vænibant.

ρλε'. Λινέοις γοῦν σπειράμασι καὶ σακκίοις καὶ ῥάκεσιν ἀγαθὰ καὶ πολλὰ καὶ τίμια ἐγκείμενα πρὸς ἔριν ἀναλεγόμενοι, τὰ μὲν ἔνδον ἐξερρίπτουν, ἀνοίγοντες τὰ τῶν ἀγγείων στόματα, καὶ συνεπάτουν· τὰ δὲ ἀχρεῖα δοχεῖα εἰς κόλπους παρέβυον, ὀβολιαῖα ὡς B τὰ πολλὰ ὄντα. Καὶ τοιοῦτοι μὲν οἱ πλείους τὰ πρῶτα ἐν ἀκμῇ τῆς ἁρπαγῆς. Ἐπελθόντες δὲ οἱ μετ' αὐτοὺς, καὶ οἱ μετ' ἐκείνους ἔτι, ἐφορτίζοντο τὰ ἐγκεχυμένα καλὰ, καὶ πλοῦτον συνέλεγον. Ἦσαν δὲ καὶ αὐτοὶ ἀγεννεῖς ἄγροικοι, καὶ οὐδὲν ἀστεῖον πεπαιδευμένοι. Τοῖς γοῦν κατ' ἐμπορίαν παρατετυχηκόσι, καὶ εἴτε ἰσχνότερον, ἢ πρὸς πάχος δυναμένοις κτᾶσθαι τὰ ἐμπολώμενα, βραχύ τι λαμβάνοντες, κατήλλαττον τὰ τῷ βίῳ τίμια. Καὶ ἔστι μαθεῖν, ὡς διπλοῦς μὲν ὁ χρυσὸς, ὁ δὲ ἄργυρος καὶ εἰς πολλαπλοῦν πονηροῖς εἰς ἄλλαγμα χαλκείοις προΐετο. Βίβλοι δὲ, ἃς ἀπολωλεκώς τις δάκνοιτο ἂν τὴν ψυχὴν διὰ βίου, καὶ φάρεα, οἷς πρὸ τῶν ἄλλων φιληδοῦσιν οἱ Σῆρες, καὶ λοιπὰ ἔργα ἱστοῦ, οἷς ἀραχνῶν μίτος ἐρίσειεν ἂν, καὶ ὅσα δὲ ῥίζαν γενέσεως φέρουσι σκώληκα, ἐργάτην τρυφεροῦ μηρύματος, οὐδ' αὐτὰ ἐφολκὰ ἦσαν τοῖς μηδὲν εἰδόσι καλὸν, ἀλλὰ παρερρίπτοῦντο εἰκαίου τιμήματος.

136. Fuerunt qui vinum pervetustum eo quod minus dulce erat et odorem medicatum amarumve indicabat, respuerent non obstante salubritate quam hominibus præsertim vulneratis afferebat. Igitur hic optimus liquor contumeliose effundebatur, nec ullius usus ad morbos sanandos erat. Hanc ob causam in murorum circuitu sepultor non inveniebatur; huc adde quod vulnerati innumeri mortem promittebant et sepelientium brachia multum requirebant. Quot domos illi vulnerati evacuaverunt! Sic et vinum vetustum funeralia, ut ita dicam, subiit, utpote quod et ipsum cum iis qui ob ejus carentiam ægrotabant commortuum est. Recens vero natus subsiliebat, agitatus et bulliens, et hæc ebullitio in bibentibus quasi minæ in vitam condemnatam erant. Qui enim illo vino repleti postea Lethes potionem a Morte oblatam bibebant non nostratibus tantum (quod dicere juvat), sed præcipue Latinis, quando uvas manibus premebant et mustum sorbebant, ne primitiæ in am-

C ρλϛ'. Παρ' οἷς καὶ ὁ τριγέρων οἶνος διὰ τὸ ἀγλευκὲς ἐξουθενεῖτο, οἷα καί τι φάρμακον οὐκ ἀγαθόν· οἵου δὴ οἴνου χρεία καὶ μάλιστα ἦν τά τε ἄλλα, καὶ διὰ τοὺς ἐν πληγαῖς. Ἐξεχεῖτο γὰρ τὸ καλὸν ἐκεῖνο ὑγρὸν, ὡς εἰς ποταμούς· ὅθεν οὔτε αὐτὸς ἦν, οὔτε τι ἀκόλουθον μάλαγμα, οὔτε ὁ καθ' εἱρμὸν κατάδεσμος. Διόπερ οὐ μόνον κύκλῳ τοῦ τείχους τῶν νεκρῶν κειμένων, καὶ περὶ σύμπαν δὲ τὸ τοῦ τοιούτου κύκλου ἐμβαδὸν, οὐκ ἦν ὁ θάπτων· ἀλλὰ καὶ οἱ πεπληγμένοι προσθήκην ἐποίουν τῷ ᾅδῃ, καὶ πράγματα προὐξένουν τοῖς θάπτουσιν. Ὦ γοῦν ὅσας ἐξεκένωσαν οἰκίας καὶ οἱ τραυματίαι, κατὰ πολυμερῆ ποσότητα ἐκλείποντες! Καὶ οὕτω μὲν ὁ γέρων οἶνος ἐκφορὰν ἔπαθε, συντεθνηκὼς οἷον καὶ αὐτὸς τοῖς κινδυνεύσασι κατ' ἔνδειαν αὐτοῦ. Ὁ δὲ νεογνὸς ὑπεσκίρτα, ζέων καὶ βραττόμενος· καὶ τὸ βράσμα ἦν τοῖς προσιεμένοις καθὰ καί τι ἐμβόημα, καὶ ἀπειλὴ βίου ὑπεξαγωγῆς. Οἱ γὰρ τούτου ὑποπιμπλάμενοι, εἶτα τοῦ τῆς λήθης ἔπινον πόματος, ὃ θάνατος οἰνοχοεῖ, οὐ τοῖς ἡμετέροις μόνοις, ἀλλ' (ὃ καὶ προφέρων τῷ στόματι

χαίρω) καὶ μάλιστα τοῖς Λατίνοις· οἷς μέγα τι καλὸν αὐτὸς ἐκρίνετο, ἅμα ἐκπιέζουσι χερσὶ σταφυλὰς, καὶ ῥοφοῦσι χανδὸν τὸ νεόθλιπτον, ἵνα μηδὲ ταῖς λαγύνοις πρωτείου ὑποδοχῆς ἐκχωρήσωσι. Καὶ ὀφείλομεν ἡμεῖς τῷ τοιούτῳ βρασματίᾳ οἴνῳ χάριτας, οἷα προσεταιρισαμένῳ κατὰ Λατίνων τὸν θάνατον· ὃν ἐπώτρυνεν αὐτοῖς καὶ τὰ ὕεια κρέα, οἷς τὰς γαστέρας πλησμίως ἔσαττον· οὕτω δὲ καὶ τὰ ἐκ βοῶν καὶ τὰ καλὰ σκόροδα, δι' ὧν ὁ καθ' ἡμᾶς κλῆρος ἐσώζετο, καταψάλλων καὶ καρπιζόμενος τὰ ἐς ζωὴν, καὶ οὕτω τινυόμενος τοὺς φόνους, οἷς ἐκεῖνοι τοὺς ἡμετέρους ἐνέῤῥιψαν, καὶ μακαρίζοντες οὐκ αὐτοὺς, ἀλλὰ τὴν νόσον, ἤδη δέ που καὶ τὸν θάνατον κατὰ τοὺς ἀπὸ Γαδείρων, παρ' οἷς ὁ ᾅδης ἐκτετίμητο, εἰ καὶ μηδεμίαν χάριν οἶδε θάνατος κατὰ τὸν τραγῳδόν.

A phoris delitescerent. Nos quidem huic vino fervido gratias ob id debemus, quod Latinis mortem dedit, simul cum carne porcina, quibus ventrem inferserunt, ut et bubulis et alliis, quibus clerus noster inter psallendum et victum quærendo sustentabatur, et sic homicidia puniens, quibus isti in nostrates sævierunt, beatos dicentes non ipsos, sed morbos, imo mortem Gadibus invectam, apud quos infernus honorabatur, licet in tragœdia mors grates ignoret.

ρλζ'. Τὸν δὲ συχνὸν τοῦτον Λατινικὸν θάνατον αὐτὸς ὁ Ἀλδουῖνος ἐτράνωσε, περίλυπος φάμενος ὑπὲρ χιλιάδας τρεῖς μεγάλων αὐτοῖς ἀνθρώπων ἐκ νόσου πεσεῖν. Σωρὸς οὗτος ἡδὺς ἡμῖν, εἰ καὶ μὴ ἀντεσήκου πρὸς τὴν ἐξ ἡμῶν στοιβήν. Συναριθμουμένων δέ γε καὶ τῶν ἐν πολέμῳ παπτωκότων, εἴχομεν παραμυθίαν πλείονα. Ὁ αὐτὸς γὰρ αἰτιώμενος ἄλογον ἀντιστασίαν ἡμῶν, καὶ ζημίαν ἐντεῦθεν τοῦ ῥηγὸς, ἐξετραγῴδησεν ὑπὲρ τρισχιλίους πεσεῖν ὑπὸ τῶν ἐκ τοῦ τείχους ἔξω καταπεμπομένων βελῶν δίχα γε τῶν ἐν προνομαῖς πιπτόντων, ἢ καὶ ἄλλως, ὡς ὁ τοῦ πολέμου κύδος ἐῤῥιπτε, καὶ ὁ τῆς δίκης τροχὸς κατεκύλιεν, εὔστροφα περιφερόμενος. Πολλοὺς δὲ καὶ λιμὸς ἀπῆγεν. Ἐστενοχωρεῖτο γὰρ καὶ σφίσι τὰ ἀναγκαῖα.

137. Numerosas Latinorum mortes Alduinus diserte narravit, mœsto animo referens plus quam tria millia virorum præcipuorum eo morbo exstinctos esse; qui numerus nobis non displicet, licet de nostris non minus multi perierunt. Quod si eorum qui in prœliis ceciderunt computum facimus, non parum consolationis datur. Qui enim insurrectionem nostram in absurditatis loco posuit, regis vindictam invocans tria millia et quod excedit telis e muro conjectis succubuisse more tragico refert, exceptis iis qui inter frumentandum aut aliter interierunt, prout belli alea voluit, et fortunæ rota jugiter volvens disposuit. Multos etiam fames necavit, ciborum inopia grassante.

ρλη'. Καὶ οὕτως ἡμῖν ἐπεσταλάττετο νέκταρ παραμυθίας τῇ ὑποκαταβάσει τῆς πολεμίου στρατιᾶς, ἣν οἱ δεξιῶς φιλιωθέντες ἡμῖν Λατῖνοι (πολλοὺς γὰρ ὑπηγόμεθα, πραγματευόμενοι τὰ ἐκ Θεοῦ) ἐξεκάλυπτον, ὑπὲρ ὀγδοήκοντα χιλιάδας πεζῇ ἐπελθεῖν· ὧν χίλιοι μὲν πεντάκις φερέγγυοι ἐμαρτύροῦντο ἱππόται εἶναι, πεντήκοντα χιλιάσι Ῥωμαϊκαῖς ἐναντίαι κατὰ τὴν ἐκείνων δόξαν ἀντιδραμεῖν. Τῶν δὲ λοιπῶν οἱ μὲν ἱπποτοξόται ἦσαν, οἱ δὲ ψιλῆται, καὶ ἄλλως δὲ μεθ' ὅπλων χρήσιμοι. Συνεπλήρουν δὲ τὸν πολὺν ἐν αὐτοῖς ἀριθμὸν καὶ ἄνδρες, φασὶ, τοῦ Ῥιζίκου, μήτε διάρια λαχόντες ἐκεῖνοι ἐκ τοῦ ῥηγὸς, μήθ' ὑπόσχεσιν· ἐπακολουθήσαντες δὲ τῷ λοιπῷ στρατῷ, εἴ πως τῶν ἔργων συναιρόμενοι, τὰ ἐκ τύχης εὕροιεν ἀγαθά. Καὶ τοσοῦτοι μὲν τὸ πεζόν. Τὸ δὲ ναυτικὸν, ἀλλ' αὐτοὶ δῆλοι κατ' ἀριθμὸν τὸν ὑπὲρ διακοσίας νεῶν, σύν γε τοῖς πειραταῖς· οἳ καὶ αὐτοὶ μηδὲν ῥηγικὸν ἔχοντες, τύχης δώροις ἐπέτρεψαν ἑαυτοὺς· ὑφ' ὧν, κατὰ γῆν τε καὶ θάλασσαν πιεσάντων ἡμᾶς, ἐξεθλίβημεν τῆς ζωῆς. Καὶ οἱ μὲν θανάτῳ κατεσπάσθημεν, οἱ δὲ, τοῦ ᾅδου τὸ στόμα συγκλείσαντος, οἷς, οἶμαι, κεκόρεστο, ἡμιθνῆτες ἐμείναμεν.

138. Sic nobis nectar consolationis ex humilitate exercitus hostilis, quam Latini nobis associati (multos enim nostros fecimus, dum Deo grata operabamur) detexerant, plus quam octoginta millia armatorum, e quibus quinque millia equitum spectatæ virtutis in aciem processerunt contra quinquaginta millia Romanorum, prout ipsi referunt. Cæteri autem partim sagittarii, partim levis armaturæ erant, omnes utilitatis indubitatæ. Horum numerum compleverunt copiæ a Rhizico missæ, qui neque stipendia nec ullum donativum a rege obtinebant, exercitum autem sequebantur, ubi operam navantes fortuna juvabat. Hic igitur fuit copiarum terrestrium numerus. Vires navales plus quam ducentarum navium erant cum piratis, qui et ipsi nihil a rege accipientes fortunæ vicissitudinibus se permittebant; a quibus terra marique pressi in vitæ discrimine fuimus; alii morte functi erepti sunt; nos ipsi quia infernus, jam repletus, os clausit, semimortui jacuimus.

ρλθ'. Ἀλλ' ἐνταῦθα παρεκβεβηκότες καθ' ἱστορίας ἀνάγκην, ἀναδραμούμεθα πρὸς μικρὸν αὖθις, ἐκφῆναι τὸ καὶ πτωχικὸν καὶ ὑπόπαχυ τῶν κατακλυσμοῦ δίκην παρασυράντων τὰ πολιτικά· οἳ τὰ μὲν τίμια εὐήθως καὶ ὡς οἷα βρεφικῶς ἀπεδίδοντο, οὗ ἄν τις αὐτοῖς χειρίσειε· τῶν δὲ λοιπῶν οὐδὲν ἢ βραχύ τι παντελῶς ἀνθίστων τίμημα, καὶ μάλιστα τῶν, ὅσα ἐξοπλίζει χειρομάχον πληθύν. Ἀλλ' εἶχον αὐτὰ εἰς χύμα προκείμενα αἱ λεωφόροι, τὰ ἐλαιώδη εὐώδη,

139. Hoc in loco, rerum gestarum serie reclamante, retrospicimus ut exilitas et parvitas eorum manifesta reddatur qui rem publicam in ultimo discrimine capessiverunt; qui res pretiosas stulte et puerorum more primo occupanti tradidere, cæteras autem flocci fecerunt, præsertim quæ multitudini bellatrici arma suppeditant. In viis publicis autem promiscue jacebant olea fragrantia, lixivia dulcis, materies sicca seu contra morbos, seu in

usum luxuriei, ad artem tinctoriam cæteraque, quibus vita elegans utitur. Itaque lignum suaveolens quod quis obtingere volebat, dedolandum fuit; uva passa carbonis combusti naturam induebat; liquor ex rosis extractus aqua inutilis reputabatur; et sic in cæteris insaniebant, et qui res accuratius examinare vellet hominis naturam cum bestiarum confusam inveniret. Mirum autem fuit quod annulorum ferreorum, pugionum, thuribulorum et acuum tanquam rerum spectabilium magnam curam gerentes, majora pedibus procul carunt. Ignorantiam autem et mollitiem circa vitam et instituta publica considerantes mirari desinemus.

A τὰ στακτὰ εὔοδμα, τὰ ξηρὰ, τὰ κατὰ νόσων, τὰ πρὸς τρυφὴν, τὰ πρὸς βαφὴν, τἆλλα, οἷς διοικονομεῖται βίος καθάρτιος. Σύλον γοῦν εὔοδμον εὑρεῖν, ἐκπελέκημά τι αὐτοῖς ἦν ἰδεῖν· ἡ εὐγενὴς ἀσταφὶς ἄνθρακος ἐσβεσμένου τιμῆμα ἐφάνταζεν ἐκείνοις· τὸ ῥόδεον στάγμα εἰς ὕδωρ ἀχρεῖον ἐτάσσετο· καὶ τὰ ἄλλα ὧδέ πη παρενοοῦντο, ἵνα μὴ διασκευάζων εἰς πλέον, θηριώδη ἀγροικίαν δοκοίην ἀπανθρωπίζεσθαι. Καὶ ἦν θαυμάζειν, ὡς κρίκων μὲν σιδηρέων, καὶ ἡλαρίων, καὶ μαχαιριδίων, καὶ πυρείων, καὶ βελονίων ἐπιμελῶς εἶχον, ὡσεὶ καὶ μεγάλων τινῶν· τὰ δὲ ἄλλως ἀδρὰ ποσὶν ἐδίδουν πατεῖσθαι. Ἔλυε δὲ τὸ θαῦμα ἡ κατ' αὐτοὺς ἀπειρία, καὶ τὸ πρὸς βίον ἥμερον καὶ πολιτικὸν ἀνέθιστον.

140. Hinc concludimus in nostra quoque urbe cuique libertate indecora qua vult uti licere, ut in Corcyra, siquidem quisque quo vult alvi exonerandi causa secedere potest. Non autem inepte quis dixerit Megalopolin magnum esse desertum expugnatum non a Scythis, non a Latinis, sed a nobismetipsis; gravi enim peccatorum tempestate exsiccati urbem nostram desertam fecimus, et in Scyllam Siculam incidimus, et utinam in Scyllam, paucis nos capitibus privaturam. Nunc autem Charybdis turbine arreptos ad se traxit.

ρμ'. Ἐντεῦθεν οὖν κατὰ τὴν Κερκυραίαν παροιμίαν ἦν ἐπιλέγειν αἰσχρῶς καὶ τῇ καθ' ἡμᾶς πόλει τὸ ἀπευκταῖον ἐλεύθερον, ὡς ἐξὸν ὃν, καὶ ἐν ταύτῃ ἀποπατεῖν, ὅποι ἐθέλει, τὸν βουλόμενον. Οὐκ ἂν δέ τις ἐπ' αὐτῆς ἀφυῶς εἴποι καὶ ἐρημίαν μεγάλην εἶναι τὴν Μεγαλόπολιν, καὶ ἐρημίαν, οὐ Σκυθῶν, οὐ μὴν οὐδὲ Λατίνων τῶν ἐλόντων, ἀλλ' ἡμῶν αὐτῶν· οἱ ψυγέντες ἁμαρτιῶν βαρυτάτῳ χειμῶνι ἔρημον τηλικαύτην πόλιν ἀφέντες ἐθέμεθα, καὶ τὴν Στελεκτὴν Σκύλλαν ἐπηγαγόμεθα, εἴτε μὲν οὖν Σκύλλαν, ὀλίγαις ἡμᾶς κεφαλαῖς ζημιώτουσαν. Ἄρτι δὲ Χάρυβδις ἡ ἐκεῖθεν κατέσπακεν ἡμᾶς, ὀλέθριον ἀναῤῥοιβδήσασα.

141. Jam vero opportunum erit lamentationes inchoare et de calamitatibus nostris gemere. Talia autem nec seni proficua sunt nec Dei episcopo digna, sed supplicationibus et gloriæ Altissimi congrua, ex quo et per quem nostra omnia suppetunt. Quid vero impedit quin, hoc solo verbo prolato quiescam, ne, ut dixerit aliquis merito, solem alicubi majores ærumnas vidisse? Quodsi adversarium obvium habebo, nec extremam senectutem, nec episcopalem dignitatem verebor, sed resistam, et commisso prælio tela oratoria non longe a scopo jaculabor.

ρμα'. Καὶ ἦν μὲν ἐνταῦθά μοι τόπος θρήνων κατάρξαι, καὶ ἀποιμώξασθαι τὰ ἐφ' ἡμᾶς κακά. Οὔτε δὲ γέροντι τὰ τοιαῦτα προσευπορεῖται, καὶ οὐδὲ Θεοῦ ἐπίσκοπος τοιούτοις λόγοις πρέπων ἐστὶν, ἀλλ' ἢ μόναις εὐχαριστίαις, καὶ δόξῃ τῇ εἰς τὸν Ὕψιστον, ἐξ οὗ καὶ δι' οὗ τὰ ἡμέτερα. Τί δὲ δὴ κωλύει, ἐν γοῦν τοῦτο μόνον εἰπόντα με πεπαύσεσθαι, ὡς, εἴ τις ἐρεῖ μὴ ἂν ἰδέσθαι πω τὸν ἥλιον ἄλλοθι μείζω πάθη, οὐκ ἂν ἔξω λόγου ἀπισχυρίσαιτο; Καὶ εἴπερ εὑρήσω τὸν ἀντιπεσούμενον, ἀλλ' ἐνταῦθα οὐκ αἰδέσομαι εἰς λαλιὰν οὔτε τὸ βαθὺ γῆρας, οὔτε τὴν ἐπισκοπὴν, ἀλλ' ἐνστήσομαι, καὶ ἐπαγωνισάμενος, οὐκ ἂν πόῤῥω σκοποῦ τὸ τῆς ῥητορείας βέλος ῥίψαιμι.

142. Tali modo res gesta est, si tragœdorum more sermo terminandus est potius quam rationi operique insistendum. Et vere nunc cessandum erat, nisi audivissemus Dei iram nondum a nobis recessisse, sed manum ejus adhuc esse extentam paratamque ad vulnus lethale infligendum, Deumque nobiscum non mansurum nisi corrigamur. Correctio autem erit si vitam perversam emendaverimus propter quam cuncta hæc mala in nos irruerunt. Valde enim errat qui nos insontes pati crediderit.

ρμβ'. « Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα, » εἴ τι χρὴ τραγῳδικῶς συντελέσαι τὸν λόγον, ἔνθα τὸ πάθος τραγῳδίας ἄξιον· καὶ οὔτε λόγῳ καθ' ὅλον οἷόν τε παραστῆναι, οὔτε κατὰ ἔργον φέρεσθαι. Εἴη δὲ μέχρι τοῦδε λωφῆσαι τὸ πᾶν, μὴ καὶ ἀκούσωμεν καὶ αὐτοὶ, ὡς οὐκέτι ὁ τοῦ Θεοῦ καθ' ἡμῶν θυμὸς ἀπεστράφη, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλὴ, καὶ οἷα τε κατενεχθεῖσα πατάξαι εἰς θάνατον· οὐκ ἀκουσόμεθα δὲ μένειν Θεοῦ καθ' ἡμῶν, εἴπερ διορθωσόμεθα. Διόρθωσις δὲ ἡμῖν ἔσται, εἰ μεταβαλώμεθα τοῦ περιπονήρου βίου, δι' ὃν ἡμῖν ταῦτα. Μηδένα γὰρ νοῦς πλανάτω φίλαυτος, ὡς οὐκ ἐνδίκως πεποινηλατήμεθα.

143. Ante omnia igitur peccata mea ob oculos pono, misericordiam divinam invocans, a justitia ad charitatem appellans, qui subsistere potis non sum, si Deus peccata mea punire voluerit. Conversione igitur promptissima opus est. Nam, ut video, plerorumque conversio sincera non est. Fortasse et nos temere ausimus exclamare : Quis est domi-

ρμγ'. Πρῶτος οὖν ἐγὼ πρὸ ὀφθαλμῶν ἱσταμένους τοὺς τῶν ἐμῶν κακιῶν ἐλέγχους ἀναθεωρῶ, καὶ ποτνιῶμαι θεοκλυτῶν περὶ ἐλέους Θεοῦ, καί πως ἐκ τοῦ δικαίου ἔφεσιν πρὸς τὸ φιλάνθρωπον τίθεμαι, μὴ ἔχων ὑφίστασθαι, εἴπερ ἀνομίας παρατηρεῖ Κύριος. Μεταβλητέον οὖν, ὅσων τάχος. Οὐκέτι γὰρ οἱ πλείους, ὡς βλέπω, μεταβολὴν τὴν χρηστοτέραν ἠλλάγμεθα.

Μενοῦνγε φιλοτιμούμεθα καὶ αὐτοὶ λέγειν ἰδοὺ καὶ πάλιν ἡμεῖς· Τίς ἡμῶν κύριός ἐστιν, ὡς μηδενὸς ἡμῖν φαῦλον ἐπιψηφισαμένου μηδέν; Ὢ τῆς ἐν ἡμῖν δυσαισθησίας! μή μοι δὲ γένοιτο, καὶ ἀναισθησίας εἰπεῖν, ἐν τῷ μὴ τὰ αἴτια καὶ κατασκέψασθαι, καὶ ἐκποδὼν ποιήσασθαι, ἀφ' ὧν ἡμῖν κατεβρέχθη κεραύνια κακά· δι' ὧν ἐκτεφρωθέντες, πληγὰς ἐνετρίβημεν, ἃ σπερ οὐκ ἂν οὐδεὶς μακροὺς ἐνιαυτοὺς ἀπαλθησόμεθα.

ρμδ'. Εἰσὶ δὲ ταῦτα (οὐ γὰρ ὀκνήσω, καὶ πάλιν τὸ τοῦ λόγου χειρισάμενος ἄροτρον, ἀναπολῆσαι τὴν κατ' ἐμὲ πνευματικὴν ταύτην γῆν, καὶ τὸν θεῖον σπόρον, ὡς εἴθισται, καταβαλεῖν)· οἱ φθόνοι, τὸ πρεσβύτατον κακὸν, τὸ τοῦ καλλίστου ζώου μέγα αἶσχος, τὸ δεινὸν τοῦ καταπεσόντος ἑωσφόρου θεῖον, ὃ συνεφήψατο τῆς ἐν ἡμῖν κακοποιοῦ κεραυνώσεως· οἱ συγγέροντες τῷ φθόνῳ τῦφοι, εἰς οὓς ὁ, ὡς εἰπεῖν, τυφογέρων δαίμων ἀναβιβάσας ἡμᾶς, καὶ προσκυνηθεὶς, ὡς ἐπὶ βασιλείαις τισὶν, εἶτα κατέῤῥιψε κάτω βαλὼν τοὺς πολλοὺς καὶ εἰς τάρταρον· αἱ διαβολαὶ, αἳ τὰς θανασίμους καθ' ἡμῶν ἀπεύθυναν βολάς· τὸ βαθὺ ψεῦδος, οὗ ἕνεκεν ὁ τῆς ἀληθείας Θεὸς ἀπῆρε τοὺς ὀφθαλμοὺς ἐξ ἡμῶν· τὸ φιλοχρήματον, οὗ κατ' αἰτίαν εὖ δεδικαιωμένοι, πάντων χρημάτων ἀπεγυμνώθημεν, δ'ἵνα γε τῶν καὶ εἰσέτι τῷ φολεῷ τούτῳ ἐπωαζόντων, κἀκεῖθεν καταθρασυνομένων, τῶν μὴ φωλεοὺς ἐχόντων, ἔνθα κλινοῦσι τὰς κεφαλὰς (οἳ βλεπέτωσαν, μήποθεν ὄφις, ὁποίους χρὴ δεδιέναι, ὑφερπύσας ἀχρειώσῃ αὐτοῖς τὰ τῆς φωλείας, ὡς μὴ τελεσφορηθῆναι εἰς νεόττευσιν)· αἱ ἐπὶ δίκῃ συκοφαντίαι, ἃς ὑπερμισήσας ὁ δίκαιος, ἐδικαίωσεν ἡμᾶς, οἷς οὐκ ἂν συκοφαντίαν προηγησαμένην ἐπικαλέσαιμεν· οἱ ἐπὶ δανείσμασι μετρίοις ἀσύμμετροι καὶ βαρεῖς τόκοι, οἷς οἱ ἀπάλαμνοι κατεπονοῦντο καὶ ἀπέριττοι καὶ ἀπεριουσίαστοι, οὓς ἐλεήσας ὁ τὰ ἐλαφρὰ φορτίζων Θεὸς, καὶ τοὺς κοπιῶντας καὶ πεφορτισμένους προκαλούμενος εἰς ἀνάπαυσιν, μάχαιραν κατηκόνησεν ἔξωθέν τε καὶ ἔσωθεν, ἀτεκνοῦσαν τοὺς τοῦ τοιούτου τόκου πατέρας· οἳ μηδὲ τὴν ἀρχὴν σπαρῆναι πρὸς πατέρων ὤφειλον· εἰ δὲ καὶ ἐκ τῶν ταμιείων φόβος τοὺς τοιούτους ἔσχε, καὶ οἴδαμεν καὶ οἴδασι.

ρμε'. Προσλογιστέον τοῖς φαύλοις ἐν ἡμῖν αἰτίοις καὶ τὸ τῆς φιλίας εὐπεριφρόνητον, καὶ οὐ μακρόβιον, ἀλλ' ἐφήμερον· ὅθεν κεκινημένοι τὸ ἄγριον βάρβαρον διέθεντο εἰς ἡμᾶς τὰ διὰ βίου θρηνηθησόμενα. Συντακτέον τούτοις καὶ τὸ ἀχάριστον, καὶ ἀπάσης χάριτος εὐεπίληστον, καὶ οἷον θνήσκειν ταχὺ, ὡς ἅμα ἠλεῆσθαί τινα, καὶ τεθνάναι τὴν χάριν, κατὰ τὴν παροιμίαν. Διὸ ἥρπασεν ὁ Θεὸς ἀφ' ἡμῶν τὰς χάριτας, αἷς ἐκ μακροῦ τὸ καθ' ἡμᾶς λάχος ὡράϊστο. Προσγραπτέον καὶ τὸ ἀνηλεὲς ἐπὶ τοὺς βραχύ τι προσκρούοντας, ἐξ οὗ τὸ καταῤῥίψαν ἡμᾶς ἄρτι ἀνηλεὲς τὸ δικαιότατον· εἴπερ οὐ μικρά τινα ἡμεῖς, ἀλλὰ μυρία προσκεκρουκότες, οὐ τοσαῦτα τίνομεν. Προσενθυμητέον οὐχ ἥκιστα καὶ τὴν τῶν θείων περιφρόνησιν, τὸ χείριστον, καὶ τὸν ἐπ' αὐτοῖς γέλων, ἐξ ὧν περιπεφρονήμεθα, οὐ πρὸς κατάγελων, ἀλλὰ πρὸς ὄλεθρον. Ἢ γὰρ οὐκ οἴδαμεν τοὺς ἐν ἡμῖν ὀργλυφοῦντας τὰ τῶν ἁγίων, καὶ ὑποσπωμένους αὐτὰ εἰς κληρονομίαν, καὶ καυχωμένους, ὡς, ἐφ' οἷς Θεὸς πράκτικούς, ὑπνοῦν προσποιεῖται, αὐτοὺς νηφαλίους ὄντας καὶ

A nus noster? idque quoniam nemo verbum in nos retorquet. O hebetudinem nostram! Absit autem ut hebetudinem accusem, nisi peccata inquiram et rejiciam, propter quæ fulmina dira in nos ceciderunt, quibus concremati sumus, a quibus plagas accepimus, quas multi anni non sanabunt.

144. Sunt autem nunc hæc (non enim me piget ut iterum ad aratrum verbi mittam manum, hanc meam renovem spiritualem terram, semenque divinum more solito spargam): invidia, malum antiquissimum, animalis venustissimi magna turpitudo, Luciferi cœlitus præcipitati dirum sulphur quod fulmen funestum in nobis accendit; comites invidiæ B alti spiritus, in quos dæmon fastuosus nos protrusit; dein adoratus a nobis more regio plurimos in infernum præcipites egit; calumniæ, qui mortales nobis plagas inflixerunt; mendacium fallax, propter quod Deus oculos a nobis avertit; avaritia, per quam non justificati, sed merito omnibus bonis exuti sumus, exceptis iis qui in latibulis resident, et inde temere agunt in eos qui caveas non habent, ubi caput reclinent (videant hi ne serpens formidandus erumpens caveas eorum evertat ita ut nidificari ibidem non possint); falsæ accusationes, quas exsecratus magnus Judex nos judicavit; usuræ immodicæ pecuniarum mutuo sumptarum, quibus homines simplices et rerum angustiis vexati oppri- C mebantur, quorum Deus sospitator misertus, laborantes et oneratos ad quietem invitat, gladium utrinque exacuens ut talis prolis patrem orbet; qui a principio a patre gigni non debebant; quod autem de re penuaria metuant, inter omnes constat.

145. Inter peccata nostra recensendus venit etiam amicitiæ contemptus et vitæ brevitas, quibus inhumanitas jugiter deploranda nobis insita est. Adde huc animi ingratitudinem et omnis gratiæ absentiam, ita ut citius moriatur aliquis quam ut proximi sui eum misereat, quia, ut est in proverbio, gratia D emortua est. Igitur Deus gratiarum chorum nobis eripuit quæ sorti nostræ associatæ fuerant. Annumerabis porro cordis duritiem in eos qui leviter nos offenderunt, ubi immisericordia pro justitia habetur; non enim tantum plectimur qui non parum, sed graviter læsimus. Addendus præcipue rerum divinarum contemptus et risus, pessima res omnium; nos enim et ipsi contemptum patiemur, sed non risu, at exitio terminandum. Non enim novimus eos qui res sacras definiunt easque ad suam hæreditatem trahentes, et gloriantur jejunii privilegio a Deo dato.

146. Distuli hucusque singillatim de patrono nostro myroblyta disserere, et de audaci temeritate, idque in negotiis quæ latere debebant, quorum testes non inscripti, portæ apertæ, securibus alte infossæ, maximam audaciam indicantes; adde concurrentium et recurrentium catervam, qualem æstas proxime elapsa vidit nullo cum fructu.

ρμς'. Ἀναβάλλομαι περιηγήσασθαι νῦν κατ' ἐξαίρετον καὶ τὰ κατὰ τοῦ πολιούχου ἡμῶν μυροβλύτου, καὶ τὰς θρασείας ἀναιδείας ἐκείνας, καὶ ταῦτα ἐπὶ πράγμασιν, ἃ προὐκαλεῖτο καὶ ἐγκαλύπτεσθαι, ὧν μάρτυρες ἀπαράγραπτοι καὶ πύλαι περίοπτοι, κολαφθεῖσαι ἀξίναις εἰς βαθύ ποτε, καὶ προτιτλοῦσαι θράσος ὕψιστον· ἔτι δὲ καὶ τὰς περιέργους συνδρομὰς καὶ καταδρομάς, ἃς τὸ ἐναγχος οἷδε θέρος, εἰς οὐδὲν δέον.

147. Hinc non facile probabis virum justum inutilem morosis, adeo ut terra abscondi velit, gravissimum reis imputandum est; adde falsas incriminationes clamorum bellicorum originem; ex depositis commoda pecuniaria, unde locupletati sumus, licet omnes pecuniosi rideant; litterarum, quarum loco crux sacra ponebatur absentiam, ubi sanctæ Trinitatis mentio fit, unius et magni Dei titulo in unoquoque fœdus ferientium et jurantium indito; falsi enim juramenti reatus Deum manifeste contra nos armavit.

ρμζ'. Ἀλλ' ὥστε οὐ τοῦτο δὴ τὸ ἐλαφρὸν δη[λῶ]σαι δίκαιον ἄνδρα, οἷα δύσχρηστον τοῖς δυσαρέστοις, ἀλλὰ καὶ κρύψαι εἰς γῆν· τὸ βαρύτατον προσεπιλεκτέον τοῖς αἰτιατέοις· καὶ τοὺς κατ' ἀλλήλων ψιθυρισμούς, ἐφ' οἷς οὐκ ἐχρῆν, οἱ βοὰς μάχης ἀφύκτου ἡμῖν ἐπέβρηξαν· τὰς ἐπὶ παραθήκαις ἀποστερήσεις, ὧν ἕνεκεν ἐπεπλουτίσθημεν, εἰ καὶ γελῶσι κἀνταῦθα πάντες οἱ ἔτι ἄνδρες τοῦ πλούτου· τὰς τῶν γραμματίων ἀποπροσποιήσεις, ὧν σταυροῦ τιμίου τύπος προλάμπων, εἶτα καὶ μνήμην τῆς ἁγίας Τριάδος τοῦ ἑνὸς καὶ μεγάλου Θεοῦ ἐπεισάγει προγεγραμμένην πρὸς ἑκάστου τῶν οὕτω συναλλαττόντων, ὡσεὶ καὶ ὤμνυον· ὅπερ κατ' ἐπιορκίας ἔγκλημα ἐξεπολέμωσεν ἡμῖν φανερῶς τὸν Θεόν.

148. Tempus me deficeret si omnia crimina enumerare vellem. Id unum sufficiat dixisse, Deum justum esse et justificationes amare. Ideo nihil commune ei cum iis qui tales non sunt, imo jugiter et diversimode persequetur eos qui cum injustis connumerantur.

ρμη'. Τί μοι ἀναμετρεῖν τὰ πλείω αἴτια, ἔνθα μὴ πάνυ καιρός; Ἀρκέσει μόνον εἰπεῖν, ὡς δίκαιος ὁ Θεὸς, καὶ δικαιοσύνας ἀγαπᾷ. Διὸ οὔτε μερὶς αὐτῷ πρὸς τοὺς μὴ τοιούτους, καὶ οὐδ' ἂν ἀνήσοι ποτὲ συχναῖς μεθόδοις μετερχόμενος τοὺς ὅσοι τοῖς ἀδικοῦσι συνεξετάζονται.

149. Mihi videor, concives et in omnibus consortes laborum, vos quoque, o advenæ, accurate methodiceque ea descripsisse quæ ad nos pertinent, imaginemque ad docendum aptam eorum quæ sumus passi in nobis constituisse. Nunc ergo transeundum est ad illum qui pictura sua clarius repræsentaturus est, idque libenter facturus; quemadmodum qui accuratam picturam odit, non minus, inquiunt, veritatem odit. Itaque puto, quod cavendum est, ne contemptu nostrarum picturarum sic deinceps deleantur imagines eorum quæ passi sumus, ac necesse sit ut in locum alterius temporalis principis pictorum, picturam alteram eorumdem quæ passi sumus in nobis substituamus. Scitis enim perfecte, quod non unam plagam Deus in perversos inemendabiles immittere solet, et quod multa tela includit tremenda pharetra ejus, quæ semper ab eo asservantur deindeque mittuntur, in isto certamine cooperantibus Myroblytæ precibus. Sed non nobis, Domine, non nobis, sed nomini tuo da gloriam. Redime vero nos qui oppressi sumus, sicque tibi gloria est, juxta illud: « Et in die tribulationis tuæ invocabis me, et eruam te, et glorificabis me » qui vere superexaltatus sum in omnia sæcula.

ρμθ'. Δοκῶ μοι, ὦ πολῖται καὶ δι' ὅλων συναεθλευταὶ, καὶ ὑμεῖς δὲ, ὦ νεήλυδες, ἠκριβωσάμην διαγράψας τὰ καθ' ἡμᾶς τεχνικῶς, καὶ εἰκόνα ταύτην ἐν ἡμῖν ἀνεστήλωσα διδασκαλικὴν, ὧν ἐπάθομεν. Καὶ ἔστιν ἀπὸ τῆς ἄρτι ὄφελος διαβαίνειν εἰς τὸν τῇ ζωγραφίᾳ ταύτῃ ἐπεντρανίζοντα, καὶ μὴν καὶ ἀγαπῶντα· ὡς ὅ γε τὴν ἀκριβῆ διαζωγράφησιν μεμισηκὼς, οὐδὲν ἧττον, φασὶ, καὶ τὴν ἀλήθειαν συνεμίσησεν. Οἶμαι δὲ καὶ ὡς εὐλαβητέον, μὴ τῇ περιφρονήσει τῶν ἐνταυθοῖ διαζωγραφημένων, καὶ τῇ ἐντεῦθεν ἀπαλειφῇ τοῦ τυπώματος, ὧν πεπόνθαμεν, ἀνάγκη ἐστὶ καὶ ἑτέρῳ μεταχρονίῳ ἀρχιζωγράφῳ τῶν τοιούτων πινακογράφημα ἕτερον ἐφ' ὁμοίοις παθήμασιν ἐν ὑμῖν στήσασθαι. Εὖ γὰρ ἴστε πάντως, ὡς οὐ μίαν πληγὴν Θεὸς ἐντήκειν οἶδε τοῖς ἀνεπιστρόφως κακοτρόποις, οὐδὲ εἰσάπαξ. ἀλλὰ πολλὰ βέλη παρ' αὐτῷ ἡ μυνικὴ φαρέτρα κρύπτει, ἐξ ὧν ἀεὶ κατασκοπεύονται αὐτῷ καὶ βάλλονται, συνεκπολεμούσης αὐτῷ καὶ τῆς ἁγίας [τοῦ Μυροβλύτου], Ἀλλὰ μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. Ἐξελοῦ [δὲ] θλιβομένους ἡμᾶς, καὶ οὕτω δοξαζόμενος κατὰ τό· « Καὶ ἐν ἡμέρᾳ θλίψεώς σου ἐπικαλέσεις με, [καὶ ἐξελοῦμαί σε,] καὶ δοξάσεις με, » τὸν ὄντως ὑπερδοξασμένον εἰς πάντας τοὺς αἰῶνας.

EJUSDEM

LAUDATIO S. PHILOTHEI OPSICIANI.

Τοῦ αὐτοῦ λόγος ἐπελευστικὸς βίου τοῦ κατὰ τὸν ἅγιον Φιλόθεον τὸν Ὀψικιανὸν, ἐκ προσώπου Φιλοθέου μοναχοῦ, ἀνδρὸς ἀξίου λόγου, τοῦ καὶ προκαλεσαμένου εἰς ταύτην τὴν γραφήν.

Ejusdem sermo memorialis vitæ sancti Philothei Opsicianι, dictus in persona Philothei monachi, viri spectati, qui et hunccе tractatum componendi ansam præbuit.

α'. Αἱ πρὸς αἴσθησιν μέλισσαι, ὅτε λύουσαι τὰ πτερὰ φοιτῶσιν εἰς λειμῶνας, οὔτε πᾶσαι τοῖς ἄνθεσιν ὅλοις ἐνασχολοῦνται, οὐδὲ μὴν εἶδός ἔν τι ἀπολεξάμεναι, τὴν σκευωρίαν ἐκεῖθεν τοῦ μέλιτος ἐρανίζονται, ἀλλὰ καὶ πᾶσιν ἄνθεσιν ἐμμελετῶσι· καὶ αἱ μὲν ἐντεῦθεν, αἱ δ' ἐκεῖθεν τὸ χρήσιμον ἐπιλέγονται, φιληδοῦσαι μὲν τῇ πάντοθεν ἀνθολογίᾳ, συνάγουσαι δὲ ἄλλη ἄλλο, καὶ οὕτω ποικίλως πονούμεναι. Τὸν αὐτὸν δὴ λόγον καὶ αἱ πρὸς νόησιν μέλισσαι, αἱ τὸν ἀληθῶς Ἔλλογον ἐργάτην τοῦ Θεοῦ μὴ ψευδόμεναι, συμβλοποιοῦνται τὴν κατὰ πνεῦμα γλυκύτητα ἑαυτοῖς πανταχόθεν, τοὺς ἱεροὺς λειμῶνας περιπετόμεναι, καὶ τὸ καλὸν ἀπανθίζουσιν, οὐχ ὅπῃ τύχῃ, λόγῳ ζωϊκῆς φαντασίας ῥεμβόμενοι, ἀλλὰ κατὰ σκέψιν σταθερὰν καὶ διάρθρωσιν δέουσαν ἀκριβοῦντες τὸ ἀνθολόγημα. Καὶ οὕτω κατεργάζονται μελίττειον κηρίον, ὃ φιλεῖ μὲν καὶ θεὸς αὐτὸς, ἀποστολικῶς αὐτῷ παρατιθέμενον, φιλοῦσι δὲ καὶ ἄνθρωποι θεοφιλεῖς, εἰς ὑγίειαν προσφερόμενοι, βασιλεῖς τε καὶ ἄλλως ἄρχοντες, καὶ μὴν καὶ πένητες· οὗτοι μὲν, ὅσοι ἀπεριουσιάστως ἔχουσι τοῦ θείως γλυκάζεσθαι διὰ τὸ κατὰ νοῦν ἀπέριττον, ἀρκούμενοι ἀκροθιγῶς αὐτοὶ μέλιτος τοιοῦτοι γεύεσθαι, ὃ πρόχειρον μὲν καὶ εὔωνον, ἄλλως δὲ πολυτίμητον· ἄρχοντες δέ γε καὶ βασιλεῖς, οἷς καὶ ἄλλα μὲν πρόσεστι γλυκάσματα διὰ πολυμάθειαν καὶ περιουσίαν γνώσεως, ὁποίαν ἡ συχνὴ μάθησις αὐτοῖς θησαυρίζει ἐς δαψιλές. Ποθεῖται δὲ ὅμως ὑπερμάλιστα τὸ εὐαγγελικὸν μέλι, τὸ καὶ ἀξιέραστον, καὶ βασιλείας ἄξιον τῆς ὄντως, ἐπεὶ καὶ ἡ κατ' αὐτὸ ὑγίεια καὶ εὐπάθεια εἰς βασιλείαν οὐράνιον ῥώννυσι.

1. Sensibiles apes, cum, explicatis alis, in prata feruntur, non omnes omnibus occupantur floribus, neque, selecto quodam flore egregio, in hoc solo delectantur, et certatim mel hauriunt, sed et cunctis indulgent floribus, et hæc quidem hinc, illa autem illinc, quod utile est eligunt, universorum, quæ passim sunt, florum captæ voluptate, sed aliud aliæ colligentes, atque ita varie laborantes. Eadem etiam ratione, intellectuales apes, quæ vere spiritualem operarium Dei non frustrantur, spiritualis mel dulcedinis sibi undique colligunt, sacra prata circumvolantes, et quod pulchrum est decerpunt, non fortuito, vivacitate imaginationis huc vel illuc actæ, sed juxta firmam circumspectionem et explanationem commodam florilegium exquirentes. Et ita efficiunt melleum favum, quem Deus ipse amat, apostolice ei appositum, quem amant etiam homines pii, ad sanitatem recuperandam occurrentes, regesque et principes, imo et pauperes; hi quidem, quicunque ob intelligentiæ mediocritatem divinam dulcediuem parce hauriendam habent, contenti si leviter tantum mel gustent illud, quod in promptu est et vilis pretii, licet in se pretiosum: principes autem et reges, quibus et aliæ sunt dulcedines ob multarum rerum doctrinam et abundantiam sapientiæ, qualem scientia locuples eis copiose thesaurizat. Expetitur tamen valde nimium mel evangelicum et amabile et veri regni dignum, quoniam ea, quam præbet, sanitas et voluptas ad regnum cœleste obtinendum corroborat.

β'. Πρὸς ὁμοιότητα γοῦν μελίσσης ἐκείνης καὶ ἐγὼ, τῆς τοῦτο καὶ ἐκεῖνο συναγούσης ἄνθος, καὶ ἀπασχολούσης ἑαυτὴν εἰς ἄλλοτε ἄλλο, καὶ οὕτω συμβλοποιουμένης ἑαυτῇ τε καὶ ἑτέροις μέλι, οὗ κεφαλαιωδέστατον ἴδιον τὸ καὶ ὑγιάζειν καὶ φῶς παρίσχεσθαι ἄλυπον, καὶ τρέφειν πρός τε ἡδονὴν καὶ ἀβλαβῶς, ἔκρινα ἐκ τοῦ κατὰ πνεῦμα λειμῶνος καὶ τῶν ἐκεῖ μυρίων ἀνθέων, οἷς, καθὰ φίλον Θεῷ, ἐνεαρίζομεν οἱ ἀγαθοὶ Χριστιανοὶ, φυτὸν ἐπιλέξασθαι βρύον καλοῖς, εἴ τί που καὶ δυναίμην· καὶ μέλι σκευάσας, παραθήσειν τοῖς φιλοκάλοις πρὸς ἡδυσμα τὸ κατὰ ἰσχύν· ἀξιώσας ἐμαυτὸν θέσθαι εἰς τοιαύτην μέλισσαν διὰ μόνην πρόθεσιν ἔνθεον φιλεργὸν, οὐ μὴν πρὸς αὔχημα καὶ φιλενδειξίαν, ἧς οὐκ ἔχω ἐφικέσθαι.

2. Ipse igitur, ad similitudinem apis illius, hunc et illum florem colligentis, et sese hic et illic exercentis, et ita sibi et aliis mel condentis, cujus præcipue proprium est sanare, lætumque lumen præbere, nutriereque cum voluptate et innoxie, statui ex spirituali prato et innumeris qui ibi sunt floribus, inter quos, ut Deo placet, ver transigimus boni Christiani, plantam aliquam eligere abunde germinantem bona, si invenire possem, conditumque mel ex illa pulchritudinis amantibus apponere, ad eam, quæ robur generat, suavitatem: æquum censens, si ego ipse talis apis partes sumerem ob unicum propositum laborandi ad Dei gloriam, nequaquam vero ad propriam gloriationem quam assequi non valeo.

γ'. Ἔστι δέ μοι τὸ φυτὸν, ἐξ οὗ συμβλοποιῖαν θείαν

3. Est autem mihi planta de qua divinum mel

colligam, magnus Philotheus, cujus nomen ego gero et hoc quidem solummodo glorians (factis enim quis illi sit comparandus?) ad hancce deveni orationem : Philotheus, cognomen factis confirmans ; Philotheus, qui seipsum inscripsit infidelem servum Dei et bonum ministrum, cui contigit Dei amico vocari ad consortium apostolicum, qui audivit et ipse illinc istud : Non jam servum te voco, sed amicum, utpote qui scias quodcunque ego facio, et alios ad mei promoveas imitationem, et mea magistri instar obveles mysteria ; quippe nulla reprehensione digna res est, mentem meliori submittere qui interpretetur et adaperiat Scripturas : Philotheus, admiratio et cura mea, imo omnium. Nemo enim, nemo prorsus, auditis factis ejus, sanctum illum non admirari poterit, si tamen ex terrenis fas est depingere virum virtutibus cœlestem.

A ἀποδρέψομαι, ὁ μέγας Φιλόθεος, οὗ τὴν κλῆσιν βαστάζων ἐγὼ καὶ τοῦτό γε καὶ μόνον σεμνυνόμενος (ἔργοις γὰρ τίς ἂν εἴη τούτῳ ἐναμιλλος;) εἰς τὸν λόγον τοῦτον ἐμαυτὸν καθῆκα· Φιλόθεος, ὁ τὴν ἐπωνυμίαν τῷ ὄντι ἐπαληθεύων· Φιλόθεος, ὁ ἐγγράψας μὲν ἑαυτὸν εἰς πιστὸν δοῦλον Θεοῦ καὶ ἀγαθὸν θεράποντα, κληρονομήσας δὲ, φίλος Θεῷ κληθῆναι πρὸς ἰσοκληρίαν ἀποστολικήν, καὶ ἀκούσας καὶ αὐτὸς ἐκεῖθεν τό· Οὐκέτι δοῦλόν σε καλῶ, ἀλλὰ φίλον, ὡς καὶ εἰδότα πᾶν, ὅπερ ἐγὼ ποιῶ, καὶ ἄλλους εἰς ἐμὴν καταρτίζοντα μίμησιν, καὶ τὰ ἐμὰ διδασκαλικῶς ἐγκαλύπτοντα μυστήρια· ὅτι μηδὲ ἔστι φθόνος, τῷ κρείττονι τὸν αὐτοῦ νοῦν προάγειν ἐκφαντορικῶς ἐν τῷ διανοίγειν Γραφάς. Φιλόθεος τὸ ἐμὸν θαῦμα καὶ μέλημα, μᾶλλον μὲν οὖν τὸ κοινόν. Οὐ γὰρ ἄν τις B οὐκ ἂν, πάντως οὐδείς, μαθὼν τὰ ἐκείνου, ἀπόσχοιτο ἂν τοῦ θαυμάζειν τὸν ἅγιον τοῦτον, εἴ τι χρὴ καὶ ἐν τῶν περὶ γῆν χαρακτηρίσαι τὸν ταῖς ἀρεταῖς οὐράνιον.

4. Tulit Asiatica regio, uti posteris eam vocare placuit, optimum Opsicianum, terra immensa, dives et beata, olim quidem fama percelebris, ferens nunc etiam pristinæ illius excellentiæ signa multa et generosa, præsertim belli peritiam incolarum. Itaque, ut leviter ostendam, majestatem quamdam sanctus desumit e popularium virtute, qua leonibus similes videntur, quando canes, Agaris filii, Dei greges aggredi conantur. Vicum autem, qui illum protulit, quoddam a reliquis diversum ostendere, quippe qui Formica (Μύρμηξ) vocetur, et isto nomine ad myrmecoleontes indigenas alludi fortasse quis dixerit. Mihi autem vicus Myrmex, sancti patria, symbolum exhibet omnino venerandum. Videor enim hîc inclamantem audire mihi quoque sapientem Salomonem : « Vade ad talem formicam, o piger [1] ; » et Philotheo illic inquisito et formicarum antro ubi invenitur aurum, scrutare divitias Deo gratas, et esto beatus mercator, congregataque illinc quæstuosa bona divide egentibus, non, formicarum instar, colligens quæ in via sunt, sed celeriter currens ad optabilem circuitum ubi inveniuntur qui maximo expetenda studio nundinantur, ut et ipse divitias, quas bonus paterfamilias Deus a nobis thesaurizari optat, lucrifacias, et convenientia iis qui emunt vendas.

Δ'. Ἤνεγκε μὲν Ἀσιανὴ χώρα, ἣν ἤρεσε τοῖς ὕστερον ὀνομάζουσι, καλὸν Ὀψίκιον, γῆ πολυτενὴς εἰς μιλιασμοὺς καὶ πολυτελὴς καὶ εὐδαίμων, πάλαι μὲν καὶ λίαν περίπυστος, φέρουσα δὲ καὶ εἰσέτι νῦν τοῦ πρωτοθέτου ἐκείνου καλοῦ χαρακτῆρας πολλοὺς, καὶ οὐδὲ ἀγεννεῖς, καὶ μάλιστα τὸ τῶν ἐγχωρίων ἐμπειροπόλεμον. Καὶ οὕτω μὲν, ὡς ἐν στενῷ δηλῶσαι, σεμνότητα ὁ ἅγιος ἐπισύρεταί τινα καὶ διὰ τὴν κατ' ἔθνος ἀρετὴν, δι' ἣν οἱ ἐκεῖ ἀπολεοντιοῦσθαι δόξαιεν ἄν, ὅτε οἱ τῆς Ἄγαρ κύνες ἐπιτρέχειν τοῖς τοῦ Θεοῦ C ποιμνίοις προτίθενται. Ἐὰν δὲ ἡ προενεγκοῦσα τοῦτον κώμη ἑτεροΐόν τι φαντάζῃ, Μύρμηξ ἐπικαλουμένη, καὶ διὰ τὸ τοιοῦτον ὄνομα ὑποβάλλῃ κατὰ τῶν πατριωτῶν μυρμηκολέοντος νόημα, ἀλλὰ τοῦτο μὲν ἐρεῖ τις ἕτερος κατὰ τὸ παρατυχόν· ἐμοὶ δὲ ὁ Μύρμηξ κώμη τὸ τοῦ ἁγίου πάτριον ἔδαφος εἰς σύμβολον τέθειται πάνυ σεμνόν. Δοκῶ γὰρ ἐνταῦθα ὑποφωνοῦντος ἀκούειν κἀμοὶ τοῦ πανσόφου Σολομῶντος· « Ἴθι πρὸς τὸν τοιοῦτον μύρμηκα, ὦ ὀκνηρὲ, » καὶ τὸν ἐκεῖσε Φιλόθεον ἱστορήσας καὶ τὴν ἐν ἐκείνῳ χρυσῖτιν μυρμηκιὰν, μετάλλευε πλοῦτον Θεῷ φίλον, καὶ γίνου μακαριστὸς ἔμπορος· καὶ συλλέξας ἐκεῖθεν πλουτοποιόν τι καλὸν, διαδίδου τοῖς χρῄζουσιν, οὐ μυρμηκίζων τὰ εἰς ὁδὸν, ἀλλὰ ταχὺς τρέχων εἰς τὸ εὐκταῖον κατάντημα τοῖς ἐμπορευομένοις τὰ σπουδαιότατα· D ὅπως καὶ αὐτὸς πλοῦτον κερδήσῃς, ὃν ὁ ἀγαθὸς οἰκοδεσπότης Θεὸς θησαυρίζεσθαι φιλεῖ, καὶ τοῖς ἀγοράζουσι πωλήσῃς τὰ πρόσφορα.

5. Ea igitur fuit Philothei, Dei carissimi, terra patria, suo ipsius nomine memoriam revocans zeli et studii illius in spiritualia opera ; patrem autem ejus nemo dicet suam dedecuisse progeniem. Licet enim etiam ex non bonis nonnunquam boni gignuntur, hic tamen non perlatuisset accuratam historiæ diligentiam pater omnino dissimilis optimo filio, sed in exemplum factum esset ille, et in contumeliam insignitus esset qualis qualem genuisset, spina scilicet rosam, hyoscyamus anemonem, bestia fera

[1] Prov. VI, 6.

Ε'. Καὶ τοιαύτη μὲν τῷ θεοφιλεστάτῳ Φιλοθέῳ καὶ ἡ πατριῶτις γῆ, μνήμων αὐτῷ γινομένη τοῦ φιλοπόνως ἐργάζεσθαι τὰ πνευματικά· γεννήτωρ δὲ, οὐκ ἂν εἴποι τις, ὡς οὐκ ἦν αὐτῷ κατὰ λόγον τοιούτου γεννήματος. Εἰ γάρ ποτε καὶ ἐξ οὐκ ἀγαθῶν ἀγαθοὶ φύονται, ἀλλ' ἐνταῦθα οὐκ ἂν διέλαθε τὴν τῆς ἱστορίας ἀκρίβειαν πατὴρ ἀνόμοιος προαπεκδὺς υἱῷ οὕτω καλῷ· ἀλλὰ ἔπεσέν ἂν εἰς παράδειγμα καὶ ἐκεῖνος, καὶ παρεσημάνθη, ὁποῖος αὐτὸς ὢν, ὁποῖον ἀπέτεκεν, ἄκανθα δηλαδὴ ῥόδον, ὑοσκύαμος

ἀνεμώνην, θὴρ ἄγριος ἄνθρωπον ἥμερον, νὺξ ἡμέραν, καὶ εἴ τι τοιοῦτον σεμνὸν ἀντίθετον.

ς'. Νῦν δὲ ἡ τῆς παλαιᾶς ἱστορίας ἐπιδρομάδην ἐπέλευσις ἀποσιωπήσασα τὸν πατέρα, νοεῖν ἡμῖν ἀφῆκεν ἐκ τῆς γεννησαμένης μητρὸς καὶ τὸν ἄνδρα. Καλὴ γὰρ ἐν γυναιξὶν ἐκείνη, καὶ ὁποίαν διατυποῖ Σολομῶν, ἐν οἷς τὴν ἀνδρείαν γυναῖκα διαζωγραφεῖ. Κάλλος μὲν οὖν αὐτῆς ἱστορῆσαι καὶ δεξιότητα τὴν εἰς ἔργα, οἰκωφέλειαν, καὶ τὸ φίλανδρον, καὶ τὸ ἐκόλουθον σῶφρον, καὶ ὅσα ἕτερα γυναῖκα κοσμίαν ἀπαρτίζει, πλατὺν ἂν διαπετάσοι λόγον, ἀποκναίοντα τὴν ἀκρόασιν· ἀρκεῖ δέ μοι, τὰ πάντα κεφαλαιώσασθαι, εἰπόντι συνεπτυγμένως, ὅτι πάντα, ὅσα Θεῷ φίλα, προεχειρίζετο· καὶ ἦν τρόπῳ τοιούτῳ φιλέργὸς, ταὐτὸν δὲ φάναι, ἀγαθουργός. Ἀμέλει, καὶ κατά τι θεῖον τοιαύτην ἔλαχε κλῆσιν. Θεοφίλαν γὰρ οἱ τεκόντες αὐτὴν ὠνόμασαν, μεταδόντες τῇ θυγατρὶ τέως μὲν ὀνόματος προσφυοῦς αὐτοῖς, ἐξ ὧν εἰργάζοντο· ὕστερον δὲ καὶ πράγματι τῷ ἐξ αὐτῆς τὸ τοιοῦτον ἐπισφραγίσαντες ὄνομα, οἷς τὴν παῖδα τρέφοντες θεοφιλῶς ἐξεπαίδευον. Τοιαύτη δὴ ἐκτραφεῖσα ἡ μήτηρ, καὶ ὡς Θεῷ φίλον διεσκευασμένη ταῖς ἀρεταῖς, καὶ τὸν τοῦ Θεοῦ φόβον ἐν γαστρὶ λαβοῦσα, πρότερον ἐκ διδασκαλικοῦ σπόρου, εἶτα καὶ ὠδινήσασα, οἷς ἐκυεῖτο κατὰ ἐγκράτειαν, καὶ ἐπὶ τούτοις τεκοῦσα πνεῦμα σωτηρίας, καὶ ἄλλως δὲ φύσεως ἀκολουθίᾳ παῖδα συλλαβομένη ἐν γαστρὶ ἐκείνη καθηγνισμένη πνευματικῶς, προήγαγεν ἀκολούθως καὶ παιδίον, Πνεύματι ἁγίῳ πρέπον εἰς ἐνοίκησιν. Διὸ προσφυῶς καὶ αὐτὸ Φιλόθεον παρωνόμασεν ἐξ ἑαυτῆς, ἐντεῦθεν ἀρξαμένη τὸν καθήκοντα μητρόθεν κλῆρον ἀποδιδόναι τῷ υἱῷ, ἵνα τοῦ κατὰ γῆς ἕρπειν ἀνασφήλας, καὶ τὴν ἀνθρωπίνην διάλεκτον κατορθώσας, καὶ γνοὺς, οἷου μετείληχεν ἐκποδὼν ὀνόματος, ἀποξέῃ φερωνύμως τὸν φυσικὸν ἀνδριάντα πρὸς τὸ θειότερον, αἰδούμενος ὄνομα οὕτω καλὸν καὶ θεῖον ἀχρειοῦν φαυλότητι πράξεων.

ζ'. Καὶ τοίνυν οὐκ ἐνέλειπεν ἐξομοιῶν τῇ κλήσει τὴν πρᾶξιν, καὶ σπεύδων θειότητος εἶναι κατ' ἄμφω, καὶ ὥσπερ ὀνόματι, οὕτω καὶ πράγματι φιλοσοφῶν τὴν θειότητα. καὶ ἐπιγραφόμενος οὕτως εἰς θείαν εἰκόνα, καὶ Θεῷ εἰς τὸ πᾶν ἀνακείμενος· οὗ πρὸς μίμησιν ἀνωφορεῖσθαι θέλων, καὶ τὸν κάτω ὑπεραναβαίνειν ἄνθρωπον, καὶ οὐράνιος εἶναι εἶχε μὲν αὐτὸ, καὶ διὰ θεωρίας ἰδίᾳ τε, πᾶσαν ἀγαθότητα τιθεισώσαν δίκην μελίσσης, καὶ διὰ συνεχοῦς δὲ μαθήσεως καὶ ἀναγνώσεως κειμηλιούμενος ἀρετὴν ἅπασαν. Οὐκ ἔφερε γὰρ, μὴ συχνὰ ταῖς ἱεραῖς Γραφαῖς ἐντρίβεσθαι, καὶ ἀδολεσχεῖν ἐν τοῖς τοῦ Θεοῦ δικαιώμασι, τὰ πολλὰ καὶ εἰς τὸ κοινὸν θαμίζων τῆς ἀρετῆς διδασκαλεῖον, καὶ ταῖς ἐθίμοις τῶν πανηγύρεων συγγινόμενος, καὶ ταῖς ἔκεῖ πανδαισίαις ἐντρυφῶν κατὰ πνεῦμα εἰς κόρον, καὶ τὰ μὲν σιτιζόμενος αὐτὸς, τὰ δὲ καὶ ἑτέροις ἀποφερόμενος, καθὰ καὶ ἐν εὐαγγελικῇ σπυρίδι περισσευμάτων, ἅπερ ὁ Θεὸς εὐλογεῖ. Συνεπελαμβάνετο δὲ εἰς πλέον αὐτῷ τοῦ κατὰ θεωρίαν, ὡς ἐῤῥέθη, φιλοσοφεῖν καὶ ἀνάγεσθαι εἰς τὸν Ὕψιστον, καὶ τὸ εὐεπήβολον ἔμπρακτον, οὗ μέρος εὐεργὸν καὶ τὸ τῆς γαστρὸς ὑπόκενον. Ἐξαντλῶν γὰρ

hominem mitem, nox diem, et si qua res alia prava rei honestæ opponi potest.

6. Nunc vero antiquæ historiæ succincta narratio, quæ de patre obticuit, nobis ex matre virum ipsum dignoscendum reliquit. Pulchra enim illa inter mulieres, et qualem depingit Salomon, mulierem fortem describens. Pulchritudinem autem illius narranti, et solertiam in operibus, frugalitatem toti familiæ utilem, amorem erga virum et consequentem temperantiam fuse lateque esset promenda oratio, tædioque afficiendi audientes. Satis autem mihi est si cuncta summatim repetam et breviter dicam quæcunque Deo grata sunt illam exhibuisse. Erat igitur amans operis, aut ut idem dicam, bona operans. Sane quasi divinitus tale obtinuerat nomen. Theophilam enim parentes ejus ipsam vocaverunt, filiæ primum nomen imponentes congruum operibus quibus ipsi dediti erant, deinde vero eodem insignientes nomine, ob propria ipsius opera, illam a se pie educatam. Porro sic instituta mater, atque, ut Deo placet, adornata virtutibus, primum concepto Dei timore ex doctrinæ semine, deinde cum continentiæ labore parturiit et sic spiritum salutis peperit. Præterea naturæ legibus filium concepit in utero, spiritualiter purificata, ideoque peperit infantem, in quo Spiritus sanctus convenienter inhabitaret. Idcirco et ipsum suo ipsius nomine Philotheum apte vocavit, hinc incipiens decentem ex matre hæreditatem dare filio, ut cum jam humi repere desiisset, humanasque voces reddere incepisset, et cognovisset quale sortitus esset jam nomen, exspoliaret, ut nomen decebat, naturalem imaginem divinioremque indueret, veritus ne tam pulchrum et divinum nomen corrumperet nequitia operum.

7. Non cessavit igitur nomini facta adæquare, et eniti ut per utraque Dei esset, et quemadmodum nomine, ita etiam opere Deum amaret, divinam in se efformans imaginem et omnino Deo devotus; cujus ad imitationem se erigere, et inferiorem hominem superare, cœlestisque fieri, cupiens hoc revera assecutus est, et contemplatione privata omnem bonitatem, tanquam mel, apis instar, conficiens, et omnes virtutes assidua lectione et studio sibi comparans. Non potuit quin assidue ad sacras incumberet Scripturas et meditaretur in justificationibus Domini. Frequenter ad communem virtutis conveniebat scholam consuetisque aderat cœtibus, et in lautis illis conviviis spiritualiter oblectabat se ad satietatem, suginatusque ipse hinc ad alios deferebat, quasi in evangelica sporta abundantiarum, quæ Deus benedicit. Contigit autem ei, ut in dies ad theoriam, uti diximus, magis philosopharetur, et sese erigeret ad Altissimum et ad illam felicem activitatem, quæ, ventre neglecto, ad virtutem tendit. Exhauriens enim semper vas corporis omnibus superfluis humoribus, et ita terre-

num pondus alterans jejuniis, emitebatur terram more angeli et juxta Evangelii præscripta transvolare, indignum seipso judicans inscribi quidem Deo charum, altissimo Patri luminum, adhærere vero terræ matri et cœlestibus præferre terrestria et humilia.

8. Cum sic terram contemneret et ad nullam rem terrenam pronus esset, quomodo non etiam per orationes ad simile prospere progrederetur bonum? Perseverabat igitur diu stans, manibusque extensis ad illum qui sursum ipsum trahere poterat, postquam recte ambulasset, firmiter stetisset, et ad eum manus simul et totam animam elevasset. Et ita quidem omnino in excelsis versabatur : si vero aliquando super terram, propter affinitatem, non neglexit erectam hominis staturam, sed potius conservavit et terræ genitrici sese accommodavit. Porro hoc perficiebat, genua flectens continenter, et cito erigens se, illud quidem ut terrestris et ad terram rediturus hoc vero, ut quasi planta cœlestis esse videretur Accidebantque ei fere sine molestia, quamvis frequentes, casus illi et erectiones inter orandum; nam præ nimia carnis macie, quam temperantia pepererat, cito sanctus erigebat se, ita ut facilius exurgeret se quam genua flecteret, quemadmodum pulcher ramus paululum flatu incurvatus, cito erigitur.

9. Quid igitur? Numquid carnem exhauriens et evacuans, cæterum inde quæstum faciebat sicut avari, et horreum genuinum vacuum dimittens, complebat exterius et addictitium, et forsan illud evertere meditabatur, majusque suscitare? Nequaquam. At terra et divitiæ quæ ex illa sunt et reliqua vitæ compendia a Deo benedicta, plenum illum faciebant omnibus quæ terrestribus exoptanda videntur; beneficentia autem et humanitas evangelico superaddita mandato, per quod invitatur cordatus homo ad deponendum superfluum in vita pondus, et dividendum pauperibus, ut ita expeditus in viam divinam et vere rectam, licet aliquo modo asperam initio ingredientibus, serviat Deo ad meliora ducenti, sancto suaserunt ut sua bona effunderet in cæteros, et ea quæ ex Dei sortitus erat munificentia transferret in consimiles, et talibus horreis (ventrem dico pauperum) crederet quæcunque Deus largiter suppeditabat. Et hoc erat quasi fons perennis et jugiter effluens. Scaturiebant enim sancto ex infinitis Dei thesauris utilia; ille vero paucis in terram suam, carnem, infusis, quantum satis erat ut humectaretur et herba virens repullularet, qualem quoque beatus David diligit, in tali nimirum terra florida a Deo constitutus, reliquum fontem dimisit ut pinguefaceret alia loca, et solveret siccitatem quam penuria pauperibus gignit. Et hæc dona nec simulate ab illo fiebant (nisi quis dicat eum qui exiit seminare semen suum palam, spe majoris a Deo collectionis, simulate seminare) ne-

ἀεὶ τοῦ κατὰ σῶμα κεραμείου πᾶν, ὅσον ἔνικμον καὶ ὑγρὸν, δι' οὗ πλαδαροῦται ἄνθρωπος, καὶ οὕτω κουφίζων τὸ γήϊον βρῖθος νηστείαις, ἐφιλονείκει τῆς γῆς ἀγγελικῶς ὑπερίπτασθαι, ἀνάξιον ἑαυτοῦ κρίνων, ἐγγράφεσθαι μὲν εἰς φίλον Θεοῦ, τοῦ τῶν φώτων ὑψίστου Πατρὸς, προστετηκέναι δὲ τῇ μητρὶ γῇ, καὶ τοῦ αἰθερίου ἀνθαιρεῖσθαι τὸ πεδινόν τε καὶ ταπεινόν.

η'. Ὁ δὲ οὕτω τὴν γῆν περιφρονῶν, καὶ πρὸς μηδέν τι τῶν κατ' αὐτὴν κεκυφὼς, πῶς οὐκ ἂν καὶ δι' εὐχῶν εἰς τὸ ὅμοιον εὐοδοῖτο καλόν; Ἐσχόλαζε τοίνυν καὶ ποδῶν ὀρθίᾳ στάσει ἐφ' ἱκανὸν, καὶ χειρῶν ἀνατάσει πρὸς τὸν ἄνω δυνάμενον ἕλκειν τὸν καὶ ἀσφαλῶς βεβηκότα, καὶ στερεῶς ἑστῶτα, καὶ χεῖρας ἅμα καὶ ψυχὴν ὅλην πρὸς αὐτὸν ἀνατείνοντα. Καὶ οὕτω μὲν ὅλος ἦν τῆς ἀνωτάτω ὑψώσεως· εἰ δέ που καὶ τῆς γῆς διὰ τὸ φυλετικὸν συγγενὲς, ἐποίει μὲν καὶ αὐτὸ, οὐχ ὥστε μὴν καὶ ἀχρειῶσαι τὸ ἀνθρωπικὸν ὄρθιον, ἀλλὰ καὶ αὐτὸ φυλάξαι, καὶ τῇ μητρὶ γῇ χαρίσασθαι. Ἥνυε δὲ αὐτὸ, γόνατα κλίνων συνεχῶς, καὶ ταχὺ ἐξανιστάμενος, ἐκεῖνο μὲν γῆς καὶ εἰς γῆν, τοῦτο δὲ οἷα καὶ φυτὸν πεφιλοσοφημένος οὐράνιον. Καὶ εἶχον αὐτὸν ἡ τοιαύτη πυκνὴ εὐκταία πτῶσίς τε καὶ ἀνάστασις καὶ σχεδόν τι καὶ δίχα πόνου· τὸ γὰρ ἐξ ἐγκρατείας ὑπέρισχνον τῆς σαρκὸς ταχὺ τῆς γῆς ἀπανίστα τὸν ἅγιον, ὡς εὐπετίστερον εἶναι τοῦ κατακλιθῆναι τὸ ἀναπνεῦσαι, καθά που καὶ θάλος εὐφυὲς βραχύ τι κύψαν ἐκ καταπνοῆς, εἶτα θᾶττον ἀνατρέχει πρὸς τὸ εὐθύ.

θ'. Τί δὲ ἀλλὰ τὴν σάρκα ὑποκενῶν, καὶ εἰς λαγαρὰν ἀποκαθιστῶν, ἐχρηματίζετο ἄλλως ἐντεῦθεν κατὰ τοὺς κίμβικας, καὶ τὴν σύμφυτον ἀποθήκην διάκενον ἀφιεὶς, ἀνεπλήρου τὴν ἔξω καὶ πρόσθετον, καί που καὶ καθελεῖν αὐτὴν ἐμελέτα καὶ ἀνεγεῖραι μείζονα; Οὐμενοῦν. Ἀλλ' ἡ μὲν γῆ καὶ ὁ ἐξ αὐτῆς πλοῦτος καὶ ἡ λοιπὴ κατὰ βίον μέθοδος, εὐλογουμένη παρὰ Θεοῦ, μεστὸν αὐτὸν ἐποίει πάντων, ὅσα μακαριστὰ τοῖς περὶ γῆν· τὸ δὲ κοινωνικὸν καὶ φιλάλληλον καὶ φιλάνθρωπον, τῇ εὐαγγελικῇ παραγγελίᾳ προσαυξόμενον δι' ἧς προκαλεῖται ὁ ἐχέφρων ἄνθρωπος, ἀποτίθεσθαι τὸν περιττὸν ἐν βίῳ φόρτον, καὶ ἀνατιθέναι πτωχοῖς, καὶ οὕτω γινόμενον εὔζωνον εἰς ὁδὸν θείαν, καὶ ἀληθῶς εὐθεῖαν, εἰ καὶ ἄλλον τρόπον τραχεῖαν τὰ κατ' ἀρχὴν τοῖς ἐλομένοις ἀκολουθεῖν προηγουμένῳ τῷ Θεῷ εἰς τὰ κρείττονα, ἔπειθον τὸν ἅγιον, ἐξ αὐτοῦ κλίνειν εἰς ἑτέρους τὸ ἀγαθὸν, καὶ τὸ ἐκ Θεοῦ φιλοτίμημα μετάγειν εἰς τὸ ὁμόφυλον, καὶ τοιαύταις ἀποθήκαις (γαστέρες δὲ αὗται πενήτων) πιστεύειν, ὅσα ὁ Θεὸς ἐνεβαψιλεύετο. Καὶ ἦν τοῦτο πηγῆς ἀεννάου καὶ ἀπορρύτου μίμημα. Ἀνέβλυζε μὲν γὰρ τῷ ἁγίῳ ἐκ τῶν ἀβύσσων τοῦ Θεοῦ ταμείων τὰ λῴονα· ὁ δὲ ὀλίγα τῇ περὶ αὐτὸν γῇ, τῇ σαρκὶ, ἐπιχέας, εἰς ὅσον ὑγράνασθαι τὸ ἱκανὸν, καὶ χλόην ἀναθῆλαι, ὁπώαν καὶ ὁ μακάριος Δαυὶδ ἀγαπᾷ, σκηνοῦντος αὐτὸν τοῦ Θεοῦ εἰς τόπον τοιοῦτον χλοερὸν, τὸ λοιπὸν τῆς πηγῆς ἐξέπεμπε, πιαίνειν τὰ ἐφεξῆς, καὶ λύειν αὐχμὸν, ὁπόσον ἡ πενία τοῖς ἐνδεέσιν ἐπιψηφίζεται. Καὶ ἡ τοιαύτη δόσις αὐτῷ ἐγίνετο οὔτε ὑποκριτικῶς (εἰ μή τις καὶ τὸν ἐξελθόντα σπεῖραι τὸν

σπόρον αὐτοῦ εἰς ἐπόψιον ἐλπίδι συγκομιδῆς πλείονος τῆς διὰ Θεοῦ, προφάσει λέξει σπείρειν), οὐδὲ μὴν πεφεισμένῃ χειρί. Οὐκ ἐφίλει γὰρ οὐδὲ φλέβιον γῆς ἢ πέτρας ἰσχνὸν, εἰς ὅσον μὴ προῤῥέει θεραπείαν ἐλέους. Ἀπῆν δὲ ἐκείνου καὶ τὸ ἐν τοῖς τοιούτοις ἄγριον. Μετεδίδου γὰρ μετὰ ἱλαρότητος, οἵαν φιλεῖ Θεὸς, ὁ καὶ ἐλεημοσύνην ἀγαπῶν καὶ δότην οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν ἱλαρόν. Κατ' ἣν καὶ αὐτὸς οὕτω ποταμὸς ἐλεημοσύνης, κροτῶν χειρὶ κατὰ τὸν Ψαλμῳδόν. Ἔχαιρε γὰρ ἐλεῶν, καὶ ὡς οἷον ἐκρότει χαρμόσυνον, οὐ δαπανᾷν δοκῶν, καὶ τὸ ταμιεῖον ἀφιέναι κενὸν, ἀλλὰ πλουτίζεσθαι, καὶ μειστὸς εἶναι, οἷα ἀναπληροῖ τοὺς χρῄζοντας, τὸ δὲ μεῖζον εἰπεῖν, Θεὸς γίνεσθαι, εἴπερ ὁ εὐεργετῶν Θεὸν μιμεῖται εἰς δύναμιν. Μᾶλλον μὲν οὖν αὐτὸς ἠγαλλιᾶτο διδοὺς, ἢπερ ἄλλος τις λαμβάνων· καὶ ἦν ὅρος αὐτῷ πλούτου τὸ δανείζειν Θεῷ, οὗ μυριότοκος ἡ ἀνταπόδοσις.

ι'. Καὶ οὕτω μὲν αὐτὸς βίου πορισμὸν τὸ ἀποδιοῦν τοῖς ἀδελφοῖς ἔκρινεν, εἰς Θεοῦ κρίνον ἀποκαθιστᾶν ἑαυτὸν γνωματεύων, εἴπερ ἐνδύει γυμνοὺς, καὶ πόδας εὐθετίζειν εἰς Εὐαγγελίου ὁδὸν μεθοδεύων, εἰ τοὺς ἀνυποδέτους περιστέλλει, καὶ βρῶμα λογιζόμενος οἰκεῖον, εἰ χορηγεῖ τοῖς δεομένοις τὰ χρήσιμα, καὶ οὕτως ἐκπληρῶν καὶ αὐτὸς ἀποστολικῶς τὸ πᾶσι τὰ πάντα γίνεσθαι. Ἐπεὶ δὲ πολλαὶ ὁδοὶ πρὸς τὴν τῆς ἀρετῆς ἀκρόπολιν, εἰς ἣν ὁποῖα καὶ Θεοῦ ὄρος ὁ μέγας Φιλόθεος ἀνατείνων τοὺς ὀφθαλμοὺς, καὶ τὴν ἐκεῖθεν βοήθειαν προκαλούμενος, αὐτῆς ἐγλίχετο, καὶ τὴν ἐκεῖ ἀνάβασιν διὰ πάντων ἐπραγματεύετο (δοκεῖ δὲ τοῖς πλείοσιν ὑπερέχειν τῶν ἄλλων ὁ μονήρης καὶ ἀπέριττος βίος, καὶ τὸ μηδὲν ἔχειν, ἀλλ' ἕκαστον ἄνθρωπον μόνον ἑαυτὸν ἐπισκέπτεσθαι· καὶ διὰ τοῦτο οἱ ἀνακεχωρηκότες τόποι ζητοῦνται καὶ ἐρημάζονται, πολλοὶ δὲ καὶ σπηλαίοις διὰ τοῦτο ἑαυτοὺς παραβύουσι, κρυπτόμενοι τὸν ἄνθρωπον, καὶ εἰς γῆς ὀπὰς παραδύονται, καὶ ἄλλα ποιοῦσι, δι' ὧν ἐκφευξοῦνται τὰς ἀγορὰς, καὶ τὸν ἐν βίῳ φανητιασμὸν, καὶ τὴν σύγχυσιν, τὸ πολιτικὸν καὶ σύμβιον ὀκνοῦντες φιλεῖν, ὡς μὴ δυνάμενον προσάγειν Θεῷ), αὐτὸς καὶ τἄλλα μὲν πολλὰ σκεψάμενος, ἐπέκρινε καὶ ἀπεδέξατο, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατεθεμένας εἶναι, καὶ αὐτὰ πρὸς τὴν ὕψιστον ἀρετὴν ἐθεώρησεν· οὐκ ἐξουδένωσε δὲ οὐδὲ τὴν προγονικὴν ζωὴν, καθ' ἣν πατέρας ἔσχομεν τοὺς ἀρχεγόνους προπάτορας. Συνελογίσατο γὰρ, θέατρον εἶναί τι καὶ τὸν καθ' ἡμᾶς βίον, θεαταῖς μὲν συγκροτούμενον τοῖς καθ' ἕκαστον τῶν βιούντων ἀνθρώπων, ἀγωνοθέτῃ δὲ βραβευτῇ τῶν ἄθλων πρυτανευόμενον τῷ μεγάλῳ Θεῷ, ἀεθλευταῖς δὲ πονούμενον τοῖς ὅσοι ζῶσι κατ' ἀρετὴν, οἷς ὁ ἀγὼν οὐ πρὸς σάρκας, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ὧν σπούδασμα, προσβάλλειν ἀνθρώποις, καὶ καταβάλλειν, καὶ οὕτως αὐτοῖς ἀεὶ καθίστασθαι εἰς ἀντίπαλον. Διὸ καλὸν μὲν εἶναι, καὶ εἰ καταμόνας ἀποδυσάμενός τις πυγμαχεῖ καὶ νικᾷ κατὰ τοῦ δαιμονίου φύλου, μόνου τοῦ παμβασιλέως ἐφορῶντος Θεοῦ, εἰς ὃν ἅπας ἀθλητὴς ἀνατείνει τὸν νοῦν, τὸ πάντιμον στέφος ἐκεῖθεν ἐκδεχόμενος, ὃ

A que parca manu. Ne vernulam quidem terræ aut petræ tenuem amabat, nisi in sitis remedium profueret. Neque in his asperitas ulla apparebat. Dabat enim cum hilaritate, qualem Deus diligit, qui eleemosynam amat et datorem, non simpliciter quidem, sed hilarem. Itaque ipse erat flumen eleemosynæ, plaudens manu, juxta Psalmistam [1]. Gaudebat enim miserans, et fere cum exsultatione plaudebat, non dilapidare divitias sibi visus et vacuum dimittere thesaurum, sed dives et plenus esse, dum egentes impleret, et ut majus dicam, Deus fieri, si quidem qui beneficus est Deum imitatur quantum in se est. Magis igitur exsultabat ipse dans, quam quivis alius accipiens; et hic finis divitiarum erat ei, Deo fœnerare, qui millies fœnera
B reddit.

10. Ita ipse vitæ lucrum judicabat emori fratribus, opinans seipsum statuere, Dei lilium, si cooperiret nudos, pedes ad Evangelii viam aptare meditans, si discalceatorum pedes ornaret, escam sibi ministrare se putans, si utilia præberet indigentibus, et apostolicum sic adimplens mandatum ut omnia omnibus fiamus. Quoniam autem multæ sunt viæ ad virtutis arcem, quam magnus Philotheus affectabat, ad illam tanquam ad Dei montem manus extendens et inde invocans auxilium, et ad eam ascendere omnimode satageus (videtur autem plerisque superare alias monastica et pau-
C per vita, qua nihil possidet homo, sed quemvis alium tanquam seipsum considerat; ideoque recessus et solitarii quæruntur loci, multique in speluncis nemini notis ob hanc causam seipsos abscondunt, et in foramina terræ irrepunt, et alia agunt, ut fora devitent, nec in vita appareant, nec in conturbatione vivant, societatis et convictus amorem reformidantes, quippe qui non possit adducere ad Deum), ipse cum alia multa examinasset, hanc approbavit vitam et amplexus est, videns ascensiones in corde suo dispositas esse et eas quidem ad altissimam virtutem; nec primitivam quidem vitam despexit juxta quam patres habuimus antiquos progenitores. Cogitavit enim spectaculum esse quodammodo vitam nostram, huicque
D spectaculo spectatores complodere quicunque solitariam vitam agunt, illudque summo a Deo administrari tanquam a designatore et instructore certaminis præmiorumque arbitro, hos vero athletas decertare quicunque juxta normam virtutis vivunt, quibus certamen non adversus carnem, sed adversus spiritus nequitiæ, quorum studium est irruere in homines et evertere, et sic adversus illos semper consistere hostiliter. Idcirco pulchrum esse censebat, si quis privatim etiam exutusque luctatur adversus dæmoniorum genus, et vincit, Deo summo rege contemplante solo, ad quem omnis athleta mentem dirigit, inde excipiens honoratissimam co-

[1] Psal. xcvii, 8.

ronam, quæ hujusmodi victores ornat; oportere autem præterea coram innumeris testibus omni certamine superare, cæterasque perficere pugnas spirituales. Ita enim ille qui coram innumeris oculis prosternit inimicum, non confundetur coram solitariam vitam agente, superabit autem, ut opinor, præclaro facinore. Solitarius enim quasi per planum curriculum, nullo interposito impedimento, et luctatur, et currit, et pugnat, et cætera certaminis facit; servus autem Dei qui medias per mundi vias certat, substratis tribulis, quos et semper gignit et acuit incomposita vita, subjacentibusque innumeris petris offendiculi, certat; ideoque post victoriam habet majus ornamentum, prætereaque et alios ad eumdem zelum provocat, et ita multiplicat secundum Deum principes. Si vero qui solitarium athletam videt in abscondito, retribuit manifeste, nonne ei qui manifeste certat, et sic effugit: « Væ soli [a], » et lapsum irreparabilem justitiam reddet præter remunerationem? Sic sol pulcher est (sol est enim), quando sub terram iter facit, neque quisquam in eum oculos injicere potest; sed omnino pulchrior est cum post ortum pulchra facit quæcunque intuetur, quibus eum Deus lucere jussit usque ad occasum. Sunt autem Dei quoque invisibilia; nobis vero incomprehensibilia et admiranda, visibilia ejus, seu manifesta.

11. Cum hæc et alia (sunt enim vere multa talia) animo perpendisset Philotheus, a puero divina edoctus, desiderabat quidem secessum et asceticam vitam, plebi ignotam; attamen æqua statera simul expensis monastica et mundana vita, utraque secundum Deum, sicut ipse distinxit, et post distinctionem approbavit, elegit vitæ genus virtutibus ornatum quod beatissimus Job et ipse præoptaverat et in quo ut vix ullus qui unquam vixerunt clarus fuit. Cum autem innumeris conjugium nominibus commendari videret, et sicut parentes, ita et ipse in mundo bonum simile, successionem honestam, posteritatem beatam, benedictum semen, vellet relinquere, copiam consilii parentibus facit, et ipsi libenter sermoni filii assentiuntur, se ipsos incusantes quod non præoccupassent consilium, gaudentes autem quod et in hoc parentes imitaretur filius. Confestim de prænuntiato solliciti sunt conjugio, vitulamque cum ipsi habeant qui sub benedicto futurus est jugo, requirebant juvencam (sociam), qua cito inventa consociaverunt hunc et illam, dignos invicem alterum altero, jugumque Dei eos reddiderunt aptum ad arandum et seminandum et colligendum necessaria ad salutem. Deus autem qui ipsos elegerat et qui plantas paradiso congruas posuerat in terra Opsicianorum, non passus est illos sua maturitate non ferre radicem firmam, stirpem increscentem, germinationem abundantem, et fructus tempore suo generosos; sed voluntatem timentium se in hoc quoque fa-

[a] Eccle. IV, 10.

τοὺς τοιούτους νικηφόρους κοσμεῖ· χρῆναι δὲ ἄλλως, καὶ ἐπὶ θεατῶν πάνυ πολλῶν παγκρατιάζειν τε, καὶ τοὺς λοιποὺς ἐξανύειν ἀγῶνας κατὰ πνεῦμα. Οὕτω γὰρ ὁ ἐπ' ὄψεσι μυρίαις καταῤῥιπτῶν τὸν ἀντίμαχον οὐκ ἂν ἐντρέποιτο τὸν μονάζοντα, ὑπεραναβαίνοι δὲ ἂν οἶμαι τῷ κατορθώματι. Ὁ μὲν γὰρ μονάζων ὡς ἐπὶ σταδίου λείου καὶ μηδὲν τὸ συμποδίζον ἔχοντος, καὶ παλαίει, καὶ θέει, καὶ πὺξ πονεῖται, καὶ τἆλλα τοῦ ἀγῶνος ποιεῖ· ὁ δὲ περὶ μέσας ἀγυιὰς κόσμου θεῖος ἀγωνιστὴς, τριβόλων ὑπεστρωμένων, ἃς καὶ ἀναφύει καὶ ὀξύνει συρφετώδης βίος, ἔτι δὲ καὶ λίθων ὑποκειμένων μυρίων προσκόμματος, ἀεθλεύει· διὸ καὶ νικήσας ἔχει τι καὶ πλέον ἐπικόσμημα, τά τε ἄλλα, καὶ ὅτι καὶ ἄλλους εἰς τὸν ὅμοιον προκαλεῖται ζῆλον, καὶ οὕτω πληθύνει τοὺς κατὰ Θεὸν ἀριστεῖς. Εἰ δὲ ὁ τὸν μονάζοντα ἀθλητὴν βλέπων ἐν τῷ κρυπτῷ, ἀποδίδωσιν ἐν τῷ φανερῷ, οὐκ ἂν τὸν ἐν τῷ φανερῷ ἀθλοῦντα, καὶ οὕτω διεκφυγόντα τὸ, « Οὐαὶ τῷ ἑνὶ, » καὶ τὸ ἀνέγερτον ἐν τῷ καταπεσεῖν, ἀφήσει δικαίας ἔξω ἀνταποδόσεως; Οὕτω καὶ ἥλιος καλὸς μὲν (ἐπεὶ καὶ ἥλιος), ὅτε ὑπὸ γῆν ὁδεύει, καὶ οὐδεὶς αὐτῷ ἐπιβάλλειν ἔχει τὴν ὄψιν· τῷ παντὶ δὲ καλλίων, ὅτε ἀνατείλας ποιεῖ τὰ κατ' αὐτὸν καλὰ, οἷς αὐτὸν ὁ Θεὸς ἐνέλαμψε μέχρι καὶ δύσεως. Εἰσὶ δὲ καὶ Θεοῦ ἀόρατα· ἡμῖν δὲ ἀλλ' ἀκατάληπτα καὶ θαυμαζόμενα τὰ ὁρατὰ τούτου, εἴτ' οὖν θεωρητά.

ια'. Ταῦτα καὶ ἕτερα (εἰσὶ δὲ ἀληθῶς πολλὰ τοιαῦτα) καθ' ἑαυτὸν διαλογιζόμενος ὁ ἐκ παίδων τὰ θεῖα σεσοφισμένος Φιλόθεος, ἐπόθει μὲν καὶ τὴν ἀναχώρησιν, καὶ τὴν τοὺς πηλοὺς λανθάνουσαν ἄσκησιν· ταλαντεύσας δὲ ὅμως ἐν ἀκριβεῖ σταθμώματι τὸν μονίαν βίον καὶ τὸν πολιτικὸν, τοὺς κατὰ Θεὸν, ὡς αὐτὸς διεῖλε, καὶ διελὼν ἐπέκρινεν, ἐγένετο τοῦ κατὰ βίον ἐναρέτου πολιτεύματος· ὃ καὶ ὁ μακαριώτατος Ἰὼβ προελόμενος εὐδοκίμησεν, ὡς οὐκ οἶδ' εἴ τις τῶν πώποτε. Καὶ δὴ μεθοδεύσας ἐγκώμια γάμου μυρία ὅσα, καὶ ἐθελήσας, ὥσπερ αὐτὸν οἱ γεννήσαντες, οὕτω καὶ αὐτὸς ἀφεῖναι καλὸν ὅμοιον ἐν τῷ κόσμῳ, διαδοχὴν τιμίαν, ἐπιγονὴν μακαρίαν, εὐλογητὸν σπέρμα, κοινοῦται τὸ σκέμμα τοῖς γεναμένοις· καὶ αὐτοὶ ἅσμενοι τὸν τοῦ υἱοῦ λόγον προσίενται, μεμφόμενοι μὲν ἑαυτοὺς, ὅτι μὴ προήρπασαν τὴν βουλὴν, χαίροντες δὲ, ὅτι καὶ ἐνταῦθα πατρώζει ὁ παῖς. Καὶ αὐτίκα μελετῶσι τὴν ἐκπεφωνημένην σύζευξιν· καὶ τὸν μόσχον αὐτοὶ ἔχοντες, ὃς ὑπὸ εὐλογημένον ἔσται ζυγὸν, ἐπεζήτουν τὴν δάμαλιν· καὶ ταχὺ εὑρηκότες, συνήγαγον τοῦτόν τε καὶ ἐκείνην ἀλλήλων ἀξίους· καὶ ζεῦγος Θεοῦ δι' αὐτῶν ἀπετέλεσαν, δεξιὸν καὶ ἀροῦν καὶ σπείρειν καὶ φορτηγεῖν τὰ σωτήρια. Θεὸς δὲ ὁ τούτους ἐπιλεξάμενος, καὶ φυτὰ παραδείσῳ πρέποντα ἐνθέμενος τῇ τῶν Ὀψικιανῶν γῇ, οὐκ ἀφῆκε μὴ τελεσφορῆσαι αὐτὰ καὶ ῥίζωμα στερέμνιον, καὶ πρέμνου ἀναδρομὴν, καὶ βλάστην ἀδρὰν, καὶ καρποὺς ἐν καιρῷ εὐγενεῖς· ἀλλὰ θέλημα τῶν φοβουμένων αὐτὸν κἀνταῦθα ποιῶν, ἐπλήθυνε τὸν οἶκον τῷ Φιλοθέῳ ταῖς διὰ τέκνων

ἐπαγοναῖς, καὶ αὐτῶν οἷων ἐπισπᾶσθαι πατρός τε ἀγαθοῦ εὐλογίαν καὶ μητρὸς ἐπὶ τέκνοις εὐφραινομένης.

ciens, multiplicavit domum Philothei filiorum generatione, eorumque qui possent attrahere optimi patris benedictionem et matris de filiis lætantis.

ιβ'. Τὸ δὲ ἐντεῦθεν (ἵνα μὴ τῷ καλῷ τῆς πρώην ἀρετῆς παραμιχθείη τι τῆς ἐν βίῳ φαυλότητος, μηδὲ ὁ κατὰ κόσμον κάματος τοῦ καλοῦ τούτου ζεύγους τὸν πρῶτον σῖτον ἀχρειώσῃ ζιζανίου παραφυάδι), ἄλλη μέθοδος ἀρετῆς τῷ ἁγίῳ ἦν περισπούδαστος. Ἑαυτόν τε γὰρ ἐπὶ τοῖς προτέροις ἀγαθοῖς ἐτήρει, ὁ αὐτὸς ὢν τὰ εἰς ἀρετήν, καὶ μὴ ἀλλοιούμενος, καὶ τὴν ὁμόζυγα εἰς ὅμοια εὔθυνε· καὶ κατώρθουν ἐπίσης τὸ τοῦ Θεοῦ ἔργον ἀμφότεροι. Καὶ οὐκ ἦν ζυγομαχεῖν αὐτοὺς, πολλῷ δὲ πλέον οὐδὲ παροιστρεῖν. Ἐνεθυμοῦντο γὰρ τὰς παλαιὰς συζυγίας τῶν τοῦ Θεοῦ ἀνθρώπων, οἱ βοηθοὶ πρὸς Θεοῦ δεδομένοι ἀλλήλοις, ἐργάται ἦσαν ἐκείνου ἄξιοι.

12. Inde (ne prioris virtutis speciei immisceretur aliquid terrenæ nequitiæ, nec mundanus labor hujus præclari jugi prius frumentum inutile redderet zizaniæ propagine) alia virtutis via a sancto erat diligenter sectata. Seipsum enim in prioribus conservabat bonis, circaque virtutem non immutatus, sed semperidem erat, imo conjugem ad similia dirigebat; et Dei opus æque perficiebant ambo. Nec inter se dissidebant, nedum ad iracundiam invicem provocarent. Considerabant enim antiqua conjugia justorum, qui a Deo sibi invicem ad adjumentum dati, digni illius operarii fuerunt.

ιγ'. Ὡς δὴ ταῦθ' οὕτως εἶχε, καὶ ἐχρῆν τὸν τοῦ Θεοῦ πελάτην ἐγγυτάτω πλέον ἐκείνου γενέσθαι (ἔδει δὲ καὶ ἄλλως τὸν ἀεὶ θεωρητικὸν ἐπιτεῖναι τὴν διόρασιν, καὶ ἀντὶ νηροῦ νοῦν ὡς ἐξὸν ἀποτελεσθῆναι, καὶ εἰς ἀγγελοειδὲς ἀναχθῆναι), γίνεται πρὸς ἐπιθυμίας αὐτῷ, καὶ εἰς ἱερωσύνης ὕψος ἀναπτῆναι, καὶ οὕτως ἐγκαταμίξαι τοῖς τοῦ Θεοῦ παραστάταις ἑαυτὸν, τεχνησάμενος τὴν ἀρχὴν μὲν πρὸ πυλῶν ῥιπτεῖσθαι Θεοῦ, ὅτε τὰ κατ' ἀρετὴν εἰσαγωγικὰ ἐπονεῖτο· εἶτα καὶ ζητήσας εὐαγγελικῶς εἰς εὕρεσιν, καὶ κρούσας εἰς ἄνοιξιν· μετὰ δὲ εἰσελθὼν καὶ ἰδὼν τὸν ποθούμενον, καὶ ἀκολούθως ἐγγίσας, καὶ ἐπὶ πᾶσιν ἑνωθείς, εἴτε καὶ ἀνακραθείς, ὥσπερ τῷ πόθῳ αὐτοῦ, οὕτω καὶ ταῖς ἐκεῖθεν ἐλλάμψεσιν.

13. Cum igitur hæc ita se haberent et Dei servus magis magisque ad Deum accedere deberet (cæterum par erat ut qui semper meditabatur, intelligentiam promoveret, et mentem pro viribus excoleret, ita ut ad angelorum similitudinem eveheretur), desideravit ad sacerdotii fastigium ascendere, atque sic Dei apparitoribus sese aggregare. Cœpit autem se prosternere ante portas Dei, quando quæ ad virtutem conducunt administrabantur; deinde, secundum Evangelium, quæsivit ut inveniret, et pulsavit ut aperiretur; deinde intravit desideratumque vidit et appropinquavit, et denique, uti desiderio ejus, ita etiam illuminatione illinc proveniente, omnibus unitus sive commistus est.

ιδ'. Ὡς οὖν καὶ τοῦτο καλὸν ἦλθεν αὐτῷ ἐπὶ νοῦν, καὶ ἐξεφάνθη, καὶ ἐκτελεῖσθαι ἤρξατο, καὶ ὁ ἱερὸς κανὼν ἐζήτει τὴν ἐκ μαρτυριῶν σύστασιν· ἦν ἰδεῖν ἐνταῦθα οὐ προσκαλουμένους τοὺς μαρτυρήσοντας ἀρετὴν παντοίαν αὐτῷ, οὐδὲ πρὸς ἀξίωσιν λαλοῦντας, ἢ ἄλλο τι ἐφολκὸν, ὁποῖα πολλὰ ἐν τοῖς τοιούτοις τεχνάζονται οἱ μὴ κατ' ἀρετὴν αὐτόθεν προλάμποντες, ἀλλὰ νόθον φῶς ἐπικτώμενοι. Οὐ τοίνυν κλητοὶ καὶ ὡρισμένοι παρήγοντό τινες μάρτυρες· ἀλλὰ ἅμα περιῆλθε φήμη τοὺς ἐγχωρίους, ὡς ὁ τοῦ Θεοφίλου βίος πολυπραγμονεῖται, εἰ ἐκλάμπει, καὶ προφανῆναι ζητεῖται εἰς ἱερωσύνην προκαλουμένου· καὶ ὡς εἰς γλῶσσαν μίαν συντακέντες ἅπαντες καὶ ἐνθεάζοντες ἐμεγάλυνον τὸν ἄνδρα, οὐκ ἀγνοούμενον οὐδὲ τοῖς ἐρωτῶσι τὰ κατ' αὐτόν. Κανόνος γὰρ εὐθυτάτου ἐκεῖνοι ἐπλήρουν παράγγελμα· οὐ μὴν ἄλλως ἠκριβοῦντο πρὸς ἄγνοιαν. Ἐτελέσθη γοῦν καὶ τὸ ἱερώτατον οὕτως ἐπ' αὐτῷ χρίσμα, καὶ εἰς ἱερέα καταστὰς, οἷα καὶ φωτὸς ἄγγελος καὶ φλόγεος λειτουργὸς, οὐκέτι μιμητὸς ἦν, οὐδὲ οἷος ἔχειν ἀνθάμιλλον· ἀλλὰ διπλασιάσας τὴν, ὡς ἄν τις εἴπῃ, διὰ πασῶν ἀρετὴν μολπῶν, καὶ τὸ ὑπέρτονον ἁρμοσάμενος, ἀγγελικὴν ἐμμέλειαν ἀνεβάλλετο, ταῖς ἱεραῖς πεπραμένων εἰς πλέον συνάξεσι, θείοις ψαλμοῖς καὶ ὕμνοις προστετηκὼς, ἀναγινώσκων τὰ μὲν ἐπ' ὠφελείᾳ τῶν ἀκροωμένων, τὰ δὲ καὶ καταμόνας εἰς θησαύρισμα ψυχῆς, νῦν μὲν ἑαυτῷ ἀποτιθέμενον τα-

14. Cum igitur hoc laudabile propositum ex animi recessibus in lucem prodire et ad effectum perduci cœpisset, et sacri canones testimoniorum commendationem requirerent: tunc videres testes qui omnimodam illius virtutem confirmarent, non undecunque conquisitos, aut ejus dignitatem et quidquid ad eum promovendum conduceret professos, quemadmodum sæpe accidit de iis qui non solum propria virtute non lucent, sed spurio ascititioque lumine splendent. Neque igitur convocati quidam et ad hoc destinati prodibant testes, sed totam regionem pertransiit fama de feracissima virtutum vita Theophili qui ad splendidum sacerdotii ministerium aspiraret, et cuncti quasi in unam compacti linguam et divino numine afflati summis laudibus extulere virum qui et ipsis percontantibus haud ignotus erat. Hi nimirum canonis rectissimi præcepto satisfaciebant, de iis quæ nescirentur, haud nimium anxie disquirentes. Inunctus igitur est hoc modo oleo sanctissimo et ad sacerdotis fastigium promotus. Quo facto, velut lucis angelus et flammæ minister, jam neminem habuit qui ipsum imitando assequeretur, sed omnium virtutum, ut ita dicam, concentum intendens et ad summam harmoniam evehens, angelica conspicuus fuit vita Magis magisque igitur sanctis sacrificiis operam dedit, divinis psalmis et hymnis inhæsit, et alia legit

in commodum auditorum, alia in suæ animæ thesauro recondidit, et quæ hodie, boni œconomi instar, sibi reservarat, postridie, si qui iis perfrui desiderarent, larga manu expromptsit.

15. Pro habitatione plerumque habebat ædem divinam, in qua veluti plantatus pulcherrimos fructus tulit. Rarissime igitur sol eum conspexit quibus prius assueverat operam dantem, nisi forte de iis quæ maxime necessaria sunt hominibus, dispicere coactus esset, v. c. de agricultura. Neque solum enim per mercenarios terram ad producendos varios fructus effodiendam curavit, sed etiam propriis manibus eam sollicitavit, laudabile hoc esse opus judicans et homine dignum. Etenim et in terra et in mari laborant homines: et maris quidem labor et studium serioribus temporibus introducta sunt et infensa iis qui diu et secure vivere cupiunt; terra autem, utpote mater, desiderata diligit et amore complectitur eos qui ipsi adhærent, et Neptunum arcens eos qui opportuno tempore terram colunt, conservat. Est porro agricultura bonum antiquissimum, opus ditans, res pulchra et secura, ars hominibus cognata.

16. Hæc igitur et similia quibus agricultura commendatur, Philotheum ad illam attraxerunt, præterea quod sudoribus corporis sordes detergentur, et sic homo fortis ac robustus ad agendum redditur. Quare hic quoque melius eligendum esse judicavit, et cum sciret quantum sudoris agricola, ut officio satisfaciat, e corpore profundat, siquidem ad comedendum panem nostrum in sudore faciei condemnati sumus, et cum sudorem ac bona inde profluentia compararet, atque hæc lancem deprimere perspexisset, hanc artem amplectitur utpote quæ vitam sustentaret et carnem extenuaret. Sic virtutem simul cum victu lucratus et terræ bona quæ etiam in animam redundarent nactus, et suis familiaribus, et pauperibus e justi laboris proventu necessaria distribuit. Nunquam enim destitit exhaurire fontem suum in gratiam eorum qui sitirent, minus sibi et suis, quam fratribus in Christo consulens.

17. Hæc autem omnia non solum effecerunt, ut sanctus vir laudaretur, et bona fama splenderet, et celeber esset verbis et factis quibus theoria et praxis constituitur: sed habuit etiam summum auxilium divinitus datum, quale Deus concedere solet illis qui ipsum summopere desiderant, examinati nimirum desiderii præmium splendidissimum rependens. Præterquam enim quod alioquin indigentibus auxilium ferret per preces et unctionem (oleo exsultationis, uti Psalmorum auctor ait [4]), et manuum impositionem, etiam magna fecit miracula, panes aliasque res ad victum necessarias e minimis principiis ad magnum numerum adaugens, secundum Dominum qui verissime promisit, quod ii qui ipsi serviunt eadem quæ ille fecit, ipsi quoque facturi

A μευτικῶς, αὖριον δὲ προβλησόμενον καὶ τοῖς ἀπολαύειν ἐθέλουσιν.

ιε'. Οἶκος δὲ αὐτῷ ἦν ὡς τὰ πολλὰ ὁ τοῦ Θεοῦ οἶκος, ἐν ᾧ οἷον πεφυτευμένος κάρπιμον ἔθαλλεν. Ὀλίγα οὖν ὁ ἥλιος αὐτὸν ἑώρα ἐμφιλοχωροῦντα τοῖς πρώην συνήθεσιν, ὁπότε τυχὸν ἐπισκέψασθαί τι ἔδει τῶν ὅσα τοῖς κατὰ κόσμον ἀναγκαιότατα· ὁποῖον δή τι καὶ ἡ περὶ γῆν αὐτῷ ἐργασία. Ἠγάπα γὰρ οὐ μόνον θητικαῖς χερσὶν ἀνασκάλλειν τὴν γῆν εἰς παντοδαπὸν φύτευμα, ἀλλὰ καὶ χερσὶ πονεῖσθαι περὶ αὐτήν, εὐγενὲς τοῦτο ἐπικρίνας ἔργον εἶναι καὶ ἀνθρώπῳ προσῆκον. Δυεῖν γὰρ τούτων, γῆς τε καὶ θαλάσσης, ταύτης μὲν ἡ ἐργασία ἐπείσακτος ὕστερον χρόνου, καὶ οὐδὲ περιλημένη τοῖς ἐθέλουσι μακρά τε ζῆν καὶ ἀκίνδυνα· γῆ δὲ ποθουμένη, ὅσα καὶ μήτηρ, φιλεῖ τε καὶ ὀσπάζεται τοὺς κυπτάζοντας περὶ αὐτήν, καὶ τὸν Ἀσφάλιον προῖσχομένη συντηρεῖ τοὺς γεηπονοῦντας εἰς καίριον. Καὶ ἔστιν ἡ γεωργία ἡ ὀπωσοῦν ἀγαθὸν ἀρχέγονον, πλουτοποιὸν ἔργον, ἀκίνδυνον καλὸν, τέχνη συγγενὴς ἀνθρώποις.

ις'. Ταῦτά τε οὖν, καὶ ὅσα τοιαῦτα σεμνὰ τῆς γεωργικῆς, καθεῖλκε τὸν Φιλόθεον εἰς αὐτήν, καὶ ὅτι τοῦ κατὰ σῶμα πηλοῦ ἐξικμάζει, καὶ οὕτω στεγανὸν ἐκεῖνον ποιεῖ καὶ καρτερικὸν εἰς ἔργα. Ἐφιλοσόφησε τοίνυν, δέον εἶναι κἀνταῦθα ἐπικρῖναι τὸ κρεῖττον· καὶ εἰδὼς, ὁπόσον ἱδρῶτα εἰς δέον ἐκβλύζει

C τῶν σαρκῶν ὁ γεωπονῶν, καθότι καὶ ἐν ἱδρῶτι προσώπου φαγεῖν τὸν ἄρτον ἡμῶν κατακεκρίμεθα, καὶ ταλαντεύσας πρὸς ἐκεῖνον τὰ ἐξ αὐτοῦ καλὰ, καὶ καθέλκειν αὐτὰ ῥοπῆς λόγῳ διαγνοὺς, γίνεται τῆς τέχνης ταύτης εἰς βίου τε πορισμὸν καὶ τῆξιν σαρκῶν· καὶ ἀρετὴν ἐν ταυτῷ καὶ βίον τεχνώμενος, καὶ οὕτω ποριζόμενος τὰ ἐκ γῆς ἀγαθὰ διαβαίνοντα καὶ ἐς ψυχὴν, τοῖς τε οἰκείοις ἐπεμέτρει τὸ ἀρκοῦν, καὶ τοῖς δεομένοις ἐκ δικαίων πονημάτων ἐσιτομέτρει τὰ δέοντα. Οὐδέποτε γὰρ ἀνίει ἐξαντλῶν τὴν παρ' αὐτῷ περιούσιον δεξαμενὴν τοῖς διψῶσιν αὐτῆς, οὐ τοσοῦτον ἑαυτῷ καὶ τοῖς αὐτοῦ πονούμενος, εἰς ὅσον τοῖς ἐν Χριστῷ ἀδελφοῖς.

ιζ'. Ἦσαν δὲ ἄρα πάντα ταῦτα τῷ ἁγίῳ οὐ μόνον αἴτια τοῦ ἁπλῶς ἐν βίῳ σεμνύνεσθαι, καὶ εὐκλείαις

D ἐλλάμπεσθαι, καὶ ἐν λόγοις καὶ ἐν ἔργοις εἶναι περιβλεπτον, δι' ὧν θεωρία κατορθοῦται καὶ πρᾶξις· ἀλλὰ καί τις μεγίστη προσθήκη ἐκ Θεοῦ, ὁποίαν αὐτὸς οἶδεν ἐπιμετρεῖν τοῖς ἄκρως ποθοῦσιν αὐτὸν, ἐξαριθμούμενος τὸν πόθον, καὶ ἀντάλλαγμα διδοὺς τὸ μεγαλεῖον τῆς δόσεως. Δίχα γὰρ τοῦ ἄλλως βοηθεῖν τοῖς χρῄζουσι διά τε εὐχῶν καὶ ἀλοιφῆς (ἐλαίου ἀγαλλιάσεως, κατὰ τὸν Ψαλμῳδὸν), καὶ χειρῶν ἐπιθέσεως, καὶ τεράστια κατειργάζετο θαύματα, ἄρτους τε καὶ λοιπὰ σῖτα ἐξ ἀφορμῶν ὀλιγίστων εἰς πολὺν ἀριθμὸν πληθύνων, κατὰ τὸν ἀψευδῆ· ἐπαγγειλάμενον Κύριον, ὡς οἱ αὐτὸν θεραπεύσαντες, ἃ ἐκεῖνος ποιεῖ, καὶ αὐτοὶ ποιήσουσι, καί που καὶ μείζονα·

[4] Psal. xliv, 8.

καὶ ταμιείων οὐδὲν ἐχόντων, ἀλλὰ παντελῶς διακέ- A
νων, ἐκφορῶν τοῖς ἐν ἐνδείᾳ τὰ χρήσιμα, καὶ οὐ
μόνον αὐτὸ, ἀλλὰ καὶ οἶνον σχεδιάζων κατὰ τὸ ἐν
Κανᾷ θαῦμα τὸ εὐαγγελικὸν, καὶ οὕτως ἄρτῳ μὲν
στηρίζων, οἴνῳ δὲ εὐφραίνων τὰς τῶν δεδεημένων
καρδίας. Λέγεται γὰρ καὶ πιστεύεται, ὅτι καιρός
τις ἦν τότε, καὶ οἶνος οὐκ ἦν τοῖς αὐτοῦ ἐπι-
δεέσι. Καὶ αὐτοὶ μὲν ἐλάλουν τὰ πρὸς ἱκεσίαν, ὑπὲρ
οὗ ἐλείποντο· ὁ δὲ Θεὸς ἐπήκουε, καὶ τῷ αὐτοῦ θε-
ράποντι Φιλοθέῳ ἐπιτάξας, κατεπράξατο δι' αὐτοῦ
τὸ καλόν. Ποτάμιον γάρ τι αὐτοῦ που παραῤῥέον,
ἔνθα ἡ δέησις, εἰς οἶνον μετέβαλε, σταυρὸν τυπώσας
καὶ ἐπευξάμενος. Εἰ δὲ πέτρα παλαιτάτη ἐκείνη
ῥάβδῳ πληγεῖσα ὕδωρ ἐξέῤῥηξε, καί τις γῆ μέλι
καὶ γάλα θαυμασίαν ἔφηνε σύῤῥοιαν, καὶ ποταμοὶ δὲ,
οἱ καὶ αὐτοὶ γραφικοὶ, εἰς αἷμα μετετράπησαν· πα- B
ραπηκτέον ταῖς μεταβολαῖς ἐκείναις καὶ οἶνον τοῦτον
ποταμῷ ῥεύσαντα, οὐ σταφυλῆς αὐτὸν αἷμα, εἴποι
ἂν ὁ μωσαϊκῶς ληνοβατῶν, δεξιᾶς δὲ Ὑψίστου βροχὴν
ἐκούσιον, ἀφωρισμένην τοῖς δεομένοις αὐτοῖς. Καὶ
δὴ θεωρητέον ἐνταῦθα, ὅτι Θεοῦ δεδωκότος, τοῦ τῶν
θαυμασίων, τοῦ τῶν τεράτων, τοῦ τῶν δυνάμεων,
τοῦ τῆς ἀληθείας, ἰδοὺ θαῦμα τοῦτο μεῖζόν τι τοῦ ἐν
Κανᾷ, καθάπερ αὐτὸς ἐπηγγείλατο. Οὐ πίθοι γὰρ,
οὐδὲ πιθάκναι, οὐδὲ ἀμφορεῖς, οὐδὲ ἄγγυοι, οὐδὲ
βίκοι, ποτάμιον δὲ ὅλον οἴνῳ βλύζον διὰ τοῦ Φιλο-
θέου, προῤῥέει τοῖς ἠξιωμένοις τοιούτου τέρατος.
Καὶ τοῦτο μὲν οὕτω πρὸς χρηστότητα συμποσιακήν.

ιη'. Ἐπεὶ δὲ πολλὴ καὶ ἐν ταῖς θαυματουργίαις C
διαφορὰ ταῖς ἐκ τῶν τοῦ Θεοῦ ἁγίων (αἱ μὲν γὰρ
αὐτῶν ὑγιάζουσιν, αἱ δὲ τρέφουσι, τινὲς δὲ καὶ τὸ
ἄλλως ἐνδέον ἀναπληροῦσιν, ὅτε τινὲς δέονται, τὰ
μὲν ἀπάγουσαι, τὰ δὲ παράγουσαι, ἔστι δ' ὅτε ἀπο-
τελούμεναι καὶ πρὸς φόβον καὶ ἔκπληξιν, ὁποία καὶ
ἡ τῆς κατηραμένης συκῆς, δι' ἣς τὸ Ἰουδαϊκὸν φῦ-
λον, καὶ ὅσον δὲ ἄλλο τοιοῦτον, τὴν τοῦ Θεοῦ ἐξεπλά-
γη δύναμιν, ὡς μὴ μόνον ζωογονοῦντος, ἀλλὰ καὶ
θανατοῦν δυναμένου, μηδὲ μόνον τὸ κατὰ ὑγίειαν
ὑγρὸν χορηγοῦντος, ἀλλὰ καὶ ἀποξηραίνοντος), ἐνήρ-
γησε καιροῦ λαλοῦντος καὶ ὁ Φιλόθεος θαῦμα, σκοποῦ
τινος τοιούτου ἐχόμενον· Λίθον γὰρ οὔτε χερσὶ λη-
πτὸν, οὔτε ὤμοις φορητὸν, οὔτε οἷόν κυλίεσθαι, ἀλλὰ
γῆς ἄχθος εἶναι, καί τι καὶ βλάπτειν, ὁποῖα πολλὰ
γίνεται, λόγον ἐπιπέμψας, ὅσα καὶ μοχλὸν εὐμήχα-
νον, οὐ μόνον διώχλισεν ὑποσκελεύσας, ἀλλὰ καὶ μετ- D
έθηκε. Καὶ ἦν ἀναλάξευμά τι καὶ τοῦτο θαῦμα ἐκεί-
νου, ὃ δίδωσιν ὁ Θεὸς τοῖς αὐτοῦ μαθηταῖς, ἐπαγγει-
λάμενος, καὶ ὄρη μετακινεῖν αὐτοὺς ἐπιτίσσοντας,
καὶ μεταβιβάζειν ἐκ τῆσδε βάσεως εἰς ἄλλην ἐλκό-
μενα πίστεως πείσμασι. Τίς οὐκ ἂν ἐνταῦθα ἐξε-
πλάγη τὸν μέγαν Φιλόθεον, οὕτω καὶ τοῖς ἀψύχοις
ἐπιτάττειν δυνάμενον, καὶ τὴν ἐπιταγὴν βλέπων εἰς
ἔργον προβαίνουσαν; Ἐγκοπὴ παντὸς κακοῦ τὸ
τοιοῦτον θαῦμα. Οὐκ ἂν ὠρογλύφησεν, οὐκ ἂν οἰκίαν
πρὸς οἰκίαν ἤνωσεν, οὐδὲ ἀγρὸν πρὸς ἀγρὸν, εἰ οὕτω
δύναται ὁ Φιλόθεος διασπᾷν καὶ μεταβιβάζειν ἄχθη
βαρύτατα, ἐν χρῷ γῆς κείμενα, καὶ, ἀκριβῶς εἰπεῖν,
ἀμετάθετα. Τὸ δὲ ὅλον φάναι ἄλλως· οὐδεὶς τοιοῦτον

sint, et fortasse majora. Quando enim horrea nihil continebant, sed prorsus vacua erant, illis qui inopia laborarent, non solum frumentum egessit, sed etiam ad instar miraculi quod secundum Evangelium Canæ evenit, vinum fecit, ita ut pauperum animos pane corroboraret, vino autem lætificaret. Narratum enim et fide dignum est illo tempore accidisse, ut homines vini penuria laborarent. Quare ad Deum conversi, ut ipsorum egestati succurreret, orarunt. Deus autem eos exaudivit, et servo suo Philotheo præcepit, et per eum auxilium tulit. Rivulum enim qui illam calamitosam regionem præterfluebat, crucis signaculo precibusque adhibitis in vinum transmutavit. Si autem rupes illa antiqua, baculo perculsa aquam profudit, et regio quædam miraculose melle et lacte fluxit, denique fluvii, quorum Scriptura mentionem facit, in sanguinem conversi sunt: istis conversionibus addi debet etiam hoc vinum in rivulo fluens, non quidem uvæ sanguis, uti viticola cum Moyse dixerit, sed grata Altissimi quasi pluvia, egentibus illis destinata. Animadvertas jam, quæso, concedente Deo, qui est Deus miraculorum, prodigiorum, potentiæ, veritatis, majus hic miraculum contigisse illo in Cana facto, quemadmodum ipse promisit. Neque enim dolia, nec doliola, nec amphoræ, nec lagenæ, nec uceri, sed rivus integer vino scaturiens per Philotheum profluxit illis qui hoc miraculo digni habiti sunt. Et hæc quidem in convivii usum.

ζ'. Οὐκ ἴσθ' ὅπως ἅπαντες συνδράμοιεν ἂν εἰς ὅμοιον. Περιφέρονται Σειρῆνες ἐν τοῖς πάλαι λόγοις, αἵτινές ποτε αὗται· δοκοῦσι δὲ ἄρα μέγα τι χρῆμα ἐκεῖναι εἶναι. Καὶ ὁ Ἰὼβ οὐκ ἀπηχρείωσεν αὐτὰς, οὐδὲ ἐξέβαλε τοῦ φδομένου σεμνώματος, ἑτέρᾳ Σειρῆνι, μικροφυεῖ ζωΐδίῳ, τοὺς ἑαυτοῦ ἐξομοιώσας C κλαυθμούς. Ἤρεσεν ἀνθρώποις, ἐγκρῖναι εἰς μελῳδοὺς καὶ τὸν τέττιγα· καὶ οὐκ ἐξέπεσεν ἡ ἀηδὼν τῆς σεμνότητος. Ὑμνεῖ Θεὸν καὶ τὰ ἄλογα, οὐχ οἷς αὐτὰ φωνοῦσιν, ἀλλ' οἷς ἐκεῖνον γεραίρουσιν οἱ θεωροῦντες αὐτὰ, καὶ τὸ τῆς φύσεως φιλοσοφοῦντες εὔκοσμον, ὁποῖόν τι κἀνταῦθα ἔσται. Εἰ γὰρ τοῦ μηδὲ δοκεῖν λέγειν, οἷς ἀκόμψως τοῦ λαλεῖν ἔχομεν, ἁλισκόμεθα, οἷς γοῦν ὁ ἀκροατὴς πρὸς ἡμῖν ἔχων τὸν νοῦν ἐκπεπλήξεται, ὅτι πρὸς ζῆλον ὅλως; τοιοῦτον δ ἐθηρμήναμεν ἑαυτοὺς, τῷ κρείττονι θαυμάσας ἀναθήσει τὸ αἴτιον· ὃς καὶ αὐτὸς, οὐχ ὅτι πρὸς ἀξίαν, ἀλλ' ὅτι μετ' εὐψυχίας ὑμνεῖται, τοὺς εἰς εὐχαριστίαν λαλοῦντας ἀμείβεται. Καὶ οὕτω καὶ ἡμῖν τάχα τινὰ ὁ λόγος εὑρήσει ἔπαινον.

7. Non est quod in idipsum cuncti concurrant. Memorantur Sirenes in priscis scriptis quæcunque essent, inde magnum quid esse videntur. Nec eas Job dedignatus est, nec e celebrato repulit ornamento, alii Sireni, exili animalculo, suas exæquans lamentationes. Hominibus placuit inter musicos et cicadam annumerare; nec dignitate excidit luscinia. Deo concinunt et irrationabilia non eo quod ipsa vocem emittant, sed quod Deum honorent qui illa miranter et qui excellentem naturæ ordinem qualis et ibi sit æstimant. Namque si nihil dicentibus similes cum incompta verba habemus convincimur, cum auditor ad nos animo attendens stupebit quis, tanto nobis nosmet ipsos accenderimus, meliori mirans culpam imputabit, quippe qui non quod juxta dignitatem, sed quod bono animo Deo benedicit, in gratiarum actionem psallentibus respondet. Ita et noster sermo aliquam approbationem inveniet.

η'. Ταῦτα ἐν θυμῷ βαλόμενος, καὶ τοιαῦθ' ἕτερα, δι' ὧν θαῤῥητέον τοὺς ὑστερολόγους καὶ ταπεινοὺς, οὐ πάνυ πόῤῥω τῶν ὑψηλῶς λαλῆσαι φθασάντων ἑστήξεσθαι, εἰ μόνον πρὸς ὀρθὸν λογισμὸν φθέγξονται, καὶ οὕτω συσκευάσας εἰς θάρσος ἐμαυτὸν, καθίημι τὸν λόγον, οἷ προεθέμην, καὶ τοῦ σκοποῦ γίνομαι, οὐχ ὑπὲρ τοὺς ἄλλους διαθέσθαι τι προνοησάμενος (μανίας γὰρ ἐγγὺς ἡ τῶν ἀδυνάτων κατεπιχείρησις), ψυχῆς δὲ ζέσιν ἐκφαίνων, καὶ τὸ τοῦ ζήλου διακαὲς, καὶ οὕτω τολμῶν, καὶ τὴν φύσιν τυραννῶν, εὐλαβέστερον ἄλλως τά γε τοιαῦτα διαθεμένην τὰ κατ' ἐμέ.

D

8. Hæc in pectore volvens et alia hujusmodi quibus modestis et humilibus animus est injiciendus, non omnino longe a grandiloquis ponendos esse, dummodo recto ratiocinio loquantur, sic animo forti paratus sermonem emitto, prout proposui, et ad destinatum pervenio, non aliis altiora expositurum me confidens (non procul enim ab insania abest impossibilia viribus aggredi), animæ vero æstum zelique incendium depromens, sicque audacter naturam domans, religiosiori nihilominus de talibus ingenio quod in me est accinctam.

9. Itaque quot miracula martyr fecerit singulatim A enarrare, idem esset ac si quis terram aurariam dilaudare volens, non ex eo quod auro tota tum in superficie, tum in imis abundet, extollit, sed pugillos metalli prehendens, ex his alta voce infert multis divitiis redundantem. Hic opus est non sic, sed honorifice tractare, aurifodinæ opera quibuslibet relinquentes; et inibi martyris acta non per partes mirari, sed discere quasi per figuram, quot et quanta operari valet prodigia, nolle vero de singulis insudare, præsertim de his ad quæ prioribus alii et melioribus sermonibus incubuerunt. Cavendum enim, ne aut disputatione gaudentes arguamur, si quasi adversus hostem priorem incedere aut arguamur si incertum quia non facile est, sermones ædificemus ne super fundamenta aliena sermones stabiliamus. B

θ'. Περιηγεῖσθαι μὲν οὖν, ὅσα θαυμαστὰ πρὸς ἑκάστους ὁ μάρτυς ἐργάζεται, καὶ εἰς ἀριθμοῦ κερματίζειν λεπτότητα, ὅμοιον, ὡς εἰ καὶ γῆν χρυσῖτιν χρηστολογεῖν προθέμενος, οὐκ ἐξ αὐτοῦ τοῦ πᾶσαν ἐκ τῶν ἐπιπολῆς καὶ εἰς βάθος χρυσῷ εὐφορεῖν σεμνύνει τις, ἀλλὰ δράκας τινὰς τοῦ μετάλλου χειριζόμενος, ἐξ αὐτῶν ὑψηγορεῖ τὴν πολλοῦ πλούτου γέμουσαν. Καὶ ἐκεῖ γὰρ χρεὼν, μὴ οὕτω ποιεῖν, ἀλλ' αὐτὸ τὸ πρᾶγμα σεμνολογεῖν, ἀφιέντα τὴν μεταλλικὴν χειρουργίαν τοῖς θέλουσι· καὶ ἐνταῦθα δὲ, τὰ τοῦ μάρτυρος μὴ τοῖς ἐκ μέρους θαυμάζειν, ἀλλὰ διδάσκειν μὲν ὥσπερ κατ' εἶδος, ὅσα μεγάλα καὶ οἷα τερατουργεῖν δύναται, μὴ ἐθέλειν δὲ πονεῖσθαι περὶ τὰ καθ' ἕκαστα, καὶ μάλισθ' οἷς ἕτεροι ἐπιστατικῶς τὸν λόγον ἐναπησχόλησαν. Φυλακτέον γὰρ ταῦτά γε, μήπως ἢ τῷ φίλερι ἐγκλη θῶμεν, ὡς ἀντεπεξάγεσθαι τοῖς προϊστορηκόσι φιλοτιμούμενοι, ἢ τὸ ἄπορον, ὡς μὴ εὐχερὲς ὄν, λόγους οἰκοδομεῖν· εἰ μὴ ἐπὶ θεμελίοις ὀθνείοις προϋποτιθεμένοις αὐτοὺς ἑδράζομεν.

10. Confestim et martyris continua unguenti effusio magnam præ aliis et in omnibus ciebat stuporem, et thesauros cogitationum inveniebant oratores, auditoribus studiosis, scite exponentes. Nec est quod quisquam e nobis fructus uberiores percipiat, licet diu in labore insudaverit. Simili modo qui divina sapiunt et de reliquis victoris prodigiis disseruerunt, arte optima laudes celebrantes; unde qui recte cogitant ignoscent benevoli, si supervenientes nova nulla reperimus, sed aliis consona loquamur et retro post alios currentes eorum ut vestigiis insistamus. Non enim furtum res, nec est quod ab aliis C subripiamus, sed fortuitus, ut opinor, cogitationum concursus. Philosophice enim cogitandum quod sæpe a diversis idem sensus emanat, et quis antequam diluvio inundaretur (sic enim statuendum est) artem aliquam adinvenit. Tale quod in eos qui cum Noe erant penetrabat, in eorum corda et intravit et intrabit. Igitur qui sermones in martyris unguentum sive reliquum prodigiorum mare mergunt nihil novi perfecissent, nisi sicut qui manus ad locum unum jungunt appropinquant, sic et illi manibus scribentes in unum incumbant, alii aliorum cogitationibus propiores facti.

ι'. Αὐτίκα καὶ ἡ τοῦ ἀειβρύτου μαρτυρικοῦ μύρου πρόχυσις μυρίαν πρὸ τῶν ἄλλων ἐπηγάγετο καὶ πρὸς ἁπάντων τὴν ἔκπληξιν, καὶ θησαυροὺς νοημάτων ἐξεῦρον οἱ ῥητορεύσαντες, τοῖς φιλακροάμοσι τεχνηέντως αὐτὸ διασκευασάμενοι. Καὶ οὐκ ἔστι τῶν καθ' ἡμᾶς τινα προσευπορῆσαι κάλλιον, εἰ καὶ μακρὰ ἐνιδρώσει τῷ πονήματι. Τὸν ὅμοιον δὲ τρόπον οἱ τὰ θεῖα σοφοὶ καὶ τοῖς λοιποῖς ἐπεξῆλθον τοῦ ἀθλοφόρου θαύμασιν, εὖ μάλα τεχνολογήσαντες τὰ ἐγκώμια· ὅθεν οἱ ὀρθὰ φρονοῦντες συγγνώσονται, εἴπερ ὕστεροι διεκπεσόντες ἡμεῖς, μὴ καινὰ προσεξεύρωμεν, ἀλλά που καὶ σύμφωνα τοῖς ἄλλοις λαλήσομεν, καὶ κατόπιν θέοντες ἑτέρων ἔστιν ὅπου ἴχνεσι συμπεσούμεθα. Οὐ γὰρ κλοπὴ τὸ πρᾶγμα, οὐδ' ἔστιν ἀλλοτρίων παρανοσφίσασθαι, ἀλλ' αὐτόματος οἶμαι νοημάτων συνέμπτωσις. Λογιστέον γὰρ φιλοσοφώτερον, ὡς τὸ αὐτὸ νόημα πολλάκις εἰς διαφόρους ἔστιν ἀνελθεῖν, καί τις, πρὶν ἢ κατακλυσθῆναι τὴν γῆν (θετέον γὰρ οὕτω), ἐλογίσατό τι σοφόν. Τὸ δὲ ἦν, ὁποῖον καὶ εἰς τοὺς μετὰ τὸν Νῶε καταβαῖνον εἰς τὰς ἐκείνων καρδίας καὶ ἀνέβη καὶ ἀναβήσεται. Καὶ τοίνυν καὶ οἱ τοὺς λόγους εἰς τὸ τοῦ μάρτυρος ἢ μύρον, ἢ τὴν λοιπὴν τῶν θαυμάτων θάλασσαν βάπτοντες, οὐκ ἂν καινοπραγοῖεν, ἐὰν, καθάπερ οἱ τὰς χεῖρας εἰς τόπον ἕνα συμβάλλοντες ἐγγίζουσιν, οὕτω καὶ αὐτοὶ χειρογραφοῦντες εἰς ἓν ἅπτωνται, οἷον ἀλλήλων τοῖς νοήμασι πλησιάζοντες.

11. Mihi ergo, qui sermonem de martyris ope- D ribus novum et exquisitum comparare conatus eram, gloriatio erat quasi recentioris dicti inventionis, et contingebat ut gauderem quia animæ campus spicas germinabat non contemnendas. Incidentem vero me in aliqua eadem quæ præcellenter scripserunt alii, nec illud longe a gloriatione convenienti rejicit; qu'a et ipse sermocinandi ornatus sum honore, sicut antecessores diserti, et orationis scapham in eosdem amnes tenens, eodem fere tramite navigavi.

ια'. Ἔμοιγ' οὖν, λόγον μέν τινα ἐπὶ τοῖς τοῦ μάρτυρος νεαρὸν καὶ πρόσφατον εἰς ἐξεύρημα κατεργασαμένῳ, καύχημα τὸ πρᾶγμα ἦν ἄν, ὡς καινοτέρου ἀκούσματος εὑρεθῇ, καὶ ἐπήρχετο ἂν χαίρειν, ὅτι μοι τὸ τῆς ψυχῆς λήϊον ἀστάχυας φύει οὐκ ἀγεννεῖς, οὐδὲ οἵους ἐξαθερίζεσθαι. Συνεμπεσόντι δέ τισιν, ὧν ἐκαλλιγράφησαν ἕτεροι, οὐδὲ τοῦτο ἔξω ἂν πίπτοι τοῦ δεόντως αὐχεῖν, ὅτι καὶ αὐτὸς ἠξίωμαι λογίσασθαι, ὅσα καὶ οἱ φθάσαντες λόγιοι, καὶ τὸ τοῦ λόγου σκάφος εἰς τὸν αὐτὸν ἐκείνοις ῥοῦν ἐπαφεὶς ἔτεμόν που καὶ τὴν αὐτὴν κατά τινα συνδρομήν.

12. Sic ergo ad bonum confirmato animo meo, et fortiter erecto, in primis examino (ratio enim exigit ut qui deficit prius defectum quantum potest deponat et ex ordine tractet); qua fit ut tot et tantis pro Deo

ιβ'. Οὕτω γοῦν ἐμαυτὸν καταστήσας ἐν καλῷ κἀνταῦθα, καὶ τὸ θαῤῥεῖν λέγειν ἀναλαβὼν, ἐν πρώτοις συννοοῦμαι (χρὴ γὰρ ἐλλόγως ἀπορήσαντα πρότερον, καὶ τὴν ἀπορίαν, ὅπη δυνατὸν, ἐπιλυσάμενον, χω-

ρεῖν ἐπὶ τὰ ἐξῆς), ὅπως ἄρα, πολλῶν καὶ μεγάλων ὑπὲρ Θεοῦ τεθεικότων τὰς ψυχάς, καὶ μεγίστοις ἐνιδρωκότων ἀγῶσι, τοῖς μὲν μετὰ καὶ τραυμάτων καὶ αἱμάτων τῶν ἐξ ἀθλήσεως, τοῖς δὲ καὶ ἄλλως ἐξ ἀσκήσεως, οὐχ ἅπασιν ἡ τοῦ μύρου βλύσις πεφιλοτίμηται, ἀλλά τισι μετρητοῖς, καὶ οὓς ῥᾴδιον ἐστι καθυπαγαγεῖν ἀριθμῷ· ἐν οἷς καὶ τὸ τῆς ἁπάσης μὲν ἐξαίρετον ἄκουσμα τῆσδε καθ' ἡμᾶς ταύτης οἰκουμένης καὶ ἐπὶ πλέον ἀγλάϊσμα. Καὶ φέρεται μὲν λόγος πρεσβυτικὸς, καθιστῶν τὴν τοῦ ἀπορουμένου δεσμοῦ λύσιν εἰς τὸ καθαρὸν τοῦ βίου καὶ εἰς τὸν ἔλεον, οἷς ἐνευδοκιμῶν φασιν ὑπερλίαν ὁ ἀθλητὴς ἔλαχε θεόθεν εἰς γέρας τὴν τοῦ μύρου ἔκβλυσιν. Καὶ σεμνὸς μὲν ὁ λόγος οὗτος, φλέβας τινὰς ὑπανοίγων, ἐξ ὧν καὶ αὐτῶν ἔστιν ἀναῤῥυΐσκεσθαι τὸ τοῦ μύρου καλόν· ἐμοὶ δὲ τὸ ζητεῖν οὐ πάνυ τι ἔπεισε. Μυρίοις γὰρ ὅσοις τὰ ἀγαθὰ μὲν ταῦτα καὶ εἰς ὑπερβολὴν ἐνέλαμψεν, ἡ ἐν βίῳ φημὶ καθαρότης καὶ ὁ ἔλεος· οὐχ ἅπασι δὲ ἡ τοῦ μύρου δόσις πεφιλοτίμηται.

ιγ'. Ζητητέον οὖν καὶ ἑτέρων ἀνακαλύψαι τὸ κεκρυμμένον τῆς λύσεως. Καὶ μήποτε οὐδὲ τοῦτο ἔξω τοῦ προσφυοῦς, ὡς ἄρα τόποις τε καὶ προσώποις, παρ' οἷς οἱ τοιοῦτοι κεῖνται θησαυροὶ, εἰς δέον ἄνωθεν ἐπεψηφίσθη τὸ θαυματούργημα. Ἐχρῆν γὰρ ἤτοι ἀρχῆθεν εὐθὺς εἰς Θεὸν στειλαμένοις τοῖς ἐκείνου θεραπευταῖς ἐπακολουθῆσαι καὶ τοιοῦτον σημεῖον εἰς ἐντάφιον πολυτίμητον, ἢ καὶ μετὰ καιρὸν ὕστερον· καὶ τοῦτο, ἔνθα πρὸς ἀγαθοῦ ἦν καὶ εὐσύμφορον τοῖς περιοίκοις, τοιόνδε κληρώσασθαι τερατούργημα· ὡς ἂν τῷ πρὸς ἀπίστους εὐθέτῳ σημείῳ στερεωθεῖεν οἱ τοιοῦτοι τὰ εἰς τὴν θείαν θρησκείαν, καὶ θεμελιωθεῖεν σαθρότητα λογισμοῦ. Καὶ τοίνυν ἐτερατουργήθη τότε τὸ ἐξαίσιον ἀγαθὸν, εἴτε τῇ μεταστάσει συγχρόνως, εἴτε καὶ μετ' αὐτήν· καὶ δοθὲν παρέμενεν, ἵνα τῷ θείῳ τε χαρίσματι τὸ ἀμεταμέλητον περισώζοιτο, καὶ οἱ πιστεύοντες οὕτω πλατύνοιντο. Ἐπαυξομένης δὲ ἐντεῦθεν τῆς πίστεως, οἷς οἱ ἄνθρωποι εἶδον θαυμάσια καὶ τῆς κατὰ ψυχὴν εἰς Θεὸν καὶ τὰ θεῖα ὑπαναπτομένης θερμότητος τῷ παραμόνῳ τοῦ θαύματος, καὶ ἐκφαινομένης εἰς τὸ λαμπρότερον, ἐστηρίχθη, καὶ εἰς αἰώνιον παρετάθη, καὶ ἀένναον κέχυται.

ιδ'. Καὶ τοῦτο μὲν οὕτως ἂν ἔχοι τὸ εὔλογον· εἰκὸς, ὦ, καὶ τοὺς μυροβλύτους πρὸς Θεοῦ τὸ τοιοῦτον μεγαλεῖον αὐτοὺς ἐξαιτήσασθαι. Καὶ ἦν τὸ ἔργον φιλοτίμου ψυχῆς. Χρὴ γὰρ, ὥσπερ βασιλέα τὸν μεγαλοπρεπέστατον ἐθέλειν μεγάλα πρὸς τῶν ἀξίων αἰτεῖσθαι, καὶ χαίρειν ἀπαιτούμενον, οὕτω καὶ ὅσον ἐν ὑπηκόοις φιλότιμον, μὴ σμικρολογικῶς ἐκείνῳ προσφέρεσθαι, ἀλλ' ὑπὲρ μεγάλων ἐντυγχάνειν, καὶ ἅπερ ἂν διὰ πολλοῦ θαύματος ἄγοιτο. Οὐκοῦν οἴδασι καὶ οἱ τῷ μύρῳ πλουτοῦντες ἅγιοι μεγαλόδωρον τὸν παμβασιλέα Θεὸν, καὶ τοῖς ἐπάθλοις ἐμπλατυνόμενον. Ὅθεν πρὸς ταῖς ἐκεῖθεν δωρεαῖς καὶ τῶν ἐνταῦθά τι προσεπιτεθῆναι αὐτοῖς, φιλοτίμως οἱ μὲν ᾐτήσαντο, ὁ δὲ ὑπήκουσε. Καὶ φθόνος τοῖς ἑτέροις οὐδεὶς, ἄλλως ἐνευθηνουμένοις τοῖς θείοις δωρήμασιν. Οὐδὲ γὰρ ἔστιν εἰπεῖν οὐδέν τι τῶν ἁπάντων ἐκεῖ-

animam ponentibus et magnis in prœliis insudantibus, illis vulneribus et cruore inter prœliandum, his alias ad meditationem se exercentibus, non omnibus unguentorum effusio gloriosa habeatur, sed quibusdam, et in mensura, et qui facile essent numero æstimandi, de quibus tum quidem fit rumor electus per universam terram, tum vero per regionem hanc nostram et amplior splendor. Et in senum concione fertur vinculorum solutionem in vitæ puritate constituentibus et in misericordia, quibus superabundanter nitescebat, athletam a Deo mercedem unguenti effusionem obtinuisse. Gravis quidem hæc narratio, venas aperiens, e quibus scaturit unguenti odor; mihi vero disquisitionis non omnino fuit cessandæ causa. Etenim in decem millibus hæc quidem bona et supra modum enituerunt, dico vitæ puritas et misericordia, non omnibus autem gloriosa unguenti effusio tributa est.

13. Quærendum ergo et ab aliis patefaciendum solutionis arcanum. Nec illud forte extra rei rationem, nempe in locis et personis, in quibus hujusmodi reconduntur thesauri opportune ab alto decretum est miraculum. Ab initio enim oportebat ad Deum missos ejus servos hujusmodi signorum comitatu stipari in sepulturam gloriosam, aut etiam per subsequens tempus, quod ibi pro bono erat vicinisque valde utile hanc prodigii venire hæreditatem; ita ut hoc ad infideles apto signo confirmarentur vicini in cultu divino, et ratiocinii infirmitati fundamentum esset. Itaque prodigiose tunc factum est bonum extraordinarium sive pro coætaneis vicissitudinibus, sive pro temporibus sequentibus, et mansit donum ut divina bonitate sine pœnitentia donatum servaretur, et sic dilatarentur fideles. Crescente autem fide ex eo quod mirabilia viderent homines et animæ Deo divinisque adhærente ardore ob miri permansionem et splendidius lucescente, firmatum est bonum, in sæcula conservatum et perpetuo sparsum est.

14. Sic quidem illud non sine causa esse patet; verisimile autem est unguento stillantes a Deo pretiosam virtutem poposcisse. Magnanimæ mentis opus erat illud. Oportet enim, sicut regem magnanimum decet, velle ut magna pro dignis merces poscatur, et gaudere quia poscitur, sic etiam in subditis magno animo non de minutissimis apud eum verba submittere, sed de magnis adire et de his quæ summam admirationem concitant. Igitur noverunt unguento ditescentes sancti liberalem in donis Regem regum Deum, et braviorum largitorem. Unde hujus mundi donis et aliquid e cœlo eis superaddi ipsi quidem petierunt; ille vero adjudicavit. Nec invidiæ locus in abundantibus divinis donis. Non est enim quod de quolibet e cunctis sanctis dicas quare unguentis stillat, sed absque hoc quod

celebramus, absque aliis in mundo celebratis magna sortitus est bona, thaumaturgus ille, hic aliter, multis modis cuncti : tanquam si rex opibus præpolleus aliis lapillos electos, aliis margaritas et aurum, aliis denique alia, omnibus multimoda largiatur dona. Sic quidam inter Deo servientes animalium irrationabilium sacrificia instituerunt aut sponte, aut ab hominibus ad hoc invocati, qua nobis unguenti splendorem illustrare videntur. Alii in peste contactorum gratiam simili petitione collineant sagittam, alii aliis, hi majoribus, illi minoribus mederi affectant morbis; nautas fluctibus eripiunt, quibus periculosa navigatio; dentium dolores tollunt, oculorum asperrimos sedant dolores, et quod omnium jucundissimum est, cedunt et parvulorum petitionibus, ut rationabilium nihil sit in fortuna cæca positum, sed Græcorum commentum arguatur, referens nempe Providentiæ ad majora impotentiam. Si tandem fugitivorum servorum reditum permittunt, non est servis gaudium, sed gratias et munera domini debent.

15. Sic sive illi ad quos postulationes dirigantur, sive aliter qui ipsi a Deo appetiverunt, talibus prodigiis qui se Deo consecraverunt gloriam adepti sunt, timoris quem erga Deum in visceribus conceperunt, remunerationem reportantes salutis spiritum conceptum et consequentem miraculorum operationem. Namque timentium eum voluntatem facit, et exaudit eorum preces nihilque postulantibus non dat. Prodigio pensandus timor; quod mensuræ ponendum timoris quem in Deum habuit, aut aliter dicamus, ad divinum timorem pensandum prodigium, ad quem æquiparanda et noscenda prodigiorum efficacitas, ita ut a timore Dei cognoscatur, ut ait psalmus, hujus zelus. In tantum enim Deum timemus in quantum æquato examine ipsius zelum habemus et delictorum nostrorum quæ coram Deo non absconduntur vindictam noscimus. Nam delictorum pœnas metuentes, omnino Deum retributorem noscimus; parum vero metuentes, desidem eum putamus et dormientem nec exsurgere volentem. Itaque sic in sanctis in terra de Deo ex prodigiis trutinamus, quibus quomodo cum Deo erat. Si igitur ita est, librandum cum divino timore donum unguenti martyri traditum, atque pura mente considerandum exprimendumque æquilibrium, unde si illud donum magnum est (quod revera est), ergo et ille timor.

16. Hæc hactenus, et hucusque res consideretur per se. Non enim est qua ultra progrediamur, nisi quibus datum est. Exinde vero considerandum prodigium per aliam viam qua valde venerabile præsertim per convenientiam martyris cruciatuum cum Dominica passione. Hic enim lateris scissio et vulnus post vivificam mortem sanguine manavit. Illic simon idem in omnibus superioris prototypi aliis instar servatur, sed in vulneribus omnino quolibet modo

νων ἁγίων, ὅς, εἰ καὶ μὴ τοῖς μύροις λιμνάζει, ἀλλ' ὅμως δίχα γε τῶν ἐκεῖ μὴ καὶ κατὰ κόσμον μεγάλα εἴληχεν ἀγαθά, ὁ μὲν οὕτω θαυματουργῶν, ὁ δὲ ἑτέρως, καὶ πάντες πολυτρόπως· καθάπερ εἰ καὶ βασιλεὺς πολύολβος τοῖς μὲν λίθους λογάδας, τοῖς δὲ μαργάρους καὶ χρυσὸν, ἑτέροις καὶ ἄλλοις ἄλλα, καὶ πᾶσιν ὁμοῦ πολύτροπα διανείμῃ χαρίσματα. Οὕτως οἱ μὲν τῶν θεραπευσάντων θεὸν ζώων ἀλόγων ἐφίστανται θεραπείαις, αὐτοὶ αἰτήσαντες, ἢ καὶ ὑπὸ ἀνθρώπων εἰς τοῦτο προκληθέντες, ἃ δὴ καὶ τὸ τοῦ μύρου καλὸν ἡμῖν ἐκφῆναι φαίνονται. Ἕτεροι λοιμωδῶν ἐξ ὁμοίας αἰτήσεως παθημάτων κατατοξάζονται, ἄλλοι ἄλλων, οἱ μὲν μεγάλων, οἱ δὲ καὶ μὴ τοιούτων κατευμεγεθοῦσι παθῶν· διασώζονται πλωτῆρας, οἷς μὴ εὐθυπλοεῖν κεκινδύνευται· ὀδόντων ἀλγηδόνας ἐκριζοῦσιν· ὀφθαλμῶν ὀξείας ὀδύνας ἀμβλύνουσι· τὸ δὴ ἀστειότατον, εἴκουσι καὶ παιδαρίων αἰτήμασιν, ἵνα μηδέν τι τῶν ἀλλόγως ἐχόντων ἀπρονόητον ᾖ, ἀλλ' ὁ καθ' Ἕλληνας λῆρος ἐλέγχοιτο, τὸ τῆς προνοίας πρὸς τοῖς μείζοσι περιγράφων ἀπειροδύναμον. Εἰ δὲ καὶ φυγαδίας δούλους ἐπαναστρέφουσι, τὸ μὲν δουλικὸν οὐκ ἂν χαίροιεν· οἱ δὲ δεσπόται σῶστρα ὀφείλουσι.

ιε'. Καὶ οὕτως ἢ αἰτηθέντες, ἢ ἄλλως αὐτοὶ θελήσαντες ἐκ Θεοῦ, θαύμασι τοιούτοις οἱ δοσωθέντες αὐτῷ ἐναβρύνονται, φόβου τοῦ πρὸς αὐτὸν, ὃν ἐν γαστρὶ ἔλαβον, ἀντάλλαγμα σχόντες τὸ ἐκεῖθεν κυϊσκόμενον σωτήριον πνεῦμα, καὶ τὸ ἐφαπόμενον θαυματούργημα. Θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιεῖ· καὶ ἐπακούει τῆς αὐτῶν δεήσεως, καὶ οὐκ ἔστ' ὅπως αἰτουμένοις οὐ δίδωσι. Τὸν δὲ φόβον σταθμητέον τῷ θαύματι, καὶ μέτρον αὐτὸ θετέον φόβου τοῦ εἰς Θεὸν, ἢ καὶ ἄλλως εἰπεῖν, πρὸς τὸν θεῖον φόβον σταθμητέον τὸ θαῦμα, καὶ πρὸς ἐκεῖνον παραμετρητέον καὶ γνωστέον τὸ τερατούργημα, ὡς που καὶ ἐκ τοῦ κατὰ Θεὸν φόβου γινώσκεται, ψαλμικῶς εἰπεῖν, ὁ ἐκείνου θυμός. Εἰς ὅσον γὰρ Θεὸν φοβούμεθα, εἰς τόσον καὶ, τὸν ἐκείνου ζυγοστατοῦντες θυμὸν, γινώσκομεν τὴν τῶν καθ' ἡμᾶς δηλαδὴ πλημμελειῶν ἐπεξέλευσιν, αἳ οὐκ ἀποκρύπτονται ἀπὸ Θεοῦ. Πάνυ μὲν γὰρ φοβούμενοι τὰς τῶν ἁμαρτημάτων ποινὰς, πάνυ τὸν Θεὸν ἐπεξελευστικὸν γινώσκομεν· ἀλίγα δὲ ὑπνώττοντες, καταῤῥᾳθυμεῖν ἐκεῖνον οἰόμεθα καὶ ὑπνοῦν, καὶ μὴ θέλειν ἐξεγείρεσθαι. Οὕτω δὴ καὶ ἐν τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ τοῦ Θεοῦ ἐκ τῶν θαυμάτων σταθμώμεθα, ὅπως τοῦ Θεοῦ ἐπεστρέφοντο. Εἰ τοίνυν τοῦτο, ταλαντευτέον κἀνταῦθα πρὸς τὸν φόβον τὸν θεῖον τὸ θελητὸν μύρον τῷ μάρτυρι, καὶ θεωρητέον εὐλογοφανῶς τὴν ἰσότητα, καὶ ῥητέον, ὡς, εἰ τοῦτο πολὺ (πολὺ δὲ ὄντως), καὶ ἐκεῖνος ἄρα.

ις'. Καὶ ταῦτα μὲν ἐν τούτοις· καὶ μέχρι τοσούτου ἐπεσκέφθω τὸ ἄπορον, καὶ τὰ εἰς αὐτό. Οὐ γάρ ἐστιν ἡμῖν εἰς πλέον χωρεῖν, ἀλλ' οἷς δέδοται. Τὸ δὲ ἐντεῦθεν θεωρητέον τὸ θαῦμα καθ' ἑτέραν ἔφοδον, οὗ πολὺ τὸ πρεσβεῖον, καὶ μάλιστα διὰ τὸ τοῦ μαρτυρικοῦ πάθους συγγενὲς πρός γε τὸ δεσποτικόν. Ἐκεῖ τε γὰρ πλευρᾶς νύξις καὶ ὠτειλῆς ἄνοιξις μετὰ τὸν ζωογόνον θάνατον αἷμα ἔβλυσε. Κἀνταῦθά ἐστι, εἰ καὶ μὴ ταυτὸν ἐφ' ἅπασι πρὸς τὴν ὑπερφυῆ

πρωτοτυπίαν σώζεται, ἀλλ' ἡ ἐν ὠτειλαῖς ὅλως ὁπωσοῦν συμπάθεια, ᾗ χαίρει πάντως Θεὸς ὁ ζηλούμενος, ὁμοιότητα τεραστίου ἐξέφηνεν· ὃ δὴ πρὸ πάντων τῶν ὁμοίων καὶ πρὸς ἁπάντων ἀμύθητον ἐπάγεται ἔκπληξιν. Καλὸν μὲν γὰρ καὶ ὕδωρ ἅγιον λειψάνων ἱερῶν ὅσα καὶ πηγῶν ἐξαπορρέον ἰδεῖν, καὶ διψῶντας ἐκθεραπεῦον λαούς, ὡς τὸ μὲν πηγάζον πήχει περιγεγράφθαι, εἴτε βραχίονι, ἢ ἄλλ' ἑτέρῳ τινὶ στερεμνίῳ τοῦ σώματος· τὸ δὲ ἐκεῖθεν ἐκβλύζον κατά τινα κρήνην ἀπόῤῥυτον ἐκτρέχειν ἀένναον, καὶ ἐμπιπλᾷν πάντα τὸν προσιέμενον, ὡς ἐὰν καὶ φωνή τις ἐκεῖθεν ἐξηχεῖτο, προκαλουμένη τοὺς διψῶντας ἔρχεσθαι. Τεράστιον δὲ, καὶ εἰκόνων ἀπολείβεσθαι μύρον εὐῶδες, ὡσεὶ καὶ ἐκ στερεᾶς πέτρας ἔλαιον. Ἀλλ' ἐπὶ πλέον ἔτι θαυμάσιον, τὸ μὲν θεῖον σῶμα κρυπτόμενον στέγεσθαι, τὸν δὲ τάφον ποταμὸν θεωρεῖσθαι μύρου τοῖς ἀρύσσθαι θέλουσιν εὐθύμιον. Ταῦτα τερατουργεῖ καὶ ὁ ταῖς ἐν Λυκίᾳ πελαγίζων μύρου προχύσεσι, καὶ ἡ σοφὴ παρθενόμαρτυς, ἣν τῷ Σιναίῳ ἐνεφύτευσεν ὄρει ζωογόνον φυτὸν ὁ Θεὸς, καὶ ἕτεροι πλείους, ἔν τε ἀνδράσιν ἡλιῶδες τὰ εἰς ἀρετὴν προλάμψαντες, ἔν τε γυναιξίν. Ὁ δὲ ἡμέτερος πολιοῦχος τοὺς μὲν μὴ πλουτοῦντας τῷ μύρῳ τῇ δαψιλείᾳ τούτου ὑπεραναβέβηκεν· οἷς δὲ ὁ τοῦ μύρου πλοῦτος πληθύνεται, ἀλλὰ τούτοις παραβαλλόμενος, αὐχεῖ τὸ ἐπιμᾶλλον ἐξαίσιον τά τε ἄλλα, καὶ οἷς τὸ ἀθλητικὸν αἷμα πλήσμιον ἀναῤῥύει, καὶ τῷ μύρῳ συμμίσγεται, καλὸν ἐπὶ καλῷ καὶ πλοῦτος ψυχῶν ἐπὶ πλούτῳ τιθέμενος.

A sympathia qua gaudet Deus zelosus miraculi similitudinem revelavit; quod proinde pro omnibus similiter effectis et pro omnibus ineffabilem inducit stuporem. Etenim dulce est aquam sanctam e reliquiis sacris tanquam e fontibus scaturientem videre et sitientes sanantem populos, sicut e cubito manans scripta est, tum e brachio, tum e qualibet alia corporis solida parte; quod vero exinde scaturivit fontis fluentis instar ad semper currendum et implendum omnem accipientem, tanquam vox exinde personabat, convocans sitientes ut ad ipsum venirent. Prodigiosum vero et ex imaginibus stillare suavi odore unguentum tanquam e saxo durissimo oleum. Sed mirius divinum corpus reconditum legi, et sepulcrum flumen videri unguenti haurire cupientibus. Hæc prodigia operatur et qui in Lycia unguenti mare profundit, et sapiens virgo martyr quam in Sina montem vividum germen plantavit Deus, et alii plures tum viri virtute sicut sol fulgentes tum mulieres. Civitatis nostræ protector eos qui unguenti divitiis carent abundantia illa præstat: si qui vero unguenti divitiis gaudent ipsis noster æquiparatus, de multo magis extraordinario quoad alia gloriatur; et si qui victoriæ sanguine nimis manant, unguento immisto, pulchrum pulchro et divitiis animarum divitiæ ponderantur.

ιζ'. Καὶ οἶδα μὲν καὶ ἑτέροις τῶν καθωσιωμένων Θεῷ τοιαύτην χάριν βραβευθεῖσαν μετὰ τὴν ἐκ βίου ἀπανάστασιν, ἐν οἷς καὶ ἡ τοῦ εὐφημεῖσθαι ἐπώνυμος, ἡ τοῖς ἀληθέσιν ὅροις μετὰ θάνατον (τὸ παραδοξότατον) καὶ μαρτυρήσασα καὶ δικάσασα. Ἐγὼ δὲ ἀλλὰ καιρῷ ἐκείνῳ βραχεῖ ἀντιπαραθεῖναι τὸ αἰώνιον, ἢ καὶ παραμετρῆσαι πρὸς λιβάδα τὸ πελαγίζον ὀκνήσαιμι ἂν οὕτω κατὰ πάντων τῶν τοιούτων.

C 17. Novi quidem inter eos qui Deo se consecrarunt, aliis talem a summo judice collatam gratiam e vita migrantibus, scilicet gratiam tum nominis cultu religioso recepti, tum veritati post mortem testimonium et judicium (o mirum!) reddendi. Ego vero, tempori illi brevi æquiparare æternitatem, aut gutta mare metiri eodem modo de iis erubescerem omnibus.

ιη'. Ἱλήκοιεν δὲ οἱ θαυματουργοὶ, ἐφ' οἷς ἀκριβὴς ἡ παραύχησις. Ὁ ἡμέτερος ἀθλητὴς πλουτεῖ, λαχὼν ἐκ Θεοῦ τὸ ἀπαρεξέταστον, τῷ τῆς μυροχυσίας τε πολλῷ, τῷ ἀπείρῳ, τῷ πλήθοντι, τῷ πελαγίζοντι, καὶ τῷ συναναβλύζοντι αἵματι, καὶ τοῖς μύροις συνδιαιωνίζοντι, καὶ παραδηλοῦντι τὸ τῆς ζωῆς μόνιμόν τε καὶ συνεχές. Εἰ δέ ποτε καὶ ὑπερεκχεῖται τὸ ἀγαθὸν, καὶ ὁ τάφος μὲν περιγράφειν ἐθέλει τὸ τίμιον, τὸ δὲ τὰς κρηπῖδας ὑπονομεῦον μύρον ἐκκενωθὲν, ᾄσματικῶς εἰπεῖν, γίνεται καὶ εἰς ζωὴν ἁλλομένη πηγὴ, καὶ διεκτρέχει, ὡς οἷον ἐκχυμαινόμενον, καὶ πράγματα τοῖς ἀντλεῖν ἐθέλουσι δίδωσιν, ἄλλο τοῦτο τέρας καὶ ἀβύσσου ἔκφανσις, κάτωθεν ἐκπηδᾷν ἀνιείσης τὸ μύρον, καὶ διχῇ μεριζούσης αὐτὸ εἴς τε τὸν τάφον, καὶ τὰ τούτου προτεμένισματα· ἡ δὴ ἄβυσσος καὶ ἑτέραν ἐπικαλεῖται ἄβυσσον τὴν τῶν ἁπλέτων θαυματουργιῶν, συναναφαινομένην καὶ οἷα συνουσιωμένην τῇ τοῦ μύρου θαυμασιότητι· ἣν δὴ καὶ ἄλλως ἔστιν ἡμῖν ἐπιθεωρῆσαι ἄβυσσον. Γῆν τε γὰρ ὑδάτων ἄβυσσος ὀχεῖ, ὅσα καὶ οἰκοδομίαν θεμέλιος· καὶ τὴν πόλιν δὲ ταύτην ἡ καθ' ἡμᾶς ὑπανέχει ἄβυσσος αὕτη ἑδράζουσα. Καὶ τὸν τρόπον τοῦ ἑδράσματος παχὺς ἂν τις εἴη ὁ πυνθανό-

18. Propitii sint thaumaturgi, si vera gloriatio. Athleta noster dives est, a Deo incomparabile nactus cum unguenti abundanti effusione, infinita, plena ut mare tum manante simul sanguine et una cum unguento perpetuo perseverante et vitæ stabilitatem ostendente. Si autem superefluat bonum, et sepulcrum circuminscribere honorem velit, unguentum vero labra rumpendo evacuatum reddens, ut poetice dicam, fiat et saliens in vitam fons, currat quasi exundans, et labores compescentibus imponat aliud hoc prodigium et abyssi divulgatio, ab infra saliens unguentum emittentis et in duas partes dividentis, in sepulcrum et in ejus atria, quæ abyssus invocat abyssum, nempe prodigiorum virtutum infinitarum una effulgentem exsistentemque cum unguenti prodigio, quam sane et alio modo abyssum pensare nos oportet. Namque terram fulcit aquarum abyssus sicut et ædificium fundamentum; et urbem hanc sustentat abyssus nobis fundamentum stabilitum. Et fundamenti naturam explorans, insanus esset.

19. Sed sic novum sacri unguentorum thesauri A superefflu ens bonum, ne omnis martyris gloria inclusa sit, sed ut foras producatur nuntia pulchri ab intimo prævia. Haustum vero illud et in alabastrum infosum, intra manere non vult, sed effusum exundat ita ut et alia repleat vasa, e quibus et exundat pariter bonum ex istis effusum in alia fontes et ipsos pulchros vicissim multiplicatos; quod sane fieri oportebat. Nam quæ crescere et multiplicari primum illud unguentum jussit gratia, et vivis inde manantibus eamdem inserebat copiam, unde non solum sepulcri non deferit tale pulchrum, sed nec si vas quoddam aliud est, inclusam tenere hunc fluendi impetum statutum est. Quid non fecit sanctorum Dominus qui in prophetæ favorem olei lecytum effundentem quod ab intus servavit B plenissimum fontis instar semperfluum stabilivit.

ιθ'. Ἀλλ' οὕτω μὲν καινὸν τῆς ἱερᾶς μυροθήκης ὑπερεκχεόμενον τὸ ἀγαθὸν, ἵνα μὴ πᾶσα ἡ μαρτυρικὴ αὕτη δόξα ἔτω συγκλείηται, ἀλλὰ καὶ ἐκτὸς προφαίνηται πρόδρομος τοῦ ἐντὸς διαδεικνυμένη καλοῦ. Εἰ δὲ καὶ ἀντληθὲν αὐτὸ, καὶ εἰς ὀλάβαστρον ἐντεθὲν, οὐ θέλει καθ' ἑαυτὸ μένειν, ἀλλ' ἐκβλύζον προῤῥέει, ὡς ἐμφορεῖσθαι καὶ ἕτερα σκεύη, ἐξ ὧν καὶ αὐτῶν ἀναβρύει τὸ ὅμοιον ἀγαθὸν, ἐκ τούτων κλίνον εἰς ἕτερα, πηγαῖα καὶ ταῦτα καλὰ, ἐκ διαδοχῆς πληθυνόμενα. Καὶ ἐχρῆν πάντως οὕτω γίνεσθαι. Ἡ γὰρ αὐξάνεσθαι καὶ πληθύνειν τὸ πρῶτον ἐκεῖνο μύρον κελεύσασα χάρις καὶ ταῖς ἐκεῖθεν ἀπορρύσαις τὴν αὐτὴν ἐνέθετο δύναμιν· ὅθεν οὐ μόνον τῷ τάφῳ οὐκ ἔστιν ἐπιλιπεῖν τὸ τοιοῦτον καλὸν, ἀλλ' οὐδὲ εἴ τι σκεῦος ἕτερον στέγειν ἐκεῖθεν ἀπόῤῥοιάν τινα τέτακται. Τί δὲ οὐκ ἔμελλεν ὁ τῶν ἁγίων Κύριος, ὁ προφήτου χάριν καμψάκην ἐλαίου ἐξερευγόμενον τὸ ἐντὸς ὑγρὸν φυλάττων ἀεὶ πληρέστατον, καὶ εἰς πηγὴν αὐτὴν τάξας ἀείῤῥυτον;

20. Qui priscarum historiarum studio incumbit, apud veteres alicubi reperit retectum labrum quod liquore quidem plenum erat et ex illo haurientes sedulo efferebant nec ullam patiebatur imminutionem. Nobis autem prodigium illud viget. Quia vero oculorum contuitus posterius in prodigium non defigebatur, sed tum apparebat, tum occultum desinebat, dubitare licet si sic se res haberet et ab utroque casu confirmationem perpendere. Manifestum autem en exstat prodigium nostrum: orbis universus ante ipsum, oculi omnes, et singulare per universam terram divulgatur quod cuncti ante C manus et ante oculos habent. Et justi cujuslibet unguento isto impinguant spiritualia capita, quicunque eximiis inter virtutum opera sic inveniunt qua lætentur, et sanguine spirituales postes divina imitatione obsignant, e quibus istæ ad meditationem fiunt introitus, illæ ad operationem sedulam exitus. Sic exterminatorem vitant aut portam prætermittentem, ut dicitur, illum progredi sinentes, aut in vanum pulsantem.

κ'. Καὶ ὁ μὲν ταῖς παλαιαῖς ἱστορίαις καιρόν τινα σχολῆς ἐνδιδοὺς, εὑρίσκει πάλαι που πύελον ἀνακαλυφθεῖσαν, ἥτις ὑγροῦ μέν τινος πλήρης ἦν, καὶ ἐξηντλεῖτο αὐτὸ, καὶ ἐξεφορεῖτο ἐπιμελῶς· οὐκ ἦν δὲ παθεῖν ἐκείνην κένωμα. Ἡμῖν δὲ καὶ αὐτοῖς τέρας μέν τι ἐκεῖνο καταφαίνεται. Ὅτι δὲ ὀφθαλμοὶ μεταχρόνιοι τῷ θεάματι οὐ προσέβαλον, ἀλλὰ τότε ποτὲ φανὲν, εἶτα κρυβὲν ἀπέσβη, ἐνδοιάζειν ἔπεισιν, ἐὰν τοιοῦτον ἦν, καὶ ταλαντεύειν ἐπ' ἄμφω τὴν συγκατάθεσιν. Τὸ δὲ ἡμέτερον πάρεστι θαῦμα πρόοπτον· ἰδοὺ ἔκκειται· κόσμος ἅπας ἐπ' αὐτὸ, ὀφθαλμοὶ πάντες· καὶ τὸ ἐξαίσιον εἰς πᾶσαν γῆν διακηρυκεύεται, καὶ πάντες πρό τε χειρῶν, πρό τε ὀφθαλμῶν αὐτὸ ἔχουσι. Καὶ τῷ μὲν τοῦ δικαίου μύρῳ τούτῳ τὰς νοητὰς λιπαίνουσι κεφαλὰς, ταῖς κορυφαίαις τῶν κατ' ἀρετὴν πράξεων ἐξευρίσκοντες οὕτω τὸ ἱλαρύνεσθαι· τῷ δὲ αἵματι τὰς ψυχικὰς φλιὰς καθ' ὁμοιότητα θείαν σφραγίζουσι, δι ὧν αἵ τε εἰς θεωρίαν εἴσοδοι γίνονται, καὶ αἱ πρὸς πρᾶξιν σπουδαίαν πρόοδοι. Καὶ οὕτω τὸν ὀλοθρεύοντα διαφεύγουσιν, ἢ παρὰ θύρας, ὅ φασιν, ἀφιέντες ἥκειν ἐκεῖνον, εἴτε καὶ θυροκρουστεῖν εἰς κενόν.

21. Sanguis ille, unguentum illud vitæ æternæ sunt signa, quibus patet odoratum esse Deum martyrem suavitatis odorem. Renumeratio fit multiplex de quibus pro Christo sudore et sanguine D manavit. Reddens dona præsentia in decem millia, vitam æternam adjicit. Ipsius quidem spiritus, corruptione expertis voluptatis paradisum adeptus, nobis similem parat gratiam, qua obvius custodi et agricolæ hujus incorrupti vireti fit, et primorum parentum nobis restituit hæreditatem a qua diaboli invidia excideramus; ipsius autem corpus paradisi instar nobis delectamentum fit, non solum pulchris quæ ut semper colligimus, sed et eo quod in ipso magnifica ejus mirabilia conspiciamus et unguenti stillationes et sanguinis fere usque ad abundantiam ebullientia flumina quæ perpetuo æstuant, et lanceas quas arboribus a Deo plantatis æquiparamus pulchro illo corpori martyrii tem-

κα'. Τοῦτο τὸ αἷμα, τοῦτο τὸ μύρον ἀειζωΐας τεκμήρια, καὶ τοῦ εὐῶδες Θεῷ τὸν μάρτυρα προσενηνέχθαι θυμίαμα. Ἀντιμετρεῖται ταῦτα εἰς πολλαπλοῦν, οἷς ὑπὲρ Χριστοῦ ἔχεν ἱδρῶσι καὶ αἵμασιν· ὃς ἀποδιδοὺς τὰ ἐνταῦθα εἰς μυριοπλάσιον προσεπιτίθησι καὶ ζωὴν αἰώνιον. Τούτου τὸ μὲν πνεῦμα, παραδείσῳ τῷ τῆς ἀκηράτου τρυφῆς ἐνδιαιτώμενον, πραγματεύεται καὶ ἡμῖν τὴν ὁμοίαν χάριν, οἷς ἐντυγχάνει τῷ μελεδωνῷ καὶ φυτηκόμῳ τῆς ἀφθίτου ἐκείνης φυταλιᾶς, καὶ τὴν προγονικὴν ἡμῖν ἐπανάγει κληρονομίαν, ἧς φθόνος σατανικὸς ἡμᾶς ἀπήγαγε· τὸ δὲ σῶμα παραδείσου οἷον ἡμῖν ἐντρύφημα γίνεται, οὐ μόνον οἷς ἐκεῖθεν δρεπόμεθα καλοῖς, ὡς ἑκάστοτε, ἀλλὰ καὶ οἷς ἐν τούτῳ τὰ ἐκείνου μεγαλοπρεπῶς θαυμάσια διοπτανόμεθα, τοῖς τε μυροῤῥόαις, καὶ τοῖς τοῦ αἵματος μικροῦ καὶ κυματίαις διὰ τὸ πλήσμιον ποταμοῖς, οἳ αὐτόθεν ἐκχύπτουσιν εἰς ἄφναον, καὶ ταῖς λόγχαις, ἃς εἰς

θεορύτευτα ξένδρα παρομοιοῦμεν, τῷ καλῷ τούτῳ ἐμφυτευθέντα ἦν ὅτε σώματι, καὶ εἰς παράδεισον τρυφῆς αὐτὸ τῆς κατὰ πνεῦμα διασκευάσαντα.

κβ'. Ἐντεῦθεν ἡμεῖς καὶ εἰς ἄλλην διαβαίνομεν ἐνθύμησιν ὁμοιότροπον, εἰ καὶ μὴ οὕτω πάνυ μεγαλοπρεπέστατα ἔχουσαν· καὶ τὸ ἐν Ἐδὲμ ἄλσος ἀναπολοῦμεν εἰς νοῦν, καὶ τὰς ἐκεῖ πηγὰς καὶ τὰς φοίνικας, καὶ παραβάλλομεν εἰς ὁμοιότητα τὸ κατὰ τὸν μάρτυρα καὶ τὸν Ἰσραήλ. Τοὺς καθ' ἡμᾶς λαοὺς τοῦ Θεοῦ θεωροῦμεν παρεμβάλλοντας ἐνταυθοῖ, ὡς εἰς χωρίον ἱερῶς τρυφερὸν, καὶ ἐπαναπαυομένους τῷ τεμένει τούτου, ὃ καὶ φυτὰ ὥσπερ αἱ ἐμπεπηγυῖαι λόγχαι ἐκόσμησαν, καὶ πηγαὶ δὲ ποταμηδὸν ἐκρέουσαι, καὶ μύρα καὶ αἵματα, ὧν ἡ πηγαία χύσις ὡς ἐξ ἀβύσσου τῆς μυροθήκης ἀναβαίνουσα, τὸ πρόσωπον ἅπαν ποτίζει τῆς γῆς. Οὐκ ἔστι γὰρ ὅπου μὴ διαδόσιμον γίνεται τὸ καλὸν, συνδιατρέχον τῷ ἡλίῳ, καὶ πανταχοῦ τῆς οἰκουμένης ἱκνούμενον. Τοῦτον τὸν τόπον καὶ ποταμὸν ἔστι Θεοῦ Δαυϊτικῶς προσειπεῖν, οὐχ ὑδάτων πεπληρωμένον, ἃ μάτην πλανῶνται, ἀλλὰ προχοῶν σωτηρίων, δι' ὧν ἀναψύχονται νοερῶς οἱ ἐκλείποντες.

κγ'. Ἔστιν ἡμῖν, ὦ μάρτυς, λέγειν ἄλλον τρόπον, ἢπερ οἱ πάλαι ἁγιοκτόνοι, « Τὸ αἷμα τὸ σὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Τῶν ἐν βίῳ τὰ ἐν σαρκὶ, τῶν ἔξω βίου τὰ πνευματικά. Τούτῳ γὰρ καὶ ὡς οἷον σημείῳ τινὶ τὸ θεῖον ἡμεῖς παραδηλούμεθα ποίμνιον, καὶ τὸ ζωογόνον ἀναῤῥωννύμεθα πολυπλασιάζοντες· ὃ δὴ καὶ ὡσεὶ κόκκινον ἐπανθεῖ τῷ σῷ τούτῳ ναῷ, οὐχ ἧττον, ἢ τὸ παλαιὸν τῇ κατὰ νόμον σκηνῇ. Οὐκ ἔστι σοι τὸ Δαυϊτικὸν λέγειν· « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, » ὅτι μηδὲ κατάβασις γέγονεν εἰς διαφθοράν; Πᾶς γὰρ ὁστισοῦν αὐτοῦ ἀρυόμενος, οὐκ ἔστιν εἰπεῖν, ὅσον ὠφελούμενος βελτίων ἅπεισιν, ἁγιαζόμενος εἴς τε σάρκα καὶ αἷμα, ἀναζωούμενος ζωὴν, προσεπιλαμβάνων πᾶν, ὅ τι δέοι παθεῖν ἀγαθὸν, ἐξευρίσκων αὐτό. Ἢ πῶς ἂν τις ἀδυναμία εἰς ἔργον κατακαυχήσηται τοῦτον, ὡς εἰπεῖν, ἀλίβαντα, τὸ τοῦ μάρτυρος γήϊνον, οὐκ εἰς λιβάδας μόνον τεραστίας, ἀλλὰ καὶ εἰς ἐκρύσεις θαυματοβρύτους ἀνοίξαντος;

κδ'. Μυστήρια καὶ ταῦτα οὐκ ἐκ τῶν πόῤῥω, ἀλλὰ τῶν ὅτι μάλιστα ἐγγυτάτω προκαταβέβληνται τῆς ἐκεῖσε καὶ τελευταίας καὶ αἰωνίου ζωῆς. Πόθεν ἐκεῖ, φασὶ, τοῖς ἐγηγερμένοις σώμασι τὸ συνίστασθαι, ὅπου τροφῆς μὴ ἔστιν ἐπίῤῥοια; Λύει ὁ μάρτυς τὸ ἄπορον. Ὅθεν ἐμοὶ, φησὶν, ἐνταῦθα ἡ ζωογόνος τῶν αἱμάτων ἀπόῤῥοια. Θεόθεν τοῦτο. Ἐκεῖθεν ἄρα καὶ ἐκεῖνο ὁ ἐχέφρων λογίσεται. « Ἄνδρας αἱμάτων βδελύσσεται Κύριος. » Τοιοῦτον δὲ καὶ τὸ τύραννον φῦλον, ἀδίκως ἐχθρὸν αἵματα, καὶ μάλισθ', ὅταν ὑπὲρ Χριστοῦ ἐκεῖνα χέωνται. Οὐκοῦν καὶ ἐκείνους βδελύττεται Κύριος. Εἰ δὲ τοῦτο, καὶ ἐπαμύνει τοῖς ἐκχεομένοις αἵμασι, καί ποτε οὕτω κρίνας, ὡς εἶδεν ἐκεῖνος διαιτῶν εὐθετεῖν καὶ οἰκονομεῖν ἀποκαθιστᾷ τοῖς μαρτυρικοῖς σώμασι τὸ ἐκχεόμενον, καὶ ἢ πρὸς καιρὸν (τὸ κενὸν), ἢ καὶ εἰς αἰώνιον (τὸ καινότατον)· ὃ δὴ τῷ ἡμετέρῳ μάλιστα ἐπιπρέπει μάρτυρι πραγματευμένῳ πρὸς Θεοῦ τοῦ μαρτυρηθέντος

pore plantatis et quasi in paradiso voluptatis eo secundum spiritum ordinatis.

22. Inde in aliam progredimur similem cogitationem, licet non tam magnificam, et hortum nemoratum in Eden animo reputamus et ibi exsistentes fontes et palmas, ac in similitudinem adducimus narratum de martyre et de Israel. Populos Dei nostros hic turbatim coactos videmus anquam in deliciis sacris exuberanti loco et in illius sacro receptaculo considentes, quod plantariorum instar infixæ lanceæ ornaverunt et fontes in amnem scaturientes, et unguenta et sanguis quorum fluvialis effusio tanquam ex unguentario thesauro ascendens, omnem terræ faciem irrigat. Non est enim cur non transmittatur pulchrum donum, cum sole currens et in omnem terram exiens. Locus et fluvius Dei Davidico more honorandus, non aquis plenus quæ in vanum errant, sed salutares aquas effundens quibus spiritualiter sedatur deficientium sitis.

23. Nostrum est, o martyr, alio modo quam veteres sanctorum occisores dicere : « Sanguis tuus super nos et super filios nostros. » Qui sæculi sunt, quæ carnis sunt sapiunt, qui extra sæculum sunt quæ spiritualia. Namque hoc quasi symbolo, divinum ostendimur ovile nos esse et fecunditate confortamur multiplicati; sanguis tuus tanquam coccinea cortina istud tuum purpurat templum non minus quam de veteri juxta legem tabernaculo contingebat. Tuum non est cum Davide effari : « Quæ utilitas in sanguine meo, quia non descendi in corruptionem? » Unusquisque enim ex eo hauriat; dicendum non est : in quo utilitatem percipiens melior evadit, carne et sanguine sanctificatus, vita melioratus, accipiens omne quod sentire oportet bonum hoc invento. Aut quæ ad opus impotentia gloriaretur, illo ut ita dicam defuncto quod terrestre est in martyre, cum martyr non solum ad guttas minimas sed et ad omnes miraculorum vectores pateat?

24. Mysteria non leviter, sed explicite exponuntur de hac et de æterna vita. Unde, aiunt, resurgentibus corporibus coalescendi facultas quo non abiit alimenti derivatio? Solvit martyr difficultatem. Unde mihi, inquit, hic vivifica sanguinis effusio? A Deo. Exinde ergo et illud sensatus reputabit : « Viros sanguinum abominatur Dominus. » Talem tyrannorum gentem, injuste sanguinem effundentem et præsertim eum pro Christo funditur. Ergo et istos abominatur Dominus. Si vero ita est, sanguinem quoque effusum vindicat, et judicans more quo decernens ita ut recte disponatur et provideatur reducem martyris corpori sanguinem facit, sive temporibus nostris (quod mirum), sive æternis (maxime mirum); quod nostrum præsertim decet martyrem qui bene pro Deo operatus est et testimonium dedit de vita æterna. Etenim morte immunem non licebat esse eum qui sub naturæ lege manebat, qua et colligari et

solvi et iterum insolubilem colligationem expectare oportebat. Mortuum vero iterum ad vitam redire, idque ante resurrectionis tempus, præ cæteris donatum est. Ordinatur ergo hoc modo intermedia sors : jacet corpus in sepulcro, ex mortis : scaturit vero sanguis, ecce vitæ symbolum. Est casus, est resurrectio : casus per mortem secundum naturam, resurrectio per sanguinis superabundantiam supra naturam.

τὸ καὶ ἐνταῦθα οἷον ἀεῖζωον. Μὴ θανεῖν μὲν γὰρ οὐκ ἐξῆν τὸν ὑπὸ νόμῳ φύσεως, ἧς τὸ καὶ συνδεῖσθαι καὶ λύεσθαι καὶ ἀναρέπειν τὴν εἰσαῦθις ὅλυτον σύνδεσιν. Θανόντα δὲ εἰς τὸ ζῆν αὖθις ἐπαναλάμψαι, ἀλλὰ τοῦτό γε πρὸ τοῦ τῆς ἀναστάσεως ὅρου καὶ ὑπερτίθεται. Οἰκονομεῖται οὖν πως τὸ μέσον. Καὶ κεῖται μὲν τὸ σῶμα ἐν τάφῳ· τοῦτο τοῦ θανεῖν. Ῥλύζει δὲ αἷμα· τοῦτο ζωῆς σύμβολον. Καί πως ἔστι καὶ τοῦτο πτῶσίς τις καὶ ἀνάστασις· πτῶσις: διὰ τὸν κατὰ φύσιν θάνατον, ἀνάστασις δὲ τὴν ὑπὲρ φύσιν περουσίαν τοῦ αἵματος.

25. Sanguis ille, unguentum illud contra omnimoda mala maximopere pollent. Mordeat dolores; et hæc affernatur et ærumnæ discedunt et metuit doloris aculeus acutas lanceas quæ heroici martyris corpori infixæ pulchrum amnem aperuerunt. Hiant vulnera quibus proxima accedit mors, aperto ore. Sed si unguento illita sint, mors fugit, sicut et de animalibus, quotquot unguenti odore infecta fugiunt, vulnus autem in cicatricem abit et integrum corpus viget. Et sic martyris vulnerum humor offendicula humana abripit, non solum incommodum allevans, sed etiam quod molestum est, in perfectum immutans.

κε'. Τοῦτο τὸ αἷμα, τοῦτο τὸ μύρον κατὰ παθῶν παντοίων ἀνδρικῶς κρατύνονται. Ὀδύναι κεντοῦσι· καὶ αὐτὰ προσφέρονται, καὶ τὸ λυποῦν αἴρεται, καί πως; ἡ τῆς ὀδύνης ὀξύτης δυσωπεῖται τὰς λόγχας, αἳ τῷ τοῦ ἀθλονίκου μάρτυρος σώματι ἐμπηγεῖσαι ὄξεῖαι, τὸ καλὸν ῥεῦμα προέφηναν. Ἀναῤῥήγνυνται τραύματα, οἷς ἔγγιστα πελάζει θάνατος, κύνεον ἐπεγχαίνων. Ἀλλ' ἐὰν ἐπιχρισθείη τοῦ μύρου, θάνατος μὲν δραπετεύει, καθά που καὶ τῶν ζώων, ὅσα πρὸς μύρου ὀσφρησιν ἐκμαινόμενα φεύγουσι· τὸ δὲ τραῦμα οὐλοῦται, καὶ εἰς ὁλότητα τὸ σῶμα καθίσταται. Καὶ οὕτω τραυμάτων μαρτυρικῶν ὑγρότης ἐκθρώσκουσα, προσοχθίσματα παρασύρει ἀνθρώπινα, οὐ μόνον ἐλαφρύνουσα τὸ δυσαχθὲς, ἀλλὰ καὶ τέλεον ἐξαλλάττουσα τὸ δυσπαθές.

26. Cudunter hæc in arma adversus Dei hostes. Itaque multi pectoralia martyris gerentes exeuntem inde ad opera in belli die experti sunt virtutem. Directa in eos est trux sagitta et immissa, et tendebat intus infigi et transadigere; erravit vero et in vanum rediit. Non enim fas erat victoris donum victo cessisse. Clypeus quidem multoties replicatus et materiarum adunatione validus, quasi e septem boum coriis, sub jaculis defecit, simplex vero vestis in sinu martyris thesaurum includens telis non succubuit.

κς'. Χαλκεύονται ταῦτα καὶ ὡς εἰς ὅπλα τοῖς ἐχθροῖς τοῦ Θεοῦ ἀντίμαχα. Πολλοὶ γοῦν ἐπικόλπια φέροντες τοιαῦτα ἐκ τῶν τοῦ μάρτυρος, τὴν ἐκεῖθεν ἐξερχομένην ἔργοις αὐτοῖς ἐν ἡμέρᾳ πολέμου ἐπισκιάζουσαν ἔμαθον δύναμιν. Ἐπετάσθη μὲν γὰρ ἐπ' αὐτοὺς βίαιον βέλος, καὶ ἐπέλασε, καὶ ἤθελε ψαῦσαν παρακύψαι καὶ ἔνδον, καί που καὶ δι' ἑτέρας ἐκδῦναι, ὁποῖα τὰ διαμπερὲς βαλλόμενα· ἀπεπλάγχθη δὲ, καὶ κενὸν ἀνέκαμψεν. Οὐδὲ γὰρ ἐχρῆν τὸ τοῦ νικητοῦ δῶρον τὸν ἥττονα ἀπενέγκασθαι. Καὶ θυρεὸς μὲν, καὶ αὐτὸς αὐτὰ πολλὰ πολύπτυχος, καὶ τῷ συνθέματι τῶν ὑλῶν στερέμνιος, ὡς εἴ που καὶ ἑπτάβοειος, ἔπαθέ τι ταῖς βολαῖς· ἱματισμὸς δὲ ἁπλοῦς στέγων ὑπὸ κόλπῳ τὸν τοῦ μάρτυρος θησαυρὸν, ἀνεπιβούλευτος τοῖς βάλλουσιν ἔμεινε.

27. Sic multis vulneribus propter Christum salvatorem confossus martyr viris vulneratis non auxiliatur solum, sed et decem malorum millibus eos premit qui tales infligunt plagas, et sicut partus dolores, sic concilia et opera in irritum adducit, ac eos qui pro præda jam in manibus erant evadere sinit. Hæc noverunt barbari bellatores et aliæ tribus sicut tribus Agar : corpore jam privatum protectorem reverentur; propitium reddunt, sæpe supplicant et placamina adinveniunt, vota faciunt, deprecantur, gratiarum actiones offerunt suo more imaginem pingentes, omnia in propitiationem adhibentes. Et quibus quidem martyr tormentis morte ablatus est attendere dubitant, passum vero reverentur. A Deo factum est istud, ut gratias referret martyri. Nam non confunditur de his qui prodigia quidem exhibet, majora vero facere dat iis qui ipsi serviunt. Et hæc barbari quotquot prudentius martyrem observant. Qui autem audentiores fortioresque sunt, martyris virtutem agnoscere haud recu-

κζ'. Καὶ οὕτως ὁ διὰ τὸν σωτῆρα Χριστὸν πολύτρωτος μάρτυς, οἷς πέπονθε, τοῖς κινδυνεύουσιν ἐν τραύμασι βοηθεῖ, καὶ οὐ μόνον, ἀλλὰ καὶ μυρίοις ἐπιτρίβει κακοῖς τοὺς τὰς τοιαύτας πληγὰς ἐντήκοντας· καὶ ὥσπερ τὰς βολὰς, οὕτω καὶ τὰς βουλὰς καὶ τὰ ἔργα δὲ εἰς ἄπρακτον ἀποκαθιστᾷ, καὶ τοὺς ἐν χερσὶν ἄγρα; ἐξολισθαίνειν ποιεῖ. Οἴδασι ταῦτα καὶ οἱ πολέμιοι βάρβαροι, τά τε ἄλλα φῦλα, καὶ τὸ τῆς Ἄγαρ, καὶ τὸν ἀσώματον ἀρωγὸν τοῦτον δειμαίνουσι, καὶ ἱλεοῦνται, καὶ ποτνιῶνται· συχνὰ, καὶ μειλίγματα ἐξευρίσκουσιν, ἀνακαλούμενοι λόγοις εὐκτηρίοις, λιταζόμενοι, χάριτας ἀνατιθέντες, ὁποίας οἱ τοιοῦτοι ἐπινοήσαιεν ἄν, τὸν χαρακτῆρα εἰκονικῶς ἐκτυπούμενοι, πάντα ποιοῦντες εἰς πραγματείαν ἐξιλασμοῦ. Καὶ ὑπὲρ οὗ μὲν τὸ παθεῖν ὁ μάρτυς ἀνεῖλετο, ἀλλ' ἐκείνῳ προσέχειν ὀκνοῦσι, τὸν δὲ παθόντα σεβάζονται. Θεοῦ καὶ τοῦτο, χαρισαμένου τῷ μάρτυρι. Οὐδὲ γὰρ ὀκνεῖ οὐδὲ τὰ τοιαῦτα ἐκεῖνος, ὁ τεράστια μὲν ἐνδεικνύμενος, μείζω δὲ διδοὺς ποιεῖν τοῖς αὐτὸν θεραπεύουσι. Καὶ τοιαῦτα μὲν τῶν βαρβάρων, ὅσαι

λογιώτερον τοῖς τοῦ μάρτυρος ἐπιβάλλουσιν. Οἱ δὲ θρασεῖς καὶ θερμότεροι ἀγνοοῦσι μὲν οὐδ' αὐτοὶ τὴν μαρτυρικὴν ἰσχύν· ἀφέντες δὲ τὸ εὐλογεῖν, ὅμως οὐδὲ οὕτως εἰς ὕβριν ἐκβαίνονται, οὐδὲ εἰς κακολογίαν σκληρὰν καὶ ἀπαρακάλυπτον διεκπίπτουσιν, οὐδὲ σκῶμμα παράμουσον ἐξερεύγονται, οὐδ' ἐκτρέπονται πρὸς τὸ αὐστηρότερον· ἀλλὰ τῷ λυποῦντι προσφέρονται ἀστειότερον.

A saut; benedicere vero remittentes, non tamen in contumelias efferuntur, nec in maledicta aspera et manifesta erumpent, nec acerbas injurias eructant, nec in graviora declinant, sed urbanius obvios se mœrenti præbent.

κη'. Βραχὺς γοῦν οὗτος χρόνος, καὶ τὸν ναὸν τοῦ μάρτυρος εἴδομεν αἰχμαλώτοις πυκνούμενον — φῦλον Ἀγαρηνὸν οἱ αἰχμαλωτίσαντες· ἐξ ἑῴας τῆς ὑπερθεν Παφλαγόνων, ἣν ὁ Εὔξεινος ζώννυσιν, οἱ τὴν αἰχμαλωσίαν παθόντες· οἱ καὶ σωθέντες ὠσιοῦντο εὐχὰς, ἃς δὴ καὶ μόνας εἶχον εἰς χάριν ἀντινέμειν τῷ λυσαμένῳ μάρτυρι. Τῶν γὰρ κατὰ βίον πάντων ἐξέπεσον, μόνους ἑαυτοὺς ἔχοντες. Καὶ περιηγοῦντο οἱ ἄνδρες τὰ εἰς αὐτούς· τὴν τοῦ πολέμου ῥοπὴν, ὡς οὐχ ὑπὲρ αὐτῶν, ἀλλ' εἰς τοὐναντίον ἔκλινε τὰ τῆς μάχης τάλαντα· τοὺς δεσμούς· τὴν ἀπαγωγὴν, καὶ ταύτην ὑπερόριον (Βαβυλὼν γὰρ ἡ ἐν Πέρσαις εἶχεν αὐτούς)· τὸν ἐν τῇ καθείρξει σφιγμόν· τὰς θεοκλυτήσεις, ἃς ἀνέφερον εἰς τὸν μάρτυρα· τὸν λιμὸν, ὃν ἔπασχον· τὴν νηστείαν, ἣν ἐποιοῦντο· ἐκεῖνον μὲν οὔτι ἑκόντες, ταύτην δὲ ἀλλὰ συμπεῖθοντες ἑαυτούς. Οἱ μὲν γὰρ τῆς Ἄγαρ καταδιαιτῶντες ἦσαν αὐτῶν τὸ τοῦ λιμοῦ πάθος, καὶ μέτριόν τι ῥεῦμα παραψυχῆς αὐτοῖς ὑπήνοιγον. Αὐτοὶ δὲ, ἵνα κἂν τούτῳ χάρις τις εἴη αὐτοῖς, ὑπεραναβαίνουσι τῷ ἐκουσίῳ τὴν ἐκ τῶν βαρβάρων κάκωσιν, καὶ βραχὺ λαμβάνοντες εἰς ἀποτροφὴν ἐπιμετρούμενον, ὑπέσπων τι καὶ αὐτοῦ· καὶ οὕτω λεπτύνοντες ἑαυτοὺς, καὶ ὥσπερ ἄνω πτερυσσόμενοι εὐχαῖς, εἰς Θεὸν ἐκουφίζοντο, ὧν τὸ στόμα ἔγεμε, τῇ τῶν βρωμάτων μὲν εἰσδοχῇ ἐγκλειόμενον, τοῦ δὲ ἐκεῖθεν πεπλησμένον μέλιτος. Ταῦτά τε οὖν ἐξετίθεσαν εἰς διήγησιν οἱ δορυάλωτοι. Καὶ ὡς νύξ ποτε ἦν, καὶ αὐτοὶ οὐ μόνον ἔξω τοῦ καθείρχθαι ἦσαν, ἀλλὰ καὶ σταδίοις μακροῖς πόρρω τῆς πόλεως εἶχεν αὐτοὺς τόπος, βραχύτητι πετρῶν κατάφρακτος, δάσους ἐψιλωμένος παντός· αὐτοὶ δὲ οὐκ ἤδεσαν, ἀλλ' ἐπὶ χώρας μένειν ἐνόμιζον. Ὡς δὲ ἡμέρα διέκυψε, καὶ ἡλίου λαμπὰς τὰ πάντα διεδείκνυ παμφαίνουσα, τηνικαῦτα λελύσθαι μὲν ἐγίνωσκον τῆς εἱρκτῆς, οὐκέτι δὲ μανθάνειν εἶχον, καὶ οἷα καταγωγὴ τόπου εἶχεν αὐτούς. Καὶ τοίνυν πάλιν φόβος καὶ δέος, μὴ καὶ εἰς δουλείαν ἁλόντες ἀνακάμψαιεν· καὶ κατηύχοντο τῆς λύσεως, εἰ πάλιν ἀνάγκη δεδέσθαι αὐτοὺς, καὶ βραχείας γεγευμένους γλυκύτητος πικρίαν σπάσασθαι πλείονα. Ἅμα ταῦτα, καὶ ἀλλόθρους ἐκ τῶν κατόπιν ἦχος ἠκούετο, καὶ βοὴ βάρβαρος, καὶ λαλιαὶ οὐκ εὔσημοι· καὶ αὐτοῖς εἶχε τὰς μὲν ψυχὰς τὸ δέος, ἡ γῆ δὲ τὰ σώματα. Καὶ παρέβυον ἕκαστοι ἑαυτοὺς ῥωχμαῖς λίθων, ὅπη δόξειεν εἶναι σύμφορον, οὐ κατὰμονας, ἀλλ' οἱ πλείονες κατὰ δεκάδας, καὶ ἔτι κατώτερον· οὐχ ὅτι βουλομένοις ἦν αὐτοῖς καὶ τοῦτο, ἀλλ' ὅτι μὴ ἐξῆν μήτε ἄλλως εἰς ἀποκρυβὴν συνάγεσθαι (εἰς βραχείας γάρ τινας διαστάσεις αἱ πέτραι ὑπέχασκον), μήτε εἰς φυγὴν μερίζεσθαι (ἡ βοὴ γὰρ ἐγγίζειν ἤδη καὶ ἐπικεῖσθαι τοὺς πολεμίους ἐσήμαινεν)· οὐδ' ὅτι τοῦ σώζεσθαι ἦν ἐλπὶς (οὔτε γάρ τι σπηλαιῶδες ὑπενοήθη

28. Nam ita pridem, et martyris templum captivis refertum vidimus — Agarenorum tribus captivos duxerant; ab orientali superioris Paphlagoniæ plaga quam Euxinus circuit, captivi; qui salvati preces fundebant quas solas in gratiam martyri qui eos solverat referendas habebant. Namque omnibus ad vitam necessariis nudati, salva tantum vita remanserant. Et narrabant viri quæ ipsis acciderant, belli impetum quomodo non pro illis sed in adversum cessit prælii alea; vincula, abductionem eamque longinquam valde (Babylon enim apud Persas illis mansio fuit); in carcere angustias; pias preces quibus martyrem sollicitabant; famem qua cruciabantur; jejunia; de illa quidem inviti, de istis vero invicem cohortantes. Nam gens Agar eos ad famis supplicium adigebat, et ipsis solatii ostium jejunium aperiebat. Ut vero in hoc et bene ipsis esset, non repugnanti animo barbarorum improbitatem vincunt, et parum recipientes in cibum arcte ponderatum, ex hoc aliquid detrahebant, et sic ad maciem se ipsos adigentes et tanquam alis precum sublevati, ad Deum volabant qua os abundabat, alimentorum quidem admissioni clausum, melle vero desuper repletum. Hæc igitur narratione exponebant captivi. Et cum nox esset, et non modo extra carcerem starent, sed et longis spatiis ab urbe abesset eorum statio lapidibus circumsepta, ab omni arbore virgulteque aperta et patens; hi vero nesciebant, sed in terra firma se esse arbitrabantur. Ubi primum diluxit, et solis lampas omnia collustravit, tunc solutos a custodia se noverunt, nec vero discere poterant quo loci abducti essent. Metus itaque rursum et trepidatio ne servituti iterum subjicerentur, et de liberatione precabantur ne forte adhuc necessitas esset ligari ipsos et paululum suavitate gustata amaritudine majori corripi. Interea advenarum retro vox personabat, barbarorum clamor et voces non gratæ: ipsorum animas timor, terra corpora tenuit. Recondebat se quisque in petrarum fissuras obvias, non singulatim, sed plures, plus minusve decem; non prout consilium ipsis inerat, sed quoniam aliter in abdito adunari non licebat (parvis enim fissuris patebant petræ), nec in fugam dividi (clamor enim jam irruentes hostes significabat), non quod salvandi spes esset (nihil enim antro simile excavabatur, nec utrinque nemus umbram spargebat et lucem a scrutantium oculis abigebat), qui nec toto corpore tegi valebant; sed quod fieri poterat fecerunt, animalium more quibus, fortiori persequente bellua, abscondere solum caput licet, quasi sic membra omnia in tuto sint. Hæc desperantium auxilia. Jacebant ergo prout singulos

casus constituit, et prout timor fugiendi vires ademerat; tum quasi in tumulum festinanter effossum seipsos abstrudentes et patere ipsis etiam tartarum cupientes. Interim adsunt alieni. O mirum prodigium! tenebræ ipsis præ oculos perquirentibus in martyrem invocantium latebras; imo non tenebræ, sed aberrans oculorum obtutus; nec etiam illud, sed ut puto nobis columna fissurarum adimplens aperturas, latere stratos fecit, et tanquam lepores fuga in petras se coram eis qui prædam vestigiis premunt abscondentes. Transierunt horæ multæ nec canes prædam assecuti sunt. Itaque in vanum equorum fatigatis pedibus laboraverunt et stupuerunt huc illuc prospicientes: et amplius curaturi videbantur de re illa scrutantes scrutinio, donec ipsorum inutiles curas cessare fecit vir, in veritatis rei abyssum descendens et divinum esse suspicatus quod acciderat; qui in vanum dixit defatigari persequentes eos quos consequi non licebat, et incomprehensibilia attingere instantes. Et dicere addidit, miscens philosophiæ....

A μεύετο, οὔτε ἀμφιλαφὴς ὕλη σκιάζειν εἶχε, καὶ τοῦ τῶν ψηλαφώντων φωτὸς ἀπάγειν τὸ παρεισδυόμενον)· καὶ οὐδὲ τῷ παντὶ τοῦ σώματος εἶχον κρύπτεσθαι. Ἀλλ' ὅπερ εἶχον, ἐποίουν, καθά που καὶ τῶν ζώων τινὰ, οἷς, ὅτε θὴρ βριαρώτερος ἐπιτρέχει, κρύπτεσθαι τὴν κεφαλὴν καὶ μόνην ἔπεισιν, ὡς ἤδη καὶ τὸ πᾶν τῶν μελῶν ἀφανίζουσι. Τοιαῦτα γὰρ τὰ τῆς ἀμηχανίας βουλεύματα. Ἔκειντο μὲν οὖν αὐτοὶ, καθάπερ ἕκαστον ἡ πτῶσις ἐσχημάτισε, καὶ ὡς ὁ φόβος παραπεδίσας ἔρριψε, τάχα καὶ ὡς εἰς αὐτοσχέδιον τάφον καταχώσαντες ἑαυτοὺς, καὶ χανεῖν αὐτοὺς εὐχόμενοι καὶ τὸν τάρταρον. Ἐπὶ τούτοις ἐφίστανται τὸ ἀλλόφυλον. Καὶ ὦ τοῦ τεραστίου θαύματος! σκότος αὐτοῖς πρὸ ὀφθαλμῶν κατὰ τὸ ψηλαφητὸν εἰς ἀποκρυβὴν τῶν δεδεημένων τοῦ μάρτυρος· B μᾶλλον μὲν οὖν οὐ σκότος, ἀλλὰ παρόρασις· ἤδη δὲ οὐδὲ αὕτη, ἀλλὰ στῦλός τις, οἶμαι, νεφέλης τὰ τῆς φάραγγος ἀναπληρῶν κενώματα, λανθάνειν τοὺς κοιταζομένους ἐποίει, καὶ οἷα λαγωοὺς καταφυγόντας εἰς πέτρας ἀποκρύπτεσθαι τοὺς ἰχνευτικῶς ἐμφυομένους αὐτοῖς. Ἐξεμετρήθησαν ὧραι συχναὶ, καὶ οἱ κύνες οὐκ εἶχον τὸ ζητούμενον θήραμα. Καὶ τοίνυν ἱκανῶς ἐν κενοῖς τοὺς τῶν ἵππων κατατρίψαντες πόδας, ἀπέκαμον, καὶ τεθηπότες ἵσταντο, διεκπετανύοντες πανταχοῦ τῆς ἐκεῖ γῆς τὰς ὄψεις. Καὶ ἐῴκεισαν μελετᾷν ἐπιπλέον πράγματα σχεῖν, ἐξερευνῶντες ἐξερευνήσεις, ἕως αὐτοῖς τοὺς ἀνηνύτους μόχθους ἔπαυσεν ἀνὴρ, εἰς βάθος τοῦ τῆς ἀληθείας προκύψας πράγματος, καὶ θεῖον εἶναι συννοησάμενος τὸ ἐπιπροσθοῦν· ὃς καὶ εἰς μάτην ἐξεῖπεν αὐτοὺς πονεῖσθαι, ἀχίχητα διώκοντας, καὶ ἀκαταλήπτοις ἐπιβάλλοντας. Καὶ προσέθετο εἰπεῖν, παραμιγνὺς τῇ φιλοσοφίᾳ τῆς .....

Desunt multa....

46. Sunt autem in talibus et diversitates in martyre, quasi hac varietate mistum fuerit prodigiis jucunditatis commodum. Etenim alios e captivitate extractos super terra deponit et molesto itinere fatigat. Sic enim opportunum judicavit non absque labore redintegrari, sed cum gravamine eos salvatum iri atque cognoscere quantopere lapsi sunt. Alios per quam elevatos ab omni intermedio et periculo barbarorum abducens haud alibi incidere sinit, ita ut nec proprium, nec quemlibet laborem gustent, sed uno saltu adeo longam viam in aere conficiant, ut in mari absque impedimento navigantes. Multos vero et in isto templo suo statuit, ut ibi ante alios prodigii testes sint.

μζ'. Ὁ δὴ τοιοῦτος, καὶ οὕτω κατεξουσιάζων τῆς ἀερίας χύσεως, τίνας οὐκ ἂν ῥᾳδίως, ὅθεν ἂν ἐπινεύσειε, ῥύσαιτο; Πῶς δὲ οὐκ ἂν καὶ ἀνέμοις ἐπιτάξοι, καὶ σκηπτοῖς ἐπιτιμήσοι, καὶ ὑετοὺς δὲ, τοὺς μὲν ἀναστελεῖ καταγομένους, ὅποι τε καὶ ὅτε μὴ τούτων χρεία, τοὺς δὲ καταῤῥήξει αἰτουμένους; ὧν δὴ πάντων εὔκταιον καθηγεῖσθαι ἡμῖν προϊστάμενον τὸν εὐεργετοῦντα ἐφ' ἅπασιν, ὃς πελαγίζων ὥσπερ μύροις, οὕτω καὶ θαύμασι, καὶ πᾶσαν μὲν οἰκουμένην ἐπισκεπτόμενος, καὶ ἐν παντὶ τόπῳ τῆς τοῦ Θεοῦ δεσποτείας ὑμνούμενος, ἵνα ὁ τοῖς θείοις ἐπηκολουθηκὼς προστάγμασι περιάγηται πανταχοῦ γῆς, καὶ συνεπακολουθοῦντα ἔχῃ τοῖς τοῦ Δεσπότου καὶ τὰ κατ' αὐτὸν ἐγκώμια.

D

47. Hic vir summus et super aereas regiones potestatem habens, quosnam non faciliter quando voluerit, eripiet? Quomodo non et ventis imperaret, fulguribus comminaretur et imbres jam imminentes fugaret ubi et quando non sunt utiles, alias vero sollicitatus effunderet? His de causis optandum est ut nos gubernet qui omnibus benefacit, qui fertur quasi nando, super unguenta, nec non super miracula, et totum orbem considerat et in omni dominationis Dei loco celebratur, ut qui divinis obsecutus est mandatis ubique terrarum celebretur, et cum Domini laudibus laudes suas habeat conjunctas.

μη'. Τὴν ἑαυτοῦ ταύτην φιλεῖ μάλιστα, καὶ ἀνεπίστροφος αὐτῆς οὐδὲ ἐν τοῖς βραχυτάτοις καταλαμβάνεται. Εἰ δὲ Κύριος ἀγαπᾷ τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακὼβ, καὶ εἰς οἰκεῖον σκήνωμα τὸ ἐκεῖ ἐγγράφεται, ἔχομεν καὶ ἡμεῖς ἐκεῖθεν παραποιήσαντες προσαρμόσαι τῷ μάρτυρι τὴν ὁμοίαν ἐπὶ τῷ κατ' αὐτὸν τούτῳ σκηνώματι φιλητικὴν σεμνότητα, καὶ ὁ λόγος μέγα κατακλουτεῖ τὸ εὔλογον. Ὁρᾷ τὸν τόπον, ἐν ᾧ ἄλλον τρόπον ἢ τὸ εὐαγγελικὸν ὑποτίθησι παράγγελμα.

48. Istam suam præsertim amat, cujus negligens nec in minimis deprehenditur. Si vero diligit Dominus portas Sion super omnia tabernacula Jacob, et in proprio tabernaculo ibi habitat, nos quoque inde martyri similem transferamus erga istum ejus tabernaculum majestatem, et sermo rationi valde conformiter ditescit. Videt locum in quo aliud quam evangelicum præceptum proponit.

49. Inmisericordes in custodia illum asservaverunt, nec panem esurienti dederunt, in Dei vero panem ipsum ligna mutarunt, sicut antea sermone vidimus; nec sitienti potum dedere, imo omnem vitalem illius destruxerunt humorem. Et venerabilis evadit hæc cernens, quibus illustris fit. Propter amorem tolerat incarcerationem per quam sicut lucerna sub modio positus, aliquantum absconsus fuit, deinde apparuit orbemque totum illuminavit. Effundit illum balneum, ablutionis per sanguinem symbolum, effundunt et mansiones, cœlestem indicantes cameram ad quam per martyrium pervenit. Ibi vero tanquam uvam seipsum veræ Salvatoris nostri Dei vitis consideraus, et jam maturam, jam vindemias jam quasi in torculari æstimat carceris clausuram, ut ex ipso fluentem sanguinem mustum à tyrannice irruentibus haustum, quod et usque adhuc scaturire non cessat, corda hominum, ut cum Davide loquamur, lætificans, et ad fruendum invitans. Interfectores accusat sanguis ille, fideles vero delectat. Non enim sola sanguinis Abel vox de terra clamorem ad Altissimum effert, sed et martyris sanguis accusatrice voce adversus tyrannum clamabat, nunc vero provocatrici voce clamat ad fidelis populi stuporem et venerationem et possessionem utpote mentis et corporis salutem producentem.

50. Hæc et reliqua venerabilia, quorum si quis indicem inire vellet, libros componere cogeretur, in patriæ protectorem martyrem constituun ; quam minime reliquit, nec de minimis corporis reliquiis. Hoc nobis revelaverunt mysterium qui martyris capulum foderunt ad reliquias intus recipiendas, aut, ad pretiosum thesaurum inveniendum; qui vero verecundiori timore repressi sunt, audientes quod non nimis oportet sapere, et sic cessantes, illum Dei arcanum nec violabilem esse thesaurum didicerunt. Inde placet mihi magnanimum et veneratione dignum celebrare martyrem. Nam pulchrum quidem de manu ad manum multis transmitti et reliquiarum divisione locis pluribus adesse et multis in locis disseminatos et abundanter effusos salutis fructus producere, nec angustiari in uno circumscriptum; qui vero divino unguento consecratus est ubique distribuendus, et mandatum accepit ut quotquot reciperent ipsum salvaret, in integritate manere mahuit, totum intactumque continua integritate manere in medio omnium apud quos martyrium perfecit profuturum ; nec solum qui in nullis deficeret propriorum quæ martyrii sigillum stabilivit, sed et superabundaret. Nihil ergo athletæ corporis eum defecit, et sanguis in æternum permansit, et unguentum insuper additum est, usura eorum quæ Deo fœneravit martyr rite retributa. Si autem athletarum decem millia qui sive Domini prælia, sive exercitia pia sustinuerunt, sua permiserunt membratim a reverenter resecantibus dividi et in salutem multimode thesaurizari,

μθ'. Οἱ ἀνηλεεῖς ἐν φυλακῇ αὐτὸν ἐπεσκέψαντο· καὶ ἄρτον μὲν πεινῶντι οὐκ ἔδωκαν, εἰς ἄρτον δὲ Θεοῦ αὐτὸν ξύλα ἐνέβαλον, ὡς καὶ ἀνόπιν τῷ λόγῳ τεθεωρήκαμεν· καὶ οὐδὲ διψῶντα ἐπότισαν, ἅπασαν δὲ τὴν ζωτικὴν ἀπήγαγον τούτου ὑγρότητα. Καὶ σεμνύνεται, ταῦτα βλέπων, ἐφ' οἷς ἐλλάμπεται. Φέρει δι' ἀγάπης καὶ τὴν κάθειρξιν, καθ' ἣν ὁποῖα λύχνος ὑπὸ μόδιον τεθεὶς, τὴν εἱρκτὴν μικρὸν μὲν ἐκρύβη, εἶτα ἐξεφάνη, καὶ τὴν οἰκουμένην περιέλαμψε. Διαχέει αὐτὸν καὶ τὸ καθεῖρξαν λουτρὸν, οἷα σύμβολον τοῦ δι' αἵματος λούματος, καὶ αἱ καμάραι, ὡς ὑπογράψασαι τὴν οὐρανίαν ἀψίδωσιν, εἰς ἣν διὰ τοῦ μαρτυρίου ἀνέδραμεν· ἐνταῦθα δὲ ὡς εἰς βότρυν ἑαυτὸν τῆς ἀληθινῆς ἀμπέλου τοῦ Σωτῆρος ἡμῶν Θεοῦ θεωρῶν, καὶ αὐτὸν ἤδη πέπειρον, τότε εἰς τρυγητὴν ὡς εἰς ληνὸν ἀνάγει τὸ στεγανὸν τῆς καθείρξεως, τὸ δὲ ἐξ αὐτοῦ αἷμα εἰς γλεῦκος τοῖς τυραννικῶς ἐπεισπεσοῦσιν ἐκπιεσθὲν, ὃ καὶ εἰσέτι βλύζειν οὐκ ἀνίησι, καρδίας ἀνθρώπων, Δαυϊτικῶς εἰπεῖν, εὐφραῖνον, καὶ εἰς ἀπόλαυσιν προκαλούμενον. Αἷμα τοῦτο κατήγορον μὲν τῶν φονευτῶν, ἱλαρὸν δὲ τοῖς πιστοῖς. Οὐ γὰρ μόνον φωνὴ τοῦ Ἄβελ αἵματος γῆθεν ἠφίει βοὴν πρὸς τὸν Ὕψιστον· ἀλλὰ καὶ αἷμα τοῦτο μαρτυρικὸν τότε μὲν ἐβόα κατὰ τοῦ τυράννου ἐγκλητικῶς, νῦν δὲ ἀλλὰ προκλητικῶς τοῦ πιστοῦ λαοῦ καὶ εἰς ἔκπληξιν, καὶ εἰς προσκύνησιν, καὶ εἰς τὰ ἀπολαύειν δὲ πρὸ; σωτηρίαν ψυχῆς τε καὶ σώματος.

ν'. Ταῦτα δὴ καὶ τὰ λοιπὰ σεμνὰ, ὧν εἴ τις ἐθέλοι ποιεῖσθαι κατάλογον, ἀναγκάζοιτο ἂν βιβλιογραφεῖν, εἰ; ἐπισκοπὴν τῆς πατρίδος ἐφέλκεται τὸν μάρτυρα· καὶ οὐκ ἂν ἔχοι αὐτὴν μὴ ὅτι γε κατὰ τὸ ὅλον προλιπεῖν, ἀλλ' οὐδὲ βραχυτάτῳ λειψάνῳ τοῦ σώματος. Καὶ τοῦθ' ἡμῖν ἀπεκάλυψαν τὸ μυστήριον οἱ ἀνορύττοντες μὲν τὴν ἱερὰν μαρτυρικὴν λάρνακα ἐπὶ ἀναλήψει λειψάνου τινὸς, ταύτην δὲ εἰπεῖν, ἐπὶ εὑρέσει πολυτιμήτου θησαυροῦ, κωλυθέντες δὲ φρικωδεστέροις δείμασι, καὶ ἀκούσαντες μὴ σοφίζεσθαι περιττὰ, καὶ οὕτω παυσάμενοι, καὶ μαθόντες, εἶναι τοῦτον θησαυρὸν Θεοῦ ἄσυλον καὶ ἀπόκρυφον. Ἔνθα καὶ ἐπέρχεταί μοι τὸ τοῦ μάρτυρος μεγαλοπρεπὲς καὶ φιλότιμον συλλογίσασθαι. Καλὸν μὲν γὰρ, γενέσθαι αὐτὸν πολλοῖς διαδόσιμον, καὶ μερισθῆναι τῇ τῶν λειψάνων κατατομῇ τόποις πλείοσι, καὶ σπαρέντα πολλαχοῦ καρποφορῆσαι πολύχουι τὰ σωτήρια, καὶ μὴ ἐστενοχωρῆσθαι περιγεγραμμένον εἰς ἕν· ὁ δ' ἀλλὰ τῷ θείῳ μύρῳ ἀναθέμενος τὸν παντα χοῦ μερισμὸν, καὶ σώζειν τοὺς ὑποδεχομένους ἐντειλάμενος, αὐτὸς ἐν ἀκεραιότητι μένειν εἵλετο, καὶ ὁλομελῶς ἔχειν τῆς συνεχοῦς διαρτίας, καὶ μένειν ἐντελῶς ἐπὶ πᾶσιν, οἷς τὴν μαρτυρίαν ἤνυσεν· ἵνα μὴ μόνον μηδενὸς τῶν οἰκείων λείποιτο, ἅπερ ἡ τῆς μαρτυρίας σφραγὶς ἐβεβαίωσεν, ἀλλὰ καὶ προσεπιμετροῖτό τι ἐκ περισσοῦ. Οὔτε γοῦν τινα τοῦ ἀθλητικοῦ ἐλλέλειπται σώματος, καὶ τὸ αἷμα παρέμεινεν εἰς ἀέναον, καὶ τὸ μύρον δὲ καὶ αὐτὸ προσεπιδέβληται, τόκος οὗτος προσαποδοθείς, ὧν ὁ μάρτυς τῷ Θεῷ δεδάνεικεν. Εἰ δὲ μυρίοι ἕτεροι τῶν τε ἠθληκότων, τῶν τε ἠσκηκότων ἠνέσχοντο μελίζεσθαι

παρὰ τῶν εὐσεβῶς κατατεμνόντων μεριζόμενοι, καὶ εἰς σωτηρίαν πολυειδῆ θησαυριζόμενοι, καὶ κατὰ μόρια δὲ βραχύτατα εἰς εὐλογίαν τοῖς καρπουμένοις κερματιζόμενοι, θέλησις ἐκείνων μὲν αὕτη· τοῦ δὲ ἡμετέρου μάρτυρος, μὴ συντριβῆναί τι τῶν αὐτοῦ ἢ διασπασθῆναι, ἀλλὰ φυλάσσειν τὸν ἐκ φύσεως σύνδεσμον. Καὶ ἦν ἄρα σεμνότερον, διαπέμπεσθαι τὰ καλὰ ὑπὸ τούτου, ὡς διά τινων ἀποστόλων, τοῦ μύρου τε καὶ τοῦ αἵματος, ἢπερ αὐτὸν παρόντα σώματι διδόναι τὰ ζητούμενα. Τοῦτο μὲν γὰρ ὁμιλητικώτερον, τὸ δὲ στέλλειν καὶ τὸ ἀξιωματικὸν πλείων ἔχει, καὶ πρὸς μεγαλοπρέπειαν ἀπονένευκε· καὶ τὸ τοῦ πόθου δὲ πῦρ ἐπὶ πλέον ἐκκαίει τοῖς φιλομάρτυσιν, ὡς καὶ θέλειν ἀγαπᾷν αὐτοὺς τὸ μαρτυρικὸν τοῦτο σκήνωμα, καὶ ἐπιποθεῖν εἰς τὰς τούτου αὐλάς.

A particulisque minimis ad benedictionem iis qui fructum inde consequentur distribui, ista quidem eorum voluntas; martyris vero nostri nec quidquam comminui, nec membratim dividi, sed naturalem servare compagem. Et honestius sane erat bona de ipso ut de apostolis nonnullis exire tum unguento, tum sanguine, quam ipsum præsentem corpori dedisse quæsita. Nam hoc quidem jucundius, unguentum vero sanguinemque emittere majorem dignitatem habet, atque magnificum est, et desiderii ignis magis martyris amicos inflammat; quippe qui martyris tabernaculum diligere volunt et ejus atria introire.

να'. Καὶ ἰδοὺ καὶ τοῦτο συλλαμβάνεται ἡμῖν τοῦ λόγου, ὃν ἐν καταρχῇ ἐθεωροῦμεν, ἐπιλέγοντες τῇ μαρτυρικῇ ψυχῇ τὸ φιλότιμον, ἐξ οὗ καὶ ἡ μυροχεύμων χάρις πεπόθηται, καὶ ζητηθεῖσα πρὸς Θεοῦ δέδοται, καὶ ἡ τῆς φύσεως ἁρμογὴ πεφίληται καὶ πεφιλοτίμηται, ᾧ δὴ συναναφαίνεται καὶ τὸ φιλόπατρι, καὶ τὸ μὴ θέλειν τὸν μάρτυρα, ὥσπερ μὴ κατὰ τὸ πᾶν, οὕτως οὐδὲ κατά τι τῶν μερῶν γενέσθαι λειπόπατριν, ἀλλ' ἐπὶ χώρας μένειν δίκαιον, καθάπερ καὶ ἐπὶ σχήματος, καὶ συντηρεῖν τὸ ἐν ἅπασι τέλειον.

B 51. Et ecce a nobis concipitur sermo ille quem ab initio consideravimus, e martyris anima desiderium hoc seligentes, quo unguenti effusi gratia quæsita et a Deo donata est, et naturæ integritas dilecta est. Hinc refulget patriæ amor et in martyre voluntas, ut non de toto sic nec de partium aliqua patriæ desertorem fieri, sed in regione jugiter manere ut extrinsecus, sic in omnibus integritatem servare.

νβ'. Οὐ μὴν ἀλλ' εἰ καὶ οὕτω τὴν πατρίδα περιποιεῖται, καὶ ἔστιν ὅλος αὐτῆς, ἀλλὰ φυλακτέον, μήποτε καὶ πρὸς ἀγανάκτησιν ἡμεῖς αὐτὸν ἐρεθίσωμεν, μὴ τῆς πραότητος παράγωμεν, μὴ τοῦ ὑπερμαχεῖν παραλύσωμεν. Ἔνεστιν οἶκτος, « ἔστι δὲ καὶ θυμὸς μέγας, » ὃ δή τις εἶπεν ἑτέρωθι. Καὶ δεῖγμα τοῦ λόγου πολέμου ἐκείνου στόμα πλατὺ ἐπεγχανὸν τῇ πόλει ταύτῃ ποτὲ, καὶ εἰς μάτην ἐξανοιχθέν· καὶ αὖ πάλιν ἕτερος πόλεμος ἄρδην ἐκθερίσας γλαφυρὸν οὕτω καὶ βαθὺ τῆς πόλεως λῆϊον, ὡς μηδὲ βραχεῖαν ἀσταχυλογίαν ἐγκαταλελεῖφθαι αὐτῇ. Ἐκεῖνο οἶκτος, τοῦτο μαρτυρικοῦ προσώπου ἀποστροφή· συμμαχίας ἐκεῖνο, τοῦτο ἐγκαταλείψεως. Ἆρα δὲ μάτην τῷ ἀθλονίκῳ ἢ τοῦτο ἢ ἐκεῖνο καταπέπρακτο; Παραφρονῶν ἄν τις αὐτὸ καὶ λογίσαιτο. Θεράποντας μὲν γὰρ Θεοῦ τε καὶ ἑαυτοῦ ἐξευρίσκων ἡμᾶς κήδεται· καὶ καθάπου καὶ μήτηρ ἀμφιπονουμένη ποθητὸν βρεφύλλιον, τὰς ἀναιδεῖς μυῖας ἀποσοβεῖ, ὡς ἂν γλυκὺς ὕπνος αὐτὸ ἀμφιχέοιτο, οὕτως αὐτὸς ἀπείργει πάντα δεινὰ, καὶ αὐτὰ τὰ σμικρότατα, ὡς ἂν ἡδέως αὐτοὶ καθευδωμεν. Καὶ πάντα πορίζει, τά τε ἐξ ἀέρος, τά τε ἐκ γῆς, τά τε ἐκ θαλάττης καλά· περιποιεῖται δὲ καὶ σώμασι καὶ ψυχαῖς τὸ ὑγιές. Ἑτέρως δὲ βλέπων ἐκπίπτοντας, ἢ παραῤῥιπτεῖ πρὸς κάκωσιν, ἢ ἀλλ', ἐπερχομένης αὐτῆς, οὐκ ἀμύνει, ἀλλ' ἐπινυστάζειν δοκεῖ· καὶ ὡς ὑπὸ κουλεῷ τὴν ἀμυντικὴν κρύπτων σπάθην, ὅσα τε ῥᾳδιουργεῖ πόλεμος, ἀφίησι γίνεσθαι, καὶ τὰ ἐξ ἀέρος ἡμῖν ἐπαιγίζοντα δείματα περιορᾷ, καὶ συγχωρεῖ καταράσσεσθαι. Καὶ οὔτε τὴν γῆν εὐλογεῖ, ὡς διδόναι τὰ ἑαυτῆς ἀγαθά· καὶ τὴν θάλασσαν ἢ ἐξαγριαίνει τραχυνομένην, ὡς καὶ κατασπᾷν τοὺς ἐξ ἡμῶν πλωτῆρας βαθὺ χαίνουσαν, ἢ ἀλλὰ ποιεῖ ἄλλως ἁπλοῦσθαι εἰς ἀκεραὲς ἡμῖν, καὶ ὡς εἰπεῖν ἀτρύγετον. Εἰ δὲ καὶ πειρατὰ ταύτην ἀροῦντες καρπίζονται τὰ ἡμέτερα, οὐκ ἂν θείη τις, μὴ καὶ τοῦτο ἀποστροφῆς τῆς καθ' ἡμῶν εἶναι τοῦ μάρτυρος. Ἢ Ἑλισσαῖος μὲν βραχείας τινὸς λύπης ἐκδίκους ἐξεγείρει. . . . . .

52. Attamen, si sic patriam servat pro qua totus est, cavendum ne ad indignationem eum provocemus, a benignitate retrahamus, a pugnando pro nobis abducamus. Est miseratio, est et ira magna, prout alibi dictum est. Exemplum est belli istius os late quondam urbem isti inhians et in vanum apertum; et iterum bellum alterum penitus vastum sic et pulchrum metens urbis agrum, ut nec minimum ei remaneret spicilegium. Illud miseratio, hoc martyris aversio faciet; illud belli societas, hoc desertio. Num inconsulto a victore martyre sive hoc sive illud factum est? Insipiens illud opinaretur. Nos quidem Deo sibique servos esse curat, et sicut mater dilectissimum infantulum sollicite tractans, molestas muscas abigit, ut eum dulcis consopiat somnus, sic ille omnia funesta vel minima amovet ut jucunde requiescamus. Omnia largitur, tum ex aere, tum e terra, tum e mari bona; nobis autem et corporis et animæ sanitatem operatur. Aliter vero degeneres videns, vel in mala projicit, vel malo superveniente auxilium non fert, sed dormire videtur et quasi in vagina vindicem recondens gladium, quando furit bellum sævire sinit aereos jugiter timores, quos in nos irruere permittit. Neque terræ benedicit ut bona sua donet, et mare aut procellosum inhorrescere jubet ut gurgite vasto navigantes absorbeat, aut facit invium nobis reddi et infructuosum et, dicere ausim, sterile. Si vero et piratæ mare transfretantes nostra prædantur, nemo affirmabit non martyris a nobis aversi opus esse. Aut Elisæus brevis mœroris vindices expergefecit...

Desunt multa.

53... ne plura dicamus de quibus alii philosophabuntur, nec secundum nos, quos nullo pretio quis emeret, sed secundum sapientiæ culmen, precibus idoneis et quidem iis qui nuper de martyre locuti sunt paratis, sermoni finem faciamus otiumque nobis demus.

54. O magne victor, Christi martyr, o nulli impar bono quod facere valeat homo veritati testimonium dans; nobili enim genere adeo extolleris ut ad honorem satis sit, tametsi nullo felicitatis genere multum splendescas; pulchritudine vero eximius qua effulgeret quivis tametsi non egregio gloriaretur genere; gravis appares sermonibus qui nobilitatis et corporeæ dignitatis gloriam extollunt, dum nihil sunt quæ his in terris exstant præ hereis sapientiæ bonis; internis et externis sic divitiis abundas, ut nolis multos intus positos ad gloriam internam caput inclinare, sed adorantium numero esse. Omnia martyrii tui pulchritudine obscuras et obsigillas; nunc coram Rege regum Deo stas supremum in optimis donis nactus, et justa poscentibus satisfaciens, regi nostro omne bonum perfice; fac ut barbari sicut scorpiones ipsius manu enecati, ad pedes ejus jaceant; licet lethifera tela jaculentur innumera, lethiferos eorum aculeos frange; si quid forte instillatum est venenatum per ipsorum mortuos per medicamentum vulnera sana, quemadmodum de scorpione fit qui cum mortem pungendo adduxit, si obtritus vulneri imponatur, morbo liberat. Lanceas quas in Romanas sortes immittunt detorquens regis hostium in corda conjice. Sub eorum ruinis, terram quam pedibus calcant occulta, quasi sanguinibus ebriorum maderet. Pacificam vitam populo tuo largire. Potentiam tuam exsuscita neque differas nos salvare. Integra enim in te sunt Dei dona, nec ullo tempore cessaverunt. Igitur nec ipse veneficiens cesses. Deus trinus, cui adstans cum cœlestibus choris dignum cultum perficis, donec in omnibus salutem operatus sit; hunc imitans, sis et ipse nobis semper consuetorum bonorum dator beneficus, nunquam immutatus; ut et sic Deus, quem glorificasti, per ea, quæ pro ipso passus es, magis glorificetur, Deus, cui soli convenit glorificari in sæculorum sæcula. Amen.

νγ'. . . . τες, ἵνα μὴ πλείω λέγωμεν, ἐφ' οἷς ἕτεροι φιλοσοφήσουσι, καὶ οὐδὲ καθ' ἡμᾶς, οὓς τοῦ μηδενὸς ἂν τις πρίαιτο, ἀλλὰ κατὰ σοφίας ὑπερβολήν, εὐχὴν προσφυῆ καὶ αὐτὴν τοῖς ἄρτι περὶ τὸν μάρτυρα λεγομένοις παρεισάμενοι, τόν τε λόγον παύσωμεν, καὶ ὑμᾶς ἀναπαύσωμεν.

νδ'. Ὦ μεγαλόνικε μάρτυς Χριστοῦ, ὦ μηδενί τινι σχάζων τῶν ἀγαθῶν, οἷς ἐνευθηνεῖται ὁ πρὸς ἀλήθειαν ἄνθρωπος· ἀλλὰ γένους μὲν εὐκλείᾳ τοσοῦτον ὑπερθεν ἀναβεβηκώς, ὡς ἀρκεῖν εἰς τιμὴν, κἂν εἰ μηδὲν ἄλλο τῶν ἐν βίῳ ἀγαθῶν εἶχες ἐλλάμπον σοι, κάλλει δὲ ἐπιπρέπων, ὁποῖον ἔχων τις διαφαίνοιτο ἄν, κἂν μὴ γένους αὐχοίη κοσμιότητα· λόγοις δὲ σεμνυνόμενος, οἳ καὶ εὐγενείᾳ καταχαυχῶνται καὶ εὐπρεπείᾳ σωματικῇ, ὡς μηδὲν αὐτὰ εἶναι τὰ κάτω πρὸς τὸ ἐν σοφίᾳ αἰθέριον· τοῖς δὲ περιθέτοις καὶ ἐκτὸς οὕτω καὶ αὐτοῖς περιουσιαζόμενος, ὡς μὴ ἐθέλειν τοὺς πολλοὺς ἔσω παριέναι, καὶ εἰς τὴν ἔνδον προκύπτειν δόξαν, ἀλλὰ τῶν προσκυνίων γίνεσθαι· πάντα δὲ τῷ μαρτυρικῷ καλῷ ἀποκρύψας καὶ ἐπισφραγισάμενος· καὶ νῦν, τῷ πιμβασιλεῖ Θεῷ παρεστὼς, καὶ τὸ ἐν καλοῖς ὕπατον τοῦτο λαχὼν, καὶ τοῖς δίκαια αἰτουμένοις ἐξάγων τὰς δεήσεις εἰς ἐντελὲς, κατάπραξαι ἅπαν ἀγαθὸν τῷ ἡμετέρῳ βασιλεῖ· ποίησον τοὺς βαρβάρους, ὡς σκορπίους τῇ αὐτοῦ νεκρωθέντας χειρὶ, ὑπὸ πόδα τεθῆναι αὐτῷ· κἂν ὧν θανάσιμον ὑπερβλύζωσι, βέλη, ὅσα καὶ κέντρα θανάσιμα, αἴροντες, σὺ αὐτοὺς συντρίψας, εἴ τί που καὶ ἐνετάκη φαρμακῶδες, τοῖς αὐτῶν νεκροῖς, καθὰ καί τισιν ἀντιδόταις τὸ τρωματισθὲν θεράπευσον, ὁποῖόν δή τι καὶ σκορπίος πάσχει, κεντρίσας μέν ποτε εἰς θανάσιμον, οἷς δὲ ἐπιτριβεὶς ἐνεπλάσθη τῷ τραύματι, ἀπαλλάξας τοῦ νοσήματος. Τὰς λόγχας, ἃς ἀπευθύνουσι κατὰ τοῦ Ῥωμαϊκοῦ λάχους, ἀντιστρέψας ταῖς καρδίαις τῶν ἐχθρῶν τοῦ βασιλέως ἔμπηξον. Κρύψον, ἣν πατοῦσι, γῆν ταῖς αὐτῶν ἐρειπίοις, ὡς ἂν μεθυσθείη τοῖς τῶν παροινούντων αἵμασιν. Εἰρηναίαν ζωὴν τῷ λαῷ σου πρυτάνευε. Ἐξέγειρον τὴν δυναστείαν σου· καὶ μήποτε διαλείποις ἐρχόμενος εἰς τὸ σώζειν ἡμᾶς. Ἀμεταμέλητα ἔν σοι τὰ τοῦ Θεοῦ χαρίσματα, καὶ οὐκ ἐλλέλειπται χρόνῳ ποτέ. Οὐκοῦν μηδὲ αὐτὸς ἐγκόψοις εὐεργετῶν. Θεὸς ὁ ἐν Τριάδι, ᾧ παρεστὼς μετὰ τῶν ἀνωτάτω ταγμάτων πληροῖς τὸ πρέπον λειτούργημα, ἕως ἄρτι ἐργάζεται ἅπασι τὰ σωτήρια· ὃν μιμούμενος, εἴης καὶ αὐτὸς ἡμῖν ἀεὶ τὰ συνήθη διαπραττόμενος ἀγαθὰ, ὁ αὐτὸς ὢν ἐν τῷ εὐεργετεῖν, καὶ οὐκ ἀλλοιούμενος· ἵνα καὶ οὕτως ὁ Θεὸς, ὃν ἐδόξασας, οἷς ὑπὲρ αὐτοῦ ἔπαθες, ἐπὶ πλέον δοξάζοιτο, πρέπων ὢν μόνος δοξάζεσθαι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

EJUSDEM

AD STYLITAM QUEMDAM THESSALONICENSEM.

Τοῦ αὐτοῦ εἰς τὸν ὑπερλίαν σπουδάζοντα διὰ στύλου ἐν Θεσσαλονίκῃ ἀναχωρῆναι περί που τὸ ἑῷον παραθαλάσσιον. Εἴθε δὲ ἦν ἐκείνῳ καὶ αἰσθέσθαι σαφῶς τῶν λεγομένων. Οὐ γὰρ ἂν ἀνέβη ἐκεῖ ὁ ἄνθρωπος, ὄκνῳ καὶ ἄλλως, ὡς ἐῴκει, τὴν ἀνάβασιν.

Ejusdem in quemdam supra modum id agentem ut per columnam Thessalonicæ illustris appareret circa orientalem maris plagam. Et utinam ipsi dicta clare intelligere datum fuisset. Non enim eo homo cum fastidio, ut manifestum est, ascensionem fecisset.

α'. Τὸ ὄνομα ὁ « στύλος » δηλοῦν μὲν βούλεται σημασίαν, ὁποίαν τινὰ καὶ ἡ « στήλη, » ὅτι καὶ ἀπὸ τοῦ « ἑστηκέναι » ἡ κλῆσις ἀμφοῖν. Ἵσταται δὲ χωρὶς αὐτῆς, εἰ καὶ ἄλλον τρόπον ἐγγύς. « Στήλη » μὲν γὰρ ἕτοιμον ἦν ποτε καὶ γραμμάτων χαράγματα, ὅθεν καὶ « στηλιτεύειν » κεκίνηται· « στύλος » δὲ οὐκ εἰς αὐτὸ ἐξεύρηται, ἀλλ' ἐπὶ πλέον εἰς ὑπέρεισμα. Καὶ αὐτὴ μὲν καὶ « ἀνδριάντι » ἁρμόττει πρὸς κλῆσιν. « Στήλας » γοῦν βασιλέων καὶ « ἀνδριάντας » φαμὲν, ὡς ταὐτὸν ὄν, οὕτως ἢ οὕτως εἰπεῖν. Οὐκ ἂν δὲ « ἀνδριὰς στύλος » λέγοιτο ἄν. Καὶ ἔχει μὲν οὕτω διαφορὰς ἄμφω τὼ ῥήματε, καὶ οὐ μόνον ταύτας, ἀλλὰ καὶ εἴ τις ἑτέρως ἐπιβάλλειν κατά τι ἔργον βούλοιτο· ἡμῖν γὰρ τὸ σχέμμα τοῦτο πάρεργον. Ἔστι μέντοι εὑρέσθαι αὐτὰ καὶ εἰς ταὐτὸν συμβαίνειν δοκοῦντα. Ὁ γοῦν ἐκ τῆς Ἀμασέων γεωγράφος « στήλας » τινὰς καὶ « στυλίδας » λέγων, ἔοικεν εἷς ἓν τι τιθέναι αὐτάς. Εἰ δὲ μὴ κατὰ πᾶσαν ἀνάγκην ὑπερείδειν ὁ « στύλος » ἵσταται, ὡς ὁ « τοῦ πυρὸς στύλος » παραφαίνειν δοκεῖ, ᾧπερ οὐδὲν ἐπέκειτο βασταζόμενον, ἀλλὰ τοῦτο μὲν τέτραπται, καὶ οὐκ ἔστιν ὁ « πύρινος στύλος » ῥῆμα πρωτόθετον. Φαίνεται δὲ μάλιστα κατὰ κυρίαν λέξιν « στύλος » ἀνεστηκέναι εἰς ἔδραίωμα, καὶ ὑπερκειμένου τινὸς ὑποβεβλῆσθαι στήριγμα. Εἰ δὲ τοῦτο, αὐτὸς μὲν οὐκ ἂν εἴη τέλος αὐτόχρημα· μᾶλλον γὰρ ἡ « στήλη » τοιαύτη. Αὐτὸ δὲ μάλιστα τὸ ἐπὶ τῷ « στύλῳ » κείμενον σκεπτιμώτερόν ἐστι, εἴτε οἴκημα ἐκεῖνο εἴη, εἴτε καί τι ἕτερον.

1. Vox στύλος signum denotat, sicut et στήλη, quia ab ἑστηκέναι utrumque. Absque illa vero stat, licet alio modo proximus. Nam στήλη ad litterarum sculpturam parata est, unde vox στηλιτεύειν derivata est; στύλος autem non in eum finem inventa est, sed potius pro fulcimento; et στήλη cum ἀνδριάντος nomine convenit. Regum ergo columnas et statuas pariter dicemus. Nunquam vero ἀνδριὰς dicitur στύλος. Sic differunt duo nomina, nec tantum sic, sed et si quis aliter rem comprehendere volverit; nobis enim ea res secundario loco est. Ista in idem concordare visa sunt. Geographus Amasenus στήλας et στυλίδας nuncupans idem de utrisque intelligere videtur. Si vero non necessario sustentat, στύλος fere ignis columnam manifestare videtur, cui nihil sustentandum est, sed tropus est, nec primarium verbum est *ignea columna*. Apparet præsertim sensu proprio columna in altum erecta in sedem et substrata ad aliquid fulciendum. Si eo sensu accipiendum, non esset ad finem aliquem tendens, sed potius esset στήλη. Quod autem præsertim στύλῳ impositum est, magis ad nos spectat, sive habitaculum, sive aliud quid sit.

β'. « Στύλου » τοίνυν καὶ τοῦ πρὸ ὀφθαλμῶν τούτου κατονομαζομένου, θεωρητέον, ὅταν τε χάριν αὐτὸς περίοπτος ὄρθωται, καὶ τί δὲ καὶ ὁποῖόν τι τὸ ἀνεχόμενον, εἶτ' οὖν ἐδραιούμενόν τε καὶ στερεούμενον. Ὡς μὲν οὖν ἄνθρωπος ὁ βασταζόμενος, καὶ ὅτι Ναζιραῖον ὁ « στύλος » οὗτος ἀνέχειν τέτακται, ὁρῶμεν δήπουθεν ἅπαντες, καὶ ὡμολόγηται· δῆλον δὲ καὶ, τίνος ἀνδρὸς ἕνεκα εἰς ὄρθιον ὕψωται. Ἀλλ' ἐγὼ οὐκ ἐνταῦθα θέας περατωθῆναι τὴν ὅρασιν βούλομαι, ἀλλ' ὑπερεκταθῆναι καὶ εἰς διόρασιν. Αὕτη δὲ ἡμῖν ἔσται, εἰ τὸ ὁρώμενον ὁρισόμεθα θεωρητικώτερον. Οὕτω γὰρ κατὰ ὑψηλοτέραν ἐπιβολὴν καταληφθήσεται τὰ ζητούμενα.

2. Columna igitur præ oculis eo nomine designata considerandum, quamobrem ista edito loco erigatur, deinde, cui substrata sit fulciendo atque honorando. Quod quidem homo supra positus et quod Naziræo columna fulcimento constituta est, certe videmus omnes et consentimus; evidens vero et cujus viri gratia erecta stet. Sed ego non spectaculo simplici contentus, ultra in considerationem procedere volo. Quod fiet si quod videmus cum definitione exposuerimus. Sic enim ab editiori loco quæstionem comprehensam exponemus.

γ'. Ἔστιν οὖν ὁ κατὰ θεωρίαν « στύλος κλίμαξ, » εἰς οὐρανὸν ἀνάγειν ἔχουσα τὸν Θεοῦ ἐφιέμενον· καὶ οἱ μὲν ἐπ' αὐτὴν συντεταμένως ἀνατρέχοντες, καὶ ἀπαραποδίστως καὶ ἀμεταστρεπτὶ ἀναβαίνοντες, εὐστόχως ἂν Θεοῦ ἄγγελοι ἐπιλέγοιντο. Οἱ δέ γε καταβαίνοντες ἀπ' αὐτῆς ἐφαμάρτως, ὧν πόρρω

3. Est ergo in theoria columna scala advehens in cœlum eum qui Deum amplectitur, et qui super ipsam jugiter ascendunt atque irretorto oculo, nec unquam retrospicientes optime Dei angeli vocantur. Qui vero deorsum peccaminose descendunt aliter quam qui secundum Deum vivunt,

nunquam tales, sed ut Simon in caput prolabuntur, sicut Lucifer præcipites cadunt. Talis ergo scala ista columna est arduum boni fastigium, et qui per ipsam sursum progrediuntur multis nisibus ad virtutis fastigium veniunt, quasi abrupto vitæ duræ itinere et difficilibus aditibus dirempto; deorsum vero ex ipsa in præceps voluntati, inter quos eorum qui altissimo Deo adhærent nullus projicitur, lapsu gravi in tartari abyssum ruunt.

A εἶεν οἱ κατὰ Θεὸν, οὐκέτι τοιοῦτοι, ἀλλ' οἷον καὶ κατὰ Σίμωνα κατωκάρα στρέφονται, καὶ τὸ χεῖρον ὡς εἰς ἐωσφόρον καταῤῥιπτούμενον τάττονται. Τοιαύτη τε οὖν κλίμαξ ὁ τοιοῦτος « στύλος, » καὶ ἄκρα δὲ κορυφὴ ἀγαθοῦ. Καὶ οἱ ἐπ' αὐτὴν ἀνιέναι μελετήσαντες ἀναῤῥιχῶνται εἰς τὸ τῆς ἀρετῆς ἄκρον, ὡς διὰ τραχείας ὁδοῦ τῆς ἐν βίῳ σκληρῷ, καὶ ἧς πολὺ τὸ ἀνάντες· οἱ δ' αὖ κατακυλιόμενοι ἐξ αὐτῆς, οἷς μηδεὶς συγκαταβαίη τῶν ὅσοι τῷ ὑψίστῳ Θεῷ ἐπιγράφονται, εὐπετῶς εἰς ταρτάρου χάσμα κατολισθαίνουσιν.

4. Mons quoque columna ista, unde venit auxilium a Deo illi qui eo oculos erigit, in qua ut super monte aliquo cum patriarcha filium immolat suum purus, qui sic suavia Deo afferre dignus est habitus.

δ'. « Ὄρος » καὶ ὁ « στύλος » οὗτος, ὅθεν ἡ θεόθεν ἥκει βοήθεια τῷ ἐκεῖσε τοὺς ὀφθαλμοὺς αἴροντι, ἐν ᾧ καὶ ὡς ἐν ἑνὶ τῶν ὀρέων θυσιάζει πατριαρχικῶς τὸν ἐν ἑαυτῷ παῖδα ὁ καθαρὸς, καὶ ἡξιωμένος οὕτω καλλιερεῖν τῷ Θεῷ. B

5. Conspicitur et isto in monte malus, qui in anima plantatus nunquam hominis navem extra spirituale turriculum circumferri et jactari sinet, quandiu aut faventibus, aut adversis ventis per vitæ mare navigat.

ε'. Θεωρεῖται καί τις « ἰστὸς » ἐπὶ τοῦ τοιούτου ὄρους, ὃς ἐναποληφθείς ποτε εἰς ψυχὴν, οὐκ ἂν τὸ κατ' ἄνθρωπον σκάφος ὠφελείας ἔξω ἀφήσει φέρεσθαι, καὶ ὅποι τύχοι πλάζεσθαι, ὅτε τὸν ἑαυτοῦ τρόπον ἐξ οὐρίων ἢ καὶ ἄλλως τὴν τοῦ βίου διαθέει θάλασσαν.

6. Tumulus iste virtutis signum habet, cujus ex adverso qui stant nunquam a pietate declinabunt; qui, si errans a recta secundum rationem via declinaverit, aut deors alto depressus fuerit, non erit sicut montes et colles quæ secundum Scripturam humiliantur.

ς'. « Βουνὸς » οὗτος, τὴν τῆς ἀρετῆς ἔχων σημαίαν, ἣν οὐκ ἔσθ' ὅπως οὐκ εὐλαβηθήσονται οἱ ἀντικείμενοι· ὃς, εἰ πλαγιάσας παρεγκλιθείη τοῦ κατὰ λόγον ὀρθίου, ἢ καὶ συνιζήσας ὑποκαταβαίη τοῦ ὕψους, οὐκ ἂν διαφέροι ὀρέων τε καὶ βουνῶν, ἃ ταπεινοῦνται καὶ κατὰ τὴν Γραφήν.

7. Gazophylacium columna illa in supernis tuto ædificatum et ab infimis segregatum, nec insidiis C et loco accessum, in quo spiritualis thesaurus reconditur, virtus, cujus pretium omnia superat; qui apud Deum coacervatur, secundum Scripturam, et in illius thesauris obsigillatur.

ζ'. « Γαζοφυλάκιον ὁ στύλος » οὗτος, ὑπερανῳκισμένον ἀσφαλῶς καὶ ἀνακεχωρηκὸς τῶν κάτω, καὶ οὐκ εὐεπιβούλευτον, ἔνθα ὁ κατὰ πνεῦμα θησαυρὸς ταμιεύεται, ἡ ἀρετὴ, ἧς οὐκ ἄξιον ἅπαν τίμιον· ὃς δὴ καὶ συνῆκται παρὰ τῷ Θεῷ κατὰ τὸν εἰπόντα, καὶ ἐσφράγισται ἐν τοῖς αὐτοῦ θησαυροῖς.

8. Nidum videmus, in quo cibis pascuntur apostolicis viri aerii, desuper volantes, et multis passeribus cantu salutari meliores.

η'. « Νοσσιὰ » τὸ βλεπόμενον τοῦτο, ἐν ᾗ ἐκτρέφονται ἀποστολικῶς οἱ ἀεροβάμονες, καὶ εἰς τὰ ἄνω πτητικοὶ, καὶ πολλῶν στρουθίων κατὰ τὴν σωτηριώδη φωνὴν διαφέροντες.

9. Turris fortitudinis ista coram inimico fortissimo, qui bellicas machinas contra tales adducit ad ruinam. Sit hæc turris ex veritatis angularibus composita et in virtutem stabilita fiat elephantina turris, qua delectatur qui divina amat, non sane ut in turri Chalane moriatur frustra contra cœlum ædificata, nec ut fiat in elevationem illius D qui neglecta mortis meditatione superbus, deinde in mortem transiit.

θ'. « Πύργος οὗτος ἰσχύος » ἀπὸ προσώπου ἐχθροῦ, τοῦ δεινοῦ πολεμιστοῦ, ὃς μηχανώμενος ἐλεπόλεις τοῖς τοιούτοις ἐπάγει πρὸς ὄλεθρον πυργηρούμενος. Γένοιτο δὲ πύργον ἰσχύος εἶναι τοῦτον, ἐξ ἀκρογώνων ἀληθείας συγκροτηθέντα εἰς τὸ στερρὸν, καὶ συντετελεσμένον εἰς ἀρετήν· εἴτε καὶ « βάριν ἐλεφαντίνην, » ἐξ οἵων εὐφραίνεται ὁ τὰ θεῖα φιλόκαλος· οὐ μὴν εἰς πύργον ἀποτελευτηθῆναι « χαλάνης, » μάτην τεθεμελιωμένον κατὰ τοῦ οὐρανοῦ, μηδὲ γενέσθαι κατὰ τὸ ὕψωμα τοῦ φαύλως « τὴν φιλοσοφίαν θανάτου μελέτην » παρακηκοότος, ὃς ἑαυτὸν ὑψώσας, εἶτα εἰς θάνατον κατεπήδησεν.

10. Non solum turris fortitudinis et locus refugii salutaris columna illa, sed et urbs munita, nec solum super montem sita, quæ omnium patens oculis abscondi non potest, sed et ad cœlum pertingens pro altitudine qua eminet, ita ut vocare liceat cœlicolam eum qui super ea habitat.

ι'. Οὐ μόνον δὲ « πύργος ἰσχύος » καὶ « κρησφύγετόν » τι σωτήριον ὁ « στύλος » οὗτος, ἀλλὰ καὶ « πόλις ὀχυρὰ, » καὶ αὕτη οὐ μόνον ἐπάνω ὄρους κειμένη, καὶ οἷα μὴ ἔχειν κρύπτεσθαι διὰ τὸ ἄποπτον, ἀλλὰ καὶ οὐρανομήκης διὰ τὸ κατ' αὐτὴν θεωρούμενον ὕψος, ὡς εἶναι προσφυὲς εἰπεῖν καὶ οὐρανοπολίτην τὸν περὶ αὐτὴν εἰλούμενον.

11. Si ob verborum significationis affinitatem, in idem adducimus στήλη et στύλος, fortitudinis statua recte dicitur qui super columna ista stat.

ια'. Εἰ καὶ διὰ τὸ ἐν σημασίᾳ συγγενὲς τῶν ῥημάτων εἰς ταυτὸν τῇ « στήλῃ » τὸν « στύλον » τοῦτον ἀγάγωμεν, ῥηθείη ἂν καὶ « καρτερίας ἀνδριὰς » ὁ ἐπὶ « στήλης » ταύτης φερόμενος

ιβ'. « Τόπος » τις « ὁ στύλος » οὗτος « πυρσοῦ » A τοῖς ἐν ζάλῃ πλέουσι τελεφανής, φῶς ἔσω φέρων τὸν μετὰ τοῦ Δαυὶδ ψάλλοντα, λύχνον τοῖς ποσὶν αὐτοῦ τὸν θεῖον εἶναι νόμον, καὶ φῶς ταῖς τρίβοις αὐτοῦ, καὶ τῷ Πατρὶ τῶν φώτων ἐγγίζοντα, καὶ φωτὶ τῷ ἐκ φύσεως τὸ ἐκεῖθεν προσλαμβάνοντα φῶς.

ιγ'. Ἀναῤῥιπίζων δέ τις ἐνταῦθα τὸ τοῦ νοήματος ζώπυρον, καὶ προσανάπτων τὴν φωτοφάνειαν, καὶ « στύλον πυρὸς » τοῦτον τηλαυγῆ προσερεῖ « στύλον » διὰ τὸ ὑψηλόν· « πυρσὸν » διὰ τὸ εἰς Θεὸν λειτουργικὸν τοῦ ἐν αὐτῷ στεγομένου πνευματικοῦ ἀνδρός· καὶ χορηγεῖ τὴν ὕλην τοῦ νοήματος ὁ Δαυίδ.

ιδ'. Εἰ δὲ προσεπαυξάνων τὸ « στυλιτικὸν » φῶς καὶ εἰς ἥλιον ἀναγάγῃ τις, ἐν ᾧ τίθησι τὸ ἑαυτοῦ σκήνωμα ὁ Ὕψιστος ἐνοικῶν αὐτῷ καὶ ἐμπεριπατῶν, τότε δὴ καὶ εἰς « ἡλίου οἶκον » θήσει τὸν « στύλον » τοῦτον σεμνότερον, ἢπερ ὁ τὰ τῆς μαθήσεως φιλοσοφῶν ὑποτίθησι τὸν αἰσθητὸν θεωρῶν ἥλιον· ὃς δὴ ὁ καθ' ἡμᾶς οὗτος ἥλιος ἄδυτος μὲν οὐδ' αὐτὸς ἔσται, ἀλλὰ γνώσεταί ποτε τὴν δύσιν αὐτοῦ. Φωσφορήσει δὲ ἄλλως οὐ κατὰ τὸν πρὸς αἴσθησιν ἥλιον, ἀλλὰ καὶ ἄνω φερόμενος ὑπὲρ γῆς λάμψει τῷ τῶν ἔργων φωτὶ εὐαγγελικῶς ἔμπροσθεν τῶν ἀνθρώπων φανότατα· καὶ ὑπὸ γῆν δὲ τῷ φαινομένῳ δίσκῳ δύσας, καὶ τῷ τάφῳ κατασκιασθείς, τὰς τῶν ἀγαθουργιῶν ἀκτῖνας ἀφήσει περιλάμπειν οὐδὲν ἧττον τὴν γῆν, ἵνα τούτῳ τῷ τρόπῳ ἀπελάσας τὴν τῆς λήθης νύκτα, φῶς ἀγαθῆς μνημοσύνης αἰθριάζῃ αἰώνιον, ὅ τι καὶ φῶς δικαίοις διαπαντὸς, καὶ ἀδιάδοχον ταύτην ἡμέραν ποιῇ τῆς ἐκεῖ αἰωνιζούσης ἀντίμιμον, δεικνύων καὶ οὕτω· ἡμέρας εἶναι υἱὸς καὶ φωτός.

ιε'. Οὐ μόνον δὲ τοιοῦτος οἶκος « ὁ στύλος » οὗτος, C ἀλλὰ τὸ σεμνότατον καὶ οἶκος « τοῦ τῆς δικαιοσύνης ἡλίου, » Θεοῦ, ὅτι καὶ « προσευχῆς οἶκος· » ὡς, εἴγε μὴ τοῦτο, σπήλαιον ἂν τινος εἴη ψυχοληστοῦ, ἢ τρώγλη ἀσπίδος, ἢ δράκοντος φωλεός· ὥσπερ καὶ φερέοικον μὲν εἰς τὸ πᾶν περιέχοι ἂν ἔνδον, ἐὰν ὑγρότερον διαβιοῖ ἐκεῖνος, μάργαρον δὲ, ἐὰν στεγανώτερον διατεθειμένος, καὶ εἰς φωτοφανὲς διεσκευασμένος, καθάπερ ἐν ἐλύτρῳ τούτῳ περιέχοιτο.

ις'. Εἰ δὲ εἰς τοιούτους τιμίους οἴκους ταχτέον τὸν « στύλον, » οὐκ ἂν φανείη ἀπᾷδον, ἀλλὰ καὶ μίλα σύμφωνον, καὶ « ἁπασῶν ἀρετῶν τῶν θειοτέρων » προσειπεῖν αὐτὸν « οἰκήτορα· » ἔνθα εὔθετον φάναι, καὶ ὡς οὗτος μὲν εἶα καὶ εἴς τι μονώροφον λογισθήσεται σκήνωμα, ὁ δὲ ἐπ' αὐτῷ δεύτερος ὄροφος λεχθείη ἂν ὁ ὑπὲρ πάντα ὄροφον οὐρανὸς, εἰς ὃν ἐντεῦθεν ὁ ἀσκητὴς ἀναβαίνει, ἀπὸ δόξης μεταβαίνων εἰς δόξαν, ἐφ' ὃν καὶ ὁ Κύριος ὑψοῦσθαι ψάλλεται, οὗ δόξα ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ μακάριος ὁ τοιούτους οἴκους ἐπιζητῶν, καὶ μὴ τοὺς κάτω καὶ πεδινοὺς, οἵπερ, ὅσῳ ἂν ἐπαρθῶσιν ὑψούμενοι, ἐς τόσον τὸ ἐν ἡμῖν ἐλέγχουσι ταπεινόν. Ἀεὶ γὰρ ὑπερκορυφοῦνται ἡμῶν· καὶ ἔστιν εἰπεῖν, ὡς ἀνάβασις πᾶσα οἰκοδομῆς ὑπερήφανος, καὶ ὀρόφωσις ἡ ἐκ τῶν τῆς γῆς, οὐδὲν ἀλλ' ἢ καθείρξεις τεχνῶνται τινας καὶ οἷον ἐνταφιασμοὺς, ἄλλως ἐπονομαζομένους εὐφημότερον εἰς οἴκους καὶ προδόμους καὶ δόμους καὶ μέγαρα καὶ τοιαύτην πολυωνυμίαν περίεργον· ἃ δή τις πάντα συνελὼν, εὐστοχώτερον ζώντων τάφους

12. Columna ista flammam longe navigantibus in mari præbet, lumen intus ferens, eum qui cum David psallit : Lucernam pedibus ejus, legem divinam et lumen semitis ejus ; et Patri luminum appropinquantem et lumini quod e natura habet lumen a Deo sibi adjungentem.

13. Inde excitans aliquis cogitationis ignes cinere obrutos et illuminans columnam ignis de longinquo refulgentem dicet στύλον ob elevationem ; ignem vero ad signum ob publicam ad Deum orationem ejus qui ibi includitur spiritalis viri ; et meditationis materiam præbet David.

14. Si vero auctum quis columnæ lumen in solem adducat eo ubi tabernaculum suum posuit Altissimus, inhabitans, tunc et solis domum reputabit B columnam illam venerabiliorem quam sensibilem solem quem discipulus philosophiæ studens inferiorem æstimat : siquidem sol noster inaccessibilis non erit, sed occasum cognoscet. Non vero lucem sparget secundum sensibilem solem, sed sursum e terra exaltatus operum splendore per evangelicum lumen coram hominibus lucente, et sub terra solis radiantis more occidit, in tumulo sepultus bonorum operum radios non minus quam vivens rutilantes emittet, ut hoc modo oblivionis nocte fugata bonæ recordationis lucem spargat æternam, quæ lux iis qui vere sunt justi, diem illam faciat in æterni diei imitationem, seque et diei et lucis filium ostendens.

15. Non solum vero talis domus columna illa, sed quod majus, justitiæ solis, Dei, quia et orationis domus ; sin minus, diaboli ipsius esset antrum aut aspidis spelunca, aut draconis latibulum ; ita ut limacis domum bajulantis more intus ad omne adhæreat, si humorem vitæ ille hauserit ; margaritæ vero more, si arctius et ad fulgorem late spargendum dispositus ibi includatur.

16. Si vero in venerabilium domorum atriis statuenda sit columna, non apparebit dissona, sed maxime consona, et omnium virtutum divinarum dicemus sociam ; et bene illa tabernaculum unico tecto consistens reputabitur, secundum super ipsam vero tectum cœlum dicetur excelsum, ad quod asceta ascensionem facit de gloria in gloriam transiens, in D quo exaltari Deus psallitur, cujus gloria super omnem terram. Et beatus qui tales domos quærit, nec inferiores et terrestres, quæ quanto altius elevantur tanto humilitatem nostram magis exprobrant. Semper enim supra nos ascendunt, et dicere licet quod in altum constructio omnis ædificationis magnifica fastigiumque ubique terrarum nihil aliud sunt quam carceres et sepulturæ, lenioribus appellatæ nominibus ut porticuum, palatiorum et fastuosis vocabulis ; quæ omnia complectens melius vivorum tumulos vocarit aliquis secundam Scripturam dicentem : Domus eorum sepulchra eorum ; nec in perpetuum, sed pro tempore ut plurimum breui

enim qualis futuram juxta firmam spem remunerationem metiebantur. Qui contra incorporeos spiritus fortem se gessit et pro immaterialibus se exercuerat, carni et sanguini parcere nescivit. Voluit martyr totum adeo lanceis firmari corpus, ut per totum Christi stigmata portaret; quia vero non accidit, propter Dominicam imitationem de laterum punctionibus gaudebat, gratumque ducebat si discipulus secundum magistrum, et secundum Dominum servus fieret. Gratiam se debere fatebatur monenti Nestori et tyrannicam iram magis incendenti et reditum ad Deum acceleranti. A quo magisterii pretium grato animo lanceis metiebatur gratias : disciplinæ remunerationem plagarum numero acceptam retulit. Si vero moriebatur, firmiter perseverans, erat ei bonorum caput. Omnino optabat servum Lupum, non de servitio in vita erubescere, sed animæ salutaria conservare consilia. Et desiderium adeptus est, et secutus est sicut et ille initiatorem Nestorem, ut dominum servus, ita ut non morientes, sed potius in novam et sempiternam vitam vitam ordinati, invicem relinquerent, sed in paradiso una habitantes pulchram conditionem non respuerent inter discipulum et magistrum, inter servitium et dominantem non erubescerent; imo ut discerent qui mentem ad divina applicant, sapientem virum non socios sibi adjungere dissimiles aut aliter illos ad amicitiam allicere. Demetrio ergo in Deo amici erant et Nestor et servus Lupus, itaque idem ad Deum curriculum percurrentes stadium victores absolverunt, cujus finis vita in paradiso consociata.

A χαι τὸν ἀθλητὴν, τοῦ μαρτυρικοῦ καταναιδευόμεναι αἵματος. Ἀντεμέτρει γὰρ ταῖς ὀδύναις τὴν ἐν σταθεραῖς ἐλπίσιν ἀπόλαυσιν. Ὁ κατὰ πνευμάτων ἀσάρκων ἀνδρισάμενος, καὶ ὡς εἰς ἄϋλίαν ἐκπονησάμενος ἑαυτὸν, οὐκ εἶχε σαρκὸς καὶ αἵματος φείδεσθαι. Ἤθελεν ὁ μάρτυς καὶ τὸ πᾶν σῶμα πυκασθῆναι λόγχαις τοιαύταις, ὡς ἂν διόλου φέροι τὰ τοῦ Χριστοῦ στίγματα· ὅτι δὲ οὐκ ἐγίνετο, ἔχαιρε τῷ δεσποτικῷ μιμήματι τοῖς κατὰ πλευρᾶς νύγμασι, καὶ ἀγαπητὸν ἔλεγεν, εἰ ὁ μαθητὴς κατὰ τὸν διδάσκαλον, καὶ ὁ οἰκέτης κατὰ τὸν δεσπότην γένηται. Χάριν ὡμολόγει τῷ καταμεμηνυκότι Νέστορι, καὶ τὸν τυραννικὸν εἰς πλέον θυμὸν ὑπανάψαντι, καὶ ταχύναντι τὴν εἰς Θεὸν ἀνάλυσιν. Καὶ διδακτρα ταῦτα πρὸς ἐκείνου λαβεῖν ἀνθωμολογεῖτο πολλοῦ ἄξια. B Ἐμέτρει ταῖς λόγχαις τὰς χάριτας· ἠρίθμει τὰς τῆς μαθήσεως ἀμοιβὰς ταῖς πληγαῖς. Εἰ δὲ καὶ θάνοι, καρτερώτατα ἐπιμείνας, ἀλλὰ τοῦτ' ἦν αὐτῷ τῶν ἀγαθῶν τὸ κεφάλαιον. Ηὔξατο πάντως, καὶ τὸν δοῦλον Λοῦπον μὴ καταισχῦναι τὰ ἐν βίῳ δουλεύματα, ἀλλὰ σωστικὰ ψυχῆς ἀναλαβέσθαι βουλεύματα. Καὶ συνεπεράνθη καὶ ἐνταῦθα τὰ τῆς εὐχῆς, καὶ ἠκολούθηκεν, ὥσπερ αὐτὸς τῷ μύστῃ Νέστορι, οὕτω καὶ ἐκεῖνος τῷ δεσπόζοντι· ὡς ἂν μηδὲ θανόντες, μᾶλλον μὲν οὖν εἰς καινοτέραν μεταταξάμενοι ζωὴν καὶ ἀπέραντον, ἀλλήλων λείποιντο, ἀλλ' ἐν παραδείσου συσκηνωσάμενοι τόπῳ τὴν καλὴν σχέσιν μὴ καταισχύναιεν, τὴν τῆς μαθητείας ὁ διδασκόμενος, τὴν τῆς δουλείας ὁ δεσποζόμενος· καὶ μάθοιεν καὶ C ἐντεῦθεν οἱ τὸν νοῦν πρὸς τοῖς θείοις ἔχοντες, ὅτι σπουδαῖος ἀνὴρ οὐκ ἂν τοὺς ἀνομοίους προσεταιρίζοιτο, ἢ ἄλλως ἄχοι ἂν πρὸς οἰκείωσιν. Δημητρίῳ γοῦν θεοφιλεῖς ἦσαν καὶ ὁ ἑταῖρος Νέστωρ καὶ ὁ δοῦλος Λοῦπος, διὸ καὶ ταυτὸν πέρας αὐτοῖς ἐξέβη τοῦ κατὰ Θεὸν δρόμου, τὸ στάδιον νικητικῶς ἐξανύσασιν, οὗ κατάντημα ἡ ἐν παραδείσῳ συμβίωσις.

40. Si vero prodigiis discipulum et servum præstabat athleta, abundantia in vita omnium bonorum, sic et post martyrium miraculorum caro honorata est et sanguis cui incrementum post externa nutrimenta abunde datum est, regnum Dei non hæreditabunt. Caro autem martyrio laniata propter Deum, et sanguis aquæ instar ipsis ex ossibus effusus; ut cum Psalmista dicam, ipsa et beata hæreditate potiebantur, et nobis, juxta fidem dico, quotquot in acta martyris animo incumbimus, simile procreant D bonum. Quomodo autem non tardavit martyris caro ut terra fertilis et electa quæ boni germinis semen accepit, sulcante apostolicorum documentorum aratro, abundanter vero manante ex ipsa sudore et sanguine irrigata, et his ambobus propter Deum, et frequentium lancearum infixionibus culta, tanquam vegetus et luxuriantibus undique segetibus ager, quomodo non tardavit, inquam, fructum nobis salutem metere volentibus afferre, siquidem et chlamys super sanctum corpus illud expansa, et gratiæ quæ ab eo defluit particeps, possidentibus sanctificatio fit?

μ'. Εἰ δὲ πλεονεκτεῖ τόν τε μαθητὴν τόν τε οἰκέτην τοῖς τεραστίοις ὁ ἀθλητὴς, φθόνος ἐν ζωῇ τῶν ὅλων ἀγαθῶν, οὕτω καὶ τῶν μετὰ μαρτυρίαν θαυμάτων ἔχοντος. Σὰρξ τημελουμένη καὶ αἷμα πληθυνόμενον ταῖς ἔξωθεν διατροφῶν ἐπιῤῥοαῖς οὐκ ἂν κληρονομήσωσι βασιλείαν Θεοῦ. Σὰρξ δὲ αὕτη μαρτυρικὴ σπαραχθεῖσα διὰ Θεὸν, καὶ αἷμα τοῦτο ὡσεὶ ὕδωρ αὐτοῖς ὀστοῖς διεκχυθὲν, ψαλμικῶς εἰπεῖν, αὐτά τε τῆς μακαριστῆς κληρονομίας ἔτυχον, καὶ ἡμῖν, παροιβότως λέγω, τοῖς ὅσοι τὰ τοῦ μάρτυρος ἀμφιπονούμεθα, τὸ ὅμοιον καταπράττονται ἀγαθόν. Πῶς δὲ οὐκ ἔμελλεν ἡ μαρτυρικὴ σὰρξ οἷά τις γῆ πίων καὶ ἐκλεκτὴ, τὴν μὲν τοῦ ἀγαθοῦ σπέρματος ἤδη καταβολὴν δεδεγμένη, ἀρότρου ἀνασχίσαντος τοῦ τῶν ἀποστολικῶν διδασκαλιῶν, ἀρδευθεῖσα δὲ πλησμίῳ τῷ ἐξ αὐτῆς ἱδρῶτι καὶ αἵματι, καὶ ἀμφοῖν ὑπὲρ Θεοῦ, τῇ δὲ τῶν συχνῶν δοράτων ἐμπήξει σχηματισθεῖσα ὡς εἰς δασὺ καὶ φρίσσον ἀδρυῖς ἀναδρομαῖς ἀσταχύων λήϊον, καρποφορεῖν ἡμῖν σωτήριον συγκομισμὸν τοῖς δρέπεσθαι θέλουσιν, ὅπου καὶ χλαμὺς τοῦ ἁγίου ἐκείνου καταπετασθεῖσα σώματος, καὶ τῆς ἐκεῖθεν μετασχοῦσα χάριτος, τοῖς προσερχομένοις ἁγίασμα γίνεται;

41. Annulus athletæ manum ornans, ejusdem

μα'. Καὶ δακτύλιος δὲ, ὁ τὴν ἀθλητικὴν κοσμήσας

χεῖρα, τῆς αὐτῆς ἠὐμοίρηκε χάριτος, ὃς ἔχει καὶ αὐτὸς εἰς θαῦμα τὸν ἀκροατὴν ἐφιστᾷν, πολλὰ παρασημαινόμενον ἐν αὐτῷ· ἓν μὲν, ὅτι σύμβολον ἦν τοῦ χαίρειν τὸν ἀθλητὴν, ἐφ' οἷς πάσχων συνεμαρτύρει τῷ καὶ μεγίστῳ καὶ πρωτίστῳ τῆς ἀληθείας μάρτυρι. Ἀμέλει οὐδὲ ἐν αὐτοῖς τοῖς ἄβλοις τὸν τῆς χειρὸς κόσμον ῥίψας ἀπέθετο, ἀλλὰ τῇ ἐκτὸς χαρμονῇ τὴν ἐντὸς προέφαινε. Καὶ ἐχρῆν οὕτως ἑαυτὸν διαθέσθαι τὸν ἐφ' οἷς οἱ πολλοὶ μεταπίπτουσιν αὐτὸν ἀκατάσειστον μένοντα. Εἰ γὰρ πολλοῖς τῶν ἀνέκαθεν, γενναιοψύχων μὲν, ἔξω δὲ θυραυλούντων τῆς καθ' ἡμᾶς ἱερᾶς αὐλῆς, ἤρεσκε γενόμενοις πρὸς αὐτοῖς τοῖς δεινοτάτοις, ὅτε ποτὲ καὶ συνέπεσον, μὴ ὅτι γε δάκρυον κατενεγκεῖν, ἢ παρειὰν ἀμύξαι, ἢ στόμα πρὸς γοερὸν λόγον ἀνοῖξαι, ἢ τὸ ἱλαρὸν ἀμεῖψαι τῆς ὄψεως, ἀλλὰ κοσμηθῆναι, καθάπερ ἐπὶ νυμφῶνος, καὶ καταστῆσαι τὴν ψυχὴν μὲν εἰς καρτερίαν, τὸ σῶμα δὲ εἰς εὐπρέπειαν, καὶ οὕτω παραβληθῆναι τοῖς φοβεροῖς· τῷ παντὶ πλέον ἔδει χαίροντα καθυποδῦναι τὰ παρ' ἀνθρώποις δεινὰ ὑπὲρ Θεοῦ τὸν εἰς τὸ τῆς τρυφῆς χωρίον ἀπαίρειν μέλλοντα. Ἓν μὲν δὴ τοῦτο τοῦ δακτυλίου σεμνὸν, οὐ κατὰ τὸ παίγνιον τοῦ τὸν Γύγην κρύπτοντος ὡς ἐν σκιᾷ, καὶ ἐξαφανίζοντος, καὶ αὖθις ἐκφαίνοντος, ἀλλ' ὥσπερ ἂν δακτύλιος τοιοῦτος αὐτός τε ἐκλάμποι, καὶ μάλιστα οἷς θεόθεν τερατουργεῖν δεδυνάμωται, καὶ τὸν φοροῦντα δὲ προεκφαίνοι τῇ αὐτῇ χάριτι.

μβ'. Συνανεφάνη δ' ἐντεῦθεν καὶ ἕτερον ὅμοιον σέμνωμα. Ψυχὴ γὰρ νυμφευομένη Θεῷ, καὶ ἤδη ἁρμοττομένη αὐτῷ, καὶ τῆς ἐκεῖσε γινομένη παστάδος τῆς ἀκαταλύτου, ἣν ὁ καθαρώτατος μὲν τῶν ψυχῶν νυμφίος ἐπέταξεν, ἄγγελοι δὲ καταπετάσαντες κοσμιώτατα συνεκρότησαν, καλῶς ἂν εἰς σύμβολον ἀῤῥαβῶνος τοῦ κατὰ πνεῦμα τὸ τοιοῦτον φέροι ἂν περιτεθειμένον δακτύλιον. Εἰ δὲ τῷ περιφερεῖ καὶ περιηγμένῳ τοῦ σχήματος καὶ τύπος τις ἦν στεφάνου μαρτυρικοῦ, οὐκ ἂν εἴη οὐδὲ τοῦτο εἰς λόγου χάριν ἀξύμβολον, ὡς ἄξιον ὂν τῷ παντὶ ἐστεφανῶσθαι τὸν μάρτυρα, οὐ τύπος τὸ τοῦ δακτυλίου στεφανοειδές. Εἴποι δ' ἄν τις, ὅτι καὶ σημεῖον αὐτοῖς ὑπέγραφε τῆς ἐν φρουρᾷ περιστολῆς τε τοῦ ἀθλοφόρου καὶ κατασφίγξεως. Τίμιον δὲ τοῦ τοιούτου δακτυλίου καὶ ἡ ὡς εἰκὸς ἐγγεγλυμμένη σφραγὶς καὶ τὸ ἄλλως ἀξιωματικὸν τοῦ φορήματος. Ὑπεδήλου γὰρ καὶ αὐτὰ τὸ μαρτυρικόν τε ἀξίωμα καὶ τὸ τῆς θείας ἐντεῦθεν χάριτος ἀνεπιβούλευτον ἐπισφράγισμα, ἧς οὐκ ἔστι κατακαυχήσασθαι τὸν συλαγωγοῦντα τοὺς τῶν ψυχῶν θησαυρούς. Ἐντεῦθεν ὥσπερ δαιμόνια ἐξελαύνονται, δακτύλῳ μέντοι θείῳ καὶ Θεοῦ δακτύλῳ, οὕτω δὴ καὶ τῷ δακτυλίῳ τούτῳ ῥῦλα αὐτὰ, δυνάμει δηλονότι θείου Πνεύματος.

μγ'. Ὡς δὲ σκεῦος, οὗπερ ἐντὸς ἀγαθόν τι στέγεται, οὐκ ἂν εἴη μὴ μέτοχον εἶναι τῆς εἴτε εὐωδίας ἐκείνου, εἴτε καὶ ἄλλης ἠστινοσοῦν ἀρετῆς, οὕτως οὐδὲ περίβλημα θεῖον, ὅποι ποτὲ μέρους τεθείη σώματος, εἰς ὃ Θεὸς ἐνῴκησεν, ἔχοι ἂν μὴ τῆς τοῦ στεγομένου μετέχειν χάριτος. Οὕτω τὰ ἱερὰ σιμικίνθια χάριτος θειοτέρας πέπλησται· οὕτως ἁγίων πέδιλα τοὺς ἔξω ὑγιείας πλανωμένους, καὶ τριβομένους, περὶ τραχυτέραν βίου ὁδὸν, εἰς τὸ κατὰ φύσιν λεῖον καὶ εὐθὺ ἐπανάγουσι· καὶ βακτηρίαι ἀνδρῶν

particeps fuit gratiæ, et ipse auditorem in sui admirationem trahit, multis in ipso signatis : primum, symbolum erat, indicans, quod gauderet athleta, in quibus perpessus, martyrii cum maximo primoque veritatis teste particeps erat. Sane in prælio manus ornamentum rejiciebat, sed exteriori lætitia intimam ostendebat. Sic ipsum disponi oportebat, in quibus plerique succumbunt, inconcussum. Si enim multis inter illos qui desuper egregium animum sortiti sunt, licet extra sanctam Ecclesiam nostram vivant, multis placuit in terribilissima quando forte delapsi sunt, ne lacrymam unam fundere, aut genam alterare, aut os gementi verbo aperire, aut faciei lætitiam immutare, sed exornari tanquam ad thalamum, et animam in patientia obfirmari, corpus vero in habitus vultusque decore, et sic formidolosis comparari, a fortiori oportebat gaudentem pro Deo in terribilia ab hominibus immitti tormenta eum qui in deliciarum locum jamjam se extolli sperabat. Aliud quidem annuli venerandum signum, non juxta deliramentum annuli Gygem tanquam in umbra occultantis et ex oculis subducentis, et iterum ad lucem reddentis, sed annulus talis illustrat, præsertim eos quibus a Deo prodigia faciendi data est potestas et gestantem eadem gratia ditat.

42. Exinde memorabile aliud apparuit. Sponsata enim Deo anima, jam cum ipso uncta et indissolubilis hic thalami consors effecta quem purissimus animarum sponsus ordinavit, angeli vero ornatissime disposuerunt, optime in arrharum symbolum secundum spiritum tali digitum indutum annulo habet. Quod orbiculata forma et coronæ martyris figuram exhibebat, non forsan absque dignitate in sermone erit, per coronæ speciem annuli id cui quam dignum sit omnimode coronari martyrem. Dixerit aliquis et illo signum angustiarum in carcere et strangulationis inscribi. Egregium vero annuli talis et ut verosimile est insculptum sigillum et alias gestatione dignum. Aperte significabant ista martyris dignitatem et divinæ gratiæ genuinum sigillum, de quo nunquam gloriatur qui animarum thesaurum rapit. Inde tanquam Dei digito, sic annulo isto dæmonicæ catervæ ejiciuntur, digito sane hoc divino, nempe in Spiritus divini virtute.

43. Ut vas in quo bonum quid reconditur, non potest quin tum suavis ejus odoris, tum alius cujuslibet virtutis particeps sit, sic nec potest indumentum divinum, super quamcunque corporis in quo Deus inhabitavit partem appositum fuerit, quin gratiæ particeps sit corporis quod tegebat. Sic sacra semicinctia diviniore gratia repleta sunt; sic sanctorum calceamenta, eos qui longe a sanitate errant et per asperiorem vitæ viam tribulantur, in plana secundum naturam et recta reducunt; et virorum

Deo sanctificatorum virgæ, virtutis virgæ fiunt. Capiti sancto fuit opertorium : quod quidem quæ secundum homines sunt perdidit; quod vero mansit prodigia faciendi abundantiam protegit et servat. Sanctum corpus induit melota; et dum ad Deum ascendit iste, ipsa renovatur, plura quam viventem miracula edens, eo quod pulchrum nequaquam dediscit quod semel didicit. Martyris annulum tollens talis sermo ex athletæ corpore, miraculis abundare facit; ut sicut digitus circumdatus, sic et annulus circumdans communicatione prodigia operetur. Et chlamyda per eadem pulchra ducit, Deo per omnia talia mira facere dante, utpote qui in sanctis suis mirabilis prodigia facit et virtutes multiplicat. Aut quomodo aliter chlamys anima carens energiam contra morbos possideret aut alia operaretur mira; inter alia amnem quem furentem reddidit tempestas, et fluctus ullæ exundantes sedatos placaret, et divisione scinderet ita ut facilem inveniret viam qui hanc in viæ tutamen duxit, siccis calceamentis ultra trajectus?

A ὡσιωμένων Θεῷ οὕτω δυνάμεως ῥάβδοι γίνονται. Κεφαλὴν ὁσίαν ἐκάλυψε σκέπασμα· καὶ αὐτὴ μὲν ἀφῆκε τὰ κατ' ἀνθρώπους, τὸ δὲ παρ' αὐτοῖς μεῖναν τὴν τῆς θαυματουργίας ἀπορροὴν στέγει καὶ συντηρεῖ. Ἀμπέχει σῶμα ὅσιον μηλωτή· καὶ ἐπειδὴ εἰς Θεὸν ἐκεῖνος ἀνέλθοι, αὐτὴ νεανιεύεται, πλείω τοῦ ζῶντος ποιεῖν θαυμάσια, ὡσείπερ τὸ καλὸν οὐκέτι ἀπέμαθεν, ἐπεὶ ἔμαθεν. Ὁ τοιοῦτος λόγος καὶ τὸν τοῦ μάρτυρος δακτύλιον ἀπαγαγὼν τοῦ ἀθλητικοῦ σώματος, πλεονάζειν ποιεῖ ἐν τοῖς θαύμασιν· ἵνα, ὥσπερ δάκτυλος ὁ περικείμενος, οὕτω καὶ δακτύλιος ὁ περὶ αὐτὸν ὡς ἐν μεταδόσει ἐνεργοίη τεράστια. Καὶ τὴν χλαμύδα δὲ διὰ τοῦ αὐτοῦ ἄγει καλοῦ, Θεοῦ πάντως καὶ τὰ τοιαῦτα τερατουργεῖσθαι διδόντος, τοῦ ἐνδοξαζομένου τοῖς ἁγίοις αὐτοῦ, καὶ ποιοῦντος B τέρατα, καὶ δυνάμεις πληθύνοντος. Ἢ πῶς ἄλλως χλαμὺς ἄψυχος τὸ ἐνεργὸν κατὰ παθῶν φέροιτο ἂν ἢ καὶ ἑτέρως ἐργάζοιτο τέρατα, τά τε ἄλλα, καὶ ποταμὸν δὲ ὑβριστὴν, οἷς ὁ χειμὼν αὐτὸν ἐξέμαινε, καὶ πελάγια δὲ πλατυνόμενα πολλῷ τῷ ῥεύματι σωφρονίζουσα, καὶ διχοτομοῦσα εἰς διάστασιν, ὡς ἂν ῥᾳδίαν εὕροι διάβασιν ὁ ταύτην εἰς φυλακτήριον ἐφόδιον φέρων, στεγανοῖς πεδίλοις τῆς ἀντιπέραν γινόμενος;

44. Annulus iste, pretiosæ certe materiæ, per quam lex figuris abundans Deum et divina significanter exprimit, ea et orbiculari forma divinissimarum virtutum indicat coronam quæ athletam redimit quasi coronans, et contractionem angustiasque manifestat quas in vita sustinuit, non extra rationem errans nec dissolutus et intemperate volutus et mollis, sed secum recogitans, astrictus et C seipsum comprimens continensque a dilatatione in deliciis propter voluptatis torrentem, in quo stare nefas aliquem, qui non per arctam Dei viam incessit; quemadmodum nec in Fortunatorum Insulis historiæ commentum constituit illum qui ex Hesperiæ mari non Gadium arcta transmeavit, si per minima maxima obiter elucidare oportet.

μδ'. Ὁ δακτύλιος οὗτος, τιμίας δήπουθεν τυγχάνων ὕλης, δι' ἧς ὁ ἐν τύπῳ νόμος Θεόν τε καὶ τὰ θεῖα συμβολογραφεῖ, ταύτῃ τε καὶ τῷ κυκλοτερῶς ἐσχηματίσθαι τὸν κύκλον καθυπέγραφε τῶν θειοτάτων ἀρετῶν, ὃς τὸν ἀθλητὴν ἐναπέλαβεν, οἷον στεφανωσάμενος, καὶ τὴν συνοχὴν δὲ παρεδήλου καὶ τὸν σφιγμὸν, ὃν διὰ βίου ὑπέμενεν· οὐκ ἔξω λογισμοῦ πλανώμενος, οὐδὲ διακεχυμένος καὶ ῥεμβόμενος ἄνετα καὶ πλαδῶν, ἀλλὰ νοερῶς εἰς ἑαυτὸν στρεφόμενος καὶ ἐστυμμένος καὶ συνθλίβων ἑαυτὸν καὶ στενοχωρῶν τῷ ἐν θρύψει πλατύνεσθαι διὰ τὸν ἐκεῖ πλατυσμὸν τῆς τρυφῆς, ἧς οὐκ ἔστιν ἐντὸς γενέσθαι τινὰ, μὴ διὰ τῆς ἐν Θεῷ στενῆς ὁδεύσαντα· ὡς οὐδὲ Μακάρων Νήσοις ὁ τῆς ἱστορίας λόγος ἐγκαθιστᾷ τὸν ἐκ τῆς ἑσπερίας θαλάσσης μὴ διὰ τῆς Γαδείρων στενωτάτης ἐκπλεύσαντα, εἴ τι χρὴ σμικροτάτοις παραφῆναι τὰ μέγιστα.

45. Nova quidem ista et quæ sudiosorum mirationem cieant. Cum vero et in somniis efficere martyrem quæcunque vivens fecerat contigerit, ampliorem exigit stuporem. Jam non corporis prodigium, aut corporis membri cujusdam a quo virtus exiens mira operatur; sed aliud quid super omnia stupendum. Nec tamen novum, volente Deo, illud. Si enim apostolorum umbræ miracula operabantur, neque hæc per somnia extra tantum prodigiorum modum cadunt (visionum enim diurnarum umbræ sunt quæ per somnia fiunt); si dicere ausim umbras tam divina et adeo firma. Quid enim adeo firmum et constans et probatum et nervosum, quam quod e terra erigere se possit totus homo et multo ferro oneratus, sicut de martyris visionibus fit, prout prius disseminatus sermo docuit, in quibus ille a terra tali visitatione dignos sustollit, aut nubium instar levium volare hi dicentur? Et si non secundum Paulum ad tertium cœlum, sed ad primi

75. Considera mihi maris spumas: nihil sunt, nisi forsitan subtilis cujusdam spiritus repercussio, quæ perlucidum quod apparet ad album adducit; hoc accommoda ad minas in vita eorum qui ad bonum nihil contribuunt; et doce nihil esse illas, sed forsitan spiritum in excelsum ex sufflatione prodeuntem, non habentem unde moveantur constantes et a firmitate vel a proposito decidant.

οε'. Διασκέπτου καὶ τοὺς θαλαττίους ἀφροὺς, μηδὲν ὄντας, ἀλλ' ἢ λεπτοῦ τινος πνεύματος ἐναπόληψιν, ἄγουσαν τὸ ἐπιφαινόμενον διαφανὲς εἰς τὸ ἐνεργείᾳ λευκόν· καὶ συμβίβαζε ταῦτα πρὸς τὰς ἐν βίῳ ἀπειλὰς τῶν οὐκ εἰς ἀγαθὸν δυναμένων· καὶ δίδασκε, μηδὲν αὐτὰς ἀλλ' ἢ πνεῦμα ἐπιπολάζον εἶναι φυσίγναθον, ὡς μὴ ἔχειν παρακινεῖν τοὺς στερεμνίους, καὶ τῆς βεβαίας ἀπάγειν στάσεως ἢ καὶ ἐνστάσεως.

76. Habet etiam piratas sensibile mare, multo plura et vitæ piratarum pericula. Itaque filiolos secundum spiritum tuos rege, aut fugæ viam monstra, aut aliter jam lapsos solvere novissimum quadrantem, et sic extra piratarum molitiones manere vitamque degere placidam.

ος'. Ἔχει καὶ πειρατὰς ἡ κατ' αἴσθησιν θάλασσα, πολλῷ δὲ πλείῳ τὰ βιωτικὰ πειρατήρια. Ῥύθμιζε τοίνυν τοὺς κατὰ πνεῦμά σοι παῖδας, ἢ διαδιδράσκειν αὐτὰ διδοὺς καὶ μεθόδους, ἢ ἀλλ' ἐμπεσόντας ἀποτινύειν καὶ τὸν ἔσχατον κοδράντην, καὶ οὕτω μένειν ἔξω τοῦ πειρᾶσθαι, καὶ βίον ἔλκειν ἡσύχιον.

77. Alit animalia mare quod videmus muta quidem, esculenta vero: quorum alia viriliora creata sunt et audaciora, quorum insidiis alia subjacent. Habet et vita me raptorem et voracem, sed et mutum, nihil justum dicere habentem, impossibilia molientem, et qui in ruinæ ventrem cadentem trahit

οζ'. Τρέφει καὶ ζῶα ἡ βλεπομένη θάλασσα, φωνὴν μὲν μὴ προϊόντα, ἐδώδιμα δέ· καὶ τούτων τὰ μὲν ἀνδρικώτερα πέπλασται καὶ ἐπιθετικὰ, τὰ δὲ εἰς ἐπιβουλὴν τοῖς τοιούτοις ἔκκειται. Ἔχει καὶ ὁ βίος ἐμὲ ἅρπαγα καὶ βορὸν, ἀλλὰ καὶ ἄφωνον, οὐδὲν μὲν εἰδότα λαλεῖν δίκαιον, ἐπεγχαίνοντα δὲ τῷ ἀδυνάτῳ,

καὶ κατασπῶντα εἰς γαστέρα ὀλέθρου τὸν παραπίπτοντα. Ἐκεῖνο ποτὲ καὶ μόνον ὑποφωνοῦντα δαιμόνιόν τι λέληκας, ἐχόμενος ὑπὸ τοῦ πολὺ κρείττονος. Ἀλλὰ καὶ πρὸς ἐμὲ τὰ βελτιοῦντα, ὅτε οὕτω διάκειμαι. Εἰ γὰρ καὶ διδασκάλου τόπον ἐπέχειν ἔλαχον, ἀλλ' οὐκ ἂν ὀκνοίην καὶ διδασκόμενος ὑπὸ σοῦ, ὅτε λέγειν ἔχεις ὡς ὑπὲρ πάντας τοὺς διδάσκοντάς με. Συνῆκα καὶ μαθητὴς γέρων εἶναι, σκωπτόμενος καὶ μηδὲν εἰδὼς, ἀλλὰ τὰ εἰς δικαιοσύνην ἄγροικος, καὶ ὡς εἰπεῖν ἀναλφάβητος.

οη'. Τυραννοῦσι τὴν ὁρατὴν θάλασσαν καὶ θῆρες βδριμοι, τὰ πελώρια κήτη· κἂν ἐκδραμοῦνταί που ὁρμήσαντα, ἐξερημοῦσι τὴν κατατρεχομένην θάλασσαν. Ἔχει καὶ ὁ κατὰ βίον ὠκεανὸς τοὺς αὐτοῦ θῆρας, τὰ βάρβαρα ἔθνη, τὰ πολέμια, τοὺς τῶν αἱμάτων ἄνδρας, τοὺς ἐχθροὺς τοῦ Θεοῦ. Πολλῷ δὴ πλέον ἐνταῦθα πλήθυνε τὰς εὐχὰς, ἵνα ὁ μέγας ἁλιεὺς, ὁ τῆς οἰκουμένης ἔνθεος βασιλεὺς, ὁ τὴν πνευματικὴν ἀῤῥαγῆ σαγήνην χαλῶν δεξιώτατα, καὶ Θεῷ ἀγρεύων καὶ προσάγων, ὅσον κατὰ πίστιν ἐδώδιμον, εὐθυβολῇ κατὰ τῶν τοιούτων, καὶ τῇ νουμένῃ τριαίνῃ, τῇ ἐκ τῆς τριαδικῆς Ὑψίστου δυνάμεως κραταιότητι, πλήττων καίρια, τὰ μὲν ἀφήσει κεῖσθαι δίχα ζωῆς, τὰ δὲ ἀπελάσῃ εἰς τόπους, οὓς οὐκ ἐπισκοπεῖ Κύριος. Εἴθισται γὰρ αὐτὸς καὶ τὰ τοιαῦτα, καὶ μυρίαις τοιαύταις ἄγραις ἡ χεὶρ αὐτοῦ ἐντέτριπται, ὁποία καὶ ἡ πρόσφατος, ἐν ᾗ ἅμα τε συνήχθησαν ἐπὶ τὸ αὐτὸ οἱ τῆς Ἄγαρ θῆρες, ὠρυόμενοι· ἄγριον, καὶ ἁρπάσαι ζητοῦντες, μᾶλλον μὲν οὖν ἤδη καὶ χανόντες, καὶ φονίους ὀδόντας ἐμπῆξαι τῷ τοῦ Θεοῦ ποιμνίῳ θέλοντες· καὶ αὐτὸς ἐπιδραμὼν ταχὺ, ὡσεὶ καὶ βαρὺ ἐνύπνιον εἰς ἀπονυστάζοντας, κακὸν αὐτοῖς ὄναρ ἐπέστη, καὶ κατέκλινεν εἰς ὕπνον ἀνέγερτον. Τὰ ἔναγχος λέγω τρόπαια, τὰ περὶ τὴν πάλαι ποτὲ ὑμνουμένην πόλιν, ἣν ὁ τῆς ἱστορίας Κλαύδιος ἑαυτῷ ἐπωνόμασεν. Ἀλλ' αὕτη μὲν ἐκείνῳ συντέθνηκεν, οὐκ αὐτόματον παθοῦσα πτῶμα, χειρὶ δὲ κατασπασθεῖσα βαρβαρικῇ χρόνος ἐξότου μακρός. Τὸ δὲ νῦν βασιλικὸν ἀρίστευμα καινίσει μὲν καὶ τὸ πάλαι κτητορικὸν ὄνομα, καί πως συναναστήσει τὸ ἐκείνου ἔνδοξον, ἵνα καὶ νεκροῖς ἀνάστασις αὕτη καινουργοῖτο παρὰ τοῦ θαυμάσια ποιοῦντος ἡμετέρου αὐτοκράτορος· ἐπονομάσει δὲ τὸ μέγα τρόπαιον.

οθ'. Ἀλλὰ τοῦτο μὲν οὕτω παραπεσὸν μέχρι τοσούτου εἰρήσθω μοι, ὅτι μηδὲ λόγον ἔχει, ἐν παρέργῳ τίθεσθαι τὰ μεγάλου ἔργου ἐπάξια. Σὺ δ', ὦ ἐπὶ τοῦ « στύλου, » ἐπιβλέπων θεωρητικῶς εἰς τὴν πρὸ ὀφθαλμῶν θάλασσαν, συμβάλλου κατὰ νοῦν, καὶ ὅτι καθὰ καὶ σκοπελός τις ὁ πύργος οὗτος ἐνταῦθα κατὰ κυμάτων βίαν ἐξανέχειν ἔλαχεν, οὐχ ὡς καὶ προσαράττεσθαι τοὺς πλέοντας, καὶ οἰκτιστα καταθραύεσθαι, ἀλλ' ὡς ἐξανάπτειν αὐτόθεν τὰ τῆς ἐλπίδος πείσματα, καὶ οὕτω σώζεσθαι. Φύλαττε τοίνυν αὐτὸν σωτήριον μεμνημένος καὶ, ὅτι ἐπὶ τοιαύταις ἐλπίσιν ὥρθωται. Οἶδας τὸ ἔργον, ὅπως ἐσπούδασται· οἶδας τὸν τοῦ ἔργου ἐπιστάτην, ὡς μὲν βασιλέως θεράποντα, ὡς δὲ διαιτητὴν ἰσότητος, τὰ τῆς δικαιοσύνης ὡς οὐκ ἂν ἔχοις ψέγειν ζυγὰ φέροντα. Οἶδας

A Illud solum dæmonium quoddam indicantem clamasti, sub manu constitutus multo fortioris. Loquere ad me quæ meliorem reddant quando sic animus est. Si enim magistri vices gerere sortitus sum, nihilo minus abs te discere cupio si quid nosti? supra omnes qui me docent. Novi et discipulus senex esse qui irrisionem meruit nihil sciens, in justitiæ rebus plane inerudītus.

78. Tyrannice in mari dominantur belluæ prævalidæ, immania cete. Si forte impetu huc illuc currunt, peragratum devastant mare. Habet et vitæ oceanus bestias suas, barbaras gentes, hostiles, sanguinum viros, Dei hostes. A fortiori huc prolixius orationes offer, ut magnus piscator, orbis divinus rex, qui spiritalem rumpi nesciam sagenam apprime tendit, et pro Deo piscatur, et ad littus ducit quotquot secundum fidem esculenta, certo ictu contra tales, spiritali tridente, tripliciter judicantis Altissimi potentiæ fortitudine, in tempore opportuno percutiat, et hos quidem vita carentes projiciat, illos vero ad loca quibus non invigilat Dominus ejiciat. Quæ enim perpetrare consuevit ipse, et ad talium capturarum infinitum numerum manus ejus se confert, qualis recens illa, in qua simul abductæ sunt Agar belluæ sæve rugientes, quas vorarent quærentes, imo jam hiantes et homicidis dentibus gregem Dei discerpere volentes. Confestim ipse accurrit, tanquam gravis visio in obdormiscentes, malum somnium eis apparuit, quos in somnum prostravit unde non evigilantur. Recentia tropæa refero circa celebratam ab antiquis olim civitatem, quam historiæ heros Claudius nomine suo vocavit. Sed pro illo quidem mortua est non ultro ruinam perpessa, Barbarorum vero manibus jam pridem direpta. Regia nunc virtus renovat quidem domini prisci nomen et illius exsuscitat gloriam ut a mortuis resurrectio illa innovet apud nostrum mirabilia facientem dominatorem; locis vero maxime cognomen ab eo qui nunc de novo assurgere facit, dabit magnum tropæum.

79. Quod quidem evenit hucusque a me dictum sit, quia non decet magni momenti res parvipendere. Tu vero, o super columnam mentis oculis objectum mare inspiciens, animo infige turrim istam rupis instar vitæ fluctibus imminentem, non quæ navigantes offendat et miserabiliter comminuat, sed cui spei anchoram figant salutis. Itaque salutarem illam serva, memor eam ad tales spes esse erectam. Opus novisti et operam; nosti operis moderatorem, regi quidem servientem, paris vero sortis arbitrum, justitiæ jugum adeo ut non habeas unde arguas ferentem. Nosti quo te amore ille complectitur, persuasum habens, ad ipsius id utilitatem abiturum esse. Noli ergo tantas rejicere spes, neve infra projicias propositam gloriam. Noli ascendens *Pater*,

Pater, audire, et *Ascende, ascende* cantatum, ascensione vero facta in patibulo affixorum numero quasi ob flagitium inspici, et quadam die a ferventioribus audire : *Amice, descende, jam non terræ homo es, sed es ætherens et cœlestis;* verius autem dicere, *Dei, si vis, homo. Nihil ad te reliqui sunt, si ascensione digne vivis : sed hi quidem infra, tu vero supra sortem bene habes, quia et Dei mandatis una obtemperans accedere ad Deum statuisti.*

καὶ, ὅπως περὶ σὲ θερμότητος ἔχει, πεποιθὼς πάντως, εἰς ἀγαθὸν αὐτῷ ἔσεσθαι. Μὴ τοίνυν τὰς τοιαύτας ἐλέγξῃς ἐλπίδας, μηδὲ κάτω βάλῃς τὴν ἀποβλεπομένην εὐχλειαν. Μὴ θελήσῃς ἀνερχόμενος μὲν « Πάτερ, πάτερ » ἀκούειν, καὶ « Ἀνάβα, ἀνάβα » τὸ ὑμνούμενον, ἀνελθὼν δὲ θεωρηθῆναι κατὰ τοὺς οἷον ἀνεσκολοπισμένους ὡς ἐπὶ πανουργίᾳ τινὶ, καί που καὶ πρὸς τῶν ἐν ἡμῖν θερμοτέρων ἀκούειν· « Ἑταῖρε, προσκατάβηθι· οὐκέτι γῆς ἄνθρωπος εἶ, αἰθέριος δὲ καὶ οὐράνιος, » εἰπεῖν σὲ ἀληθέστερον, « Θεοῦ, εἴπερ ἐθέλεις, ἄνθρωπος. Οὐδέν τι πρὸς σὲ οἱ λοιποὶ ἐὰν ἀξίως πολιτεύῃ τῆς ἀναβάσεως· ἀλλ' αὐτοὶ μὲν κάτω, σὺ δὲ τῆς ἄνω μοίρας ἐπάξιος, ὅτι καὶ τοῖ. περὶ Θεὸν συνανιὼν τάγμασιν ἐγγίζειν προέθου Θεῷ. »

80. Sed de his satis : quid enim opus est meditationem prolongare ? Turbam dimitte in pace, antea quidem singulos domi dispersos, nec est cur non iterum turbatim concurrant ad lumen tuum, si virtutes illæ in te effulgeant. Succus enim ascetarum vita neminem avulsum volens et a seipso separatum esse, sed bonos in unum adducens et in se unitos, tanquam serum coagulatum in massam cogens, quotquot lactis more bona vita insignes sunt et munditia albedinem omni umbra puram habent ; si quid vero serescens nec alibile, abire sinat quocunque natura jubet.

π'. Ἀλλὰ τούτων μὲν ἅλις· τί γὰρ δεῖ ἐπὶ πλέον μηκύνειν τὴν θεωρίαν ; Τὸν δὲ ὄχλον ἀπόλυσον, καὶ δὴ ἐν εἰρήνῃ. τέως μὲν σκεδασθησομένους ἕκαστον εἰκαδε, οὐκ ἔστι δὲ ὅπως μὴ καὶ εἰσαῦθις ἀθροισθησομένους εἰς τὸ περὶ σὲ φῶς, εἰ τὰ προτεθεωρημένα καλὰ ἐν σοὶ ἀναλάμπουσιν. Ὁκὸς γάρ τις καὶ ὁ ἀσκητικὸς βίος, οὐδένα διερρυηκέναι θέλων καὶ ἀποδιΐστασθαι αὐτοῦ, ἀλλὰ τοὺς ἀγαθοὺς ἐπισυνάγων ἑνωτικῶς, καὶ εἰς ἑαυτὸν ἐπισωρεύων, καὶ ὅρος οἷον τοῦτο τετυρωμένον συνιστῶν, κορυφούμενον ἐκ τῶν ὅσοι γάλακτος δίκην ἀγαθῷ βίῳ ἐλλάμπονται, καὶ τὴν ἐν καθαρότητι λευκότητα εἰς τὸ πᾶν ἀνεπισκίαστον ἔχουσιν· εἴ τι δέ που ὀρρώδες καὶ μὴ τρίψιμον, ἐρρεῖν ἀφιεὶς καὶ ῥεῖν, ὅπη πέφυκεν.

ORATIO DE S. ALPHEO ET SOCIIS MARTYRIBUS

Ejusdem enarratio martyrii sanctorum trium victorum fratrum, Alphei, Zosimi, Alexandri, Calytenorum, sociique eorum Marci.

Τοῦ αὐτοῦ λόγος ἐκθετικὸς τοῦ μαρτυρίου τῶν ἁγίων τριαθλοφόρων ἀδελφῶν, Ἀλφείου, Ζωσίμου καὶ Ἀλεξάνδρου, τῶν Καλυτηνῶν καὶ τοῦ συμμάρτυρος αὐτῶν Μάρκου.

1. Qui iter suscipiunt, ubi in via homines contemptu memoratuque dignos offenderint, quorum antea aut nullam, aut imperfectam habebant notitiam, ex obviis percontari prudenter solent, num illi cum laude momorari mereantur, atque ita certiores fiunt, illosque memoriæ tabulis inscribunt ; et si quando occasio sese obtulerit, eis qui illos adhuc ignorant cognoscendos proponunt. Est autem hoc animi scientiæ virtutisque studiosi indicium, siquidem hoc modo non solum admiranda indagantur, sed etiam strenua et accurata illorum expositione eis qui ad talia auscultanda propendent, communicantur.

2. Itaque et nos, vitæ emetientes viam multifidam et obliquam, in multos incidimus, qui partim digni essent admiratione partim haud digni; quare illos quidem pro viribus laudibus extulimus, hos autem silentio prætermisimus, neque tamen conviciis impetivimus (gloriamur enim in Deo neque serpentibus neque scorpionibus quoad linguam

α'. Ἔθος ἔλλογον τοῖς ὁδοιποροῦσι πάρακολουθεῖ, ἐπειδὰν ἐξανύοντες τὴν ὁδὸν συναντήσωσιν ἀνθρώποις ἀξίοις θέας καὶ λόγου, οὓς ἢ μηδόλως ἢ μὴ πρὸς ἀκρίβειαν οἴδασιν, ἐκπυθάνεσθαί τινων, εἴ πως εὑρήσουσιν, οἵ νινές ποτε οἱ ἀγαθῆς ἱστορίας ἄξιοι ἐκεῖνοι, καὶ οὕτω μανθάνειν, καὶ ἐγγράφεσθαι τοὺς τοιούτους δέλτῳ ψυχῆς μνήμονος, καὶ παραδιδόναι τοῖς ἀγνοοῦσιν εἰς εἴδησιν, εἴ που παραπέσοι καιρός. Καὶ ἔστι καὶ τοῦτο φιλομαθοῦς ἤθους καὶ ἀγαπῶντος τὸ καλὸν, τὸ μὲν, οἷς ἀνερευνᾶται τὰ θαυμαστεα, τὸ δὲ, ὅτι παραδίδοται διὰ τῶν τοιούτων σπουδαία διήγησις τοῖς προαιρουμένοις ἀκροᾶσθαι.

β'. Οὐκοῦν καὶ ἡμεῖς, βίου ὁδὸν ἐξανύτοντες, τὴν καὶ πολυσχιδῆ καὶ πολυέλικτον, καὶ οὐκ ὀλίγοις περιτετυχηκότες, ὧν τοὺς μὲν ἐθαυμάσαμεν, τοὺς δὲ οὐ διὰ θαύματος ἔσχομεν, καὶ ἐκείνους μὲν ἀξιώσαντες λόγου τοῦ δέοντος, ὡς ἐξισχύσαμεν, τοὺς δὲ δευτέρους ἀφέμενοι σιγᾶσθαί, οὐ μὴν καὶ κακολογήσαντες (αὐχοῦμεν γὰρ ἐν Θεῷ, μὴ κεντρίναι

εἶναι καὶ συνομιλεῖν τὴν γλῶσσαν, ἀλλ' ὡς τὰ πολλὰ εὐλογητικοί), παρετύχομεν καὶ ἐνταῦθα, ὅπου τὸ καὶ μέγα καὶ κάλλιστον ἡμῖν κατάλυμα τῆς βιωτικῆς ὁδοῦ ἀπεκληρώθη, Θεοῦ ἀνθρώποις, οἷς ἐν χρῷ μὲν ζωϊκῆς θέας καὶ τῆς ἐντεῦθεν ἐγγύτητος οὐ δέδωκεν ἡμῖν ὁ χρόνος γενέσθαι (ἀφ' ἱκανοῦ γὰρ ἦσι προχρόνιοι τῷ Θεῷ παρίστανται), ἡ δὲ ἱστορία διεβίβασε μὲν εἰς ἀκοήν, πλὴν οὐκ εὐσύντακτον.

γ'. Καὶ ἐπειδὴ ἀναγκαῖον ἦν τεταγμένως ἐκμαθεῖν τοὺς τοιούτους, ὅθεν τε γεγόνασι καὶ ἐκ τίνων, καὶ οἷον τὸ κατ' αὐτοὺς ὑπὲρ Θεοῦ ἀγώνισμα (εἰσὶ δὲ αὐτοὶ Ἀλέξανδρος, Ἀλφειὸς καὶ Ζώσιμος ἀδελφοὶ, μάρτυρες, οἱ ἐπιλεγόμενοι Καλυτηνοὶ), ἐμεριμνήσαμεν ἐπιγνῶναι τὰ κατ' αὐτοὺς ἐκ τῶν περὶ αὐτοὺς, οὐκ ἀνθρώπων λέγω· πῶς γὰρ ἄν; ἐκ βιβλιακῆς δὲ συγγραφῆς. Καὶ τέως πρῶτα ζητήσας ἐγὼ, καὶ μηδέποτε μαθὼν, ὁποίῳ τρόπῳ ἅγιοι οὗτοι οὐκ Εὐρωπαῖοι ἐν Θεσσαλονίκῃ διὰ σπουδῆς πολλῆς ἐγένοντο (ναός γε γὰρ αὐτοῖς ἐγήγερται ἀστεῖος καὶ οὐκ ἀνάξιος λόγου, καὶ ὁ τῆς μητροπόλεως οἶκος αὐτὸν ἀμφέπει), ἐστοχασάμην, μετοίκους τινὰς ἐκ τῆς Ἀσίας, οἳς οἱ τοιοῦτοι ἅγιοι ἐγχωροι ἦσαν, καταρτίσαι ποτὲ εἰς τὴν λαμπρὰν ταύτην πόλιν, καὶ ἐνιδρύσαι ταύτῃ τὸ τῶν ἀθλητῶν ἐκείνων τίμιον ὄνομα εἰς ἐξεικόνισμα παρακλήσεως, ὡς ἂν οὕτω δοκοίεν μὴ μετανάσται τῆς ἀνατολικῆς εἶναι πατρίδος· καὶ ἐπήλυδες, ἀλλὰ τὴν αὐτὴν καὶ πάλαι οἰκεῖν, καὶ τοὺς αὐτοὺς θεομάρτυρας δεσπότας αὐχεῖν.

δ'. Καὶ τοῦτο μὲν οὕτως ἐκ τῶν εἰκότων κατέστησα ἐν ἐμοὶ, καὶ ἐμακάρισα τοὺς ἄνδρας ἐκείνους, δι' ὧν μετακομιδή τις καὶ αὖτη ἐσεμνύνατο ἁγιαστικὴ τῶν καθ' ἡμᾶς· εἶτα καὶ τῶν ἱερῶν πτυχίων γενόμενος, οἷς ἀνάγραπτα ἐντετύπωται τὰ τῶν τοῦ Θεοῦ ἁγίων τούτων καὶ ὀνόματα καὶ πολιτεύματα, καθ' ἓν μὲν αὐτῶν σκιαγραφίαν εὗρον οὐκ εὐδιάπτωτον, ἀλλὰ ἰσχνὴν πάντῃ καὶ ἀμυδράν· ἑτέρῳ δὲ δευτέρῳ τὴν θέαν ἐπιβαλὼν ἐμαθόν τι εὐδιακριτώτερον. Ὡς δὲ καὶ τρίτον τι τεθεώρηκα, ἐπλατύνατό μοι τὰ τῆς διακρίσεως, καὶ τοῦ λοιποῦ σπόρον τοῦτον πνευματικὸν ἐκεῖθεν ἐρανισάμενος, καὶ τὴν ψυχικὴν αὔλακα νεώσας ὡς εἰς τρίτολον ἄρουραν, ἔρχομαι ἰδοὺ σπείρων, εὐαγγελικῶς εἰπεῖν, τοῦ σπεῖραι τὸν σπόρον ἐμοῦ, ὡς ὁ ἐπουράνιος γεωργὸς εἰς τέχνην ταύτην συνεβίβασε λόγους ἐνθείς μοι σπερματικούς.

ε'. Τοῖς εἰρημένοις τρισὶ μεγαλομάρτυσι πατρὶς Κάλυτος, ἡ κατὰ ἑτέρους Καλύτη· καὶ Καλυτὼ δὲ ἄλλοι τὴν τοιαύτην καλεῖσθαι θέλουσι, κώμην οὖσαν Ἀντιοχείας, αὐτῆς δὲ οὔτε τῆς Συριακῆς, οὐδὲ μὴν ἄλλης τινὸς, αἳ δὴ πολλαὶ κοινοῦνται τὴν τοιαύτην κλῆσιν, ἀλλὰ τῆς περὶ Πισιδίαν, εἴτε μὴν Φρυγογαλατίαν. Ἔθνος δὲ οἱ Πισίδαι βάρβαρον μὲν, περίφημον δὲ, οὓς λόγος καὶ Σολύμους καλεῖσθαί ποτε. Ἡ τοιαύτη Καλύτη ἀγαθοὺς τούτους κωμήτας ἠνέγκεν, ἀστείως πεπολιτογραφημένους εἰς τὴν ἄνω μητρόπολιν. Καὶ τὸ πολιτογράφημα ἦν τοιοῦτον.

A similes esse, sed fere semper benedicere). Jam vero hic, ubi magnum pulcherrimumque diversorium in hujus vitæ itinere nobis contigit, devenimus ad Dei homines, quos quidem neque vivos neque cominus aspicere potuimus (jam satis enim diu Deo adstant), historia autem, licet minus concinne, illorum memoriam ad nostra tempora conservavit.

3. Cum igitur illos accurate cognoscere opus esset, unde nimirum et a quibus prognati sint, et quale pro Deo sustinuerint certamen (sunt autem fratres Alexander, Alpheus et Zosimus, martyres cognominati Calyteni), operam dedimus ut eorum res gestas non tam ex hominibus, quam potius e B libris de illis conscriptis pernosceremus. Ante omnia autem quæsivi, neque comperire potui, unde factum sit ut sancti, licet non Europæi, magno colerentur honore Thessalonicæ (templum enim egregium memoratuque dignum eis dedicatum est, atque metropoleos domus illud veneratur): conjeci igitur, viros quosdam, sanctorum illorum populares, olim ex Asia in celebrem hanc urbem transmigrasse, et venerandum istorum pagilum nomen consolationis causa huc pertulisse, ut hoc modo viderentur non alieni ex orientali patria advenæ esse, sed hanc urbem antiquitus incolere illisque Dei martyribus tanquam dominis suis gloriari.

C 4. Hæc igitur hoc modo secundum verisimilitudinem apud me constitui et beatos prædicavi viros illos qui nobis hanc rem venerandam apportarunt. Ubi autem sacra evolvi volumina, quibus sanctorum et nomina et res gestæ enarrantur, in uno illorum invenI descriptiunculam veram quidem, sed obscuram simul et nimis succinctam: postquam alterum inspexi, planiora et prolixiora deprehendi. Cum autem ad tertium accessissem, omnia ad rem dignoscendam necessaria reperi. Quare nunc, semine illo spirituali illinc petito, et animæ sulcis veluti ad messem triplicem præparatis, adsum, ut evangelice loquar, ad seminandam sententiam meam, quemadmodum agricola cœlestis ad munus D hoc subeundum doctrina ad fructus proferendos idonea me instruxit.

5. Fuit autem tribus illis martyribus præclaris patria Calytus, vel secundum alios Calyta, vel etiam Calyto (ut quidam volunt), suburbium Antiochiæ, non quidem Syriacæ aut alius urbis cujusdam, siquidem multæ hoc insignitæ reperiuntur nomine, sed Antiochiæ in Pisidia sive Phrygogalatia sitæ. Gens porro Pisidarum barbara quidem, sed percelebris, olim Solymorum vocabulo appellata esse dicitur. Hoc Calyta tulit heroas præclaros, in censum civium cœlestis metropoleos ascriptos. Et hic fuit census.

6. Vivebat in illa regione Marcus quidam, qui, A licet haud sacerdotaliter unctus, tamen inter laicos Deo consecratus et gratiam divinitus nactus erat apostolicam, qua permotus ab omni pravitate quæ civem Deo perosum reddit, recedere desideravit seque in loca contulit deserta, ubi Dei plantæ haud raro incrementa capiunt. Montibus enim gaudebat in quibus etiam greges divini nutriri haud dedignantur, siquidem in iisdem etiam Veteris Testamenti atavi, Abel, prophetæ, David, et Novi Fœderis corbes sancti eorumque socii rationabili pascendi modo doctrinam spiritualem tradiderunt atque explicuerunt, carnalibus spiritualia exponentes et præter corporis labores divinam animarum perfectionem edocentes. Sic pascebat Dei oves agnosque, cupiditates irrationabiles stolide, uti B fors tulerit, circumerrantes pabulumque quærentes, saltusque delicatos persequens (neque enim qui saliunt ad bonum finem pertingunt), præterea homines simplices et qui per vitam Dei gratia pasci desiderant.

7. Sed hæc tropice dicta sunt et metaphorice de pastore ovium Deo charo. Marcus autem, cujus vita paucis verbis nequit describi, et ipse rationabilis pastor fuit, montium amicus et gregis sui studiosus, ita ut semetipsum penitus negligeret, munereque pastorali haud in suum ipsius commodum fungeretur, sed omnia pro Dei fratribus faceret eosque sic Deo lucraretur. Neque igitur veste in- C dutus erat pulchra, neque carnis voluptatem curabat, quare, capite prorsus neglecto, capillos libere crescere atque luxuriare sinebat. Ita cæsariem videres crinium subalborum ad tales usque defluentem. In tali autem capillorum densitudine haud paucas animalculas vixisse perquam verisimile est.

8. Tali igitur inter æquales insignis fuit Marcus cæsarie, quæ non solum, dum ille viveret, admiranda erat atque spectatoribus stuporem injiciebat, sed etiam post ejus mortem evertendis destruendisque dæmonibus pollebat. Nimirum Magni jussu dissecta primitiarumque instar in Veneris templum deportata, vix intus erat, cum etiam miraculum D ederet. Simulacra enim quæ illic erant, quasi vita essent prædita, delapsa corruerunt, confractaque homines probos ex infima infidelitatis voragine erexerunt et ad Deum adduxerunt, quo facto diabolus mali princeps pudore suffusus, Deus autem, qui boni est principium, laudibus celebratus est.

9. Nicon enim quidam et Neon et Heliodorus, contritione pravarum imaginum istarum conspecta, intelligentes potentiam divinam esse quæ illas concussas dejectasque confregerit, dæmoni principali valedicentes defecerunt, et ad Deum accedentes sanctificati sunt, deseruerantque terram truncati capite, quod homini, cœlesti plantæ, radix est, in paradiso autem in sempiternum radices egerunt.

ς'. Μαρκος ἦν τις ἐν τοῖς ἐκεῖ ἀνὴρ, εἰ καὶ μὴ κεχρισμένος ἱερατικῶς, ἄλλως δ' οὖν ἐν λαϊκοῖς τετελεσμένος τῷ Θεῷ, καὶ χάριν ἐξ ἐκείνου σχὼν ἀποστολικήν· δι' ἧς ἐπιθυμήσας ἀνακεχωρηκέναι ποτὲ ἁπάσης, ἧς ἡ φαυλότης πολίτην παράγει μισούμενον Θεῷ, ἐρήμοις τόποις ἐκδέδωκεν ἑαυτὸν, ἐν οἷς καὶ Θεοῦ φυτὰ πολλάκις κηπεύεται. Ὄρεσι γὰρ ἔχαιρεν, οἷς καὶ θεῖα ἐντρέφεσθαι ποίμνια οὐκ ἀπαξιοῦσιν, ἐν οἷοις καὶ οἱ τῆς πάλαι πρωτόγονοι, Ἄβελ καὶ οἱ προφῆται, Δαυὶδ καὶ οἱ τῆς Νέας ἱεροὶ σπυρίδωνες, καὶ ὅσοι κατ' αὐτοὺς τῇ κατ' αἴσθησιν ποιμαντικῇ τὴν κατὰ Πνεῦμα ἐνέφαινον καὶ παρεδειγμάτιζον, διδασκαλικῶς αἰνιττόμενοι τοῖς κατὰ σάρκα τὰ πνευματικὰ, καὶ τῷ τοῦ ἔργου σώματι συμπαραδεικνύντες καὶ τὴν θείαν ἐν ψυχῇ τελειότητα. Καὶ οὕτως ἐποίμαινε πρόβατα Θεοῦ καὶ ἄρνια, ὀρέξεις ἀλογίστους εὐηθικῶς, ὅποι τύχοι, ῥεμβομένας, ὡς βόσκεσθαι, καὶ σκιρτήματα δὲ ἁπαλὰ διώκων (οὐκ ἐν καλῷ ἀρνευτῆρες, ὡς εἰπεῖν, πολλοὶ ἀπεκθαίνουσιν), ἔτι γε μὴν καὶ ἀνθρώπους ἁπλοϊκοὺς, ὡς εἰκὸς, καὶ οἵους ἐθέλειν διὰ βίου ποιμαίνεσθαι χάριν Θεοῦ.

ζ'. Ἀλλὰ ταῦτα μὲν τροπολογικῶς, ὡς ἂν τις ἀναγάγῃ θεοφιλῇ ποιμένα προβάτων. Ὁ δὲ Μάρκος, ὃν οὐκ ἔστι διὰ βραχέος ἀγαγεῖν λόγου, καὶ πρὸς αἴσθησιν καὶ αὐτὸς ποιμαίνων ἦν, καὶ οὔτως φιληδῶν ὄρεσι, καὶ ἀρεμμάτων τῶν αὐτοῦ μελόμενος, ἑαυτῷ δὲ οὐκουν ἐπιστρεφῶς ἔχων, ὅτι μηδὲ πρὸς κέρδος οἰκεῖον ἐποίμαινεν, ἀλλὰ τοῖς τοῦ Θεοῦ ἀδελφοῖς ἐπονεῖτο, καὶ δι' αὐτῶν ἐδάνειζε τῷ Θεῷ. Οὔτε τοίνυν εὔστολος ἦν τὴν περιβολὴν, καὶ οὐδὲ τὴν σάρκα θεραπεύειν ἤθελε τρυφερῶς· διὸ καὶ τὴν κεφαλὴν ἀφῆκεν ἑαυτῆς εἶναι, καὶ περιουσιάζεσθαι κατὰ μόνας, ὅσα ἐθέλοι αὐτή. Ἀόχμη γοῦν ἐσχεδιάζετο κατ' αὐτὴν τριχῶν διαλεύκων, χαλωμένη ἕως καὶ εἰς πτέρνας αὐτάς. Εἰ δὲ καὶ ζῶα συχνὰ κεφαλῆς ἡ τοιαύτη λασιότης ἔτρεφεν, οὐκ ἂν ἀπεικὸς εἴη στοχάσασθαι.

η'. Καὶ ἦν τῷ Μάρκῳ παράσημον ἐν τοῖς τότε σωματικὸν ἡ τοιαύτη τῆς κεφαλῆς τρίχωσις τῆς καὶ ἐν ζωῇ θαυμασίας, καὶ οἵας ἐκπλήττειν τοὺς θεατὰς, καὶ μετὰ θάνατον τεραστίας ἄλλως διὰ τὸ καταπονεῖν δαίμονας. Τμηθεῖσα γὰρ κελεύσει τοῦ Μάγνου, καὶ ὡς εἰς πρωτόλειον πεμφθεῖσα τῷ ναῷ τῆς Ἀρτέμιδος, ἅμα γέγονεν ἐντὸς, καὶ αὐτίκα ἐτερατούργησε. Τὰ γὰρ εἴδωλα τὰ ἐκεῖ, ὡσεὶ καὶ ἔμψυχα ἦσαν, ἔκυψαν καὶ ἐταπεινώθησαν· καὶ αὐτὰ μὲν συνετρίβησαν, ἐξήγειραν δὲ ἀπὸ κατωτάτων ἀπιστίας ἀνθρώπους ἀγαθοὺς, καὶ παρέστησαν τῷ Θεῷ εἰς αἰσχύνην μὲν τοῦ ἀρχεκάκου διαβόλου, δόξαν δὲ τοῦ καλῶν αἰτίου Θεοῦ.

θ'. Νίκων γάρ τις καὶ Νέων καὶ Ἡλιόδωρος ἰδόντες τὴν συντριβὴν τῶν φαύλων ἐκτυπωμάτων ἐκείνων, καὶ ἐν αὐτῇ καταλαβόντες τὴν αὐτὰ ὠθήσασαν καὶ καταβρίψασαν καὶ συνθρύψασαν θείαν δύναμιν, κατεῖπον μὲν τοῦ πρωτοτύπου δαίμονος καὶ ἀπεστάτησαν· προσεχώρησαν δὲ τῷ Θεῷ καὶ ἡγιάσθησαν, γῆς μὲν ἀπαναστάντες τῇ τῆς κεφαλῆς ἀποτομῇ, τῆς ἐν ἀνθρώπῳ, τῷ οὐρανίῳ φυτῷ, ῥι-

ζης, ἐν παραδείσῳ δὲ ῥιζωθέντες εἰς ἀείζωον. Ἀλλὰ ταῦτα μὲν ὕστερον· ἡμῖν δὲ ἀφεμένοις τοῦ κατὰ κεφαλὴν παρασήμου, θεωρητέον τὸ κατὰ ψυχὴν ὡς τῷ παντὶ μεῖζον καὶ θαυμασιώτερον. Ἀρετῶν γὰρ ταμεῖον ἐτύγχανεν ὁ ἀνήρ, καὶ ἐξ αὐτῶν διεδείκνυτο, προκείμενος εἰς διδασκάλιον θεῖον τοῖς μανθάνειν ἐθέλουσιν.

ι'. Ὡς γὰρ οὐκ ἐν δυναστείᾳ ἵππου ἐθέλει ὁ Θεὸς, οὐδὲ ἐν κνήμαις ἀνδρὸς εὐδοκεῖ, οὐδὲ ἐν ἄλλοις τοιούτοις· οὕτως οὐδὲ ἐν πλούτῳ καὶ περιουσιασμῷ καὶ λοιπῇ βίου λαμπρότητι, ἀλλὰ καρδίαν ἐπιζητῶν καθαρὰν ἀεὶ, καὶ πνεῦμα συντετριμμένον, καὶ οἰκίαν τοιαύτην σεσαρωμένην κηλῖδος ἁπάσης. Καὶ εὑρὼν τὸ ζητούμενον ἐνοικεῖ ἐκεῖ καὶ ἐμπεριπατεῖ, καὶ πληρώσας τὸν τοιοῦτον αὐτοῦ οἶκον καὶ πλούτου παντὸς οἰκείου καὶ εὐωδίας φίλης αὐτῷ, τῇ μὲν ὀδμῇ καταμηνύει, ὅπου μένει, καὶ ἐφέλκεται τοὺς τὴν νοηρὰν ὄσφρησιν ὑγιαίνοντας, τῷ δὲ πλούτῳ καταντλεῖ τοὺς προσιόντας, καὶ ἀνθρώπους τοῦ οἰκείου λόγου εἰσποιεῖται αὐτούς.

ια'. Οὐκοῦν καὶ τὸν Μάρκον τοιοῦτον εὑρηκὼς οἰκήτορα εὐηρεστήθη, καὶ ἅραντα τοὺς ὀφθαλμοὺς ἰδὼν εἰς ὄρη ἐκείνῳ ἀρέσκοντα, ἦλθεν αὐτῷ εἰς βοήθειαν, καὶ ἐνοικήσας αὐτῷ ἐπλούτισεν ἀγαθοῖς, καὶ εὐωδίασε θείᾳ χάριτι, καὶ οὕτως ἐπαγωγὸν εἰργάσατο τοῖς ἐγνωκόσι τὰς ἐν αὐτῷ ἀρετάς· οἳ καὶ τρέχοντες εἰς αὐτὸν καὶ ἀκροώμενοι τοῦ Θεοῦ λαλοῦντος δι' αὐτοῦ, καὶ βελτιούμενοι, οὐκ ἀνίεσαν θαμίζοντες καὶ τὸ τοῦ Μάρκου ποίμνιον πληθύνοντες, ἵνα μὴ μόνον ζῶα γῆς ποιμαίνῃ, ἀλλὰ καὶ μᾶλλον τὰ τοῦ Θεοῦ.

ιβ'. Πολλοὶ οὖν ἐφοίτων παρ' αὐτῷ διδασκαλίας καὶ συμβιώσεως χάριν, ἐν οἷς καὶ παρθένοι, γυναῖκες καὶ νήπια· οἷς καὶ αὐτοῖς ὁ ἅγιος τὰ τῶν θείων διδασκαλιῶν ἐνθεὶς ἀγώγιμα, ὡς ἠδύναντο χωρεῖν, εἰς τὸν ἐκεῖ σωτήριον ἐναυστόλησε λιμένα, καὶ οὕτω περιεπέσατο εἰς Θεόν. Καὶ εἴθε ἦν καὶ αὐτὰ ἐκεῖνα ἐξονομάζεσθαι, ὡς ἂν εἴχομεν καὶ δι' ὀνομάτων ἐκείνων ἁγιάζειν καὶ ψυχὴν καὶ γλῶσσαν καὶ τὸ λοιπὸν σῶμα, τὸ μὲν τῇ μνήμῃ, τὸ δὲ τῇ γλώττῃ, τὸ δὲ τρίτον τῇ διαδόσει! Ἐπεὶ δὲ ἡ συγγραφὴ ἀνωνύμους ἀφῆκε, καθὰ καὶ τοὺς ἄνδρας μαθητὰς, οὕτω καὶ τὰς παρθένους καὶ τὰ νήπια, θαυμαστέον τὸν μέγαν Μάρκον ἐν τῷ διορᾶσθαι, ὅπως Θεοῦ σεπτοὺς τούτους ἀμνοὺς καὶ ἁγίας ἀμνάδας καὶ καθαρὰ ἀρνία ποιμάνας καλῶς, καὶ εἰς νηπιότητα πνευματικὴν ἐκθρέψας, εἶτα καὶ τεθυμένοις τῷ Θεῷ συγκατεσφάγη καὶ αὐτὸς, ἱερεῖον ἀνενεχθὲν εἰς εὐπρόσδεκτον τῇ Ὑψίστου τραπέζῃ. Ἀλλ' ἐκεῖθεν καὶ τοῦτο ὕστερόν ἐστιν, ἐκθετέον τὰ πρὸ τῆς τοιαύτης θεοφιλεστάτης θυσίας· ὧν τοιαύτη τις ἡ διάθεσις.

ιγ'. Διοκλητιανῷ, πολυκεφάλῳ ἐκείνῳ θηρίῳ, τῷ βραχύ τι παρὰ δαίμονα ἠλαττωμένῳ τά γε εἰς μῖσος χριστιανικὸν, κεφαλὴ μιαρὰ παραπεφύκει ὁ ἡγεμὼν Μάγνος, τί μὲν οὐ μηχανώμενος, τί δὲ οὐ λέγων, τί δὲ μὴ πράττων κατὰ Θεοῦ καὶ τῶν τοῦ Θεοῦ; περίπυστος καὶ αὐτὸς τὴν κακίαν, δαίμονος μεγάλου ἐκείνου δαίμων αὐτὸς οὐκ ἐλάττων ὑπασπιστὴς,

Attamen de his infra dicetur. Nunc, missa cæsarie illa celebri, nobis videndum quibus excelluerit animi dotibus, utpote quæ majores et admirabiliores fuere. Virtutum enim egregiarum veluti penu erat ille vir, et discendi cupidis disciplinam divinam communicabat.

10. Sicut enim Deus neque viribus equi, neque cruribus viri, neque aliis hujusmodi rebus delectatur, ita nec divitiis nec opibus, nec reliquo vitæ splendore gaudet, sed potius cor semper purum, animum contritum et sic domum omni immunditie depurgatam quærit. Atque ubi quæsitum invenit, inhabitat ibi et inambulat, domoque illa omnibus suis divitiis et odoribus pretiosis repleta, fragrantiæ suavitate ubi habitet indicat, eosque qui suo animi olfactu gaudent, ad se pertrahit, accedentes cumulat divitiis, sibique similes admittit adoptatque.

11. Marcum igitur hujusmodi habitatorem repertum dilexit Deus, eumque videns levantem oculos ad montes sibi placitos, suo adjuvit auxilio, et inhabitans ita bonis ditavit ac suavi gratiæ perfudit odore, ut qui eum cognoscebant ad ipsius virtutes allicerentur : qui quidem ad eum currentes, Deumque audientes ex ejus ore loquentem, et meliores facti, indesinenter Marcum invisebant et ipsius replebant ovile, ut non solum terræ pecudes, sed et ipsius Dei oves pasceret.

12. Ergo multi eum frequentabant ad discendum et conversandum, in quibus et virgines mulieresque et pueri : quos et ipsos sanctus, imposita divinarum disciplinarum sarcina, quantam gestare poterant, ad cœlestem salutis portum appulit, sicque incolumes ad Deum traduxit. Atque utinam illos nominare queamus, ut possimus per eorum nomina sanctificare animam, et linguam, et reliquum corpus, primam scilicet memoria, secundam locutione, tertium transmissione ! Quoniam vero historia discipulorum nomina prætermisit, ut virorum, sic mulierum et puerorum, cum admiratione considerandum est quomodo magnus Marcus, postquam venerandos Dei greges sanctasque oves et innocentes agnos optime paverat et in infantia spirituali aluerat, deinde immolatos Deo victima et ipse comitatus est, in sacrificium acceptabile ad mensam Altissimi ascendens. Sed cum hoc fuerit ultimum, exponenda sunt quæ illam Deo gratissimam præcesserunt mactationem : quorum hic est ordo.

13. Diocletiano, multicipiti isti belluæ, cui dæmon ipse parum præstabat Christianorum odio, triste caput succrevit dux Magnus, nihil non machinans, nihil non dicens, nihil non faciens contra Deum et divina, insignis et ipse nequitia, magni illius dæmonis dæmon ipse haud inferior satelles, contendens non solum æquo gradu cum pessimo

domino concurrere, sed eum prætergredi continuo in nefas cursu.

14. Iste, se exercens quasi ad capturam Christianorum, quia venationem amabat (sicut econtra Marcus ejusque discipuli sese exercebant ad mansuetudinem, utpote vitæ pastoralis amantes), præfecit hujusmodi venaturæ quemdam Diomedem, peritum gregis canum ducendi et Christianis infensissimum, ut improbo domino similis esset minister. Et quidem quantum in venatione Marco inserviret illi sciebant; quam vero contra Deum præsandi callidus esset, hinc manifestum est.

15. Procedebat quondam, venatus omnis generis feram, et multos secum habebat ad hujusmodi idoneos, huc illuc palantes ad investigandum quæ appetebant. Illi, quæ ibi erant indagantes, occurrunt Marco docenti, et simul ac vident, obstupent. Cernere enim erat vere visu mirabile et posteris auditu incredibile. Virum quidem exhaustum jejuniis, fame attenuatum, umbram tantum hominis exhibentem, canis villosum pilis a vertice ad pedes, haud adeo admirati sunt; sed jacentem ad ejus pedes ursam, eosque leniter lambentem, et, cum loqui non posset, ita vocis obsequium supplere gestientem, stupuerunt, et præ formidine volebant a Marco et ab ursa discedere. Sed morabatur admiratio et oculos detinebat, vel potius, ut ita dicam, stabant muti, astricti pavore ac stupore, donec sancti viri accitu animum recipientes ad eum accesserunt.

16. Tunc sciscitati ac diligenter de illo percontati et comperto eum esse Christi famulum, converterunt admirationem timoremque in rabidum ipsius odium; et imprimis fera bestia Diomedes, qui statim Magno, gratissimus index, bonum defert Marcum, discipulam haud veritus ursam: qua visa mansuetudinem a sancto edocta, cum debuisset ab ea tanquam magistra idem ipse doceri, immitis fera tamen sæviit in senem Deo charissimum. Nam credi nequit ursam pedibus Marci adjacentem ita mansuetam fuisse factam absque Dei opera, ut nempe visam Diomedis pueri imitarentur et hominem Dei vererentur.

ιε'. Προσῆλθέ ποτε ὑηρασάμενος παντοίαν ἄγραν, καὶ εἶχε περὶ ἑαυτὸν πολλοὺς ἱκανοὺς τὰ τοιαῦτα, διεσπαρμένους ἄλλους ἀλλαχοῦ κατὰ ζήτησιν ὧν ἤθελον· οἳ καὶ διερευνώμενοι τὰ ἐκεῖ παρατυγχάνουσι τῷ Μάρκῳ διδάσκοντι, καὶ ἅμα βλέπουσι καὶ ἐκπλήττονται. Ἦν γὰρ ἀληθῶς θεαθεὶς τότε μὲν τεράστιον θέαμα, τοῖς ὕστερον δὲ παράδοξον ἀκουσμα. Ἄνθρωπον μὲν γὰρ ἰδεῖν νηστευτικὸν, καὶ κατεσκληκότα λιμῷ, καὶ σκιὰν ἀνδρὸς ἐμφαίνοντα, καὶ βεβριθότα μαλλοῖς λευκοῖς ἐκ κεφαλῆς ἕως ποδῶν, οὐκ ἐς τοσοῦτον ἐθαύμασαν· τὴν δὲ πρὸ ποδῶν ἐκείνῳ κειμένην ἄρκτον, καὶ πρᾴως λιχμωμένην αὐτοὺς, καὶ, ἐπεὶ μὴ λαλεῖν εἶχεν, ἀφοσιουμένην οὕτως τὸ λαλητικὸν λειτούργημα, ὑπερεξεπλάγησαν, καὶ ὁ φόβος μὲν ἤθελεν ἀφιστᾷν ἐκείνους τοῦ τε Μάρκου καὶ τῆς ἄρκτου, τὸ δὲ θαῦμα κατεῖχεν, ὥστε παραμένειν καὶ βλέπειν· μᾶλλον δὲ, εἰπεῖν, ἱσταντο ἐννεοι, πεπηγότες τῷ δέει καὶ τῷ θαύματι, ἕως τεθαρρηκότες προσκαλουμένῳ τῷ ἁγίῳ ἤγγισαν πρὸς αὐτόν.

ιε'. Procedebat quondam, venatus omnis generis feram, et multos secum habebat ad hujusmodi idoneos, huc illuc palantes ad investigandum quæ appetebant. Illi, quæ ibi erant indagantes, occurrunt Marco docenti, et simul ac vident, obstupent. Cernere enim erat vere visu mirabile et posteris auditu incredibile. Virum quidem exhaustum jejuniis, fame attenuatum, umbram tantum hominis exhibentem, canis villosum pilis a vertice ad pedes, haud adeo admirati sunt; sed jacentem ad ejus pedes ursam, eosque leniter lambentem, et, cum loqui non posset, ita vocis obsequium supplere gestientem, stupuerunt, et præ formidine volebant a Marco et ab ursa discedere. Sed morabatur admiratio et oculos detinebat, vel potius, ut ita dicam, stabant muti, astricti pavore ac stupore, donec sancti viri accitu animum recipientes ad eum accesserunt.

ιε'. Προσῆλθέ ποτε ὑηρασάμενος παντοίαν ἄγραν, καὶ εἶχε περὶ ἑαυτὸν πολλοὺς ἱκανοὺς τὰ τοιαῦτα, διεσπαρμένους ἄλλους ἀλλαχοῦ κατὰ ζήτησιν ὧν ἤθελον· οἳ καὶ διερευνώμενοι τὰ ἐκεῖ παρατυγχάνουσι τῷ Μάρκῳ διδάσκοντι, καὶ ἅμα βλέπουσι καὶ ἐκπλήττονται. Ἦν γὰρ ἀληθῶς θεαθεὶς τότε μὲν τεράστιον θέαμα, τοῖς ὕστερον δὲ παράδοξον ἀκουσμα. Ἄνθρωπον μὲν γὰρ ἰδεῖν νηστευτικὸν, καὶ κατεσκληκότα λιμῷ, καὶ σκιὰν ἀνδρὸς ἐμφαίνοντα, καὶ βεβριθότα μαλλοῖς λευκοῖς ἐκ κεφαλῆς ἕως ποδῶν, οὐκ ἐς τοσοῦτον ἐθαύμασαν· τὴν δὲ πρὸ ποδῶν ἐκείνῳ κειμένην ἄρκτον, καὶ πρᾴως λιχμωμένην αὐτοὺς, καὶ, ἐπεὶ μὴ λαλεῖν εἶχεν, ἀφοσιουμένην οὕτως τὸ λαλητικὸν λειτούργημα, ὑπερεξεπλάγησαν, καὶ ὁ φόβος μὲν ἤθελεν ἀφιστᾷν ἐκείνους τοῦ τε Μάρκου καὶ τῆς ἄρκτου, τὸ δὲ θαῦμα κατεῖχεν, ὥστε παραμένειν καὶ βλέπειν· μᾶλλον δὲ, εἰπεῖν, ἱσταντο ἐννεοι, πεπηγότες τῷ δέει καὶ τῷ θαύματι, ἕως τεθαρρηκότες προσκαλουμένῳ τῷ ἁγίῳ ἤγγισαν πρὸς αὐτόν.

17. Sic delatus est Marcus ad Magnum. Iste, arrepto hoc nuntio, mittit triginta milites: qui dulci captura illa potiti simul cum discipulis, Magno astiterunt. Is, percontatus et comperto venaturæ præfectum non fuisse mentitum (fatebatur enim tyranno Marcus pro tribunali, se esse Christianum, et a tali confessione nec adulationibus nec minis avertebatur) statim elatus est superbia. Et ille altis laceratus est rasuris, et reliquorum tormentorum experientiam subiit, angelo astante invisibilibusque confirmante viribus et ad patien-

ιζ'. Ἀλλ' οὕτω μὲν κατεμηνύθη ὁ Μάρκος τῷ Μάγνῳ· καὶ αὐτὸς ἁρπάσας τὴν εἴδησιν στέλλει στρατιώτας τριάκοντα, οἳ καὶ συλλαβόντες αὐτὸν γλυκὺ θήραμα, τῷ Μάγνῳ παρέστησαν, παρασπιζόμενον καὶ μαθηταῖς· ὃς ἀνακρίνας καὶ εὑρηκὼς τὸν ἀρχηγέτην τῆς θήρας μὴ ψευσάμενον (ὡμολόγει γὰρ καὶ τῷ τυράννῳ εἰς κοινὴν ἀκρόασιν ὁ Μάρκος, Χριστιανὸς εἶναι, καὶ οὐ διεστρέφετο τῆς τοιαύτης ὁμολογίας οὔτε θωπείαις, οὔτε ἀπειλαῖς), παραχρῆμα μὲν ἦρτο μετεωρισθείς. Καὶ ἀμυσσόμενος ἐφ' ἱκανὸν ἐξέστο, καὶ λοιπῶν δὲ βασάνων δεινῶν εἰς

sancti viri accitu animum recipientes ad eum accesserunt.

16. Tunc sciscitati ac diligenter de illo percontati et comperto eum esse Christi famulum, converterunt admirationem timoremque in rabidum ipsius odium; et imprimis fera bestia Diomedes, qui statim Magno, gratissimus index, bonum defert Marcum, discipulam haud veritus ursam: qua visa mansuetudinem a sancto edocta, cum debuisset ab ea tanquam magistra idem ipse doceri, immitis fera tamen sæviit in senem Deo charissimum. Nam credi nequit ursam pedibus Marci adjacentem ita mansuetam fuisse factam absque Dei opera, ut nempe visam Diomedis pueri imitarentur et hominem Dei verentur.

τείας θείας, ἵνα δηλαδὴ θεασάμενοι αὐτὴν οἱ ἀμφὶ τὸν Διομήδην μιμήσωνται, καὶ τὸν τοῦ Θεοῦ αἰδήσωνται ἄνθρωπον.

17. Sic delatus est Marcus ad Magnum. Iste, arrepto hoc nuntio, mittit triginta milites: qui dulci captura illa potiti simul cum discipulis, Magno astiterunt. Is, percontatus et comperto venaturæ præfectum non fuisse mentitum (fatebatur enim tyranno Marcus pro tribunali, se esse Christianum, et a tali confessione nec adulationibus nec minis avertebatur) statim elatus est superbia. Et ille altis laceratus est rasuris, et reliquorum tormentorum experientiam subiit, angelo astante invisibilibusque confirmante viribus et ad patien-

πεῖραν ἦλθεν, ἀγγέλου παρισταμένου, καὶ ἀοράτῳ δυνάμει ἐπιῤῥωννύντος, καὶ εἰς καρτερίαν στερεοῦντος. Εἶτα καὶ ἐν φυλακῇ τεθεὶς, καὶ μηδὲ κάματον.

dum roborante. Postea in carcerem detrusus, nec fractus animo, novis servatus est laboribus.

οὕτως; ὑπενδοὺς, παρεπέμφθη καὶ εἰς ἑτεροῖον

ιη'. Ὡς γὰρ μὴ ἀρκούντων ὧν ἔπαθεν, ἠκολούθησε τῷ Μάγνῳ ἕως καὶ εἰς τὴν περιφερομένην Κλαυδιυπόλιν, ἵνα μεταφυτευθεὶς ἐκ τῆς τῶν Πισιδῶν εἰς τὰ ἐκεῖ, φυτὸν Θεοῦ εὐγενὲς, κάρπιμος καὶ τῇ τοιαύτῃ χώρᾳ ἐπὶ σωτηρίᾳ γένηται· ὅπου καταντήσας, καὶ τοῖς φθάσασιν ἐμπονήμασι προσεπιθεὶς καὶ τὴν ἐκ τῆς ὁδοιπορίας δυσκολίαν, καὶ μὴ πειθόμενος μεταβαλέσθαι κακὴν ἀλλοίωσιν, κερδαίνει καὶ ἐκεῖθεν ζηλωτὰ θρέμματα τοὺς ἐν γλώσσῃ κειμένους ἡμῖν ἄρτι μεγαλομάρτυρας Καλυτηνοὺς, ἐκ τῆς Πισιδικῆς, οἶα εἰκὸς, χώρας ἐκεῖσε κατηντηκότας ἢ μετοικεσίας λόγῳ, ἢ ἐμπορίας, ἢ ἄλλῳ; ὁπωσοῦν.

18. Etenim quasi ista non sufficerent quæ patiebatur, comitatus est Magnum usque ad percelebrem Claudiopolim, ut a Pisidarum urbe huc translata nobilis Dei planta huic etiam regioni fructus salutis proferret. Cum eo pervenit, prioribus laboribus addita viæ vexatione, ad malum perverti nequit, sed ibidem invidendos lucratur alumnos, quos scilicet nuper in ore habebamus insignes martyres Calytenos, qui e Pisidia, ut videtur, illuc transierant, sive transmigrationis causa, sive propter negotia, sive ob aliam quamvis rationem

B

ιθ'. Ἔτυχον δὲ εἶναι αὐτοὶ χαλκέες μὲν τὴν τέχνην, δι' αὐτῆς ἀποζῶντες εἰς αὐτάρκειαν, ψυχῆς δὲ χρηστότητα, ὡς ἐκ τῶν ὕστερον ἔστι τεκμηριώσασθαι, θερμοὶ τὸν εἰς ἀγαθὰ ζῆλον, καὶ οἷοι ἅμα λαβεῖν ἀρχὴν καλοῦ, καὶ αὐτίκα γενέσθαι τοῦ τέλους. Τοιοῦτοι δὲ πάντως οἱ εὐφυεῖς τὰ ἐς χρηστομάθειαν, ὃ δὴ ἀρχῶν ἡ καλλίστη τοῖς φιλοκάλοις προῦποβέβληται· χρὴ γὰρ ζώπυρον ἀγαθοῦ θελήματος ἐγκεῖσθαί τινι ἐς ψυχὴν, κἂν εἰ καὶ πονηροῖς ἐντρίβοιτο ἤθεσί τε καὶ πράγμασιν, ἵνα, ὑπηνίκα ἐπίπνοια θεία ῥιπίσῃ αὐτὸ, καὶ τὴν ἐπιπροσθοῦσαν ἀπαγάγοι βιωτικὴν τέφραν, εὐθὺς ἀναλάμψοι φῶς ἀληθείας, καὶ ἄνθρακες ἐξαναφθείεν ἀφανίζοντες τὴν φθάσασαν μοχθηρὰν ὕλην, ἧς ὁ φορυτὸς ἀχρειοῖ τὸ ἐν ἀνθρώπῳ ἔνθεον καὶ ἄϋλον. Ταύτης τῆς εὐφυΐας ὄντες καὶ οἱ Καλυτηνοὶ ἐξ αὐτῆς πρώτης πλάσεως, τέως μὲν ἐπλάζοντο περὶ τὰ τοῦ βίου, καὶ τοιούτῳ πελάγει ἐμπλέοντες ἐφέροντο εἰκῇ καὶ μάτην, ἔνθα παρέσυρεν αὐτοὺς πνεῦμα, οὐ τὸ θεῖον, ἀλλὰ τὸ πονηρόν· εἰ δέ που καὶ κατῆραν εἰς γῆν, ἀλλὰ καὶ αὐτὴ οὐ στερρὰ ἐν αὐτοῖς, ἀλλὰ κατέσειε τὰς αὐτῶν βάσεις, καὶ οὕτω τῆς εἰς ὀρθὸν ἀπεστέρει στάσεως.

19. Hi ferrariam profitebantur artem, per hanc degentes sua sorte contenti et animo simplices, ut ex consequentibus conjici potest; fervidi virtutis studio, et idonei qui vix capessito boni initio statim ad perfectionem pervenirent. Tales sunt quicunque ad bonum sunt natura proclives, quod est primum et optimum virtutis fundamentum: oportet enim in anima subesse bonæ voluntatis scintillam, licet malis operam habitibus et operibus, ut, cum divinus Spiritus hanc afflaverit et superfusum expulerit cinerem mundanum, statim emicet lux veritatis, et carbones accendantur pristinæ edaces iniquitatum materiæ, cujus sordes obruit quod inest homini divinum et immateriale. Bonam hujusmodi indolem sortiti ab ipsa natura Calyteni, primum vivebant in errore, talique innantes mari ferebantur passim et in incertum, quocunque trahebat eos spiritus, haud quidem divinus, sed immundus; et si quam appellerent ad terram, hæc non erat illis solida, sed commovebat eorum pedes, et sic impediebat ne in recto starent.

C

κ'. Οὐκ ἦν γὰρ ἐν τοῖς τότε καιροῖς οὔτε ἀσάλευτα πλέειν, οὔτε στερρὰ βαδίζειν, οἷα τῆς δαιμονικῆς ἐπιφορᾶς πᾶσαν καὶ θάλασσαν καὶ γῆν, τὴν μὲν κυμαινούσης, τὴν δὲ κατασειούσης, καὶ μὴ ἀφιείσης τὸ τοῦ Θεοῦ πλάσμα πρὸς αὐτῷ εἶναι, ἀλλ' ἁρπαζούσης οὐκ εἰς ὄρος ἢ κῦμα θαλάσσης, καταβιβάζειν δὲ καὶ εἰς αὐτὸν βιαζομένης τάρταρον. Καὶ οὕτω μὲν ἄχρι καὶ τοῦ κατὰ τὸν Μόρκον μαρτυρίου ἐβίουν οἱ Καλυτηνοὶ, πλουτοῦντες μὲν ἀγαθῇ μόνῃ διαθέσει, καὶ εὐμαθεῖ φύσει, καὶ ὀξυτάτῃ εἰς τὸ καλὸν ἀναβλέψει, καὶ ἐπαινετῇ προθέσει, ἄλλως δὲ πενόμενοι τοῦ τελείου, ἐπεὶ μὴ εὕρισκον τὸν κατάρξαντα καὶ οὕτω καθηγησόμενον εἰς αὐτό. Ἦ τί ἂν ἐποίουν ἐν σκότῳ μὲν οἷον βαθυτάτῳ ὄντες, ὅνπερ ἐκδύντες γένοιντο ἂν τοῦ φωτὸς, μὴ ἔχοντες δὲ τὸν προπορευόμενον, μάλιστα δὲ μηδὲ εἰδότες, ὅ τί ποτέ ἐστι φῶς; Ὡς εἶναι διὰ τοῦτο περὶ αὐτῶν οὐκ ἀφυῶς εἰπεῖν τὸ· Ὡς τὸ σκότος αὐτοῖς, οὕτω καὶ τὸ φῶς.

20. Impossibile enim erat in hisce temporibus navigare sine procella aut firmiter deambulare, quia dæmonis impetus omnes permisecebat maris fluctus, et omnem terram concutiebat, nec creaturas Dei penes ipsum esse sinebat, sed raptas haud quidem in maris scopulum aut gurgitem, imo in ipsum detrudebat tartarum. Ita usque ad Marci martyrium degebant Calyteni, divites bona tantum indole, docilique natura, et acerrimo boni intellectu, ac laudabili propensione, sed inopes perfectionis, utpote neminem nacti qui eos ad hanc suo induceret exemplo. Quid fecissent, tam densa obtecti caligine ut omni lumine essent exuti, nec habentes qui facem præferret, vel potius nescientes quid sit lux? Et propterea de ipsis dici non poterat: Quales eis tenebræ, tale lumen.

D

κα'. Ἔχουσι δὴ οὕτω τοῖς Καλυτηνοῖς, καὶ διε-

21. Ita se habentibus Calytenis, ac bono egen-

tibus impetu, quo et ipsi fierent boni, et quæ in potentia naturaliter inerat sapientia in actualem converteretur sapientiam, ecce apparet divinitus dux, qui e tenebris ad lucem adducat, venerabilis Marcus, magni summique pastoris egregius opilio, in cordis simplicitate callidus rerum cœlestium, et cum ignorantia naturalem jungens in divinis sapientiam. Illum Deus illustrans arte docendi et in pastorali officio usque ad finem vitæ conservans, ne unquam pro Deo pascere desineret, per eum dilectos lucratus est agnos : quos hic ipsi spiritaliter pastos obtulit in sanctum sacrificium, in odorem suavitatis, in oblationem acceptabilem, in hostiam placitam et salutarem nobis qui sumus filii Dei.

22. Cum igitur Marcus in ætate senili virilem gereret animum, nec eum Deus deficere sineret, ut ejus zelo adolescentes et viri accendi possent ad virtutem, ipsum Magnus novis reservabat supplicils. Antea vero sancti senis pedes torquere decrevit intolerabili compedum mole, ut priores itineris labores recentioribus augeret pedum doloribus, ac dira pateretur, ut paulo ante incendendo, ita et nunc in carcere immobiliter stando. Et quidem multo levius erat illud gressus tormentum : ferrei enim calcei clavis intus acutissimis horrentes optabilem, ut arbitror, sancto viro faciebant descensum ad inferos, præ impatibili doloris acerbitate.

23. Sic igitur vinculis intolerabilibus sanctum destinans Marcum immundus Magnus, quæsivit fabros qui optatam cuderent machinam : et cito reperti sunt Calyteni a viris ad pravum ferventibus. Prorepti enim sunt ad inveniendum malum mali servi, nec sic bonus volita prosperat, ut vir nequam : difficile enim inventu est omne bonum et laborinse acquiritur ; malum vero facile reperitur, ideoque cito comparatur.

24. Ubi ergo reperti sunt ferrarii addictique et mercede statuta conducti ad compedum fabricam et approperati, ipsi quidem, suadente naturali bonitate, arte sua fungebantur, ne fidem datam fallerent, neve fraudando contrairent præsidi. Neque enim cogitare, ne suspicari quidem poterant pravum istius consilium ; nec sciebant quis esset Marcus vel Marci Deus : quæ si cognovissent, forsan haud cœpissent talia procudere vincula, sed maturius præripuissent martyrium. Et jam omnino exarserat formax, jam ferrum igne incandescebat. Ubi vero incudi impositum fuit, et mox fabricandum erat in compedes, si eorum manus torporem passi essent (et reipsa patiebantur), id quidem visum fuisset haud multa notatione dignum, Hoc vero maxime attendendum est : fusum nempe metallum jam non poterat ferrum fieri, sed coagulari recusabat, et quasi currere volens velut in liquidum diffluebat ac dispergebatur, atque

A μένοις ἀφορμῆς ἀγαθῆς, ἵνα καὶ αὐτοὶ γένωνται. ἀγαθοί, καὶ τὸ κατὰ δύναμιν φύσει σοφὸν μεταβάλωσιν εἰς τὸ ἐνεργείᾳ σοφώτατον, ἐπιφαίνεται θεόθεν ποδηγός, ἀπὸ σκότους εἰς φῶς ἐξάγων, ὁ εὐγήρως Μάρκος, ὁ τοῦ μεγίστου ἀρχιποιμένος καλὸς ποιμήν, ὁ ἐν ἤθυσι ἁπλότητι ἀγχίνους τὰ θεῖα, ὁ ἐν ἰδιωτείᾳ θυμόσοφος καὶ θεόσοφος· ᾧ γνῶσιν ἐλλάμψας ὁ Θεὸς διδασκαλικὴν, καὶ τὴν ζωϊκὴν ποιμαντικὴν αὐτῷ τηρήσας μέχρι καὶ εἰς αὐτὸ τέλος ζωῆς, ἵνα μηδέποτε τοῦ φιλοθέως ποιμαίνειν ἀποστερηθείη, ἐπορίσατο δι' αὐτοῦ ἀμνοὺς φίλους, οὓς ἐκεῖνος πνευματικῶς θρεψάμενος προσήγαγεν αὐτὸ εἰς ἅγιον σφάγιον, εἰς εὐώδη ὀσμὴν, εἰς προσφορὰν δεκτὴν, εἰς θῦμα φιλητὸν καὶ σωτήριον ἡμῶν, τῶν τοῦ Θεοῦ.

B κβ'. Ἐπεὶ γὰρ ὁ Μάρκος ὑπὲρ ἡλικίαν γεροντικὴν ἠνδρίζετο, καὶ ὁ Θεὸς οὐκ ἐνεβίβου αὐτῷ ἀποκάμνειν, ὡς ἂν τῷ κατ' ἐκεῖνον ζήλῳ καὶ οἱ νεώτεροι καὶ οἱ ἀκμάζοντες ἔχωσιν ἐκπυροῦσθαι εἰς τὰ βελτίονα, ἐταμιεύετο μὲν ὁ Μάγνος αὐτὸν ποιναῖς εἰς τὸ μέλλον· τῷ τέως δὲ κακῶσαι τοὺς πόδας διέκρινε τῷ ἁγίῳ γέροντι ἀφορήτῳ βαρύτητι χλοιῶν, ἵνα ταῖς ἤδη ἐκ τῆς ὁδοιπορίας κακώσεσι προσεπιλάβοι καὶ τὰ ἐκ τῆς προσφάτου πεδοκάκης, καὶ δεινὰ πάσχοι, ὥσπερ πρὸ βραχέων ὁδοιπορῶν, οὕτω καὶ νῦν ἀκινητίζων ἐν φυλακῇ. Καὶ μὴν φορτικώτερον εἰς πλέον ἦν τὸ τῆς ὁδοιπορίας ἐκείνης ἐπιβούλευμα· κρηπῖδες γὰρ σιδηραῖ ἥλοις ἐντὸς ἐς ὀξύτατα φρίσσουσαι, καὶ οὕτω τοὺς πόδας κακο-

C ποιοῦσαι, εὐκταίαν, οἶμαι, τῷ ἁγίῳ τὴν εἰς ᾅδου ἐποιοῦντο πορείαν, διὰ τὸ τῆς ὀδύνης ἀφόρητον.

κγ'. Καταικρίνας οὖν οὕτω δεσμοῖς οὐ φορητοῖς τὸν ἅγιον Μάρκον ἀναγὴς Μάγνος, ἀνεζήτει τεχνίτας χαλκευσομένους τὸ ποθούμενον· καὶ ταχὺ εὑρέθησαν οἱ Καλυτηνοὶ πρός γε τῶν θερμῶν εἰς κακίαν. Ὀξεῖς γὰρ εἰς ἀνεύρεσιν κακοῦ οἱ πονηροὶ θεράποντες, καὶ οὐχ οὕτως ὁ ἀγαθὸς εὐπορεῖ τοῦ πρὸς ἐπιθυμίαν, ὡς ὁ τῆς πονηρίας ἄνθρωπος. Δυσπόριστον μὲν γὰρ ἅπαν ἀγαθὸν, διὸ καὶ πόνοις κτᾶται· εὐπόριστον δὲ τὸ φαῦλον, ὅθεν καὶ εὔληπτον.

κδ'. Ὡς οὖν εὑρέθησαν οἱ χαλκεύσοντες, καὶ ἤχθησαν, καὶ μισθοῦ ἁρισθέντος ἐτάχθησαν πρὸς τῇ κατεργασίᾳ τῶν δεσμῶν, καὶ ἐσπεύδοντο, αὐτοὶ μὲν, τῆς κατὰ φύσιν ἀγαθότητος ἐπισπερχούσης, D ἐποίουν τὰ τῆς τέχνης, ἵνα μὴ ψεύδοιντο τὸ ἐπάγγελμα, καὶ ψευδόμενοι ἀπεναντίας ἔρχοιντο τῷ ἄρχοντι. Οὐδὲ γὰρ εἶχον ἢ νοεῖν, ἢ ὑπονοεῖν τὸ κατ' ἐκεῖνον κακόβουλον· οὐδὲ μὴν ἐπίστανto, ὅστις ποτέ ἐστιν ὁ Μάρκος, ἢ ὁ τοῦ Μάρκου Θεός· ὡς, εἴπερ ἐγίγνωσκον, τάχα ἂν οὐδὲ τὴν ἀρχὴν ἐπεβάλοντο κατεργάζεσθαι κλοιὰ τοιαῦτα, ἥρπασαν δὲ ἂν τὸ μαρτύριον πρωϊαίτερον. Καὶ τανῦν τὸ μὲν πῦρ αὐτοῖς ἐντελῶς εἶχε, καὶ ὁ σίδηρος ἤδη πῦρ ἦν ἐκφλογούμενος. Ὡς δὲ καὶ ὁ ἄκμων εἶχεν αὐτὸν, καὶ ἐχρῆν σφυρηλατεῖσθαι αὐτὸν εἰς δεσμὰ, εἰ μὲν αἱ χεῖρες αὐτοῖς νάρκην ἔπασχον (ἔπασχον δὲ ἀληθῶς), δίξοι ἂν αὐτὸ οὐ πάνυ πολλῆς ἐπισημασίας ἄξιον. Ἐκείνῳ δὲ ἐπιστῆσαι μάλιστα χρὴ, ὅτι τὸ χώνευμα οὐκέτι ἐστεγεν εἶναι σίδηρος, ἀλλὰ τὴν συνίζησιν

ἀπηρνεῖτο, καὶ τρέχειν οἷον ἐθέλων, ὡσεὶ καὶ ὕδωρ ἐχέετο, καταῤῥυῖσκόμενος, καὶ διεσκορπίζετο, καὶ συναγόμενος πάλιν ὡς ἐξ ὑπαρχῆς, καὶ ἀποκαθιστάμενος πρῶτα μὲν εἰς μέλανα σίδηρον, εἶτα καὶ εἰς ἀνθρακώδη τῇ ἐκφλογώσει· καὶ μηδὲ πάλιν φέρων σφύρᾳ τύπτεσθαι, ἀλλ' οἷον ὑποστελλόμενος τὰς τοιαύτας πληγὰς, καὶ ἑαυτὸν συστέλλων ὡς εἰς ἄχνην. Καὶ οὕτω τὴν ἐκ φύσεως λύων συνέχειαν, οὐκ ἤθελε τοὺς τοῦ Μάρκου περιυβρίσαι πόδας, πρὸ ἐκείνου θνήσκων οἷον αὐτὸς, οἷς εὐλαβεῖτο συμποδίσαι τὸν εἰς ἀγαθὸν τρέχοντα. Καὶ τὸ πάθος ἐγίνετο πολλάκις κατὰ τὸ πάλιν καὶ πάλιν.

A iterum ut ab initio concretum, restituebatur primo in nigrum ferrum, deinde in carbonis ardentis speciem; nec amplius poterat malleis excudi, sed horum ictibus quasi se subripiens, in favillam dilabebatur. Et sic naturalem suam obliviscens continuitatem, nolebat Marci nocere pedibus, pro eo quodammodo ipsum emoriens, et verebatur compedes impingere homini ad bonum currenti. Et illud sæpe itèrum iterumque contigit.

κε'. Ὑπεισιν οὖν ἐπὶ τούτοις λογισμὸς ἔμφρων τοὺς χαλκευτὰς, θεῖον εἶναί τι πρᾶγμα τὸ γινόμενον, καὶ ἀληθῶς τεράστιον, καὶ οὐκ ἂν μὴ σημαντικὸν μεγάλου ἀποτελέσματος· καὶ ὁ λογισμὸς οὗτος ἐμβαθύνας καὶ ἐγκαθίσας ἐς ψυχὴν, καὶ εἰς θεολογίαν ἀπολεπτύνας αὐτοὺς ἐποίησε φιλοσοφῆσαι, ὡς οὐκ ἄνευ ταῦτα θείας δυνάμεως οὐδὲ Θεοῦ δίχα. Πῶς γὰρ ὁ σίδηρος, ὁ εἰς ἓν συῤῥέων τῇ ἐκπυρώσει, καὶ τῇ ἀναχωνεύσει τὴν σκωρίαν ἐκτινάσσων, καὶ οὕτως εἰς καθαρὸν ἀποκαθιστάμενος καὶ ῥᾷον τὸ ἐντεῦθεν συμπιλούμενος καὶ πυκνούμενος, εἰ τύπτεται πρὸς ἔλασμα, νῦν πλαδαροῦται, ὡς καὶ διαῤῥυῖσκεσθαι τρόπον ὕδατος, εἰ μὴ κατά τι θεῖον συγκύρημα ξένον τι ἐπεσκευωρεῖτο συνάντημα; Καὶ αὐτίκα συνεισήρχετο νοῦς αὐτοῖς, Θεοῦ ἄνθρωπον εἶναι τὸν δεσμησόμενον, καὶ διὰ τοῦτο ἐμποδὼν εἶναι τὸν τοῦ Μάρκου Θεὸν τῇ εὐοδώσει τοῦ ἔργου αὐτῶν.

25. Ex his sapienter dijudicant fabri divinum quid esse quod accidit, et vere portentosum, et non nisi magni indicium operis. Quæ cogitatio mentì eorum insidens et inhærens, ipsosque res erudiens divinas, hoc illis suggessit argumentum, nempe ista haud sine Dei numine ac motu evenisse. Quomodo enim ferrum, quod in unum confluit excandescendo, et fusura scoriam excutit, sicque suam recuperans sinceritatem, facile exinde condensatur et comprimitur percussione in laminam, quomodo nunc relaxatur et aquæ instar fluit, nisi divinus quidam nutus in hoc singulari inspiciatur eventu? Statim igitur mens illis succurrit Dei hominem esse quem compedire parabant, et propterea Marci Deum obstare quominus in opere succederent.

κς'. Πάντως γὰρ φήμης ἀναβοωμένης, οὐκ εἶχε λανθάνειν οὐδ' αὐτοὺς ὁ Μάρκος, ὅτι θεοὺς μὲν ἀπωθούμενος καὶ ψέγων ὡς μὴ ἀληθεῖς, ἑνὶ δὲ Θεῷ προσανέχων, καὶ Θεὸν ὄντως αὐτὸν ἐπαγωνιζόμενος εἶναι, τετίμηται δεσμοῖς. Ὅθεν τοιαῦτα σοφισθέντες ὑπὸ τοῦ ἐντὸς αὐτῶν διδασκάλου, ὑποφητεύοντος δηλαδὴ Θεοῦ ταῖς τοῦ ἁγίου Μάρκου εὐχαῖς, τόν τε ἐκβοώμενον πιστότατον Μάρκον ἀποδέχονται τῆς ὑπὲρ τοῦ φιλητοῦ Δεσπότου ἐνστάσεως, ὃν αὐτὸς κηρύττειν ἐθέλει· καὶ τῷ Θεῷ διὰ τῆς τοιαύτης ἀποδοχῆς ὁσιοῦνται, καὶ τὸν τύραννον ἀποστυγοῦσι, καὶ γραφέντες εἰς τὸ καλῶς νοεῖν, πρὸς τῷ ἁγίῳ Μάρκῳ τὸν νοῦν ἔχουσι.

26. Fama enim omnia divulgante, ipsos etiam latere haud poterat Marcus tanquam deos contemnens ac vituperans ut non veros, uni autem Deo credens, eumque asserens verum esse Deum, atque ideo vinculis mulctatus. Unde talia edocti ab interiore magistro, a Deo videlicet sancti Marci precibus annuente, percelebris Marci firmissimam approbant fidelitatem in dilectum Dominum, quem ipse prædicare volebat, et Deum ob hanc approbationem honorant, tyrannum vero detestantur, et sanæ doctrinæ destinati, mentem sancto Marco applicant.

κζ'. Τί δὲ οὐκ ἔμελλον ποιῆσαι οἱ πρὸς τῷ ἔσω μυσταγωγῷ, τῷ ἐξ ἑλλόγου φύσεως, καὶ τὴν ἐξ αὐτοῦ Θεοῦ διδασκαλίαν τρανῶς ἐνωτισάμενοι; Φωνὴ γὰρ οὐρανόθεν ἀπηχήθη καὶ αὐτοῖς, ὁποῖαι καὶ ἄλλαι μυρία ἐβρόντησαν θεοπαράδοτα νοήματα, θαῤῥύνουσα τοὺς Καλυτηνοὺς εἰς τὸ ἀθλῆσαι. Ἧ κατακολουθοῦντες, τούς τε πυραγρικοὺς καρκίνους ῥίπτουσι, καὶ συναποβάλλουσι δὲ καὶ τὰς σφύρας· καὶ τὴν ἀσβόλην μὲν ἀπειπάμενοι, τὴν ἐκ τῆς τέχνης, καὶ τὸν ἐκεῖθεν ῥύπον, τὸ δὲ φῶς ἐγκρίναντες, τὸ καὶ ὄντως καὶ ἄῤῥητον, ὃ καὶ ἐκληρώσατο αὐτοὺς ὑπὲρ Θεοῦ ἀθλήσοντας, καὶ οὕτω διαφυγόντας, ὥσπερ τὸ κατὰ τέχνην πῦρ, οὕτω καὶ τὸ αἰώνιον, τρέχουσιν ἐπὶ τὸν Μάγνον. Καὶ τέως μὲν καὶ ἀποστρέφουσιν, ὃν ἔλαβον μισθὸν τῆς κατὰ τοῦ Μάρκου σιδηροπωλίας, ἵνα καὶ τὸ ἀργύριον αὐτοῦ σὺν αὐτῷ εἰς ἀπώλειαν· εἶτα καὶ πληροφοροῦσι λόγοις

27. Quid autem non facturi erant qui, præterquam a magistro intus per rationalem naturam loquente, ab ipso Deo disciplinam clare audierant? Vox enim tunc etiam cœlitus exaudita est, quales et aliæ millies intonuerunt transmissas a Deo loquelas, excitans Calytenos ad pugnandum. Cui obedientes, similes cancris forcipes projiciunt; conjiciunt simul et malleos, et exterguntur fuliginem ac sordem ex arte sua inhærentem; lucem vero amplectentes quæ est vera et ineffabilis, sese conscribunt ad militandum pro Deo; et sic fugientes, tum ignem suæ artis, tum æternum ignem, currunt ad Magnum. Ac primum repellunt mercedem, quam abeo acceperant ad Marcum ferro calceandum, ut pecunia illius cum eo esset in perditionem; deinde affirmant sermone brevi se esse paratos ad moriendum pro Deo quem Marcus prædicat, nec velle dein-

ceps vivere, si periclitantur ne cum impiis versentur vel potius vitientur.

28. Statim proinde comprehensi, varia alternaverunt tormentis tormenta; nec solum quibus assuetus erat Magnus, hæc adhibuit in illos athletas, nequaquam mitius quam quæ antea exercuerat, sed et alia nova quæ malesuadus isti dæmon suggerebat. Solent enim plerumque in hujusmodi re ambitiose agere tyranni, et excogitare semper quibus terreant miseros in manus suas delapsos, et sic horrorem in eis augeant, negotiosam reddentes ferocitatem, et insitam homini mansuetudinem in bestiæ feritatem immutantes. Cum vero supplicia in illos nihil valerent, nec ullus sermo in eos esset efficax sive minarum, sive suasionis, excogitat nequissimus cruciatum haud omnino martyribus incongruentem.

29. Statuit enim tres Calytenos, qui per ignem in arte fabrili vivebant, etiam per ignem tollere, et ex hac ferri fabricatione, quam ignis haud peremerat, eos detrudere quadam simili fusura, ut per quod vivebant, per hoc e vita migrarent. Itaque fusa plumbi massa insertoque infundibulo in ore martyrum, velut in vasis alicujus liquoris capacibus, illud vivum tribus infudit, ut sic intus inusti vitam illico exhalarent.

30. At ista Marci machinatio perfectum haud sortita est exitum, sed in vanum pueri jocum desiit. Erat enim plumbum illud eis innoxium, sicut allegorica Psalmistæ cera liquescens in medio ventris eius. Erat martyribus quasi unda mitigativa illabens usque ad animam eorum. Si quis autem recte diceret illud velut aquam subiisse in eorum viscera, nonne etiam certo asserat hoc plumbo illis auctum fuisse cordis fervorem, et accensum domus Dei zelum qui antiqui Prophetæ cor comedebat? Imo vero refrigeratum a Deo plumbum illud visum est non igne fusum, sed quale in sacro Cantico submergitur in aquis vehementibus: siquidem minime urebat, sed frigidum illabebatur in corpus pariter frigidum.

31. Quinam erant fratres illi tam fortiter athletæ, qui, fervido spiritu Deum sitientes, tale liquidum pro eo combiberunt plumbum? nonne superabundaverunt fervore animæ in Deum? nonne combusti sunt pro fide? nonne sexcentis tyrannum verbis increpuerunt et irriserunt? Quare perseverans iste in eadem pervicacia, et in martyres rabidus Deumque impugnans, ad aliam convertitur viam qua celerius sese expediat martyrum conversatione. Etenim jam non poterat resistere, ne par quidem viribus cum eis esse valens. Ideo ferrariam artem aliunde assumens in auxilium, ut in eos exsequeretur quod ipsi in Marcum facere non potuerant,

A οὐ μακροῖς, ἑτοίμως ἔχειν θνήσκειν ὑπὲρ τοῦ Θεοῦ, ὃν ὁ Μάρκος κηρύσσει, καὶ μὴ ἂν ἐθέλειν τοῦ λοιποῦ μηδὲ ζῆν, εἰ συγχρᾶσθαι κινδυνεύουσιν ἀθέοις, μᾶλλον δὲ συγχραίνεσθαι.

κη'. Καὶ τοίνυν κρατηθέντες αὐτίκα ἥμειψαν κολάσεις ἐκ κολάσεων πολυειδεῖς, οὐ μόνον ὁποίαις ὁ Μάγνος ἐνεθισθεὶς προεχειρίζετο αὐτὰς, καὶ ἐπὶ τούτοις τοῖς ἀθληταῖς οὐδὲν τῶν ἄλλοτε φθασάντων ἔλαττον, ἀλλὰ καὶ ἑτέρας καινοτέρας, ὁπόσας ὁ φαυλοδιδάσκαλος δαίμων ὑπηγόρευεν. Εἰώθασι γὰρ ὡς τὰ πολλὰ ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι οἱ τυράννοι, καὶ προσεξευρίσκειν ἀεὶ τὰ ἐκπλήττοντα τοὺς παραπίπτοντας, καὶ οὕτω προσαύξειν τὸ ἐν αὐτοῖς φρικαλέον, πραγματειώδη ποιούμενοι τὴν ἀγριότητα, καὶ τοῦ κατ' ἄνθρωπον ἡμέρου τὸ
B θηριῶδες ἀλλαττόμενοι. Ἐπεὶ δὲ τὰ μὲν κολαστήρια παρ' οὐδὲν ἦσαν τοῖς ἀθληταῖς, λόγος δὲ ἅπας ἄπρακτος ἦν ἐν αὐτοῖς, ὅτε πρὸς ἀπειλὴν καὶ ὁ ἐπὶ παραινέσει, εὐτραπελεύεται ὁ χαιρέκακος οὐ πάντη ἀπροσφυῆ τοῖς μάρτυσι κόλασιν.

κθ'. Βουλεύεται γὰρ, τοὺς διὰ ἐργασίας βαναύσου ζῶντας, τῆς ἐν πυρὶ, τρεῖς Καλυτηνοὺς, διὰ πυρὸς ἀγαγεῖν, καὶ τῆς τοῦ σιδήρου ἐργασίας ἐκείνης, ἣν πῦρ οὐ κατειργάσατο, καταπαῖξαι διά τινος ὁμοίας διαχωνεύσεως, ἵνα ᾧπερ ἔζων, τούτῳ ἀπαλλαγεῖεν τοῦ ζῆν. Καὶ τήξας μόλιβδον ἀρκοῦντα, καὶ χώνην ἐνθεὶς ἑκάστῳ τῶν μαρτύρων ἐπὶ τὸ στόμα, καθὰ καὶ ἀγγείοις ὑγροῦ τινος δεκτικοῖς, ζέοντα ἐκεῖνον ἐνέχεε κατὰ τῶν τριῶν, εἴ πως ἐμπρησθέν-
C τες οὕτω τὰ ἐντὸς αὐθωρὸν ἀποῤῥήξωσι τὴν ζωήν.

λ'. Εὐτυχήθη δὲ ἄρα οὐδὲ ἡ τοιαύτη τῷ Μάγνῳ ἐπίνοια πρὸς ἐντελῆ ἐνέργειαν, ἀλλ' ἐξέβαινεν ὡσεὶ ἄπρακτος παιδιά. Ἦν γὰρ ὁ τοιοῦτος μόλιβδος ἀβλαβὴς ἐκείνοις, καθὰ καὶ τῷ ψαλμῳδῷ Προφήτῃ ὁ παραβολικὸς κηρὸς, ὁ τηκόμενος ἐν μέσῳ τῆς κοιλίας αὐτοῦ. Εἶχον δὲ ἂν αὐτὸν οἱ μάρτυρες καὶ οἷον τινὰ ὕδατα παρήγορα, εἰσελθόντα ἕως ψυχῆς αὐτῶν. Ψάλλοι δὲ ἄν τις, καὶ ὅτι ὡσεὶ ὕδωρ εἰσῆλθεν εἰς τὰ ἔγκατα αὐτῶν· μή που δὲ ἀσφαλῶς ἂν εἴποι, καὶ ὅτι προσεπηύξησεν ὁ πυρόεις ἐκεῖνος μόλιβδος τὴν ἐν αὐτοῖς καρδιακὴν ζέσιν, καὶ ζῆλον αὐτοῖς ἐνέκαυσε κατὰ τὸν τοῦ οἴκου τοῦ Θεοῦ, ὃς ἁγίου παλαιτάτου καρδίαν κατέφαγε. Προσθετέον δὲ καὶ, ὡς ἀναψυχῇ τῇ ἐκ Θεοῦ μόλιβδος ἐκεῖνος ἐλογίσθη οὐ πυρὶ ὁμιλήσας, ἀλλ' ὁποῖος ἐν ἱερᾷ παραβολῇ καταδύεται ἐν ὕδατι σφοδρῷ, οὐκ ἂν κατακαίων πάντως ἐκεῖνος, ἀλλὰ παρακύπτων ψυχρὸς αὐτὸς εἰς σῶμα ὅμοιον.

D λα'. Τίνες ἂν ἦσαν ἐν τοῖς τοιούτοις οἱ ἀδελφοὶ οὗτοι ἀθληταὶ, οἳ τὸν Θεὸν διψῶντες, τὸν τοιοῦτον ὑγρὸν ὑπὲρ ἐκείνου μόλιβδον ἐξέπιον, ζέοντες πνεύματι; Ἆρα οὐκ ἂν ἐπολυπλασίασαν τὸ τῆς ψυχῆς θερμὸν ὑπὲρ τοῦ Θεοῦ; οὐκ ἂν ἐξεπυρώθησαν ὑπὲρ τῆς πίστεως; οὐκ ἂν εἶπον τῷ τυράννῳ μυρία ὅσα εἰς ἔλεγχον καὶ κατάγελον; Οὐκοῦν ἐπιμένων ἐκεῖνος τῇ αὐτῇ ἐνστάσει, καὶ κατὰ τῶν μαρτύρων λυσσῶν καὶ θεομαχῶν, ἑτέραν τρέπεται, δι' ἧς τάχιον ἑαυτὸν ἀπαλλάξει τῆς τῶν μαρτύρων ὁμιλίας. Οὐ γὰρ ἔφερεν ἔτι ἀντιπράττειν, οἷα μηδὲ ἰσοπαλὴς αὐτοῖς εἶναι ἰσχύων. Καὶ δὴ τὴν χαλκευτικὴν τέχνην ἑτέρωθεν προσλαβόμενο, εἰς ἐπικου-

ρίαν, ὡς ἂν ἐξανύσῃ, κατ' αὐτῶν, ὅπερ αὐτοὶ κατὰ τοῦ Μάρκου δράσαι οὐκ ἔσχον, ἥλους τε ἀδροὺς ἐπιτάττει, δι' ὧν καθηλοῦνται ἀνασκολοπιζόμενοί τινες, καὶ πέτραν παρατηρεῖται οἵαν στέξαι προσπαγησομένους ἀνθρώπους.

λβ'. Καὶ ἦν μὲν τῷ Θεῷ δυνατὸν, μήτε τοὺς ἥλους παγιωθῆναι εἰς στερέμνιον, ἀλλὰ παθεῖν ἀνάλυσιν, ὁποίαν ὁ σίδηρος, ὁ κατὰ τῶν δεσμῶν τοῦ Μάρκου μαλαττόμενος, καὶ τὴν πέτραν δὲ στερεωθῆναι εἰς ἀνύπεικτον, καὶ λαξευτικαῖς πληγαῖς ἀνένδοτον καὶ διατρήσεσι, καθ' ὧν οἱ ἥλοι παρεισδύσονται. Οἰκτείρας δὲ τοὺς πολυπαθεῖς μάρτυρας, καὶ μεταναστεῦσαι τῆς ἀνθρωπίνης ζωῆς ἀποφηνάμενος (ἀρκούντως γὰρ ἐγυμνάσθησαν, ὡς ἐκεῖνος ἔκρινεν, ὃν οὐκ ἔστιν ἐκλογίσασθαι), τῷ σιδήρῳ τε ἐφῆκεν ἥλους κατορτιᾶν, καὶ τὴν πέτραν ἀφῆκε παθεῖν συνήθη διατόρησιν. Καὶ ὡς αὐτὸ ἐγένετο, ἀπαγορεύονται ζῆν ἐν γῇ πρὸς τοῦ Μάγνου οἱ μάρτυρες· καὶ ταχὺ ἀρθέντες προσπήγνυνται τῇ πέτρᾳ, ὅσα καὶ ξύλῳ σταυρώσεως· καὶ οὕτω τῇ μὲν προσηλώσει μιμοῦνταί πως τὸν δι' ἡμᾶς ἑθελουσίως προσηλωθέντα σωτῆρα Χριστὸν, τῇ δὲ πέτρᾳ τῆς μελιῶσθαι τῇ πίστει τῇ εἰς τὸν Κύριον.

λγ'. Ὁ δὲ ἀλείψας Μάρκος περιῆν μὲν καὶ εἰσέτι· οὐ γὰρ ἦγε σχολὴν ὁ Μάγνος ἐπισκέψασθαι καὶ αὐτὸν, ἀλλὰ τὸν νοῦν ὅλον εἶχε πρὸς ταῖς αὐτοῦ προσφοραῖς, τοῖς Καλυτηνοῖς, οὓς αὐτὸς προσήγαγε τῷ Θεῷ, οἷς δι' αὐτοῦ ἐκεῖνον ἐγνώρισαν, ἀναβάντας εἰς ὕψος γνώσεως ὅσα καὶ διά τινος κλίμακος, τῆς ἐπ' αὐτῷ ἐννοίας, ὅτε σίδηρος αὐτοὺς ἐμυσταγώγησε, καινότερον μαλαττόμενος. Καὶ ἐχρῆν οὕτω γενέσθαι δυοῖν ἕνεκεν· ἵνα καὶ ὁ ἅγιος γέρων ἀπέλθῃ θαῤῥῶν εἰς Θεὸν, ἐπεὶ καὶ τοιούτους τελευτῶν αὐτῷ κατήρτισε μάρτυρας, καὶ αὐτοῖ δὲ μὴ ἀποκνοῖεν ὄκνου λόγῳ, τὴν τοῦ Μάρκου μεταθρικότες μετανάστασιν καὶ πρὸς Θεὸν ἀνάβασιν.

λδ'. Ὁ δὲ Μάγνος, ὡς οἷα μὴ ἀρκέσαν εἰς κάκωσιν τοῖς Καλυτηνοῖς τὸ, ὡς ἐῤῥέθη, προσηλωθῆναι (ἴσως γὰρ καὶ μετάμελος εἶχεν αὐτὸν, εἰ μὴ κατέχωσεν αὐτοὺς, ἀλλ' οὕτως εἰς πρόοπτον ἐξῆρεν, ὡς καὶ περιβλέπεσθαι τοῖς θεοσεβέσιν· ἐξ οὗ συνέβαινεν, ἐκείνους μὲν θαυμάζεσθαι, τὸν δὲ τύραννον καταχραυγάζεσθαι), ἤθελε μὲν τάχα κατά τινα λυσσητῆρα κύνα τῶν σαρκῶν αὐτοῖς ἐμφαγεῖν. Ὅτι δὲ οὐκ ἦν αὐτῷ γενέσθαι, τὸ παμφάγον προκαλεῖται πῦρ κατὰ τῶν μαρτύρων, φθόνῳ τοῦ λείψανα περιλελεῖφθαι αὐτῶν, ἐξ ὧν ἁγιάζοιντο ἂν οἱ θεοφιλεῖς· καὶ οὕτω τελειοῖ, ἔργον αὐτοὺς πυρὸς ἔμενος, ἐφ' οἷς ἐργαζόμενοι διὰ πυρὸς τὰ τοῦ Μάρκου δεσμὰ, μαγίαν τοσαύτην ὑπανῆψαν αὐτῷ. Καὶ οὕτω μὲν τοὺς Καλυτηνοὺς ἀδελφοὺς ἐπὶ τὸ αὐτὸ συνηγμένους, ὥσπερ φύσει, οὕτω καὶ πίστει τῇ ὄντως, Σεπτεβρίου μηνός.

λε'. Ἀποπλήσας δὲ τὸν ἐπ' αὐτοῖς θυμὸν ὁ Μάγνος, εἶτα κατὰ σπουδὴν προμηθείας, τοῦ μὴ καὶ ἑτέρους ὁμοίως ἀνδρίσασθαι ὑπὲρ τοῦ Θεοῦ, ἀπέλυσε φροντίδων καὶ τὸν Μάρκον, οἷς μὲν ἄλλως ἐκόλαζεν ἐκεῖνον καὶ δριμέως καὶ ἐνδελεχῶς, οὐκ ἀναπαύσας. Καὶ γὰρ καὶ πληγαῖς ἀμυθήτοις αὐτὸν

A clavos grandes imperat qualibus palo affiguntur aliqui, et petram speculatur capacem configendorum hominum.

32. Facile quidem Deus efficere poterat ut clavi non solide pangerentur, sed avellerentur sicut solutum erat ferrum compedibus Marci destinatum, vel ut petra indurescens non cederet lapicidæ ictibus, sed foramina retunderet per quæ clavis penetrandum erat. Verum, misertus jam multa perpessos martyres, eisque concedens ut ex humana vita migrarent (nam satis pugnaverant, ut ipse judicabat, a quo ratio exigi non potest), permisit clavos ferro fabricari, et petram posse juxta morem perforari. Quod ut factum est, Magnus martyribus renuit amplius in terra vivere; et illico elevati affiguntur petræ, tanquam ligno crucis; et ita clavis perfossi aliquatenus imitantur crucifixum sponte pro nobis Salvatorem Christum, petræ vero affixi, ostendunt se firmiter esse in fide Domini stabilitos.

B

33. Interea hortator eorum Marcus adhuc superat; non enim moram habuerat Magnus eum visitandi, sed totam mentem adverterat ad ejus holocautomata Calytenos: qui nempe ab illo oblati sunt Deo, et hunc per ipsum cognoverunt, ascendentes quasi per scalam ad fastigium scientiæ et cognitionis ejus, quando eos edocuit ferrum extraordinarie

C

solutum. Et oportebat sic fieri propter duo: scilicet ut sanctus senex abiret confidenter ad Deum, postquam tales moriens ei præmiserat martyres, utique ipsi non torpore deficerent, audita Marci migratione et ad Deum ascensione.

34. Porro Magnus, perinde ac si non satis esset ad Calytenorum supplicium eos, ut dictum est, confixisse (forsan enim eum pœnitebat quod non abscondisset illos, sed in spectaculum ostendisset, ita ut a piis cernerentur, unde sequebatur in eos quidem admiratio, in tyrannum autem vociferatio), volebat rabidi instar canis cito carnes eorum vorare. Quod cum ipse non posset, edacem omnium ignem advocat contra martyres, ægre ferens quod superessent illorum reliquiæ quibus sanctificarentur Dei amantes. Et sic eos conficit in prædam igni traditos, quia, dum igne cuderent Marci compedes, tantum ipsi succenderant prodigium. Ita igitur Calytenos fratres in unum ut natura, sic et vera fide conjunctos assumpsit Deus, vigesima octava die mensis Septembris.

D

35. Expleta in eos ira, Magnus, deinde sedulo prævavens ne alii pariter pro Deo viriliter decertarent, solvit a curis Marcum, haud tamen a tormentis cessans quibus eum antea jugiter crudeliterque cruciaverat. Nam ipsum innumeris contudit plagis, transfodit verubus, doctricem linguam jussit

abscidi, ad petram eum etiam defixit, continua sævissimarum pœnarum serie prosequens scientem fortiter pati tormenta cæteris intolerabilia. Cum tandem gladio caput ejus sustulit, tunc liberato finem patiendi attulit.

36. Sic illi, Marcus videlicet ac Calyteni, verenda sanctaque fraternitate conjuncti, a terra ad Deum transmigraverunt Claudiopoli. Reliqua autem Marci familia, charissimus ei grex Nicon, Neon et Heliodorus, quorum carnes timore Dei secum confixit Marcus clavis fixus, necnon virgines et pueri, de quibus retro sermonem fecimus, haud ita multo post impugnaverunt Phrygium Philomelæ cultum, et omnes incolas obstupefecerunt, et pro Christo passi, a Deo ibidem collecti sunt ubi Marcus et Calyteni. Item et discipuli, quos Magni venatores simul cum Marco ab initio ceperunt, ut supra memoravimus, et lictores hac vita solverunt varia, ut historia fert, dispersos in loca ubi vitam amiserunt, nunc sunt coadunati in æterna et sempiterna Trinitate, in uno et solo Deo et sic conviventes et congaudentes et confabulantes de nostra salute: quam utinam consequamur, miserante Deo, cui gloria in sæcula sæculorum. Amen.

Ejusdem Eustathii Thessalonicensis de iisdem sanctis Sequentia, quæ vespere ac mane canitur, ex quo ea quam beatissimus Chumnus composuerat, post urbis expugnationem jam non reperta est.

Strophe super hoc : *Spes mundi.*

1. Divæ Trinitatis famuli, ter beatum genus, in unum arcte conjuncti fortitudine, fide ac fortissimo naturæ vinculo, coadunemini etiam ad nostrum subsidium, nos generose liberantes ab omnimodis tentationibus quotquot fert vita.

Responsorium super hoc : *Completa erga nos œconomia.*

2. Qui res nostras quam optime gubernat creatrice et omnipotente sapientia, terrenis purgatos maculis, cœlesti nos induit lumine, solis instar radiantes. Et ecce diem nobis largitur serenam, qua fugatur obscuritas.

Carmen tertium, super hoc : *Spiritalem adamanta.*

3. Venerandos veritatis martyres cantibus fideles celebremus, Alexandrum, Alpheum et Zosimum, quos pro Christo dimicantes mirati sunt angeli, prædicaverunt homines, et Deus in altissimis coronavit, omnia terrena aspernatos. Nam cœlestia tantum persequebantur, ideoque toto animæ appetitu ac desiderio aspirabant ad Christum Deum, salvatorem animarum nostrarum.

4. Fortitudinem, Domine, honoramus trium ju-

A ἔστιξε, καὶ ὀβελίσκοις διέπειρε, καὶ τὴν διδάσκαλον γλῶτταν ἐκτομῇ ἐδικαίωσε, καὶ κατά τινος πέτρας καὶ αὐτὸν ἥλοις ἐστερέωσε, κατὰ συνεχῆ διαδοχὴν δριμυτάταις παραπέμπων κολάσεσι τὸν εἰδότα φέρειν ἐγκρατῶς τὰ τοῖς ἄλλοις ἀφόρητα. Ὅτε μέντοι ξίφει τὴν αὐτοῦ κεφαλὴν ἀπήραξε, τότε καὶ τοῦ πάσχειν ἀπήλλαξεν ἀναπαυσάμενον.

λϛ'. Καὶ οὗτοι μὲν, ὁ Μάρκος δηλαδὴ καὶ οἱ Καλυτηνοὶ, τιμίᾳ καὶ ἁγίᾳ φατρίᾳ γῆθεν εἰς Θεὸν ἐν Κλαυδιουπόλει μετετάχθησαν. Τὸ δὲ λοιπὸν τῆς κατὰ τὸν Μάρκον φυλῆς, ἡ ἐκείνῳ φιλτάτη ἀγέλη, ὁ Νίκων, ὁ Νέων καὶ ὁ Ἡλιόδωρος, ὧν τὰς σάρκας ἐκ τοῦ κατὰ Θεὸν φόβου προσήλωσεν ὁ Μάρκος καθηλωθεὶς, ἔτι γε μὴν καὶ αἱ παρθένοι, καὶ τὰ νήπια, ὧν ἀνόπιν ὁ λόγος μνείαν ἔθετο, τῶν μετ' B οὐ πολὺ χρόνου παρά που τὸ Φρύγιον Φιλομήλιον ἠθληκότων καὶ ἐκπληξάντων τοὺς ἐκεῖ, ἐφ' οἷς ὑπὲρ Χριστοῦ ἔπαθον, συνειλέχθησαν ὑπὸ Θεοῦ, ἔνθα καὶ ὁ Μάρκος καὶ οἱ Καλυτηνοί· πρὸς δὲ τούτοις καὶ οἱ μαθηταὶ, οὓς οἱ μὲν τοῦ Μάγνου τῷ Μάρκῳ τὴν ἀρχὴν συνεθηράσαντο, καθὰ ἐν τοῖς ἀνώτερον διὰ μνήμης ἦλθον, δήμιοι δὲ τοῦ καθ' ἡμᾶς βίου παρέλυσαν, τόποις μὲν διεστηκότας, ὡς ἡ συγγραφὴ λέγει, διαφόροις, ἐν οἷς τὸν βίον κατέλυσαν, παρεστῶτας δὲ εἰς ἓν τῇ προαιωνίῳ καὶ ἀειζώῳ Τριάδι, τῷ ἑνὶ καὶ μόνῳ Θεῷ, καὶ οὕτω συνόντας καὶ εἰς σωτηρίαν· ἧς καὶ τύχοιμεν, ἐλεηθέντες ὑπὸ Ἀμήν.

C *Τοῦ αὐτοῦ Εὐσταθίου Θεσσαλονίκης εἰς τοὺς αὐτοὺς Καλυτηνοὺς ἁγίους ἀκολουθία ἑσπερινὴ καὶ ὀρθρινὴ, ὅτε ἡ τοῦ μακαριωτάτου Χούμνου παραπεσοῦσα μετὰ τὴν ἅλωσιν οὐχ εὑρίσκετο.*

Κα θ ἦχος π λ ♈ ♈ · *Ἐλπὶς τοῦ κόσμου.*

α'. Τριάδος θείας λατρευταὶ, τρισμακάριον γένος, εἰς ἓν κραθέντες ἀκριβῶς εὐψυχίᾳ καὶ πίστει καὶ φύσεως γνησιωτάτῳ δεσμῷ, ἑνώθητε καὶ εἰς βοήθειαν ἡμῶν, ῥυόμενοι θερμῶς ἡμᾶς παντοίων πειρασμῶν, ὅσους ὁ βίος φέρει.

Κοντάκιον ♈ · *Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν.*

β'. Ὁ τὰ καθ' ἡμᾶς ὡς ἄριστα διεξάγων δημιουργικῇ σοφίᾳ παντοδυνάμῳ, ἐκ τῶν κάτω κηλίδων ἐξάρας ἡμᾶς, φωσφορίαις ἐγκατέστησεν οὐρανίαις παμμακάριστος, ἡλιῶδες ἀπαστράπτοντας. Καὶ D ἰδοὺ, ἀποδισκεύεται λαμπρὰν αἰθρίαν ἡμῖν, λυτικὴν σκοτασμοῦ.

Στιχηρὸς ἦχος γ̄ ♈ · *Τὸν νοερὸν ἀδάμαντα.*

γ'. Τοὺς σεβασμίους μάρτυρας τῆς ἀληθείας οἱ πιστοὶ μελῳδικῶς ἀνυμνήσωμεν, Ἀλέξανδρον, Ἀλφειὸν καὶ τὸν Ζώσιμον, οὓς ὑπὲρ Χριστοῦ ἀθλήσαντας ἐθαύμασαν ἄγγελοι, καὶ εὐφήμησαν ἄνθρωποι, καὶ Θεὸς ἐν ὑψίστοις κατέστεψε, πᾶσι τοῖς κάτω προσπτύσαντας. Ἐστοίχουν γὰρ τοῖς ἄνω καὶ μόνοις· διὸ καὶ πᾶσαν ἔφεσιν τῆς ψυχῆς ἀπησχόλουν πρὸς τὸν ποθούμενον Χριστὸν τὸν Θεὸν, τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

δ'. Τὴν καρτερίαν, Δέσποτα, τῶν ἀθλησάντων

ὑπὲρ σοῦ τριῶν δικαίων γεραίρομεν, μνημόνευμα ἐγκωμίοις ἐνώσαντες, ὧν τὴν ἀνδρικὴν στερρότητα οὐ φόβος ἐμάλαξεν, οὐδὲ πεῖρα κολάσεως, οὐδὲ πᾶσα τοῦ Μάγνου κακόνοια, θνήσκειν αὐτοὺς ἀναγκάζουσα. Δυνάμει γὰρ ἠνδρίζοντο θείᾳ, διὰ θανάτου τρέχοντες εἰς ζωὴν, προκειμένην τοῖς ἀγαπῶσί σε, τὸν μόνον Θεὸν καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν.

ε'. Καθηλωθέντες μάρτυρες οἱ τρεῖς ἐν λίθοις, ψαλμικὸν μέλι ἐκ πέτρας θηλάζετε, γλυκύτητα τὴν θεόθεν καρπούμενοι. Πῦρ δὲ τὸ συμφλέξαν στέξαντες, οὐράνιοι ἤρθητε ὡς πυρίνου ἐφ' ἅρματος, Ἡλίου τὴν πορείαν μιμούμενοι· πᾶσα δὲ βλάβη κακώσεως τρυφὰς ὑμῖν τὰς θείας ἐδίδου. Τοιούτοις γὰρ ἀμείβεται ὁ σωτὴρ τοὺς αὐτοῦ χάριν πάσχοντας, τοῦ μόνου Θεοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἕτερος στιχηρὸς ἦχος π λ β [illegible] · *Τριήμερος ἀνέστης, Χριστέ.*

ς'. Ἀνήμερος ὑμᾶς δικαστὴς πιστεύσαντας εἰς Κύριον ὑποβάλλει βαρυτάτοις αἰκισμοῖς, χαλάσαι δὲ τὸν τόνον ὑμῖν ὅλως οὐκ ἔσχε, συντεταγμένοις πρὸς τὰ κρείττονα. Τὸ στόμα γέμειν ὕμνων Θεοῦ αἰσθόμενος ὁ τύραννος, τοῖς χαλκεῦσι χώνην θεὶς περὶ αὐτὸ, μόλιβδον μὲν ἐγχέει πυρὶ σφοδρῷ τακέντα, τοὺς ὕμνους παῦσαι δὲ οὐκ ἴσχυσεν.

ζ'. Ὠφέλει μὲν εἰς βίον τὸ πῦρ τοὺς μάρτυρας Χριστοῦ ἀδελφοὺς, χρησιμεῦον εἰς ζωὴν ταύτην φθαρτήν· ἐν δὲ τῷ μαρτυρίῳ χρηστότατον εὑρέθη, μεταβιβάσαν εἰς τὰ ἄφθαρτα. Εὐήμερος αἰθρία ὑμᾶς ἐκεῖσε περιέλαμψεν, ὡς φυγόντας σκότος πλάνης ἀφεγγές. Φωτίσατε γοῦν πάντας ἡμᾶς, ὦ ἀθλοφόροι, καὶ ζόφον λύπης ἀπελάσατε.

Κν ἦχος π λ δ ᾠδὴ α [illegible] · *Ὑγραν διοδεύσας ὡσεὶ ξηράν.*

η'. Ἰδοὺ δὴ, τί κάλλιον ἢ τερπνὸν, ἀλλ' ἢ κατοικίζειν ἀδελφοὺς ἐπιτοαυτό; ὡς τοὺς μεγαλάθλους ὁ παντάναξ καὶ ἀδελφοὺς ἐν Ἐδὲμ συγκατῴκισεν. Γεννήσεως μέν ἐστι φυσικῆς τὸ κατ' ἀδελφότητα γνήσιον καὶ συμφυές· οἱ δὲ καὶ ἀθλήσει ἡνωμένοι ὑπερφυὲς τὸ καλὸν ἐκληρώσαντο. Ὁ εἷς τῆς Τριάδος παμβασιλεὺς εὑρὼν τὴν τριάδα τὴν γενναίαν τῶν ἀθλητῶν, Ἀλφειοῦ, Ζωσίμου, Ἀλεξάνδρου, στρατολογήσας αὐτοὺς ᾠκειώσατο. Ὑγρὰν διοδεύων βιωτικῶς τῆς πολυκυμάντου πολιτείας διαγωγὴν, μὴ ταῖς τρικυμίαις βυθισθείην, θεοκυῆτερ καὶ σωτηρία δέσποινα.

ὨΙδὴ γ *Οὐρανίας ἀψίδος.*

θ'. Ἐπὶ πέτρας ἀῤῥήκτου οἱ στερεοὶ μάρτυρες θεμελιωθέντες, τῇ πίστει τῇ εἰς τὸν Κύριον πόνων ὑπέσχον ποινὴν, καθηλωθέντες ἐν πέτρᾳ, καὶ ἡμᾶς νῦν παύουσι τῶν ἀλγημάτων ἡμῶν. Ὀφειλέται χαρίτων οἱ τοῦ Θεοῦ μάρτυρες, Μάρκῳ τῷ ἁγίῳ ποίμνια ἀπετελέσθησαν, οὗπερ εἰς βλάβην δεινὴν δεσμὰ συγκόπτειν ταχθέντες, εἰς Θεοῦ ἀγάπησιν αὐτοὶ ἐδέθησαν.

ι'. Ἡ μὲν βία τοῦ Μάγνου φρενοβλαβῶς ἤθελε Μάρκον τὸν θαυμάσιον κλεῖσαι σιδήρῳ δήσαντος, οὗ φλογουμένου σφοδρῶς τῶν ἀδελφῶν τῇ τριάδι, ὁ

storum qui pro te pugnaverunt, in præconiis nostris memoriam eorum conjungentes quorum virilem constantiam nec timor emolliit, nec tormentorum probatio, nec omnis Magni malitia, eos mori cogens. Divina enim vigebant virtute, per mortem currentes ad vitam, quæ manet timentes te, solum Deum et salvatorem animarum nostrarum.

5. Qui tres clavis ad saxum affixi estis, martyres, Davidicum mel de petra mulgetis, divinam gustantes dulcedinem. Ignem perpessi ardentem, in cœlum sublati estis quasi curru igneo, Eliæ transitum imitantes, et omnis tormentorum pressura divinas vobis delicias dedit. Sic enim remunerat Servator patientes pro se, solo Deo et salvatore animarum nostrarum.

Alterum carmen super hoc: *Tertia die surrexisti, Christe.*

6. Immitis vos judex credentes in Christum gravissimis subjicit cruciatibus, constantiam vero mollire vestram nequit, virtutis athletæ. Os fabrorum hymnis Dei plenum videns tyrannus, fusuram in illud injicit plumbumque infundit igne ardenti liquefactum, hymnos vero finire non potest.

7. Proderat quidem ignis ad victum fratribus Christi martyribus, adjuvans vitam hanc corruptibilem; in martyrio autem multo utilior repertus est, traducens ad vitam incorruptibilem. Dulcis illic splendor vobis affulsit, ut elapsis ex atra erroris caligine. Illuminate igitur nos, o triumphatores, et mœroris tenebras fugate.

. . Cantus primus, super hoc: *Mare transgressus sicut aridam.*

8. Ecce, quid pulchrius et jucundius quam habitare fratres in unum? Insignes enim athletas et fratres rex maximus in Edem collocavit. Naturalis quidem cooritur ex fraternitate germanitas et concordia; qui vero etiam agone sunt conjuncti, supernaturale bonum sortiti sunt. Unus in Triade Altissimus, generosam nactus athletarum triadem, Alpheum, Zosimum et Alexandrum, eos sibi milites conscripsit. Mare hujus vitæ procellosum percurrens, fac ne tempestatibus mergar, Deipara et salvatrix Domina!

Cantus tertius: *Cœlestis arcis.*

9. In petra irrupta firmiter stabiliti martyres fide in Deum, laborum pœnam subierunt, clavis ad saxum defixi; nunc autem eximunt nos a doloribus nostris. Gratias debent hi Dei martyres sancto Marco, cujus grex effecti sunt, quando, ad dirum ejus supplicium vincula excudere jussi, Dei amore ipsi devincti sunt.

10. Violenta Magni insania volebat mirabilem Marcum compedire ferro catenæ: quo vehementer incandescente, fraternam triadem Deus ad pugnam

inflammavit. Cœleste divæ arcis limen haud relinquens, repertam te Dominus inhabitavit, et caro ipse factus e terra nos sustulit. Gloria tibi, Virgo immaculata, per quam relevati sumus.

Cantus quartus: *Audivi, Domine.*

11. Clavis perforati, martyres tyranno clavos cuditis tribulationum; petræ affixi, in saxum stupore induratis cor ferreum et impenetrabile. Æreas conjicitis sagittas, quibus fodiuntur inimici Dei, et prosternuntur ruina irreparabili. Si ferrum velut aqua malleis subterfluxit, vos saltem fide in Deum solide compacti estis. Audii, vir sanctissime, vel potius expertus sum tua miracula; novi tuam potentiam, et precor ut virtute tua protegar.

Cantus quintus: *Nos illumina.*

12. Multum gregem custodiebas, Marce sancte; quæ autem Deo, quasi tua manu, mactata est trip ex hostia, totum gregem supergressa est. Hoc tuis effectum est precibus, beatissime Marce, ut fratres catenarum tuarum fabri in vasa Dei sanctissima fabrefierent. Manus vestræ torpuerunt, o beati, malleis percutiendo Marci vincula; vox autem divina cœlitus animum vobis erexit. Illumina nos noctu, solis mater purissima, et dissipata omni dirarum caligine tribulationum, nobis serenum retribue.

Cantus sextus: *Et Ecclesiam.*

13. Qui olim piscatores piscium fecit piscatores hominum, hic vos, athletæ Domini, a fabricando catenas diligentibus se, traduxit ad cudendum tela adversus inimicos suos. Heu! fabrum expertus est Paulus nequissimum et anathemate dignum; bonus vero monticola Marcus tres fabros fratres subegit, quos contra se procudentes ad Deum adduxit. Reddidit tyranno beatissima trias datam mercedem compedum Marci; sed Deus meliorem reservavit, deditque in præmium regni cœlestis possessionem. Preces fundimus, o sanctissime, et oramus te salutem; cum foveis circumclaudamur ab auctore mali nostram in perniciem suffossis, nobis succurre, qui cuncta vales ad perfectam istius ruinam.

γηρούμεθα λάκκοις, οὓς καθ' ἡμῶν ὁ ἀρχέκακος τελείαν ἀπώλειαν.

Cantus septimus: *Tres ex Judæa.*

14. Fervore spiritus accensi, o Salvator, tui athletæ de fabrili vita et flammarum camino ad te accesserunt, et receperunt refrigerium divitiasque et gloriam æternam. Tyranni quidem est tradere tormentis diligentes Deum; sed miraculum Deo dignum, sibi perfecte unire pro se patientes, e quorum sorte sunt tres nostri patroni. Ignea Belial contra nos tela nunc exstinguite, o trias par numero maximæ Trinitati, et refrigerium irrorate nobis, qui fervidis Deum hymnis celebramus. Tres ex Judæa felices pueri in flammas immissi partum tuum,

A Θεὸς ἐπύρωσεν αὐτοὺς εἰς ἄθλησιν. Οὐρανίας ἀψίδος οὐκ ἐκλιπὼν Κύριος θεῖον οὐρανὸν, εὑρηκώς σε ἐν σοὶ ἐσκήνωσε, καὶ σὰρξ αὐτὸς γεγονὼς γῆθεν ἡμᾶς ὑπεξῆρε. Δόξα σοι, πανάμωμε, τῇ ἀνυψώσει ἡμῶν.

Ὠδὴ δ'· *Εἰσακήκοα, Κύριε.*

ια'. Προσηλούμενοι μάρτυρες, ἥλους τῷ τυράννῳ πήγνυτε θλίψεων· τῇ δὲ πέτρᾳ τῆς ἡλώσεως ἐκλιθοῦτε θάμβει τὸν ἀτέραμνον χαλκοτύπον ἐν πνεύματι. Βέλη χαλκευσάμενοι ἐκραφίετε, δι' ὧν βάλλονται ἐχθροὶ τοῦ Θεοῦ καὶ ῥιπτοῦνται πτῶσιν τὴν ἀνέγερτον. Εἰ καὶ σίδηρος ἔῤῥεεν ὕδωρ τι καθάπερ σφυρηλατούμενος, ἀλλ' ὑμεῖς ἐστερεώθητε εὐπαγῶς τῇ πίστει τῇ εἰς Κύριον. Εἰσακήκοα, πάναγνε, B μᾶλλον δὲ πεπείραμαι τῶν θαυμάτων σου. Κατενόησα τὸ κράτος σου, καὶ ζητῶ φρουρεῖσθαι τῇ δυνάμει σου.

Ὠδὴ ε'. *Φώτισον ἡμᾶς.*

ιβ'. Ποίμνης μὲν πολλῆς προεστάτεις, Μάρκε ἅγιε· ἡ δὲ Θεῷ τυθεῖσα, ὡς διὰ σὲ, τριτὴ θυσία ὑπερῆρεν ἅπαν ποίμνιον. Ἔργον τοῦτο σῆς εὐχῆς, Μάρκε παμμακάριστε, τοὺς τῶν δεσμῶν σου χαλκευτὰς ἀδελφοὺς χαλκουργηθῆναι εἰς σκεύη Θεοῦ πανίερα. Χεῖρες μὲν ὑμῖν, ὦ μακάριοι, ἐνήρκεσαν σφυρηλατοῦσαι τὰ τοῦ Μάρκου δεσμά· φωνὴ δὲ θεία ὑψόθεν αὐχεῖν ἐπέῤῥωσεν. Φώτιζε ἡμᾶς νυκτὸς, ἡλίου μῆτερ ἁγνὴ, καὶ πᾶσαν σκότωσιν δεινῶν πειρασμῶν ἀπαγαγοῦσα, τὴν αἰθρίαν ἡμῖν βράβευε.

C Ὠδὴ ς'· *Καὶ τὴν Ἐκκλησίαν.*

ιγ'. Ὁ πάλαι τοὺς ἁλιεῖς τῶν ἰχθύων ἁλιεῖς ἀποτελέσας ἀνθρώπων, οὗτος ὑμᾶς, ἀθλοφόροι Κυρίου, ἐκ τοῦ χαλκεύειν δεσμὰ τοῖς πεθοῦσιν αὐτὸν μετήγαγε βελοποιεῖν κατὰ τῶν παλαμναίων ἐχθρῶν τοῦ Θεοῦ. Ὦ χαλκέως μὲν ἐπειράθη ὁ Παῦλος παγκακίστου καὶ ἀξίου κατάρας· ὁ δὲ καλὸς ὀρεσίτροφος Μάρκος τρεῖς ἀδελφοὺς χαλκευτὰς ὑπηγάγετο, χαλκεύοντας μὲν κατ' αὐτοῦ, δι' αὐτοῦ δὲ Θεῷ προσχωρήσαντας. Ἀντέστρεφον τῷ τυράννῳ τὴν δόσιν ἡ πανόλβιος τριὰς, τὴν δοθεῖσαν ὑπὲρ μισθοῦ τῶν δεσμῶν τῶν τοῦ Μάρκου· ὁ δὲ Θεὸς ἐταμίευε κρείττονα, καὶ δέδωκεν εἰς δωρεὰν οὐρανῶν βασιλείας ἀπόλαυσιν. Τὴν δέησιν ἐκχέομεν, πάναγνε, καὶ αἰτούμεθα ἐκ σοῦ σωτηρίαν, ὅτι πολλοῖς πυρώρυξεν· οὓς βοήθησον ὡς πανσθενὴς εἰ; ἐκείνου

D Ὠδὴ ζ'· *Οἱ ἐκ τῆς Ἰουδαίας.*

ιδ'. Τῇ τοῦ πνεύματος ζέσει πυρακτούμενοι, Σῶτερ, οἱ ἀθλοφόροι σου ἐκ χειρώνακτος βίου καὶ καύσεως καμίνων σοι προτέσχον, καὶ ἔλαβον ἀναψυχὴν καὶ πλοῦτον καὶ δόξαν αἰωνίαν. Τυραννίδος μὲν ἔργον, ἐκδιδόναι κολάσει τοὺς ἀγαπῶντας Θεόν· Θεοῦ δὲ αὖθις θαῦμα, οἰκειοῦσθαι παντοίως τοὺς αὐτοῦ χάριν πάσχοντας, ὧν τῆς μερίδος εἰσὶν οἱ τρεῖς ἡμῶν προστάται. Πυρακτούμενα βέλη καθ' ἡμῶν τοῦ Βελίαρ σβέσατε νῦν κραταιῶς οἱ τρεῖς, οἱ τῆς μεγίστης ἰσάριθμοι Τριάδος, καὶ ἀνάψυξιν ἔνδροσον δότε ἡμῖν, τοῖς θερμῶς Θεὸν ὑμνολογοῦσιν.

Οἱ ἐκ τῆς Ἰουδαίας τρεῖς μακάριοι παῖδες ἐμβεβλημένοι πυρὶ, τὸν τόκον σου παρθένον εἰκονίζοντες ἦσαν· πῦρ γὰρ ἄϋλον ἔστεξας, οὗπερ καὶ βάτος ποτὲ τύπος ἦν τοῦ Μωσέως.

A Virgo, præfigurabant: gestasti enim ignem immaterialem, cujus typus erat rubus Moysis.

Ὠδὴ η̄ · *Τὸν βασιλέα τῶν οὐρανῶν.*

ιε'. Σεμνοποιοῦνται οἱ Πισίδεις ὡς πολίτας τοὺς ἁγίους τούτους εὐτυχοῦντες, Κλαυδίου τε πόλις, ὅπου αὐτοῖς τὸ τέλος. Ὀψιμαθεῖς μὲν τοῦ ἀγαθοῦ γεγονότες, στερεῶς δὲ πίστει ἐντακέντες, νῦν δοξολογοῦνται καλῶς οἱ ἀθλοφόροι. Ἐν τῇ χωνείᾳ τῶν πειρασμῶν πυρωθέντες, ὡς χρυσὸς εὑροιζότατος ἄρτι, στίλβετε, μαρτύρων καλλονὴ καὶ λαμπρότης. Τὸν βασιλέα τῶν οὐρανῶν, παλατίῳ σῇ γαστρὶ, παρθένε, χωρηθέντα, εὕρομεν ἁπάσης αἰχμαλωσίας ῥύστην.

Cantus octavus : *Regem cœlorum.*

15. Gloriantur Pisidæ, eo quod sanctos illos sortiti sint concives, et Claudiopolis, ubi vitam finierunt. Sero bonum edocti, vehementi autem fide corroborati, nunc pulchris victores laudibus extolluntur. In liquatorio tentationum combusti, ut aurum recentius fusum fulgetis, martyrum decus et splendor. Regem cœlorum palatio ventris tui, Virgo, contentum, invenimus omnis captivitatis liberatorem.

Ὠδὴ θ̄ · *Κυρίως Θεοτόκον σέ.*

ις'. Οὐκ ἔστιν ἐν Κυρίῳ γένους λαμπροῦ τόπος. Ἐν εὐγενείᾳ ψυχῆς οὖν φανέντες φαιδροὶ οἱ ἀθληταὶ, ἀσωμάτων χοροῖς συντάττονται. Ὦ Μάρκε ὀρεινόμε, μέμνησο θρεμμάτων τῶν λογικῶν, οἳ τιμῶμεν τὴν μνήμην τὴν σήν· καὶ νῦν ποιμάνας ἐνταῦθα, ἐκεῖ συνδόξασον. Ὦ τρεῖς, Θεοῦ ὁπλῖται, οὓς νῦν εὐφημοῦμεν, κατὰ δεινῶν καὶ ἀγρίων βαρβάρων ἐθνῶν ἀνθοπλισθέντες, ἐκ τούτων ἡμᾶς λυτρώσασθε. Κυρίως Θεοτόκος, μῆτερ ἀπειράνδρως, ἡ τῶν παρθένων σεμνότης, ἡ φύλαξ ἡμῶν, ἀγγελοῦμνητον κλέος, σὲ μεγαλύνομεν.

B Cantus nonus : *Vere Deiparam te.*

16. Non est in Domino clari ortus acceptio. Nobilitate igitur animæ inclyti athletæ spirituum choris annumerantur. O Marce, montium pastor, memento spirituales alumnos, qui tuam colimus memoriam ; et quos hic pavisti, illic conglorifica. O tres Dei milites quos nunc celebramus, qui contra terribilem feramque gentium barbariem pugnastis, ab istis nos liberate. O vere Deipara, Mater viri nescia, puritas virginum, nostra custos, ab angelo glorificata, te magnificamus.

ORATIO

DE SS. MARTYRIBUS ANANIA. AZARIA ET MISAELE IN FORNACEM CONJECTIS.

α'. . . . . πῇ δὲ καίων, ὅτε δηλαδὴ φλογοῦται, διεμέρισε τοῖς μὲν κακοῖς ἐκκυμανθεὶς εἰς ὄλεθρον, οἷς ἐκεῖνος δι' αὐτῆς ἐνήργησεν, ἐπιδραμὼν τοῖς κύκλῳ Χαλδαίοις· ψύξασα δὲ δροσερῶς τοὺς ἁγίους, οἷς πρὸς Θεοῦ ἀνεθεῖσα ἐφῆκε τῷ ἀέρι ποιῆσαι τὸ ἑαυτοῦ, τὸ δέ ἐστι ψυχρότητα ἐνεργῆσαι εἰς ἀναψυχὴν τῶν τοῦ Θεοῦ παίδων, οὐκέτι καιομένων, ἀλλὰ μόνον φωτιζομένων καὶ καταλαμπομένων τῇ φλογὶ, ὥσπερ ἠσχολημένη κατὰ τῶν ἐχθρῶν τῶν τοῦ Θεοῦ, ἐξελάθετο φλὸξ εἶναι τοῖς τοῦ Θεοῦ ἀνθρώποις, ἢ καὶ ὡς ἐὰν αὐτὴ μὲν ὅλη γέγονε τοῦ τοῖς Χαλδαίοις ἐπεισπεσεῖν· τῷ δὲ ἀέρι ἐφῆκεν ἀναψύχειν τοὺς τοῦ Θεοῦ γεροντόπαιδας. Μὴ γὰρ κατακρατητέον, διόλου θερμὸν εἶναι τὸν καθ' ἡμᾶς ἀέρα, μηδὲ στοιχητέον τῇ δόξῃ ταύτῃ ἀστεμφῶς, εἴ τι προσεκτέον καὶ τῷ γεγραφότι τοὺς *περὶ Προνοίας* λόγους ἀνδρὶ σοφῷ τε καὶ ἱερῷ.

C 1. Fornacis Babyloniæ ignis erat aliquatenus urens, quando scilicet flammas dispersit exundantes in malorum perniciem, earumque vim exercuit, invadens circumstantes Chaldæos. Aliunde vero sanctos roris instar refrigerabat, et a Deo enervata sinebat eis vim aeris illabi, hoc est, refrigerium afflare Dei pueris, quos minime urebat flamma, sed illuminabat tantum et illustrabat : perinde ac si adversus Dei inimicos occupata, obliviscereturse flammam esse erga homines Dei, vel tanquam si totam se dans irruendis Chaldæis, aeri permitteret refrigerare seniles Dei pueros. Non enim tenendum est ambientem nos aera esse omnino calidum, nec immote standum huic opinioni, si qua attendatur ad auctorem librorum *De Providentia*, virum sapientem et sanctum.

β'. Εἰ δὲ δοκεῖ, ἀσυνάρτητον εἶναι τὸ τὴν αὐτὴν κάμινον φλέξαι τε καὶ δροσίσαι, διὰ τὸ μὴ ὡσαύτως ἄμφω ἐνηργηκέναι, ἀλλὰ τὸ μὲν φλέγμα τῇ τοῦ πυρόεντος ἐπιτάσει, τὸ δὲ δρόσιμον οὐ τῇ αὐτῇ, ἀλλὰ διαθέσει ἑτεροίᾳ, τῇ κατὰ ἄνεσιν, εἶτ' οὖν ὕφεσιν τὴν θεόθεν, καθ' ἣν ὡσεὶ καὶ μὴ παρὸν τὸ πῦρ ἐλο-

D 2. Quod si absurdum videtur eidem camino subfuisse calorem simul et frigus, quia non itidem ambo agunt, sed calor ignitum dilatat, frigus vero effectum producit haud parem, sed absimilem remissioni seu relaxationi, per quam divinitus ignis ut absens habebatur ; advertendum in sexcentis casibus item

reperiri contrarios effectus ab una causa modo valde diverso procedentes. Et multas quidem in exemplum adducere similitudines facile posset impiger ; unam nunc memorabo doctis clarissimam, quæ sic se habet. Peritus gubernator scit navem salvare, pariter et perdere : salvare quidem cum adest, perdere vero si absit. Evidenter autem et ignis, cum vim naturalem exercere non valeret, tunc non adesse videbatur. Et ita sine vi, ut puto, conciliarentur in illo camino duæ vires diversæ naturæ, nempe vis juxta naturam urendi, et supra naturam refrigerandi, cum præsit ambabus una causa, scilicet divina voluntas, seu, ut aliter dicam, ipse Deus, qui simul ut ignis immaterialis utque imber cœlestis habetur. Et sic exponitur secunda solutio.

Α γίζετο· ἐνθυμητέον, ὡς ἐν μυρίοις τοιαῦταί τινες εὕρηνται ἀντίθετοι ἐνέργειαι, προϊοῦσαι κατὰ ἑτεροιοτάτου αἰτίου ἑνός. Καὶ καθελκύσαι μὲν παραδειγμάτων πολλὰς ὁμοιότητας, οὐκ ἔστιν ἀπορῆσαι τὸν μὴ ὀκνοῦντα· μνηστέον δὲ πρὸς τὸ παρὸν ἑνὸς ἀριδήλου, τοῖς γε μεμαθηκόσι διακειμένου οὕτως. Ὁ τὴν κυβερνητικὴν ἄριστος οἶδε σώζειν τὴν ναῦν, ὁ δ' αὐτὸς καὶ ἀπόλλυσιν· ἐκεῖνο μὲν κατὰ πρῶτον λόγον ἐν τῷ παρεῖναι, τοῦτο δὲ ἄλλως, ὅτε μὴ πάρεστι. Δῆλον δή, ὅτι καὶ τὸ πῦρ, μὴ τὰ κατὰ φύσιν δυνηθὲν ἐνεργῆσαι, τότε μηδὲ παρεῖναι ἐδόκει. Καὶ οὕτως ἂν συμβιβάζοιτο ἀδιάστως οἶμαι τὸ τὴν κάμινον ἐκείνην ἐνεργείαις ἀξυμβάτοις τά γε εἰς φύσιν μερισθῆναι δυσὶ, τῇ τε τοῦ καῦσαι κατὰ φύσιν, καὶ τῇ τοῦ ὑπὲρ φύσιν δροσίσαι, ἀμφοτέρως ἑνὸς ἐπιστατοῦντος αἰτίου, τοῦ θείου προστάγματος· εἰπεῖν δὲ καὶ ἑτέρως, Θεοῦ, ὃς, εἰ καὶ πῦρ ἄϋλον, ἀλλὰ καὶ ὑετὸς οὐράνιος τεθεώρηται. Καὶ ὧδε μὲν καθέσταται καὶ τὰ τῆς δευτέρας λύσεως.

3. Erat etiam tertia hæc, supponens et ipsa necessario providentiæ Dei ordinationem. Hoc ideo prænoscendum est : omnis videlicet actus determinatus per ordinationem, sicut et per rationem imperii, non tribuendus est agenti, sed ordinanti, sive rex iste sit, sive dominus, sive alio quovis modo præses. Hoc præposito, attendendum etiam est a Deo ordinante, seu ordinatione divina magnos produci effectus. Addendum quoque ab eo fieri mirabilia et supernaturalia, et quæ nullus homo valet attingere, uno verbo, quorum causas humana mens ne stricti m quidem delibare potest. Quanquam igitur igni naturales quædam insunt vires a prima origine mundi constantes, hæ tamen haud ita pollent ut non possit creator Deus alterare ac permutare omnimodam ignis proprietatem et virtutem, ne glorientur Persæ ignis cultores quod sit omnipotens nec Deo subditus. Itaque Dei ordinatio convertit et exstinguit vires ab ipsa natura excitatas, addit vero, quando vult, alias supernaturales et prodigiosas. Unde aliquando alit ignis ita corrosor et omnium edax, et vivificat, Deo imperante : ut animalcula testantur nutrita in aqua fervente, quam manus tangere nequit. Idem vim urendi penitus evacuat, Deo statuente, ut invictum præbent argumentum illa permulta martyrum millia, qui ignem superabant non materiali corporum tegmine, sed conversione prunæ ardentis in rorem refrigerantem, atque cum hujus miraculi præcentoribus sanctis pueris concinebant victoriam de igne, triumphumque de eo jubilabant.

Β γ'. Ἦν καὶ τρίτη αὕτη, ἔχουσα καὶ αὐτὴ προσυπακουόμενον ἀναγκαίως τὸ τοῦ βασιλέως Θεοῦ ἐπίταγμα· διὸ καὶ προληπτέον, ὅτι πᾶσα ἐνέργεια περατουμένη διὰ προστάξεως, ὅσα καί τινος ἐπιστημοναρχικοῦ λόγου, οὐ τῷ δρῶντι, ἀλλὰ τῷ ἐπιτάξαντι βασιλεῖ τυχὸν, ἢ οἰκοδεσπότῃ, ἢ ἄλλως ὁπωσοῦν προέχοντι. Τοῦτου προειλημμένου ἡμῖν, ἐνθυμητέον καὶ, ὅτι Θεὸς ἐπιτάττων, καὶ θεῖον πρόσταγμα, τὸ ἐξ αὐτοῦ, μεγαλοποιεῖ. Τούτοις ἐπακτέον, ὅτι καὶ τεράστια ἐκεῖνος ποιεῖ, καὶ πέρα φύσεως, καὶ οὐ κατ' ἄνθρωπον οὐδένα, καὶ ὅλως φάναι, ὧν οὐκ ἔστιν οὐδὲ ἀκροθιγῶς ψαῦσαι ἀνθρωπικὴν διάνοιαν τά γε εἰς αἰτιολογίαν. Οὐκοῦν εἰ καὶ τῷ πυρὶ ἐνέργειαί τινες δίδονται φυσικαὶ ἀνέκαθεν, ἐκ καταβολῆς κόσμου συμπαραμένουσαι, ἀλλ' οὐκ ἔστιν αὐταῖς C αὐχῆσαι, ὅτι οὐκ ἔστι τῷ ποιήσαντι Θεῷ δύναμις ἀλλοιῶσαι καὶ μετασκευάσαι τὴν ἐν τῷ πυρὶ παντοίαν δύναμιν καὶ ἐνέργειαν· ἵνα μὴ ἀλαζονεύοιντο Πέρσαι πυρὶ λατρεύοντες ὡς πολυδυνάμῳ, καὶ μὴ ἂν καταδυναστευομένου ὑπὸ τοῦ Θεοῦ. Διὸ ἐπιτάσσων ὁ Θεὸς μεταβάλλει καὶ σβέννυσι μὲν τὰς φύσει ἐμπυρευομένας αὐτῇ δυνάμεις, ἐντίθησι δὲ, ὅτε ἂν ἐθελήσῃ, καὶ ἀλλοίας τεραστίους ὑπερφυῶς. Τρέφει γοῦν ποτε τὸ οὕτω φθοροποιὸν πῦρ καὶ παμφάγον, καὶ ζωογονεῖ, Θεοῦ κελεύοντος· καὶ μαρτυροῦσι σκυλάκια ὕδατι θερμῷ ἐντρεφόμενα, οὕπερ οὐκ ἔστι ψαύειν χειρί. Τὸ δ' αὐτὸ καὶ τὴν καῦσιν καταργεῖ, ἐς τὸ πᾶν Θεοῦ κελεύοντος· καὶ χορηγοῦσι μαρτυρίας ἀπαραγράπτους οἱ τοῦ Θεοῦ μάρτυρες μυρίοι D ὅσοι ἐκεῖνοι, καταπατοῦντες τὸ πῦρ οὐχ ὑλικῇ στεγανώσει σωμάτων, ἀλλὰ μεταβολῇ πυρὸς καίοντος εἰς δρόσον ἀναψύχουσαν, καὶ τοῖς τοῦ θαύματος τοῦδε προκατάρξασιν ἱεροῖς νέοις συναναμέλποντες τὴν κατὰ τοῦ πυρὸς νίκην, καὶ χαρμόσυνα κατ' αὐτοῦ παιανίζοντες.

4. Fatebitur ergo quilibet vir sapiens ignem rorifluum fieri eis quæ involvit, cum divina vult ordinatio : siquidem rebus puris omnisque sordis expertibus vincere ignem convenientius competit quam amianto, quem, juxta historiam naturalem, ignis superare non valet, ut docet experientia. Minime vero singulare de flamma, juxta sacrum Psaltem, rorem scatere sanctis, cum aliunde justi holocaustum, aqua succendatur. Nonne omnino congruit qui

δ'. Δώσει τοίνυν ἅπας ἐλλόγιμος ἄνθρωπος, δροσώδες ἀπεκβαίνειν πῦρ ἐπί γε τοῖς ἐμπεριειλημμένοις αὐτῷ, ἡνίκα θεῖον βούλεται πρόσταγμα· ἐπειδὴ καὶ πρέπει τοῖς καθαροῖς καὶ ἔξω παντὸς μιάσματος, κατευμεγεθεῖν τοῦ πυρὸς εὐλογώτερον, ἤπερ τὸ καθ' ἱστορίαν ἁμίαντον, οὗ πῦρ οὐκ ἔχει περιγενέσθαι, ὡς ἡ πεῖρα μανθάνειν δίδωσι. Καινὸν δὲ οὐδὲν πάντως, ἐκ φλογὸς κατὰ τὸν ἱερῶς ψάλλοντα δρόσον τοῖς ὁσίοις πηγάζεσθαι, εἴ γε καὶ δικαίου θυ-

σία ὕδατι ἄλλως φλέγεται. Ἢ γὰρ οὐχὶ ἀκριβῶς ἀκόλουθον, τὸν ἐν πυρὶ δροσίζοντα, τὸν αὐτὸν καὶ δι' ὕδατος φλέγειν, καὶ παραχωρεῖν τοῖς ἐναντίοις μίγνυσθαι καὶ συνέρχεσθαι καὶ τὰ ἀλλήλων ἐνεργεῖν ἀντιμεταδόσεως λόγῳ, ὡς διδάσκεσθαι καὶ οὕτως ἡμᾶς, ἀγαθὸν εἶναι τὴν ὁμόνοιαν καὶ τὸ σύμφυλον αὐτῇ φιλάλληλον;

A igne refrigerat, eumdem aqua comburere, et concedere ut contraria commisceantur conveniantque et suas vicissim commutent proprietates, atque ita doceant optimam esse concordiam germanamque hujus mutuam amicitiam?

ε'. Περαίνεται οὖν ἡ τρίτη λύσις εἰς τὸ μὴ ἐνέργειαν ἀποτεταγμένως, τήνδε ἢ ἐκείνην, ἀλλὰ τὰς ἁπλῶς ἐνεργείας, ἃς ὁ Θεὸς ἀπονέμει, ὥσπερ τοῖς ἄλλοις στοιχείοις, οὕτω καὶ τῷ πυρὶ μετασκευάσεως λόγῳ, ἐφ' οἷς ἂν εὐδοκήσειεν, ἀπομερίζεσθαι, ὅπη χρεών, ὡς αὐτὸς ἐπιτάξει· καθὰ καὶ νῦν τῶν ἐντεθεισῶν αὐτῷ δύο ἐνεργειῶν, τῆς τε κατὰ φύσιν καύσεως, καὶ τοῦ κατὰ θεῖον κέλευσμα ὑπερφυοῦς δροσισμοῦ, τὴν μὲν κατὰ τῶν Χαλδαίων ἐπαφῆκε, τῇ δὲ τοὺς πιστοὺς ἐδεξιώσατο.

5. Ad hoc igitur tertia reducitur solutio, ut non virtutem determinate hanc vel illam, sed cunctas absolute vires, quas tum cæteris elementis tum igni largitur, transmittat Deus ac dispertiat quibuscunque voluerit, ubi opus est, utque ipse ordinat: sicut nunc e duabus igni insitis viribus, nempe naturaliter comburendi, et supernaturaliter divinitusque refrigerandi, unam quidem in Chaldæos B convertit, altera vero fidelibus favit.

ς'. Καὶ ἔστι μὲν καὶ ἀλλοία καινὴ πυρὸς ἐνέργεια, θεόθεν ἐπιταχθέντος, καίειν μὲν δηλαδὴ σφοδρῶς, οὐ κατακαίειν δέ, ὃ καὶ εἰς χωνείαν θεωροῦσιν οἱ τῶν θείων ἐξετασταὶ, καλλύνουσαν ὡς εἰς χρυσέαν λάμψιν τοὺς ἔνδον τοῦ τοιούτου πυρός. Ἀλλ' ἐγὼ τὴν χρυσοχόον ταύτην καῦσιν οὐ καταφάσκειν ἔχω τοῦ Χαλδαϊκοῦ· οἶδα γὰρ παραδεδομένον τὸ πάντη καινότατον, τὴν ἀπραξίαν αὐτοῦ καὶ ἀργίαν, δι' ἧς μὴ ὅτι γε χωνεύειν τοὺς ἐν αὐτῷ θεοφιλεῖς παῖδας, ἀλλ' οὐδὲ ὑποθερμαίνειν ἠπίστατο, διατεθειμένον, ὡς εἰ καὶ δρόσος αὐτοὺς περικέχυτο. Ἦν δὲ ἐκείνοις τὸ μέγα πῦρ ἐκεῖνο καὶ καθάπερ εἰ φῶς ἀμυδρὸν, μεγάλῃ φλογὶ παλάσαν, ἀποσβέννυται. Καί γε ἔστιν C ἀκολούθως ἔχον τὸ πρᾶγμα. Πίστεως γὰρ πῦρ καὶ ἡ ἐκεῖθεν φλὸξ, ἅπερ οἱ παῖδες ἐπὶ τῷ Θεῷ ἐπύρσευον, ἀξύμμετρα ἦσαν πρὸς τὸ Χαλδαϊκὸν καὶ ἀσύμβλητα· καὶ τοίνυν κατεμάραναν πῦρ ἐκεῖνο καὶ ἀνθρακιὰν, τὴν κατ' αὐτὸ, ἑτέρῳ μείζονι, καὶ θειοτάτῳ, καὶ διὰ τοῦτο ἀστέκτῳ.

7. Oportebat igitur zelo Dei accensos igni huic sensibili haud esse impares, sed superiores, quasi frigidam ingressos aquam. Infremuit enim, ut ita dicam, et cessit corporibus sanctis quæ Deus inhabitabat, famulatus ignis, nec potuit inclytis Dei pueris suam opponere vilitatem, sed velut horrore gelidus et hebes, urere non præsumpsit.

ζ'. Ἐχρῆν ἄρα τοὺς ἐκκεκαυμένους τῷ κατὰ Θεὸν ζήλῳ μὴ εἶναι καταπόνους αἰσθητῷ ἐκείνῳ πυρὶ, ἀλλὰ καταχορεύειν αὐτοῦ, ὡς εἰ καὶ ψύχοντι ἐμβεβήκασιν ὕδατι. Ἔφριξε γὰρ, κατὰ τὸν οὕτως εἰπόντα, καὶ εἶξε σώμασιν ἁγίοις, οἷς Θεὸς ἐνῴκει, τὸ σύνδουλον πῦρ, καὶ οὐκ εἶχε τοῖς γνησίοις ἐκείνου θεραπευταῖς τὸ ταπεινὸν ἀνθίστασθαι· ἀλλ' ὡς οἷα κρυσταλωθὲν τῷ φόβῳ κατηργεῖτο, καὶ τὸ τῆς καύσεως οὐκ εἶχεν αὖχημα.

D

η'. Ταύτης δὴ καὶ τρίτης ἐπενηνεγμένης λύσεως, παρετέθη αὐτῇ καὶ ἑτεροία τετάρτη αὖτη. Ἐνέργειαι ἐστιν ἐψαλμένας ἐνταῦθα νοῆσαι καὶ τὰς ἦν ὅτε πάλαι ποτὲ τῷ πυρὶ ἐνθεωρουμένας· οὐκ ἀπεικὸς δὲ, εἰπεῖν καὶ ἐνοπτριζομένας μεγάλας καὶ θειοτάτας ἀπεικάσεις ἐσύστερον τῶν γραφικῶν τῆς ἀληθείας τυπώσεων, ἃς ὑπογραφικῶς ἐσκιαγράφησεν ἐκεῖνο τὸ πῦρ, ἐν αἷς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπεικονίζετο γέννησις, καθ' ἣν τοῦτο δὴ τὸ πάμεγα τεράστιον, τὸ τῆς θεότητος πῦρ, ὡς ἐν ἄλλοις ψάλλεται, τὴν παρθένον οὐκ ἔφλεξεν, οἷα ὄμβρου δίκην, ὃν προφητικὴ ὅρασις ἐθεώρησε πυρφορήσασα τὸν τῆς Τριάδος ἕνα Χριστόν. Ἐνεργειῶν λόγῳ ταῦτα πυρίνων ἀῤῥήτων γεννήσεως ὑπερφυοῦς, δι' ἧς,

8. Allatæ illi tertiæ solutioni addita est hæc alia quarta. Recogitari enim possunt, tum quæ hic prælatæ sunt virtutes, tum quæ aliquando pridem in igne conspiciuntur; nec immerito dixerim velut in speculo prospici magnos divinissimosque eventus consecutos scripturales veritatis figuras, quas adumbratim delineabat ille ignis, et quibus Salvatoris nostri portendebatur nativitas. In hac enim, per insigne miraculum, divinitatis ignis, ut alibi canitur, virginem haud ussit, quæ imbris instar prophetica visione prospecti, ignem gestavit, nempe unum de Trinitate Christum. Ineffabiles insunt ignis proprietates supernaturali huic nativitati; per quam, velut per ignem ardentem simul et vivifice

irrorantem, omnis impura naturæ nostræ materies, quæ Chaldæorum more concremanda erat, tosta et usta fuit, et sicut in cinerem extenuata abiit periitque, igne consumpta, qui, ut ait Propheta, omnem peccati malitiam interficit. Quod autem debuit superesse ac conservari ad Deum vita angelica glorificandum, remansit; et hæc residua nobis pars est quasi plebs Dei, quæ et ipsa illi igni consimilis, nec ab eo consumpta, sed divino baptismate illuminata simul et refrigerata, sic diviniore fulget splendore.

A ὅσα καὶ πυρὸς φλογίζοντος ἅμα καὶ ζωογόνον δροσίζοντος, πᾶσα μὲν ἐν τοῖς καθ' ἡμᾶς μοχθηρὰ ὕλη, ὁπόσην Χαλδαϊκῶς ἐχρῆν κατακαίεσθαι, κατεφρύγη καὶ ἐξεκαύθη, καὶ ὡς εἰς χοῦν λεπτυνθεῖσα ᾤχετο καὶ ἐξώλετο, πυρὶ ἀφανισθεῖσα τῷ προφητικῷ εἰπεῖν, καταναλίσκοντι πᾶσαν ἁμαρτητικὴν φαυλότητα. Ὁπόσον δὲ ἔδει περιεῖναι τῷ βίῳ καὶ σώζεσθαι εἰς δόξαν Θεοῦ, τὴν διὰ πολιτείαν ἰσάγγελον, περιεποιήθη· καὶ ἔστι τοῦ λάχνους τούτου ὁ περιούσιος ἐν ἡμῖν λαὸς τοῦ Θεοῦ, ὁ καὶ αὐτὸς τῷ πυρὶ προσφυὴς ἐκείνῳ, καὶ δι' αὐτὸ μὴ καταναλισκόμενος, ἀλλὰ θείῳ βαπτίσματι φωτιζόμενος ἅμα καὶ δροσιζόμενος, καὶ οὕτω πυριλαμπὴς θειότερον ἐκφαινόμενος.

9. Has nobis clare postea in novissimis temporibus manifestatas operationes præmonstrans ob inclytorum trium juvenum chaldaicus caminus et figurate adumbrans, unam quidem exercebat adversus Chaldæos, quos comburebat, alteram vero in sanctos juvenes, quos refrigerabat. Quodsi majori claritate elucidanda sit præsens explanatio energiæ Babylonici ignis, canticum divisas dicit, non tam vires quæ tunc in illo erant et ab eo exercebantur, quam in posterum futuras, ut tunc quidem tales ignis proprietates prophetica tantum visione prospicerentur, postea vero ipsis oculis clare apparerent, et sic veteribus figuris responderent, juxta sacrum cantorem, eventus illi posteriores nunc adimpleti, quando videlicet concepto in Virgine incombusta igne divinitatis, unde ortus est fons vitæ, et flammis scatens ad exurendos omnes diaboli tribulos, et rore dives adirrigandas Dei plantas. Hujusmodi operationes futuras fidelibus quidem lætas, secus vero infidelibus, et ita singulis proportionate dividendas eosque divisuras ille ignis præfigurabat, maxima virtute prodigia efficiens inconciliabilia.

θ'. Ταύτας δὴ τὰς ἐναργῶς ἐν τοῖς ὕστερον ἐπ' ἐσχάτου τῶν αἰώνων ἐμφανισθείσας ἡμῖν ἐνεργείας ἐκτυποῦσα διὰ τῆς τῶν μεγάλων τριῶν παίδων καθαρότητος ἡ Χαλδαϊκὴ πυρκαϊὰ, καὶ εἰκονικῶς διαζωγραφοῦσα, ἐμέριζε τὴν μὲν κατὰ τῶν Χαλδαίων, B οὓς καὶ διέφθειρε, τὴν δὲ ὑπὲρ τῶν ὁσίων παίδων, οὓς ἐδρόσιζεν. Εἰ δέ τι χρὴ τὴν ὑπόγυιον λύσιν κεφαλαιωσάμενον διαφωτίσαι σαφηνείᾳ πλείονι ἐνεργείας Βαβυλωνίου πυρὸς, ἡ ᾠδὴ λέγει μερισθῆναι οὐ τὰς ἐν αὐτῷ ἐνούσας καὶ δι' αὐτοῦ ἐκείνου ἐνηργημένας, ἀλλὰ τοῖς ἐν ὑστέρῳ χρόνοις, ἵνα τότε μὲν ἐμφαίνοιντο αἱ τοιαῦται τῷ πυρὶ ἐνέργειαι θεοπτικῶς, ἐς δὲ τὸ μέλλον ὀφθαλμοφανῶς ἐκφαίνοιντο, καὶ οὕτω προσαρμόζοι ταῖς χρόνῳ ὕστερον θειοτάταις ταύταις ἐμπράκτοις ἐκβάσεσι τὸ πάλαι μὲν τυποῦσθαι, νῦν δὲ ἐνεργεῖσθαι κατὰ τὸν καὶ οὕτω ψάλαντα, ὅτε δηλαδὴ τὸ συλληφθὲν ἀφλέκτως ἐν τῇ παρθένῳ πῦρ τῆς θεότητος, ἀποτεχθείη ἐκεῖθεν πηγὴ ζωῆς, αὐχοῦσα μὲν καὶ τὸν φλογερὸν κατὰ πάσης C ἀκάνθης διαβολικῆς, πλουτοῦσα δὲ καὶ τὸ δροσερὸν ἐπὶ τοῖς φυτοῖς τοῦ Θεοῦ. Τοιαύτας ἐνεργείας μετὰ χρόνους ἱλαρὰς μὲν τοῖς πιστοῖς, οὐ τοιαύτας δὲ τοῖς ἀπίστοις, καὶ οὕτω μεριζομένας ἑκατέροις ἀνάλογον καὶ μεριζούσας αὐτοὺς, τὸ πῦρ ἐκεῖνο προαπεικόνιζε, δυνάμει κρείττονι ἐνεργοῦν ἀξύμβατα τέρατα.

10. Illa quarta tribus addita solutio est ultima: nihil enim amplius superest ad solutionem prioris difficultatis. Alteram vero inferius in sermone expositam, ac deductam ex his verbis: *Utraque instaura, Christe Deus*, sequens elucidabit explanatio, duabus solutionibus tanquam facibus illustrans obscuræ sententiæ caliginem: quarum quidem solutionum una clara est, altera quid profundi habet.

ι'. Αὕτη καὶ ἡ ἐπὶ ταῖς τρισὶ λύσις ἡ καὶ τετάρτη καὶ τελευταία· οὐ γάρ τι πλεῖον ἡμῖν προσευπόρηται εἰς λύσιν τῆς πρώτης ἀπορίας, τῆς δέ γε μετ' αὐτὴν ἀνόπιν τοῦ λόγου ἐκτεθειμένης, ἥτις ὑπεκινήθη ἐκ τοῦ· *Ἑκάτερα διόρθωσαι, Χριστὲ ὁ Θεός*. Τοιοῦτος ὁ διαφωτισμὸς, δυσὶ λύσεσιν ὡς οἷα καὶ λυχνίαις καταλάμπων τὴν τοῦ ἀποροῦντος λογισμοῦ σκότωσιν, ὧν λύσεων ἡ μὲν ἐπιφαίνεται, ἡ δὲ καί τι βάθους ἔχει.

11. Quæ autem est clarior, hæc est. Sæpius, o Deus, hymnos canens tibi, misceo etiam peccatum, illud quidem pulchre faciens, hoc vero perperam. Oportet igitur, sicut prius rectum est, ita corrigi et posterius, ut non alterum sit sine tortu, alterum vero male claudicet, sed ambo tua gratia dirigantur, quod alterorsim vergit exæquante optima tua libella. Talis est illius difficultatis prima solutio liquidior, haud vero dicenda, ut puto, illepidior. Altera autem hæc est: Quandoque contingit nos loqui, et nescire quid loquamur, sicut etiam legere, et nescire quid legamus. Et hoc evenit non præ ignorantia sed quia mens non advertit ad ea quæ dicuntur aut leguntur. Tunc videmur ut psittacus, aut pica, aut illa Scripturæ a-

D ια'. Καὶ ἡ μὲν ἀβαθὴς εἴη ἂν τοιαύτη· πολλάκις, ὦ Θεὲ, ὕμνους ᾄδων σοι παραμιγνύω καὶ ἁμαρτίαν, ἐκεῖνο μὲν ὀρθῶς ποιῶν, τοῦτο δὲ πλημμελῶς. Χρὴ γοῦν, ὥσπερ τὸ πρῶτον διώρθωται, οὕτω κατορθωθῆναι καὶ τὸ δεύτερον, ἵνα μὴ θάτερον μὲν ἀσκαμβεύτως ἔχῃ, τὸ δὲ λοιπὸν ὑποσκάζῃ φαύλως· ἀλλ' ἑκάτερα εἶεν διωρθωμένα τῇ σῇ χάριτι, ἀνισασθέντα τὸ ἐτοῤῥεπὲς ὑπὸ τοῦ σοῦ καλοῦ ζυγοστάτου. Τοιοῦτον τὸ ἓν θεράπευμα τῆς ἀπορίας τὸ ἀβαθέστερον, οὐκ ἂν δέ τις, οἶμαι, εἴποι, ὡς ἀμαθέστερον· τὸ δὲ ἕτερον ἔχει οὕτως. Ἔστιν ἐνίοτε λαλεῖν ἡμᾶς, καὶ μὴ εἰδέναι, τί λαλοῦμεν, ὥσπερ καὶ ἀναγινώσκειν μὲν, μὴ εἰδέναι δὲ, ἅπερ ἀναγινώσκομεν. Καὶ οὐ λέγω, κατὰ ἄγνοιαν, ἀλλὰ παρὰ τὸ μὴ ἔχειν τὸν νοῦν πρὸς τοῖς ἢ λαλουμένοις ἢ ἀναγινωσκομένοις·

ὅτε καὶ ψιτταχίζειν δοκοῦμεν, ἢ κατὰ κίσσας φθέγγεσθαι, ἢ καὶ κατὰ δνον ἐκείνην τὴν Γραφικὴν, τάχα δὲ καὶ ὡς ἐνυπνίοις λαλεῖν, μενοῦνγε παραλαλεῖν, μήποτε δὲ ξένῃ γλώσσῃ βατταρίζειν κατὰ τοὺς μέθῃ κατόχους, οἳ πολλὰ νοὸς δίχα λαλοῦσι, βραχύ τι μαινομένων αὐτοὶ ἐλαττούμενοι. Οὐκοῦν καὶ ὁ ὑμνῳδῶν μὲν ῥεμβόμενος πρὸς ἄλλα, καὶ ταῦτα οὐ βιωτικὰ, οἷς διὰ τὸ ἐν αὐτοῖς ἄτοπον οὐ χαίρει Θεὸς, ἁμαρτάνει, ψευδόμενος τὸ τοῦ Θεοῦ σέβας, καὶ τὴν εἰς ἐκεῖνον κατὰ νοῦν ἀνάτασιν χωριζόμενος· καὶ τοίνυν οὐ κατορθοῖ ἐκεῖνος τὸ ᾄσμα, καὶ δι' αὐτὸ δέεται διορθώσεως καὶ αὐτὸς, καθὰ καὶ ὁ ἁπλῶς ἐφαμάρτως ἐνεργῶν. Ὡς γὰρ ὁ τοιοῦτος οὐκ ἔστι πρὸς τῷ ὀγαθῷ, ἡνίκα ἐνεργεῖ τὴν ἁμαρτίαν, καὶ ταῦτα Θεὸν ἴσως καὶ εἰδὼς· καὶ ὀρθῶς εἰδώς· οὕτως οὐδὲ ὁ ὑμνῶν μὲν, μὴ ἀνατείνων δὲ ἑαυτὸν εἰς τὸν ὑμνούμενον Κύριον· ὃς δὴ ἄνθρωπος διὰ τοῦτο καὶ εἰς κενὸν κατὰ τὴν εὐαγγελικὴν γνώμην κράζων τὸ *Κύριε, Κύριε*, εἰκότως λογίζεται οὐδὲ ὡς θηρίου μᾶλλον ὡς εἰς χαλκὸν ἠχοῦντα, ἢ κύμβαλον ἀλαλάζον, ἢ κρόταλον εἰκῇ ψοφοῦν.

ιβ'. Διὸ καὶ ἑκάτερον εὔκταιον τῷ τοιούτῳ διορθωθῆναι ἀνδρὶ, τήν τε ἀτοπίαν τῶν πονηρῶν λογισμῶν, καὶ τὴν ἀναμεμιγμένην αὐτοῖς ὑμνῳδίαν, καὶ οὕτως ἀχρειουμένην. Ἐξωθῶν γὰρ οὐχ ὥσπερ ἦλος ἦλον, τοῦτο δὴ τὸ παροιμιῶδες, ἀλλ' ὥσπερ ἁγιωσύνην ἁμαρτία, οὕτω καὶ πονηροὶ διαλογισμοὶ ἐντελεῖς ὑμνῳδίας, τὰς ἐξ ὅλης διανοίας, καὶ ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ψυχῆς. Καὶ δῆλον αὐτὸ, οἷς πολλάκις οὕτως ὑμνοῦντες, οὐδὲ μεμνήμεθα, εἴτε ψάλλομεν. Ἔνθα πῶς ἂν ψάλλοι τις ἐξ ὅλης ψυχῆς, ὅπου πᾶσαν αὐτὴν ἀπήγαγεν ἐκ Θεοῦ, οὐδ' ἄχρι γοῦν, ὃ λέγεται, σημείου ἐκείνῳ κολλώμενος; Τοιαύτη τις ἔννοια ἐπιμαρτύρεται, οἶμαι, ἀκρίβειαν καὶ τραγῳδικῷ ἐκείνῳ ῥητῷ, τῷ· *Ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος*. Εἰσὶ γὰρ οἱ προαλεῖς ἐν λόγοις ὄντες καὶ προπετεῖς τὴν γλῶσσαν, πρινὴ βάψαι εἰς νοῦν καὶ ἐμβαθῦναι πράγμασιν· ἐξόμνυνται, ὡς οὕτω λαλεῖν, τὴν γλῶσσαν ἰδίᾳ τῆς φρενός. Εἶεν δ' ἂν τοιοῦτοι ὡς μάλιστα ὅρκοι, ὅσοι κατὰ ἔρωτα· διὸ οὐδὲ ἐρρῶσθαι παροιμιάζονται. Καὶ οἶδα μὲν, ὅτι κατεγελάσθη πρὸς τῆς κωμῳδίας ἡ τραγῳδικὴ ἐκείνη γνώμη· φεισοῖ δὲ τῆς σοφίας τοῦ κερτομήσαντος ὀκνῶ τὴν ἀντίῤῥησιν, λέγω δὲ, μυρίους ὅσους εἶναι λόγους, οἳ δίχα φρενῶν ἐκπέτονται, οὓς ἀφροσύνης ἂν λέγοιμεν ἔκγονα. Τοιοῦτον καὶ ἡ ὑμνῳδία, ἢ παραμείχεται πονηροὶ διαλογισμοὶ, ἐνιαχοῦ δὲ καὶ πράξεις ἀλόγιστοι. Πρὸς τίνι γὰρ νομιστέον τηνικαῦτα εἶναι τὸν Θεόν; Πρὸς τῷ λόγῳ τῆς ὑμνῳδίας, ψιλῷ κατ' αὐτὰς λέξεις; ἢ πρὸς τῷ πονηρῷ διαλογισμῷ; Ἀποδέχεται τὸ πρῶτον, ἀλλὰ τὸ δεύτερον ὑπερμισεῖ. Καλὰ τὰ τῆς γλώσσης, ἀλλ' ὁ νοῦς ἀντιφωνεῖ. Οὔπω φθάνει προσδέξασθαι τὸν ὑμνοῦντα μόνῃ γλώσσῃ Θεὸς, καὶ ἀπωθεῖται τὸν αὐτὸν, διότι τῷ κρείττονι, τῇ ψυχῇ, πονηρεύεται. Φιλεῖ τὸν μεμνημένον αὐτοῦ· ἀλλ' ὅτι οὐκ ἐκ ψυχῆς, μὴ ὅτι γε ὅλης, ἀλλ' οὐδὲ γοῦν ὅλως μέμνηται, οὐ πάνυ φιλεῖ, μήποτε δὲ καὶ βύῃ τὰ ὦτα πρὸς τὴν τοῦ ὕμνου κραυγήν. ἀφιεὶς τὸν ὑμνοῦντα τῷ θεραπευομένῳ δαίμονι.

ιγ'. Ἐφέλκῃ τὸν Θεὸν, ὦ ἄνθρωπε, οἳ; ὑμνεῖς ἐκεῖνον· ἀλλ' οἷς διαλογίζῃ τὰ τοῦ πονηροῦ, ἀπάγεις

A na loqui, et forsan velut in somnio effari, vel potius effutire, et aliquando barbara balbutire lingua, ebriorum instar qui multa inattente garriunt, paulo ab insanis discrepantes. Ergo psallit, vagans ad aliena, etiam non mundana, quæ utpote intempestiva Deo displicent, delinquit, frustrans Dei, et attentionem mentis ad Deum effeminans: non igitur dirigit ille spiritum, ac proinde caret ipse rectitudine, sicut et qui simpliciter peccat. Quemadmodum enim hic non stat in bono, cum facit peccatum, quamvis forsan Deum cognoscat recteque noverit, ita et qui psallit, haud vero animum intendit ad Dominum quem canit: qui quidem homo propterea inaniter, juxta evangelicum effatum, clamans: *Domine, Domine*, merito reputatur non ut bestiæ catulus rugiens et quærens escam sibi, sed potius velut æs sonans, aut cymbalum tinniens, aut atabalus temere strepens.

B

12. Optandum proinde hujusmodi viro utrumque corrigi, malam scilicet cogitationum aberrationem, et permistam his orationem sicque inutilem factam. Namque non sicut clavus clavum, juxta proverbium, repellit, sed sicut sanctitatem iniquitas, ita vanæ cogitationes perfectam removent orationem, quæ est ex tota mente, et ex toto corde, et ex tota anima. Et hoc manifestum nobis, qui sæpe sic psallentes ne meminimus quidem an oremus. Porro quomodo psallat ex tota anima, qui totam illam a Deo avocavit, ne usque ad litteram quidem verborum ei

C adhærens? Hic animi status accurate, ut arbitror, exprimitur his trægœdi verbis: *Juravit lingua, mens vero non juravit*. Sunt enim sermone præcipites et ore prompti, qui verba nec animo defigunt nec actibus imprimunt; horum, ut ita dixerim, linguam mens intima ejurat. Sunt autem plerumque hujusmodi sacramenta velut quæ præstantur de amore, et ideo etiam non valere dicuntur. Scio quidem irrisam fuisse a comœdo illam trægœdi sententiam, et sapientiam venerans ejus qui illusit, contradicere vereor, sed assero innumeros esse sermones qui sine attentione avolant, et qui dici possunt inconsiderantiæ filii. Talis est et oratio cui admiscentur malæ cogitationes, et

D aliquando pravæ actiones. In quo enim tunc adest Deus? Utrum in nuda verborum orationis littera, an in mala cogitatione? Priorem accipit, sed posteriorem odit. Pulchra quæ lingua sonat, sed dissonat animus. Minime potest acceptum Deus habere illum qui labiis tantum orat, sed eum repellit, quippe cujus potior pars, anima scilicet, perversa est. Diligit memorem sui: qui vero, nedum tota anima, ne ullatenus quidem meminit, eum haud valde amat, et aliquando claudit aures ad ejus vocem, permittens psallentem dæmoni cui famulatur.

13. Allicis Deum, o homo, quatenus eum celebras; sed quatenus mala cogitas, removes optimum tuum benefactorem. Ore sapienter loqueris, corde vero insipienter, quidquid in os venit

dicens, et sic misces quæ ratio tibi suggerit, cum iis quæ caro facit, exsulante mentis præsentia. Deo famularis, paulisper duntaxat psallens; et plerumque adversarium lætificas, qui gaudet tibi insultans dum ita psallis, et quidem merito. Cum enim oporteat bene orare et inclamitare illi terrifica, tu econtra das ei libertatem ad te accedendi, Deo quidem absona psallens, isti vero pergrata. Et videris idem agere ac si una manu chordas titillans melos elicias canorum, altera vero testas collidens aures obtundas. Sic enim Deum paulisper jucundans, qua eum celebrare inchoas, deinde ira incendis, qua absonis perturbas cogitationibus.

A τὸν πανάγαθον σεαυτοῦ. Εὐλογεῖς τῷ στόματι, ἀλογίζῃ δὲ τῇ καρδίᾳ, ἐλευθεροστομῶν οἷον, καὶ οὕτως ἡμισεύων τὸ ἐν σοὶ λογικὸν, οἷς ἡ μὲν σὰρξ ἐνεργεῖ, ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ. Θεραπεύεις τὸν Θεὸν, ἐπί τι βραχὺ ψάλλων καὶ μόνον· τῷ πλείονι δὲ ἡδύνεις τὸν ἀντικείμενον, ὃς χαίρει καταχορεύων σου, ὅτε οὕτω ψάλλεις· καί γε καλῶς. Δέον γὰρ ὃν διώκειν αὐτὸν ἐν τῷ ὀρθὰ ψάλλειν, καὶ ἐγκράζειν οὕτως αὐτῷ τὰ εἰς φόβον, σὺ δὲ ἀλλὰ παῤῥησίαν αὐτῷ δίδως ἐγγίζειν πρὸς σὲ, Θεῷ μὲν ἀπῳδὰ ψάλλων, ἐκείνῳ δὲ φιλητά. Καὶ ἔοικας ὅμοιόν τι ποιεῖν, ὥσπερ θατέρᾳ μὲν χειρὶ χορδὰς ἐπέρχῃ, ψηλαφῶν

B αὐτὰς εἰς κροῦμα ἔμμουσον, τῇ δὲ λοιπῇ κατακροτεῖς ὄστρακα, καὶ οὕτω λυπεῖς τὸν ἀκροώμενον. Οὕτω γάρ τοι καὶ τὸν Θεὸν βραχύ τι εὐφραίνων, οἷς ἐπιβάλλεις αὐτὸν ὑμνεῖν, εἶτα παροργίζεις, οἷς θορυβεῖς, ἄτοπα διαλογιζόμενος.

14. Detur ergo tibi, o frater, et nobis omnibus, illa ambo reformari, et sic nos canere inturbida, et Deo placita et pravis haud immista cogitationibus, ut lingua et animus consonent in divino psalterio, concentum modulante rerum nostrarum moderatore Deo. Nam, si non ipse assistat, et attentionis januam omnimodamque custodiam apponere dignetur, primum interioris hominis ori et labiis, deinde apparentis involucri, id est, exterioribus ori ac labiis, quæ et ipsa haud pauca indigent custodia et attentione: non perfecte nobis in vita dirigitur oratio, et quæ ad ea exsistit ad Deum elevatio. Nobis eum semper est timendum ne, interioribus ore labiisque imprudentur apertis, cum bonis affectibus mali quidam subintroeant, quales sæpius experimur, cum orationibus recta non præest cogitatio. Sicut, cum ovilia incustodita patent, nihil obstat quin lupus aliquando in ovium gregem irrumpat, et omnia intus prædetur, sicut etiam portis urbium non diligenter asservatis, subire possunt simul cum civibus ii quos odit sapiens regimen.

ιδ'. Γένοιτο οὖν καὶ σοὶ, καὶ ἡμῖν δὲ ἅπασιν, ὦ ἀδελφὲ, διορθωθῆναι τὰ τοιαῦτα ἑκάτερα, καὶ οὕτως ἀθορύβητα μέλπειν, καὶ Θεῷ φίλα καὶ πονηροῖς διαλογισμοῖς ἀνεπίμικτα, ἵνα καὶ ἡ γλῶσσα καὶ ὁ νοῦς συμφωνοῖεν ἐς θεῖον ψαλτήριον, ῥυθμιζόμενα ὑπ' αὐτοῦ τοῦ διορθωτοῦ τῶν ἡμετέρων Θεοῦ· ὡς, εἴ γε μὴ αὐτὸς ἐκεῖνος ἐφίσταιτο, καὶ θύραν περιοχῆς καὶ φυλακὴν παντοίαν εὐδοκεῖ τεθεῖσθαι, πρῶτα μὲν τῷ τοῦ ἐντὸς ἀνθρώπου στόματι καὶ τοῖς αὐτοῦ χείλεσιν, εἶτα καὶ τοῖς τοῦ προφαινομένου θυλάκου, τῷ ἐκτὸς δηλαδὴ στόματι καὶ τοῖς χείλεσιν, ἃ δὴ καὶ αὐτὰ οὐκ ὀλίγης δέονται καὶ φυλακῆς καὶ περιοχῆς,

C οὐκ ἔστιν ἡμῖν ἐντελὴς οὐδὲ ἡ κατὰ βίον ὑμνῳδικὴ διόρθωσις, καὶ ἡ δι' αὐτῆς πρὸς Θεὸν ἄρσις. Χρὴ γὰρ ἡμᾶς ἀεὶ δεδιέναι, μὴ τοῦ ἔνδον στόματος καὶ τῶν κατ' αὐτὸ χειλέων ἀφυλάκτως ἀνοιγομένων, συνεισέρχωνται τοῖς ἀγαθοῖς ᾄσμασι καί τινα φαῦλα, ὁποῖα πολλὰ ἐμάθομεν, ὅτε μὴ ταῖς ψαλμῳδίαις ὀρθὸς ἐπιστατεῖ λογισμός· καθά που καὶ ἐν ἀσυντηρήτοις μάνδραις ἀνεῳγυίαις οὐδὲν κωλύει καὶ λύκον ἔστιν οὗ τῇ τῶν θρεμμάτων ἀγέλῃ συνεισπηδᾷν, καὶ λυμαίνεσθαι τὰ ἐντός· οὕτω δὲ καὶ πύλαις πόλεων, ὅσαι μὴ φυλάττονται πρὸς ἀκρίβειαν συνεισέρχεσθαι τοῖς πολίταις καὶ οὓς ἡ ὀρθὴ πολιτεία μισεῖ.

15. Optemus igitur ut psallamus simul ore et anima, et sic tibiæ simus divino inflatæ Spiritu et ita Deo repleti, quatenus perfecta eum canimus melodia, erubescamus labiis quidem vigilare, animo autem dormire, et esse ore quidem vivos, reliqua vero hominis parte mortuos. Benedicit linguam Deus psallentem; sed quid hoc nobis prodest, si non animam quoque benedicat? Ne permittamus nos ludibrium adversariis, qui et ipsi, Christum Salvatorem Filium Dei proclamantes, non tamen pro eo erant. Ne, credita labiis loquela, ipsi alio divagemur; tanquam si quis, suffossa canali qua fluat via, deinde discedat, aquam sinens alia huc illuc dilabi. Non laudatur dominus qui dormit ipse, dum famulum frustra vigilare jubet. Nonne domina est quæ dormit in nobis mens, famulatur vero in psallendo lingua? Melius est, credite mihi, si sic lingua sola psallamus, præside animo exsulante, sambucis seorsim psallere, et tympanis tibiisque ac lyris, et quibuscunque musicis instrumentis ludebant veteres. Quare igitur melius? Quia mens illis

ιε'. Εὐχοίμεθα οὖν ψάλλειν καὶ στόματι καὶ ψυχῇ, καὶ αὐλοὶ οὕτως εἶναι θείου πληρούμενοι Πνεύματος· καὶ γέμοντες οὕτω Θεοῦ, οἷς αὐτῷ μέλπομεν ὁλομελῶς τε καὶ ἐντελῶς, ἔχοιμεν ἐντροπὴν, τῇ γλώσσῃ μὲν ἐγρηγορέναι, ὑπνοῦν δὲ τῷ λογισμῷ· καὶ ζῆν μὲν τῷ στόματι, τῷ δὲ λοιπῷ τοῦ κατ' ἄνθρωπον

D θνήσκειν. Εὐλογεῖ τὴν γλῶσσαν ὁ Θεὸς ὑμνῳδοῦσαν· τί δὲ ἡμῖν ἐντεῦθεν ὄφελος, εἰ μὴ καὶ τὴν ψυχήν; Μὴ παρέχοιμεν τοῖς ἀντικειμένοις γελᾷν καθ' ἡμῶν, οἳ καὶ αὐτοὶ Θεοῦ Υἱὸν, τὸν Σωτῆρα Χριστὸν, κεκραγότες, ὅμως οὐ πρὸς αὐτοῦ ἦσαν. Μὴ ἐφιέντες τῇ γλώσσῃ λαλεῖν, αὐτοὶ ἀλλαχοῦ ῥεμβοίμεθα, καθάπερ εἰ καὶ ὕδατος ὀχετόν τις κινήσας, εἰς ὁδὸν ῥέειν, εἶτα ἐκεῖνος ἀποσταίη, ἑτέρωθεν πλανᾶσθαι τὸ ὕδωρ ἀφεὶς, ὅποι τύχοι. Οὐδὲ δεσπότης ἐπαινεῖται, αὐτὸς μὲν κατακοιμηθεὶς, ἀγρυπνεῖν δὲ μάτην οὕτω τὸν δοῦλον ἀφεὶς. Ἦ γὰρ οὐ δεσπότης μὲν ὁ ἐν ἡμῖν κοιμώμενος νοῦς, δουλεύει δὲ εἰς οὐδὲν δέον ἡ ἐν ψαλμοῖς λάλος γλῶσσα; Κάλλιόν ἐστιν, ὦ οὗτοι, ἐὰν οὕτω τῇ γλώσσῃ μόνῃ ψάλλωμεν, ἀποδημοῦντος τοῦ κορυφαίου λογισμοῦ, σαμβύκαις ψάλλειν

καταμόνας, καὶ θαμβουρίοις, καὶ αὐλοῖς, καὶ λύραις, καὶ ὅσοις μουσικοῖς ὀργάνοις ὕμνουν οἱ παλαιοί. Διὰ τί δὴ κάλλιον; Ὅτι δὴ νοῦς ἐκείνοις ἐπιστατεῖ ἔντεχνος, ὁ κατ' ἐπιστήμην, καὶ ῥυθμίζει πρὸς τὸν σκοπόν· γλῶσσα δὲ ψαλμῳδὸς, ἧς ἀπάγει τὸν λογισμὸν ἡ τῶν ἐνθυμήσεων ἀτοπία, νοῦν οὐκ ἔχει οὔτε συνάδοντα, οὔτε μὴν ἐμμελῶς ῥυθμίζοντα.

A præsidet juxta artis regulas, et sonos moderatur ad finem sibi intentum; lingua vero psalleus, a qua removet attentionem aberratio cogitationum, mentem non habet concinentem, nec numeros modulantem.

ις'. Ἐπὶ πᾶσι τούτοις εἶεν διὰ ζήλου ἡμῖν καὶ μιμήσεως τῶν ἐχεφρόνων παίδων οἱ τὰ σπουδαιότερα τῶν μαθημάτων ἀποστηθίζοντες, οἷς πάνυ τι μέμηλε τὰ ἐξαγγελλόμενα. Ἔχουσι γὰρ τὸν νοῦν ὅλον πρός τε τῷ διδασκάλῳ καὶ πρὸς οἷς ἐξαγγέλλουσιν. Ὃ πάντως ποιητέον καὶ ἡμᾶς ἐν τῷ προσπηγνύειν τὸν νοῦν καὶ τοῖς ψαλλομένοις καὶ τῷ παμμεγίστῳ διδασκάλῳ ἡμῶν, ᾧ ψάλλομεν, ἵνα οὕτω μακαρίσῃ ψάλλοντας ἡμᾶς ὁμοίως τοῖς ἀναγεγραμμένοις παιδίοις, καὶ στραφῆναι ἡμᾶς εἰς ἐκεῖνα τοῦτό γε, εἴπῃ, καὶ εἰς κληρονόμους τῆς κατ' αὐτὸν βασιλείας ἐγγράφηται, καὶ οἷα καὶ υἱοὺς αὐτοῦ.

16. In his omnibus æmulandi et imitandi nobis sunt perspicaces pueri qui ediscendorum potissima memoriter pronuntiant, et quibus maximæ est curæ quod recitant. Totam enim mentem advertunt et ad magistrum et ad ea quæ narrant. Id oportet nos quoque facere, et animum defigere, tum in iis quæ psallimus, tum in maximo nostro Magistro cui psallimus, ut orantes nos faciat beatos præfatorum instar puerorum, et jubeat nos horum similes fieri, B et in regni sui hæredes et filios suos adscribat.

ιζ'. Εἰ δὲ καὶ Θεὸν ὑμνοῦντες, ἢ τῶν τινας θεραπόντων Θεοῦ αὐτοῖς, ἐκείνοις παρεστάναι δοξάζομεθα, καὶ κατ' ὄψιν λαλεῖν, τί μὴ τὸν νοῦν ὅλον ἐκ τῆς; ἔξω τύρβης τηνικαῦτα μετακαλούμενοι, καὶ εἰς ἓν συναγείροντες, νόες αὐτόχρημα γινόμεθα, συνόντες τοῖς ὑμνουμένοις, καὶ κολλῶντες αὐτοῖς τὰς ψυχὰς, καὶ οὕτω μηδενὸς τῶν βιωτικῶν ἐμπαζόμενοι, μὴ ὅτι γε τῶν ἀτόπων, ἀλλ' οὐδὲ τῶν διὰ σπουδῆς ἁπάσης; Κακομήχανος γὰρ ἡμῖν ἐχθρὸς ἐγκάθηται, σοφιζόμενος, μὴ μόνον λογισμοῖς ἀτόποις ἀποδυσκολεῖν ἡμᾶς τοῦ Θεοῦ, ἀλλά που καὶ ταῖς χρηστοτέραις τῶν ἐννοιῶν, ἵνα μόνον ὀπωσοῦν τὴν ἱκεσίαν ἡμῶν ἐγκόψῃ. καὶ μεθοδεύσῃ, ἄλλα μὲν ἡμᾶς λαλεῖν, ἑτεροίοις δὲ τὸ νοερὸν τῆς ψυχῆς εὐκαίρως ἀκαίρως ἐνασχολεῖν. Ἡμεῖς δὲ ἄλλα καὶ ὕμνους ᾄδοντες, καὶ C ἄλλως δὲ τῷ Θεῷ καὶ τοῖς αὐτοῦ ἐντυγχάνοντες, τοξεύσωμεν κατὰ σκοποῦ ἑνὸς, τοῦ εἰδέναι, ἃ τε λαλοῦμεν, καὶ οἷς λαλοῦμεν, ἵνα τὸν δεινὸν ἀντίπαλον οὕτω κατατοξεύσωμεν, εὐστοχοῦντες τῆς ἄνω κλήσεως.

17. Si autem Deum orantes aut aliquos famulorum ejus, arbitramur nos coram ipsis astare et facie ad faciem loqui, cur non omnibus tunc cogitationibus a rerum exteriorum tumultu avocatis et in unum collectis, spiritus efficimur toti, præsentes iis quæ dicimus, hisque animas agglutinantes, ut cuncta despicientes terrena, non solum quæ mala sunt, sed et quæ omni cura sunt digna? Callidus enim pravi inimicus observat, moliens nos a Deo avertere, non perversis tantum, sed et optimis cogitationibus, ut quocunque modo saltem preces nostras interrumpat, et machinetur nos alia dicere, ad alia vero animæ intellectum opportune importune applicare. Sed nos, tum hymnos canentes, tum aliter cum Deo et sanctis ejus conversantes, ad unum finem intendamus, scilicet ad sciendum quid loquamur et quibus loquamur, ut terribilem adversarium telis confodiamus, feliciter cœlestem attingentes hæreditatem.

ιη'. Ἐνθυμώμεθα δὲ καὶ, ὡς, εἰ βασιλεῖ ὁμιλοῦντες οὐκ ἔσθ' ᾧ τινι τῶν ἔξω περιελκόμεθα, οὐδὲ ἄλλα μὲν λαλοῦμεν, εἰς ἄλλα δὲ τὸν νοῦν παραπέμπομεν, τῷ παντὶ πλέον ἐν ταῖς θειοτάταις ὁμιλίαις τοιᾶσδε στοχαστέον προσοχῆς καὶ συμφωνίας καὶ εἰς ἓν συννεύσεως τῆς τε γλώσσης καὶ τῆς ψυχῆς. Ταῦτα, ὦ φίλοι ἀκροαταὶ, ἀρέσκοντα μὲν ὑμῖν συναρέσκουσι καὶ ἐμοί· εἰ δὲ ἀντιφωνεῖτε, ζητητέον ἄλλοθεν λύσεις κρείττονας. Εὑρήσετε δὲ πάντως, Θεοῦ διδόντος, τοῦ ὑπεσχημένου εὑρίσκεσθαι τοῖς ζητοῦσι, καὶ ἀνοίγεσθαι τοῖς κρούουσιν.

18. Recogitemus etiam nos, si cum rege colloquentes, ad nihil alienum distrahimur, nec alia quidem dicimus, ad alia vero mentem avocamus, multo magis in divinis conversationibus tendere debere ad talem attentionem, concordiamque et conspirationem linguæ et animæ. Hæc, charissimi auditores, si vobis placuerint, et mihi complacent; si vero contradicatis, meliores alibi quærendæ sunt solutiones. Reperietis profecto, concedente Deo, qui pollicetur inveniendum quærentibus, et aperiendum pulsantibus.

EJUSDEM DE OBEDIENTIA MAGISTRATUI CHRISTIANO DEBITA.

Τοῦ αὐτοῦ περὶ ὑπακοῆς καὶ εὐπειθείας πρεπούσης πολιτεύματι Χριστιανικῷ.

Ejusdem de obedientia magistratui Christiano debita.

α'. Ὑπομιμνήσκων ἔτι καὶ ἔτι, ναὶ δὲ καὶ διδάσκων τοὺς ἑκατέρου τοιούτου δεδεημένους ἀγαθοῦ ἐν ἡμῖν (τάχα γάρ τινες οὐδετέρου δεήσονται, οἱ μὲν, ὡς μὴ ἐπιδεεῖς ὄντες διδασκαλίας, οἱ δὲ ὡς διόλου ἐμμελετῶντες ἅπασι τοῖς τοῦ Θεοῦ δικαιώμασι, καὶ δι' αὐτὸ πεπυκνωμένοι εἰς ἅπαν ἀπ.....), D

1. Admonens subinde, imo etiam docens eos inter vos qui vel admonitione vel doctrina opus habent (fortasse enim erunt qui neutro indigeant, sive nullius doctrinæ indigi sint, sive omnibus Dei justificationibus intento animo studeant ideoque corroborati sint ad omne.....), ad hanc homi-

lam quæ ad spiritualem obedientiam promptumque ad auscultandum animum exhortatura est, nunc accingor, recurrens ad prima exordia quibus lubenter inhæreo. — Fuit tempus, o fratres, quo neque lex, aut regula, aut ulla rationalis hominibusque digna administratio civitatisque bene ordinatæ constitutio inter homines exsisteret, imo ne vitæ quidem securitas esset, quia neque societas coibat, neque concio habebatur, neque cœtus congregabatur, neque (cur enim id quod omnium tristissimum est tacebo?) humanitas ac mansuetudo apparebat, quæ sola hominem efficit; cujus rei demonstratio partim procul repetenda, partim ex argumentis propinquis deducenda, facilis erit et expedita.

2. Atavi nostri generis ac speciei, homines primi, simulatque numerum primarium supergressi liberos procreaverunt, mutilationem subierunt, siquidem pius Abel cito decessit, haud morte naturali defunctus, sed nece per diaboli invidiam illata abreptus. Ex illo autem tempore dæmon improbissimus haud desiit omnimodis dolis similia nequitiæ loĭia et contemporareis et posteris inserere, atque post fraudem qua paradiso majores nostros privavit, alia expromit horrenda facinora Cainiticæ malitiæ similia, quæ etiamsi alius generis sint et minoris quam cædes illa momenti esse videantur, tamen satis prope ad illam accedunt et clanculum calamitates mortales producunt, quales potissimum exsurgere vidimus ex injustitiis et rapinis quas nuper perpetravit (diabolus), ut perverteret animans rationale, pulchrum, regium, sapiens, divinum, ab angelis proximum, a Deo conditum, atque deflecteret illud ad amentiam et faceret, ut illius ætatis homines vita haud sapienter uterentur, sed potius ad mores belluarum declinarent. Unde exorta est calamitas tanta, ut mundus non amplius exsistere videretur. Quomodo enim mundus, ubi non est homo? Quomodo autem homo, ubi mundus non administratur?

3. Quia autem e naturæ legibus fieri non poterat, quin illis loliis commissa essent bona quædam grana, e quibus temporis successu messis divina, spicis frugibusque abundans, prodiret (gubernabat enim sapiens agricola et administrator mundi, quemadmodum etiamnum gubernat), et quin malis illis facultatibus bonæ quoque essent adjunctæ quibus vita Deo accepta formaretur: hominibus illis corruptis interfuerunt hic illic nonnulli probi qui de cæterorum malitia dolebant, reputantes quomodo Adam et prima generis humani mater a Deo fuissent creati, simplices nimirum, tranquilli, mutationis expertes, mansueti, injuste agere nescii, et quomodo secure agentes ad hoc fuissent constituti, ut augerentur, ac multiplicatio facta sit, divino præcepto ad exitum perducto.

ὡς γίνεται μὲν τὸ ἐκεῖθεν κελεύσεως ἡ αὔξησις καὶ ἡ κελεύσματος.

4. Sed quamvis bonis moribus studere jubeantur, tamen a vita majorum recedunt, utpote qui

A τὴν παροῦσαν ὁμιλίαν ἐπὶ παρακλήσει, τῇ εἰς εὐηκεῖαν πνευματικὴν καὶ πειθὼ καὶ ὑπακοήν, ἐνίστημι, [ἀνα]δραμὼν εἰς ἀρχὴν σκοπιμωτάτην, ἐμοὶ καλῶς ἀρέσκουσαν. — Ἦν πάντως χρόνος, ὦ ἀδελφοί, καθ' ὃν οὔπω μὴ μόνον οὐ νόμος, ἢ κανών, ἢ ποίμανσις ἔλλογος καὶ ἀνθρώποις πρέπουσα, ἢ κατάστασις ἔθους ἁπλῶς; ἐν ἀνθρώποις ἐκράτει, ἀλλ' οὐδὲ βίος ᾠκονομεῖτο, καθότι οὐδὲ ὁμήγυρις ἠθροίζετο, οὐδὲ πανήγυρις ἦγετο, οὐδὲ σύλλογος ἐγνωρίζετο, τί μὴ λέγω τὸ οἰκτιστον; οὐδὲ ἡμερότης ἐξεφαίνετο, καθ' ἣν χαρακτηρίζεται ἄνθρωπος· καὶ ἡ τοῦ λόγου τῷ τέως ἀπόδειξις, εἰ καὶ ἐκ τῶν πορρωτάτω, ἀλλὰ τρόπον ἄλλον ἐγγυτάτω, λέγοιτο ἂν διὰ τὸ αὐτόθεν εὐπόριστον καὶ οὕτω πρόχειρον.

B β'. Οἱ γενάρχαι τοῦ καθ' ἡμᾶς καὶ γένους καὶ εἴδους, οἱ πρῶτοι ἄνθρωποι, ἅμα πυθμενικὸν ἀριθμὸν ἐθεάσαντο τέκνα προβαλόμενοι, καὶ ἐκολοβώθησαν, ἐκείνου ταχὺ ἀπεληλυθότος τοῦ καλοῦ Ἄβελ, οὐ θανάτῳ ἁπλῶς, ἀλλὰ τῷ διὰ φόνου ἐκ διαβολικοῦ φθόνου. Ἐκεῖθεν δὲ χρόνου κατασπείρων οὐ διέλειπεν ὁ ἀρχέκακος ὅμοια ζιζάνια κακοποιά; τοῖς ἐπιγόνοις καὶ ὀψιγόνοις, ὧν δὴ ζιζανίων ῥοῦμα καὶ ἐπὶ τὸν Λάμεχ ἐξέπεσε, μεθοδεύων· καὶ μετὰ τὸν ὅλον, ὃς τοῦ παραδείσου τοὺς ἡμῶν προπάτορας ἀφώρισεν, ἑτεροῖα ἐκφαίνει δεινά, τὰ μὲν τῆς τοῦ Κάϊν μιμήσεως ἔργα, ἕτερα δὲ ἀλλοῖα, δοκοῦντα μὲν ἐλάττω εἶναι τῶν φονευτικῶν, ἀπονεύοντα δὲ πρὸς ἐκεῖνα, καὶ ὑπούλως κοριζόμενα δυσπραγίας θανατηρὰς, ὁποίας οἴδαμεν ὡς μάλιστα καὶ τὰς ἐξ ἀδι-

C κιῶν καὶ ἁρπαγῶν, ἃς ἦνυε παρασχεδὸν, διαστρέψαι τὸ λογικὸν ζῶον τὸ καλὸν, τὸ βασιλικὸν, τὸ ἔνθεον, τὸ δευτερεῦον μετὰ ἀγγέλους, τὸ θεόπλαστον, φιλονεικῶν μεταστῆσαι αὐτὸ εἰς ἀλογίαν, οἷς οὐκ ἐλλόγως οἱ τότε τὰ εἰς βίον διέκειντο, θηριώδη ζωὴν ἐπαναιρούμενοι. Ἦν δὲ ἄρα ὅμοιον τὸ δυσπράγημα, ὡς εἰ μηδὲ κόσμος ἦν ἔτι. Ποῦ γὰρ κόσμος, ἔνθα μὴ ἄνθρωπος; ποῦ δὲ ἄνθρωπος, ἔνθα μὴ τὸ κόσμιον πολιτεύεται;

γ'. Ὅτι δὲ οὐκ εἶχεν ὀρθῶς φύσεως, μὴ ἐν τοῖς τοιούτοις ζιζανίοις παραμεμίχθαι καί τινας κόκκους χρηστοὺς, ἐξ ὧν ἐδύνατο χρόνῳ ποτὲ λήϊον ἀποτελεσθῆναι Θεοῦ εὐσταχυ καὶ πολύκαρπον (ᾠκονόμησε γὰρ ὁ καὶ τεχνίτης γεωργὸς καὶ προνοητὴς τοῦ D κόσμου, καθὰ οἰκονομεῖ καὶ εἰσέτι), ἐγκεχυμίσθαι φαύλαις ἐκείναις ποιότησι καὶ χρησίμους, καὶ οἵως διαρτίαν θεοφιλεστάτην ἀποτελεῖν, παρέκειντο τοῖς τότε παρεξηυλημένοις ἀνθρώποις ἀναμίξ καί τινες ἐμμελεῖς, καὶ ἔθλιβεν αὐτοὺς τὰ κακὰ τῶν ἄλλων ἐκεῖνα, λογιζομένους, οἷος ὁ Ἀδὰμ καὶ ἡ κατ' αὐτὸν προμήτωρ ἄνθρωπος ἐπλάσθησαν ὑπὸ τοῦ Θεοῦ, ἁπλοῖ πάντως ἐκεῖνοι, καὶ ἀπράγμονες, καὶ ἀποίκιλοι, καὶ πραεῖς, καὶ οὐδὲν ἀδικεῖν εἰδότες, καὶ ὡς ἐτάχθησαν τοιοῦτοι φυλαττόμενοι, αὐξάνεσθαι καὶ πληθύνεσθαι καὶ πληροῦν τὴν οἰκουμένην, καὶ ἡ πληθυντικὴ πλήρωσις, οὐ διαπεσόντος τοῦ θείου

δ'. Ψεύδονται δὲ τὴν προπατορικὴν βιοτὴν οἱ τὸ καλὸν κελευσθέντες πάσχειν, οἷα μὴ περὶ γῆν, ὡς

ἐχρῆν, μοχθοῦντες καὶ τὰ κατ' αὐτὴν ἔργα, οὐδὲ ἐν ἱδρῶτι προσώπου πορίζόμενοι ἄρτον, οὐδὲ πρὸς λόγον ζῶντες καὶ βιοῦντες, ὡς ὁ Θεὸς ὥρισεν, ἀλλὰ κατὰ σφῶν αὐτῶν ἀπανθρώπως ἐρεθιζόμενοι, καὶ ἀλλήλους ταράσσοντες καὶ ἀράσσοντες καὶ σπαράττοντες, καὶ πάντα δρῶντες κακὰ εἰς τοὺς ὁμοίως αὐτοῖς ἀνθρώπους, δι' ὧν ἂν ἐκεῖνοι τὴν τότε μακροζωΐαν ἀπεύξωνται, ἣν αὐτοῖς παρέτεινεν ὁ Θεός.

ε'. Τί οὖν οὐκ ἂν ἐποίουν εἰς διόρθωσιν οἱ καὶ τὴν διάκρισιν καὶ τὸν ἀριθμὸν μέτριοι ἄνθρωποι τότε, οἱ πρὸς τῷ Θεῷ, οἱ κατὰ φύσιν, οἱ εὐγενῶς Ἀδαμιαῖοι, οὓς ἡ ἀγαθότης ἐδιδάξατο τὴν ἱλαρὰν ἀνθρωπότητα; τί δὲ οὐκ ἂν μεθώδευον θυμόσοφοι τὰ εἰς φιλαδελφίαν, μενοῦνγε θεόσοφοι ὄντες; πῶς δὲ οὐ μὴ ἐνεπυρίζετο τὰ σπλάγχνα ἐκείνοις, καὶ ἡ καρδία ἐκαίετο, οὕτω τοῦ κατὰ ἄνθρωπον θείου πλάσματος βραχύ τι παντελῶς ἠλαττωμένου θηριώδους κακεντρεχείας, μόνης τῆς ἐπὶ τεσσάρων βάσεως ἐπιλειπούσης αὐτοῖς εἰς γε τὴν πρὸς θηρία δεινὰ καὶ ἀνθρωποδόρα ἐξίσωσιν καὶ ὁμοίωσιν;

ς'. Ἢ πάντως ἔχομεν ἐκ τῶν εἰκότων συνεννοεῖσθαι, ὡς πρῶτα μὲν ἀπωδύραντο ἂν ἐγκάρδια κατὰ σφᾶς αὐτούς οἱ ἀγαθοὶ ἐκεῖνοι ἄνθρωποι, κορεσθέντες καταμόνας δακρύων· εἶτα μέτριοί τινες, οὓς τὸ κατὰ φύσιν θεῖον ζώπυρον ἀνεθέρμανε φιλανθρωπεύσασθαι, εἰς ἓν συνελθόντες βουλῆς, ἐσκέψαντο ἄν, τί τεχνησάμενοι ἀναχαλέσονται τὸν παλαιὸν ἄνθρωπον. Τὸ δὲ ἐντεῦθεν ἐντεθυμημένοι πρῶτα τὸν πλάστην Κύριον, καὶ θεοκλυτήσαντες, ἐπιβλέψειν ἐπὶ τὸν κόσμον αὐτοῦ περιτρεπόμενον εἰς ἀκοσμίαν καὶ ἀνασκευαζόμενον, καὶ μὴ ἀνασχέσθαι, πρόβατα μὲν καὶ βόας καὶ ἅπαν θηρίον διεξάγεσθαι κατὰ φύσιν, ὡς ἐτάχθησαν, τὸ δὲ θεοείκελον αὐτοῦ πλάσμα παραποιεῖσθαι ἀλογίστως εἰς ἀλλοφυές, παρεκλήτευσαν ἄν, μὴ παριδεῖν τὸν ἄνθρωπον, καὶ αὐτῶν ἀψύχων εἰς ἔλαττον διεκπίπτοντα, εἴπερ αὐτὰ μὲν ἥρμοσε, καὶ τῇ κτίσει λυμαίνεται εἰς οὐδέν, ὁ δὲ τεταγμένος ἐπὶ πάντων, καὶ οὗ χάριν τὰ πάντα γέγονε, παράγει τὴν εὐκοσμίαν, οἷς ἑαυτὸν ἀπάγει ἐξαναλίσκων, καὶ φιλονεικεῖ, ἀπάνθρωπον καταστῆσαι τὸν κόσμον καὶ (τόγε εἰς αὐτὸν ἧκον) ἀδέσποτον. Ἐδυσώπησαν δὲ ἂν τὸν ὑπεράγαθον Δεσπότην, καὶ μηδὲ πρὸς ἀκρίβειαν δίκης ἐπεξελθεῖν τοῖς ὑπὸ τῶν πλειόνων πλημμελουμένοις, μηδὲ ἀντιταλαντεῦσαι πληγὰς τὰς ἐξ αὐτοῦ ταῖς ἐκείνων, δι' ὧν καταβάλλουσι τοὺς ὁμοφυεῖς, μηδὲ ἐκδικῆσαι τοὺς φόνους, προβολὴν ἐπὶ καταδίκης ποιούμενον, ὡς αὐτὸς μὲν καίρια καὶ ἱλαρὰ καταβρέχων λιπαίνει τὴν γῆν εἰς ἀγαθὸν ἐκείνοις, οἱ δὲ χραίνουσι τὴν αὐτὴν ἐμφυλίοις αἵμασι, καὶ ἣν αἱ καθ' ἑκούσιον βροχαὶ πιαίνουσιν, αὐτοὶ λύθροις ὁμογνίοις μιαίνουσι, καὶ ὡς ἐς λάχανα βρώσεως τάσσοντες ἑαυτοὺς, ἄλλος ἄλλον ἀλληλοφαγίας νόμῳ καταβροχθίζουσι.

ζ'. Ταῦτα δὲ ἐκεῖνοι εὐξάμενοι (οὐ γὰρ ἂν διέλιπεν ὁ τὰ νήπια καθὰ φυλάσσων, οὕτω καὶ σοφίζων Κύριος, καὶ χαίρων, εἰ καὶ ἐξ ἐκείνων ἔπαινον καταρτίζεται, μὴ καὶ ἀνδράσιν ἐκείνοις χρηστοῖς καὶ ἐντετερνισμένοις τὸ φιλάλληλον ἐπιπνέειν ἐν-

neque terræ, uti decebat, exercendæ operam navant, neque in sudore faciei panem acquirere contendunt, neque secundum rationem, uti Deus præcepit, vitam ac mores dirigunt, sed contra se ipsos invicem crudeliter insurgunt, perturbantes sese ac offendentes et lacerantes, et omnis generis mala inferunt iis qui æque ac ipsi homines sunt, adeo ut illi vitæ longævitatem, a Deo ipsis concessam, misere detestentur.

5. Quid igitur non fecerunt ad meliorem conditionem reducendam pauci homines illi prudentes, Deo accepti, naturæ convenienter viventes, veri Adami posteri, quos bona ipsorum indoles placidam docebat humanitatem? Quid non excogitarunt illi qui a ratione sua, vel potius a Deo, ad fratrum charitatem stimulabantur? Quomodo viscera illis non inflammata sunt, quomodo cor non exarduit, cum viderent divinam creaturam, hominem dico, bestiis propemodum esse inferiorem, ita ut ad similitudinem bestiarum ferarum atque crudelium nihil fere deficeret nisi ut quatuor pedibus incederent?

6. Sane a vero haud aberrabimus, si concludimus illos homines probos primum summo animi mœrore affectos lacrymarum copiam profudisse, deinde paucos quosdam, fervore divino ad fratrum amorem excitatos, consultandi causa convenisse et de optima deliberavisse ratione qua veterem hominem revocarent. Tum primo Deum creatorem animo sibi repræsentantes invocarunt, ut mundum suum respiciat conversum ad improbitatem et perturbatum, neque, dum oves et boves et omnia animalia naturæ leges, ad quas conditæ fuere, sequerentur, creaturam ipsi similem a natura declinare sineret. Oraverunt Deum, ut ne despiceret hominem, infra bestiarum ordinem descendentem, siquidem illæ tranquille viverent nec ullo modo naturam violarent, hic autem qui omnibus præstat et cujus causa omnia facta sunt, mundum bene ordinatum perturbat, et seipsum in perniciem præcipitat, denique, quantum penes ipsum est, hominibus et imperio privare mundum nititur. Præterea Dominum omnis bonitatis fontem supplicarunt, ne peccatis a multitudine perpetratis pœnam accurate compensaret, neque suppliciis quibus illi in contribules sævierunt, sua commensuraret, neque cædes ulcisceretur, sed potius pœnam differret, quippe qui opportuno et fecundo imbre pinguem redderet terram in utilitatem eorum qui fratrum sanguine illam humectarent, et quam pluvia divinitus benigne concessa impinguat, consanguineorum cruoribus polluerent, et quasi obsoniis nihilo præstarent, semetipsos invicem devorarent.

7. Postquam sic oraverant illi (Deus enim qui vel ipsos infantes non solum custodit, sed etiam sapientes reddit ab iisque laudem sibi offerri gaudet, viris illis bonis atque cordatis fraternam indidit charitatem, ita ut partim supra hunc mundum elati

cum Deo cohærerent, partim huic mundo, uti Deo placet, addicti essent), et consilium quod et Deo gratum et fratrum saluti utile esset, ceperant, in animum induxerunt, similem, si possent, cœtum congregare et concionem convocare in qua de publico bono ac salute deliberaretur.

8. Cum autem brevi tempore eam coegisset Deus qui charitatis pacisque amicus est, quare etiam Adamum ad ipsius imaginem effinxit, volens ut per totum terrarum orbem ejus posteri multiplicarentur: illi, tanquam doctores divinitus inspirati et cœlesti sapientia instructi, quæ necessaria aptaque videbantur, exposuerunt. Revocantes enim in memoriam primos parentes quorum exemplo auditores ad vitæ honestatem excitare studebant, ad fortius eis persuadendum dixerunt, illos ab initio nonnisi unum a Deo accepisse præceptum, idque facile observandum, et cui obedientes ipsi dii essent evasuri. Illi autem transgressi præceptum, fecerunt ut venerabilis paradisus relinqueretur desertus, et omnes qui ab initio ibi congregati fuerant, jam illo excluderentur, hoc solum Deo iis injungente ut per propagationem multiplicati terram complerent. Jam vero, pergentes dixerunt, posteri eorum tantæ pravitati se dederunt, ut non solum digni sint qui e terra prorsus deleantur, sed qui vivi in tartarum detrudantur. Ut autem acriorem stimulum adderent et accusationem graviorem redderent, minitabundi auditoribus dixerunt: Si Deus paradisum solummodo inhabitatum relinqui voluit, quomodo terræ parciturus est quam nos infandis criminibus commaculamus? quomodo haud faciet alterutrum, aut ut terram confractam capitibus incolarum impingat, aut cœlo dejecto universum deleat, aut diluvio submergens, quod etiam accidit, genus humanum quod, cum pulcherrimum esse deberet, nunc omnium pessimum est, prorsus exscindat?

9. Porro magistri illi sapientes in medium produxerunt homines ulceribus omnique vulnerum genere laborantes, eosque palam ostendentes, ut vel sic resipiscentibus misericordiam injungerent, cum vituperio eis objectantes, quales ex qualibus redderent contribules, alios mutilando, alios exsecando, multos interficiendo, plerosque omni modo male tractando, ut etiam talis vita Abelis cæde miserabilior censenda sit. Insuper commemorarunt metum qui Cainum invaserit, et a facie Dei rejectionem, et vultus sudorem ad quem Adamus, ubi leve quid peccaverat, condemnatus fuit. Denique tribulorum ac spinarum injecerunt mentionem, quibus homo, Deo irascente, in agro laborando pungitur.

10. Multa igitur ejusmodi pronuntiarunt, et pravum illum morbum, quo isti ferarum instar in se invicem sæviebant, excidere studuerunt, Deo omnino eorum verba confirmante doctrinamque adjuvante, atque demum tranquilli exspectarunt, ut auditoribus persuasum esset. Ab hoc inde tem-

A νοίας, ὧν ταῖς μὲν ἅπτοιντο ἂν αὐτοῦ Θεοῦ ὁπερκοσμίως, ταῖς δὲ περὶ τὰ κάτω στρέφοιντο ἐγκοσμίως ἅμα καὶ θεοφιλῶς), καὶ τὸ ἐντεῦθεν κυρώσαντες βούλευμα φιλόθεον καὶ φιλάδελφον, ἀπετόλμησαν ἀθροῖσαι, εἴ που εὕρισκον, ὁμοίαν λσγάδα καὶ ὁμάδα συστήσασθαι, καὶ κηρύξαι σύνοδον πολυάνθρωπον ἐπὶ ἀγαθῷ κοινῷ τε καὶ ῥᾴονι.

η'. Ὡς δὲ ταχὺ συνῆξεν ὁ Θεὸς ἐκείνην καθοδηγήσας, ὁ τὴν ἀγάπην καὶ τὴν εἰρήνην φιλῶν, καὶ δι' αὐτὸ κατ' εἰκόνα ἑαυτοῦ πλάσας τὸν Ἀδάμ, καὶ πρὸς ὅμοιον τέλος ἐνδοὺς τὸν ἐν τῷ κόσμῳ δι' ἐκείνου πληθυσμόν, πάντως ἂν ἐλάλησαν ἐκεῖνοι, ὅσα καὶ διδάσκαλοι ἔνθεοι, τὰ δέοντα, καὶ τῇ θεόθεν ἐπιπνοίᾳ σεσοφισμένοι· καὶ ἀναβάντες τῇ μνήμῃ εἰς τοὺς προπάτορας, καὶ δι' ἐκείνων προθέμενοι B ἐναγαγεῖν τοὺς ἀκροωμένους εἰς βίου ὀρθότητα, προήγαγον ἂν εἰς χάριν πειθοῦς, οἷαν μὲν μίαν ἐντολὴν ἐκεῖνοι πρὸς Θεοῦ πρῶτοι ἐπιταγέντες, ῥᾳδίαν ἐκείνην ἐξανυσθῆναι, ὡς καὶ θεοὺς εἶναι τοὺς ὑπακούσαντας, καὶ παραβεβηκότες αὐτὴν, μονάδα τὸν σεπτὸν παράδεισον ἀφῆκαν εἶναι, ὡς ἔξω ἐκείνου μένειν τοὺς καὶ ἐν αὐτῷ ἡνωμένους, τὴν ἀρχὴν, καὶ εἰς πληθυσμοῦ σπέρμα καὶ αὐξήσεως ἀφειμένους, κατὰ τὴν τοῦ Θεοῦ κέλευσιν, οἷα δὲ οἱ ἐξ ἐκείνων καὶ ὅσα ποιοῦσιν ἀποτρόπαια, δι' ὧν καταξιοῦντο μὴ μόνον ἁπάσης γῆς ἐκβεβλῆσθαι, ἀλλὰ καὶ ζῶντας εἰς αὐτὸν καταδῦναι τάρταρον. Δριμυττόμενοι δὲ τὴν ἐπιχείρησιν ταύτην, καὶ τὴν κατηγορίαν ἐπαύξοντες, ἠπειλήσαντο ἂν τοῖς διδασκομένοις, C καὶ, ὡς εἰ τὸν ἅγιον παράδεισον ἀοίκητον ὁ Θεὸς ἀφῆκε μένειν, πῶς ἂν τῆς λοιπῆς φείσαιτο γῆς, ἣν ἔργοις ἀχρειοῦμεν αἰσχροῖς; πῶς δὲ οὐκ ἂν δυοῖν θάτερον, ἢ τὸν οὐρανὸν καταῤῥάξας ἐπιτρίψῃ τὸ πᾶν ἢ ἀνατρέψῃ αὐτὴν, ἐπικαταστρέψας τοῖς οἰκήτορσιν, ἢ ὄμβρῳ κατακλύσας, ὃ δήποτε καὶ ἀπέβη, ἀφανιεῖ καὶ ἐκ καλλίστου ἐποφειλομένου κάκιστον ἄρτι γένος ἀνθρώπινον;

θ'. Παρήγαγον δὲ ἂν οἱ αὐτομαθεῖς ἐκεῖνοι σοφοὶ διδάσκαλοι ἐς μέσον καὶ ἀνθρώπους βεβλαμμένους ἕλκεσι καὶ λοιπαῖς πληγαῖς καὶ ὑποδ[ειγματίζοντ]ες, ὡς δυνηθῆναι καὶ ἔλεον τοῖς ἐγηγερμένοις εἰσβαλεῖν, τοὺς μὲν τραυματίζοντες, τοὺς δὲ συγκόπτοντες, πολλοὺς δὲ καὶ κατακόπτοντες, τοὺς πλείους δὲ κακο- D ποιοῦντες εἰς πολύτροπον, ὡς ἐντεῦθεν τὴν ζωὴν ἡγεῖσθαι χείρονα τοῦ κατὰ τὸν Ἄβελ θανάτου, ἀνεμίμνησκον δὲ ἂν ἐκείνους καὶ τρόμου, τοῦ κατὰ τὸν Κάϊν, καὶ ἐκβολῆς ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἱδρώτων προσώπου, καταψηφισθέντων τοῦ προπάτορος, ἐφ' οἷς βραχύ τι παρέβη· καὶ τριβόλους παρήγαγον εἰς ἐνθύμιον καὶ ἀκάνθας, αἳ Θεοῦ παροξύναντος κεντοῦσι τὸν ἐργάτην ἄνθρωπον.

ι'. Καὶ τοιαῦτα πολλὰ ἐκεῖνοι πορίζόμενοι, καὶ τῆς φαύλης νόσου κατεπάδοντες, ἣν ἔπασχον οἱ κατ' ἀλλήλων ἐκθηριούμενοι, πάντως ἂν συλλαλοῦντος τοῦ Θεοῦ, καὶ συνεπιλαμβανομένου τῆς διδασκαλίας αὐτοῖς, εἶχον ἂν ῥῆμα ἐφ' ὁποσονοῦν πείθειν τοὺς ἀκούοντας· καὶ τὸ ἐκεῖθεν ἡμερῶν ἠλαττονοῦτο ἡ

κακίᾳ τῷ συχνῷ τῆς διδασκαλικῆς ἐντυχίας, καὶ εἰς ὅσον καὶ ὅσον ἡ φαυλότης ἐῤῥάϊζε, καὶ ἡ ἀδικία συνέστελλεν ἑαυτήν· καὶ δὴ συννεύων ἕκαστος εἰς ψυχὴν καὶ προβαλλόμενος αἰδὼ καὶ νέμεσιν, ἐσωφρονίζοντο, καὶ ὀνειδιζόμενοι ἐμάνθανον Θεοῦ εἶναι ἄνθρωποι, καὶ ὡς πρὸς ἐκεῖνον ὀφείλουσι γράφεσθαι, οὗ τὴν εἰκόνα φοροῦσιν, καὶ ὅτι βαλὴν τῶν ἐπὶ γῆς ἐτάχθη ὁ ἄνθρωπος εἶναι, καὶ ἐνετρέποντο, καθὰ ἐχρῆν, ἐὰν πεπλασμένοι τοιοῦτοι αὐτοὶ διαφέρωσι κατ' οὐδὲν μάργων τὴν γαστέρα θηρίων, ψευδόμενοι τὸν σκοπὸν τοῦ Θεοῦ, καὶ οὕτω προκαλούμενοι τὸν σατανᾶν, κτήσασθαι αὐτοὺς εἰς οἰκεῖον λαόν. Καὶ τοίνυν ὡς ἐν ὑπαγωγῇ τινι ἀνέβαινον τῷ λογισμῷ ὕψους, καὶ ἐφρόνουν οὐκέτι γῆϊνα εἰς τὸ πᾶν, οὐδὲ περὶ τὰ κάτω ἐκύπταζον· εἰς οὐρανὸν δὲ ἀναβλέποντες ἐκ διαλειμμάτων οὐ μακρῶν, καὶ τὸν τοῦ κόσμου ποιητὴν ἐννοούμενοι, καὶ οὕτως ὑψηλὰ φρονεῖν ἀπαρξάμενοι, καὶ τῶν περιπεζίων ὑπεριπτάμενοι, τοῦ Θεοῦ ἐνήρξαντο γίνεσθαι· καὶ ἀρχὴν σοφίας τὸν ἐκείνου φόβον προκεντήσαντες, ἐγράφοντο εἰκονιζόμενοι πρὸς αὐτὸν, καὶ ἐπείγοντο εἰς ὅσον ἐξῆν πρὸς μεσότητα. Καὶ αἱ χεῖρες τοῖς πολλοῖς ἐγίνοντο ἔργου, καταῤῥιπτοῦσαι τὰ εἰς κακίαν ὄργανα, εἴτε λίθοι ἐκεῖνα, εἴτε ξύλα, εἴτε καὶ ξιφῶν προβολαί· καὶ ἦρεσκε τοῖς πλείοσιν ἡ τοιαύτη διαγωγὴ, τοῖς μὲν ἀδικουμένοις, ὅτι οὐκ ἔπασχον ἔτι ὅμοια, τοῖς δὲ ἐρχομένοις διὰ πάσης ἀδικίας, ὅτι οὐκέτι πράγματα οὔτε ἔχουσιν οὔτε παρέχουσιν, οὐδὲ μονίαν βίον ἀσκοῦνται τὸν ἄγριον, ἀλλ' εἰς ἀγέλας Θεοῦ ξυναγείρονται, καὶ ζῶσι πρὸς χάριτας, οὔκουν ἐχθροὶ μένειν ἐκζηλοῦντες, ἀλλ' εἰς ἀδελφοὺς ταττόμενοι. Καὶ γοῦν ἐλύετο ἡ ἄκρα σκυθρωπότης, καὶ ἐγαληνίων οἱ ὀφρυώμενοι, καὶ ἐθάῤῥουν συναγελάζεσθαι οἱ μονάδες, καὶ οἱ σποράδες εἰς ἐγγύτητα καὶ φιλίας ἕνωσιν ἤρχοντο, καὶ οἱ διεῤῥωγότες ἀκέστριαν ἐξεύρισκον τὴν ὁμόνοιαν συῤῥαπτόμενοι.

ια'. Καὶ ἔχαιρον μὲν πάντως καὶ οἱ λαοσυνάκται, οὓς πρώτους ὁ κατὰ Θεὸν ζῆλος εἰς τὸ τοιοῦτον καλὸν ἠρέθισε· καθ' ὑπερβολὴν δὲ μᾶλλον ἐξεγίνετο χαίρειν τοῖς τοῦ ἀγαθοῦ ἀπολαύουσιν, εἰπεῖν δὲ ἀκριβῶς, ἀμφοτέροις ἐπληθύνετο ἡ κατὰ Θεὸν ἡδονὴ, τοῖς τε ποιοῦσι τὸ ἀγαθὸν, καὶ οὕτω θείοις ἀποφαινομένοις, καὶ τοῖς εὐπαθοῦσι κατ' αὐτὸ, καὶ ἀνθρωπιζομένοις πρὸς ἀλήθειαν. Καὶ τοίνυν συνερχόμενοι πανδαισίας ἐκάθιζον, καὶ ὁμιλίας ἐπαῤῥησίαζον, καὶ πανηγύρεις ἦγον, ἃς ἐσχεδίαζον οἱ καιροὶ, καὶ ἐώρταζον ὥρια. Εἰ δὲ μήπω τὰ τρυφερὰ ἐδέσματα, οὐδὲ μὴν οἶνος ἐπεχωρίαζεν, ὡς καὶ τραπεζοκομεῖν, καὶ εἰλαπινάζειν, καὶ ἡδέως οἰνοπυτάζειν, ἀλλὰ ἐπινοίαις ἑτέραις, ὡς ὁ χρόνος ἐδίδου, ἐξωσίουν τὰ φιλοτήσια· καὶ ἦσαν χοροὶ καί τινες ᾠδαὶ, καί στῖφος ἤθροιζον οἱ τὸ πρὶν μονήρεις, καὶ ἡ ἐκ κοινοῦ χάρις ἐκείνη πλείστη ἐξεφαίνετο, καὶ ἡ ἀγάπη κατισπείρετο, ἀπαγγελλομένη μικρὸν ὅσον καὶ βλάστην καὶ αὔξην τὴν δέουσαν.

ιβ'. Ὡς οὖν ἡ διδασκαλικὴ ἐπῳδὴ ἐπανῆγεν ἠρέμα κατὰ βραχὺ τοὺς καχέκτας ἐς ὑγείαν ἀληθῆ, εὖ μάλα πεφυκότας ἀποκαθίστασθαι εἰς τὸ τοιοῦτον καλὸν, καὶ τὸ ἀγαθὸν ἐπηυξάνετο, καὶ ἀρετὴ ἐπλη-

A porè imminuta est improbitas, cum doctrina perpetuo inculcaretur, et injustitia recessit. Omnes enim unanimi studio ad pudorem ac pœnitentiam conversi vitæ rationem emendarunt, et increpati intellexerunt se esse Dei homines qui ei cujus imaginem ferrent, sese addicere deberent, præsertim cum homo totius terrarum orbis rex constitutus esset. Imo pudore quo decebat, correpti sunt quod, utpote tales creati, in nulla re a feris voracitati inservientibus differrent, finem a Deo propositum haud attingerent, atque sic satanam provocarent, ut ipsos tanquam suum populum possideret. Itaque animum ad superiora extulerunt, neque amplius terrenis inhiaverunt, neque inferioribus studuerunt, sed sæpe ad cœlum aspicientes et mundi
B creatoris recordati, cœlestia sapere et, relictis terrestribus, Deo se consecrare cœperunt. Quo factum est ut, timore Dei tanquam initio sapientiæ commoti, ad ejus similitudinem se componerent et moderationi temperantiæque pro viribus studerent. Multi igitur, abjectis injustitiæ instrumentis, lapidibus nimirum, lignis atque gladiis, ad opera utilia sese accinxerunt, fuitque talis vivendi ratio plerisque accepta, injuria nempe affectis, quoniam haud amplius talia patiebantur, et illis qui injusti fuerant, quoniam neque negotia habebant neque facessebant, neque amplius ferarum more vivebant, sed divino cœtui accensiti concordiæ operam navabant, ex hostium numero ad fratrum consor-
C tium transgressi. Cessavit igitur morositas, tranquilli fuere superbientes; in societatem coiverunt solitarii, ad sodalitatis amicitiæque vincula accesserunt dispersi, et qui antea disjuncti fuerant in morum atque animorum consensu solatium dulcissimum invenerunt.

11. Quare gavisi sunt gentium consociatores quos primos fervor divinus ad hanc rem bonam perficiendam excitaverat; multo magis autem gavisi sunt qui hoc beneficio fruebantur, vel potius, ut accurate loquamur, utrique gaudio divino repleti sunt, nimirum et hi qui hujus beneficii auctores facti et sic tanquam divi redditi fuerunt, et illi qui hoc beneficio impertiti revera homines facti sunt.
D Congressi igitur convivia instituerunt, et festivitates annuas egerunt. Jam vero si carebant adhuc cibis delicatioribus atque vino, ita ut neque exquisitiori mensarum apparatu, neque dulci vini potu delectarentur, tamen aliis rebus, prout temporis opportunitas concedebat, festivitates suas condiverunt : fuere nimirum tripudia et carmina, et qui prius solitarii fuerant, in cœtum coivere, et in propatulo fuerunt beneficia unionis atque consortii maxima, et charitas non solum radices egit, verum etiam sensim sensimque incrementa cepit.

12 Postquam igitur brevi tempore doctrina suavis ad bonam valetudinem reduxerat eos qui antea male valebant, siquidem a natura ad talis boni perceptionem apti erant, et honestas creverat, et

virtus invaluerat : tunc consiliarii illi prudentes ac graves sententiam in medium protulerunt, ut status ille naturalis, quem veluti divinum institutam diceres, figeretur ac conservaretur. Quam sententiam ubi audivere, qui jam illius beneficii participes erant, lubenter acquieverunt, et charitas mutua mirum in modum promota est, ita ut cuncti ad hujusmodi felicitatem retinendam consentirent. Universis igitur hoc placuit vel post primam auditionem, et decretum est, ut bonum nuperrime repertum in tempus futurum propagaretur, neque ullo modo inde declinaretur. Jam vero quod sic placuerat de die in diem magis confirmatum est, salus communis stabilitatem accepit, et decretum usu diurno in consuetudinem abiit quæ, ubi in lucem prodiit et inter homines apparuit, abundantiam quamdam et ut ita dicam, vitæ splendorem et magnificentiam produxit.

13. Ab illo inde tempore homines secure ac tranquille conversabantur, amicitiæ sinceræ vigebant, fœdera sanciebantur ; porro cultus verus ac rationalis invaluit, siquidem Deum creatorem universi, uti prius, cognoscere cæperunt eique, sicut homines decet, gratias agere. Præterea summum suavissimumque vitæ bonum, justitiam dico, coluerunt, neque amplius suffocationes, ut in proverbio est, sed partitiones fuere. Mansuetudo, primaria hominis nota, tranquillum reddidit fratrum contubernium, terra autem alma mater, plurimum laborata est arando , fodiendo, sulcando, et omnis generis nutrimenta ac delicias protulit, illa quidem ad necessitatem, has autem ad abundantiam.

14. Nec minus Venus vulgivaga veluti in oblivionis oceanum submersa est, ejusque loco matrimonium introductum sanctificavit hominum conjugium. Amor communis discessit, singulæ nuptiæ institutæ sunt, et unusquisque unam ac propriam uxorem cognoscens in liberos haud spurios paternam exercuit potestatem, denique ad Adami Evæque exemplum, ipsis ante oculos positum, una caro fuerunt, et ad tale exemplar conspicuum conformati illis similes fieri studuerunt, ut ii qui in posterum amori plurium feminarum indulgerent, pudore suffunderentur. Unde factum est, ut quodvis tabernaculum, quodvis diversorium suam veluti haberet gentem ac familiam, maritum uxorem, liberos, et quicunque cum eis degebant hoc vinculo novo conjuncti. Et diabolus ? Diceres hunc inter illos tunc haud vixisse; detinebatur enim in locis quos Dominus non visitabat ; homo autem revera erat homo.

15. Porro homines illi Deo accepti qui hujus boni auctores suasoresque fuerant, nimium quantum ore omnium celebrati, admiratione, laudibus, felicitationibus elati, ad principum dignitatem erecti sunt, atque ita celebres facti dignique habiti qui rei publicæ curam gererent et deinceps vitæ prosperæ incrementis prospicerent. Nonnulli autem,

θύνετο, εἰσηνέχθη τὸ ἐντεῦθεν γνώμη πρὸς τῶν ἐντέχνων καὶ σπουδαίων βουλευτῶν ἐκείνων, μεθοδευθῆναι παραμονήν τινα, καὶ φυσικὴν καὶ ὡς οἷον ταμιευτικὴν συντήρησιν τοῦ θεοπέμπτου εὑρήματος· καὶ οἱ τὴν γνώμην εἰσδεδεγμένοι δι' ἀκοῆς, ὡς ἤδη τοῦ καλοῦ γεγευμένοι, ἐγλυκάνθησαν, καὶ πόθος ἀλλήλων εἰς πλέον εἶλεν αὐτούς, καὶ ἡ ψυχὴ ἑκάστων ἐφίλει τὸ παράμονον τοῦ γλυκάσματος. Εὑηρεστήθη τοίνυν ἅπασι τὸ πρᾶγμα· καὶ ὑπακούσαντες εἰς ὑπακοὴν ὠτίου κατένευσαν κυρωθῆναι, γίνεσθαι τὸ εὑρημένον ἀγαθὸν καὶ εἰς τὸ ἑξῆς, ὡς οὕτως αὐτὸ καταπράττεσθαι, καὶ μὴ ἄλλως. Καί γε ἐκρατοῦτο ἐπὶ πλέον καθ' ἑκάστην ἡμέραν τὸ οὕτως ἀρέσαν, καὶ κοινὸν καθειστήκει τὸ ἔρμαιον, καὶ τὸ δόγμα τῇ συχνῇ τριβῇ ἐστήρικτο εἰς αὐτὸ δὴ τοῦτο ἔθος, ὅπερ ἐκφανθὲν εἰς πρόοπτον, καὶ τεθεαμένον ἡλίῳ, καὶ ἀναλάμψαν ἐποίησέ τινα περιουσιασμὸν κτήσεως, καὶ, ὡς οὕτως εἰπεῖν, βιότιον, καὶ αὐτὸ κόσμιον.

ιγ'. Καὶ ἐπαῤῥησιάσατο ἐκεῖθεν χρόνου τεθαῤῥημένη συμβιότευσις, καὶ παρῆχθησαν ἀφελεῖς κοινωνίαι, καὶ ὑπηύγαζον συναλλάγματα· ἐμελετᾶτο δὲ καὶ τις θρησκεία ὀρθὴ μετὰ λογιότητος, ἐπεγνωσμένου τοῦ πάντων ποιητοῦ Θεοῦ, ὡς ἐξῆν, ἀρχαϊκώτερον, καὶ ἐπωφείλοντο χάριτες θεῖαί τέ τινες, καὶ ὄσαι δὲ κατ' ἄνθρωπον· καὶ ἐφιλοσοφεῖτο δικαιοσύνη, τὸ πάμμεγα τοῖς ἐν βίῳ καὶ χαριέστατον ἀγαθόν· καὶ οὐκέτι πνίγες ἦσαν, ἀλλὰ μερίδες, τὸ παροιμιαζόμενον· καὶ οἱ μὲν ἀδελφοὶ ἀνενόχλητοι ἔμενον ἡμερότητος λόγῳ , χαρακτηριζούσης ἄνθρωπον , ὠχλεῖτο δὲ ἡ μήτηρ γῆ, βοθρευομένη καὶ λαχαινομένη καὶ σκαπτομένη τὰ πλείω, καὶ ἀνεβλάστανε παντοίαν τροφὴν, ἅμα καὶ τρυφὴν, τὴν μὲν κατὰ τὸ αὔταρκες, τὴν δὲ καὶ εἰς ὑπέρπλεον.

ιδ'. Ἐπαύσατο δὲ καταδῦσα ὡς εἰς πόντον λήθης καὶ ἡ ἀδιάφορος Κύπρις, καί τις γάμου τύπος ἐπεισελθὼν ἐσέμνυνε τὴν κατ' ἄνθρωπον συζυγίαν· καὶ ὁ μὲν ἀγελαῖος Ἔρως ἐπτερύξατο, ἰδίαζον δέ τινες θάλαμοι, καὶ γνωρίζων ἕκαστος μίαν ἰδίαν, ἐδέσποζε καὶ τέκνων οὐκ ἀμφιβόλων, καὶ ἡ κατὰ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν σὰρξ μία ἦν αὐτοῖς, ὡς οἷα πρὸ ὀφθαλμῶν· καὶ τυπούμενοι πρὸς παράδειγμα τοιοῦτον ἐπόψιον, προεκέντουν αὐτοὺς εἰς ἰσότυπον ἐπὶ αἰσχύνῃ τῶν ἐσύστερον κοινοποιησομένων τὰ γύναια· καὶ εἶχεν ἑκάστη σκηνὴ καὶ ἅπαν κατάλυμα, καθά τι ἔθνος; ἢ καὶ φυλὴν, τὸν ἄνδρα, τὴν γυναῖκα, τοὺς παῖδας, καὶ ὁπόσοι ἄλλοι ξυνδιῆγον αὐτοῖς θεσμῷ, τῷ ἐξ ἔθους κατινοφανοῦς. Καὶ ὁ δαίμων; Ἀλλ' οὐκ ἂν εἶπες αὐτὸν ἐνταῦθά γε ζῆν· εἶχον γὰρ αὐτὸν τόποι, οὓς οὐκ ἐπεσκόπει ὁ Κύριος· καὶ ἦν ὁ ἄνθρωπος ἄνθρωπος τῷ ὄντι.

ιε'. Καὶ οἱ τὸ καλὸν τοῦτο ἐξανύσαντες θεοφιλέστατοι πρωτοσύμβουλοι καὶ ἀρχιδιδάσκαλοι διὰ πάνυ λίαν πολλοῦ λόγου ἐφέροντο, θαυμαζόμενοι, εὐφημούμενοι, εὐλογούμενοι, καθεστάμενοι ἐς ἄρχοντας, τιθέμενοι ὡς εἰς κεφαλὰς, καὶ οὕτω περιβλεπόμενοι, καὶ ἀξιούμενοι ἐπισκοπεῖν τὰ κατ' αὐτοὺς, καὶ προεπιλαλεῖν τὰ ἐς πλείω βιώσιμον ἐξόρθωσιν,

Ὅσοι δὲ πρὸς βαθεῖαν τόλμαν ἐπιβάλλοντες ἔτυχον τῷ θαύματι, καὶ θεοὺς ἐποιοῦντο τοὺς τοιούτους, καὶ εἴς τινα κρείττω φύσιν αὐτοὺς ἐνέγραφον, ἐκπληττόμενοι τῆς ἐνθέου τέχνης, εἴπερ οὕτω πείθοντες διδασκαλικῶς ἐκ μικροῦ δεῖν ἀλόγων εἰς λογικοὺς καὶ λογίους τοὺς μὴ τοιούτους διεβίβαζον, καὶ τοὺς μηδ' αὐτὸ τοῦτο εἰδότας, ὅ τί ποτέ ἐστιν ὁ πρὸς ἀλήθειαν ἄνθρωπος, εἰς ἐνθύμιον καὶ αὐτοῦ Θεοῦ μετερρύθμισαν.

A hoc veluti miraculo perculsi, eo usque progressi sunt, ut illos inter deos referrent et superiori naturæ ordini accenserent, obstupefacti nimirum virtute divina, qua, nonnisi institutione ac persuasione, ex iis qui propemodum bruti fuerant, rationales ac prudentes fecerunt, eosque qui ne nossent quidem quid revera homo esset, ad Dei voluntatem transformarunt.

ις'. Ἐπεγνωκότες οὖν οἱ πρῶτοι αὐτοδιάκονοι τοῦ καλοῦ ἐκεῖνοι, ὡς καὶ βελτιοῦσι τοὺς ἀνθρώπους, καὶ θαυμάζονται, καὶ οὕτως ἐς πλεῖω ζῆλον διαθερμαινόμενοι, καὶ οἷς ἐμακαρίζοντο, εἰς ἐπίδοσιν παραυξόμενοι, καὶ οὕτω πληθυνόμενοι προσθήκαις καὶ διδαχαῖς, καὶ δραστηριώτεροι ἀποτελούμενοι, ἀγείρουσι πλείονας πάλιν ὄχλους, καὶ καθίζουσιν αὖθις βουλάς, καὶ ὑπομιμνήσκουσι τοὺς ἤδη εὐμαθέστερον ἐπαΐειν δεδυνημένους, ἐξ ὁποίων τῶν πάλαι ὁποῖοι αὐτοὶ ἀπετελέσθησαν διὰ μέσων τούτων ποδηγούντων αὐτοὺς ἐμβιβάζεσθαι εἰς ἀληθῆ ἀνθρωπότητα· καὶ καταγίνονται μὲν τῇ προτέρᾳ ἐν τοῖς τοιούτοις μαθηταῖς ἀγριότητός τε καὶ πλάνης, ὑπεξαίρουσι δὲ τὴν καινὴν καὶ πρόσφατον φιλαδελφίαν καὶ φιλαλληλίαν, καὶ ἐγγὺς παρὰ βραχὺ ἀδελφότητα, τὴν καὶ πεπαγιωμένην εἰς ἔθιμον παράδοσιν, καὶ βίου τριβήν, καὶ πεῖραν καὶ ἐμπειρίαν δεδοκιμασμένην καὶ ἐπεγνωσμένην ὠφέλιμον.

16. Cum igitur primarii hujus boni auctores animadvertissent, homines hoc modo meliores fieri, seipsos autem in admiratione esse majori, incensi sunt studio ac fervore, et laudibus quibus ob novam prosperitatem tam felici successu angescentem afficiebantur stimulati, majori in dies sapientia et activitate præditi, denno majores colligunt cœtus iterumque bona consilia expromunt, et eos qui jam faciles aures præbere didicerant, commonefaciunt quales ex qualibus facti sint, atque hac ratione ad veram humanitatem promovere student: denique de vita olim fera atque errabunda sermonem injiciunt, et laudibus efferunt recentem charitatem mutuam qua propemodum uti fratres conversentur ac degant, quæ jam in vitæ consuetudinem transierit, firmoque fundamento innitatur, quæ denique usu experientiaque comprobata et omnibus utilis inventa sit.

ιζ'. Αὐτίκα δὲ οἱ τοιοῦτοι καινισταὶ τῆς πραότητος καὶ τοῦ ἡμέρου βίου διδάσκαλοι ἐξετίθεντο ἀν, ἐναργῶς ὅπῃ ὄψιν ἄγοντες, ὁπόσα μὲν τῶν ἀγαθῶν πρώην μὴ παρόντα νῦν ἐνδημοῦσι τοῖς ἀνθρώποις, ὁποῖα δὲ τῶν κακῶν καὶ πηλίκα τοῦ ἀνθρωπείου φύλου καταναιδευόμενα ἐπαύσαντο καὶ ᾤχοντο, καὶ αὐτοὶ μὲν οὕτως ἐπιχειρηματικώτερον τὴν δημηγορίαν διεχειρίζοντο. Ἃ δὲ πρώην μὲν ἀγελαῖοι ὄχλοι, νῦν δὲ εὐλογιστοι δῆμοι, χάριτάς τε ὡμολόγουν, καὶ εἰς ἀγαθότητα συνεσκευάζοντο, ἐπιτείνοντες τὴν σπουδήν.

17. Deinde illi mansuetudinis inventores vitæque tranquillæ præceptores exposuerunt et quasi ante oculos collocarunt, quam multis bonis quæ olim deerant, homines nunc gauderent, et quam multa et magna mala quibus genus humanum vexabatur, jam penitus exstirpata essent; atque sic majori cum vi ac successu coram populo perorarunt. Qui autem gregariæ olim turbæ fuerant, nunc in rationalem collecti societatem, concordiam colere atque virtuti operam navare summo nisu studuerunt.

ιη'. Ἐπεὶ δὲ ἐν τοσούτῳ καὶ γράμματα ἐξεύρητο, τὰ καλὰ τῆς μνημοσύνης κειμήλια, τὸ πρωτοφυὲς μουσεῖον, τὸ τῆς σοφίας ταμιεῖον, τὸ τῆς λήθης ἀντίπαλον φάρμακον, οἱ σκιαγράφοι τῆς γνώσεως, ὁ τοῦ λέγειν ὑπογραμμός, οἱ τῶν ψυχικῶν βουλευμάτων μηνυταί, οἱ τῶν ἐγκαρδίων διανοημάτων ἐξάγγελοι, οἱ τῶν κρυφίων ἐκφάντορες, οἱ τὸ ἐν πράξεσι ῥευστὸν πηγνύντες καὶ στερεοῦντες τύποι, καὶ τοῖς ἐπιγινομένοις ὀψὲ χρόνου ἀναστηλοῦντες εἰς γνώρισμα, οἱ ζωγράφοι τῶν παλῶν καὶ πραγμάτων καὶ προσώπων, εἰδήσεώς τε χάριν καὶ μνήμης παντοδαπῆς, οἱ καλοὶ χαρακτῆρες ἁπάσης ἐμμούσου παιδεύσεως, οἱ μηδὲν ἔλαττον ἀκοῆς τὸν ἄνθρωπον σοφίζοντες διὰ τῆς ὄψεως, — ὅτε τοίνυν καὶ τὸ τοιοῦτον καλὸν ἔβλαστεν ἤδη ἐν κόσμῳ, δι' οὗ ἅπαν ἔθος ἀγράφως ἠκριβωμένον ἐπ' ἀγαθῷ εἶχε μεταποιεῖσθαι εἰς χρηστότητα ἔγγραφον, ἣν δὴ νόμον καλοῦμεν οἱ ὕστερον, καθὰ κεκύρωται, προέθεντο ἀξίωσιν οἱ τὴν ἄδικον ἐκείνοις παύσαντες βίαν, καὶ τὸ ἔθος προεισηγησάμενοι καὶ εἰσαγαγόντες διδάσκαλοι κατασφαλίσασθαι στερεωθὲν τὸ νεοπαγὲς ἔθιμον εἰς

B

C

D

18. Cum autem illo tempore etiam invenirentur litteræ, egregia memoriæ dos, primarium museum, sapientiæ receptaculum, oblivionis remedium, eruditionis delineatores, eloquentiæ exemplum, consiliorum animi indices, cogitationum intimarum nuntii, occultorum detectores, typi celeriter prætereuntia figentes et retinentes et ad posterorum notitiam post multa sæcula propagantes, pictores certaminum, rerum gestarum, personarum, ad omnium cognitionem ac memoriam, egregii cunctarum scientiarum characteres, qui non minus quam per auditum, per visum homines edocent eruditunque — cum, inquam, tale ac tantum mundo illuceret bonum, quo omnis consuetudo bona, hactenus conservata sine litteris, scriptura confirmata sanciretur, quam legem hodie vocamus, tunc illi qui vim ac violentiam olim intolerabilem perdomuerant, summo studio eo annisi sunt, ut recenti consuetudini legis characterem imprimerent, ut sanctio scripta veluti sigillo apposito confirmaretur, ut errabundum incertumque ad firmitatem redige-

retur neque amplius mutabilitati obnoxium esset.

19. Et homines in societatem coadunati lubenter amplexi illud consilium, ut ita fieret consenserunt, cum bene viderent, et, ut equidem opinor, etiam pronuntiarent, melius omnino esse, ut bonum quasi corpore circumdatum in librorum fundamento collocaretur, eodem modo quo verbum Dei aut viva voce prædicaretur, aut e sacris paginis prælegeretur. Itaque synedrii principes ad leges redigendas et certa stabilique forma figendas sese accingunt, et disquisitione de eo quid sit lex habita decernitur, eam esse bonum divinum. Porro accepta insculpitur tabulis, aut pyxidibus et codicibus, seu, ut accuratius dicam, voluminibus, quibus veluti in quadam domo aut custodia conservetur, et sic universo cœtui perpetuo adsit.

20. Eodem tempore electi constitutique sunt arbitri justitiæ, inquisitores injustitiæ, probitatis censores, conversationis honestæ custodes, legum provisores, institutionum haud amplius instabilium, sed scriptionis tenore definitarum inspectores. Legibus igitur sic constitutis et, ne quis ignoraret eas, promulgatis, alii ad illarum normam vitam moresque composuere, et sic veluti recto cursu navigantes, cœlestium bonorum fruiti sunt tranquillitate, nulla vitæ procella aut tempestate perturbati; alii autem, aliam ingressi viam, saxis illisi misere perierunt luerunntque pœnas, quas non jam fera illa ac bruta iis qui aliter sese gessissent, fixerat consuetudo, sed quasi lex divina constituerat, gladio suavi ut recte quis dixerit, scindens ac percutiens.

21. Talis autem pœnarum inflictio effecit ut mali ab improbitate ad honestatem reverterentur, cum talis medicinæ dulcis simul et amaræ impatientes essent; et natura humana rediit ad statum primitivum, simplicitate, pace perpetua, tranquillitate ac lætitia insignem.

22. Hoc ita sese habuerat temporibus antiquis, quorum nemo facile recordaretur; jam vero vita quæ olim invaluerat leonina, vel, ut mitiori verbo utar, impura et vana, corrigi et ad mansuetudinem revocari cœpta est, primum quidem per talem qualem convictum, deinde per certas consuetudines communes, denique per leges, quæ a singulis propositæ, universorum suffragiis sancitæ sunt. Conjuncta enim virorum sapientum meditatione atque consultatione leges promulgatæ sunt, et jus naturæ ac gentium apparuit, et sapienti Dei dispensatione, Spiritusque sancti auxilio incrementa cepit. — Quoniam autem pulchrum debebat fieri pulchrius, et divinum divinius, et mundanum exuere crassitiem suam, quo appareret ipsius virtus, et e terreno transformaretur in cœleste, et e mundano in supermundanum, ita ut, quantum augentur homines ac multiplican-

νόμιμον, ἵνα ὡς οἷον σφραγῖδος τύπωμα τὸ ἐν γράμμασι κῦρος προσεπιτεθῇ, καὶ τὸ πλανητεῦον κατασταθῇ ἐφ' ἑνὸς, καὶ συντηρῆται εἰς ἀμετάστατον.

ιθ'. Καὶ οἱ τοῦ ἀθροίσματος ἄνθρωποι καταδέχονται ἀσπάσιοι, καὶ τὴν τῆς βουλῆς ταύτης εἰσαγωγὴν καλῶς ἄρα προνοησάμενοι, καὶ εὐεπηβόλως διεγνωκότες, οἶμαι δὲ καὶ ἐκλαλήσαντες, μηδὲν διαφέρον εἶναι, ἀσώματον περιφέρεσθαι τὸ καλὸν, καὶ βιβλιακῷ ἐδάφει ἐπαναπαύεσθαι, ὅμοιον, φασὶν, ὡς εἰ καὶ Θεοῦ λόγον ἤ διὰ στόματος προφέροι τις, ἢ ἐκ διφθέρας ἱερᾶς ἀναλέγοιτο. Αἱροῦνται γοῦν οὕτως οἱ τοῦ συνεδρίου καὶ τὸ εἰσενηνεγμένον ἐπὶ παραδοχῇ τῆς τῶν νόμων θέσεως βούλευμα· καὶ εὐθὺς ἑρμηνεύεται, ὁποῖόν τι ὁ νόμος ἐστὶ, καὶ καταλαμβάνεται, θεόσδοτον καὶ αὐτὸς χρῆμα εἶναι· καὶ στέργεται, καὶ ἐντίθεται δέλτοις, εἶτ' οὖν πυξίοις καὶ κώδιξιν, ἡμαξευμένως δὲ φάναι, βιβλίοις, ὅσα καί τισιν οἴκοις ἢ φυλακαῖς ἢ μάνδραις, μὴ καὶ διαδιδράσκοι τοὺς πολλοὺς ῥεμβόμενος.

κ'. Ἐξαυτίκα δὲ ὧρας ἐκαθίσθησαν ἐπιλεγέντες ἄνδρες βραβευταὶ δίκης, ἀδικίας διῶκται, ὀρθότητος ταμίαι, πολιτείας ἀγαθῆς φύλακες, θεσμῶν τηρηταὶ, ἐθῶν ἐκείνων οὐκέτι ἀγράφων, ἀλλὰ γραπτῶν ἐπίσκοποι. Καὶ οὕτω εὐρημένης τῆς νομικῆς διαθέσεως, καὶ εἰς γνῶσιν ἐκτεθειμένης ἅπασιν, οἱ μὲν πρὸς νόμους ἀπευθύνοντες ἑαυτοὺς, καὶ διακυβερνώμενοι τὸν βίον, καὶ οὕτω κατ' εὐθὺ πλέοντες, τῶν τῆς θεόθεν γαλήνης καλῶν μετεῖχον· καὶ οὐδεμία βίου κύμανσις αὐτοὺς διεσάλευσεν. Οἱ δὲ ἀνάπαλιν διαχείμενοι ῥαχίαις προσηράσσοντο καὶ ἀπώλλυντο, ποινὰς ὑφιστάμενοι, ἃς οὐ τρόπος ἐκεῖνος παλαιὸς θηριώδης ὑπέβαλλε τοῖς ἀποτόμως διχάζουσιν, ἀλλὰ νόμος θεῖος ὑπηγόρευε, γλυκείᾳ μαχαίρᾳ, καθά τις ἂν οὐκ ἀπροσφυῶς εἴποι, διχοτομῶν.

κα'. Καὶ ἡ τοιαύτη ἐκδίκησις ἀνακάμπτειν ἐποίει τοὺς κακοὺς ἀπὸ στρεβλώσεως εἰς ὀρθότητα, οὐκ ἔχοντας γλυκύπικρον τοῦτο στέγειν θεράπευμα· καὶ ἡ κατ' ἄνθρωπον φύσις εἰς τὴν ἀρχέγονον ἀνεποιεῖτο πλάσιν, τὴν ἐν ἁπλότητι καὶ ἀστασιάστῳ εἰρήνῃ καὶ γαληναίᾳ καταστάσει καὶ ἱλαρότητι.

κβ'. Ἦν οὕτω πάλαι ποτὲ ταῦτα, ἐξότου ῥᾳδίως οὐκ ἂν ὑπομνημονεύσῃ τις· καὶ ὁ βίος ἐκεῖνος ὁ πρώην, ὁ λεοντώδης, εἰ δέ τις μετριώτερον ἐθέλει φράσαι, ἀκόρητος καὶ εἰκῇ κείμενος, ἐπιμεμέλητο, καὶ εἰς ἡμερότητα μετεβέβλητο, πρῶτα μὲν διὰ μετρίου συνοικισμοῦ, εἶτα βεβαιοτέρου συνεθισμοῦ, μετὰ δὲ νόμου εἰσφορᾶς, καλῶς δὲ ἂν ἔχοι φάναι, καὶ συνεισφορᾶς· κοινὴ γὰρ ἀνδρῶν σοφῶν βουλὴ καὶ σκέψις καὶ τότε τοὺς νόμους εἰσήγαγε, καὶ ὁ φυσικὸς ἐκεῖθεν καὶ ἐθνικὸς νόμος ἐξέλαμψεν, εἰς ἔγγυον προδραμὼν αὐτὸς οἰκονομίᾳ πανσόφῳ καὶ θειότητι, τῇ κατὰ τὸν ἐν ἁγίῳ Πνεύματι. — Ὅτι δὲ τὸ καλὸν ἐχρῆν γενέσθαι κάλλιον, καὶ τὸ θεῖον θειότερον, καὶ τὸ κατὰ κόσμον ἀπολεπτυνόμενον πάχους, ὡς ἐκφανθῆναι τὸ ἐν αὐτῷ ἀγαθὸν, καὶ ἐκ βιωτικοῦ εἰς ἔνθεον καταστα θῆναι, καὶ ἐξ ἐγκοσμίου εἰς ὑπερκόσμιον, ἵνα, εἰς ὅσον πληθύνονται καὶ αὐξάνονται οἱ ἄνθρωποι, ἐς τόσον καὶ ἡ ἐξ ἐπιστροφῆς καλλονὴ

αὐτῶν καὶ ἡ ἐνάρετος ἀγωγὴ προσεκαύξηται, καὶ τὸ ἐκ τοῦ Θεοῦ καλὸν εἰς μάλιστα πρέπον αὐτῷ ἐκείνῳ ἀποκατασταίη (αὐτὸς γὰρ δοτὴρ καὶ τοῦ πρωτοφανοῦς νεογράφου ἀγαθοῦ νόμου κατεφλήπται)· προσεξευρίσκεται νόμος μετ' ἐκεῖνον ἄλλος δεύτερος ὑπέρτερος καὶ μεγαλοδύναμος, καὶ τοῦ προσεχῶς τεθεωρημένου ἐς τοσοῦτον ὑπερηρμένος, εἰς ὅσον καὶ σῶμα καλὸν καὶ σφριγῶν ὕπερθεν τοῦ μὴ τοιούτου φέροιτο ἄν.

A tur, tantum etiam pulchritudo e conversione oriunda et vitæ honestas promoveretur, et bonum divinitus acceptum magis magisque in Dei laudem gloriamque cederet (ipse enim benignus nova legis auctor atque dator facile agnoscebatur) : inventa est insuper præter illam lex altera superior et potens, eaque quæ jam sub manibus erat tanto præstantior, quanto corpus speciosum ac vigorosum turpi atque infirmo præstare creditur.

κγ'. Καὶ ἦν ἐκεῖνος ὁ Μωσαϊκὸς, οὐ μόνον ὁ Σιναΐτης, ἀλλὰ καὶ ὅσοι πολλοὶ καὶ αὐτοὶ ἀκόλουθοι ἐκείνῳ καὶ σύντροχοι καὶ σύμφωνοι, οὐ περὶ γῆν ἕρπων αὐτὸς, καὶ τὰ κατ' αὐτὴν μόνα συντηρῶν, καὶ ἐξορθῶν καὶ ἐπανορθούμενος, ἀλλὰ καὶ αὐτὸς Θεοῦ ὡς ἐπὶ μᾶλλον ἐξαρτώμενος. Καὶ θεογνωσίαν γὰρ B ἐκεῖνος ἐπραγματεύσατο καὶ φιλοσοφίαν θείαν, εἴτ' οὖν θεολογίαν, καὶ κόσμου ἐπίγνωσιν μὲν διὰ τῆς διδασκαλίας, ἣν ἡ κοσμοποιία παραδίδωσι, διάγνωσιν δὲ, οἷς ὑποβάλλει φυσιολογεῖν, κατάγνωσιν δὲ τὴν ἐφ' οἷς χρὴ, δι' ὧν ῥυθμίζει πρὸς ἦθος, ὡς ἐπιμελεῖσθαι μὲν κόσμου, καθ' ὃν ὑπερλάμπει τὸ κόσμιον, περιφρονεῖν δὲ τἄλλα, ἐξ ὧν ὁ κατ' ἄνθρωπον βίος ἀπεκδαίνει ἄκοσμος.

23. Fuit autem illa lex Mosaica, non solum Sinaitica, sed et aliæ multæ ei similes et ejusdem argumenti ; illa, inquam, non ad terram repens, neque terrestria tantum respiciens, corrigens, dirigens, sed potius a Deo ipso suspensa. Suppeditavit enim cognitionem Dei et philosophiam divinam, id est theologiam, et mundi cognitionem per doctrinam quam creatio mundi exhibet, necnon judicium de rerum natura, et contemptum rerum contemptu dignarum ; quibus omnibus mores perficiuntur, ita ut mundo, quatenus veram nobis munditiem ostendit, studeamus, cætera autem, quibus vita humana ad immunditiem deprimitur, contemnamus.

κδ'. Καὶ ἀπετέλεσεν ὁ τοιοῦτος νόμος οὐ μόνον ἀγαθοὺς ἄνδρας ἁπλῶς, ὁποῖοι δή τινες καὶ ἐν τοῖς πρὸ αὐτῶν ἐξεφάνησαν μέτριοι ἐκεῖνοι καὶ ῥᾷον ἀριθμητοὶ, καὶ μάλιστ' ὅτε ἡ ἀγριονομία τὴν γῆν ἀπεσκότου, ἀλλὰ καὶ ἁγίους, καὶ τὸ καινότατον, θεοπάτορας. Ἐπεφάνη δὲ ἄρα ὁ τοιοῦτος νόμος τε- C λεώτερος μὲν καὶ εἰς πλέον ὑτιμάλα σεβάσμιος, καθότι καὶ θεόγραφος, μελετῶν δὲ ὅμως καὶ ὑποκρουόμενος τὰ τελεώτατα. Ἐθεωρεῖτο γὰρ ὡς ἐν ὑπογραμμῷ σκιαγραφῶν καὶ ὑποχαράσσων θεῖα τυπώματα, προφήταις μὲν ὡς διορατικοῖς ἐποπτευόμενος, καὶ λεπτότερον κατανοούμενος, τοῖς δὲ λοιποῖς παχύτερον προσφερόμενος, καὶ οὐδὲ ὡς ἐν ὑπονοίᾳ γοῦν ἐφικτὸς ὤν. Μεγάλα γὰρ καὶ θειότατα καὶ τοῖς τηνικάδε χρόνου ἀνθρώποις ἀκατάληπτα λαλῶν, ἐπέκρυπτεν αἰνιττόμενος, τὸ φῶς οὕτω σκιάζων τῆς γνώσεως, καὶ καταχαλύπτων τὴν ἀλήθειαν ὡς ἐν παραπετάσματι, τῷ προφαινομένῳ τῆς φράσεως· καὶ εἶχον ὀλίγοι ἐμβαθύνειν τοῖς αἰνιγμοῖς, οἱ πλείους δὲ ἦσαν τῆς ἐπιπολῆς.

24. Porro lex illa non solum reddidit homines simpliciter probos, quales etiam ante illos pauci quidam exstiterant, et imprimis cum feri illi mores terram obscurarent, sed etiam sanctos et, quod maximè admirandum est, Dei patres. Apparuit igitur lex illa perfectior et multo magis venerabilis, quoniam a Deo erat conscripta et ad summam perfectionem homines præparabat. Conspiciebatur enim quasi adumbrans et delineans præcepta divina, et a prophetis perspicacibus intellecta facilius comprehendebatur, a cæteris autem crassiori modo concipiebatur, ita ut vix conjectura ejus sensum assequerentur. Cum enim magnalia atque divina eloqueretur quæ ab illius temporis hominibus capi nequibant, lumen intelligentiæ nonnisi adumbrabat et veritatem velut ænigmatum velamine celabat, dictione nimirum res futuras præfigurans, quare paucissimi ænigmatum sensum perpetrabant, multitudo autem in superficie hærebat.

κε'. Οὐκ ἠνέσχετο δὲ ἄρα ὁ καὶ ἐπιπέμψας τὸν νόμον τοῦτον Θεὸς, καὶ βαθέως τυπώσας, καὶ ἐν συμ[βόλ]οις παραδοὺς, μὴ οὐχὶ καὶ διασαφῆσαι αὐτὸς ἐκεῖνον ἐναργέστατα, καὶ τελεσφορῆσαι εἰς πληρεστάτην χρῶσιν, καὶ οὕτω γνῶσιν, τὸ σκιαγράφημα. Εἰ γὰρ διδάσκαλος ἀποπειρώμενός μαθητῶν, πρὸς οἷς τὸν νοῦν ἔχει, καὶ γλαφυρὰ λαλήσας αὐτοῖς, καὶ εὑρηκὼς οὐκ ἐμβαθύνοντας εἰς νόησιν, καὶ δι' αὐτὸ κατοκνοῦντας τὴν μάθησιν, καὶ τῇ ἀθυμίᾳ ἐκλείποντας, ἢ τῇ βαθυμίᾳ καταπίπτοντας, καὶ ἀποτελουμένους, ὡς οὕτως εἰπεῖν, λειπογνώμονας, οὐκ ἀνέχεται μὴ ἐς φῶς ἀγαγεῖν διευκρινήσας τὸ δυσκατάληπτον, ἀλλὰ διερμηνεύει σαφῶς, καὶ οὕτω τὰς ἐκείνων κτᾶται ψυχάς. Τῷ παντὶ ἐπὶ πλέον ὁ καὶ προάρχων ἐνδιδασκάλως, καὶ ἄλλως δὲ παμμέ- D

25. Deus igitur, qui hanc legem hominibus benigne concessam et symbolis involutam tulerat, ipse quoque providit, ut ea optime intelligeretur, et quæ obscure dicta essent, ad claritatem ac perspicuitatem perducerentur. Si enim præceptor, discipulos quibus bene cupit experturus, altum verborum suorum sensum ab iis haud perspici animadvertens, ita quidem ut ad doctrinam pigrescant atque aut animi vigore destituti, aut levitate correpti, omni prorsus, ut vere dicam, scientia excidant, ea quæ difficilia cognita sunt non vult non in lucem producere, sed bene explicat et ita eorum animos lucratur : multo potius is qui ab æterno summus fuit præceptor, legem suam a Moyse ejusque coævis conscriptam benevole revelare statuit hominibus qui divinæ gratiæ

veritatique studerent et per ultimam perfectissimamque legem ad ipsum recurrerent, accurate ac sine vituperio ejus justificationes exsequendo.

γιστος, τὸν αὐτοῦ νόμον τὸν δεύτερον, τὸν γραπτὸν ὃν Μωϋσῆς καὶ οἱ Μωσαϊκοὶ ἐξεγράψαντο, ἔμελλεν εὐσχόλως ἀνακαλύψαι τοῖς ἐν χάριτι θείᾳ καὶ ἀληθείᾳ νόμου ἀναδραμουμένοις ἐς αὐτὸν ἐν τῷ καλῶς

νομιμαθέσι, καὶ διὰ τοῦ ὑστέρου καὶ πληρεστάτου καὶ δίχα μώμου ἐκτελέσαι τὰ ἐκείνου δικαιώματα.

26. Descendit igitur per incarnationis dispensationem in mundum suum ac hominem, atque ab initio paucos tantum e multitudine elegit discipulos, in eo quoque admirandum et prodigiosum quid ostendens, quod non exspectans conspiciebatur doctrinæ cupidos docere, sed potius semetipsum exinaniebat, ut etiam ab ipso edocendos colligeret et ad eorum infirmitatem sese accommodaret.

κς'. Οὐκοῦν καταβαίνει διὰ τῆς ἐνσάρκου οἰκονομίας ἐπὶ τὸν αὐτοῦ καὶ κόσμον καὶ ἄνθρωπον, καὶ ἐκλέγεται μαθητὰς ὀλίγους πάντως τὴν ἀρχὴν ἐκ τηλικῆσδε τῆς τότε ὁλότητος, τεράστιόν τι καὶ τοῦτο ἐκφήνας ἐκεῖνος, εἰ μὴ ἀναμείνας ἐψηλαφήθη διδάξαι τοὺς ἐπιθυμοῦντας, ἀλλὰ κατεδέξατο κενωθῆναι, ὡς καὶ ἐπιζητῆσαι τοὺς μαθησομένους ἐξ αὐτοῦ, καὶ τῇ ἐκείνων ἀσθενείᾳ συνεκδραμεῖν.

27. Descendit igitur e cœlo illuminatio perfectissima, luminis principium luminum pater, atque umbras luce penetrat. Inprimis autem Moysis legislatoris sapientis adumbrationes ad perfectionem provexit, ænigmata symbolica interpretatus est, characteres umbratiles ad veram vitam deduxit, et præclaram illam legem ad infandam pulchritudinem, aut si accuratius dicendum est, ad spiritualem veritatem sermone claro promovit. Haud amplius enim figura post condescensionem, haud symbolum, haud umbra, sed omnia lucida, perspicua omnia. Characteres explicati sunt, veritas serena luce apparuit, justitiæ sol exortus est, et qui antea, umbrarum caligine involuti, neque sciebamus quo eundum esset, neque apprehendere necessarium volebamus, e tenebris perpetuis ad lucem infinitam traducti sumus. Ambigultas legalis evanuit, ejusque loco advenit mens profunda sane, sed simul simplex, quandoquidem sapienter ac strenue veritatem interpretatur; non amplius objicitur velamen legale, intra quod salutis doctrina occultatur.

κζ'. Κάτεισι τοίνυν οὐρανόθεν ἡ ὑπέρφωτος λάμψις, ὁ ἀρχίφωτος, ὁ τῶν φώτων πατὴρ, καὶ καταυγάζει τὴν σκιάν. Μάλιστα μὲν οὖν τὰ τοῦ σοφοῦ σκιαγράφου Μωσέως τυπώματα χρώζει πρὸς ἐντέλειαν, καὶ τὰ συμβολικὰ διερμηνεύσας αἰνίγματα, καὶ τοὺς τυπικοὺς χαρακτῆρας εἰς πραγματικὴν ἐκβιβάσας ἀλήθειαν, τὸν καλὸν ἐκεῖνον νόμον ἐξωράϊσεν εἰς κάλλος ἀνεκλάλητον, μενοῦν γε ἀκριβέστερον φάναι, λαλητὸν πρὸς πνευματικὴν ἀλήθειαν ἔθετο. Τύπος γὰρ οὐκέτι οὐδεὶς μετὰ τὴν συγκατάβασιν, σύμβολον οὐδὲν, σκιὰ οὐδεμία, πάντα ἐμφανῆ, προφανῆ πάντα· οἱ χαρακτῆρες διασεσάφηνται, ἡ ἀλήθεια ἐκπέφηνεν αἰθριάζουσα, ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος, καὶ συνήχθημεν ἀπὸ σκότους διηνεκοῦς εἰς ἄδυτον φωσφορίαν οἱ πρώην ἐσκιασμένοι παρὰ τὸ μήτε εἰδέναι, ποῖ πορευσόμεθα, μηδὲ μὴν ἐθέλειν τὸ δέον ψηλαφᾷν. Ἡ νομικὴ διπλόη παρῆλθεν, ἀντεισῆλθε δὲ ὁ βαθὺς μὲν τῷ ὄντι νοῦς, ἁπλοῦς δὲ ἄλλως, καθότι ἑρμηνεύει καὶ σαφῶς καὶ τρανῶς αὐτὴν τὴν ἀλήθειαν· οὐ προβέβληται καταπέτασμα νομικὸν, οὗπερ ἐντὸς κέκρυπται τὰ σωτήρια.

28. Neque jam dixerit quispiam e coævis, se secundum crassam litteram conversari, dum hæc vel illa ad litteram agit. Si autem spirituale quid in eis reconditum sit, quis scire poterit? Sed omnia sunt perspicua, et Verbi divini incarnati effata intellectu facilia; margarita inde proveniens, omnis velamenti obscuri expers, per se ipsam comprehenditur. Aurum et argentum purum projacet, non adulteratum, nullo lapide Lydio indigens; lapides pretiosi ut investigentur, neque sudorem neque laborem fodientibus imponunt. Qui donatillos, non solum magnificentissimus apparet, sed pro immensa ipsius misericordia permittit ut qui volunt munus percipiant; non quærit mercatores qui magno cum lucro istos revendant eorumque amatoribus negotium facessant, sed pauperes spiritu intimæ amicitiæ vinculo sibi adjungere studet, quos ditare queat, ipsis dona sua impertiens atque ad beatitudinis fastigium evehens.

κη'. Οὐκ ἔχει τις λέγειν καὶ ἐν τοῖς ἄρτι, ὡς Ἐγὼ μὲν κατὰ τὸ σωματικὸν γράμμα πολιτεύομαι, τάδε καὶ τάδε ποιῶν γραμματικώτερον. Εἰ δέ τι πνευματικὸν ἐν αὐτοῖς κέκρυπται, τίς ἂν εἰδείη; Ἀλλὰ τὰ πάντα σαφῆ, καὶ τὰ τοῦ θεανθρώπου Λόγου παραγγέλματα εὔληπτα· καὶ αὐτόθεν νοούμενος γυμνὸς ἅπαντος προκαλύμματος ἑλυτρώδους, ὁ ἐκεῖθεν ἔκκειται μάργαρος. Τὸ χρυσίον καὶ τὸ ἀργύριον καθαρὸν προβέβληται καὶ ἀκίβδηλον, οὐδέν τι βασάνου δεόμενον· οἱ τίμιοι λίθοι οὐκ ἐθέλουσιν ἰδρῶτας, ὡς ἀνιχνεύεσθαι, καὶ πόνους παρέχειν τοῖς μεταλλεύουσιν. Ὁ τούτων χορηγητὴς οὐχ ἁπλῶς μεγαλοπρεπέστατος ἔγνωσται, ἀλλὰ πλήσμιον τὸν αὐτοῦ προχέων ἔλεον ἐνδίδωσι δωρεὰν ἀρύεσθαι τοῖς ἐθέλουσι· καὶ οὐδὲ ζητεῖ μεγαλεμπόρους, οἷς ἀποδώσεται βαρείᾳ τιμῇ τὰ ὑπέρτιμα, ὡς ἐκείνους αὖθις ἀντιτιμᾶσθαι αὐτὰ ἐπὶ ἐμπολῇ κερδαλέᾳ, καὶ πράγματα παρίσχειν τοῖς αὐτῶν ἐφιεμένοις ἐμπορικώτερον· ἀλλὰ πτωχοὺς τῷ πνεύματι φίλους βαθυκόλπους ζητεῖ εὑρέσθαι, οὓς πλουτίσῃ, παραδύσας αὐτοῖς τὰ οἰκεῖα δῶρα, καὶ ὀλβίσας ἐπὶ μακαρισμῷ.

29. Dolet enim, ut ita dicam, immensis divitiis suis, atque bonorum ipsius participes invenire studet, improbos et qui thesaurum ab ipso collectum tollere ac supportare possint; imo et latrones ad-

κθ'. Ἄχθεται γὰρ αὐτὸς οἷον τῷ κατ' αὐτὸν μυρίῳ πλούτῳ, καὶ ἐπιποθεῖ μερίτας εὑρέσθαι τοῦ ἀγαθοῦ, παλαμναίους δή τινας καὶ οἵους ἀχθοφορεῖν ἀτλαντικώτερον τὰ παρ' ἐκείνῳ τεθησαυρισμένα καλά·

ἀνέχεται δὲ καὶ ἁρπαγας εὐσυνέτως ἐπερχομένους, βλέπων καὶ τὰ ἐκείνου φορτιζομένους, καὶ οὕτω βιαζομένους τὴν βασιλείαν τῶν οὐρανῶν. Φέρει δέ που καὶ ἐλλόγως· κλεπτόμενος· οὐ γὰρ δέδιεν, ἐπιλιπεῖν αὐτὸν τὰ κειμήλια, ὅτι μηδὲ πηγαία τις χύσις αὐτῶν ἐν ἐκείνῳ ἐστὶν, ἢ πλήθων ποταμὸς, ἢ κόλπος θαλάσσιος· ἄβυσσος μὲν οὖν πολλὴ πλούτου, ἧς οὔτε ῥιζική τις νενόηται ὑποστάθμη, ἐπέχουσα πυθμένος τόπον, οὐδὲ μὴν μέτρον ῥητόν· ἀλλ' οὐδὲ γνῶσις τῆς αὐτοῦ ἀπειρίας, μὴ ὅτι γε καταληπτικὴ ἐντελῶς, ἀλλ' οὐδὲ ἀκροθιγῶς ἐν ἐπιβολῇ κατανοήσεως ψαύουσα.

Λ'. Τοιοῦτος, ὡς ἐν ὀλιγίστῳ καθυπογράψαι, ὁ καὶ τοῦ τρίτου καὶ νέου νόμου δοτὴρ Θεὸς, οὕτω παμπλούσιος, οὕτω μεγαλόδωρος, καιμὴν καὶ γνώσεων κύριος καὶ αὐτοσοφία. Διὸ καὶ ὁ νόμος αὐτοῦ ἐπάξιος τοιούτου μεγάλου λογοθέτου καὶ νομοδότου καὶ νομοθέτου πρὸς τῷ βάθει τῶν ἐννοιῶν, καὶ φῶς ἀποπάλλων ἄρρητον σαφηνείας τοῖς ἐπαξίοις, καὶ ἀκροᾶσθαι αὐτοῦ, καὶ λύχνον τοῦτον τοῖς ποσὶ καὶ φῶς ταῖς οἰκείαις τρίβοις ἔχειν προπορευόμενον.

λα'. Εἰ δέ τινες καὶ τῶν αὐτοῦ παραδόσεων μυστηριώδεις, οἷα τελεστικαὶ, καὶ ἄλλως δὲ ἀπόκρυφοι, καὶ δι' αὐτὸ βαθεῖαι, καὶ, ὡς οὕτως φάναι, νύκτεροι τοῖς μὴ ὀξὺ βλέπουσι (πολλαὶ δὲ καὶ τοιαῦταί εἰσιν), ἀλλ' αὐτὸς ῥᾷον ἀποκαλύπτει τοὺς ἡμῶν ὀφθαλμοὺς, εἴπερ ἐθέλομεν· καὶ ὡς ἐκ νυκτὸς ὀρθριζοντες φωτιζόμεθα, καὶ κατανοοῦμεν οὕτω τὰ θαυμάσια πάντα ἐκ τοῦ νόμου αὐτοῦ, τὰ πλείω μὲν ἐξ ἀφορμῶν διδασκαλικῶν, οὐκ ὀλίγα δὲ καὶ κατὰ ἔνθεον ἄλλως ἐπίπνοιαν. Ὅτε καὶ ἔστι τοῖς καθ' ἡμᾶς λέγειν, οὐχ, ὅτι ἐς ὅσον τὸ σκότος ἡμῖν, ἐς τοσοῦτον καὶ τὸ ἐξ ἀποκαλύψεως ἀνασχὸν φῶς, ἀλλ' ὅτι πολλαπλάσιον, ὡς μηδὲ καθυποβάλλεσθαι ἀριθμῷ, καὶ ὅτι, ἀπελαθέντος τοῦ κατὰ ἄγνοιαν νεφώματος, ἢ καὶ ἑτέρως φάναι, ἀλλοιωθέντος καὶ διατεθέντος εἰς χρηστότητα γνώσεως, ἔφαναν ἐκεῖθεν αἱ ἀστραπαὶ τῆς θεογνωσίας τοῖς ἐν τῇ οἰκουμένῃ, ἐὰν μὴ κοιμῶνται ἀπονυστάξαντες, ἢ τυφλώττωσι. Τέως γε μὴν, εἰ καὶ μυστήρια ὁ ἄλλως μὲν τελευταῖος, ἀληθῶς δὲ πρώτιστος κόσμος καὶ νόμος δυσανακάλυπτα ἔχει, καὶ οἷα Θεῷ μόνῳ καταληπτὰ εἶναι δοκεῖν, μὴ ἂν δέ τινι τῶν ἀνθρώπων, ἕως ἂν ἐκεῖνος τοῖς ἀξίοις ἐκφήνῃ αὐτὰ, ὅμως ἐν πολλοῖς τόποις, καὶ οὐχ ἁπλῶς πολλοῖς, ἀλλὰ καὶ μάλα τοσούτοις πάνυ ἐξαστράπτει αὐτὰ πρὸς σαφήνειαν· καὶ οὐδέν τι ἐν αὐτοῖς δεινῶς περινενοημένον, καὶ, ὡς εἰπεῖν, ἑλικτὸν, οὐδὲ βαθὺ καὶ κρύφιον, οὐδὲ ἀνακαλύψεως εἰς μακρὸν ἑρμηνευτικῆς ἐπὶ καταλήψει δεόμενον.

λβ'. Αὐτίκα γοῦν χύδην προβεβλημένον ἔκκειται αὐτόθεν εὐμαθῶς ὑπὸ τῶν φιλοκάλων εἰσοικιζόμενον τό· « Ἀγαπᾶτε ἀλλήλους, καὶ μὴ ψεύδεσθε, καὶ μὴ συκοφαντεῖτε, ἀλλὰ πραγματεύεσθε εἶναι ἄνθρωποι· μᾶλλον μὲν οὖν μηδὲ πραγματεύεσθε τοῦτο. » Τί γὰρ πραγματειώδες, ποιεῖν εὐθέτως καὶ μετὰ ῥᾳστώνης ἀπράγμονος τὸ ὀτρηνον ἀγαθὸν, τὸ πρέπον, φημὶ, τοῖς ἀνθρώποις, ἀγελαῖον, φιλάλληλον, καὶ τὸ ἀληθεύειν κοινότερον, περινοίας ἁπάσης δίχα, ἐν τῷ

mittit solerter advenientes qui illius bona auferant et sic regno cœlorum vim inferant. Lubenter patitur furtum cum prudentia perpetratum; non enim metuit, ne ipsius divitiæ unquam deficiant, siquidem neque cum aquis scaturientibus, neque cum fluvio pleno, neque cum maris sinu comparari queunt, sed potius fons divitiarum est immensus, cujus neque ambitus neque profunditas mente comprehendi, neque ulla mensura definiri potest, cujus denique immensitas tantum abest ut ullo modo perspici queat, ut ne conjectura quidem eam quis assequi valeat.

30. Talis ac tantus, ut breves simus, tertiæ quoque ac novæ legis auctor est Deus, non solum ditissimus, sed etiam munerum largitate præcellentissimus, omnis scientiæ Dominus atque sapientia ipsa. Quare etiam lex ejus digna est tanto legislatore quoad effatorum profunditatem, atque luce cognitionis indicibili collustrat eos qui ejus vocem audire et istam lucernam ipsorum gressus comitantem et lucem ipsorum semitas conducentem habere dignantur.

31. Jam vero licet quædam ejus dicta sint obscura, quatenus mysteria continent, et intellectu difficilia ob sensum profundum, et iis qui visu hebeti laborant, noctis, ut ita dicam, umbris involuta (sunt autem plurima), tamen ipse lubenter oculos nostros aperit, si modo velimus, quo fit ut veluti e nocte emergentes illustremur ac mirabilia quæ ejus lege continentur, intelligamus, edocti sæpissime a doctoribus, illuminati autem nonnunquam Spiritus divini afflatu. Tunc vero recte dicere possumus: Non solum quanta nox et caligo nos tenebat, tanta e revelatione nobis lux affulsit, sed sexcenties, imo infinities plus: dispersis enim ignorantiæ nubibus, aut, ut aliter dicam, cognitione mutata et ad melius evecta, illinc fulgura doctrinæ divinæ per universum resplenduere terrarum orbem, si modo homines non dormirent aut cæcitate constringerentur. Cæterum, etiamsi ultima, vel potius prima illa lex præclara continet mysteria inexplicabilia, et soli Deo, ut videtur, comprehensibilia, non autem ulli homini, priusquam ille ista revelaverit iis qui digni sunt: tamen in multis locis, neque solum multis, sed etiam talibus imprimis illa clarius perspiciuntur, ita ut fere nihil admodum obscurum et veluti tortuosum, nihil profundum et absconditum, nihil quod longa interpretatione ad intellectum indigeat, in illis reperiatur.

32. Statim igitur inter plurima illud a virtutis studiosis lubenter adoptatum nobis occurrit: « Diligite vos invicem, neque mentimini, neque calumniamini, sed solliciti estote de eo ut homines sitis, vel potius, ne de hoc quidem estote solliciti. » Qui enim difficile erit, sincere et prompto animo operari id quod simpliciter est bonum, nimirum illum qui homines decet mutuum amorem, et dicere veritatem sine ulla fraude vel artificio, ita ut, quod

in vita communi fieri solet, navis revera nominetur navis, et simul neque calumniari, neque accusare, aut quæ hujusmodi vitiis similia habentur, committere?

33. Non igitur laborandum est de communi charitate et de veritate comprehensu facili, et quæ præterea ad simplicitatem laboris expertem spectant; sed illud potius pro viribus annitendum ac meditandum est, ut charitatis non faciamus jacturam, neque in eo solummodo aut ante omnia studium operamque collocemus, ut fratres injuria afficiamus iisque metum incutiamus et terribilem in eos dominationem exerceamus. Hoc enim non amplius convenit homini probo, sed potius latroni atque piratæ, si quis talem adhuc inter homines recensere voluerit, aut bestiæ feræ et violentæ, et homini qui dimidia sui parte brutis accenseri debet, siquidem propter inhumanam vivendi rationem seipsum indignum reddidit, qui deincops hominibus annumeretur. Cum autem lex quæ post sanctissimam incarnationis dispensationem data est, haud sit ejusmodi, omnes homines ei subjecti necessario præstant illis qui sanctæ veteri legi, de qua supra diximus, et imprimis principali parebant. Primitivam enim legem illam dicere nequeo, quæ, licet jam tunc in consuetudinem transegressa, tamen nulla constitutione aut vinculo sancita erat, sed, si ita dicere fas est, volabat et errabat ubicunque admittere homines vellent.

34. Et sic quidem accidere debebat, ut et legislator honoratus gauderet, quatenus bonum ab ipso concessum servaretur, et ipsi meliores fieremus, ut Deo atque hominibus gratum est acceptumque. Attamen non ita evenit, sed res nostræ male cedunt, siquidem cogitantes fatigamur, videntes pudore suffundimur, et loquentes cito ad silentium redigimur.

35. Age enim, consideremus rem totam breviter ac summatim repetentes. Ferocitatem et inhumanitatem, quæ post primos parentes sensim posteros invasit, probi quidam et facile numerandi viri ad mansuetudinem deduxerunt : perfecerunt autem hoc, dum summo fratres amplecterentur amore, benevole loquentes, præceptorum instar exhortantes, bonum sermonem cum prudentia proferentes atque sic persuadentes, et continua institutione utili pravitatem in virtutis decus permutantes, siquidem et ipsi a carne humana abstinentes, et illi qui nonnisi carnibus humanis vesci atque furto rapinaque vivere consueverant, ad artes pro viribus exercendas animum appulerunt. Et ab initio Abelis Deo accepti memoriam repetentes cœperunt armenta pascere atque nutrire, e quibus multa bona eaque sine magno labore percipientes, a furtis mutuis et cædibus inopportunis manus cohibuerunt.

36. Quibus bonis degustatis etiam ad alias res utiles inveniendas animum applicuerunt, et specubus cæterisque ejusmodi deversoriis fortuitis egressi,

A ἀγροικικῶς τὴν σκάφην σκάφην λαλεῖν, καὶ ἅμα μηδὲ συκοφαντεῖν, καὶ ἐνδιαβάλλειν, καὶ τἆλλα ἐξαμαρτάνειν, ὁπόσα σύστοιχα κακίαις τοιαύταις;

λγ'. Οὔκουν πραγματευτέον, ἐξανύειν τὴν πρόχειρον ἀγάπην, καὶ τὴν εὔληπτον ἀλήθειαν, καὶ ὁπόσα λοιπὰ ἔργα τῆς ἀπραγματεύτου ἁπλότητος· ἀλλ' ἐκεῖνο σπουδαστέον καὶ μεθοδευτέον, ὡς δύναμις, τὸ μὴ προΐεσθαι τὴν ἀγάπην, μηδὲ προτίθεσθαι εἰς πραγματείαν καὶ σπουδαίαν τέχνην, αὐτὸ δὴ τοῦτο καὶ μόνον, τὸ ἐπιτηδεύεσθαι κακοποιεῖν τὴν ἀδελφότητα, καὶ οὕτως ἐκφοβεῖν, καὶ τεχνᾶσθαι κυριότητα δυσάντητον. Τοῦτο γὰρ οὐκέτι ἀνθρώπου ἀγαθοῦ, ἀλλὰ ἢ λῃστοῦ καὶ πειρατοῦ, εἴ τις κατὰ τὸν τοιοῦτον ἐθέλει τύπτειν εἰς ἄνθρωπον, ἢ ἀλλὰ θηρίου B ἀγρίου τε καὶ σθεναροῦ, ὃ συνθήσει τις ἂν εἰς θηριανθρώπου ἐπίνοιαν· ὅτε καὶ ὡς ἐξ ἀνθρώπων γίνεται ὁ τοιοῦτος, ἅτε καὶ ἀπανθρωπιζόμενος τὰ πολλά. Ὄντος δὴ οὐ μετὰ τὴν ἔνσαρκον ἀγιωτάτην οἰκονομίαν δεδομένου νόμου τοιοῦδέ τινος, ἀναγκαῖον πάντως, τοὺς ὑπ' αὐτῷ τασσομένους πάντας ἀνθρώπους ὑπερτερεῖν τῶν τε κατὰ τὴν προειρημένην τοῦ παλαιοῦ ἁγίου νόμου τύπωσιν, καὶ μάλιστα τοῦ πρωτοφυοῦς. Πρωτόθετον γὰρ νόμον ἐκεῖνον εἰπεῖν οὐκ ἔχω, τὸν ἤδη μὲν ἐθάδη τότε, μηδαμοῦ δὲ τεθειμένον θεσμοῦ τρόπον καὶ θέμιδος, ἀλλά, ὡς εἰπεῖν, πετόμενον, ὅποι ἂν αὐτὸν παραδέχοιντό τινες.

C λδ'. Καὶ οὕτω μὲν ἀναγκαίως ἐχρῆν γίνεσθαι, ἵνα καὶ ὁ νομοθέτης ἔχαιρε τιμώμενος, οἷς τὸ ὑπ' αὐτοῦ δεδομένον ἀγαθὸν συνετηρεῖτο, καὶ αὐτοὶ βελτιούμεθα, ὡς καὶ ὁ Θεὸς ἂν ἐφίλει, καὶ ἡμεῖς ἀπεδεχόμεθα. Γίνεται δὲ ὅμως οὐχ οὕτως, ἀλλὰ διεκπίπτει τὰ καθ' ἡμᾶς, ὅπου καὶ νοοῦντες βαρυνόμεθα, καὶ βλέποντες αἰδούμεθα, καὶ λαλοῦντες ταχὺ ἀναστελλόμεθα.

λε'. Φέρε γὰρ ἀνασκεπτώμεθα διὰ βραχέων ἐπιτεμόντες τὰ ὅλα πράγματα κεφαλαιωδῶς. Ἐξημέρωσαν τὴν μετὰ τοὺς προπάτορας ἐν τοῖς ἐπιγόνοις ἀπανθρωπίαν καὶ ἀγριότητα χρηστοί τινες καὶ ῥᾴον μετρητοὶ ἄνδρες· ἤνυσαν δὲ αὐτὸ, ζηλώσαντες φιλαδελφικῶς, λαλήσαντες εὐνοϊκῶς, παραινέσαντες διδασκαλικῶς, καὶ νοηθέντες εὐσυνέτως ἀγαθὰ λέγειν, D καὶ οὕτω πείσαντες, καὶ τῷ ἐνδελεχεῖ τῆς ἀγαθῆς διδασκαλίας ἀλλοιώσαντες ἐκ φαυλότητος εἰς καλλονὴν ἀγαθότητος, ὅτε καὶ ἀφέμενοι τοῦ ἀνθρωποσφαγεῖν, μήπου δὲ καὶ ἀνθρωποφαγεῖν οἱ μαθητευσάμενοι, καὶ τοῦ ἁρπάζειν τὰ τῶν ἄλλων, ἐπέβαλλον τέχναις, ὡς εἶχον εὑρέσεως. Καὶ πρῶτα μὲν ἐξ ἀναμνήσεως καὶ ἐνθυμήσεως τοῦ θεοφιλοῦς Ἄβελ ἐνεχείρησαν ποιμαίνειν ἐκεῖνοι καὶ βόσκειν ζῶα, ἐξ ὧν χρήσιμα ποριζόμενοι πολλὰ δαψιλῶς ἅμα, καὶ οὐδὲ σὺν πολλῷ πόνῳ, ἀπήλλαξαν τὰς χεῖρας τοῦ λῃστεύειν ἀλλήλους καὶ πρὸ ὥρας ἐξάγειν τοῦ ζῆν.

λζ'. Γευσάμενοι δὲ τοιούτου καλοῦ ῥᾴονος, ἔτρεψαν τὸν νοῦν εἰς τὸ καὶ ἄλλως τεχνᾶσθαι τὰ καίρια· καὶ σπηλαίων ἀφέμενοι καὶ λοιπῶν αὐτοσχεδίων

κατοδύσεων, ἐν αἷς οὐ κατοικεῖν λέγοιντο ἄν, ἀλλὰ A in quibus non inhabitare, sed bestiarum instar
φωλεύειν θηριωδῶς, ἀνέστησαν οἴκους καὶ δώματα, latere eos jure quis dixerit, domos et ædificia con-
ὡς καὶ καταμένειν ἀσφαλεῖς, καὶ τὰ εἰς χρείαν ἐν- struxerunt, ita ut abhinc securi degerent et ad vitam
αποτίθεσθαι ἀνεπιβούλευτοι. Αὐτίκα δὲ καὶ γυναικω- necessaria contra rapinas in tuto haberent. Simul
νὸν ζεῦγμα συνεπήξαντο, μονάσαντες τοὺς κήλωνας, autem gynæcea ædificarunt, separantes lasciviosos,
ἀλόγοις ἐντρέχειν θηλείαις ἀφέντες, ὅτε οὐδ' ἂν ἐπι- irrationalibus accurrere feminis sinentes, siquidem
βαίνεσθαι ταῖς κατ' οἶκους γυναιξὶν ἔπειθεν σφᾶς cum mulieribus intra domos constitutis nullam
αὐτοὺς οἱ ἔξωθεν, αὐτόθεν, οἶμαι, μαθόντες, καὶ, ὃ habere rem iis persuaserunt, a semetipsis et quod
φασιν, ἀφ' ἑστίας, ὅποι κακοῦ ὁ τοιοῦτος ἔρως ἀπο- aiunt, a foco edocti quonam talis amor tenderet,
τελευτήσει, δαιμονίου ζήλου ἐρεθίζοντος καὶ ὀποκι- diabolico zelo ad conjugis raptorem lupi instar
νοῦντος, ἀποσοβεῖν τῆς ὁμοζύγου, ὁποῖα καὶ λύκον, abigendum incitante ac instimulante.
τὸν ἅρπαγα.

λη'. Ἀκολούθως δὲ καὶ γεωργίας τὸ ἐντεῦθεν τε- 37. Ubi autem agricultura exerceri est cœpta,
χνασθείσης, ἡ μήτηρ γῆ ὀχλουμένη γάλα μελιτόεν hominibus filiis alma mater terra dulce lac suum,
ἐχορήγει τοῖς τέκνοις ἀνθρώποις, τὰ ἐξ αὐτῆς ἀγαθά. B id est fruges, abundanter impertivit. Et cum ob
Ὧ δὲ εἰρηναία ἦν ἠρέμα τοῖς ἀνθρώποις ἐκ τοῦ tale bonum pace et tranquillitate gauderent mor-
τοιούτου καλοῦ," ἀπελέγοντο καὶ τὰ στασιωτικὰ ὡς tales, procul allegarunt rebelliones, contentiones,
ἐπιπολὺ καὶ τὴν εἰσαεὶ ἔριδα καὶ τὴν ἐπίμονον pugnas, atque aurea mediocritate fuere contenti,
μάχην, καὶ μόνον ἐφίλουν τὸ σωτήριον αὔταρκες· exceptis illis quos lucri deus (Mercurius) sub suam
οὗ; μέντοι ὁ κερδῷος ἐκνικῶν ὑπήγετο φιλοτιμότε- facile redegit dominationem. Hi enim, audacia et
ρον. Ἀλλ' ἐκεῖνοι τόλμαν καὶ θρασὺ μένος καὶ ἀλκὴν animi vigore ac generositate insignes, maris peri-
ἐνδυσάμενοι, θαλαττίοις τοῦ λοιποῦ παρέβαλλον σφᾶς culis sese objicere haud timuerunt, et dulci almaque
αὐτοὺς κινδύνοις· καὶ τὸ γλυκὺ τῆς τραφερῆς ἀπει- patria relicta solo sese commisere, ipsi ex semet-
πάμενοι, τῆς ἀλμυρᾶς ἐγίνοντο μέτοικοι, αὐτοὶ τῶν ipsis velut egressi, aut Harpyiis sese tradentes,
ἰδίων ἀπεκδαίνοντες τρόπον τινά, ἢ Ἁρπυίαις ἐκδό- aut saltem amphibiorum quasi naturam induti.
μενοι ἑαυτούς, ἢ ἀλλὰ γοῦν ὡς εἰς ἀμφιβίους ἀποκα-
θιστάμενοι.

λθ'. Οἴκους τε οὖν ἐφ' ὑδάτων τὰς νῆας ἐτεκτή- 38. Ædificiis igitur quæ undis innatarent, id est
ναντο παρακινδυνεύσαντες, καὶ φόρτους ἐν αὐταῖς navibus constructis posthabitisque periculis, onera
ἐταμιεύσαντο, καὶ περιφρονήσαντες τὴν τροφὸν γῆν, C in illis imposuerunt, et contempta alma terra alium
ἑτέραν εἰσεποιήσαντο τρέφουσαν, ἣν οὐκ ἂν ὀκνήσῃ substituerunt nutricem, quam jure meritoque
τις μητρυιὰν εἰπεῖν, ὑπερανξήσαντες ἐκεῖνοι τὴν novercam dixeris; quin imo majorem animum
πρώην ἀγνωρίαν ἐν τῷ ναυτίλλεσθαι καὶ ὑπερόρια. quam prius sumentes, peregrinas remotasque oras
Θρασὺ μὲν γὰρ καὶ θερμὸν, ἀπείπασθαι μὲν γαστρὸς appulere. Audax enim aleæque plenum facinus, ut
χάριν τὸν ἀέρα, δύεσθαι δὲ κυβιστῶντα κατὰ βυθοῦ, homo, terræ alumnus, ventris causa aerem deserat
καὶ ἐμβραδύνειν αὐτόθι τὸν τῆς χέρσου τρόφιμον atque in abyssum sese præcipitet ibique commore-
ἄνθρωπον, καὶ ἄλλως δὲ ἀνέμοις ἐν θαλάττῃ δου- tur, præterea ventorum maritimorum imperio
λεύοντα πονεῖσθαι καὶ κατασαλεύεσθαι τροφῆς ἕνεκα, subditus laboret et periclitetur ob victum, eumque
καὶ αὐτῆς ὡς τὰ πολλὰ δυσπορίστου. difficulter acquiri solitum.

λθ'. Ὅτι δὲ καὶ ἡ χέρσος πράγματα δίδωσι τοῖς 39. Quoniam autem et terra continens negotia
τε ἄλλως περιεργαζομένοις αὐτὴν, καὶ τοῖς θηρο- facessit iis qui eam colunt, et venatoribus qui feras
λέταις κυνηγέταις, καὶ ἄλλως· δὲ ἀγρευταῖς, καὶ occidunt et quovis modo capiunt, et quoniam hæc
ἀνάγεται αὐτὰ εἰς τέχνην τῷ βίῳ σύμφορον, ἐτέθη considerantur tanquam ars vitæ utilis: etiam pisca-
καὶ ἡ ἁλιευτικὴ ἐς τόπον τοιόνδε, καὶ ὡρίσθη τέχνη tura eodem loco habita reliquisque artibus accen-
καὶ αὐτὴ, καὶ ἠγαπήθη, ὡς ἐκ τοῦ ἀνθρωπομαχεῖν D sita et studiose tractata est, utpote quæ Dei figmen-
συμμεταγαγοῦσα τὸ τοῦ Θεοῦ πλάσμα εἰς ἐπιτήδευ- tum (hominem) a cæde humana deflecteret ad bellum
σιν θηρολέτειραν καὶ αὐτὴν, δι' ἧς οὐκέτι φονεὺς, feris inferendum, unde fit, ut et ille qui in mari
ἀλλὰ παλαμναῖος τεχνίτης καὶ ῥωμαλέος καὶ ἄλκι- venatur, non amplius interfector, sed artifex
μος ἐθέλει στηλιτεύεσθαι καὶ ὁ κατὰ θάλασσαν θη- ingenuus, fortis et vigorosus prædicari velit.
ρατής.

μ'. Καὶ οὕτω μὲν θαρραλέος καὶ τολμητίας ὁ καὶ 40. Et sic quidem et generosus est et pericula
ἄλλως περὶ θάλασσαν ἄγων σχολήν· τὸ δὲ θρασύνα- non metuit qui alioquin nullam maris curam agit.
σθαι, τῆς εὐσταθοῦς καὶ εὖ μάλα ἡδρασμένης καὶ At vero audacis est animi, a terra firma beneque
πεπηγυίας γῆς ὑπερόριον ἀπαναστῆναι, καὶ τοῦ stabilita longe discedere, et quod instabile est petere,
ἀσφαλοῦς μὲν μεθέσθαι, σάλοις δὲ τοῖς ἐξ ἀνέμων et oceani fluctibus ventorum impetu exagitatis sese
ἀστάτων ἑαυτὸν ἐπιδοῦναι, καὶ ἄπτερον πεφυκότα committere, et alarum expertem volatum meditari,
μελετῆσαι πέτεσθαι, εἰ καὶ μὴ κηρίναις πτίλοις, κατὰ haud quidem cereis, ut in fabula est de Icaro, at
τὸν λογοποιούμενον Ἴκαρον, ἀλλὰ γοῦν λινέοις, ἃ certe linteis alis, quibus a vento facile agitatis et
θᾶττον ἂν κατασείσας καὶ ῥῆξας ἄνεμος κάτω κάρα undique ruptis navigatores demittere ancoras

regentur, navigatores, inquam, qui ligonem terrestrem deserentes et vas securum vino recipiendo aptum contemnentes, in ligneum sese conjecerunt, in quo ad cœlum usque rapti et ad abyssum usque depressi mortis aleam subeunt, hoc sane audax est facinus viri imperterriti ac generosi, et vix, ac ne vix quidem audacia similis reperietur.

41. Et tamen (siquidem pejus est, ferarum instar sine ratione vivere, et semet invicem devorare, et fratres a Deo creatos variis modis ac crudelissime interficere, et sic contra Deum luctari) homines ad mansuetudinem reducti etiam hanc alienam artem adoptarunt, quamvis manifestum sit, eos qui terram continentem deserunt, etiam vitæ quodammodo valedicere.

42. Artes autem cæteras omnis periculi expertes, imo et jucundas, et suavitate plenas, et magnam voluptatem secum attrahentes, quibus homines olim feri postea mansueti facti sunt, vix quisquam enumerare poterit. Sed sic quidem admonitio illa proba, et sermo prudens, et rationabilis virtutis doctrina, et obedientia prompta illos olim tortuosos in rectitudinem restituit atque expolivit, morum autem perversitatem in probitatem immutavit. Multæ autem celebrantur ac seriæ artes, quæ tunc inventæ, homines antea inertes atque magistratu destitutos ad constitutionem civilem traduxerunt.

43. Præter alia enim illi viri sapientes etiam urbes describere ac condere cœperunt, etiam hujus boni salutaria exempla posteris relinquentes; qui autem eos sequebantur, homines nimirum legi a majoribus traditæ addicti, ansam illinc capientes, rem istam præclaram pro viribus confirmarunt, et pulchro fundamento incrementa addere studuerunt venerabilia ædibusque Dei congrua. Cæterum artifices harum rerum peritissimi, inter quos et antiquissimi recensentur patriarchæ, summis laudibus prædicantur et admirationi sunt, et principibus sanctis adnumerantur, imo et cœlicolæ esse creduntur, nimirum et in divinos apostolos talem virtutem derivantes; qui fastigium imposuere pulchro illi ædificio antiquo, et habitatoribus impleverunt, et sanctis ecclesiis ditarunt, beatisque præconibus ac sanctis præsulibus constitutis cœtus divinos spiritualiter pascendos tradiderunt, et leges tulerunt et regulas sanxerunt, ad quas Dei oves Christiano more pascerentur, et pascua ostenderunt in quibus alimenta caperent.

44. Hoc modo magni illi viri, a lege non scripta in sancto veteri Testamento contenta, legem litteris traditam perfecerunt et ad tantum rectitudinis culmen evexerunt, ut ne iota quidem unum aut minima litteræ apex divelli inde queat. Nos autem qui nunc vivimus homunciones, et præ omnibus ego, virorum illorum præcellentium non solum

A σαλεύειν τοὺς αὐτῷ πεπιστευμένους βιάσεται, σκαφείου μὲν τοῦ κατὰ γῆν ἀφεμένους, καὶ σκάφος ἀκίνδυνον τὸ ἐν ἀμπέλοις περιφρονήσαντας, ξυλίνῳ δὲ ἐμβεβληκότας, δι' οὗ ἀναβαίνοντες ἕως τῶν οὐρανῶν καὶ καταβαίνοντες ἕως τῶν ἀβύσσων, ὀλέθριος ἔκκειται· ἀλλὰ τοῦτο ἀνδρὸς ἀργαλέου τόλμα καὶ ἰτητικοῦ, καὶ παντὸς θάρσους τε καὶ θράσους ὑπέρκειται.

μα'. Καὶ ὅμως (κακοῦ μείζονος τοῦ ζῆν ἀλόγως καθὰ καὶ θῆρες, καὶ ἀλληλοφαγεῖν, καὶ πολλοῖς τρόποις καὶ ἅπασιν ἀλγεινοῖς ἀπάγειν τοῦ βίου τοὺς θεοπλάστους ἀδελφοὺς, καὶ οὕτω θεομαχεῖν) εἵλοντο καὶ τοιαύτην ἀλλόκοτον τέχνην οἱ ἐξημερωθέντες ἄνθρωποι, καθ' ἣν δῆλον, ὡς οἱ τὴν γῆν ἀπολεξάμενοι καὶ τὴν ζωὴν ἀπεῖπαντο.

B

μβ'. Τέχνας δέ γε λοιπὰς ἑτέρας οὔτε κινδυνώδεις, ἀλλὰ καὶ ἱλαρὰς, καὶ πρὸς χάριν ἐσκευασμένας, καὶ ἡδονὴν πολλὴν ἐπισυρομένας, οὐκ ἂν οὐδὲ διαμετρήσασθαί τις δύναιτό, αἷς οἱ πρὶν θῆρες· ἄνθρωποι τεθασοὶ γεγόνασιν ὕστερον. Ἀλλ' οὕτω μὲν ὑποθήκη ἀγαθὴ ἐκείνη, καὶ ἔννους χρηστολογία, καὶ διδασκαλία εὐσύνετος τοῦ καλοῦ, καὶ ὑπακοὴ καὶ πειθὼ τοὺς πάλαι ποτὲ σκαμβοὺς ἐξώρθωσε κανονίσασα, καὶ εἰς εὐθὺ ἀποξέσασα, καὶ τῆς ἐν ἤθει στρεβλότητος εἰς ἰθυτενὲς μετεσκεύασε. Καὶ περιφδοντας τέχναι πολλαὶ καὶ σπουδαῖαι, τηνικαῦτα εὐθὺς ἐπινενοημέναι, καὶ εἰς πολιτικὸν σχῆμα τοὺς πρώην καὶ ἀτέχνους καὶ ἀπολιτεύτους ἀποκαταστήσασαι.

C μγ'. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ πόλεις ἐκεῖνοι περιγράφειν ἀπήρξαντο μηχανησάμενοι, ἀρχὰς ἀγαθὰς καὶ τοῦδε τοῦ καλοῦ παρεσχημένοι τοῖς ὕστερον· οἱ δὲ μετ' αὐτοὺς, οἱ τοῦ παλαιοῦ δηλαδὴ νόμου, λαβῆς ἐκεῖθεν ἐνδεδομένης, τὸ καλὸν ἐκεῖνο ἐπιμάλιστα ἐστερέωσαν, καὶ παλῷ θεμελίῳ ἐκείνῳ παρύψωσιν καὶ αὔξησιν μεθώδευσαν ἄλλως τε σεμνὴν, καὶ Θεοῦ οἴκοις πρέπουσαν. Καὶ οἱ τῶν τοιούτων ἐπιστημονάρχαι καὶ ἀρχιτέκτονες, ἐν οἷς καὶ οἱ πρέσβιστοι πατριάρχαι, δι' ἐγκωμίων ἄγονται καὶ θαύματος, καὶ εἰς μεγάλους ἁγίους ἐγγεγράφαται, καὶ οὐρανοπολῖται εἶναι πιστεύονται, δῆλον ὡς καὶ εἰς τοὺς οὐρανοφοίτας ἀποστόλους τὴν τοιαύτην ἀρετὴν κατάγοντες· οἳ καὶ δροφον τῇ καλῇ ἐκείνῃ ἐπέθεντο παλαιᾷ οἰκοδομῇ, καὶ οἰκητόρων αὐτὴν D ἔπλησαν, καὶ ἐκκλησίαις ἁγωτάταις ἐμέστωσαν, καὶ κήρυκας μακαριστοὺς ἐνέταξαν, καὶ κορυφαίους ἱεροὺς ἐπέστησαν, καὶ ποίμνια θεῖα καταρτίσαντες ἐπέτρεψαν πνευματικῶς ποιμαίνεσθαι, καὶ νόμους ἔθεντο ποιμενικοὺς, καὶ τρόπους μεθώδευσαν, καθ' οὓς ποιμανεῖται χριστιανικῶς τὰ τοῦ Θεοῦ πρόβατα· καὶ νομὰς περιηγήσαντο, ἐν αἷς βοσκήσονται.

μδ'. Καὶ ὧδε μὲν οἱ μεγάλοι ἐκεῖνοι καὶ τὸν ἐκ τοῦ ἀφελοῦς ἀγράφου ἐν τῇ ἁγίᾳ Παλαιᾷ ἔγγραφον νόμον ἐτελείωσαν, ἀρτιώσαντες καὶ ἀποκαταστήσαντες, ἵνα οὔτε προσθεῖναι ἦν ἔτι οὐδὲ ἰῶτα ἕν, οὐδὲ κεραίαν γοῦν μίαν, οὔτε ἀφελεῖν. Οἱ δὲ νῦν ἡμεῖς μικροὶ ἄνθρωποι, καὶ πρὸ τῶν ὅλων ἁπάντων ἐγὼ, τὴν μὲν χρηστομαθῆ, καὶ τὴν τῶν ἀγαθῶν ἀνδρῶν,

μὴ ὅτι διδασκαλίαν, ἀλλὰ καὶ ἁπλῶς λαλιὰν ἀποστυγοῦμεν, καὶ μᾶλλον ἂν ὠρυομένων θηρίων ἡδέως ἀκροασώμεθα, ἢπερ ἀνδρὸς ἀπευθύνοντος πρὸς εὐαγγελικὴν ὀρθότητα τὴν ἐν ἡμῖν στρεβλότητα.

A doctrinam egregiam, sed vel merum sermonem detestamur, et multo lubentius ferarum rugitui aures præbemus, quam viro qui perversitatem nostram ad evangelicam probitatem dirigere satagat.

μ΄. Νομίζομεν γὰρ, ὥσπερ τὸν τεχνικὸν κανόνα, τὸν κατὰ τοὺς τέκτονας, οὐκ ἂν ἄλλως δύνασθαι λεαίνειν σανίδας ἢ ξύλον ἕτερον, εἰ μὴ ἀπαγάγοι ξέσας τὸ ἐπιπροσθοῦν, οὕτω καὶ τὸ Θεῖον διὰ τῶν θεοκηρύκων ἀποστόλων κανόνισμα τῶν ἡμετέρων σαρκῶν ἀποτέμνειν τι καὶ ἀπάγειν ἐπωδύνως, ὅτε ἡμῖν ἐπὶ διορθώσει ψυχικῇ προσφέρεται. Οὕτως ἡμεῖς νωθρευόμεθα τὴν ψυχικὴν διόρθωσιν, οὕτω τὴν καθαρότητα παρορώμεθα. Καὶ πέδιλα μὲν, ἃ φοροῦμεν, ὑποπλησθέντα πηλοῦ χαίρομεν εἴ τις φθάσας ἰδεῖν ἢ ἐκκαθαιρεῖ πρὸ ἡμῶν, ἢ ἐνδειξάμενος ἡμῖν προκαλέσεται ἀπορρύψασθαι (τὸ δὲ ὅμοιον πάσχομεν καὶ ἐπὶ παντὶ ῥύπῳ, εἴτε σώματος εἴτε ἱματισμοῦ). ψυχῆς δὲ ἀχρειουμένης, ὡς οἷα διὰ σπιλώματος δεινοποιοῦ τινος, οὐδὲ ἀκοῦσαι ἀνεχόμεθα, ὡς οὕτως ἐκείνη πάσχει, μὴ ὅτι γε ἀπαλεῖψαι αὐτῆς, εἴ τί που εἰς αἶσχος ἀνάξιον κατακέχρωσται.

B

μ΄. Τάχα γὰρ λογιζόμεθα οὐδὲν ἂν δούλων διαφέρειν ἡμεῖς, οὐδὲ μὴν παιδαρίων, ἐὰν ἐπιτασσώμεθα, καὶ ὑπείκειν ἀναγώμεθα. Τάχα δέ που ὑπὲρ τὸ δέον μεγαλοποιοῦντες ἡμᾶς αὐτοὺς, λέγομεν καὶ αὐτοὶ, ὡς οἱ τηλικοίδε, καὶ διδαξόμεθα δή. Παραφαίνεται δὲ τοῖς οὐ φρονοῦσιν ὀρθὰ, καὶ ὡς ἀφροσύνης ἔγκλημα ἐπικλᾶσθαι ἡμῖν, ὅτε δρῶντες, ἃ μὴ χρεών, μανθάνομεν οὐ καλὰ ποιεῖν, καὶ οὕτω διακείμενοι καὶ κωφεύοντες, ἐφ' οἷς δεόντως, παραινούμεθα, καὶ ὑπεραχθόμενοι, ἐοίκαμεν οὐκ ἔχειν συνιδεῖν, ὅτι ἕκαστος ἄνθρωπος εἰς οὐδὲν ἀρετῆς ἔρχεται μόνως αὐτὸς καθ' ἑαυτὸν, ἀλλὰ κατὰ τὴν ἐν πολλῷ μεγέθει λελόγισται στιγμιαίαν ἀμέρειαν. Καὶ δῆλον αὐτὸ τοῖς ἐπάγουσιν ἐν τῷ διὰ μερικῶν ἀρετῶν ἰέναι φιλοσοφώτερον, κἀὶ παροιμίαν μὲν προαγαγεῖν, ἧς ἀπόφανσις τό· Εἷς ἀνὴρ οὐδέν τι φόβου ἔχει, ὡς μορμολύττεσθαι, ἀλλ' ἢ μόνον λαλεῖ τὸ ἀληθές. Ἐκεῖνο δὲ ὡς μάλιστα ἐκφοβεῖ τοὺς φρονοῦντας τὸ, Οὐαὶ τῷ ἑνί· ὃν τίς ἐγγυήσεται, ὡς οὐ συντριβήσεται, εἴποτε καταπέσοι;

C

μ΄. Ἔστι δὲ ἡμᾶς ἀκούσεσθαι παρὰ τῶν εἰδότων συνετίζειν τοὺς εὐπειθεῖς, καὶ ὡς ἡ φύσις αὐτὴ ἐκείνη διδάσκει καὶ παιδεύει τὸν ἄνθρωπον, τὸν ἥμερον, τὸν συναγελαστικὸν, τὸν βιωτικὸν, τὸν πολιτικὸν, τὸν σπουδαῖον, τὸν θεοφιλῆ, πολλῶν, ὥσπερ πραγμάτων, οὕτω καὶ ἀνθρώπων θέσθαι εἰς συγκρότησιν καὶ σύστασιν καὶ βίου ἐντέλειαν. Ἦ γὰρ οὐδὲν μόνον δίχα γε τῶν ἄλλων, ὑφαντοῦ μὲν, ὡς ἐνδύσασθαι, σκυτορράφου δὲ, ὡς ὑποδήσασθαι, καὶ ἄλλων δὲ, πολλῶν δὲ ἐκείνων εἰς ἕτερα τῷ σώματι χρήσιμα· εἰ δὲ σώματι, ὡς πλέον ψυχῇ, τῇ τὸ πᾶν ἐν ἡμῖν, καὶ οὗ ἄνευ οὐδεὶς ἄνθρωπος.

D

μη΄. Εἰ δὲ τοῦτο καὶ ἔγνωσται καὶ πρὸς δόξαν εὑρέστηται πᾶσιν ἀνθρώποις, τί δήποτε, ἀνθρώπου μὲν περιῴντος τὴν ἀγορὰν καὶ διεγνωσμένου, ὡς ἀγαθός ἐστι περὶ τέχνην ὁποιανοῦν, καὶ ἐπιστρωνύμεθα καὶ προκαλούμεθα οἱ χρῄζοντες πορίσασθαι

45. Quemadmodum enim regula fabrorum lignariorum non aliter tabulas aut lignum quocunque polire potest, nisi superfluum radendo removeat: ita etiam Deum putamus per divinam apostolorum prædicationem aliquid de nostris carnibus abscindere et cum dolore auferre, quando de animæ perfectione agitatur. Ita autem ad eam languescimus, ita puritatem negligimus. Calceamenta quæ gestamus, ubi luto contaminata sunt, gaudemus si quis prius animadvertens vel ante nos absterserit, vel nobis indicans ad illa purganda provocaverit (et sic quidem sentimus de omni immunditie, sive corporis, sive vestium) : cum vero anima dehonestatur per maculam turpissimam, ne audire quidem sustinemus illam sic affici, nedum abstergere, si dedecore quodam inhonesto commaculata sit.

46. Fortasse enim nihil a servis aut pueris differre nobis videmur, si præcepta nobis imponantur et ad morem gerendum obstringamur. Fortasse alitius quam decet de nobis sentientes dicimus : En nos, qui ab illis instruamur ! Et quoniam haud recte sentimus, ignorantiæ crimen nobis objici opinamur, quando ea quæ non oportet facientes haud bene agere nos audimus, et quando, sic affecti et velut cæcutientes in iis ad quæ rectissime instimulamur, et moleste ferentes non intelligere posse videmur, hominem per semetipsum solum nequaquam virtutem attingere, sed veluti punctum indivisibile in universo considerari. Manifestum hoc est iis qui singulis virtutibus solertem navant operam, secundum proverbium quod ita habet : Non est cur vir singulus metuat aut expaveseat, nisi quod solus veritatem dicat. Metum porro prudentibus injicit dictum illud : Væ viro soli ! quis enim sponsorem sese dabit pro eo, quin conteratur, ubi semel collapsus fuerit ?

47. Jam vero ab iis qui dociles instruere callent, dicetur nobis, naturam ipsam docere et erudire hominem mansuetum, sociabilem vitæ amore præditum, civilem, strenuum ac pium, ut sicut multas res ac negotia in unum conjungit, ita etiam homines ad cœtum ac societatem convocet atque vitæ perfectæ participes reddat. Sane enim nihil aliquid valet, nisi alia accedant, verbi causa textor quoad vestes, sutor quoad calceamenta, et multi alii qui varias res in corporis usum destinatas suppeditant. Jam vero de corpore res si ita se habet, multo magis de anima, quæ hominis pars præstantissima est, imo sine qua ne ullus quidem homo exsistit.

48. Si vero hoc et notum et, uti videtur, gratum acceptumque est omnibus hominibus, quid tandem, ubi quis forum frequentat et in sua arte excellere deprehenditur, ad eum assidentes et ea quibus opus

habemus emere satagimus, et si quæ non statim apparcant, summo cum studio inquirimus usque dum demum reperiamus, neque solum gaudemus quod rem desideratam jam possideamus, sed interdum etiam justo majus pretium insumimus, ut carnem servitio addictam aliquo ornamento pulchriorem redditam spectatoribus exhibeamus, ornamento, inquam, quod a nobis plerumque ne conspicitur quidem? Animam autem dominam sordibus pollui et tenebris ita, uti dæmoni atro gratum est, involvi sinentes non solum nullam operam impendimus, ut vel ipsi eam tanquam Dei sponsam condecoremus, vel per alium hujus rei peritum hoc fieri sustineamus, sed etiam, si quis ad divinam formationem seu transformationem nos invitaverit atque provocaverit, convicliis proscindimus et procul abire jubemus, imo gladio aggressi interimere studemus? Omnis porro ars a nobis diligitur et approbatur, nullo inter eas discrimine admisso : illa autem quæ ad animæ pulchritudinem spectat, procul a nobis rejecta negligitur, neque ad avem infaustam aut ad rupium præcipitia, unde tandem aliquando reduci possit, amandatur, sed in oblivionis voraginem immergitur, unde ad lucem nunquam redeat.

49. Econtra omne prudens consilium, omnia doctorum præcepta, ad vitam corrigendam spectantia, et leges adjuvantia et canones roborantia, suppressa jacent, omnique modo societas meditatur non de eo, ut respublica salva sit, sed ut justus, utpote importunus, in vinculis doleat, et præceptor quibus bene institutus est, et ad quæ profitenda alios instituere sategit, in perpetuum valedicat, et pater Spiritu divino instructus non a filio distrahatur (hoc enim minus foret malum), sed per malum dæmonem servis inutilibus accenseatur, et episcopus denique indignum quid infaustumque patiatur.

50. Non igitur morem gerimus, neque obedientiam spiritualem servamus, neque patribus paremus, quos sanctus Spiritus dat, neque præceptoris arte indigemus. Quapropter etiam præsentem respuimus, et eam quam non habemus, non desideramus : quod omni arti accidit in hominibus, qui ea non opus habent. Rebus autem tam misere sese habentibus necessario consequitur ut ad antiquam illam vitam ferinam adspiremus, licet clanculum hoc fiat et ab iis qui perspicacitate carent, vix sentiatur.

51. Mali autem hæc est causa : artes post hominum civilisationem inventas necessario diligimus, quoniam sine illis de vita periclitaremur; probis autem consiliis ac bonis legibus morem gerere nolumus, imo tanquam inutilia, vel etiam superflua dedignamur. Quin eo audaciæ procedimus, ut ea nil ad victum valere negemur; proverbium autem quod potius portionem quam suspendium commendat, intervertentes, aliena pro bono habemus, panem peregrinum tanquam expetibile quid æstimamus, vinum raptum dulcissimum, aquam e furto provenientem suavissimam, vestes rapina acquisitas veluti lucis ortum, proximi domum quasi paradisum

A ἀπ' αὐτοῦ τὸ ἐνδέον ἡμῖν, καὶ μὴ φανέντα δὲ ἀναζητοῦντες κατὰ σπουδὴν πολλὴν ἐξευρίσκομεν, καὶ προσρυΐσκόμενοι ἔχομεν φιλητῶς ἐκεῖθεν τὸ πεποθημένον, καταβαλλόμενοι ἔστιν οὗ καί τι ὑπέρτιμον, ἵνα τὴν δούλην σάρκα εἰς ὡραϊσμὸν τοῖς βλέπουσι παραστησώμεθα διὰ καλλωπισμοῦ τινος, οὗ τὰ πλείω οὐδὲ εἰς ὄψιν ἡμῖν ἔρχεσθαι δύναται; Τὴν δὲ δέσποιναν ψυχὴν ἀφιέντες ῥυποῦσθαι καὶ σκότον οὕτω περιδιδύσκεσθαι, ὡς ἂν ὁ ζοφερὸς δαίμων φιλοίη, οὔτε ζητοῦμεν, πῶς ἂν ἡ ἡμεῖς αὐτοὶ ἐξωραΐσωμεν ὡς εἰς νύμφην Θεοῦ, ἢ δι' ἑτέρου νυμφοστολήσωμεν ἐπιστήμονος, ἀλλὰ καὶ εἴ τις ἐπιφανείη ἐπαγγελλόμενος καὶ προκαλούμενος εἰς θεοειδῆ καὶ θεοφεγγῆ μόρφωσιν, εἴτ' οὖν μεταμόρφωσιν, οὐ προπηλακίζομεν, ἢ ὀστρακίζομεν, ἀλλὰ καὶ ξιφήρεις ἐπιB τρέχοντες, ἀχρειοῦν, εἴπερ οἷόν τε ἦν, γλιχόμεθα; Καὶ ἅπασα μὲν τέχνη στέργεται παρ' ἡμῖν καὶ ἐγκρίνεται, καὶ οὐ διακρίνομεν οὐδεμίαν· ἡ δὲ κατὰ διδασκαλίαν ψυχῇ πρέπουσαν ἀποκρίνεται βαλλομένη μακρὰν ἐξ ἡμῶν, εἰς σὺχι κόρακας ἢ πέτρας ἀποκρήμνους, ὅθεν ἐπανασωθείη ἂν ἴσως χρόνῳ ποτὲ, ἀλλὰ ἐς βυθὸν λήθης ἀφιεμένη βαπτίζεσθαι, ὡς μὴ ἔχειν ἔκφανσιν,

μθ'. Βουλὴ δὲ ἅπασα καὶ συμβουλὴ καὶ διδασκαλικὴ ἁρμονία, συνιστῶσα βίον ὀρθὸν, καὶ νόμεις ἐπικουροῦσα καὶ συλλαμβανομένη, κανόσι κατηργηνται· ἀντιπράττεται δὲ πᾶν ἐπίβουλον καὶ ἡ σύναξις, οὐχὶ, πῶς ἂν τὸ κοινὸν σωθείη, ἀλλὰ πῶς ἂν C ὁ δίκαιος μὲν, δύσχρηστος δὲ, καταπονηθείη δεσμῷ, καὶ ὁ διδάσκαλος μεταμάθοι, ἃ καὶ αὐτὸς καλῶς δεδίδακται, καὶ ἑτέρους ὁμοίως διδάσκειν προβέβληται, καὶ ὁ κατὰ θεῖον πνεῦμα πατὴρ οὐ πρὸς υἱὸν ἐκστραφείη (οὔπω γὰρ τοῦτο μέγα κακὸν), ἀλλ' εἰς δοῦλον ἀχρεῖον ἐγγραφείη διὰ πονηροῦ πνεύματος, καὶ ὁ ἐπίσκοπος ἄσκοπόν τι πάθῃ καὶ ἀπαίσιον.

ν'. Οὐκ ἄρα ὑπακούομεν, οὐδὲ ὑποταγὴν τηροῦμεν πνευματικὴν, οὐδὲ ὑπὸ πατράσιν ἐσμέν, οὓς τὸ ἅγιον Πνεῦμα δίδωσιν, οὐδὲ χρῄζομεν τέχνης διδασκαλικῆς. Διὸ καὶ παροῦσαν μὲν ἐξωθοῦμεν, μὴ οὖσαν δὲ οὐ ποθοῦμεν· ὃ δὴ πάσχει ἅπασα τέχνη παρὰ ἀνθρώποις, οἳ μηδὲν αὐτῆς προσδέονται. Διὰ ταῦτα γοῦν ὁ τῆς φαύλης ταύτης ἀκολουθίας εἱρμὸς παρρησιάζει καὶ νῦν τὸν παλαιγενῆ θηριώδη βίον ἐκεῖνον ὑπούλως καὶ ὡς οὐκ ἂν αἴσθοιτό τις μὴ κατακύπD των εἰς βάθος τοῦ νοεῖν.

να'. Καὶ ὁ λόγος τοῦ πάθους τοιοῦτός τις· τὰς μὲν τέχνας τὰς ὕστερον εὑρημένας μετὰ τὴν κατ' ἀνθρώπους ἐξημέρωσιν, στέργομεν ἀναγκαίως, οἷα μὴ ἐξὸν ὄν, ζῆν ἐκείνων δίχα· χρησταῖς δὲ συμβουλίαις καὶ εὐνόμως ἐννόμοις ὀκνοῦμεν πείθεσθαι, περιέργους αὐτὰς, εἴτε καὶ παρέργους γνωματευόμενοι. Καί που ἐθέλομεν ὑπολαλεῖν καὶ αὐτοὶ, ὡς οὐδέν τι αὐταὶ πρὸς τἄλφιτα· καὶ πνὶξ οὐ μερὶς ἀναστρόφως παροιμιαζόμενοι, καλὸν εἶναι τὰ ἀλλότρια γνωμολογοῦμεν, καὶ τὸν ξένον ἄρτον ἀποφαινόμεθα νόστιμον, καὶ τὸν ἁρπαγιμαῖον οἶνον γλυκύτατον, καὶ τὸ τῆς κλοπῆς ὕδωρ ἡδύτατον, καὶ τὴν ἐξ ἁρπαγῆς ἔνδυσιν φωτὸς ἀναβολὴν, καὶ παράδει-

σον τὸν ἀλλότριον οἶκον. Καὶ οὕτως ἀνατρέχομεν εἰς τὸ ἀρχαῖον κακὸν, ἀδικοῦντες, ἁρπάζοντες, λοιδοροῦντες, βλασφημοῦντες, συκοφαντοῦντες, καὶ ἐπὶ πᾶσι τούτοις καὶ διὰ ταῦτα πάντα ψυχῆς κερδαίνοντες ἀπώλειαν, ὡς οὔτε αὐτοὶ ξυνιέντες εἰς ἐπιστροφὴν, μηδὲ τοῖς ἀδελφικῶς ἐν θεοφιλείᾳ ἐπιστρέφουσιν ἡμᾶς ἑπόμενοι, ὡς ἐντεῦθεν λείπεσθαι ἡμῶν ἑκάστῳ, ἀφιέναι καὶ τὰ τέκνα καὶ ἅπαν τὸ φίλτατον βόσκεσθαι ἀποίμαντον καὶ ἀνεξέταστον. Καὶ οὐκ ἀνακρίνομεν λογοπραγοῦντες ἡμᾶς αὐτοὺς, διατί κατὰ οἴκους μὲν ποιμαίνειν δῆθεν ἐθέλομεν ἀνθρωπικῶς τὸ συγγενὲς, τὸ δοῦλον, τὸ θετὸν, καὶ πᾶς, ὅστις οὖν, διδάσκαλος καὶ νομοθέτης τῶν ἑαυτοῦ αὐτοχειροτόνητος, καθὰ ἐχρῆν, καθέστηκεν εἰς καὶ ὠφέλειαν σώματος καὶ ψυχῆς ἀνάπαυσιν· ὁ δὲ ἐκ Θεοῦ, καὶ κατὰ Θεὸν, καὶ θεοπαράδοτος καθηγητὴς, ὡς οὐκ ἂν τις ἔχοι ἀντειπεῖν, ἀποχειροτονεῖται, ὡς εἷον καθαιρεθεὶς, καὶ οὕτως ἀφαιρεθεὶς τὴν θεοπρόβλητον ἐνέργειαν; ἵνατί δὲ πᾶς μὲν οἶκος φυλάττει τὴν ἐνδεχομένην διαδοχὴν, ἀλύσει δουμένην θεσμῷ φύσεως εἰς ἀδιάῤῥηκτον, ὁ δὲ ἀποστολικὸς καὶ θεῖκὸς ἐξαργήσει, οὗ μᾶλλον ἔδει τὴν σειρὰν, οὐρανόθεν καθήκουσαν εἰς τὸν καθ' ἡμᾶς κόσμον, μένειν ἀδιάσπαστον, καὶ συντηρεῖν τὸ θεόθεν καλὸν συνεχὲς καὶ ἄλυτον;

νβ'. Οὐ καλὰ δὴ ταῦτα, οὐδ' ὅσα τοιαῦτα, ὦ ἀδελφοὶ, οὐδὲ θεάρεστα, διαβολικῆς δὲ μεθόδου τύρβαι προφανῶς. Τί γὰρ ἔδει αὐτὰ γίνεσθαι, εἰ μὴ πρόθεσις ἦν φιλόκεινος τῷ ἀρχεκάκῳ δαίμονι, ἀλλάξαι τὸν ἀγαθὸν σαββατισμὸν τὸν ψυχικὸν, τὸν ἐκ Θεοῦ, τὸν ἐπὶ ἀργίᾳ πάσης κακώσεως, καὶ μεταποιῆσαι κακῶς τὸ τὰ ἀρχαῖα μὲν παρελθεῖν, καινὰ δὲ πάντα γενέσθαι κατὰ Θεὸν, εἰς τὸ λέγειν ἀνάπαλιν, ὡς παρῆλθε μὲν τὰ καινὰ καὶ θεῖα, τὰ δὲ ἀρχαῖα φαῦλα λεληθότως ἀντιπαρελθόντα εἰς μέσον καταχορεύει τῆς ἐν ἡμῖν ὁμηγύρεως;

νγ'. Καὶ οἶδα μὲν (μὴ γὰρ οὕτως ἦ μανείην, ἢ λαθοίμην τοῦ δέοντος), ὅτι οὐ κοιμήσεται ὁ Θεὸς εἰς τέλος, ἀλλὰ δυνατὸς καὶ κραιπαλικὸς ὡς ἐξ οἴνου ἀναστήσεται, καὶ ἐγκαταστήσει τὰ ἑαυτοῦ τοῖς αὐτοῦ, τῷ διδασκάλῳ τὸ διδάσκειν, τῷ πατρὶ τὸ ὑπηκόους ἔχειν τοὺς υἱοὺς, τῷ ποιμαίνοντι τὸ ἄγειν καὶ ἐπανάγειν τὰ ποίμνια, ὡς χρεών· καὶ παντὶ, ὡς ἁπλῶς εἰπεῖν, ὑπερέχοντι καὶ ὑπερεχομένῳ ἐπανασώσεται τὸ πνευματικῶς καθῆκον, καὶ τὸ οἰκεῖον καὶ προσῆκον κανονικῶς.

νδ'. Καὶ οἶδα μὲν τοῦθ' οὕτως ἐσόμενον· ἤθελον δὲ ἄλλως αὐτίκα τοῦτο βλέπειν καὶ χαίρειν, καὶ μὴ δυσελπιστεῖν καὶ ἀγωνιᾷν καὶ εὐλαβεῖσθαι παρὰ τοῖς εἰσέπειτα, καὶ συνοχλεῖν τὸν Κύριον, ἀναστῆναι καὶ ὑψῶσαι χεῖρα ὑψηλὴν εἰς ἐμβριθῆ ἐκδίκησιν, μηδὲ ἀποκεῖσθαι συγγράφειν, ὡς ἄρα καιρὸς ἦλθε, καὶ εὐφόρησε ζιζανίων καὶ ἀκανθῶν τὸ τοῦ Θεοῦ παρ' ἡμῖν καὶ πλήρωμα καὶ κλήρωμα, καὶ ὡς ἐθλίβησαν ἐντεῦθεν ἱκανοὶ, καθὰ οὐκ ἐχρῆν, καὶ ὅσους οὐκ ἔδει, καὶ ὡς οὐκ ἔτρεπε, καὶ νυγέντες οἱ παθόντες ἐκεντρίσθησαν εἰς ὀδύνην. Ὀψὲ δέ ποτε μετὰ τοσάπληγον, εἴθε δὲ μὴ δεκάπληγον! εἰς εὔχρηστον

A consideramus. Sic autem ad antiquam revertimur malitiam, injuria afficientes, rapientes, convicientes, maledicentes, accusantes, et præter hæc et propter hæc omnia animæ perniciem lucrantes, neque ipsi de conversione meditantes, neque iis qui tanquam fratres per amorem Dei reducere nos velint, obsequentes; quare in fine vix fieri poterit quin eo reducamur, ut liberos nostros ac quidquid amore complectimur, sine pastore ac duce per pascua vagari sinamus. Neque nos ipsos examinando interrogamus, quare nos quidem qua homines in domibus nostris pascere velimus liberos consanguineos et adoptivos et servos, et quare quisque, præceptor ac legislator suorum sponte

B factus, et corporis valetudini et animæ tranquillitati prospiciat: præceptor autem a Deo datus et secundum Deum constitutus, et quod omnibus manifestum est, a Deo concessus, deponitur, tanquam vita privatus, et sic ab opere divino perficiendo arcetur? Et cur quælibet familia gaudet consequentia non interrupta, et lege naturæ quasi catena indissolubili continetur, familia autem apostolica atque divina, cujus vincula, utpote e cœlo ad terram descendentia, nunquam disrumpi, sed potius nativam divinitus insitam pulchritudinem conservare deberent, abolebitur?

52. Omnia ista, o fratres, neque pulchra sunt neque Deo accepta, sed manifesto fraudis diabolicæ machinationes. Quomodo enim accidere potuisset

C nisi dæmon invidiosus omnisque mali auctor sibi proposuisset Sabbatum bonum, spiritualem, divinitus datum, omnis malitiæ suppressione insignem perturbare, et illud quod dicitur: Vetera disparuerunt, omnia secundum Deum innovata sunt, male pervertere in hoc: Nova ac divina disparuerunt, vetus autem malignitas sensim sensimque in cœtum nostrum irrepsit?

53. Equidem novi (neque enim adeo mente sum captus, neque officii immemor) quod Deus non dormiet in finem, sed potens ac velut e vino excitatus exsurget, et sua cuique attribuet, præceptori ut doceat, patri ut habeat filios morigeros, pastori ut gregem ducat ac reducat, uti addecet, et ut brevis sim, omni et præposito et subdito dabit quod

D et spiritualiter ei conveniat, et secundum legem ad ipsum spectet.

54. Novi, inquam, hæc ita fore: vellem tam protinus ista videre et lætari, neque desperare nec dolere nec timere de posteris, imo Dominum rogare ut exsurgat et manum ad vindictam severam extollat, nec rationis reddendæ tempus distrahatur, siquidem momentum advenit, et divinus tum cœtus tum clerus lolia ac spinas affatim protulerunt, et haud pauci contumelia affecti sunt quot et quomodo non decebat et ob causas indignas, cæsique verberibus misere dolorum aculeis traditi sunt. Sero autem aliquando post tot plagas, quæ utinam haud decuplentur! terra illa ad prosperam fertilitatem

redibit. Tantopere autem desiderium istud cordi meo inhæret tantusque zelus divinus me urit, ut in votis ardentissimis habeam, ut ab hoc statim die zizania permutata in purum frumentum excrescant, ne unquam a dæmone cribrentur, et ut spinæ, uti Deo gratum est, extollantur partim in cedros, cyparissos, pinus, quas Dei domus expetit, partim erigantur in alias arbores edentes fruges quas Deus diligit.

55. Si autem hæc dicens, o fratres, et amicorum vulnera ostendens, gravis ac severus videor illis qui forte pudore suffunduntur, quemadmodum quis, qui cum speciosus non sit, tamen videri talis velit, invehitur in eum qui ipsi dixerit, formam speciosam quam sibi attribuit, esse ementitam, at ego auditoribus persuasum esse cupio, me adulari nescire aut omnia indiscriminatim laudibus efferre atque sic palam mentiri. Unus enim Deus omnino ac semper et ubique laudibus celebrandus, justissimus, optimus, sanctissimus, in quo nulla inest injustitia, a quo fraus et malitia quæcunque exsulat : homo autem, quicunque demum sit et quantamcunque attigerit ætatem, frustra studet et opinatur et laborat ut in omnibus laude sit dignus. Quamvis enim plurima fecerit in mundo, non tamen eo perveniet, ut omnis culpæ ac vituperii expers sit in via, sed solum ob ea, quæ bene peragit et quatenus scopum propositum attingit, jure meritoque laudatur.

56. Atque hæc est arenæ lex, qua athletæ ac pugiles ad fortitudinem exstimulantur, ut modo laudibus, acclamationibus, felicitationibus, modo præmiis adornentur. Sed ab iis qui animarum curam gerunt, interdum ne ille quidem qui bene luctatus est, laudatur. Metuunt nimirum, ne discipuli sectatoresque virtutis per assensum ac gratulationem ad fastum vanamque superbiam proripiantur, ideoque vituperant pugnatores strenuos, quos tamen ejusmodi præceptorum vituperia ad melius incitant et velut stimuli virtutis fiunt.

57. Sic autem qui in tempore virtutem æmulatur, laude dignus erit. Ubi vero, præ nimio ardore, ultra scopum proreptus, aut nimia pigritia retentus peccaverit, tunc revera nulla dignus censebitur laude, sed potius verba audiet quæ, ut non sint nimis acria et amarulenta, tamen judicii melle, uti decet, attemperata sunt, si nimirum peccatum tale sit ut non, supplantatione diaboli, lapso interitum ac mortem comminetur. Quando autem non mediocriter, ut ita dicam, sed capitaliter peccaverit et transgressio vix remitti posse videatur, tunc peccator vituperiis et increpationibus castigabitur, et, si modo mentem sanam habeat, vulneris curationem per correctionem velut per amaram radicem lubenter admittet. Si enim non ita senserit, sed potius spiritualem medicinam ægre ferre atque aversari videatur, male audiet, nil commune habens cum hominibus laude dignis, et post multa

ἡ γῆ ἐκείνη εὐφορίαν ἀποκατέστη. Ἐς τοσοῦτον δέ μοι τὰ τῆς τοιαύτης ἐφέσεως ἐντέτηκε, καὶ ὁ τοῦ Θεοῦ ζῆλος ὑπεκκαίει με, ὥστε δι' εὐχῆς εἶναί μοι, αὐτομάτως ἀπὸ τῆς σήμερον καὶ τὰ ζιζάνια εἰς καθαρὸν σῖτον ἀναθηλῆσαι μετεμφθέντα, ὡς μὴ ἂν τῷ δαίμονι σινιαθῆναί ποτε τοῦ λοιποῦ, καὶ τὰς ἀκάνθας δὲ ἀναβῆναι θεοφιλῶς, τὰς μὲν παρυφωθείσας εἰς κέδρους καὶ κυπαρίσσους καὶ πεύκας, ὧν ὁ τοῦ Θεοῦ οἶκος ἐφίεται, τὰς δὲ ἀναδραμούσας εἰς ἑτεροῖα δένδρα εὐαυξῆ, καρποφοροῦντα τροφὴν, ἣν ἀγαπᾷ ὁ Θεός.

νε'. Εἰ δὲ ταῦτα λέγων, καὶ γοῦν, ὦ ἀδελφοὶ καὶ παραδεικνὺς φιλικὰ τραύματα, βαρὺς δοκῶ τοῖς ἴσως αἰσχυνομένοις, καθὰ καὶ εἴ τις μὴ ὢν ὡραῖος, ἐθέλων δὲ τοιοῦτος δοκεῖν, κατατείνεται τοῦ ἀναδιδάσκοντος ἐκεῖνον, ὡς ψεύδεται τὴν εὐμορφίαν, ἣν ἑαυτῷ ἐπιγράφει — ἀλλ' ἐγὼ πληροφορῶ καὶ ἄρτι τοὺς ἀκούοντας, ὅτι κολακεύειν ὀκνῶ, καὶ οὐκ ἔχω εὖ λέγειν ἅπαντα εἰς ἀδιάκριτον, καὶ οὕτω φανερῶς ψεύδεσθαι. Εἷς γὰρ καὶ μόνος εὐλογητὸς πάντη καὶ πάντως καὶ πάντοτε ὁ Θεὸς, ὃς οὐκ οἶδε ἁμαρτίαν ποιεῖν, ὁ δικαιότατος, ὁ πανάγαθος, ὁ ἁγιώτατος, ἐν ᾧ οὐκ ἔστιν ἀδικία, οὗ πᾶς δόλος καὶ κακὸν ἅπαν ἐξώρισται· ἄνθρωπος δὲ, ὁποῖος ἂν ἐκεῖνος καὶ εἴη καὶ ὁπόσος τὸν τῆς ζωῆς χρόνον, μάτην καὶ ἐθέλει καὶ οἴεται καὶ πραγματεύεται, ἁπλῶς οὕτως εὐλογητὸς εἶναι διόλου. Πολλὰ γὰρ ἐνεργῶν κατὰ κόσμον, οὐκ ἂν ἐξανύσῃ, διὰ πάντων ἔρχεσθαι ἀλογοπράγητος καὶ ἀμώμητος ἐν ὁδῷ· διόπερ, ἐφ' οἷς μὲν εὐστοχεῖ καὶ ὀρθῶς βάλλει κατὰ σκοποῦ, εὐλογεῖται πάντως.

νς'. Καὶ ἔστι τοῦτο ἀλειπτικὸς νόμος, δι' οὗ καὶ οἱ ἀεθλεύοντες καὶ οἱ ἀριστεύοντες προσαύξονται εἰς κραταίωσιν, οἱ μὲν ἐπαίνοις καὶ εὐλογίαις καὶ ἐγκωμίοις, οἱ δὲ καὶ δώροις ὑπαλειφόμενοι. Καὶ μήν ἔστιν ὅτε οὐδὲ ὁ ἀγαθουργῶν εὐλογεῖται παρά γε τοῖς οἰκονομοῦσι τὰ ψυχικά. Οἱ δὲ δεδιότες, μὴ τοῖς μαθητευομένοις καὶ ἀλειφομένοις εἰς ἀρετὴν ἡ εὐλογία καὶ χρηστολογία εἰς τῦφον ἀποτελευτήσῃ καὶ δόξαν κενὴν, δυσφημοῦσι τοὺς ἀγαθοὺς μύστας, οἷς καὶ γίνονται οἱ τοιοῦτοι διδασκαλικοὶ ὀνειδισμοὶ ἐρεθισμοὶ πρὸς τὰ κρείττονα, καὶ ὡς οἷα μάστιγες εἰς ἐργασίαν ἀγαθὴν ἐπισπέρχουσαι.

νζ'. Ἀλλ' οὕτω μὲν εὐλογεῖταί τις ἐν καιρῷ ἀγαθοπραγῶν. Ὅτε δέ που ἢ ὑπερβαλὼν, ὡς διεκδραμεῖν τὸν σκοπὸν, ἢ ἐλλείψας ἁμάρτοι, τότε δὲ εὐλογητὸς μὲν οὐκ ἂν ἔσται πρὸς αὐτὴν ἀλήθειαν, ἀκούσει δέ ποθεν λαλιᾶς, εἰ καὶ μὴ πάνυ τι πικρὰς καὶ ὡς οἷον ἀψινθιώδεις, ἀλλὰ γοῦν ἐπιεικῶς κεκραμένας μέλιτι διακρίσεως, ὅτε δηλαδὴ τὸ πρόσκομμα οὐ συντριβὴν ἀπειλεῖ τῷ καταπεσόντι, ὡς εἰς θάνατον, σκελισμῷ δαίμονος· ὡς, εἴ γε οὐ μέτρια, ὡς οὕτως εἰπεῖν, κακοπραγήσει, ἀλλὰ κατάκρας, καὶ φανεῖται ἀπαραμύθητος ἡ ὑπερβασία, τηνικαῦτα καὶ σκώψεται ὁ ἐπταικὼς, καὶ ἐπιτιμήσεται, καὶ θεραπείαν τραύματος διὰ παραινέσεως ὁποία καὶ πικρᾶς τινος ῥίζης δεξάμενος ἱλαρῶς προσήσεται, εἴπερ φρονεῖ ἐντελῶς. Μὴ φρονῶν γὰρ οὕτως, ἀλλὰ ἐκφήνας δυσανασχετεῖν καὶ ἀποδυσπετεῖν πρὸς τὴν κατὰ πνεῦμα ἰατρείαν, κακῶς τε ἀκούσεται ἀπεναντίας τοῖς εὐλογητοῖς ἀνθρώποις, καὶ μετὰ πολλὰ τὰ ἐν μέσῳ, καὶ οὐδὲ αὐτῷ φίλα,

σκοράκισθήσεται, ὡς ὁ τοῦ Θεοῦ νόμος; καὶ ὁ ἐκεῖθεν θεραπευτικὸς κανὼν παραδίδωσι.

νη'. Καὶ ὁ μὲν θλίψας τὸν οὕτως ἀθεράπευτον οὐκ ἂν ἴσως ἀποδεκτὸς ἔσται οὐδενὶ τῶν τὰ ἐκείνου ζηλούντων. Ὁ δὲ Θεὸς καὶ οἱ τοῦ Θεοῦ ἀποδέξονται τὸν ἀκριβῶς ἰατρεύοντα, κἂν οἱ τῶν ἀνθρώπων υἱοί, βαρυκάρδιοι ὄντες; καὶ ἀγαπῶντες ματαιότητας καὶ ψεῦδος, εὐλογεῖσθαι τὸν ὅμοιον βούλωνται, καὶ οὐκ ἀνέχωνται ψόγον πάσχειν. Ἀλλ' ὁ ἀρχιατρὸς Θεὸς ἀνθέξεται τοῦ ποιοῦντος τὸ ἀγαθὸν, καὶ ἐκδικήσει ἐκεῖνον βλαπτόμενον. Μηδεὶς γὰρ οἰέσθω, ἀπορρᾳθυμεῖν ἐν τοῖς τοιούτοις τὸν ὕψιστον Κύριον· ἀλλὰ πεπληροφορήσθω, παντὸς κακοῦ καὶ ἀνδρὸς καὶ πράγματος αὐτὸν κατεξανίστασθαι, ὀψὲ μὲν διὰ τὸ μακρόθυμον αὐτοῦ καὶ φιλάνθρωπον, αὐστηρῶς δέ γε, καὶ, κατὰ τὸν μέγαν Δαυὶδ εἰπεῖν, ἕως σφόδρα, ὀπηνίκα καὶ τοῦτο διακρινεῖ.

νθ'. Καὶ ἐνθυμητέον ἐνταῦθα, ὦ ἀδελφοὶ, ὅτι καθὰ διδάσκαλος μέγας, προσφυέστερον δὲ φάναι, διδασκάλων διδάσκαλος, καὶ φιλοσοφίας δὲ ἁπάσης, καὶ αὐτῆς τῆς ἀνυποθέτου προϊστάμενος (καλῶς δὲ εἰπεῖν ἔχει τις, καὶ προκαθήμενος), οὐκ ἂν ἐθέλοι αὐτὸς δι' ἑαυτοῦ καὶ μόνου μυσταγωγεῖν. Ἀλλὰ σοφίσας πολυειδῶς ἑτέρους, εἰ; ὅσον ἐγχωρεῖ, προβάλλεται διδάσκειν τοὺς ὑποδεεστέρους ἐν φοιτηταῖς. Αὐτὸς μέντοι παρὼν ἐφ' ἅπασι δόγμασι, καὶ διαρθρῶν, εἴ τί που δυσφραδῶς ἔχει, ναὶ δὲ καὶ ἐπιδιορθούμενος, ὅποι δεήσειε, τὰ διδασκαλεῖα, ἐπικοσμεῖ τὰ σεμνὰ, καὶ τὸ καλὸν ποιεῖ καὶ πλεῖον καὶ κάλλιον. Οὕτω καὶ ὁ τῆς σοφίας χορηγὸς Θεὸς, πληθύνων καὶ ἐπὶ γῆς πολυτρόπως διὰ ἐνσωμάτων θεραπόντων αὐτοῦ τὸ οἰκεῖον ἀγαθὸν, ἅμα ἔπλασεν ἄνθρωπον, καὶ σοφίαν ἐκείνῳ ἐνέθετο, πηγήν τινα ταύτην γλυκεῖαν ὡς ἐκ πελάγους τοῦ κατ' ἐκεῖνον, λιβάδιον γλυκὺ ἐξ ἀβύσσου γλυκύτητος, ἀπόῤῥοιαν ἐπιστήμης ἁγίας τε καὶ ἀῤῥήτου τῆς ἐν ἐκείνῳ, ἧς μέρος καὶ τὸ προγνωστικόν.

ξ'. Προεφήτευσε γοῦν, καθὰ μαθόντες ἐσχήκαμεν, ὁ πρῶτος ἄνθρωπος, αὐτίκα θεόθεν ἐμπνεόμενος. Καὶ τὸ ἐκεῖθεν ἀρξάμενος, οὐκ ἀνῆκεν ὁ πάνσοφος Κύριος, τοὺς ἐπιγόνους ὡς καὶ νῦν σοφίζων, ἀλλ' ἐπιπέμπειν τῷ κόσμῳ φιλοτιμεῖται θεότητι παρωνυμουμένους ἄνδρας. Θεῖοι γὰρ καὶ ἔνθεοι ἐκεῖνοι πάντως καὶ πάντες, ὁπόσοι ἐκ Θεοῦ αὐτοὶ ζωούμενοι καὶ ἐλλαμπόμενοι, καὶ οὕτω φωτὸς καὶ ζωῆς λόγον ἐν κόσμῳ ἐπέχοντες, ζωογονοῦσι τοὺς ἐν Θεῷ φιλοζώους, καὶ περιλάμπουσι τοὺς μήτε ἀμβλυωποῦντας τὰ ἐς ἀρετὴν, καὶ μηδὲ ὀκνοῦντας ἐγρηγορέναι εἰς ἐργασίαν θεάρεστον. Καὶ ἐμπνέων τοῖς τοιούτοις ἀνθρώποις ἐκεῖνος τὰ διδασκαλικὰ, καὶ μεθοδεύων τὴν πνευματικὴν σοφιστείαν, συνεπιτρέχει καὶ ἐφορᾷ τοὺς δι' αὐτὸν σχολαστά; · καὶ προσεπιβάλλων τοῖς μυσταγωγοῦσιν ἀναλόγως χάριν ἐπιστημονικὴν, συνεπιλαμβάνεται αὐτοῖ; τοῦ ἔργου, καὶ συγγράφει, καὶ συνεπιμερίζει τὰ εἰς καταρτισμὸν, καὶ συλλαλεῖ διερμηνεύων ἐξ ἁπάσης Γραφῆς, καθὰ τὰ ὑπὲρ ἑαυτοῦ, ὁμοίως καὶ τὰ ἐξ αὐτοῦ, ἀκολούθως δὲ καὶ συνεπο-

incommoda, ipsi gravia, excommunicabitur, uti divina et canones ejusmodi sanationem concerlex nentes tradunt.

58. Quamvis autem is qui talem hominem incurabilem affligit, illius amicis vix futurus sit acceptus, tamen Deus ejusque æmuli solertem medicum comprobabunt, licet hominum filii, utpote corde præfracto præditi et vanitatum mendaciique studiosi, ejusmodi hominem laudibus effeiri cupiant ac omnino vituperationis sint impatientissimi. At vero Deus, summus medicus, eum qui probitatem sectatur, adjuvabit, et qui injuria afficitur illum ulciscetur. Ne quis enim opinetur, Dominum supremum talia non curare, sed potius persuasissimum sibi habeat, eum omnibus malis et hominibus et factis pœnam inflicturum, sero quidem ob longanimitatem ac hominum amorem, severe autem et, ut cum magno Davide loquar, validissime, quando hoc opportunum judicaverit.

59. Jam vero, o fratres, hoc quoque attendamus. Quemadmodum magnus præceptor, vel ut accuratius loquar, præceptor præceptorum, omnisque philosophiæ, etiam non suppositæ præfectus (et uti bene quis dixerit, præsidens) non ipse per semetipsum ac solum vult initiare, sed multimodis alios erudiens, quantum fieri potest, ad inferiores discipulos edocendos delegat, dum ipse, cunctis disciplinis præpositus, explicat si quid expositu difficilius reperiatur, et, ubi opus fuerit, dirigit scholas, et augusta adornat, et pulchrum adauget et promovet : ita etiam omnis sapientiæ princeps Deus, multiplicans in terra variis modis per famulos corpore indutos benignitatem suam, simul atque creavit hominem, indidit illi sapientiam, fontem quemdam dulcem ex ipsius mari derivatum rivulum suavem ex abysso suavitatis, traducem scientiæ sanctæ et ineffabilis, cujus pars est facultas præsciendi futura.

60. Prophetavit igitur, quemadmodum comperimus, primus homo, extemplo divinitus inspiratus. Atque hinc exorsus, non cessavit Dominus omnium sapientissimus, posteros illuminare, uti et nunc fit, sed mittere in mundum satagit viros divinitati similes. Divini enim et Deo repleti omnes sane illi sunt, qui a Deo ipsi vivificati et illuminati, atque sic lucis et vitæ scientiam in mundo gestantes, eos qui in Deo vivere student, vivificant et illustrant eos qui ad virtutem non cæcutiunt et ad opera Deo grata sese accingere nituntur. Inspirans autem talibus hominibus docendi facultatem, et indens sapientiam spiritualem, adjuvat et inspicit eos qui ad ipsum animum advertunt, et condonans præceptoribus, quoad opus est, gratiam intelligentiæ, adjuvat eos in opere exsequendo, et promittit distribuitque quæ ad perfectionem conducunt, et conversatur cum eis, explicans e tota Scriptura quæ ab ipso oriuntur et ad ipsum redeunt, nec minus incitare satagit, et in docendo adjuvat atque

promovet. Ita per viros ab ipso ad docendum destinatos, dum ipse in excelsis versatur invisibilis (totus namque mundus Deo plenus est), meliores fiunt qui ad virtutem sectandam apti sunt.

61. Quid autem dico *apti?* Etenim e lapidibus quoque quos colligunt qui sancta metalla fodiunt, exsurgunt divina semina, id est divini homines. Res autem illa præclara etiam in nos redundat qui nunc vivimus. Nam divini verbi torrens, doctrinam dico, divinitus scaturiens, veluti in quosdam sinus, nimirum in animas proborum præceptorum immittitur, indeque profluens etiam ad nos pertingit et tanquam paradisos divinos irrigat ad omnimodam fertilitatem qua animæ nutriuntur, et veluti sulcos inundat ad incrementum animarum, et tanquam homipes vitæ sordibus commaculatos ad puritatem lavando perducit. Neque vero aliter salus nostra obtingere potest, nisi hoc solo modo, quantumvis in aliis methodis inveniendis homines allaborent.

62. Quicunque igitur hoc bonum quod unum ac solum in toto mundo reperitur, contemnunt, persuasum sibi habeant, se in tenebris densissimis cæcutientes oberrare, quia neque doctrinæ lumen præ se ferunt quo in hujus vitæ caligine ducantur, neque alia ratione diriguntur ; imo pro lumine isto hilari incendium irruet in caput eorum, et pro latice refrigerante, desuper irrigante et in vitam æternam saliente, fluctibus malis opprimentur, non solum amaris, sed etiam, quæ gravior pœna est, omni vigore ac fertilitate, ut ita dicam, destitutis. Sic autem communis omnium Pater magna orbabitur liberorum copia quam impetus dæmoniacus absorbuerit.

63. Cum enim inter omnes constet, calamitatem esse exitiosam, si homines pro lubitu arbitrioque suo, nulli subjecto domino, viverent (quod idem est atque propriæ voluntati addictum esse et nimia cum fiducia genio indulgere) : tali calamitate, utpote nemini subjecti, laborant populi illi qui non habent duces Deo supremo duci submissos. Tales enim populos mundus circumagit ceu animalia quædam capitibus carentia. Quare eos per jocum, uti in veteri proverbio est, ἀκεφάλους καὶ ἀναύχενας (qui nec caput nec collum habent) jure nominaveris, seu potius vermibus inarticulatis accensueris, exsistentes quidem, quod ad vitæ rationem attinet, sed putantes sese præstare omni homini qui Deo appropinquat, et ad ita sentiendum sibi invicem persuadentes, fiduciam in rebus quibus non oportebat, collocantes. De hac fiducia quantumvis sæpius verba feci, nunc quoque, quantum satis est, recordationis gratia proferre libet.

64. Fiducia et confidentia, res in tempore desiderabilis, nonnunquam autem fugienda, uti scimus, plerumque ex una radice ac fonte, seu ut simplicius loquar, ex uno principio procedunt, e subjectione nimirum. Cum autem bipartitæ sint (altera bona enim apparet, secundum quam quoad res

τρύνει ἐπιμελῶς. καὶ συνδιδάσκει καὶ συνωφελεῖ. Καὶ οὕτω διὰ τῶν ὑπ' αὐτοῦ προβαλλομένων εἰς διδασκαλίαν, ἐν τῷ καὶ αὐτὸν ἄνωθεν ἀοράτῳ πάρειναι (τοῦ Θεοῦ γὰρ ἅπας ὁ κόσμος γέμει), βελτίονες οἱ εὐφυεῖς τὰ εἰς ἀρετὴν γίνονται.

ξ'. Τί δὲ λέγω οἱ εὐφυεῖς ; ὅπου γε καὶ ἐκ λίθων, οὓς ἀναλέγονται οἱ ἁγίως μεταλλεύοντες, ἀνίστανται σπέρματα θεῖα, εἴτ' οὖν Θεοῦ ἄνθρωποι. Τὸ δὲ καλὸν ἐκεῖνο καθήκει καὶ εἰς ἡμᾶς αὐτοὺς, τοὺς τῆς νῦν ἡμέρας. Τὸ γὰρ τοῦ ἐνθέου λόγου ῥεῦμα, τὸ διδασκαλικὸν, πλημμῦρον θεόθεν ὡς εἰς κόλπους τινὰς, τὰς τῶν ὀρθῶν διδασκάλων ψυχὰς, καὶ αὖθις ἐκεῖθεν προρρέον καὶ εἰς ἡμᾶς, καὶ ὡς παραδείσους Θεοῦ ἀρδεύει ἐπὶ παντοίᾳ καρποφορίᾳ, δι' ἧς ψυχαὶ τρέφονται, καὶ ὡς αὔλακας μεθύσκει ἐπὶ βλάστῃ ψυχοτρόφῳ, καὶ ὡς ἀνθρώπους δὲ ῥυπουμένους ἰλυῖ βιωτικῇ ἀπολούει ἐς καθαρότητα. Καὶ οὐκ ἔστιν ἄλλως τὰ ἐν ἡμῖν σωτήρια καταπράττεσθαι, ἢ τοῦτον καὶ μόνον τὸν τρόπον, κἂν εἰ καὶ πολλὰ κάμοι τις διερευνώμενος, μυρίαν ἑτεροίαν μέθοδον.

ξ'. Οἱ τοίνυν καλὸν τοῦτο ἓν καὶ μόνον αὐτὸ ἐν ὅλῳ τῷ κόσμῳ ἀποπροσποιούμενοι πληροφορείσθωσαν, ὅτι τε ἐν σκότῳ ψηλαφητῷ τυφλοὶ πλανῶνται, τὸ διδασκαλικὸν φῶς οὔτε φέροντες πρὸ χειρῶν, ὡς ἐν τῇ κατὰ βίον ὁδηγεῖσθαι νυκτὶ, οὔτε ἄλλοθεν χορηγούμενοι, καὶ ὅτι ἀντὶ φωτὸς τοιούτου ἴλαροῦ φλὸξ τῆς αὐτῶν καταῤῥαγήσεται κεφαλῆς, καὶ ἀντὶ ἀναψύχοντος ὕδατος, ἄνωθεν μὲν ἐπομβρουμένου, κάτωθεν δὲ ἁλλομένου εἰς αἰώνιον ζωὴν, ὕδασι κατακλυσθήσονται πονηροῖς, οὐ μόνον ἄλλως πικροῖς, ἀλλὰ καὶ ἀτενουμένοις, εἴτ' οὖν ἀτεκνοῦσιν ἐπὶ ζημίαν, εἴ τι χρὴ οὕτω φράσαι, τοῦ κοινοῦ πάντων Πατρὸς ἀφαιρουμένου πολλὴν πληθὺν τέκνων, ἣν παρέσυρε κατάῤῥους δαιμόνιος.

ξγ'. Ὁμολογουμένου γὰρ τοῖς ἐν τῷ κόσμῳ ἅπασιν ἀνθρώποις, κακὸν εἶναι ὀλεθρευτικὸν τὸ αὐτεξουσίως καὶ ἀδεσπότως ἄναρχον (τοιοῦτον δὲ τὸ αὐτόνομον καὶ ἰδιόῤῥυθμον καὶ πεισματικὸν, εἴτε πεισμονικὸν), ὑπὸ τοιαύτην κεῖνται φαυλότητα καὶ κακίαν ἀναρχίας καὶ λαοὶ, ὅσοι μὴ ἔχουσι καθηγητὰς, ὧν ὑπεραν έχει ὁ μέγιστος ἡγούμενος, ὁ Θεός · καὶ περιάγει τοὺς τοιούτους λαοὺς ὁ κόσμος οἷα καί τινα ζῶα, οἷς οὐκ ἐπίκεινται κεφαλαί. Διὸ καλὸν μὲν, καὶ ἀκεφάλους καὶ ἀναύχενας τοὺς τοιούτους, κατά τινα παλαιὰν λογοποιίαν, ἀποσκῶψαι', κάλλιον δὲ καὶ, ὡς εἰς φύσιν ἀδιαρθρώτων σκωλήκων ἀποτάξαι αὐτοὺς, ὄντας μὲν, ὁποῖοι τὰ ἐς βίον ἐκφαίνονται, δοκοῦντας δὲ ὑπερανέχειν ἀνθρώπου παντὸς, ἐγγίζοντος τῷ Θεῷ, καὶ συμπείθοντας ἀλλήλους εἰς τὸ οὕτω φρονεῖν, καὶ πεῖσμα φυλάττοντας, ἐφ' οἷς οὐκ ἐχρῆν. Περὶ οὗ πείσματος πολλὰ καὶ πολλάκις εἰπὼν ἐθέλω κἀνταῦθα μετρίως ἐπισημήνασθαί τι πρὸς ἀνάμνησιν.

ξδ'. Τὸ πεῖσμα καὶ ἡ πεισμονὴ, τὸ καὶ εὐκταῖον ἐν καιρῷ χρῆμα, καὶ ἄλλως δὲ φευκτέον, ὡς οἴδαμεν, ἐξώρμηνται ὡς ἐπιπολὺ ὅσα καὶ ῥίζης τινὸς ἢ πηγῆς, ἁπλῶς δὲ εἰπεῖν, ἀρχῆς ἀμφότερα τῆς ὑποταγῆς. Διττῆς δὲ οὔσης αὐτῆς (ἡ μὲν γὰρ ἀγαθὴ διεκφαίνεται, καθ' ἣν δηλαδὴ θεοφιλέσιν ἀνθρώποις ἐπὶ

πράγμασι πάντως ὠφελίμοις ὑποτασσόμεθα· ἡ δὲ οὐ τοιαύτη, θεωρουμένη αὐτὴ, ὅτε φορτικοῖς ἀνθρώποις ὑπείκομεν, οὐκ εὐπαιδεύτως τυπούμενοι πρὸς τοιοῦτον φαῦλον παράδειγμα), διπλῆν εἶναι ἀνάγκη καὶ τὴν ἐξ ἀμφοῖν πειθώ.

ξε'. Πεπεισμένοι μὲν γὰρ ἀγαθοῖς διδασκάλοις, ἀγαθὸν πεῖσμα πάσχομεν· μὴ τοιούτοις δὲ ὑπείκοντες, πείσματι ἀζήλῳ τῷ ἐκεῖθεν, ὅποι μὴ πρέπει ἀνθρώποις, ἐκνεύομεν. Οὐκοῦν ὑποταγῆς προηγουμένης ἐπὶ ὑστεροῦντι πείσματι, καὶ δευτερεύοντος πάντως· τά γε εἰς ὑποταγὴν τοῦ ὑπακούοντος, ὃς μὲν Θεῷ προσανέχων πείθεται διδασκάλῳ ἐνθέῳ, καὶ τὰς ἐκεῖθεν εἰσδεχόμενος ὑποθήκας ποιεῖ τὰ καθήκοντα, Θεοῦ ἄνθρωπος ἐκεῖνος, καὶ σταθερὸς αὐτὸς ἐν ἀρετῇ, καὶ βέβαιος ἐν καλοῖς, καὶ ἀσφαλὴς τὴν ἀγαθότητα, καὶ ἀστεμφὴς, ὡς καὶ ἐπαινεῖσθαι, καὶ στῦλος ὀρθότητος ἀστραβὴς, καὶ θεμέλιος ἀῤῥαγὴς, εἰ καί ποτε κατασείεται, καὶ παραδείσου δένδρον εὔριζον, καὶ οἷον μὴ διατινάσσεσθαι ὡς εἰς πτῶσιν δαιμονίοις πνεύμασι, καὶ Θεοῦ οἶκος ἀκατάλυτος. Καὶ τὸ πεῖσμα τὸ κατὰ τοιοῦτον ἄνθρωπον οὐχ ἁπλῶς ἐν ἐπαίνῳ κείμενον θαυμάζεται, ἀλλὰ καὶ Θεῷ φίλον καὶ ἅγιον γνωματεύεται.

ξς'. Εἰ δέ τις ὑπὸ διδασκάλῳ μὴ οὕτω προηγουμένῳ εἰς εὐθὺ τάσσεται, ἀλλὰ κύκλῳ περιπατοῦντι, καὶ τὴν εὐθύτητα στρεβλοῦντι, ὃς οὐκ ἂν εἴη ἄμωμος ἐν ὁδῷ Κυριακῇ, κἀντεῦθεν ἀπ' ἐναντίας τῷ πρωτίστῳ καὶ ἐπὶ θρόνου δόξης ὑπερτάτου καθημένῳ φερόμενος, τῆς διεστραμμένης πειθοῦς γίνεται· καὶ λαχὼν ἐκεῖθεν ἀρχὰς οὐ θεοφιλείας, οὐδὲ φρονήσεως, τὸ πᾶν δὲ συνῃρημένως φάναι, οὐκ ἐναρέτως πρὸς ἀλήθειαν, καὶ πείσας ἑαυτὸν, εἰς τέλος οὐκ ἀγαθὸν ἐνίσταται, καὶ ἀγωνιῶν ἀντιβαίνει, κοινώτερον δὲ φράσαι, πρὸς ἰδιωτείαν δι' εὐμάθειαν, τὴν ἐν τοῖς πολλοῖς, πεισματίζει, ὡς καὶ κατὰ κράτος νικᾷν, καὶ συνιστᾷν ὃ βούλεται· οὐκ ἔστιν, οὐδ' ἂν εἰπεῖν τολμήσῃ τις ὀρθὰ φρονῶν καὶ λόγου μέτοχος, ἐναρέτως διακεῖσθαι τὸν οὕτω πεισμονικόν. Οὐ γὰρ δέδοται, φαύλης ἀρχῆς ἀγαθὸν εἶναι συμπέρασμα.

ξζ'. Εἰ δὲ καί τις ἐν διαλόγῳ τὰ ψευδῆ προτείνων παρασυνάγειν ἀλήθειαν φαίνεται, ἀλλὰ τὸ ἐφαμάρτως πρωηγούμενον οὐκ οἶδα πῶς ἂν ἔχοι ἀποβαίνειν σωτήριον. Δῆλον δὲ, ὡς εἰς ταυτὸν ἥκει κακοῦ, φαύλῃ τε ἀρχῇ πεισθῆναι, καὶ κατ' ἐκείνην στρεβλωθῆναι εἰς τὰ ἑξῆς λόγῳ ὑποταγῆς, καὶ οἴκοθεν παρεκνεῦσαι τῆς ὀρθῆς, ὅπου οἱ ἁλιτήριοι καὶ κατὰ τῆς ἀρετῆς αἱρετίζοντες, οἳ καὶ αὐτοὶ δαιμονίαις προθέσεσι καθυπείκοντες πείθονται εἰς κακόν. Ὅτι δὲ εἰς γαλήνην σωτήριον καθορμίζει τοὺς ἐν βίῳ σαλεύοντας τὸ θεοφιλὲς πεῖσμα τοὺς αὐτὸ ἔχοντας, καὶ ἡ πρώτη λεκτικὴ θέσις αὐτοῦ δείκνυσι· πείσματα γὰρ εἰώθαμεν λέγειν σπάρτα ναυτικὰ, οἷς δηλαδὴ ναῦς ἐλλιμενισθεῖσα πείθεται, μὴ ἀφιεμένη διασαλεύεσθαι, καὶ εἰς κίνδυνον κλύζεσθαι· ὅτε καὶ μένει ἐκεῖνο τὸ σκάφος ἥρεμον ἐπὶ τῇ σωτηρίᾳ ἑαυτοῦ τε καὶ τῶν ἐμπλέειν λαχόντων. Ἐνταῦθα δὴ πεποιθότως πυνθάνομαι, πότε φιλοκινδύνως αὐθαδιάζεται ναῦς τοιαύτη, καὶ ἀποῤῥῆξαι τοῦ λιμένος ἑαυτὴν φιλονεικεῖ,

A omnino utiles viris Deo acceptis nos subjicimus; altera autem non talis est, sed in eo conspicitur quod vilibus hominibus obedimus, et ad tale malum exemplum male effingere nos studemus), ad bipartita necessario etiam persuasio erit ex ambabus profluens.

65. Si enim bonis præceptoribus paremus, bonam fiduciam nanciscimur; sin vero non talibus obedimus, confidentia mala illuc quo non decet homines, declinamus. Cum igitur obedientia præcedat, fiducia autem subsequatur, et cum omnino secundum locum obtineat qui morem gerit : profecto si Deo obediens, fiducia in præceptore divinitus inspirato collocata ejusque doctrina in se recepta id quod decet facit, Dei homo erit, firmus B in virtute, constans in bonis, inconcussus in probitate et inflexibilis, ut laudem mereatur columna rectitudinis non incurvata, fundamentum non evertendum, quamvis nonnunquam concutiatur, arbor paradisi radices in profundum agens, ita ut nequeat a malis dæmonibus in ruinam dejici, et domus Dei inevertibilis. Porro fiducia ejusmodi viri non solum laude et admiratione est digna, sed etiam Deo accepta et sancta existimatur.

66. Si quis autem non a tali præceptore in recto collocatur, sed in orbe instabili atque rectitudinem pervertente, ita ut non sit irreprehensibilis in via Domini, seu potius ab eo qui in summo gloriæ throno sedet, avertatur et perversa fiducia imbuitur, et, ut breviter dicam, fiducia quæ virtutis ac veritatis fructus est, destitutus ad finem non bonum tendit et magno cum impetu per doctrinam multitudini propriam ad ignorantiam progreditur et omnem funem movet, ut ipsius voluptati satisfaciat, is, inquam, tali fiducia fretus a nemine recte sentiente aut bene instructo virtuti convenienter dispositus esse dicetur. E malo enim principio bonus finis exsurgere nequit.

67. Etiamsi vero quis in conversatione mendacium proferens veritatem subintroducere videtur, illud tamen quod perverse disseritur, nescio quomodo in salutem cedere possit. Manifesto autem ad idem malum redit, aut principio perverso inniti eique morem gerendo huc atque illuc agitari, aut ab initio de recto tramite deflectere, ubi homines nequam virtutique obluctantes ingrediuntur, qui et ipsi, inspirationibus obedientes dæmoniacis ad pravitatem declinant. Quod autem fiducia (πεῖσμα) in Deo collocata illos qui ea gaudent, quando vitæ tempestatibus turbantur, in portum tranquillum et salutarem introducit, primaria vocabuli significatio ostendit; fiduciam (πείσματα) enim appellare solemus rudentes nauticos quibus navis in portu constituta retinetur quominus fluctibus agitetur aut ullo modo periclitetur, ita ut navigium illud tranquillitate fruatur non minus ad suam ipsius salutem quam eorum qui forte deo

vehuntur. Jam vero, cum magna fiducia interrogo, num ejusmodi navis sibimetipsi relicta, e portu sua sponte exire possit, an rudens ille terræ affixus navem sibi commissam, quominus abrepta discrimen ullum subire aut violentis ventis tradi possit, non prohibeat, nisi aut putredine corruptus sit funis ille, aut male confectus, ita ut facile disrumpatur.

πότε δὲ τὸ ἀπόγαιον ἐκεῖνο πεῖσμα μεταπείθεται ἀκλῶς οὕτω βαγῆναι, καὶ τὸ πεπιστευμένον αὐτῷ πλοῖον ἀφεῖναι βάψαι εἰς κίνδυνον, ἢ ἀνέμοις ἐξώσταις ἐκδοῦναι παράφορον, εἰ μὴ ἄρα ἡ κατασέσηπε τὸ σχοινίον ἐκεῖνο, ἢ ἄλλως εὐπάλυτον κέκλωσται.

68. Quapropter in hominibus fiducia revera est res bona, ideoque sanctis martyribus appetita, viris venerabilibus dilecta, omnibusque omnino Deo obedientibus affectata, utpote ex qua omnis virtus et ars et scientia et reipublicæ constitutio exoritur ; quam utinam Deus omnibus Christianis concedat in eisque conservet, ita ut semper adsit eis ac remaneat et tempore opportuno efficacem se præstet, ut tanquam sanctas columnas et augustas statuas navesque Dei erigat ejus servitores ad salutem communem. Talis est illa fiducia in Deo reposita, sine qua nulla est salus ; qua si homines carent, cur tandem paradisus plantatus est, cum nullos habiturus sit incolas ? Est autem porro alia fiducia, imprudens, irrationabilis, lignea, saxea, bruta, impetuosa, inexcusabilis, informis, obdurans, inhumana, provocans, rapax, Jæmoniaca, insana, quam pacis Dominus a nobis et ab omnibus hominibus, imprimis autem Christianis procul avertat !

ξη'. Οὐκοῦν ἐν ἀνθρώποις πεῖσμα τὸ μέν τι ἀγαθὸν ἀληθῶς, καὶ δι' αὐτὸ ζηλωτὸν ἁγίοις μάρτυσι, καὶ ἀνδράσιν ὁσίοις ἀγαπητὸν, καὶ ὅλως ἅπασι τοῖς ὑποτεταγμένοις τῷ Θεῷ φιλητὸν, δι' οὗ ἀρετὴ πρόπασα καὶ τέχνη καὶ ἐπιστήμη καὶ σύστασις πολιτείας ὀρθῆς · καὶ διδοίη ὁ Θεὸς αὐτὸ Χριστιανοῖς ἅπασι, καὶ παραφυλάττοιτο τὸ τοιοῦτον καλὸν ἐν αὐτοῖς, ὥστε παραμένειν καὶ παρακατέχεσθαι καὶ ἐνεργεῖσθαι εἰς καίριον, ὡς ἐντεῦθεν ἀνδριάντας ἱεροὺς καὶ στήλας ἁγίας καὶ ναοὺς οἷον Θεοῦ ἀνιστᾷν τοὺς αὐτοῦ θεράποντας ἐπὶ κοινῷ συμφέροντι. Καὶ τοιοῦτον μὲν ἐκεῖνο πεῖσμα, τὸ κατὰ Θεὸν, οὗ χωρὶς οὐκ ἔστι σώζεσθαι, οὗ μὴ παρὰ τοῖς ἀνθρώποις ὄντος, τί δήποτε πεφύτευται παράδεισος, ἀοίκητος ἐσόμενος ; Ἄλλο δὲ ἕτερον πεῖσμα, τὸ ἀδιάκριτον, τὸ ἀλόγιστον, τὸ ξύλινον, τὸ ἐκ πετρῶν, τὸ θηριῶδες, τὸ θυμῶδες, τὸ ἀναπολόγητον, τὸ ἀνειδοποίητον, τὸ ἀγριοποιὸν, τὸ ἀπάνθρωπον, τὸ μάχιμον, τὸ ληστρικὸν, τὸ δαιμόνιον, τὸ μηδὲν ὑγιὲς, ὅπερ ἀπαγάγοι ὁ τῆς εἰρήνης Κύριος καὶ ἡμῶν καὶ παντὸς ἀνθρώπου ἑτεροίου τε καὶ μάλιστα Χριστιανοῦ !

69. Exaudias nos, o Deus Salvator, princeps præceptorum, summe inter œconomos, totius terrarum orbis magister, dux sacrorum ordinum, princeps principum, Domine dominorum, caput gubernantium, qui propter nos e cœlo ad nos descendisti, ut etiam corporaliter principatum tuum ostenderes ignorantibus, qui præcepisti ac subjecisti, et doctrina tua salutis fundamenta posuisti : fac ut nos obedientes, morigeri et de officiis nostris bene instituti, quamvis sero, discipuli virtutis flamus, et ii imprimis qui cultui tuo proxime sese addixerunt ; fac ut nos, secundum sanctum Psalmistam, irreprehensi in via tua ambulemus. Ambulans enim, inquit, in via irreprehensibili, hic mihi serviebat, non sane furore percitus aut impetu irresistibili in perniciei gurgitem sese præcipitans. Precor autem hoc modo, o Domine hominum amantissime, ob id solum, quia omne bonum desuper nobis per te accidit, non autem quia difficile prorsus fere impossibile sit, ut malam istam fiduciam abjiciamus, deleamus et ad nihilum redigamus. Simulatque enim voluimus, qui tibi obedimus, etiam perfecimus ; et simulatque in animam induximus, ad finem pertigimus, vel, ut prægnantius idem dicamus, simulatque, curas nostras in te rejicientes, adversus hoc malum nosmet accinximus, victoriam reportavimus.

ξθ'. Εἴης ἐπακούων ἡμῶν, Σῶτερ Θεὸς, ὁ πρώτιστος ἐνηγούμενος, ὁ μίγιστος ἐν οἰκονόμοις, ὁ οἰκουμενικὸς διδάσκαλος, ὁ ἐπὶ τῶν ἱερῶν καταστάσεων, ὁ τῶν ἀρχόντων ἄρχων, ὁ τῶν κυρίων Κύριος, ὁ ὕπατος ἐν τοῖς ὑποτάσσουσιν, ὁ κατελθὼν οὐρανόθεν δι' ἡμᾶς ἐφ' ἡμᾶς, ἵνα καὶ σωματικῶς ὑποδείξῃς τὴν ἡγεμονείαν σου τοῖς ἀγνοοῦσι, καὶ ἐπιτάξας, καὶ ὑποτάξας, καὶ δοὺς ἀρχὰς ἐπὶ σωτηρίᾳ διδασκαλικῶς, καὶ ὑπακουσθεὶς, καὶ πείσας, καὶ τὰ ποιητέα ἐγκελευσάμενος, ἀποτελέσῃς μαθητὰς ὀψιμαθεῖς τοῦ καλοῦ, καὶ ἔτι μᾶλλον τοὺς ἐγγυτάτω λειτουργοῦντάς σοι, οἱ κατὰ τὸν ἁγίως ψάλλοντα πορεύεσθαι ἄμωμοι ἐν ὁδῷ τῇ κατὰ σὲ ἀπαιτούμεθα. Πορευόμενος γὰρ, φησὶν, ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτουργει, οὐ μὴν παροιστρῶν καὶ κατὰ φάραγγος ἀπωλείας τρέχων ἀκάθεκτος. Εὐξάμην δὲ οὕτως, ὦ φιλάνθρωπε Κύριε, δι' αὐτὸ δὴ τοῦτο καὶ μόνον, ὅτι πᾶν ἀγαθὸν ἄνωθεν ἡμῖν διὰ σοῦ ἐπιγίνεται, οὐ μὴν διότι πάνυ δυσχερὲς καὶ ἀδυνάτου ἐγγὺς, ἀπορρῆξαι τὸ φαῦλον πεῖσμα καὶ διαλῦσαι καὶ ἀναλῦσαι ὡς εἰς τὸ μηδέν. Ἅμα γὰρ ἐβουλήθημεν οἱ τῇ σῇ ὑποταγῇ, καὶ ἠνύσαμεν, ἅμα ἐνενοησάμεθα, καὶ ἀπετελέσαμεν· ἵνα δὲ μεγαλείως φράσωμεν, ἅμα ὡπλίσθημεν κατὰ κακοῦ τοιοῦδε οἱ τὴν ἐν ἡμῖν μέριμναν ἐπὶ σὲ μόνον ἐπιρρίπτοντες, καὶ νενικήκαμεν.

70. Victoriam autem reportabimus hoc modo : Si quis sibi facile persuaserit et nimia fiducia ductus ad manus cum feroci pugili consrendas et pugnam cum adversario incundam processerit, ut brevi post,

ο'. Καὶ ἡ μέθοδος τῆς νίκης τοιάδε τις· Ὑποτεθείσθω τις πείσας ἑαυτὸν εὐχερῶς, καὶ κραγὸν πεῖσμα συμπλέξας, ἐπανατείνας χεῖρας παλαιναίῳ πυγμάχῳ καὶ οἷῳ καταπολεμῆσαι τὸν ἀνθιστάμενον, ἀλλὰ μι

χρὸν καὶ ἕτερος αὐτὸν ἀνῆκε θυμὸς, ἀφέσθαι ταχὺ τῆς τόλμης ἐκείνης, μὴ καὶ ἀποῤῥαυσθῇ τῆς κεφαλῆς, καί που καὶ σποδηθῇ κατὰ τὸν οὕτως εἰπόντα, καὶ ἐπιτριβῇ φλώμενος καὶ πνιγόμενος· καὶ λογισμὸν τοῦτον δεύτερον συνετὸν μωρῷ ἐκείνῳ πρώτῳ ἀντιστήσας, καὶ ἄμφω ταλαντεύσας ἐκ παραθέσεως, καὶ ῥοπὴν εὑρηκὼς ἐν τῷ δευτερεύσαντι, ἔχει λέγειν ἀστείως πρὸς τὸν κατάρξαντα νοῦν ἐκεῖνο τὸ παλαιόν· ὡς οὐ πείσεις, οὐδ' ἢν πείσῃς· ἔπεισας μὲν γὰρ, ὦ θυμὲ, χεῖρας ἀντῆρεις ἀνασχεῖν κατὰ ἰσχυροτέρου ἢπερ ἐγώ· οὐ πείσῃς δὲ ὅμως εἰς τέλος, εἰ καὶ παρέπεισας. Εὐλαβοῦμαι γὰρ ἰλυσπᾶσθαι, ῥιφεὶς εἰς γῆν, καὶ οὕτω τὴν ἔρψιν ἀλλάξασθαι τῆς βαδίσεως.

οα'. Πάλιν λογισμὸς παρέπλαγξέ τινα, ὁποῖα πολλὰ φιλεῖ καὶ τοιαῦτα γίνεσθαι, γενναῖον εἶναι, παλαμᾶσθαι συμποδισμὸν, εἴ τις εἰς παλαίστραν ἀντικατασταίη αὐτῷ. Καὶ ἐπανηγυρίσθη ἀγὼν, καὶ ἐκηρύχθη παλαισμοσύνη, καὶ αὐτὸς παρεισέδυ ἐς μέσους, ἐθέλων συμπλοκὴν, καὶ θαῤῥῶν καταπαλαίειν, καὶ ἤδη εὖ μάλα συμπείσας ἑαυτὸν εἰς τοιαύτην ἄθλησιν. Ἀλλ' ἐπειδὰν ἀνταγωνιστὴν θεάσηται φανέντα, ὃν μὴ ἐνθυμούμενος, ἀλλὰ τότε κατίδοι ἐξανακύψαντα καὶ εἰς ἀντίπαλον προχωρήσαντα, οὐ πείσεις τῷ πρώην λογισμῷ, ἔφη, κἂν φθάσας ἔπεισας· οὐ γὰρ ἀνέξομαι πεσὼν συντρίψεσθαι, καὶ καθόλου ἐν τοῖς φρονοῦσι καὶ μαθοῦσι βουλεύεσθαι, καὶ αὖθις εἰς δέον μεταβουλεύεσθαι. Πείθει μέν τις ἑαυτὸν ἐν πολλοῖς, καὶ εἴς τι ψεκτὸν καὶ κατατίθεται, καί που ἐρεθίζεται, καὶ εἰς ἔργον ἐξορμᾷ. Μεταγνοὺς δὲ ἀφίησιν ἐκεῖνο, εἰς ὅπερ κατένευσε, καὶ χαίρει παυόμενος, καὶ λόγῳ τοιούτῳ, εἰ καὶ πέπεισται, ὅμως οὐκέτι πείθεται, ὅμοιον ὡσεὶ καὶ ὁρμηθεὶς κατὰ κρημνοῦ, εἶτα μετάμελος ἐπαναστρέφεται, καὶ ἔννους ἐκ δυσλογίστου γένηται.

οβ'. Χρὴ τοίνυν οὕτως ἐπὶ πάντων τῶν ὁμοίων γίνεσθαι, ὡς ἀκολούθως καὶ ἡμᾶς, ἀναλαβομένους πεῖσμα ὀπωσοῦν, εἴτε ἐξ ἡμῶν αὐτῶν ἀβούλως, εἴτε κατὰ διδασκαλίαν κακόβουλον, πάντως δὲ ἀπὸ ἀρχεκάκου δαίμονος, καὶ ὡρμημένους ἐς πρᾶξιν ἀποτελευτῶσαν εἰς φαυλότητα, ἐνθυμεῖσθαι, εἶναί τινα ἡμῶν κρείττονα, καὶ εἰ μὴ ἄνθρωπον, ἀλλά γε τὸν Θεὸν, ὃς διδοὺς τὰ ἀγαθὰ καταγίνεται τῆς κακότητος, ἑαυτὸν πάντως ἐκδικῶν διὰ τῆς τοιαύτης ἐπεξελεύσεως. Ἐκεῖνος γὰρ καὶ νομοθέτης ἀγαθότητος ἁπάσης· καὶ αὐτοῦ ἐστιν, ὥσπερ ὁ κόσμος, οὕτω καὶ ἅπας κόσμιος ἡγούμενος, καὶ αὐτῷ ἐστι παράγγελμα, πείθεσθαι καὶ ὑπείκειν τοῖς ἡγουμένοις, οἳ ἐκείνου εἰσὶν εἰκονίσματα καὶ ἐνδάλματα. Διὸ καὶ ἡ αὐτῶν ὕβρις καὶ βλάβη καὶ ἡ κατ' αὐτῶν ἀδικία καὶ περιεργία καὶ περιφρόνησις εἰς ἐκεῖνον ἀναβαίνειν διαγινώσκεται, τὸν μισοῦντα μὲν καὶ ἅπαν κακὸν, οὐχ ἥκιστα δὲ τὴν κατ' αὐτὸ ἐπιμονήν.

ογ'. Οὐ γὰρ ἔστιν ἀντειπεῖν, μὴ ἐπιμονήν τινα χειρίστην καὶ τὸ πεῖσμα εἶναι τὸ φαῦλον, καὶ ἰδιότητα ζωϊκὴν δυσαπάλειπτον, πολλαχοῦ δὲ καὶ ἀνεξάλειπτον. Πλὴν ἀλλὰ ἐν ἀνθρώποις λογίμοις καὶ ἐπισταμένοις ὁποκλίνεσθαι λόγῳ καὶ ἐπιπείθεσθαι οὐκ ἔστι μὴ ἐξαλείφεσθαι καὶ τὴν τοιαύτην οὐκ

A sententia immutata, ab illo certamine recesserit, meturens ne capite percusso ad nihilum, uti aiunt, redactus, contritus, suffocatus pereat; et si deinde priori illo insipienti consilio abjecto aliud ceperit sapientius, et utroque deliberato et comparato, momentum inclinare ad secundum intellexerit, tunc ad mentem qua priorem suggesserat sententiam recte poterit dicere: Suasisti quidem, at non persuadebis; voluisti enim, ut contra fortiorem pugnæ discrimen subirem, neque tamen, quamvis me seducere studueris, mihi unquam persuadebis. Vereor enim ne, ad terram allisus, rependo potius sim obnoxius, quam recte incedendo idoneus.

71. Rursum ratio, uti haud raro accidere solet, B aliquem induxit, ut generosum sese exhibeat et impedimenta si quæ in arena occurrant, fortiter disjiciat. Certamine igitur indicto, et pugna præconis voce annuntiata, ille in medium progreditur, certandi avidus, de victoria certus, suis viribus in ejusmodi congressu nimium quantum confisus. At ubi adversarium quem non putaverat, apparentem et arrectum et hosti obviam euntem conspicit, tunc rationi, dicit quamvis antea persuaseris, non amplius persuadebis; nolo enim turpi casu conteri, sed potius cum prudentibus sapientibusque viris consilium inire et ad officium reverti. Sic multis in rebus homo sibi confisus vel ad malum propendet et stimulatur adeo ut ad opus aggrediendum paratus sit; sed poeni- C tentia correptus desistit ab illo in quod antea proclivis exstitit, et quod non perrexerit gaudet, et quamvis antea cesserit ejusmodi consilio, tamen non amplius cedit, veluti si quis de præcipitio sese dejecturus, postea mutata mente revertitur et insipientiam in sapientiam permutat.

72. Ita igitur in omni re simili fieri decet. Nimirum si consilium cepimus, vel ex nobis ipsis imprudentibus, vel præceptum malignum sequentes, vel denique dæmoni malorum principi obtemperantes, et ad opus improbitatis macula aspersum accingimur, tum reputare debemus, esse aliquem superiorem, etsi non hominem at saltem Deum, qui, uti bonorum fons, improbitati adversatur, et si quid ejusmodi admiserimus, ulturus est. Ipse enim leges D optimas tulit; ipsius est mundus universus, ipsius omnes mundi principes; ipse præcepit, ut obediamus et morem geramus superioribus qui effigies ejus sunt ac simulacra. Hinc apparet, eorum contumeliam, offensionem, injuriam, contemptum redire ad illum, qui et omnem malitiam, et in primis perseverantiam in ea odio habet.

73. Inter omnes enim constat, fiduciam perversam esse pessimis quibusque accensendam, siquidem affectio est animi, quæ nonnisi difficulter, interdum autem nullo modo supprimi potest. Cæterum homines solertes rationique obedire et obsequi scientes illam malam affectionem sine dubio exuere

possunt : neque enim a natura eis indita est, sed per malam doctrinam et consuetudinem incrementa capit et stabilitur, vel potius, ut manifestius loquar, per confidentiam perversam quæ et ipsa duplex est. Etenim aut a semetipso quis talem nanciscitur confidentiam, dum scilicet magno cum labore sese erudit instruitque et sic male fiducia impletur, aut aliunde principia sumit, malaque persuasione seductus consuetudini quam semel amplexus est, pertinaciter inhærescit. Nisi enim quis nimio rei alicujus amore teneatur, vix ei inhærebit, sed potius facile ea relicta ad aliam transibit. Illa igitur animi affectio non ad hominem vulgarem pertinet, sed ascititium manifesto quid est et per doctrinam superinductum, siquidem vel ab alio quopiam in illa mala affectione confirmatus est, vel eam sua sponte admisit, eique contumaciter addictus in dies ardentiori studio incubuit, non sine mali genii auxilio, et sic, improba consuetudine male inflatus est.

74. Est autem fiducia omnino animi perseverantia a mala confidentia originem nacta, et perduratio firma et constans, id est immutabilis. Propterea homo sic affectus jure meritoque appellabitur tenax propositi et perseverans et inexorabilis, non tam secundum naturam simpliciter, quam secundum propriam voluntatem animique propensionem, cujus potestatem ipse habet. Etsi enim naturæ indoles mutari nequit, attamen quæ post naturam sunt, immutantur, et imprimis dotes humanæ proprie dictæ facilius mutari queunt, præsertim ubi ad virtutem vergunt, quam Deus ipse adjuvat, ab improbitate nos abducens, uti etiam in fiducia appareat.

75. Si enim hoc quod videtur et quod hominem ad agendum impellit ac persuadet, naturæ humanæ contrarium est flectique nescium, imo nimium quantum indurat. Talis affectus non est nisi merum arbitrium et habitus singularis eum qui, veluti sapiens, tanta cum pertinacia in malo persistit, ostentationis macula aspergens. Porro ejusmodi affectus in singularitatis studium, vanam, ostentationem superbiamque degenerat. Jam vero reputare debemus, Dominum qui superbis resistit, nequaquam favere tali velle confidentiæ a qua Lucifer exorsus est, utpote qui, superbia ac vanitate seductus, cum alia magna efficere, tum thronum suum in nubibus collocare et sic Deo similis fieri jactavit.

76. Qui cum tali fiducia inniteretur, veteres ejus asseclæ, exemplum illius secuti, vix dici potest, quanto studio eum imitari contenderint: divinam enim essentiam postponentes, imbecillis atque obscuris male sese tradiderunt dominis, eoque furoris usque processere, ut pessima confidentia duce quam nullus præceptor corrigere posset, adinstar diaboli illudere Deo viderentur. Cum enim Deum, qui est principium summum simulque principii expers et omni principio excel-

A ἀγαθὴν ἰδιότητα, ὅτι μηδὲ ἐκ φύσεως αὐτοῖς αὐξάνεται τὸ τοιοῦτον, ἀλλὰ διὰ οὐκ εὐπαιδεύτου συνεθισμοῦ καὶ φύεται καὶ ἀδρύνεται, σαφέστερον δὲ εἰπεῖν, διὰ φαύλης πειθοῦς, διπλῆς καὶ ταύτης. Ἢ γὰρ οἰκοθεν πείθεταί τις, μοχθηρὸν αὐτὸς ἑαυτὸν διδάξας καὶ παιδεύσας καὶ στήσας πεισματικὸν κακῶς εἶναι, ἢ ἑτέρωθεν παραλαχὼν ἀρχὰς, καὶ πειθανάγκῃ τῇ ἐκεῖθεν παρελκυσθεὶς, καὶ οὕτω διαμείνας κακῆς ἐπιμονῆς λόγῳ, φιλτάτης αὐτῷ. Οὐ γὰρ ἄν τις, μὴ ὑπερφιλῶν πρᾶγμα, παραμενεῖ ἐς αὐτό· ἀλλὰ ταχὺ ἐκπηδήσας ἀπαλλαγήσεται. Οὐ τοίνυν ἰδιότου [*al.* ἰδιότης] ἀνθρώπου τὸ τοιοῦτον πάθος ἐστὶν, ἀλλὰ ἐπίκτητον εἶναι καὶ διδακτὸν ἔγνωσται, ἤτοι πεισθέντος τινὸς ποθεν ἔξωθεν, ἢ αὐτομαθῶς παθόντος τὴν κακίαν, καὶ μένοντος τοιούτου, καὶ ἐπαυξομένου καὶ στερεουμένου εἰς διηνεκὲς δαιμονίᾳ συναντιλήψει, καὶ κατὰ ἔθος εἰς δευτέραν οἷον φύσιν ἀπηβεβηκὸς γεγενημένου πεισματικοῦ.

B οδ'. Καὶ ἔστι τὸ πεῖσμα ἐν τῷ καθόλου ἤθους ἐπιμονὴ διὰ προϋπαρξάσης φαύλης πειθοῦς, καὶ ἔνστασις ἀτενὴς καὶ ἀμετάβατος, ταυτὸν δ' εἰπεῖν, ἀμετάθετος· διὸ καὶ ἰσχυρογνώμων λέγοιτ' ἂν ἀκριβῶς ὁ τοῦτο πάσχων ἄνθρωπος, καὶ ἐνστάτης ἀπαραίτητος, οὐ μέντοι κατὰ φύσιν ἀκράτως καὶ καταμόνας, ὡς οὕτως εἰπεῖν, ἀλλὰ κατὰ οἰκεῖον θέλημα καὶ ψυχικὴν ὁρμὴν, ἧς αὐτός ἐστι κύριος. Εἰ γὰρ καὶ τὸ κατὰ φύσιν μεταθέσθαι οὐκ ἔστιν, ἀλλὰ τὰ μετὰ φύσιν, καὶ μάλιστά τε τὰ κατ' ἄνθρωπον ῥᾷον δύναται μετατίθεσθαι, καὶ ἐπιμᾶλλον τὰ εἰς ἀρετὴν ῥέποντα, ἧς πρὸς ἐξόρθωσιν αὐτὸς ὁ Θεὸς ἀντιλαμβάνεται, ἀπάγων ἡμᾶς τῆς εἰς τὸ ἐναντίον σπουδῆς, ὁποία τις καὶ ἐπὶ τοῦ πείσματος φαίνεται.

C οε'. Εἰ μὲν γὰρ τὸ δόξαν καὶ ὑποκινῆσαν καὶ παραπεῖσαν εἰς πρᾶξιν τὸν ἄνθρωπον ἀπάνθρωπόν ἐστι, καὶ εἰς οὐδὲν μαλθακὸν ἐνδίδωσιν, ἀλλὰ σκληρύνεται εἰς ὅσον καὶ ὅσον· ἰδιονομία πάντως ἡ τοιαύτη ἐστὶν ὄρεξις καὶ αὐτονομία καὶ θέσις παράδοξος ἐπὶ φανητιασμῷ τοῦ τηροῦντος ταύτην ἀμεταπείστου τὴν κακίαν σοφοῦ. Τάσσεται δὲ τὸ τοιοῦτον πάθος καὶ εἰς ἰδιοτροπίαν καὶ δόξαν κενὴν, οἷς καὶ τὸ ὑπερήφανον συναναφαίνεται. Καὶ αὐτίκα χρὴ νοεῖν ἡμᾶς, ὅτι ἐναντίος ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος κύριος ἔρχεται τῷ τοιούτῳ πείσματι, οὗ κατῆρξεν ὁ Ἑωσφόρος, ὃς ὑπερφαίνεσθαι φιλονεικήσας, ἄλλα τε δεινὰ ἐβρόντησε ποιῆσαι, καὶ τὸν αὐτοῦ θρόνον ἐφρυάξατο ἐν νεφέλαις καταστῆσαι, καὶ οὕτως ὅμοιος ἔσεσθαι τῷ Θεῷ.

D ος'. Ἐκείνου δὲ οὕτω πείσαντος ἑαυτὸν, λαβόντες ἐκεῖθεν ἀρχὰς οἱ ἔκπαλαι δαιμονιώδεις, οὐκ ἔστιν εἰπεῖν, ὁπόσα πρὸς μίμησιν ἐτεχνάσαντο, τὴν μὲν ἔνθεον ὑπεροχὴν παρωσάμενοι, βεβήλοις δὲ καὶ ἀδοκίμοις δεσπόταις ἀγεννῶς πιστεύσαντες ἑαυτοὺς, καὶ εἰς τόσον ἐκστάντες ἑαυτῶν διὰ φαυλοτάτης πεισμονῆς, ἧς οὐκ εἶχέ τις διδάσκαλος παραγίνεσθαι, ὡς καὶ μυκτηρίζεσθαι τῆς μιμήσεως. Θεὸν γὰρ ἀπειπάμενοι, τὴν ἄναρχον καὶ ὑπεράρχιον ἀρχὴν καὶ παντοδύναμον, αἰλούροις ἐπέδωκαν ἑαυτοὺς, καὶ βοῖ-

δίοις ἀπίνειμαν σίδας, καὶ τοιαῦτα τινὰ ἐμωραναντο, ἀποσεμνύναντες διδασκαλίας δίχα πεισματικῶς καὶ κυάμους καὶ χρόμυα.

οζ'. Καὶ οὕτω μὲν τοῖς πείθουσιν ἑαυτοὺς εἰς φαυλότητα ὑπερηφάνως ἐξ ἀποτελέσματος, καὶ τοιοῦτον πεῖσμα κατακλωσαμένοις ἀντιφέρεται ὁ Θεὸς, οἷς ἔν τοῦτο καὶ μόνον διὰ σκοποῦ, καταῤῥίψαι ἀδίκως ἄνθρωπον, καὶ ἐμπηδῆσαι πεπτωκότι, καὶ εἰπεῖν· « Κατάκεισο οὕτως ἀνέγερτος » Ἀλλ' ὅτε τινὰ εὑρήσει κυρώσαντα ἐν ἑαυτῷ, οὐ πεῖσμα λέγειν ἐθέλω, ἢ πεισμονικὴν, τὰ ξενόφωνα, πειθοῦς δὲ τύπωμα καλὸν ἐκεῖνο καὶ μακαριστὸν καὶ θεοφιλῶς ἀσφαλὲς καὶ βέβαιον, αὐτίκα πρὸς ἐκείνου γίνεται, καὶ πρὸς ἀρετὴν εὐοδοῖ, καὶ ἀσφαλίζεται τὰ διαβήματα τοῦ τοιούτου ἀνθρώπου, καὶ τὴν ἐν σχοινίοις διατεινομένην παγίδα τοῖς ἐκείνου ποσὶ σχάσας εἰς ἀνενέργητον, κἂν βηματίζῃ, ὀρθὰ ποιεῖ προπορεύεσθαι, κἂν ἐθέλοι τρέχειν, ἐκπέτεσθαι ποιεῖ, ὡς ταχὺ λαμβάνεσθαι τοῦ ἐν ἐφέσει καλοῦ. Κἂν ἑστάναι δεήσοι, οὐκ ἂν οὐδ' αὐτὸς δαίμων ὑποσκελίσοι τὸν τοιοῦτον, ὡς Θεοῦ ἄνθρωπον καὶ πεποιθότα εἰς ἐκεῖνον, καὶ οὕτως ἀνεστηκότα ὡς εἰς ὄρος Σιὼν, καὶ ὡς οἶκον δὲ Θεοῦ τεθεμελιωμένον, καθὰ τὸ ἅγιον Εὐαγγέλιον βούλεται, καὶ οὐκ εἰδότα κατασείεσθαι, ἢ ἀνέμοις, ὡς οἷα καλάμινον, ἢ καταράσσουσι ποταμοῖς, ὡς οἷα ἐπὶ ψάμμου ἢ πέτρας ἀστηρίκτου τεθεμελιωμένον, μετριώτερον δὲ φάναι, καὶ στύλου δίκην ἀνεσταμένον, οὔτε πλαγιάζειν οἷόν τε ὄντος, πολλῷ δὲ μᾶλλον οὐδὲ καταπίπτειν, ἀλλὰ καὶ δυναμένου ἰσχυρῶς ὑπανέχειν τὸ ἐπικείμενον.

οη'. Προκείμενος δὴ ὁ Θεὸς ἅπασι τοῖς ἀνθρώποις εἰς αἰτίαν καὶ ἀρχὴν καὶ παράδειγμα (προσκυνητὰ δὲ ταῦτα ἐν αὐτῷ πάντα), καὶ ἔπεισε, καὶ πείθων οὐ διαλείπει τοὺς εἰς αὐτὸν ἀποβλέποντας, στερεοὺς εἶναι καὶ βεβαίους κατὰ τῆς κακίας, καὶ ἀμεταβάτους τοῦ ἀγαθοπραγεῖν, καὶ οἵους ἄλλα τε ποιεῖν εὐαγγελικῶς, καὶ μιμεῖσθαι αὐτὸν εἰς ὅσον δύναμις, καὶ ὁμολογεῖν ἐκεῖνον ἐνώπιον τῶν ἀνθρώπων. Ὁ δέ γε Σατανᾶς, καθότι ἀντικείμενος, τῆς ἀνάπαλιν διαθέσεως καὶ αἴτιος καὶ ἐνστάτης ἐστὶ, κακοπραγεῖν τε πείθων τοὺς αὐτῷ προσανέχοντας, καὶ εἰς τὸ πᾶν γίνεσθαι κατὰ τοῦ Θεοῦ.

A lentius, negarent, felibus sese tradidere, et tauros coluerunt, aliaque similia desipuerunt, ita ut, hominum rusticorum more, vel fabis atque cepis litare haud erubescerent.

77. Iis autem qui tali confidentia inflati ad pravitatem abripiuntur, ea tanquam anchora freti, adversatur Deus, siquidem nihil aliud illis cordi est nisi ut hominem male præcipitent ejusque ruinæ insultantes dicere possint: En misere jaces, nunquam resurges! Ubi vero invenit (Deus) aliquem qui neque confidentia neque arrogantia tumescit, sed fiducia honesta, laudabili, firma, inconcussa secundum Dei voluntatem plenus est, eum protinus adjuvat, in virtutis tramitem deducit, gressus ejusmodi hominis confirmat, laqueos B ac retia ejus pedibus imminentia ad nihilum redigit, et cuntem in recta via conservat, currentem autem tanquam alis donat, ut quam celerrime ad finem bonum pertingat. Si autem standum fuerit, ne ipse quidem diabolus eum supplantabit; est enim homo Dei in eoque fiduciam collocat, ita quasi in monte Sion constitutus sit, et tanquam domus Dei, uti sanctum Evangelium ait, firmis innixa fundamentis, nunquam concutiatur, neque procellis, ut arundo, neque torrentium impetu, uti domus super arena aut in rupe haud solida fundata, sed quæ potius persistat columnæ instar quæ neque inclinari, nedum dejici potest, imo quemvis impetum fortiter arcere ac repellere va-
C let.

78. Deus igitur qui omnibus hominibus et causa exsistit et principium et exemplar (hæc omnia autem in eo sunt adoranda), et hortatus est, et perpetuo hortatur eos qui ad ipsum respiciunt, ut firmi constantesque sint in pugna adversus improbitatem, et perseverantes in virtute, vitaque ad Evangelii normam composita ipsum pro virbus imitentur atque coram hominibus confiteantur. Contra Satanas, utpote adversarius, oppositæ affectionis auctor est instigatorque, eos qui ab ipsius partibus stant impellens, ut malitiam sequantur et in omnibus rebus Deo adversentur.

D

οθ'. Καὶ ἰδοὺ, δύο τούτων ἰδιοτροπιῶν καὶ ἐνστάσεων ἡ μὲν φαύλη τοὺς ποικιλοτρόπως δαιμονιώδεις τῷ βίῳ παρειστήγαγεν, ἡ δὲ δευτέρα τοὺς ἡγιασμένους τῷ Θεῷ παρεστήσατο ἀσκητὰς, τοὺς τῆς ἐρήμου, τοὺς στυλίτας, τοὺς χωστοὺς, τοὺς ἐγκλείστους, τοὺς πολιτικοὺς παιδευτὰς, τοὺς τῶν ψυχῶν ἀτενεῖς θεραπευτὰς, τοὺς τῶν ἐξαγορευομένων ψυχικῶν τραυμάτων ἰατῆρας, οὓς ἀνάγκη καὶ ξυρῷ καὶ καυτῆρι χρῆσθαι, ὅτε παραπέσοι καιρὸς, τοὺς τῶν ἔτι κρυπτομένων ἐρευνητὰς, τοὺς εἴτε ἀτέγκτους, εἴτε διακριτικοὺς τῶν ἀναιδευομένων κολαστὰς, τοὺς ἐπανασώσαντας τοῖς ἠδικημένοις ἅπαν ἅρπαγμα, τοὺς καὶ φιλανθρώπως καὶ ἄλλως δὲ δικαίως ἐλέγχοντας, ἐφ' οἷς ἐνδέχεται, τοὺς ὀνειδίζοντας, ἐφ' οἷς

79. En duo vitæ instituendæ dirigendæque modi. Prior itemque malus eos qui a malo genio inspirantur ad vitæ turbines deducit. Alter eos qui Deo sese consecrarunt, reddit ascetas, eremitas, stylitas, subterraneos, inclusos, doctores publicos, strenuos animarum curatores, vulnerum animæ enuntiatorum medicos, qui quando opportunum videtur cultello et cauterio uti debent; porro eorum quæ adhuc occulta sunt indagatores, improbitatis aut severos aut clementes vindices, eorum qui injuste spoliati sunt defensores, humanos justosque pro tempore coargutores, nec non ubi opus est, reprehensores, ad virtutis studium promovendum monitores, ad probitatem excitandam vituperatores,

ad peccata delenda speculatores, ad vitæ spiritualis incrementa instigatores, et ut uno verbo dicam, animarum quoad vitam et spiritum curatores, et quod summum est, beatos Dei confessores, quos, quia sanctis apostolis, et antiquæ legi, ante omnia autem Deo qui princeps est veritatis testis, et Christo Salvatori fidem habuere atque in sanctissima fide perstitere, servos Dei reddidit ipsorum de illo confessio et testimonium, et mors pro illo tolerata quæ omnium rerum maxime horrenda atque dirissima est.

A χρεών, τοὺς εὐλογοῦντας, ὡς θαρσοποιεῖν τὰ εἰς ἀρετὴν, τοὺς ἐπιπλήττοντας εἰς διόρθωσιν, τοὺς ἐπιτηροῦντας, ὡς ἀνακόπτεσθαι τὰ ἁμαρτητικὰ, τοὺς λογιστεύοντας πνευματικῶς τὰ πρακτέα, τὸ πᾶν ἐπιτόμως εἰπεῖν, τοὺς τῶν ψυχῶν ἐπιμελητὰς, τούς τε κατὰ βίον, καὶ ὅσοι τε ἄλλως τοῦ πνεύματος, τὸ πάντων μεῖζον εἰπεῖν, τοὺς μακαρίως τῷ Θεῷ μαρτυρήσαντας, οὓς πεισθέντας τοῖς ἁγίοις ἀποστόλοις, καὶ πρό γέ αὐτῶν τῇ ἁγίᾳ παλαιᾷ νομοδοσίᾳ. εἰπεῖν δὲ τὸ σεμνότατον, τῷ πρωτομάρτυρι τῆς ἀληθείας τῷ Θεῷ, τῷ σωτῆρι Χριστῷ, καὶ ἐμμείναντας τῇ ἁγιωτάτῃ πειθοῖ ᾠκειώσατο εἰς θεράποντας τῷ Θεῷ ἡ ὑπὲρ ἐκείνου ὁμολογία, καὶ μαρτυρία, καὶ ὁ δι' ἐκεῖνον θάνατος, τὸ φρικτότατον ἐν ἀνθρώποις δεινὸν, καὶ τῷ ὄντι ῥίγιστον.

80. Tales si quis imitatur eorumque rectis opinionibus sese addicit et iis pertinaciter adhærens quæ decent facit, principio bono bonum finem adjungens, is primo haud dicatur improbam confidentiam sequi, sed potius rectæ fidei atque tenacitati circa res divinas operam dare : confidentia enim illa plerisque virorum piorum non approbanda, sed infaustum quid esse videbatur. Jam vero etiamsi ponamus, talem affectum iis qui recta fiducia innisi tenaces sunt propositi, convenire, tamen distinguendum erit dicendumque, ne spiritualem quidem qui fiduciam habet, ubique et in omnibus rebus ideo laudari ; sed interdum, imo sæpius de sua tenacitate remittet et de jure suo, quantum fieri potest, cedet, neque solum ad litigandum contendendumque haud erit propensus, sed ne de justis quidem ad extremum usque certare volet.

π'. Τοὺς τοιούτους εἴ τις μιμούμενος καὶ πείθων ἑαυτὸν ἐνίσταιτο ταῖς ὀρθαῖς δόξαις καὶ ὑπολήψεσι, καὶ παραμένων αὐταῖς πράττει τὰ δεόντως καθήκοντα, χρηστὸν τέλος ἐπιτιθεὶς ἀρχαῖς ἀγαθαῖς, πρῶτα μὲν οὐκ ἂν λέγοιτο πεῖσμα φυλάττειν ἢ πεισμονὴν, ὀρθοδοξίαν δὲ καὶ ἐνστατικὴν προσοχὴν ἐπὶ τοῖς τοῦ Θεοῦ· αἱ γὰρ πεισμοναὶ καὶ τὰ πείσματα ἔδοξαν μὴ ἐπ' ἀγαθῷ τεθεῖσθαι τοῖς ἐν ἀγαθῇ μοίρᾳ πλείοσιν, ἀλλὰ δυσώνυμόν τι χρῆμα εἶναι. Εἰ δὲ καὶ ἴσως θῶμεν, προσαρμόττειν αὐτὰ καὶ τοῖς δεόντως πεπεισμένοις καὶ οὕτως ἐνστατικοῖς, ἔχω διελὼν ἐνταῦθα εἰπεῖν, ὡς οὐδὲ ὁ πνευματικὸς πεισματικὸς ἐπαινεῖται πάντοτε καὶ ἐπὶ πᾶσι, τοιοῦτος ὤν· ἀλλ ἔστιν ὅπου καὶ ἐν πολλοῖς μετακινηθήσεται τῆς οἰκείας ἐνστάσεως, καὶ ὑπενδώσει καὶ αὐτοῦ δὴ τοῦ κατ' αὐτὸν δικαίου ὡς οἷόν τε, καὶ χαυνωθήσεται οὐ μόνον τοῦ ἄλλως φιλονεικεῖν, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐπὶ δικαίοις εἰς ἄκρον καὶ ὑπερλίαν μάχεσθαι.

81. Hinc enim, tali bona agendi ratione inita, bellorum induciæ ac fœdera et similes res laudandæ originem traxere. Ille igitur qui sic agit, non amplius dicetur omnino tenax, sed veluti immutatus honestioribus ornabitur nominibus : appellabitur nimirum humanus, pacificus, iræ inimicus, concordiæ amicus, et ut accuratius loquar, moderationis amans. Qui enim de jure quod prius tenaciter defenderat, paululum remittit, ad aliam fiduciam pœnitentiæ commotus, deduci solet, quando virtutem sequens a proposito desistit et a pertinacia contentiosa ad moderationem transit ; siquidem, quemadmodum ille qui, pœnitentia ductus, ab improba et impia confidentia, per aliam fiduciam honestam compulsus, ad meliorem sensum se confert immutatione sive conversione facta, ita etiam qui moderationis studiosus est, ubi ab initio juri suo firmiter inhærere decrevit, deinde tempore opportuno laudabiliter immutatus et ad pacem propensus et uti veteribus sapientibus placitum est, de jure suo aliquantulum relaxat, atque virtutem ostendit ; id est moderationem, uti sapientes eam nuncupavere, et ita concedit adversariis atque iis se subjicit.

πα'. Ἐντεῦθεν γὰρ καλῷ τοιούτῳ μεθοδεύματι αἱ ἀνοχαὶ τῶν πολέμων ἐπινενόηνται, καὶ αἱ σπονδαὶ, καὶ ὅσα καλὰ τοιαῦτα. Καὶ τοίνυν οὕτω ποιῶν ἐκεῖνος οὐκέτι πεισματικὸς ὀνομασθήσεται τὸ σύνολον, ἀλλὰ ὡς οἷον μεταβαφεὶς χρωσθήσεται χρηστοτέραις κλήσεσι, φιλάνθρωπος ἐπονομαζόμενος καὶ ἀφιλόνεικος, καὶ μισῶν μὲν τὸ ἀκράχολον, εὔκολος δὲ μᾶλλον εἶναι προτιθέμενος, εἰπεῖν δὲ ἀκριβῶς, ἐπιεικής. Ὁ γὰρ ἐκ πείσματος ἀτενοῦς δικαίου ὑποκαταβὰς, εἰς ἑτεροίαν πειθὼ ἐπὶ μετανοίᾳ μετέπεσεν ἐπιμηθευσάμενος ἐναρέτως, καὶ ἐκ φιλονείκου ἐνστάσεως μετεληλυθὼς εἰς ἐπιείκειαν· ἐπεί τοι, καθὰ ὁ κατὰ μετάμελον ἐκ πειθοῦς φαύλης καὶ ἁμαρτικῆς διὰ δευτέρας ἐναρέτου πειθοῦς μεταβαλλόμενος εἰς καλλίονα μετέρχεται νοῦν, μετατιθέμενος, εἶτ' οὖν μεταπειθόμενος, οὕτω πως καὶ ὁ ἐπιεικὴς ἑαυτὸν πείσας τὰ πρῶτα τῷ οἰκείῳ δικαίῳ καλῶς ἐνίστασθαι, εἶτα δεόντως μεταβαλὼν ἐν καιρῷ, καὶ, ὡς εἰπεῖν, ἐπιείξας, καὶ καθὰ δοκεῖ τοῖς πάλαι σοφοῖς, καὶ παραθραύσας τῶν τινα δικαιούντων αὐτὸν, ἀρετὴν ἐκφαίνει, τὴν, ὡς οἱ σοφοὶ ὀνομάζειν βούλονται, ἐπιείκειαν· καὶ οὕτως ὑπείκει τασσόμενος ὑπὸ τοῖς ἐνστάταις, καὶ αὐτὸ δὴ τοῦτο ὑποτασσόμενος.

82. His igitur hoc modo et hactenus consideratis (si enim longius protrahere hanc disputationem vellemus, ostentationis inopportunæ crimen incurreremus), quid tandem non subjicimus nos, o Do-

πβ'. Οὕτω δὴ τούτων ἡμῖν τεθεωρημένων καὶ ἐπὶ τοσοῦτον (εἰς πλέον γὰρ ἐπιτεῖναι τὸ τοιοῦτον σκέμμα, φιλοτιμίαν οἰήσεταί τις ἄκαιρον), τί δήποτε οὐχ ὑποτασσόμεθα, ὦ σῶτερ κύριε, ὃ καὶ φθάσας εὐξά-

μην, πειθόμενοι τοῖς διὰ σοῦ διδασκάλοις ἡμῶν, καὶ τὴν τοιαύτην πειθὼ στερεοῦμεν ἐν ἡμῖν αὐτοῖς, καὶ τὰς ἐξ ἐκείνων συμπεραίνομεν ἀρχὰς ἐναρμονίως ὁ[ρ]μῷ ἀληθείας, ἀλλὰ τῷ ἀντικειμένῳ ὑποστρωνύμεθα, πείθοντες ἡμᾶς αὐτοὺς, ἀλλήλοις ἀντιμ ..... φρίσσειν ὅσα καὶ ὅπλοις ἀγχεμάχοις μὲν, ταῖς κακομηχάνοις ἐπιθέσεσι καὶ τ[αῖς ἐπι]β[ού]λ[οις ἐπ]ινοίαις καὶ περινοίαις καὶ πεισμοναῖς, τηλεβόλοις δὲ, ταῖς συκοφαντίαις καὶ ταῖς ἀποστάδην διαβολαῖς, ἐξ ὧν οὐδέν τι καλὸν ἐν ἡμῖν ἐκφανεῖται ποτὲ, ἀλλὰ καὶ ὁ πολιτικὸς καὶ ὁ πνευματικὸς παράδεισος οὐ μόνον ἀπανθήσουσι καὶ ἄκαρποι μενοῦσιν, ἀλλὰ καὶ ἀποφυγέντες εἰς ἐρημίαν ἀποκαταστήσονται, καὶ ὁ καθ' ἡμᾶς δὲ κόσμος καὶ βίος ἄκοσμος ἔσται, καὶ οὐ κατὰ τοὺς ἱστορουμένους δικαίους, τρόπον δὲ ἄλλον ἄδιος;

πγ'. Ἐγὼ δὲ ἐν τούτοις δοκῶ μοι πολλῶν τινων ἀκούειν αἰτιολογούντων εὐλογοφανῶς δῆθεν τὰ κατ' αὐτοὺς, καὶ ὑπολαλούντων, μὴ ἂν ἀγαθὸν εἶναι, μηδὲ πολιτικῶς ἐλευθέριον, τοὺς μὲν μείζονας ἐν ἀνθρώποις εἶναι, τοὺς δὲ ὑπάγεσθαι εἰς ἐλάττωσιν καὶ ὑπόπτωσιν, καὶ ταῦτα, ἔνθα ἡ φιλία ἰσότης εἶναι νομίζεται, καὶ ἰσοπολιτεία νενόμισται, καὶ κοινωνία πραγματεύεται. Νοοῦντες, οἶμαι, οἱ τοιοῦτοι, ἀνισότητα φαύλην ἐμφαίνεσθαι τοῖς διδασκομένοις πρὸς τοὺς διδάσκοντας, καὶ τοῖς ποιμαινομένοις πρὸς τοὺς ποιμένοντας, καὶ τοῖς ὑπάρχοις πρὸς τοὺς ἐξάρχοντας, καὶ δι' αὐτὸ φευκτέαν εἶναι τὴν ὑποταγὴν τοῖς ἐπανατρουμένοις ἐλευθέραν ζωὴν — λανθάνονται δὲ ἄρα οἱ οὕτω γνωματεύοντες, ὅτι καθυπάγουσιν ἑαυτοὺς, πατέρες μὲν ὄντες, τοῖς τέκνοις, δεσπόται δὲ, τοῖς δούλοις, νηπίοις δὲ, εἰ τῷ μακρῷ χρόνῳ εἰς γῆρας ἐλάσουσιν. Ἐῶ τὰς γυναῖκας, αἷς αὐτοὶ, τεταγμένοι κεφαλαὶ εἶναι, εἰς πόδας ὑποκείσονται κατὰ τὴν σφῶν αὐτῶν γνώμην, δι' ἧς τὸ ἐν ἀνθρώποις ὑπερέχον κολούεται.

πδ'. Εἰ γὰρ καὶ ἐν τοῖς εἰρημένοις ἀνισότης ἐκπέφανται ἀναμφίλεκτος, τί μὴ, του αὐτοῦ τόπου, καὶ ἔργου καὶ ἀξιώματος πάντες γινόμενοι, διδάσκοντες μὲν πατρικῶς οἱ γεννησάμενοι, καὶ ῥυθμίζοντες τὰ τέκνα εἰς ἦθος, ἐν καιρῷ δὲ καὶ ἐπιπλήττοντες καὶ πλήττοντες, ἀντιδιδάσκονται καὶ ἀντιπλήττονται καὶ ἀντιγεννῶνται, καὶ εἰς ἀγωγὴν ἐπανέρχονται νηπιώδη; Οἷς δὲ οἰκοδεσποτεῖν δίδοται, διὰ τί μὴ καὶ αὐτοὶ τοῖς δούλοις ὑποβιβάζούσιν ἑαυτοὺς ἐν μέρει, καὶ οὕτως ἀνισάζουσι τὸ τῆς τύχης ἑτεροῤῥεπές; Τί μὴ καὶ οἱ τῷ γήρᾳ πρέσβιστοι ἐπαναστρέφουσιν εἰς παιδία, οὐχ ὡς κληρονομῆσαι βασιλείαν οὐρανῶν, ἀλλὰ ἐκκεῖσθαι ἀθύρμασι, καὶ παίζειν καὶ παίζεσθαι; Οὕτω δὲ ἂν καὶ γυναῖκες διὰ τὴν τοιαύτην ἐξίσωσιν ἀντιτιθήσονται τοῖς ὁμοζύγοις καὶ δεσπόζουσιν αὐτῶν, καὶ τὸν ἀποστολικὸν ἅγιον κανόνα λύσουσι, καὶ ἄναλλα τρόπῳ τοιῷδε τὰ πάντα γενήσονται. Ἵνα γὰρ καὶ ἀποκληρώσομεν, ἄλλως μὲν τὰς καὶ φυσικὰς καὶ πνευματικὰς ἀρχὰς καταλύεσθαι, τὰ; ὁπωσδήποτε ἄλλοθι, τὰ δὲ οἰκειακὰ μόνα εὖ καθεστάναι, τὰ εἰς προταγὴν καὶ ὑποταγήν;

A mine Salvator, quod jam prius desideravi, doctoribus a te constitutis, et ejusmodi fiduciam in nobis constabilimus, et fundamentis ab illis jactis insistimus secundum veritatis impetum, sed potius adversario succumbimus, nobis ipsis fidentes, nos invicem debellantes. .. horrere quantum et armis ad cominus pugnandum aptis, insidiis malignis, consiliis perniciosis, suspicionibus et confidentiis, et armis ad eminus certandum idoneis, conviciis et calumniis, ex quibus nunquam boni quid in nos redundabit, sed et mundanus et spiritualis paradisus non solum floribus et fructibus carebunt, sed etiam emarcescent et in desertum commutabuntur, nec non terra nostra et vita omni decore erit destituta, nullo modo similis vitæ jB storum qui scriptis feruntur, sed vitæ ne nomine quidem digna?

83. Jam vero hic eorum qui penitius res indagant haud paucos speciose, ut ipsi autumant, mihi obloquentes audio atque dicentes, neque bonum neque civitate libera dignum esse, ut nonnulli inter homines sint superiores, alii autem minores et subditi, idque eo minus, siquidem charitas existimatur æqualitas esse, et paritas civium legibus promulgata est, et omnes unam communionem constituunt. Illi, opinor, existimant inæqualitatem quæ inter doctores et discipulos, inter greges et pastores, inter subditos et regnantes intercedit, malum quid esse et propterea ab omnibus qui ad liberam vitam adspirant, subjectionem respui debere: at C qui ita statuunt, non animadvertunt, se submittere semet ipsos, cum parentes sunt, filiis, cum domini, servis, cum ad grandævam senectutem pervenerint, infantibus. Mitto feminas quibus ipsi, licet domini earum constituti, ad pedes provolvuntur quando illis libuerit, ita ut illud quo viri antecellere debent, penitus intervertatur.

84. Et si in dictis inæqualitas manifesto apparet cur non, cum omnes eo lem in loco et opere et honore exsistant, patres qui filios instituunt et ad mores honestos componunt, nec non in tempore vituperiis et verberibus castigant, et ipsi vicissim edocentur et castigantur et generantur, et ad vitam puerilem redeunt? Qui autem patres familias constituti sunt, cur non et ipsi servis sese subdunt interdum, et sic fortunæ imparitatem exæquant? Quid denique illi qui ad decrepitam devenere senectutem, ejusdem æqualitatis causa, non revertuntur ad infantiam, haud sane ut regni cœlorum hæredes fiant, sed ut ludicris delectentur, et ludant et ludibrio habeantur? Ita etiam mulieres, ejusdem paritatis gratia, conjugibus qui earum domini sunt adæquabuntur, et sanctum Apostoli canonem irritum reddent, atque hoc modo omnia intervertentur. Quomodo enim fieri poterit, ut principiis naturalibus et spiritualibus, quæcunque demum sint, dissolutis atque contemptis, ea quæ ad regnantes et subditos spectant, bene apud nos habeant?

85. Væ regionibus et oppidis et vicis et agris, jam vero etiam desertis, quæ multi qui vitam secundum Deum vivunt, et dilexerunt et diligunt, et in habitationem Naziræis dignam transformarunt, ubi neque invenitur, neque cooptatur aut diligitur, imo ne quæritur quidem firmiterque constituitur superior secundum Spiritum sanctum, legem rectam usumque laudabilem et naturæ convenientem, et inferior qui ei subsit, ex quibus ambobus pulchra, rationabilis laudandaque conficitur paritas, secundum quam, ubi res administrantur juxta divinam voluntatem, multi discipuli doctoribus perfectiores, servi probi dominis excellentiores, infantes, secundum divinam revelationem et benignitatem, senibus prudentiores fiunt, et mulieres Dei gratia ac sapientia illustratæ animum virilem exhibent.

86. O artes litteræque, quidni et vos invicem invidetis, et de præeminentia jactatis, atque æmulatione improba dissidetis? O missum corpus magnum, secundum veterem opinionem, descende aliquando, et quæ tibi subdita sunt, in cœlitum numero recenseri permitte. O membra particulæque hominibus propriæ, quidni insurgitis contra pulchrum caput, vestrum veluti cœlum? Cur vobis tolerabile videtur, ut membrorum compagi superimpositus sit globulus foraminosus, maximam partem ex ossibus compositus et carne propemodum destitutus? Cur vestrum unumquodque laborat ac luctatur, præsertim vero pectus, dum caput in alto positum omnis laboris expers eminet, et tyranni instar superciliose luxuriatur et cætera membra veluti humilia despicit? O vos qui nobis dogmata recta præceptaque divina tradidistis, apostoli et cæteri verbi cœlestis præcones, cur tandem animum ad vos advertere jubetis, nec legibus vestris ac doctrinis adversari sinitis? Nonne universi nos quemadmodum vos quoque homines e luto conflicti sumus?

87. Hæc omnia, quæ talibus dictis factisque comprehenduntur, quonam tendant, nonnisi qui crasso ingenio laborat et res penitius perspicere nequit, facile ignoraverit. Apparet enim, eum qui non intimo corde apostolorum Patrumque doctrinæ addictus, sed ab ea alienus est, haud multum abesse a contemnendis rebus divinis, cum tamen inter omnes constet, a Deo sicut omne bonum ita etiam sanctissima Evangelia tradita esse, et doctrinam apostolorum cæterorumque divinorum præconum et interpretum ad nos pervenire. Quapropter etiam, qui illis adhæret atque per eos in altum ascendit aliosque secum extollit, Dei est homo, morigeros sibi reddens similes, et ita Deum ipsum colens, ad quem omnia ab hominibus bene gesta redeunt quoniam et gratia bonum faciendi illinc descendit. Qui autem reluctatur, et auribus obturatis omne studium in eo collocat, ut resistat atque refractetur, is magistrum a quo ad virtutem sequendam incitatur, coronat quidem, ipse vero

πε'. Οὐαὶ χώραις καὶ πόλεσι καὶ κώμαις καὶ ἀγροῖς, ἤδη δὲ καὶ ἐρήμοις, ἃς πολλοὶ τῶν κατὰ Θεὸν ζώντων ἠγάπησαν καὶ ἀγαπῶσι, καὶ εἰς οἰκισμὸν μετεβάλοντο Ναζιραίοις πρέποντα, ἔνθα μὴ εὑρίσκεται καὶ ἐπιλέγεται καὶ στέργεται, ναὶ δὲ καὶ ζητεῖται καὶ τάσσεται στερεῶς ὁ μέν τις μείζων κατὰ Πνεῦμα ἅγιον καὶ νόμον ὀρθὸν καὶ ἔθος εὐθὺ καὶ φύσει παριδεδομένον, ὁ δὲ ὑπ' ἐκεῖνον, οἷα ἐλάττων· ἐξ ὧν ἀμφοτέρων ἡ καλὴ καὶ ἐν ἰσότητι σοφὴ καὶ ἐπαινετὴ γεωμετρεῖται ἰσότης, καθ' ἣν ἐναλλὰξ τῶν πραγμάτων διοικονομουμένων ἀλλόγως θείθεν καὶ μαθηταὶ πολλοὶ κρείττονες διδασκάλων ἐν ἀποτελέσματι γίνονται, καὶ δοῦλοι δὲ ἀγαθοὶ ὑπέρτεροι δεσποτῶν μὴ τοιούτων, καὶ νήπια ὑπερφερῆ γερόντων ἐκ θείας ἀποκαλύψεως καὶ δυναμώσεως, καὶ γυναῖκες ἀνδρίζονται σοφίᾳ θείᾳ καὶ χάριτι.

πς'. Ὦ τέχναι καὶ ἐπιστῆμαι, τί μὴ διὰ φθόνου καὶ ὑμεῖς ἀλλήλαις ἔρχεσθε, οἷς θεωροῦνται ὑπεροχαί, καὶ ἐν ὑμῖν τὸ ἐπίφθονον ἐν τοῖς καθ' ἡμᾶς; Ὦ πεμπτὸν μέγα σῶμα, τὸ κατὰ παλαιὰν δόξαν, ὑποκατάβηθι χρόνῳ ποτὲ, καὶ παραχώρησον οὐρανωθῆναι τὰ ὑπὸ σέ. Ὦ μέλη καὶ μέρη τὰ ἐν ἀνθρώποις, τί μὴ κατεξανίστασθε τῆς καλῆς κεφαλῆς, τοῦ ἐν ἡμῖν οὐρανοῦ, ἀλλὰ ἀνεκτὸν ὑμῖν δοκεῖ, ὁλομελείας τοιαύτης ὑπερκεῖσθαι σφαιρίον πολύτρητον, οὗ τὸ πλεῖον ὀστῶδες καὶ οὐδὲ πλουτοῦν σαρκὸς περιουσιασμόν; Διὰ τί δὲ ὑμῶν μὲν ἕκαστον μοχθεῖ καὶ μᾶλλον τὰ μετὰ τὸν θώρακα, τὸ δὲ τῆς κεφαλῆς ἔξαρμα μόχθου παντὸς ἀπείρατον ὑπερκάθηται, καὶ ὡς οἷά τις τύραννος ἐξαπόπτου τρυφᾷ, καὶ ὅσα καὶ πεδινῆς τῆς λοιπῆς διαρτίας ἐθέλει κατατρυφᾶν; Ὦ παραδόται τῶν ἐν ἡμῖν καὶ δογμάτων ὀρθῶν καὶ πραγμάτων θείων, ἀπόστολοι καὶ λοιποὶ θεοκήρυκες, τί δήποτε κελεύετε ἡμᾶς ἔχειν τοὺς λογισμοὺς πρὸς ὑμᾶς, καὶ μὴ ἀφίετε ἀντινομοθετεῖν καὶ ἀντιγνωματεύειν; Ἦ γὰρ οὐχὶ καὶ ἡμεῖς πάντες ἐπίσης ὑμῖν καὶ ὁμοίως ἀπὸ γῆς ἄνθρωποι πεπλάσμεθα;

πζ'. Ταῦτα δὲ πάντα, καὶ ὅσοι τοιοῦτοι λόγοι καὶ ἠθικοὶ τρόποι, ποῦ ποτὲ ἀνατείνονται, παχὺς ἂν εἴη καὶ μὴ βάπτων εἰς νοῦν βαθὺν καὶ ὀρθὸν ὁ ἀγνοῶν. Δῆλον γὰρ, ὡς ὁ μὴ ἐνδιαθέτως προσποιούμενος, καὶ οὕτω φιλῆδῶν τοῖς ἀποστολικοῖς καὶ πατερικοῖς, ἀλλ' ἀποπροσποιούμενος, ἐγγὺς ἥκει περιφρονεῖν καὶ τὰ ἐξ αὐτοῦ Θεοῦ, ἐξ οὗ ὡμολόγηται, ὥσπερ πᾶν ἀγαθὸν, οὕτω καὶ τὰ τῶν ἁγιωτάτων εὐαγγελίων παραδεδόσθαι, καὶ τὰ τῶν θείων δὲ ἀποστόλων καὶ λοιπῶν θεοκηρύκων καὶ διερμηνευτῶν καθήκειν εἰς ἡμᾶς. Διὸ καὶ ὁ μὲν αὐτὸς οἰκειούμενος, καὶ δι' αὐτῶν εἰς ῥίον εὐθυνόμενος, καὶ ἑτέρους δὲ ἀπευθύνων, τοῦ Θεοῦ ἐστιν ἄνθρωπος, ὁμοίους αὐτῷ ποιῶν τοὺς ὑπακούοντας, καὶ οὕτω θεραπεύων τὸν Θεὸν αὐτὸν, εἰς ὃν ἀναβαίνει ἀγαθουργία πᾶσα ἡ ἐν ἀνθρώποις, καθότι καὶ ἡ χάρις τοῦ πράττειν τὸ ἀγαθὸν ἐκεῖθεν καταβέβηκεν. Ὁ δέ γε ἀποδυσπετῶν, καὶ τὰς μὲν ἀκοὰς ἀποκλείων, τοὺς δὲ πόδας καὶ τὰς χεῖρας εὐθετίζων εἰς τὸ ἀντιβαίνειν καὶ ἀντιπράττειν, τὸν μὲν διδάσκοντα καὶ κη-

ρύττοντα τὸ καλὸν καὶ εἰς αὐτὸ προκαλούμενον στεφανοῖ· αὐτὸς δὲ τοῦ οὐρανίου πατρὸς ἀποστὰς τῇ ἀπωλείᾳ τίθεται εἰς υἱόν.

πη'. Καὶ, κύριε, βοήθει, μήποτε, ὅτε μετέρχῃ τὸν ἐν πολιτείᾳ τοιοῦτον ἄνθρωπον, συναπολεσθεῖεν καὶ ἕτεροι, οὐδὲν ἴσως αἴτιοι· ἀλλὰ τοῦτο μὲν οὐκ ἄν ποτε ποιήσῃς ὁ ἀγαθὸς, οὗ τῆς δικαιοσύνης καὶ ἅμα ἐλεημοσύνης οὐκ ἔστιν ἀπαρίθμησις, ὅτι μηδὲ μάρπτειν ἐξείης ἐθέλεις, ὅς τε αἴτιος, ὅς τε καὶ οὐχί, κατὰ τὸν οὕτω φάμενον· ἀλλὰ πάντα μὲν ἀγαθὸν ἄνθρωπον φυλάττων, τοὺς δὲ μὴ τοιούτους φιλανθρώπως καὶ ἐπιεικῶς διοικονομούμενος καὶ κηδόμενος καὶ ἀνεχόμενος, κατακεράσεις διακρίσει τὴν κρίσιν, καὶ καταμελιτώσεις οὕτω τὴν πικρίαν τῆς καταδίκης, ὃ δὴ πάντοτε ποιεῖς, μερίζων τοῖς μὲν εὐεργεσίας, τοῖς δὲ εὐσπλαγχνίας, καὶ ἱλαρότητας, καὶ συμμετρίας ἐπεξελεύσεων πραγματευόμενος, καὶ οὐδέποτε θέλων ἀνθρώπου κάκωσιν, μόνον δὲ μισῶν τὸ κατὰ δαίμονα, τὸν ἀρχέκακον ἀνεπίστροφον.

πθ'. Κεφαλαιωτέον μοι τὸν λόγον, ὦ ἀδελφοὶ, καὶ συσταλτέον εὐροοῦντα εἰς πλείω διατριβὴν, καὶ δηλωτέον οὐ πρὸς ἀναφώνησιν ψιλὴν, ἀλλ' αὐτὴν ἀλήθειαν, ὡς, εἰ μὴ καὶ τοῦ πάλαι ποτὲ ἀνέκαθεν ἀπολύτου κατὰ ἄνεσιν βίου ἀπανθίσομεν τὰ κάλλιστα ἐπὶ συστάσει βίου τοῦ καθ' ἡμᾶς, καὶ τοῦ δευτέρου τοῦ κατὰ τὴν ἁγίαν παλαιὰν ἐπιλεξόμεθα, ὅσα τε ὅμοια, καὶ ὁπόσα πρὸς ἰσότητα συντρέχει, μάλιστα δὲ τοῦ ἁγιωτάτου τρίτου τὴν καὶ τελειοτάτην καὶ τελεστικὴν εἰσοικισόμεθα χάριν, οὐ συλλεξάμενοι, ὡς ἐν ἐπελεύσει, δίκην ἐράνου, ἀλλὰ εἰσδεξάμενοι, ὡς ὁ τῶν πατέρων πατὴρ καὶ πρωτοδιδάσκαλος παραγγέλλει, μετὰ διακρίσεως αὐτῷ τε πρεπούσης καὶ ἡμᾶς βελτιούσης, καὶ οὕτω σκευασόμεθα πάντοθεν, καὶ συνεπιλαμβανομένης τῆς ἁγιωτάτης Τριάδος ἀποθώμεθα ἐν τῇ καρδίᾳ τὰ σωτήρια, τὰ μὲν αὐτοὶ φιλοπόνως ἀναλεγόμενοι, τὰ δὲ καὶ ὑπαγορευόντων ἀγαθῶν διδασκάλων ἐκδεχόμενοι, δακτύλῳ Θεοῦ γεγραμμένα, καὶ οὕτως ἀπονητὶ παραδεδομένα ἡμῖν, οἰχησόμεθα, ὡς οὐ θέλομεν. Ἰδοὺ, εἴπομεν ὑμῖν, ἀκούοντος καὶ τοῦ ἐπὶ πάντων καὶ πάντα εἰδότος καὶ δυναμένου Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A quia a Patre cœlesti desciscit, inter filios perditionis collocatur.

88. Fac, Domine, ne quando talem hominem castigas, alii simul pereant, qui fortasse insontes sunt : at vero tu nunquam hoc facies qui bonus es, cujus justitia atque misericordia infinita est, quare non eodem modo sontem percuties et insontem, si quis insons dici potest, sed omnem hominem bonum servabis, qui vero malitiæ sunt addicti, humane mansueteque tractabis, curabis, tolerabis, in judicio faciendo dijudicabis, atque ita damnationis amaritudinem temperabis, quod semper facis, his quidem beneficia, illis misericordiam condonans atque benevolentiam et B hilaritatem, in pœnis autem infligendis mansuetum te præbens neque unquam hominis perditionem cupiens, sed solummodo dæmonem pravitatis auctorem tenacissimum odio habens.

89. Jam vero, o fratres, orationis cursus ne ultra modum discurrat, restringendus est cohibendusque. Quod autem jam dicam, non mera verba sunt, sed veritas absoluta. Nisi, ad modum priscæ vitæ omnibus numeris absolutæ, pulcherrimos edimus fructus in hac vita, neque secundam quæ in sacro veteri Testamento describitur et quæ similia sunt, sequimur, neque sanctissimæ tertiæ gratiam perfectam et perficientem adipiscimur, non colligentes, ut in transitu, stipis instar, sed recipientes, quemC admodum Pater patrum et summus præceptor jubet, cum judicio ipsi conveniente, atque nos meliores reddente, et Trinitate sanctissima adjuvante in corde reponimus salutaria, quæ partim ipsi studiose conquirimus, partim a bonis magistris edocemur, digito Dei conscripta et ita sine labore nobis tradita, decedemus quomodo nolucrimus. Ecce, diximus vobis, et audivit omniscius et omnipotens Deus, cui gloria in sæcula sæculorum. Amen.

ΤΟΥ ΑΥΤΟΥ ΕΤΙ ΕΝ ΔΙΑΚΟΝΟΙΣ ΟΝΤΟΣ

ΠΡΟΛΟΓΟΣ

ΤΩΝ ΠΙΝΔΑΡΙΚΩΝ ΠΑΡΕΚΒΟΛΩΝ.

α'. Ἅπαντι μὲν ποιητῇ μέμηλε τοῦ ᾄδειν, ὡς οἱ τε πρὸ Ὁμήρου ἱστοροῦνται ποιεῖν διὰ μουσῶν μέσων, καὶ εἴ τι κατ' ἐκείνας ἄλλο δαιμόνιον φῦλον πρὸς μέλος ἁρμόττεται. Καὶ αὐτὸς δὲ ὁ κορυφαῖος ἐν ἐκείνοις Ὅμηρος καὶ τὸ τοιοῦτον ᾄδειν, εἴτ' οὖν ὁ μεμελισμένος λόγος, ὃ δὴ καὶ ᾠδῆς ἐστιν ὅρος, παρήγαγεν, ὡς οἷα καί τις πρωτοτυπία, τοὺς ραψῳδούς, τοὺς στιχῳδούς, τοὺς ἀρνῳδούς, τοὺς κιθαρῳδούς, καὶ ὅσοι ἕτεροι τοιαύταις ἐναγλαΐζονται κλήσεσιν. Ὅπως δὲ ᾄδοντες ἦσαν ὡς ἕκαστοι, καὶ καθ' οἵας ἁρμονίας, ὧν προεῖχον τέσσαρες αὗται μάλιστα, ἡ κατὰ Ἴωνας, ἡ τῶν Δωριέων, ἡ Αἰολικὴ καὶ ἡ Λυδιστὶ (τὰς γὰρ ἀπ' αὐτῶν μίξεις, καὶ τῆς ἀρχαίας ἐν ἁρμονίαις ὁδοῦ ἀποπλανήσεις, καὶ ὅσαι δὲ ἀπὸ Βαρβάρων ὡς εἰς κληρονομίαν παρενεγράφησαν τοῖς Ἕλλησιν, οὐ πάνυ τι ἐφίλουν οἱ εὐγενεῖς ᾄδειν), θεωροῦσιν ἐν τοῖς παλαιοῖς ἄνδρες πολλοί τε καὶ σοφοί, οὓς εἴ τις αἱροῖτο, ἐπερχέσθω τοῦ ψιλῶς εἰδέναι χάριν· ἐπιστήμην γὰρ ἐκεῖθεν ἀναλαβέσθαι πρὸς ἀκρίβειαν, οὐκ ἄν, οἶμαι, ῥᾴδιον εἴη (ὀκνῶ γὰρ εἰπεῖν, ὡς καὶ ἀδυνάτου ἐγγὺς) τοῖς καὶ αὐτὰ τὰ δάκτυλα πρὸς ἐμμελῆ κίνησιν ἀῤῥύθμοις, καὶ οὐδὲ οἷοις τε οὖσι μουσικῆς κρατῆσαι τέχνης ὡς ἐξ ὑπαρχῆς, εἰ καὶ αὐτοὶ ἀνατεταμένοι, πρὸς ὄγκον ἢ κόμπον, μὴ μόνον κατὰ περιγείους μουσικῆς νόμους, ἀλλὰ καὶ κατὰ οὐρανίαν ἐμμέλειαν ᾄδειν ἂν τερθρεύοιντο, ὁποίαν τινὰ ὁ τὴν σοφίαν αἰθέριος Πυθαγόρας εἰς γῆν ἐκεῖθεν καταγαγεῖν ἐσεμνύνατο, καὶ πρὸς αὐτὴν τὰ πλῆκτρα χειρίζεσθαι. Οὔκουν ἐν τοῖς νῦν ἐπιστήμην ἔστιν ἀναλαβέσθαι παλαιτάτην ᾠδικήν· ταὐτὸν γὰρ ἄρτι ἀνευστοχῆσαι τοῖς παλαιοῖς μεθοδευταῖς τῆς ᾠδῆς, ἔν γε τοῖς κρυφιωδεστέροις, καὶ αὐτόν τινα μελικὴν ἐκ καινῆς γλαφυρὰν ἐπιστήμην ἐξευρεῖν. Τὸ γὰρ ἀτριβὲς καὶ ἐκ μακροῦ ἀδιασάφητον καὶ σεσιγημένον τῶν μεθόδων, ὅθεν. ἡ τέχνη κατέδυ ὡς οἷα καὶ τεθνηκυῖα, εἰς ταὐτὸν ἦγαγεν ἐν τοῖς καθ' ἡμᾶς τό τε ἐξευρεῖν ἀρχαιοπρεπεῖς ᾠδὰς, καὶ τὸ συνιέναι, ὧν ἐπ' αὐταῖς βαθέα τεχνολογοῦσιν οἱ παλαιοί. Ἀλλ' οὕτω μὲν ποιητὴς ἅπας ᾠδικὸς κατὰ μέθοδον, ἣν εἴτε αὐτὸς ἐξευρὼν διωργάνωσεν, εἴτε καὶ ἑτέρωθεν παρειληφὼς ἠκριβώσατο.

β'. Ἡ δὲ λυρικὴ διαχείρισις, ἐν ᾗ προλάμπει ὁ κατὰ τοὺς σεμνολογοῦντας μεγαλοφωνότατος Πίνδαρος, ἐξαίρετόν τινα ἑτεροιότητα ᾠδικὴν ἔχει παρά γε τὰς παλαιὰς, οὐ ποικίλως ἐγκρατίνουσα, καθά τρέχοι ἂν Ὅμηρος καὶ οἱ κατ' αὐτὸν, ἀλλ' ἁδὸν ἁπλουστέραν ἑλομένη τινὰ καὶ ὀλιγοσχιδῆ, καὶ οὐδὲ ὡραΐζομένη πανηγυρικῶς, οἷς ποικιλείμων πρόεισι καὶ τανύπεπλος, ἄλλως δέ πως καινοφανέστερον σφιγκτὸν ἑαυτῇ πέπλον σεμνὸν καὶ οὐδὲ εὐπάρυφον ἐκφανῶς ἐξυφαίνουσά τε καὶ ῥάπτουσα, καὶ οὔτε τὸν αὐτῆς ἀνδρῶνα εἰς πολυκλίνους τόπους εὐρύνουσα, οὐδὲ μὴν, εἴ τις παρ' αὐτῇ σεμνὴ γυναικωνῖτις, εἰς θαλάμους οὐδ' αὐτὴν διιστῶσα, οἳ λίαν προσήκοιεν ἂν προσώποις γυναικικοῖς εἰς κόσμον διαπρεπῶς. Μισθοῦ γάρ τινος οἱ λυρῳδοὶ χοραυλοῦντες, καὶ ἀπολαμβάνοντες πρόσωπα, ἐν οἷς δώρων ἁλίσκονται, λαλοῦσι γλίσχρως μέντοι πρὸς λῆψιν, καὶ τὰς γλώσσας ὡς οἷον ἐκδήσαντες τῶν τοιούτων, πονοῦνται πρὸς αὐτοῖς καὶ μόνοις. Ὅθεν οὐκ ἔχουσι πολυειδῆ θαμὰ τρωπᾶν ῥητορείαν κατὰ τὸν πολύφωνον Ὅμηρον· ἀλλὰ κατὰ μισθωτούς τινας ἑνί τινι προσανέχουσιν ὡς τὰ πολλὰ προσώπῳ, καὶ ὡς πρὸς ὕδωρ αὐτὸ ᾄδοντες ταχὺ ἀπορρέουσι τοῖς μελίσμασι, καὶ τοῦ Ὁμηρικοῦ ὠκεανοῦ μακρὰν μένοντες, ἀγαπητὸν, εἰ καὶ εἰς ἀξιόλογα λιβάδια καταστάζοιεν.

γ'. Αὐχοῦσι δὲ ὅμως καὶ ἐν τοῖς τοιούτοις πολὺ τὸ σεμνὸν, ὅσοι τοῦ κατὰ τὴν τοιαύτην ποίησιν σκοποῦ πρὸς εὐστοχίαν κατατοξάζονται, ὧν ὑπέρκειται Πίνδαρος, πολλὰ μὲν, ὡς γε αὐτὸς ἂν εἴποι, *βέλεα φωνεῦντα ὑπ' ἀγκῶνος φέρων*, οὐδὲν δέ τι τῶν τόσων βελῶν εἰς μάτην ἐπαφιεὶς, βαθὺς τὰς μεθόδους τῶν ῥητορειῶν, πόριμος ἐμπλατύνεσθαί τε καιρίως οἷς φράζει, καὶ αὖθις ἀποστενοῦν, τὸ σῶμα τοῦ λόγου ἰσχαίνων, ὅπου δέον ἐστὶ, καὶ τοῦτο πολυειδῶς, οἷον ποτὲ μὲν παρεκβαίνων, ἔνθα προγόνων ἄλση χώραν αὐτῷ ὑφαπλοῖ, περιτίναι τὰ ἐκεῖσε κατ' ἀρετὴν κάρπιμα, ποτὲ δὲ στενολεσχῶν, ἔνθα ψιλώσιν εὑρίσκοι ἐν τοῖς ἐπαινουμένοις τοῦ ἀνθολογεῖν τὰ χρηστότερα· ποιῶν δέ φασι ταῦτα καὶ ἄλλως, τὸ μὲν μῆκος τοῦ λόγου διὰ βαρεῖαν ὀλκὴν δωρεᾶς (οὐδὲ γὰρ ἐλύριζεν οὐδ' αὐτὸς ἀδώρητα), τὸ δὲ ὀλιγόμηκες διὰ βραχύτητα δόσεως, οἷα συμμετρῶν τοὺς λόγους οἷς ἐλάμβανε, καὶ, ὡς εἰπεῖν, πρὸς χεῖρας δωροφόρους λαλῶν, καὶ αὐταῖς τὸ σῶμα παρεξιστῶν.

δ'. Ἔστι δὲ αὐτοῦ θαυμάζειν ὥσπερ τὰ βραχυλογικὰ, οὕτω καὶ τὰ τοῦ πλατυσμοῦ, καθ' ὃν εὑροῶν

* Translationis Latinæ curam Pindari studiosis relinquimus. Edit.

μὲν ἁπλοῦς, ὅποι ἐγχωρεῖ, πλατὺς ῥέει· δυσπορίστως δὲ ἔχων ἐγκωμιάζειν, ἢ ἐπιτέμνει τὸν ἐπίνικον, σχάσας τὸ γραφεῖον, ὡς οἷα μηδὲ βάπτειν ἔχων αὐτὸ εἰς ἀντίχαριν χρυσοῦ ἢ τινος δωρεᾶς· ἢ ἀλλὰ παρεκβαίνει τὰ πολλὰ εἰς μακρὸν, ὡς εἶναι ἔστιν οὗ τὴν παρέκβασιν, τὸ πάρεργον τοῦ ἔργου τῆς ᾠδῆς, μείζονα, καὶ προκοιλιοῦσθαι τὸ σῶμα τοῦ μέλους τῇ παρεκβάσει δίκην προγάστορος. Καὶ ἔστιν οὐδὲ τοῦτο ἁμάρτημα γραφῆς τῷ Πινδάρῳ, ἀλλὰ τέχνης μέθοδος παρεκβατικὴ, χαρτὰ ποιούσης αὐτῷ, καὶ τὸ τοῦ λόγου ἅρμα ἐλαυνούσης μακροτέραν πρὸς ἔνδειξιν πολυμαθείας τε καὶ ἰσχύος γραφικῆς.

ε'. Διττῆς δὲ οὔσης τῆς παρεκβάσεως, καὶ τῆς μὲν ἀπηρτημένης πάντη καὶ ἀσυμφυοῦς πρὸς τὰ τοῦ νικητοῦ, τῆς δὲ κολλωμένης εἰς τὰ αὐτοῦ καὶ συμβαλλομένης εἰς τὸν τοῦ νικητοῦ ἔπαινον, αὕτη μὲν ὡς μέρος ἐστὶ τῆς ᾠδῆς, ἐκείνη δὲ ἄλλως ἀποσεμνύνει τὸν νικηφόρον, ἀρκούμενον, εἰ τοὔδαφος τῆς Πινδαρικῆς ᾠδῆς συγκατακείμενον καὶ αὐτὸν ἔχει προσώποις ἡρωϊκοῖς, ἢ καὶ ἄλλως, ἐὰν θεῖος καί πως οὕτω σύνναος ὁ νικητὴς ἐν μιᾷ ᾠδῇ γίνοιτο προσώποις μεγάλοις καὶ ὑπὲρ αὐτὸν, καὶ τὰ τῆς τιμῆς συμμερίζοιτο. Λογιστέον δὲ εἰς παρεκβάσεων σύναρσιν καὶ τὰς τῶν φυλῶν ἤτοι φατριῶν μνήμας καὶ τὰς περὶ αὐτῶν ἱστορίας, ἔτι δὲ καὶ τὰς τοπογραφίας, εἴ που καὶ αὗται παραπέσαιεν, καὶ τὰ ἐκ μύθων δὲ καὶ ἱστοριῶν παραδείγματα, δι' ὧν ἡ παρεκβατικὴ μέθοδος τῷ Πινδάρῳ ἐξανύεται.

ς'. Δῆλον δὲ, ὡς καὶ ἀσάφειαν ἐπιτηδεύεται ἐν πολλοῖς· καὶ οὕτω πλουτῶν ἐν τῷ γράφειν, ὅμως καὶ ταυτολογεῖ νόμῳ ῥητορικῷ, ποτὲ μὲν ἐν τοῖς ἐγγιστα, ποτὲ δὲ πορρώτερον.

ζ'. Κατείληπται δὲ ἄριστα γνωμολογῶν, τὰ μὲν καὶ ἐκ παλαιτέρων παραποιῶν, τὰ δὲ καὶ αὐτὸς ἀποφαινόμενος. Φιλοτιμεῖται δὲ καὶ μύθοις καὶ ἱστορίαις, ἐκεῖνο μὲν ποιητικώτερον, τοῦτο δὲ πρὸς ἀλήθειαν, ἧς ἐφίενται οἱ σοφοί.

η'. Καὶ μὴν εἰ καὶ δωρίζει, οὐχ ἧκιστα δὲ καὶ αἰολίζει, ὅμως οὐδὲ τῶν ἄλλων διαλέκτων ἀπέχεται λόγῳ κοινῆς, καθάπερ οὐδὲ γλωσσῶν τῶν ἰδίως. Ποιεῖ δὲ αὐτὸ, μετεωριζόμενος εἰς πολυειδὲς μέγεθος λυρικῷ χαρακτῆρι· διὸ καὶ ἀττικίζων, φιλῶν δὲ καὶ τὴν σαφήνειαν τὴν τῶν Ἑλληνικῶν λαλιῶν, οἷον ψυχὴν, ἵνα μὴ ἄψυχα γράφῃ καὶ πάντη ἀγλευκῆ, ἀνθολογήματος τοιοῦδε γλυκέος ὑποστερῶν τὰ σίμβλα τῆς αὐτοῦ ποιήσεως, ὅμως βραχέα τοῖς τοιούτοις ἐντρέχων, ταχὺ μεταπηδᾷ, διαλέκτοις τε φίλαις αὐτῷ ἰδιάζων τοὺς λόγους, καὶ μὴν καὶ τοὺς κοινοὺς παρεκκλίνων σχηματισμοὺς, οἱ' αὐτὸ δὲ οὐδὲ τῇ γοργοτάτῃ κατακόρως χρώμενος, καὶ μάλιστα τῇ κατὰ κόμματα, καὶ ὅση δὲ περὶ λέξεις γλισχρεύεται.

θ'. Καὶ τὴν σκωπτικὴν δὲ φιλῶν, πολύτροπον καὶ ταύτην διαχειρίζεται γλυκασμοῦ χάριν, πῇ μὲν κατὰ ὁμοτέχνων, πῇ δὲ καὶ ἑτεροίως. Ὡς δὲ καὶ ἐπιχειρηματικός ἐστιν ὁτιμάλιστα καὶ εὔπορος ἐπὶ πᾶν, καὶ ὡς ἀπρόσιτος μὲν καὶ θύρας ἐπιτεθειμένας ἔχων τοῖς ὅ φασι βεβήλοις τὰ εἰς ἀγροικίαν, τοῖς γε μὴν συνετοῖς ἀείδων χαρίεντα, οἳ τὸ λαβυρινθῶδες τῆς ἐν αὐτῷ φράσεως καὶ τοῖς πολλοῖς ἀδιόδευτον ἀπευθύνουσι, καὶ τὰς ἕλικας περιοδεύοντες ἕως καὶ ἐνδοτάτου, εἶτ' αὖθις ἀνελίττουσι, καὶ οἶκοι κατ' ἔμφρονα νοῦν ἀποκαθίστανται· καὶ ὡς ἱλαρύνει μὲν ἀκοὴν, οἷς καὶ ξυνετὰ λαλεῖ καὶ πρὸς γλύκασμα, ἐκπλήττει δ' αὖθις, οἷς καὶ τὴν φράσιν κατὰ πολυτροπίαν στρυφνοῖ ἑτέρωθι, καὶ λέξεις δὲ τὰς ἐκ τριόδων ἀπορρίπτων, παρεμπλέκει που καὶ, ἃς ὁ τὴν ἀρχὴν ἀκούσας πάνυ ἐπαπορεῖ· ἔτι δὲ καὶ ὡς τοῖς ἐπιθέτοις πάνυ ποικίλος ἐστὶ, καὶ ὅσα δὲ ἄλλα πρὸς ἀρετὴν ποιήσεως ἔστιν αὐτῷ ἐπιγράψαι, ἢ τῆς ἀναγνώσεως ἐκκαλύψει διέξοδος· ἧς προληπτέον καὶ ταῦτα πάνυ ἀναγκαίως εἴς τε σαφήνειαν πλείονα τῶν προσεχῶς δεδηλωμένων, καὶ εἰς θεωρίαν ἐντελεστέραν, ἣν οὐκ ἂν ἐρεῖ τις ἀπάδειν πρὸς τὰ τοῦ λυρικοῦ.

ι'. Ὁ προκεχειρισμένος εἰς παρεκβολὴν μελικὸς, οὗ τὸ τῆς μεταλλείας πολύσχημον φαίνεται, πολύνους ὢν ἐφ' ἅπασιν, ἐν μὲν διηγήσεσι καὶ ἑτέραις οὐκ ὀλίγαις ἐννοίαις ἀσαφέστερον διάκειται, καὶ ὡς αὐτός ποὺ φησιν, *ἑρμηνέων ἐς τὸ πᾶν χατίζει. Πᾶν* ἐκεῖνος ἐνταῦθα λέγων, οὐ τὸ ἁπλῶς· *καθόλου*, ἀλλὰ τὸ μεθ' ὑπεξαίρεσιν τῶν *συνετῶν*, ὃ ἐστι *συνιέντων*, ὡς λογιωτέρων, ὧν περιαιρεθέντων τῆς τῶν ἀκροατῶν ὁλότητος, τὸ ἐπίλοιπον, ἀλλὰ καὶ αὐτὸ πᾶν ἐστιν ἀπέριττον μέντοι κατὰ γνῶσιν, καὶ δι' αὐτὸ *ἑρμηνέων χατίζει*. Καὶ οὕτω μὲν ἐν ἄλλοις ὁ Πίνδαρος ἀσαφῶς ἐθέλει γράφειν, ὡς *ἑρμηνέων* δεῖσθαι *εἰς τὸ πᾶν*, καθὰ εἴρηται. Ὅτε δὲ θαυμαστῶς γνωμολογεῖν δεήσει, καὶ ἄλλως δὲ εἰπεῖν τι ἀστεῖον, τότε δὴ βιάζεταί πως εἰς τὰ πολλὰ ἠρέμα πρὸς σαφήνειαν ἑαυτὸν, ὡς ἂν τὸ καλὸν εἴη κάλλιον παρ' αὐτῷ, καὶ μὴ λανθάνοι, ἀσαφείᾳ βαθείᾳ ἐπηλυγαζόμενον, ὅσα καὶ φῶς νέφει τινί.

ια'. Γίνεται δὲ αὐτῷ ἡ ἀσάφεια, ἣν ἐπίτηδες πολλὴν ἐπισύρεται, ἔκ τε σύντάξεων ἀσυνήθων κατ' ἰδιότητα σχήματος φίλην αὐτῷ, ἃς ἀναστρέφειν χρὴ πρὸς ὀρθότητα φράσεως, καὶ ἐκ τοῦ χρῆσθαι ἀντὶ ὅλων τοῖς μερικοῖς. Ὁ ζηλοῖ ὡς μάλιστα καὶ Λυκόφρων ἐν τοῖς ὕστερον. Παραδείγματα τοῦ μὲν Λυκοφρονείου ζήλου ἐν τοῖς ἑξῆς μυρία Πινδαρικὰ φανεῖται, τοῦ δὲ τάσσειν ἀσυνήθως καθ' ὑποταγὴν τῶν ὀφειλόντων προτάττεσθαι, τό· *ἐνίκησαν οἱ*, ἤγουν *οἵτινες ἐνίκησαν*· καὶ τό· *ἔπαθον αἱ μεγάλα*, ἤγουν *αἵτινες ἔπαθον*· καὶ· *καμόντες οἱ πολλὰ*, ἤγουν *οἱ καμόντες*· καὶ· *ἐν καὶ θαλάσσῃ*· καὶ· *ἐν καὶ τελευτᾷ*· καὶ· *τελεῖν μή τινα*· καὶ ὅσα τοιαῦτα.

ιβ'. Ἔτι δὲ ἀσαφὴς αὐτῷ σὺν ἄλλοις καὶ τὸ ἐν στοιβῇ ἀποφάσεων μίαν παραλείπειν, ὡς νοουμένην κατὰ κοινοῦ καὶ αὐτὴν ἐκ τῶν ἑφεξῆς ἐκπεφωνημένων, οἷον· *ἄδικον, οὔτε ὑπέροπλον ὕδριν δρέπων*, ἤγουν· *οὔτε ἄδικον ὕδριν, οὔτε ὑπέροπλον*. Καὶ πάλιν· *ναυσὶ δ', οὔτε πεζὸς ἐὼν εὕροις ἂν ἐς Ὑπερβορέους ἰὼν*, ἤγουν· *οὔτε ναυσὶν, οὔτε πεζῇ ὁδεύσοις ἂν ἐς Ὑπερβορέους*. Καὶ ἑτέρωθι

δὲ· *νόσοι, οὔτε γῆρας οὐλόμενον πέπραται γε-νεᾶ*, ἤγουν· *οὔτε νόσοι, οὔτε γῆρας*. Τοῦτο δὲ τὸ σχῆμα καὶ τοῖς ὕστερον ἐζήλωται, οἷον· *ξίφος, οὐδὲ πῦρ, οὐδ' αἰκισμός*, ἤγουν· *οὐ ξίφος, οὐ πῦρ, οὐκ αἰκίαι*. Τοιοῦτόν τι καὶ τό· *βαρουμένη γαστὴρ οὐ μόνον πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία*. Τὸ γὰρ ἐντελές· *οὐ μόνον οὐ πρὸς δρόμον ἐπιτηδεία*. Ἔχοι δ' ἂν οὕτω συμβιβάσαι τις καὶ τό· *ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅσῳ οὐχὶ τῶν ἁπάντων*. Ἀρνήσεως γὰρ ἔνδειαν τὸ πρῶτον ἔχειν δόξοι ἂν κόμμα, νοουμένης ἀπὸ κοινοῦ ἐκ τῆς κειμένης ἐν τῷ δευτέρῳ. Πινδαρικὸν δὲ καὶ τό· *Διὶ σὺν Αἰακῷ*, ἤγουν *σὺν Διὶ καὶ Αἰακῷ*. Καὶ ἐν αὐτῷ γὰρ ἀπὸ κοινοῦ λαμβάνεται, ὡς καὶ ὀπίσω τὸ τεθὲν ἔμπροσθεν, ἤγουν ἡ *σὺν* πρόθεσις.

ιγ'. Ἔστι δὲ καὶ διὰ τὸ λίαν περιφραστικὸν ἀσαφὴς ὁ Πίνδαρος, ὃ τεχνᾶται δεξιώτατα, εἰς ἑαυτόν τε τοῦτο ποιῶν καὶ εἰς τὰ τῶν ἄλλων.

ιδ'. Ὅτι δὲ ὥσπερ ἡ πυκνὴ περίφρασις παρ' αὐτῷ ἀσάφειαν ποιεῖ, οὕτω καὶ ἡ συντομία, καθ' ἣν καὶ στενολεσχεῖ που ὁ ἐν πολλοῖς πλατύνεσθαι τεχνώμενος.

ιε'. Καὶ ἡ καινότης δὲ τῶν διαλέκτων, δι' ἧς καινοφραδής ἐστι καὶ ἀλλόκοτος εἰς ἀκοήν, ἡ τοῦ βιβλίου δηλώσει ἀνάγνωσις.

ις'. Καὶ ἐπιθέτων δὲ πόριμος ἐπινοητὴς ὁ αὐτὸς διαπέφηνεν, ὡς ὅτε δίχα μυρίων ἄλλων τὸ γενναῖον κρατησίμαχον λέγει, καὶ ἵππον κρατησίποδα τὸν δρόμῳ νικήσαντα, πρὸς ὁμοιότητα τοῦ χαλκόποδας ἵππους, καὶ τοῦ [illegible]· καὶ πόλεμον χαλκεντέα, καὶ [illegible] ἵππαιχμον, ὡς πρὸς τὸ [illegible]· καὶ [illegible] ἀνδροδάμαντα, ὡς εἴ τις εἴποι [illegible]· καὶ Δία [illegible] ἄλλως παρὰ τὸ [illegible]· τὸν δ' αὐτὸν καὶ [illegible] καὶ [illegible] καὶ [illegible] καὶ αἰολοβρόνταν καὶ φοινικοστερόπαν· καὶ Ἀθηνᾶν δὲ ἐγχειβρόμον καλεῖ ἐπιθετικῶς, καὶ αἰχμὴν δαμασίμβροτον, καὶ δολιχήρετμον Αἴγιναν, ὡς εἴπερ ἔφη ἀμφίαλον· καὶ [illegible] χερσὶ τὸν [illegible], καὶ [illegible] τοὺς ἱππικωτάτους, καὶ ἐλασίχθονα [illegible] τὸν ἐννοσίγαιον, καὶ ἑλικοβλέφαρον Ἀφροδίτην, καὶ ζωθάλμιον Χάριν, καθ' ἣν ζῶν τις θάλλει· καὶ ἀγῶνα δὲ *μνησιστέφανον*, ὃν καὶ ἑτέρως κατὰ λόγον ὀβριμώτατον *μνηστῆρα στεφάνων* εἶπεν, ὡς που καὶ αὐλητικὸν νόμον *μνηστῆρα ἀγώνων* ἔφη, ἤγουν εἰς μνήμην ἄγοντα τοὺς ἀγῶνας· καθὰ καὶ [illegible] *μνηστῆρα πολέμου* ὀβριμέως [illegible] τὴν μεμνημένον μάχης, παρὰ τό· *μνήσονται δὲ θούριδος ἀλκῆς*. Πολλαχοῦ δὲ καὶ ὀβριμίως γράφει, μηδὲ μιᾶς τῶν ῥητορικῶν ἰδεῶν ἀπεχόμενος, ὡς καί, ὅτε τοὺς ἐνδόξους *εὐωνύμους* φησί, καὶ *λιπὰν* δὲ *Ἠῶ* τὴν εὐκταίαν, καί, ὡς ἂν τις Ὁμηρικῶς εἴποι, *πολύλιστον*, εἴτε καὶ καθ' ἑτέρόν τινα *τρίλιστον*. Τοιοῦτον δέ τι καὶ τὸ *στάσιν ἀντιάνειραν* φάναι, Ὁμήρου *Ἀμαζόνας ἀντιανείρας* εἰπόντος. Ὅλως δὲ καὶ ἡ φιλοτιμία τῶν καινοφώνων ἐπιθέτων ἐπιτετήδευται τῷ Πινδάρῳ, τὰ πλείω ἐκ παραποιήσεων καὶ ὁμοιώσεων παλαιῶν. Καὶ δοκεῖ ὁ ἀνὴρ κἀνταῦθα μὴ ἐθέλειν ποιηταῖς ἑτέροις φανερῶς ἐπακολουθεῖν, εἰ δέ που καὶ ἄλλῳ ἐφεπόμενος, ἔχειν ἐκτροπάς τινας, δι' ὧν ἄλλην τινὰ τρέπεται παρὰ τὰς λεωφόρους.

ιζ'. Ἔστι δὲ πρὸς τούτοις καὶ ἀλληγορικὸς ὁ ἀνὰ χεῖρα μελοποιὸς καθ' ἑκατέραν ἀλληγορίαν, τήν τε κατὰ ῥήτορας, ἣν καὶ Ἑρμογένης οἶδε καὶ οἱ Ὁμηρίζοντες, καὶ ἣν πραγματεύονται οἱ τὰ μυθικὰ θεραπεύοντες. Εἰ δὲ σκληρῶς ἀλληγορεῖ τὰ πλείω, ἀλλὰ καὶ οὕτως ἡδὺς δοκεῖ, ὡς καὶ ἁπλῶς λυρικός, καὶ ὡς Πίνδαρος ἰδιότητα σώζων, ἣν αὐτὸς εἵλετο, οὐκ ἐκπίπτων ἄκων εἰς ψυχρίαν, ἀλλὰ σκοπὸν αὐτὸ προθέμενος, καὶ εὐστοχῶν εἰς γραφῆς ἰδιότητα δυσμίμητον· καθ' ἣν καὶ τὴν τροπὴν πάνυ φιλῶν, ἧς ἄνευ οὐκ ἂν συσταίη οὔτε λόγος ῥητορικός, οὔτε ἄλλη τις ὁμιλία, ἐπεκτείνει καὶ τὰ τῆς τροπῆς δι' ἀλληγορίας, ἐχούσης τι καὶ σκληρότητος, εἰς παράσημον ἑαυτῷ καὶ τοῦτο τιθέμενος.

ιη'. Ἐμμετεργάζει δὲ καὶ ἐκφράσεσι, καὶ προθεωρίαις δέ που διαφωτίζει ῥητορικῶς τὰ γραφόμενα.

ιθ'. Παρεκβαίνει δὲ καὶ εἰς παλαιὰς ἱστορίας, οἷα καὶ πολυΐστωρ, ἔτι δὲ καὶ εἰς μύθους τρόποις πολλοῖς, ἐνίοτε καὶ ὑπὲρ τὸ μέτριον, χρώμενος ταῖς μὲν τῶν παρεκβάσεων οὐ κατά τινα ἐκφανεστάτην συνάρτησιν, ταῖς δὲ διὰ παραδειγματικὴν ἀνάγκην, τισὶ δὲ καὶ πρὸς γνωμολογικὴν πίστωσιν, ταῖς πλείοσι δὲ δι' ἐγκώμια προγόνων ἢ πατρίδος ἢ πατριᾶς τοῦ νικητοῦ.

κ'. Οὕτω δὲ στρυφνῶς φράζει ταῖς ἐννοίαις κατὰ πολύνοιαν, ὡς ἔργον εἶναι πολλαχοῦ, μιᾷ τινι σταθερῶς ἐννοίᾳ ἐνευστοχῆσαι τὸν ἀναγινώσκοντα, διὰ τὸ οὕτω καὶ οὕτω νοεῖσθαι αὐτὴν κατὰ τὰ ἐν χρησμοῖς ἀμφίβολα. Πολλὰ δὲ τῶν τοῦ Πινδάρου καὶ γνωμικῶς δοκοῦντα λέγεσθαι, ὅμως καθ' ἑτεροίαν ἐπιβολὴν εἰς ἰδίαν ἔννοιαν ἕλκονται. Ἔστι δὲ δεινὸς καὶ οὐ μόνον τὸ ἓν ἐπεκτείνειν παραφράσεσι καὶ περιφράσεσι καὶ τισιν ἑτεροίαις μεθόδοις, ἀλλὰ καὶ τὰ πολλὰ συναιρεῖν εἰς κομιδῇ βραχύ. Ὁμήρου γοῦν *χάλκεον οὐρανὸν* φαμένου, καὶ *θεῶν ἕδος ἀσφαλές*, καὶ *χρύσεον δάπεδον*, αὐτὸς ἐπιτεμὼν ταῦτα συνεῖλεν εἰς τὸ *χαλκεόποδα θεῶν ἕδραν* τὸν οὐρανὸν φάναι. Ἔστι δὲ καὶ ἐπιτυχὴς ταῖς γνώμαις καὶ ὑψηλός, οἷα μὴ μόνον εὐφυής, ἀλλὰ καὶ μεγαλοφυής.

κα'. Αἰολίζει δὲ τὰ πολλά, εἰ καὶ μὴ ἀτριβῆ διέισιν Αἰολίδα, καὶ κατὰ Δωριεῖς δὲ φράζει, εἰ καὶ τῆς σκληροτέρας Δωρίδος ἀπέχεται, καθ' ἣν παίζει ὁ Κωμικὸς ἔν τε ἄλλοις, καὶ ἐν τῷ *Μῶα πᾶα*, ὅ ἐστι *Μοῦσα πᾶσα*. Εἰ μή τις τοιοῦτόν τι ἐρεῖ παρ' αὐτῷ εἶναι τό· *ἐπιτόσσαις*, ὅ ἐστιν *ἐπιτυχών*, καὶ *τόσσαι* καλῶν, ἤγουν *ἐπιτυχεῖν*, καὶ τό· *ἀμεῦσαι*, ὅ ἐστι *παρελθεῖν* καὶ *νικῆσαι*, οἷον· *ἀμεύσεσθαι Νάξιον Τίσανδρον*· ὅθεν καὶ *ἀμευσιεπῆ φροντίδα* φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν· καὶ *ἀμευσίπορον τρίοδον*, καθ' ἣν ἀμείβεται πορεία, ὡς ἄγεσθαι εἰς ταὐτὸν παρὰ τούτῳ τὸ *ἀμείβειν* καὶ

τὸ *ἀμοιβεῖον*. Εἴη δ' ἂν ὁμοίως παρ' αὐτῷ ἀσαφὲς καὶ τὸ *αἶτος*, ὅπερ ἐστὶν ἐνδιαίτημα, καὶ τὸ *πέδοικος*, ὃ ἐστι *μέτοικος*, καὶ τὸ *πέδα στρέμα φλέγει*, ἀντὶ τοῦ *κατὰ στόμα*, καὶ τὸ *πεδασχεῖν*, ἤτοι *μετασχεῖν*. Τὸ μέντοι *ἐρίξαι*, ἤγουν *εἰς ἔριν κιτῆσαι*, οἷον *οὐ ψεῦδος ἐρίξω*, ἤγουν *οὐ πρὸς ψεῦδος φιλονεικήσω*, οὐχ οὕτως ἀσαφὲς, οὐδὲ τὸ *τιμῇ* καὶ *νικῇ* ἀντὶ τοῦ *τιμᾷ* καὶ *νικᾷ* (ὧν ἀπαρέμφατα εἴη ἂν *τιμᾶν* καὶ *νικᾶν*), οὐδὲ τὸ *ὄρνιξ*, *ὄρνιχος*, δωρισθὲν καὶ αὐτό. Ἀλλὰ ἡ *αἰμακουρία* καὶ τὸ *ἀσασκεῖ* (ὃ δηλοῖ τὸ *ἡσύχως*, ὅθεν ἴσως καὶ ὁ παρ' Ὁμήρῳ *ἀκάκητα*) κατὰ τὰ πρὸ τούτων διεδώρισται, ὡς καὶ ἡ κατὰ ἔκθλιψιν ἀσυνήθη *πέροδος*, ἤγουν *περίοδος*· καὶ ὁ *κεχλαδὼς* δὲ ἡ μετοχὴ δοκῶν παρακεῖσθαι τῇ *χλιδῇ*, καινότατα παράκειται, τά τε ἄλλα· καὶ διότι μὴ διὰ τοῦ η προάγει τὴν χλιδὴν, κατὰ τὸ *δᾶμος*, *δῆμος*. Οὕτω δὲ καὶ τὸ *πρὶν* Δωρικὸν ἀποροῖτο ἄν, διὰ τί μὴ παριήγαγε τὸ *πρὶν* εἰς τὴν διὰ τοῦ η γραφήν. Ἔτι οὐ τέτριπται εἰς κοινὴν σαφήνειαν οὐδὲ τὸ λέγειν Πινδαρικῶς *ἄποινα* τὴν *ἀγαθὴν ἀμοιβὴν*, ὃ ἐστιν *ἀντίχαριν ἔπαθλον*. Μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ *ἁρμῷ*, ἤγουν *ἅρτι*, ὃ παρ' ἑτέροις *ἁρμοῖ* λέγεται· ὡς καὶ παρὰ Λυκόφρονι γινόμενον, ὅθεν καὶ τὸ *ἀρτίως*, οἷον *ἐλπίσιν ἀθαρτάναις ἁρμῷ φέρονται*. Καὶ τὸ *ἔπει* δὲ ἀντὶ τοῦ *ἔπειτα* ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ· ὥσπερ καὶ ἡ ἔλλειψις τὸ *ἄς* ἀντὶ τοῦ *ἕως*, οὗ χρῆσις καὶ παρὰ τῷ εἰπόντι· *ἄς γόνυ χλωρὸν*, ἤγουν *ἐφ' ἧς ἡλικίας*, *καὶ ἕως νεάζει τις*. Οὕτω δὲ καὶ παρὰ τῷ Πινδάρῳ καὶ παρ' ἄλλοις ἡ ἔλλειψις καινοποιεῖ καὶ τὸ ᾧ, ἀντὶ τοῦ *καθὰ*, οἷον· *ᾧ τ' ἀπὸ τόξου ἰείς*, ἤγουν *ᾧ τρόπῳ ἢ νόμῳ*, ἵνα λέγῃ, ὅτι *ὡς τοξεύων κατ' εὐθὺ λόγοις ἐπαίνων*, *καὶ μὴ πλαγιάζων παρεκβάσεσιν*, ἵνα ᾖ τὸ *ᾧ ἀπὸ τόξου ἰείς* ταυτὸν τῷ ᾗ, ὅπερ ἐστὶ θηλυκῶς, ἀντὶ τοῦ *καθά*. Ἀσύνηθες δὲ καὶ τὸ τὴν Τροίαν *Τρωΐαν* Πινδαρικῶς λέγεσθαι, κατ' ἔκτασιν τῆς ἀρχούσης, καὶ τὸ ἐκεῖθεν ἐπίρρημα *Τρωΐαθεν*. Ἐπὶ πλέον δὲ ἀσύνηθες καὶ τὸ *ξυνᾶνα* λέγειν τὸν *κοινωνὸν*, ὡς ἀπὸ τοῦ *ξυνὸς ὁ κοινός*· ἵνα εἴῃ, ὥσπερ ἐκ τοῦ *ἄλκιμος ἀλκιμάν*, ὅθεν *Ἀλκμάν*, οὕτω καὶ ἐκ τοῦ *ξυνὸς ὁ ξυνάν*. Ἄκαστον γοῦν, τὸν βασιλέα Μαγνήτων, *βίου ξυνᾶνα* λέγει τῇ αὐτοῦ γυναικί.

κβ'. Συχναὶ δὲ καὶ ἀποστροφαὶ παρὰ Πινδάρῳ, ἃς καὶ Ὅμηρος ἐν Ἰλιάδι φιλεῖ· ἔτι δὲ καὶ στροφαὶ ἐννοιῶν, ᾗ καὶ ποικιλίαν παραποιητικὴν ἐν φύτῳ ἐργάζεται. Εὕρηται δὲ καὶ περιαυτολόγος ἐν πολλοῖς φιλοτιμότερον, καὶ σκωπτικὸς δὲ τῶν ἀντιτέχνων ὁμοίῳ λόγῳ, καὶ ἀμφίγλωσσος δὲ ἐν οὐκ ὀλίγοις· ὅς γε πῇ μὲν τὴν εὐφυΐαν ἐπαινεῖ καὶ τὸ αὐτομαθὲς, ὡς καὶ αὐτὸς *πολλὰ εἰδὼς φυᾷ*, πῇ δὲ τὰ κατὰ μάθησιν διδακτά. Καὶ εὐδαιμονίαν δέ που πρὸς τοὺς ἐπαινουμένους μετρῶν, ποτὲ μὲν ταύτην λέγει, ποτὲ δ' ἐκείνην· οἷον ποτὲ μὲν πλοῦτον ἢ τιμὴν, ποτὲ δὲ σὺν τούτοις καί τι ἄλλο ἀγαθόν.

κγ'. Πλουτεῖ δὲ καὶ πολὺν ὄγκον αὐτῷ ἡ φράσις, καὶ οὐδὲ λαλεῖν ἐθέλει κατὰ τοὺς πλείονας· ἀλλ' ἔστιν αὐτῷ ἐξαίρετον τὸ ἐπὶ πᾶσι ξενόφωνον, τάχα που καὶ αὐτῷ θελήσαντι πατεῖν ἑτέρων ἴχνια, *μὴ καθ' ὁμά*, εἴποι ἂν Καλλίμαχος.

κδ'. Φιλοτιμεῖται δέ ποτε, καὶ τοὺς ἀλείπτας τῶν ἀθλούντων παρεντιθέναι τοῖς μέλεσι, παρέκβασιν καὶ ταύτην τεχνάμενος, ὅτε ὧν εἰκὸς καὶ ἐκεῖνοι δωροῖντό τι μνείας χάριν τῷ λυρικῷ, φιλοῦντι τὸν χρυσὸν, ὡς δειχθήσεται, ἴσως δὲ καὶ πλατυσμοῦ μέλους ἕνεκεν· ὃς δὴ πλατυσμὸς καὶ εἰς πατριῶν, ὡς ἐρρήθη, καὶ πατρίδων ἐπαίνους ἐξοκέλλειν τὸν μελοποιὸν ἐν πολλοῖς ποιεῖ, καὶ εἰς τινα ἑτεροῖα, ὧν δόξοι ἂν εἰς λίαν περιττὸν ἐκ παρέργου αὐτὸς μεμυῆσθαι τοῖς μὴ εὖ ἐπεσκεμμένοις αὐτόν· ὡς καὶ ὅτε εἰς ἡρωϊκοὺς μύθους παρεκκλίνει κατ' οὐδὲν δεῖον, ἐν ᾧ δὴ τόπῳ καὶ ἀσάφειαν καινὴν πολλάκις ἔχει, οἷα δυάζων τὰ ἡρωϊκὰ πρόσωπα, ὁποῖόν ἐστι καὶ τό· ἣν ὁ δεῖνα *Κυρήνης στεφάνωμα*, *ἣν ἥρπασεν Ἀπόλλων*. Ἐνταῦθα γὰρ ἐνοπτρίζει τῇ ἐστεφανωμένῃ Κυρήνῃ πόλει τὴν ἡρπασμένην ἡρωΐδα κόρην, τὸ κύριον, ᾗπερ ἡ πόλις ὁμώνυμος. Πολλαχοῦ δὲ τοιοῦτον δυαστικὸν ἐμφάντασμα ποιεῖ, ἔχον καὶ αὐτὸ ἴδιόν τι πρὸς χαρακτήρισμα.

κε'. Τοιοῦτος δὲ ὢν τὴν ποίησιν, ὡς ἀμυδρότατα ὑπογράψαι τὸν ἄνδρα (χρῶσαι γὰρ τὸ σκιαγράφημα τοῦτο εἰς ἐντελὲς, εἴη ἂν πάνυ ἐργῶδες), ἐπιμεμέληται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, παρ' οἷς φέρεται, ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. Ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ, κατὰ τὸ *Ἐπαμεινώνδας*, *Κρεώνδας*· κατὰ δέ τινας Δαΐφάντου ἢ Σκοπελίνου αὐλητοῦ, καὶ Μυρτοῦς. Ὃς δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί φασιν εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα, ἥπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ, τῷ περιῳδομένῳ Λάσῳ, τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. Ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν δυωνυμίας λόγῳ Σκοπελίνον καὶ Δαΐφαντον λέγεσθαι. Ἄλλοι δὲ πατέρα Πινδάρου εἴτε πατρῶνα τὸν Σκοπελῖνον εἶπον γενέσθαι. Εἰσὶ δὲ, οἳ καὶ οὐ Μυρτὼ, ἀλλὰ Κλεοδίκην, ἢ κατὰ συναίρεσιν Κλειδίκην, μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Ἀθίωνος κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας. Τέθνηκε δὲ, ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἄλλους ὀγδοήκοντα. Ἔσχε δὲ, φασὶ, θυγατέρας δύο, Πρωτομάχην καὶ Ἕβμητιν, καὶ υἱὸν δὲ Διόφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἡ μάλα Πρωτομάχη τε καὶ Ἕβμητις λιγύφωνοι
Ἔκλαυσαν, κοῦραι Πινδάρου θυγατέρες,
Ἀργύθεον ἧμος ἵκοντο, κομίζουσ' ἀνδρὸς ἀρωσσοῦ
Λείψαν' ἀπὸ ξείνης ἄβρὸν πυρκαϊῆς.

Ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλαυμένου τοῦ, πῶς ἐν

Ἄργει θανὼν ὁ Πίνδαρος, εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἔστιν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα, καὶ θανὼν κατ' αὐτὸ τὸ Ἄργος, ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. Τῷ δὲ ῥηθέντι υἱῷ Διοφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατὴρ, ὃς φασι καὶ Σιμωνίδου ἤκουσε, νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου.

κς'. Εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιοὺς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου, ᾗ νεώτερος πρεσβυτέρου. Τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων. Ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συῤῥακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ' ἑτέρους καὶ αὐτοὶ σοφοὺς εἰς τὴν Σικελίαν. Καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρεσθαι δοκεῖ τὸ περιφερόμενον. Λέγεται γὰρ, ὅτι Πίνδαρος ἐρωτηθεὶς, διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει; ἔφη, Διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

κζ'. ἌΙδεται δὲ καὶ, ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἤκμαζε τὴν ἡλικίαν. Διὰ δὲ τὸ θεοφιλὴς δόξαι, καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω φασὶν αὐτὸν ἐφίλει, ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων ἐκείνῳ, καὶ τὸν ἱερέα δὲ βοᾷν ἐν ταῖς θυσίαις· *Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ*· ἢ καὶ ἄλλως· *Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ*. Κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεὼν, κηρύσσει καθ' ἡμέραν· *Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ*. Καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών·

Πενταετηρὶς ἑορτὰ βουπομπὸς, ἐν ᾗ πρῶτον
ἐβάσθην ἀγαπατὸς ἐν σπαργάνοις,

ὅ ἐστιν *ἐλέχθην*, ὡς ἀπὸ τοῦ *βάζω*, ἢ καὶ ἄλλως *εὐάσθην*, *εὐφημήθην*, ὡς ἀπὸ τοῦ *εὐάζω*. Λέγεται δὲ καὶ, ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὤφθη ᾄδων παιᾶνα Πινδάρου. Διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή·

Ὦ Πὰν, Πὰν, Ἀρκαδίας μεδέων καὶ σεμνῶν
ἀδύτων φύλαξ.

Τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.

Οὐδὲ μάτην ἁπαλὸς περὶ χείλεσιν ἑσμὸς ἐκεῖνος
Ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
Μάρτυς ὁ Μαινάλιος κερόεις Θεὸς, ὕμνον ἀείσας
Τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.

Λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο *νεβρείους* μὲν αὐλοὺς, τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. Δῆλον γὰρ, ὡς νεβρὸς τὸ νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. Ἡ δὲ *χέλυς*, *ὅ ἐστιν ἡ κιθάρα*, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. Ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν (ὡς καὶ μετ' ὀλίγα γεγράφεται), καθ' οὗ ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. Ὁ δὲ *ἑσμὸς* δηλοῖ μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται. Δασύνεται γὰρ ἀπὸ *τοῦ ἕζω*. Κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρὰ Ἀριστοτέλει ἐν τῷ Περὶ ζώων ἱστορίας ἀφορισμός. *Τὸ δὲ κηρόδετον μέλι* ἀφομοιοῦταί πως τῷ παρ' Αἰσχύλῳ *κηροπλάστῳ δόνακι*, ὃς δηλοῖ τὸ *σύριγγα*. *Μαινάλιος* δὲ θετὸς ὁ Πὰν ὡς Ἀρκαδικός. Ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο, Ἀρκαδίας ὄρει· *Κερόεις* δὲ ὁ αὐτὸς, ἐπεὶ κερασφόρος ἐπλάττετο, διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντὸς, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. Ὅτι δὲ *κέρατα* ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαὶ, δηλοῖ ὁ γράψας *ὑψικέρατα πέτραν*, τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. *Ὕμνον δὲ ἀείσας* ταυτόν ἐστι τῷ *ᾆσας παιᾶνα*, τὸν, ὡς δεδήλωται, Πινδαρικὸν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. *Δόνακες* δὲ *νόμιοι*, τουτέστι *φίλοι τοῖς νέμουσι*· καὶ ὅλη σύριγξ ἡ τῷ Πανὶ φίλη διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμοὺς, ἃ τῷ Πανὶ παντὶ φίλα εἰσί. Καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. Λέγεται δὲ καὶ, ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο, εἰ μόνην θεῶν αὐτὴν οὐχ ὕμνησεν. Ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν, ἀρξάμενος οὕτω· *Πότνια θεσμοφόρε*· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ φασι καὶ Ἴστρος ἱστοροῦσιν, ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ, καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον, μέλισσα τῷ στόματι προσκαθίσασα, κηρία ἐνέθετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτὸν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. Καὶ οὕτως οἰωνισάμενος, ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους, ἢ Ἀπολλοδώρου, ὃν φασι καὶ προϊστάμενον κυκλίων χορῶν, καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ, παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιστωθὲν διακοσμήσαντα περιβοηθῆναι. Τινὲς δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. Ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνήμη τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω.

κη'. Ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· *Ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι*, κατὰ δέ τινας, ἐπεὶ *ἔρεισμα Ἑλλάδος* ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φυλακτικοῦ. Λέγεται δὲ καὶ, ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην, ἧς ἦρχε Παυσανίας ὁ σφῶν βασιλεὺς, ἀπέ-

σχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ, ἰδόντες ἐπιγεγραμμένον τό· *Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε.* Τοῦτο δέ φασι καὶ Ἀλέξανδρος μετὰ ταῦτα πεποίηκε. Καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας, ἐφύλαξε τὴν οἰκίαν, ἣ καὶ εἰς Πρυτανεῖον ὕστερον ἀπετελέσθη.

κθ'. Φέρεται δὲ λόγος, καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος, αἰτῆσαι Πινδάρῳ, οἷα φίλῳ, τὸ ἐν ἀνθρώποις ἄριστον· καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. Τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα, ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὄν, καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶτα ἕωθεν οὐκ ἔτ' ἦσαν, ὡς θανάτῳ ἀπεληλυθότες. Καὶ Κλέοβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μητέρα ἐπὶ ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισμένην δημοτελῆ θυσίαν (οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν), ἔτυχον μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν· αὐτοὶ δὲ προὐκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. Ἀλλὰ ταῦτα μὲν οὕτω παρερρίφθω, οὐδ' αὐτὰ εἰς κενόν.

λ'. Τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου, φέρεται εἰς αὐτὸν καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδει Θήβης
Κλειδίκη, εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ,
Γείνατο, ναιετάουσα Κυνὸς Κεφαλῆς παρὰ χώρῳ,
Οὐκ οἷον· ἅμα τῷ καὶ Ἐρίτιμον, εἰδότα θήρην,
Εἰδότα πυγμαχίην τε παλαισμοσύνην τ' ἀλεγει-
[νήν.
Τὸν μὲν, ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο
[μήτηρ,
Εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμ-
[βλῳ
Χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
Τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
Ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
Τὸ πρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν
[αὐδῆς,
Ὃς ῥά οἱ κατέλεξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
Εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
Ἀλλὰ τὸ μὲν μετόπισθεν. Ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
Ἤϊα καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
Καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠΰκερως
[Πὰν
Πινδάρου αἰὲν ἄειδε, καὶ οὐκ ἐμέγηρεν ἀείδων.
Ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
Αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
Τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
Τῷ δὲ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,
Ἡ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. Ἔμελψε δὲ κῦδος
[ἀγώνων
Τῶν πισύρων, μακάρων παιήονας † ἀναδεδεγμέ-
[νος,
Καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους
Ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
Τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
Κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

λα'. Οὕτω δὲ καὶ τούτων ᾐσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθεὶς, τί πρίονος ὀξύτερον, εἶπε· Διαβολή. Δελφόσε δὲ ἐρωτηθεὶς τί πάρεστι θύσων, Παιᾶνα, εἶπε· μονονουχὶ λέγων, ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. Πρὸς ὃ συλλαλεῖ καὶ ὁ γράψας, ὡς *ἄκαπνα θύουσιν ἀοιδοί.* Πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; Οὐ μόνον εὖ πράττοντος, ἔφη, δεῖσθαι, ἀλλὰ καὶ πράξαντος εὖ. Τῷ δὲ πυθομένῳ, διὰ τί μέλη γράφων, ᾄδειν οὐκ ἐπίσταται; Καὶ γὰρ οἱ ναυπηγοὶ, ἔφη, πηδάλια ποιοῦντες, κυβερνᾶν οὐκ οἴδασι. Τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστὴν, διὰ τί, δημογορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων, αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ σιδήρια, ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

λβ'. Ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει, ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδὰς, ὡς κορυφαῖον χοροῦ ἄριστον.

λγ'. Εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη, *τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπὸν*, ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ Κωμικῷ προστέτριπται, ὃς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.

λδ'. Ποιήματα οὐ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. Εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡσεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασὶν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικώτεροι εἶναι καὶ ὀλιγόμυθοι, καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. Εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοὶ, ἀλλ' αὐτὸ παραχρήσεως εἶδος ἐστὶ, καθ' ἣν καὶ τὸ *ὑμνεῖσθαι* ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τό· *ὑμνεῖσθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις.* Δῆλον δὲ, ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ *εἴδη*, τουτέστιν *ἰδέαι*, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς *εἰδύλλια* ἐπιγραφὴ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. Μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος, παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος καθά τις ἕτερος κιθαρῳδὸς, καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. Οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει: ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. Σεμνύνεται γὰρ πολλοῖς καὶ πολλαχῶς ἡ λύρα. Ὁ δὲ καὶ ἑτέροις ὀργάνοις ᾄδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ *ἀναξιφόρμιγγες ὕμνοι*, καὶ ἑξῆς. Εἰ δ' ἴσως ταυτόν τι φόρμιγξ καὶ λύρα, οὐδ' οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἴδιόν τι ἀποκεκλήρωται. Ὡς δὲ *λύρα*

εἴρηται ἢ παρὰ τὸ *λύειν ἀρὰς*, οἷς πρὸς ἡδονὴν ἁ γλυκίως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς *λύτρον καταλλακτήριον* εὑρεθῆναι ὑπὸ Ἑρμοῦ ὃς χέλυν, ὅ ἐστι *λύραν*, ἐξ ὀστράκου συντεθεῖσαν χελώνης, δοὺς τῷ Θοίβῳ ἀντὶ βοῶν κλοπῆς, οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ οἱ παλαιοί.

λε'. Ἰστέον δὲ καὶ, ὅτι, τεσσάρων ὄντων περιωνύμων ἀγώνων Ἑλληνικῶν, οἳ καὶ ἱεροὶ ἐκαλοῦντο, οἷς οἱ νικῶντες ἠξιοῦντο λόγου τοῖς λυρικοῖς, πρώτους ἐξέθεντο οἱ τῷ Πινδάρῳ φίλοι πρὸς ἀνάγνωσιν τοὺς Ὀλυμπιονίκας, διὰ τὸ τοῦ Ὀλυμπικοῦ ἀγῶνος πάνυ ἔνδοξον, οὗ τὴν θέσιν στεμνολογοῦντες τῶν τινες παλαιῶν. εἰς τὰ κατὰ Πέλοπα καὶ Οἰνόμαον αὐτὴν ἀναφέρουσιν, ὡς ἐκεῖθεν χρόνου ἀρξαμένου τοῦ τῶν Ὀλυμπίων ἀγῶνος· πρὸς ὃ οἱ δυσαρεστούμενοί φασιν, ὡς αἰσχρὰν οὖσαν τῇ αἰτίᾳ τὴν θέσιν οὐκ ἂν διεφύλαξαν οἱ ἀρχαῖοι, οὐδ' ἂν παρέμεινεν εἰς οὕτω μακρὸν ἱερὸς λεγόμενος ὁ ἀγών, ἐφ' οἷς οὐ τοιοῦτός ἐστι διὰ τὸ κατ' αἰτίαν αἴσχος, ἐφ' ᾗ τέθειται, ἥπερ ἐστὶν Ἔρως Ἱπποδαμείας καὶ φόνος Οἰνομάου περίεργος. Ἕτεροι δὲ εἰς Ἡρακλῆν ἀνάγουσι τὴν τοῦ Ὀλυμπικοῦ ἀγῶνος καταβολήν, καθὰ καὶ ὁ Πίνδαρος ἐνδοξότερον αὐτὸν κοσμεῖ. Ἐπεὶ γὰρ τὴν Αὐγέου κόπρον καθήρας οὐκ ἔτυχε τῶν ἐπηγγελμένων, συναγαγών φασι στρατόπεδον, τόν τε Αὐγέαν *ἀπάγει τοῦ ζῆν*, καὶ τὴν Ἦλιν *καρίσταται*, ἦγουν *κορθεῖ*. Καὶ πολλὰ λάφυρα περιποιησάμενος, ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασι. Καὶ τὸ ἔθος ἐκεῖθεν διέμεινεν. Οἱ δὲ μηδὲ πρὸς τοῦτο εὐαρεστούμενοί C φασιν, ὡς οὐδὲ αὕτη ἔμεινεν ἂν ἡ διάθεσις, ἐπεὶ δυσχερείας πραγματικῆς ἦν ὑπόμνησις· ἀλλὰ μᾶλλον Ἶφιτός φασι καὶ Εὐρύλοχος τοὺς Κιρραίους καταπολεμήσαντες λῃστάς, τὴν παράλιον τῆς Φωκίδος κατέχοντας, καὶ πολλὰ ἐξ αὐτῶν λάφυρα συναναγαγόντες, ὁ μὲν Ἶφιτος τὰ Ὀλύμπια κατεβάλετο, τὰ Πύθια δὲ ὁ Εὐρύλοχος. Καὶ παρέμεινεν ἡ θέσις αὕτη, ὡς ἀπὸ ἐνδόξου αἰτίας ἔχουσα τὴν ἀρχήν.

λς'. Ὅτι δὲ κατὰ πενταετηρίδας ἐτελεῖτο τὰ Ὀλύμπια, διά τὸ πάνυ πόρρωθεν συλλέγεσθαι τῶν ἀθλούντων πολλούς· καὶ ὡς αἱ τοιαῦται πενταετηρίδες καὶ Ὀλυμπιάδες ἐλέγοντο ἐκ τῆς Ὀλυμπίων πανηγύρεως, ἣν ἐπὶ Ὀλυμπίῳ ἦγον Διΐ, τῷ τοῦ D Ἡρακλέους πατρί· καὶ ὅτι, ὅπερ τοῖς ὕστερον πέντε ὁμοῦ ἔθεντο, τοῦτο ἑκάστη τῶν Ὀλυμπιάδων τοῖς πάλαι· καὶ ὅσοι δὲ ἄθλοι τὸν Ὀλυμπιακὸν συνετέλουν ἀγῶνα, δηλοῦσι μὲν καὶ οἱ παλαιοὶ σαφῶς, καὶ ἡ προκειμένη δὲ παρεκβολικὴ πραγματεία ἐκφανεῖ ἅπαν τοιοῦτον ἄξιον γνώσεως.

λζ'. Νῦν δὲ ῥητέον ὅτι τὸ λεγόμενον πένταθλον οὕτω περιγράφεται μέτρῳ ἰαμβικῷ·

Ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος.

Καὶ ἑτέρως δὲ ἡρῴῳ μέτρῳ·

Ἅλμα ποδῶν, δίσκου τε βολὴ καὶ ἀκοντος ἐρωὴ,
Καὶ δρόμος, ἡδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τε-
λευτή.

λη'. Ἔτι ἰστέον καὶ ὅτι τὸ ἐν τοῖς ἐπινικίοις ΠινB δαρικὸν μέτρον *τριὰς* ἐκαλεῖτο. Ἦν δὲ ἐν τῷ καθόλου τοιαύτη τριὰς ποίημα, ἐν ᾧ, καθὰ καὶ ἐν τοῖς τοῦ Κωμικοῦ δηλοῦται, ἔστι στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδός· περὶ ὧν καὶ οἱ τῆς ῥητορικῆς τέχνης ὑπομνηματισταὶ διαλαμβάνουσι σαφέστατα. Δῆλον δὲ ἔνθα εἰσὶ τὰ *τρία* ταῦτα, ἡ στροφὴ δηλαδὴ, ἡ ἀντίστροφος καὶ ὁ ἐπῳδός, ἐκεῖ καὶ χοροὶ εἰσι, στρεφόμενοι, καὶ ἀντιστρεφόμενοι, καὶ διὰ μέσων ἐπᾴδοντες, καὶ τὸ στάσιμον· εἴτε κύκλιοι οὗτοί εἰσιν, οὓς οἱ ᾄδοντες ἁματοκάμπτας σκώπτονται τῷ Κωμικῷ, εἴτε καὶ ἑτεροῖοι· ὧν καὶ αὐτῶν ἅπαντων ὁ Πίνδαρος, οὐδὲν δὲ ἧττον αὐτοῦ καὶ ὁ κοσμῶν αὐτὸν χοροποιὸς Αἰνέας, περὶ οὗ πρὸ βραχέων εἴρηται. Ὅτι δὲ οἱ Πινδαρικοὶ ἐπινίκιοι τῇ προσεχῶς δεδηλωμένῃ τριάδι ἐναλλάγδην συντελοῦνται κατ' ἀκολουθίαν εὐσύντακτον ἐναρμόνιον, ἣν οὐκ ἔστι παραβῆναι· καὶ οἵοις ποσὶ καὶ μέτροις ἡ τοιάδε τριὰς ἑκασταχοῦ ἀπαρτίζεται, σαφέστατα ἐκτίθενται οἱ ὑπομνηματισάμενοι, οἷς καὶ ἔστιν εὐμαθῶς ἀκολουθεῖν τοὺς περιελθόντας ἐπισκεπτικῶς τὸ τοῦ Ἡφαιστίωνος μετρικὸν ἐγχειρίδιον. Ἀλλ' ἐκεῖνα μὲν ἑτέρου ἔργου· ἐνταῦθα δὲ τὸ προκείμενον ἐπέλευσις οὐκ ἀσυνήθης, τὰ ἐκ τῶν Πινδαρικῶν ἐπινικίων συλλέγουσα χρήσιμα εἰς εἴδησιν εὔχρηστον τοῖς καὶ γράφειν καὶ ἄλλως δέ πως νοεῖν ἐθέλουσι, καὶ τοῦτο οὐ κατὰ ὑπομνηματικὴν ἐξήγησιν, ἀλλ' εἰς ὅσον ἐκ πλατυτάτου λειμῶνος ἀνθολογῆσαι, ὅσα οὐκ ἂν πατοῖτο ἢ ἄλλως ἐξαθερίζοιτο τοῖς γε φιλοκάλοις καὶ εἴδόσι τὰ τῶν Μουσῶν στεφανώ- D ματα.

DE SIMULATIONE.

Τοῦ αὐτοῦ περὶ ὑποκρίσεως.

α'. Ὁ προβέμενος, χαρακτῆρα τῆς οὔτε εὐτέχνου, ἀλλὰ καὶ φαυλοτάτης διατυπώσεσθαι ὑποκρίσεως, αὐτίκα πάντως καὶ κατὰ ψεύδους αὐτοῦ χωρεῖ, τοῦ καὶ πολυειδοῦς καὶ δι' αὐτὸ πολυσχιδοῦς, ὅπερ εἰς ἰδέας πολλὰς διαβαῖνον καὶ κατ' αὐτὰς διαιρούμενον, ἔχει τι στρεβλὸν σκέλος καὶ τὸ ὑποκριτικόν· ὥστε κατὰ δύο κακιῶν ὁ τοιοῦτος ἀεθλεύει, ὃ καὶ ἡμεῖς ἄρτι ποιοῦμεν, τοῦ τε ψεύδους καὶ τῆς ὑποκρίσεως· ἣν ἡ μὲν παλαιὰ εὕρεσις ἐπ' ἀγαθῷ μεθώδευσε τεχνικῶς καὶ οὕτως ἐπωφελῶς τῷ βίῳ, οἱ δὲ τῆς ἀρετῆς ἐπίβουλοι δαίμονες ἐν ὑστέροις χρόνοις κακῶς τεχνησάμενοι, ἐς ψυχοβλαβὲς καὶ αὐτὴν ἐνέργημα μετεποίησαν. Ἦν μὲν γὰρ, ὅτε θεάτροις ἐνευδοκίμουν πρὸς ἔπαινον οἰκεῖον οἱ ὑποκριταὶ, σοφίαν αὐτοὶ ἐπικοσμοῦντες, ἣν ἐτέχνουν οἱ τῆς τραγῳδίας διδάσκαλοι, ἀνατρέχοντες εἰς παλαιγενεῖς ἱστορίας ἐκεῖνοι, δεξιὰς παιδεύειν σεμνῶς, καὶ τὰ κατ' ἐκείνας πρόσωπα ὡς οἷον ἐξανιστῶντες, καὶ εἰς θέαν προάγοντες δι' ἀνδρῶν, ὡς οὕτως εἰπεῖν, ἐκπροσωποποιούντων ὑποκριτικῶς ἐκείνοις ἔν τε πιθανότητι πλάσεως ῥητορικῆς καὶ εἰκονογραφίᾳ προσώπων, καὶ ἐν τοῖς ἐκείνων πάθεσί τε καὶ λόγοις, ὅσα καὶ κατόπτροις, εὐθετίζοντες πρὸς ἀρετῆς καλλονὴν τοὺς καὶ θεωμένους καὶ ἀκροωμένους, καὶ τῇ τοιαύτῃ ἀνειδωλοποιήσει (δοτέον δὲ καὶ προσωποποιΐᾳ εἰπεῖν, ἤδη δὲ καὶ ὑποκρίσει) διδασκάλια ἐν βιβλιογραφίᾳ ἐκκαλοῦντες, δι' ὧν καὶ αὐτῶν εἰσέτι καταρτίζεται βίος ὁ καθ' ἡμᾶς.

β'. Ἦν γοῦν ἐκ τῆς τοιαύτης τέχνης μανθάνειν τοὺς τότε ἀνθρώπους, ἔστι δὲ καὶ τοὺς νῦν, τύχης μεταβολὰς παντοίας καὶ ἠθῶν ποικιλίας καὶ βίων ἀμυθήτους διαφοράς. Ἐδίδαξαν, καὶ μήν ἔτι διδάσκουσιν αἱ βασιλικαὶ δυσπραγίαι, ἃς ἡ ὑποκριτικὴ τέχνη λογογραφεῖ, μὴ χρῆναι πιστεύειν τῷ περισπτῳ βίῳ, ἑστήξεσθαι διόλου ἐν περιωπῇ, ἀλλά που εὐλαβεῖσθαι καὶ κατακύλισμα. Ἔμπαλιν δὲ τούτων ἐγνώρισαν ἡμῖν αἱ τῶν χαμαιριφῶν προσώπων παρυφώσεις, ἃς καὶ αὐτὰς ἡ ὑπόκρισις ἐκείνη διεχειρίσατο εἰς ἐπίδειξιν, οὐ φρενήρη ἄνθρωπον εἶναι, ὃς πεδινὸς ὢν ἀπογινώσκει τὴν σὺν Θεῷ οὐράνωσιν. Ἔγνωμεν ἐκεῖθεν καὶ, ὁπόσα φαῦλα τοὺς ἥρωας ὁ φθόνος διέθετο, εἰκότα ὄντα διαβαίνειν τῷ χρόνῳ καὶ εἰς τοὺς ὕστερον. Καὶ ἡ τοιαύτη γνῶσις βελτιοῖ τοὺς εἰδότας. Οὐκ ἀφῆκαν αἱ παλαιαὶ ὑποκρίσεις ἐκεῖναι οὐδὲ τὴν φιλίαν ἀπαρασήμαντον, ἀλλὰ διέστειλαν καὶ αὐτὴν ὀρθῶς, μὴ ἔχουσαν ἐν καλῷ καθιστᾷν λιμένος τοὺς περὶ βίον θαλαττεύοντας, εἰ δὲ καὶ στρεβλωθῇ, θανατοῦν πρὸς ὥραν τοὺς ἀθλίους πεφιλημένους.

A *Ejusdem de simulatione.*

1. Qui sibi proponit non artificiosæ tantum, sed nequissimæ simulationis characterem exprimere, statim omnino contra falsitatem ejus invehitur, quæ multiformis, et idcirco multiplex, in multas species transiens, et secundum illas divisa, membra articulatim torquet et loco movet, ita ut qui sic vexatur contra duo mala certet, ut nos inpræsentiarum facimus, falsitatem et simulationem; quam quidem vetus inventio ad bonum artificialiter et utiliter pro vita instruxit, insidiatores autem virtutis dæmones in ultimis temporibus prava machinatione in operationem animis perniciosam transformarunt. Tempus enim fuit quo propria laude celebres erant actores, ingenio quo ipsi adornantes quam artiB ficialiter creabant tragœdiæ magistri, ad antiquas recurrentes historias, aptas ad honestam doctrinam, et illarum personas quasi suscitantes et ob oculos ponentes per homines, ut ita dicam, per simulacrum cum istis personificatos et in persuasione formationis rhetoricæ et repræsentatione personarum, in istarum passionibus ac sermonibus, velut in speculis, disponentes juxta virtutis pulchritudinem videntes et audientes, et tali repræsentatione (diceretur autem prosopopœiæ aut etiam simulationis nomine) provocantes in librorum descriptione documenta, quibus ipsis adhuc vita nostra informatur.

C 2. Ex hac igitur arte discere poterant tunc temporis homines, possunt autem etiam hodierni, omnimodas fortunæ mutationes, morum varietates, et innumeras vitæ vicissitudines. Docebant, et etiamnum docent regum infortunia, quæ actorum ars scenica describit, non esse credendum conspiciendæ vitæ, in circumspectione omnino standum, sed etiam a lapsu cavendum. Verum e contrario prostratorum hominum elevationes, quas etiam actores dabant passim spectandas, notum nobis fecerunt, non esse sanæ mentis hominem, qui super terra gradiens mansionem cum Deo in cœlo non speret. Exinde quoque cognovimus quot malis, quæ verisimiliter ad posteros erant transitura, heroes invidia affecerit. Et talis notitia meliores reddit D scientes. Non reliquerunt illæ simulationes antiquæ amicitiam irreprehensam, sed et istam recte distinxerunt, quæ non valet in portu tuto sistere per vitam navigantes, imo si pervertitur, infortunatos dilectos ad horam morti tradit.

3. Quid mihi vero discurrendum per singula talium magna ex parte bonorum, cum bene scientibus indicare sufficiat, quod hujusmodi simulationis species omnimodam ex historia virtutem et malitiam visendas ac audiendas antiquis proponebat, ut illam quidem probarent, hanc vero rejicerent? Bonum hoc exinde transiit ad posteros, ut non solum e viventibus mutuemur boni scientiam; sed et cum mortuis per hanc transactionem conversantes, vitam virtuti congruam adipiscamur. Et talis quidem erat tunc scenica demonstratio, cum rationalis esset personarum et actionum imitatio, et in istis qualitatum florilegium ad studiosorum disciplinam. Et erat hujus temporis actor scenicus omnis virtutis præceptor, introducens quidem in theatrum etiam malitiarum typos, non ut quis earum indueret formam, sed ut ipsam aversaretur. Ut aliter dicam, quoad vultum mendax, in magisterio verax erat; et poterant spectatores tunc sibi lucrosum reddere mendacium et illud laudabile, ubi quod spissum et sensibile erat, veritati non erat congruum; quod autem ad sententiam enuntiatam spectabat, animæ quædam erat figura.

4. Dici vero quoque potest ejusmodi actor quasi substantivus sermo. Corpore namque personato prorsus fictus, disciplinis substantialiter constabat, et aliquo modo videbatur ille inhærens animis heroicis, a quibus fortiter inspiratus edocebat auditores. Rectissime etiam dixeris illum ut monitorem, alienos sermones bene transmittentem audientibus; sive quasi bifrontem, e vultibus uno, etsi non quomodo celeber Janus, utentem; sive quemdam duplicem, etsi aliter quam Molionidæ. Imaginaretur aliquis in illo, metempsychoseos nomine, portentosam transfusionem. Qui vero mente simplex est, velut mandatarium talem nuncupaverit, personis heroicis subservientem, quasi sermones ipsarum et actiones imitando exprimeret, non judicans quidem secundum illas, vel, ut idem dicam, discernens vel decernens, et ita judex res ipsarum determinans, ut agat et dicat quæ quidem illæ reipsa fecissent ac dixissent.

5. Aliter enim judex simpliciter diceretur: Sed nunc, ut comparatus ad ducem et ad prætorem et ad imperio maximo præpositum, est subprætor, et subdux et hyparchus, sic et ad judicem illum præcipuum, cui quasi thema subest primitivum, est actor scenicus; colligens quidem et ipse critico modo, opera et verba, ambo heroica, non tamen indubitabiliter illa ipsa quæ secundum accuratam sunt veritatem, sed verisimilia et forsitan ita se habentia, et moribus illorum submissa, et ita fere sub judicio illorum posita; ad suadendum auditoribus ut credant, si non ipsissima, ut quis dixerit, saltem talia debuisse prototypa esse heroica, quibus disciplina theatralis refulget, et adeo ut hujusmodi orator dicere auderet animas heroicas evocatas loqui et facere, per illos actores ea quæ

γ'. Τί δέ μοι ἐπεξελθεῖν κατὰ μέρος τοῖς τοιούτοις εἰς πλέον ἀγαθοῖς, δέον ὃν ὑποκρούσασθαι τοῖς εὖ εἰδόσιν, ὡς τὸ τῆς τοιαύτης ὑποκρίσεως εἶδος παντοίαν ἱστορικῶς ἀρετήν τε καὶ κακίαν τοῖς ἀρχαίοις ἐξέθετο εἰς τε πρόσοπτον καὶ εἰς ἐπήκοον, ὡς τὴν μὲν ἐκείνους αἱρεῖσθαι, τὴν δὲ ἀποπροσποιεῖσθαι; Ὅ δὴ καλὸν ἐκεῖθεν κατέδη καὶ εἰς τοὺς μετέπειτα, ἵνα μὴ μόνον ἐκ τῶν ζώντων ἐρανιζώμεθα τὴν τοῦ ἀγαθοῦ μάθησιν, ἀλλὰ καὶ νεκροῖς ὁμιλοῦντες δι' ὑποκρίσεως ἐκείνης, τὴν κατ' ἀρετὴν ζωὴν προσεπικτώμεθα. Καὶ τοιαύτη μὲν ἦν ὅτε ἡ ὑποκριτικὴ ἐπίδειξις, μίμησις οὖσα προσώπων τε καὶ πραγμάτων ἔλλογος, καὶ ἀνθολόγημα τῆς ἐν ἐκείνοις ποιότητος ἐπὶ παιδεύσει τῶν ἐντυγχανόντων. Καὶ ἦν ὁ τότε ὑποκριτὴς ἀρετῆς ἁπάσης διδάσκαλος, παρεισάγων μὲν εἰς τὸ θέατρον καὶ τύπους κακιῶν, οὐχ ὥστε μὴν μορφωθῆναί τινα πρὸς αὐτάς, ἀλλ' ὡς ἐκτρέψασθαι· εἰπεῖν δὲ καὶ ἄλλως, ψευδόμενος ἐκεῖνος τὸ πρόσωπον, ἀληθιζόμενος ἦν τὸν διδάσκαλον· καὶ εἶχον οἱ θεαταὶ πορίζεσθαι τηνικαῦτα ψεῦδος καὶ ἐκεῖνο ἐπαινετόν, οὗ τὸ μὲν παχὺ καὶ πρὸς αἴσθησιν οὐδὲν οὐδόλως ἦν πρὸς ἀλήθειαν, τὸ δὲ πρὸς ἔννοιαν τὴν ἐκλαλουμένην ψυχῆς ἦν τι μόρφωμα.

δ'. Ἔστι δὲ τὸν ὑποκριτὴν ἐκεῖνον εἰπεῖν καὶ ὡς οἷον λόγον αὐτόχρημα. Τὸ γὰρ καθ' ὑπόκρισιν σῶμα ψευδόμενος εἰς τὸ πᾶν, ταῖς γοῦν διδασκαλίαις σόσιωτο, καί πως ἐῴκει κάτοχος ἐκεῖνος εἶναι ψυχαῖς ἡρωϊκαῖς, ὑφ' ὧν ψυχαγωγικῶς ἐμπνεόμενος ἐδίδασκε τοὺς ἀκροατάς. Τάξοι δὲ ἄν τις αὐτὸν καὶ ὡς εἰς ὑποβολέα, λόγους ἀλλοτρίους εὐθυβόλως πορθμεύοντα τοῖς ἀκροωμένοις· ἢ καὶ ὡς οἷον διπρόσωπον θατέρῳ τοῖν προσώποιν ἐνεργοῦντα, εἰ καὶ μὴ κατὰ τὸν περιαδόμενον Ἴαννον· ἢ καὶ διπλοῦν τινα, εἰ καὶ ἄλλως, ἅπερ οἱ Μολιονίδαι. Φαντάσηται δ' ἄν τις ἐν τῷ τοιούτῳ καὶ τὸν τερατευόμενον μεταγγισμὸν μετεμψυχώσεως λόγῳ. Ὁ δὲ τὸν νοῦν ἀπέριττος καὶ ὡς εἰς ἐντολέα τὸν τοιοῦτον ἐγγράψεται, καθυπουργοῦντα προσώποις ἡρωϊκοῖς, ὡσεὶ καὶ λόγους ἐκείνων καὶ ἔργα πρὸς μίμησιν ἐξεμάττετο· οὐ κρίνων μὲν κατ' ἐκείνους, ταὐτὸν δ' εἰπεῖν, διακρίνων ἢ ἐπικρίνων, καὶ οὕτω κριτικῶς ὁρίζων, αὐτὰ δὴ τὰ ἐκείνων, ἵνα καὶ ποιῇ καὶ λέγῃ, ἅπερ ἂν ἐκεῖνοι αὐτόχρημα.

ε'. Ἦ γὰρ ἂν κριτὴς ἀσυνθέτως ἐλέγετο. Νῦν δὲ, ὥσπερ ἐστὶ πρὸς τὸν δοῦκα καὶ πρὸς τὸν πραιτῆρα καὶ πρὸς τὸν ἐν μεγίστῃ ἀρχῇ ὁ ὑποπράκτωρ καὶ ὁ ὑποδούξ καὶ ὁ ὕπαρχος, τοῦτο καὶ πρὸς κριτὴν ἐκεῖνον κορυφαῖον οἷον ὄντα διὰ τὸ πρωτόθετον ὁ ὑποκριτής· ἀναλεγόμενος μὲν καὶ αὐτὸς κριτικῷ τρόπῳ ἔργα καὶ λόγους, ἡρωϊκὰ καὶ ἄμφω, οὐ μὴν ἀναμφιλέκτως αὐτὰ ἐκεῖνα τὰ πρὸς ἀπηκριβωμένην ἀλήθειαν, ἀλλ' ἐοικότα, καὶ τάχα ἂν οὕτως ἔχοντα, καὶ ὑπαγόμενα τοῖς ἐκείνων ἤθεσι, καὶ ὡς ὑπό γε κρίσει ὄντα τῇ κατ' ἐκείνους· ὡς ἔχειν πείθειν τοὺς ἀκροατὰς οἴεσθαι, εἰ καὶ μὴ αὐτότατα, καθά τις ἔφη, ἀλλὰ γοῦν τοιαῦτα εἶναι ἂν καὶ τὰ πρωτότυπα· ἡρωϊκά, οἷς ἡ ὑποκριτικὴ ἐλλάμπεται μέθοδος, καὶ εἰς τοσοῦτον, ὡς καὶ ταλμῆσαι ἂν τὸν οὕτω ῥητορεύοντα φάναι, ψυχὰς ἡρωϊκὰς ἀναγομένας λαλεῖν καὶ ποιεῖν

διὰ μέσων τῶν ὑποκριτῶν τὰ εἰς κηληθμὸν, ὡς οὕτως εἰπεῖν, τῶν θεατῶν. Οὐ ποιητικὸν ἴδιον παρ' ἄλλοις μὲν αἱ ἀοιδαὶ Μοῦσαι, παρὰ δὲ τῷ κορυφαίῳ ἐν μελικοῖς αἱ Κηληδόνες, ἄλλο τέρας αὐταὶ παράγε τὸ τῶν Σειρήνων. Ὁ δὲ οὕτω τολμηρὸς ῥήτωρ καὶ τὴν ἐντεχνον παλαιὰν ὑπόκρισιν ὁρίσηται ἀνεφήτευτον ψυχαγωγίαν, βελτιοῦσαν τὸν βίον, καὶ τὸν αὐτὴν μετιόντα ὑποφήτην ψυχῶν ἡρωϊκῶν πρὸς βίου λυσιτέλειαν, ἢ βιβλίον ἱστορίας ζῶν καὶ λαλοῦν, ἢ καὶ ἡρώων ὑπαδρηστῆρα, οἷς καὶ τεθνεῶσιν ὁ νοῦς δι' αὐτοῦ περὶ γῆν σώζεται.

A sunt spectatoribus, ut ita dicam, incantamentum. Sic poeticum privilegium quidem apud cæteros sunt cantatrices musæ, apud vero coryphæum in melicis sunt Celedones, aliud ipsæ monstrum præter Sirenum prodigium. Ille vero audacis-imus rhetor industriosam veterem artem scenicam definiret animarum sine magia evocationem, quæ vitam meliorem facit, et eum qui prosequitur illam, vatem animarum heroicarum ad vitæ utilitatem, vel historiæ librum viventem et loquentem, vel heroum famulum, per quem illorum etiam mortuorum mens in terra servatur.

ς'. Καὶ οὕτω μὲν ἀγαθὸν παλαιὸν καὶ ἡ ὑπόκρισις, καὶ ὁ κατ' αὐτὴν τεχνίτης. Ἐπεὶ δὲ οὐκ ἦν μὴ καὶ τὸ καλὸν ἐκεῖνο καπηλεύθῆναι, καὶ πρῶτα μὲν ἀχρειωθῆναι κατὰ παράμιξιν φαυλότητος, εἶτα καὶ παντελῶς ἀμαυρωθῆναι, ὡς ἀντὶ τέχνης εὐχρήστου εἰς ματαιοτεχνίαν, εἴτε κακοτεχνίαν διεκπεσεῖν, ἀνύει ταῦτα ὁ πολύτροπος βίος· καὶ κατά τι φθόνου τέχνασμα τῇ ἀγαθουργῷ ἐπιβουλευσάμενος ὑποκρίσει, πρῶτα μὲν ἐπινοεῖται τὰ Σατυρικὰ, μίγματα ἐκεῖνα πράξεων καὶ λόγων τῶν ἐν προσώποις ἡρωϊκοῖς, ὧν τὸ κρᾶμα γέλωτι καὶ σπουδῇ παραμέμικτο. Καὶ ἴσασιν αὐτὰ οἱ ἐντετυχηκότες παλαιοῖς πονήμασιν, ὧν ὀλίγα τινὰ περιφέρεται.

B 6. Et sic quidem bonum erat antiquum et ars scenica et hujus artis artifex. Cum autem fieri non posset ut hoc bonum non corrumperetur, et primo quidem ob vilium rerum admistionem inutilis fieret, deinde prorsus etiam sic obfuscaretur, ut, artis bonæ loco, in vanum sive malum desineret artificium, hæc perficit multiformis vita; et, secundum aliquam invidiæ machinationem, utili insidiata theatro, excogitat satyram, misturam illam actionum et sermonum in personis heroicis positorum, quorum compositio risu gravitateque commista est. Hæc sciunt qui veteribus studuerunt operibus, quorum aliqua pauca circumferuntur.

ζ'. Μετὰ δὲ τὰ Σατυρικὰ σπουδαιογελοῖα εὐδοκίμησε τὸ Κωμῳδικὸν ὑποκριτικὸν, οὐκέτι προσώπων ἡρωϊκῶν ἀντεχόμενον, εἰ μή που ἐν παρέργῳ· τὰ πολλὰ δὲ συρφετοῖς ἐγκαλινδούμενον, καὶ οὕτω κατα-

7. Post satyram autem jocoso serioque temperatam, in honore fuit repræsentatio comica, non jam personas heroicas tractans, nisi forte per accessionem, sed plerumque sordibus involuta, sicque con-

C πατούμενον, καὶ ἂν κεισόμενον εἰς παρόραμα, εἰ μὴ καλλιῤῥημονοῦντες οἱ κωμῳδοὶ ἐπήγοντο τὰς τῶν θεατῶν ἀκοὰς, καὶ οὕτω πλατυνάμενοι περιεσώθησαν εἰς ἀνάγνωσιν τοῖς ἐλλόγως βιοῦσιν· οἳ τοῦ ἐκεῖθεν μυελοῦ κερδαίνοντες ἀπόῤῥιπτοῦσι τὰ ὀστᾶ, καὶ ἄλλο δὲ πᾶν, ὅσον μὴ νόστιμον, εἰς ἐξουθένωσιν.

culcata, atque in despectum casura, nisi eleganter loquentes comœdi spectatorum captivassent auditum et ita diffusi servati fuissent ad instruendos rationabiliter viventes: qui medullam excipientes, ossa rejiciunt, et aliud omne, quodcunque non est utile, aversantur.

η'. Καὶ οὕτω μὲν τρεῖς αὗται παλαιαὶ ὑποκρίσεις, τῇ μὲν μεταχειρίσει διάφοροι, ἐλλόγιμοι δὲ ἄλλως καὶ ἐπαγωγοὶ, ἀνθήσασαι ἀνέκαθεν χρόνου, καὶ καρπὸν δὲ ἐνεγκοῦσαι πᾶσαι, ἡ μὲν παλαιὰ θαυμάσιον, ἡ δευτέρα δὲ καὶ τρίτη οὐδ' αὐταὶ πάντῃ ἀπόβλητον, ἐξώλοντο. Ἀνεφάνη δὲ τετάρτη μετ' ἐκείνας, οὔτε ἔλλογος, οὐδὲ μὴν ἀγαθὴ ὅλως εἰς ψυχὴν, καὶ διὰ τοῦτο ἐρεθίζουσα τοὺς φιλοῦντας τὸ ἀληθὲς, ὁμόσε χωρεῖν τῷ κατ' αὐτῆς ψόγῳ, καθὰ πρώτην

D ἀράξαντες λόγου βαλβῖδα ὑπεκρουόμεθα. Καὶ οἷα μὲν τὴν ἀρχὴν ἐν ἀνθρώποις ἐπολιτεύσατο, οὐκ ἂν εἰπεῖν ἔχοι μικρὸς ἀκρίβειαν. Ἐπολιτεύσατο δὲ ἂν πάντως, καθὰ οὐκ ἀγαπᾷ ὁ Θεός.

8. Et ita quidem tres illæ veteres comœdiæ, tractatu quidem diversæ, aliunde vero insignes et ad suadendum aptæ, quæ a longo tempore floruerunt et fructum tulerunt omnes, illa quidem antiqua mirabilem, secunda vero ac tertia nec ipsæ prorsus abjiciendum, perierunt. Apparuit autem post illas quarta, nec rationalis, nec prorsus ad animam utilis, et ideo veri amatores excitans quoad consentiendum in ejus vituperationem, tanquam prima sermonis repagula abscindentes insinuavimus. Quæ qualem in hominibus se gesserit ab origine dicere non posset nisi auctor gravis; sed omnino vitam degit qualem non amat Deus.

θ'. Ἔτι θετέον εἰς ὑποκρίσεως τόπον καὶ τὴν κατὰ τὸν ἀρχέκακον ὄφιν ἐκεῖνον ψευδαπάτην, τὴν ψίθυρον. Νῦν δὲ ἀκμάζειν ἔοικεν, εἴτε σφριγᾷν καὶ ὁρμᾷν καὶ τεθηλέναι εἰς καρπὸν σαπρόν. Ἐμὲ τοίνυν αὐτὸν, τὸν ἄρτι τοῦδε τοῦ κακοῦ ξυγγραφέα, ἐξόλλυσιν ἡ μιαρά. Καὶ γάρ τοι κατακώχιμος ὢν μυρίαις κακίαις, μήπου δὲ καὶ ἀπάσαις, διαλελώβημαι καὶ ὑπὸ ταύτης, ὡς οὐκ οἶμαι, εἴ τις ἄλλος τῶν κατ' ἐμέ. Δέον γοῦν ποτε χολᾷν, ἐφ' οἷς πραγματικῶς διάκειμαι, ἀνακαγχάζω, ἐπικρύπτων ἐμαυτὸν, ὡς

9. Ponendum est adhuc in arte scenica illam quæ secundum auctorem totius mali serpens seductrix est, susurrantem dico. Nunc autem florescere videtur, sive germinare, prorumpere ac abire in fructum putridum. Memet scilicet ipsum, præsentem hujus mali descriptorem, perdit bestia illa scelerata. Etenim traditus mille iniquitatibus, sinon omnibus, ab ea diffamatus sum, ut nullus, puto, mihi æqualium. Oportet enim aliquando de negotiis quibus insum, vexari bilem; sed abscon-

dens me sient possum, rideo. Essent quidem a me segregandi : sed magis illos ad negotia reserve. Causam oporteret defendere : taceo in judicium mihi. Ut omnia brevissime dicam, plerumque sincerum virum mentior. Utinam tandem non prorsus fallar, te precor, Deus Salvator, qui super me posuisti manum tuam. Hoc igitur unum non simulo, sanctitatem, a qua remotus sum, non solummodo, « quantum a terra distat cœlum, » sed, si sic loqui licet, quantum ex superterrenis ad fictos antipodes spatium currit. Ecce pessimum memetipsum manifesto. Non enim sinceritati memetipsum fallaciter inscribo, secundum plerosque eorum qui sunt circa nos, ego qui etiam frivolos homines inter aniles et vetulos et stupidos numero; nec æque cunctis in amicitiam imprudentem, blanditorem me præbeo. Verum, stricte semper quæ secundum Deum est, charitatem amplectens, nihilominus invitante tempore, contra malitiam latro, dixerit ille malignus qui laudabilem reprehensionem in latratu ponit; et neque paciscerer, neque complectenti coadunarer, etsi simultatem mihi exprobrans rumperetur. Cum flere oportet, non risu sardonico utar. Est quoque mihi rationalis lætitiæ occasio, cum non, contractis superciliis nec labiis constrictis, suffoco gaudium, illud intus per hypocrisin componens. Non simulanter laudarem quem non diligo, linguæ gratiam fingens adulatoriam, cum etiam adulationem scio propaginem pravæ stipitis, simulationis. Non item sobrietatem fingam, satius ducens captum ebrietate me videri quam fallaciter pro homine sobrio haberi. Manum habens messe quæ venit a Deo plenam, fructum non abscondam.

10. Ut totum declarem, simulationem ego, ut qui maxime ex omnibus, in odio habeo. Hoc autem dico non glorians, Astydamantis instar, ut dicitur, sed secundum accurationem studio proprio immunem. Prorsus enim malum istud detestor, et ab illo, quantum possum declino. Si vero in his forte diversæ locutionis convincor, hinc quidem memetipsum accusans de more simulatorio, sicut jam antea confessus sum, illinc autem idem negans, ecce mihi factus advocatus in veritate dico quod de cætero prosequens sinceritatis solem, simulationis effugio tenebras; sed quæcunque simulatorie facere confessus sum, hæc sunt a me rationes œconomiæ, qualem regula præscribit discretos sermones dispensare statuens, labiaque secundum opportunitatem aperire, nec non apertæ locutionis intempestivitatem vitare, atque omnino rerum conditionibus ad opus accommodari. Quod quidem si quis tribuit simulatorio discrimini, non posset omnem honestatem et moderationem et disciplinam, quibus in vitiorum fugam inducuntur homines, hypocrisi non subjicere. Manifestum est enim, quod hominum natura, quæ lubrica est et errabunda facile potest præcipitari in ruinam; ille vero qui rectitudinis Dominus est, desuper respiciens

ἐγὼ οἶδα. Δέον δν ἀφορίζειν τινὰς ἀπ' ἐμοῦ, ἀγκαλίζομαι τοὺς τοιούτους πραγματευτικώτερον· δέον διακωλογήσασθαι, ἀλλὰ ἐγκεμυθῶ εἰς κρῖμα ἐμοί. Τὸ πᾶν ἐν βραχυτάτῳ εἰπεῖν· ψεύδομαι τὸν ὀρθὸν ἄνθρωπον τὰ πολλά. Μὴ γάρ μοι γένοιτο ἐς τὸ παντελὲς, μή, ὦ Θεὲ Σῶτερ, ὁ καὶ εἰς ἐμὲ θεὶς τὴν χεῖρά σου. Ἐν γοῦν ἐκεῖνο οὐχ ὑποκρίνομαι, τὴν ἁγιότητα, ἧς ἀφιστάμενος οὐ μόνον, « ὅσον οὐρανὸς ἐστ' ἀπὸ γαίης, » ἀλλ' εἴπερ ἦν εἰπεῖν, καὶ ὅσον ἐκ τῶν ὑπεργείων εἰς τοὺς ἐννοουμένους ἀντίποδας. Ἐκφαίνω ἐμαυτὸν ἰδοὺ περιπόνηρον. Οὔτε γὰρ εἰς ἁπλαστίαν ἐμαυτὸν ψευδογραφῶ κατὰ τοὺς πλείους τῶν περὶ ἡμᾶς, ὁ καὶ τοὺς ἀβαθεῖς ἀνθρώπους εἰς μαμμακούθρους καὶ πολυώρους καὶ μελιτίδας ἐγγράφων· οὐδὲ μὴν ἐπίσης ἅπασιν ὡς ἐς φιλίαν ἀδιακρίτως προσφέρομαι ἀρίσκου δίκην. Ἀλλὰ στέργων ὀρθῶς ἀεὶ τὴν κατὰ Θεὸν ἀγάπην, ὅμως καιροῦ καλέσαντος καθυλακτῶ τοῦ κακοῦ, εἴποι ἂν ἐκεῖνος ὁ κακὸς, ὃς τὸν ἐπαινετὸν ἔλεγχον εἰς βαῦσμὸν τίθησι· καὶ οὐκ ἂν οὔτε συναλλάξαιμι, οὔτε ἀσπαζομένῳ προσενωθείην, κἂν διαῤῥαγείη ἐπικαλῶν μοι τὸ μνησίκακον. Κλαῦσαι δεῆσαν, οὐκ ἂν ἐκγελάσω σαρδόνιον. Ἔστι μοι καὶ χαρμονῆς ἐλλόγου καιρὸς, ὅτε οὐκ ἂν συναγαγὼν τὰς ὀφρῦς, καὶ τὰ χείλη συσφίγξας, πνίξω συστείλας· τὴν χαρὰν ἐντὸς ὑποκριτικῶς. Οὐκ ἂν ὑποκρινάμενος ἐπαινέσαιμι, ὃν οὐ φιλῶ, ψευδόμενος γλώσσης χάριν κολακικώτερον· ἐπεί τοι καὶ τὴν κολακείαν παραφυάδα οἶδα φαύλου στελέχους, τῆς ὑποκρίσεως. Οὐ προσποιήσομαι οὐδὲ τὸ ἐγκρατευτικόν. Βέλτιον ἡγήσομαι κατάσχετος μέθῃ ἐκφανθῆναι, ἤπερ ψευδογραφηθῆναι πρὸς νηστευτήν. Πεπληροφορημένος τὴν χεῖρα θέρους τοῦ ἐκ Θεοῦ, οὐκ ἐπικρύψομαι τὸν καρπόν.

ι'. Συνόλου δὲ ἀποφήνασθαι· ἀπεχθῶς ἐγὼ διάκειμαι περὶ τὴν ὑπόκρισιν, ὡς οὐκ οἶδ', εἴ τις ἀνθρώπων. Λέγω δὲ αὐτὸ, οὐκ ἀποσεμνύνων ἐμαυτὸν Ἀστυδάμαντος δίκην, ὃ λέγεται, ἀλλὰ πρὸς ἀφίλαυτον ἀκρίβειαν. Πάνυ γαρ μισῶ τουτὶ τὸ κακὸν, καὶ εἰς ὅσον δύναμις, παρεκκλίνω ἀπ' αὐτοῦ. Εἰ δὲ τυχὸν ἐναντιοφωνίας ἐν τούτοις ἁλίσκομαι, πῇ μὲν κατηγορῶν ἐμαυτοῦ τὸ ὑποκριτικὸν ἦθος, ὡς φθάσας ἀνθωμολογησάμην, πῇ δὲ ἀπαρνούμενος τὸ αὐτὸ, ἀλλ' ἰδοὺ δικηγορῶν ἐμαυτῷ λέγω πρὸς ἀλήθειαν, ὅτι ἄλλως μὲν μεταδιώκων τὸν τῆς ἀνυποκρισίας ἥλιον, ἐκφεύγω τὸ τῆς ὑποκρίσεως σκοτεινόν· ὅσα δὲ διωμολογησάμην δρᾷν ὑποκριτικῶς, ἀλλ' ἐκεῖνα οἰκονομίας εἰσὶ καὶ παρ' ἐμοὶ μέθοδοι, ὁποίαν ὁ ὀρθὸς παραγγέλλει κανὼν, λόγους τε κριτικοὺς οἰκονομεῖν ἐκεῖνος διατατόμενος, καὶ χεῖλη ἐν καιρῷ ἀνοίγειν, καὶ τὸ τῆς παῤῥησίας ἄκαιρον ἀπολέγεσθαι, καὶ ὅλως ταῖς περιπετείαις τῶν πραγμάτων εἰς δέον ἁρμόττεσθαι. Ὅπερ εἴ τις ὑποβαλεῖ διαιρέματι ὑποκριτικῷ, οὐκ ἂν φθάνοι καὶ πᾶσιν σεμνότητα καὶ κοσμιότητα καὶ παίδευσιν, δι' ὧν τῇ τῶν κακῶν ἀποχῇ ἐνάγονται ἄνθρωποι, καθυπάγωνεῖς ὑπόκρισιν. Δῆλον γὰρ, ὡς ἡ μὲν κατ' ἄνθρωπον φύσις εὐόλισθος οὖσα, καὶ τὸ ἁμαρτητικὸν εὐπετῶς ἔχει καταῤῥιπτεῖσθαι, ὅπη μὴ χρή· ὁ δὲ τῆς ὀρθότητος Κύριος

ὑπερείδων αὐτὴν, δύο ταῦτα ἐξανύει ἀγαθὰ, κατα- A illam, hæc duo bona perficit, a cadendo præser-
πίπτειν τε καλύων ἐν τῷ ὑπερείδειν καὶ συγκρο- vans, sustentando fortificans, et lapsam erigens. Et
τεῖν, καὶ πεσοῦσαν ἐξανιστῶν. Καὶ οὐ δήπουθεν ὁ sane qui cæteroquin quidem pronus est ad malitiam,
ἄλλως μὲν ἕτοιμος εἰς πανοῦργον, τῇ δὲ κατὰ νοῦν δια- sed spiritali moderatione erigitur, non appellabitur
κρίσει ἐξορθούμενος, λέγοιτο ἂν ὑποκριτής. simulator.

ια'. Ὑποκριτὴν γὰρ οἴδαμεν εἶναι τὸν ἐν ἀγαθῇ 11. Simulatorem quidem esse scimus eum qui bona
προσποιήσει καὶ φαντασίᾳ τῇ ἔξωθεν εὐχρηστεῖσθαι specie et apparentia videtur utilis et divinum cre-
δοκοῦντα, καὶ ὡς εἰς μύρον θεῖον καθεστάναι· τὰ δὲ deretur unguentum; interius autem inutilis est ac
ἐντὸς ἀχρεῖον καὶ ὀδωδόσα· καὶ θεῖον μὲν δολίως fœtet; fraudulenterque divinus apparet, dum se-
προφαινόμενον, δαιμόνιον δὲ τὰ ἐς κρύφιον. Εἰ δὲ creto dæmoniacus est. Si vero talis est hypocrita,
τοιοῦτος ὁ ὑποκριτὴς, πῶς ἂν εἴη ὅμοιος ὁ τῇ κακίᾳ quomodo ei similis esset qui cum malitia luctatur?
παλαίων; καὶ πολεμούμενος μὲν ὑπ' αὐτῆς, νικῶν qui quidem ab illa bello oppressus illam tamen
δὲ αὐτὴν ἐγκρατῶς· καὶ κολακευόμενος μὲν, ἀνα- firmiter vincit; et adulatus ab eadem, respuit et
νεύων δὲ καὶ καταπτύων αὐτῆς, ὅτε φιλεῖν αὐτὸν conspuit illam, quando vult osculari eum. Atta-
ἐθέλει. Ἀλλὰ ταῦτα μὲν οὕτω καθιστάσθω μοι, τάχα B men hæc quidem mihi sic statuta sint, forte qui-
μὲν ἀμεμφῶς ἔχοντα, ἴσως δὲ καὶ ἄλλως. dem irreprehensa, aliquando vero reprehendenda.

ιβ'. Οἱ δὲ ὑποκριταὶ, ὧν καὶ φθάσας πεπείραμαι 12. Hypocritæ vero, quos jam expertus sum et
καὶ εἰσέτι πειρῶμαι, τοιαύτην ἔχουσι καταγραφήν. adhuc experior, talem subeant delineationem. Fin-
Ὑποποιοῦνται πρὸ τῶν ἄλλων τὸ φίλιον, πομπεύον- gunt ante omnia amicitiam, subeant provocantes
τες τὸν παρατυγχάνοντα, θώπτοντες, αἰκάλλοντες occurrentem, adulantes, mulcentes, ut faciunt
ὡς οἷα καὶ τινα κυνάρια σαίνουρα, κνυζώμενοι, προ- catuli caudam moventes, gannientes, ad pedes pro-
κυλινδόμενοι ποδῶν, λείχοντες μικροῦ καὶ ἴχνη, πρὸ voluti, vestigia fere lambentes, coram dilectis, beni-
τῶν φιλουμένων βαΰζοντες εὐνοϊκῶς δῆθεν, πάντα gne sane, latrantes, omnia facientes, omnia dicen-
ποιοῦντες, πάντα λέγοντες, δι' ὧν ἂν ἐφελκύσωνται tes, quibus alliciant hominem ad assuescendum ipsis
ἄνθρωπον, προσανέχειν αὐτοῖς ὡς ἑταίροις φίλοις· ut charis sociis; plorantes, non solum, quando
κλαίοντες, οὐ μόνον, ὅτε δάκρυον ὁ φιλούμενος ἐκρή- amicus in tribulationis lacrymas erumpit, sed etiam,
ξει θλιβερὸν, ἀλλὰ καὶ, ὅτε που χαίρων αὐτὸς πάθῃ, cum forte gaudens ipse sic afficitur, et cum super-
καὶ ὀπηνίκα δὲ οὕτω συμβὰν ὀφθαλμία ἐπιγενομένη veniens oculorum morbus visum dolore premit
λυπήσει τὴν ὄψιν ὡς εἰς δάκρυον, ὃ πήγνυται καὶ tanquam ad fletum, qui coaguletur in lippitudinem.
εἰς λήμην. Πάντῃ γὰρ πάντως μεθοδεύουσι, τῷ γε- C Ubique enim omni modo student irriso conformari,
λωμένῳ συσχηματίζεσθαι, ἀκριβούμενοι τὴν πρὸς naturalem ipsius typum exprimere conantes; et
ἐκεῖνον εὐφυῶς τύπωσιν· καὶ οὕτω μὲν κλαίοντες, ita quidem flentes; lætantes vero interdum quidem
χαίροντες δὲ ἀστείως μὲν ἴσως, ὅτε χαρὰν ὁ θωπευ- urbane, quando lætitiam adulatus habet; hoc
όμενος ἔχει· τὸ δὲ καὶ ἄλλως, ἢ κέρχνειν ἢ βῆχειν autem alias, si forsan raucitas vel parva tussis illi
ἠρέμα ἐπέλθοι ἐκείνῳ. Ὑποποιησάμενοι γὰρ, δοκεῖν supervenial. Conspicati enim illum ridentem suffo-
ἄγχεσθαι γελῶντα ἐκεῖνον, συνδιατίθενται τῷ καγ- catoque fere similem, ad imitationem ejus cachinni
χασμῷ εἰς ὁμοιότητα· ψύλλης δὲ ἐνδακούσης, ὡς componuntur. Quod si pulex momorderit, ut signo
ἐπισημήνασθαι, ἢ μυίας ἐπιπετασθείσης, ἕτοιμοι manifestetur, vel insederit musca, parati sunt ad-
καὶ ὁπλοφορεῖν κατὰ τῶν ἐνδακόντων οἱ θῶπες. Εἰ versus mordentes arma capere adulatores. Si vero
δέ πως ὑπώπιον ἢ πρόσκομμα πάθοι βληχρόν τι καὶ forte quamdam levem suggillationem vel subob-
ἀμυδρὸν, σπένδουσιν Ἀσκληπιῷ καὶ Πανακείᾳ, συν- scurum patiatur offendiculum, Æsculapio Pana-
επικαλούμενοι καὶ τὴν Ἰασὼ πρὸς θεραπείαν. Ὅτε ceæque libant, insuper et Jasonem ad curationem
δὲ καὶ εἰς πτάρμὸν ἐξανεμωθῇ, βαβαὶ τῶν προσκυ- invocantes. Cum autem in sternutamentum exagi-
νημάτων καὶ τῶν εὐφημιῶν! Ἀγωνιῶσι, καὶ κρο- tetur, papæ! quæ salutationes et qualia vota! In
κύδα ἢ ἔχνην τινὰ ἐφιζάνουσαν ἰδόντες τῇ τοῦ φίλου D angoribus sunt tramam vel glumam in amici vesti-
ἀναβολῇ. Καθημένῳ παρίστανται ἀτενεῖς, τὰς χεῖ- mento supersedentem videntes. Apud sedentem
ρας ἐπαλλάξαντες πρὸ τοῦ κόλπου, ὡσεὶ καὶ βασι- astant attenti, manibus ante sinum consertis
λέως ἔμπροσθεν, ἐθέλοντες οἶμαι καὶ ὄπίσω συνδῆ- tanquam in regis conspectu volentes etiam, puto,
σαι περσικώτερον αὐτὰς, ἵνα τὸ δουλοπρεπὲς εἰς persico more, retro ligatas illas habere, ut ad ser-
πλέον ἐμφήνωσιν. Ἐξαναστάντος αὐτοῦ σκύλλονται, viendum devoti magis appareant, assurgente,
ἀπορούμενοι, ὅ τι δράσαιεν ἢ ἐξ ἐπιταγῆς, ἢ ἄλλως laborant illi, observantes quid faciant vel ex jussu,
Ὀδεύοντι παρομαρτοῦσιν, ὅσα καὶ ὀτρηροὶ θεράποντες, vel aliter, iter facientem comitantur, veluti celeres
φιλονεικοῦντες τὴν πρόοδον. Μακαρίζουσι τοὺς servi, progressum æmulantes. Beatos prædicant
γειναμένους τὸν ἄνθρωπον. Εἴ τι λαλήσει, φαντά- qui genuerunt hominem. Si quid loquatur, illum
ζουσιν αὐτὸν, ὀλίγον μέν τί ἐστιν, ἐὰν εἰς Δημοσθέ- parum abest quin vel in Demosthenem, plures
νην, οἱ δὲ καὶ εἰς αὐτὸν Ἑρμῆν. Τοξεύων, εἰς Ἄβα- etiam in ipsum Mercurium transfigurent. Sagittans
ριν εἰκάζεται τὸν περίκλυτον· τρέχων, εἰς Βορεάδας Abaris famam adæquat; currens, aquilonibus as-
ἀνάγεται· μικρὸν γὰρ, εἴπερ εἰς Περσέα, τὸν similatur; parum enim, si Perseo, qui, velut
καθά τις ἔφη ἀρβυλόπτερον. Ἄδων, Ὀρφέως ἐμ- aliquis dixit, pennipes erat. Cantans, Orpheo-

δέ· νόσοι, οὔτε γῆρας οὐλόμενον κέκρανται γενεᾷ, ἤγουν· οὔτε νόσοι, οὔτε γῆρας. Τοῦτο δὲ τὸ σχῆμα καὶ τοῖς ὕστερον ἐζήλωται, οἷον· ξίφος, οὐδὲ πῦρ, οὐδ' αἰκισμὸς, ἤγουν· οὐ ξίφος, οὐ πῦρ, οὐκ αἰκίσει. Τοιοῦτόν τι καὶ τό· βαρουμένη γαστὴρ οὐ μόνον πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐπιτηδεία. Τὸ γὰρ ἐντελές· οὐ μόνον οὐ πρὸς δρόμον ἐπιτηδεία. Ἔχοι δ' ἂν οὕτω συμβιβάσαι τις καὶ τό· ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. Ἀρνήσεως γὰρ ἔνδειαν τὸ πρῶτον ἔχειν δόξει ἂν κόμμα, νοουμένης ἀπὸ κοινοῦ ἐκ τῆς κειμένης ἐν τῷ δευτέρῳ. Πινδαρικὸν δὲ καὶ τό· Διὶ σὺν Αἰακῷ, ἤγουν σὺν Διὶ καὶ Αἰακῷ. Καὶ ἐν αὐτῷ γὰρ ἀπὸ κοινοῦ λαμβάνεται, ὡς καὶ ὀπίσω τὸ τεθὲν ἔμπροσθεν, ἤγουν ἡ σὺν πρόθεσις.

ιγ'. Ἔστι δὲ καὶ διὰ τὸ λίαν περιφραστικὸν ἀσαφὴς ὁ Πίνδαρος, ὃ τεχνᾶται δεξιώτατα, εἰς ἑαυτόν τε τοῦτο ποιῶν καὶ εἰς τὰ τῶν ἄλλων.

ιδ'. Ὅτι δὲ ὥσπερ ἡ πυκνὴ περίφρασις παρ' αὐτῷ ἀσάφειαν ποιεῖ, οὕτω καὶ ἡ συντομία, καθ' ἣν καὶ στενολεσχεῖ που ὁ ἐν πολλοῖς πλατύνεσθαι τεχνώμενος.

ιε'. Καὶ ἡ καινότης δὲ τῶν διαλέκτων, δι' ἧς καινοφραδής ἐστι καὶ ἀλλόκοτος εἰς ἀκοήν, ἡ τοῦ βιβλίου δηλώσει ἀνάγνωσις.

ις'. Καὶ ἐπιθέτων δὲ πόριμος ἐπινοητὴς ὁ αὐτὸς διεκπίφηνεν, ὡς ὅτε δίχα μυρίων ἄλλων τὸ γενναῖον *πρατησίπαχον* λέγει, καὶ *ἵππον πρατησίποδα* τὸν δρόμῳ νικήσαντα, πρὸς ὁμοιότητα τοῦ *χαλκόποδες ἵπποι*, καὶ τοῦ *πρατιπόδες*· καὶ *πόλεμον χαλκεντέα*, καὶ *λαὸν ἱππαχμον*, ὡς πρὸς τὸ *ἱποκορυστήν*· καὶ *φόβον ἐνδροδάμαντα*, ὡς εἴ τις εἶπει *λαοδάμαντα*· καὶ *Δία εὐρύζυγον* ἄλλως παρὰ τὸ *ὑψίζυγον*· τὸν δ' αὐτὸν καὶ *ὀρσίκτυπον* καὶ *ἐρισφάραγον* καὶ *ὀρσιτεφῆ* καὶ *αἰολοβρόντην* καὶ *φοινικοστερόπαν*· καὶ Ἀθηνᾶν δὲ *ἐγχείβρομον* καλεῖ ἐπιθετικῶς, καὶ *αἰχμὴν δαμασίμβροτον*, καὶ *ἀλιερκέα Αἰγιναν*, ὡς εἴπερ ἦφι *ἀμφίαλον*· καὶ *κρατησιβίαν χερσὶ* τὸν ῥωμαλέον, καὶ *ἁρμασιδρόπους* τοὺς ἱππικωτάτους, καὶ *ἐλασίχθονα Ποσειδῶνα* τὸν ἐννοσίγαιον, καὶ *ἑλικοβλέφαρον Ἀφροδίτην*, καὶ *ζωθάλμιον Χάριν*, καθ' ἣν ζῶν τις θάλλει· καὶ *ὡγῶνα δὲ μνησιστέφανον*, ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον *μνηστῆρα στεφάνων* εἶπεν, ὡς που καὶ αὐλητικὸν νόμον *μνηστῆρα ἀγώνων* ἔφη, ἤγουν εἰς μνήμην ἄγοντα τοὺς ἀγῶνας· κἀθὰ καὶ *λαὸν μνηστῆρα πολέμου* δριμέως πού φησι τὸν μεμνημένον μάχης, παρὰ τό· *μνήσασθε δὲ θούριδος ἀλκῆς*. Πολλαχοῦ δὲ καὶ δριμέως γράφει, μηδὲ μιᾶς τῶν ῥητορικῶν ἰδεῶν ἀπεχόμενος, ὡς καὶ, ὅτε τοὺς ἐνδόξους *εὐωνύμους* φησὶ, καὶ *λιτὴν* δὲ Ἠῶ τὴν εὐκταίαν, καὶ, ὡς ἄν τις Ὁμηρικῶς εἴποι, *πολύλιστον*, εἴτε καὶ καθ' ἑτερόν τινα *τρίλιστον*. Τοιοῦτον δέ τι καὶ τὸ *στάσιν ἀντιάνειραν* φάναι, Ὁμήρου Ἀμαζόνας *ἀντιανείρας* εἰπόντος. Ὅλως δὲ καὶ ἡ φιλοτιμία τῶν καινοφώνων ἐπιθέτων ἐπιτετήδευται τῷ Πινδάρῳ, τὰ πλείω ἐκ παραποιήσεων καὶ ὁμοιώσεων παλαιῶν. Καὶ δοκεῖ ὁ ἀνὴρ κάνταῦθα μὴ ἐθέλειν ποιηταῖς ἑτέροις φανερῶς ἐπακολουθεῖν, εἰ δέ που καὶ ἀλῷ ἐφεπόμενος, ἔχειν ἐκτροπάς τινας, δι' ὧν ἄλλην τινὰ τρέπεται παρὰ τὰς λεωφόρους.

ιζ'. Ἔστι δὲ προς τούτοις καὶ ἀλληγορικὸς ὁ ἀνὰ χεῖρα μελοποιὸς καθ' ἑκατέραν ἀλληγορίαν, τήν τε κατὰ ῥήτορας, ἣν καὶ Ἑρμογένης οἶδε καὶ οἱ Ὁμηρίζοντες, καὶ ἣν πραγματεύονται οἱ τὰ μυθικὰ θεραπεύοντες. Εἰ δὲ σκληρῶς ἀλληγορεῖ τὰ πλεῖω, ἀλλὰ καὶ οὕτως ἡδὺς δοκεῖ, ὡς καὶ ἁπλῶς λυρικὸς, καὶ ὡς Πίνδαρος ἰδιότητα σώζων, ἣν αὐτὸς εἵλετο, οὐκ ἐκπίπτων ἄκρων εἰς ψυχρίαν, ἀλλὰ σκοπὸν αὐτὸ προθέμενος, καὶ εὐστοχῶν εἰς γραφῆς ἰδιότητα δυσμίμητον· καθ' ἣν καὶ τὴν τροπὴν πάνυ φιλῶν, ἧς ἄνευ οὐκ ἂν συσταίη οὔτε λόγος ῥητορικὸς, οὔτε ἄλλη τις ὁμιλία, ἐπεκτείνει καὶ τὰ τῆς τροπῆς δι' ἀλληγορίας, ἐχούσης τι καὶ σκληρότητος, εἰς παράσημον ἑαυτῷ καὶ τοῦτο τιθέμενος.

ιη'. Ἐμμετεργάζει δὲ καὶ ἐκφράσεσι, καὶ προθεωρίαις δέ που διαφωτίζει ῥητορικῶς τὰ γραφόμενα.

ιθ'. Παρεκβαίνει δὲ καὶ εἰς παλαιὰς ἱστορίας, οἷα καὶ πολυΐστωρ, ἔτι δὲ καὶ εἰς μύθους τρόποις πολλοῖς, ἐνίοτε καὶ ὑπὲρ τὸ μέτριον, χρώμενος ταῖς μὲν τῶν παρεκβάσεων οὐ κατά τινα ἐκφανεστάτην συνάρτησιν, ταῖς δὲ διὰ παραδειγματικὴν ἀνάγκην, τισὶ δὲ καὶ πρὸς γνωμολογικὴν πίστωσιν, ταῖς πλείοσι δὲ δι' ἐγκώμια προγόνων ἢ πατρίδος ἢ πατρίας τοῦ νικητοῦ.

κ'. Οὕτω δὲ στρυφνῶς φράζει ταῖς ἐννοίαις κατὰ πολύνοιαν, ὡς ἔργον εἶναι πολλαχοῦ, μᾶ τινι σταθερῶς ἐννοίᾳ ἐνευστοχῆσαι τὸν ἀναγινώσκοντα, διὰ τὸ οὕτω καὶ οὕτως νοεῖσθαι αὐτὴν κατὰ τὰ ἐν χρησμοῖς ἀμφίβολα. Πολλὰ δὲ τῶν τοῦ Πινδάρου καὶ γνωμικῶς δοκοῦντα λέγεσθαι, ὅμως καθ' ἑτεροίαν ἐπιβολὴν εἰς ἰδίαν ἔννοιαν ἕλκονται. Ἔστι δὲ δεινὸς καὶ οὐ μόνον τὸ ἐν ἐπεκτείνειν παραφράσεσι καὶ περιφράσεσι καὶ τισιν ἑτεροίαις μεθόδοις, ἀλλὰ καὶ τὰ πολλὰ συναιρεῖν εἰς κομιδῇ βραχύ. Ὁμήρου γοῦν *χάλκεον οὐρανὸν* φαμένου, καὶ *θεῶν ἕδος ἀσφαλές*, καὶ *χρύσεον δάπεδον*, αὐτὸς ἐπιτεμὼν ταῦτα συνεῖλεν εἰς τὸ *χαλκέσπεδα θεῶν ἕδραν* τὸν οὐρανὸν φάναι. Ἔστι δὲ καὶ ἐπιτυχὴς ταῖς γνώμαις καὶ ὑψηλὸς, οἷα μὴ μόνον εὐφυὴς, ἀλλὰ καὶ μεγαλοφυής.

κα'. Αἰολίζει δὲ τὰ πολλὰ, εἰ καὶ μὴ ἀτριβῆ δίεσιν Αἰολίδα, καὶ κατὰ Δωριεῖς δὲ φράζει, εἰ καὶ τῇ σκληροτέρας Δωρίδος ἀπέχεται, καθ' ἣν παίζει ὁ Κωμικὸς ἔν τε ἄλλοις, καὶ ἐν τῷ *Μῶα πᾶα*, ὅ ἐστι *Μοῦσα πᾶσα*. Εἰ μή τις τοιοῦτόν τι ἐρεῖ παρ' αὐτῷ εἶναι τό· *ἐπιτόσσας*, ὅ ἐστιν *ἐπιτυχὼν*, καὶ *τόσσαι* καλῶν, ἤγουν *ἐπιτυχεῖν*, καὶ τό· *ἀμεῦσαι*, ὅ ἐστι *παρελθεῖν* καὶ *νικῆσαι*, οἷον· *ἀμεύσεσθαι Νάξιον Τίσανδρον*· ὅθεν καὶ *ἀμευσιεπῆ φρενὸς ἴδα* φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν· καὶ *ἀμευσίπορον τρίοδον*, καθ' ἣν ἀμείβεται πορεία, ὡς ἄγεσθαι εἰς ταὐτὸν παρὰ τοῦτῳ τὸ *ἀμείβειν* καὶ

τὸ *ἀμοιβαῖον*. Εἴη δ' ἂν ὁμοίως παρ' αὐτῷ ασαφὲς κατὰ τὸ *αἶτος*, ὅπερ ἐστὶν *ἐνδιαίτημα*, καὶ τὸ *πέδοικος*, ὃ ἐστι *μέτοικος*, καὶ τὸ *πέδα στόμα φλέγει*, ἀντὶ τοῦ *κατὰ στόμα*, καὶ τὸ *πεδασχεῖν*, ἤτοι *μετασχεῖν*. Τὸ μέντοι *ἐρίξαι*, ἤγουν *εἰς ὄριν κτῆσαι*, οἷον *οὐ ψεῦδος ἐρίξω*, ἤγουν *οὐ πρὸς ψεῦδος φιλονεικήσω*, οὐχ οὕτως ἀσαφὲς, οὐδὲ τὸ *τιμῇ* καὶ *νικῇ* ἀντὶ τοῦ *τιμᾷ* καὶ *νικᾷ* (ὧν ἀπαρέμφατα εἴη ἂν *τιμῆν* καὶ *νικῆν*), οὐδὲ τὸ *ὄρνιξ*, *ὄρνιχος*, δωριστὶ καὶ αὐτό. Ἀλλὰ ἡ *αἱμακουρία* καὶ τὸ *ἀνασκᾶ* (ὃ δηλοῖ τὸ *ἡσύχως*, ὅθεν ἴσως καὶ ὁ παρ' Ὁμήρῳ *ἀκάκητα*) κατὰ τὰ πρὸ τούτων διαδώρισται, ὡς καὶ ἡ κατὰ ἔκθλιψιν ἀσυνήθη *πέροδος*, ἤγουν *περίοδος*· καὶ ὁ *κεχλαδὼς* δὲ ἡ μετοχὴ δοκῶν παρακεῖσθαι τῇ *χλιδῇ*, καινότατα παράκειται, τά τε ἄλλα· καὶ διότι μὴ διὰ τοῦ η προάγει τὴν χλιδὴν, κατὰ τὸ *δᾶμος*, *δῆμος*. Οὕτω δὲ καὶ τὸ *πρὰν* Δωρικὸν ἀποραῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ *πριν* εἰς τὴν διὰ τοῦ η γραφήν. Ἔτι οὐ τέτριπται εἰς κοινὴν σαφήνειαν οὐδὲ τὸ λέγειν Πινδαρικῶς *ἄποινα* τὴν *ἀγαθὴν ἀμοιβὴν*, ὃ ἐστιν *ἀντίχαριν ἔπαθλον*. Μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ *ἁρμῷ*, ἤγουν *ἅρτι*, ὃ παρ' ἑτέροις *ἁρμοῖ* λέγεται· ὡς καὶ παρὰ Λυκόφρονι γινόμενον, ὅθεν καὶ τὸ *ἀρτίως*, οἷον *ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται*. Καὶ τὸ *ἔπει* δὲ ἀντὶ τοῦ *ἔπειτα* ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ· ὥσπερ καὶ ἡ ἔλλειψις τὸ *ἅς* ἀντὶ τοῦ *ἕως*, οὗ χρῆσις καὶ παρὰ τῷ εἰπόντι· *ἅς γόνυ χλωρὸν*, ἤγουν *ἐφ' ἧς ἡλικίας*, *καὶ ἕως νεάζει τις*. Οὕτω δὲ καὶ παρὰ τῷ Πινδάρῳ καὶ παρ' ἄλλοις ἡ ἔλλειψις καινοποιεῖ καὶ τὸ ᾧ, ἀντὶ τοῦ *καθὰ*, οἷον· ᾧ τ' *ἀπὸ τόξου ἰεὶς*, ἤγουν *ᾧ τρόπῳ ἢ νόμῳ*, ἵνα λέγῃ, ὅτι *ὡς τοξεύων κατ' εὐθὺ λόγοις ἐπαίνων*, *καὶ μὴ πλαγιάζων παρεκβάσεσιν*, ἵνα ᾖ τὸ ᾧ *ἀπὸ τόξου ἰεὶς* ταυτὸν τῷ ᾗ, ὅπερ ἐστὶ θηλυκῶς, ἀντὶ τοῦ *καθά*. Ἀσύνηθες δὲ καὶ τὸ τὴν Τροίαν *Τρωΐαν* Πινδαρικῶς λέγεσθαι, κατ' ἔκτασιν τῆς ἀρχούσης, καὶ τὸ ἐκεῖθεν ἐπίῤῥημα *Τρωΐαθεν*. Ἔτι πλέον δὲ ἀσύνηθες καὶ τὸ *ξυνᾶνα* λέγειν τὸν *κοινωνὸν*, ὡς ἀπὸ τοῦ *ξυνὸς ὁ κοινός*· ἵνα εἴῃ, ὥσπερ ἐκ τοῦ *ἅλικμος ἀλικμὰν*, ὅθεν Ἀλκμὰν, οὕτω καὶ ἐκ τοῦ *ξυνὸς ὁ ξυνάν*. Ἕκαστον γοῦν, τὸν βασιλέα Μαγνήτων, *βίου ξυνᾶνα* λέγει τῇ αὐτοῦ γυναικί.

κβ'. Συχναὶ δὲ καὶ ἀποστροφαὶ παρὰ Πινδάρῳ, ὡς καὶ Ὅμηρος ἐν Ἰλιάδι φιλεῖ· ἔτι δὲ καὶ στροφαὶ ἐννοιῶν, ᾗ καὶ ποικιλίαν παραποιητικὴν ἐν φύτῳ ἐργάζεται. Εὕρηται δὲ καὶ περιαυτολόγος ἐν πολλοῖς φιλοτιμότερον, καὶ σκωπτικὸς δὲ τῶν ἀντιτέχνων ὁμοίῳ λόγῳ, καὶ ἀμφίγλωσσος δὲ ἐν οὐκ ὀλίγοις· ὃς γε πῇ μὲν τὴν εὐφυΐαν ἐπαινεῖ καὶ τὸ αὐτομαθὲς, ὡς καὶ αὐτὸς *πολλὰ εἰδὼς φυᾷ*, πῇ δὲ τὰ κατὰ μάθησιν διδακτά. Καὶ εὐδαιμονίαν δέ που πρὸς τοὺς ἐπαινουμένους μετρῶν, ποτὲ μὲν ταύτην λέγει, ποτὲ δ' ἐκείνην· οἷον ποτὲ μὲν πλοῦτον ἢ τιμὴν, ποτὲ δὲ σὺν τούτοις καί τι ἄλλο ἀγαθόν.

κγ'. Πλουτεῖ δὲ καὶ πολὺν ὄγκον αὐτῷ ἡ φράσις, καὶ οὐδὲ λαλεῖν ἐθέλει κατὰ τοὺς πλείονας· ἀλλ' ἔστιν αὐτῷ ἐξαίρετον τὸ ἐπὶ πᾶσι ξενόφωναν, τάχα που καὶ αὐτῷ θελήσαντι πατεῖν ἑτέρων ἴχνια, *μὴ καθ' ὁμά*, εἶποι ἂν Καλλίμαχος.

κδ'. Φιλοτιμεῖται δέ ποτε, καὶ τοὺς ἀλείπτας τῶν ἀθλούντων παρεντιθέναι τοῖς μέλεσι, φαρέκδασίν καὶ ταύτην τεχνάμενος, ὅτε ὣς εἰκὸς καὶ ἐκεῖνοι δωροῖντό τι μνείας χάριν τῷ λυρικῷ, φλοῦντι τὸν χρυσὸν, ὡς δειχθήσεται, ἴσως δὲ καὶ πλατυσμοῦ μέλους ἕνεκεν· ὃς δὴ πλατυσμὸς καὶ εἰς πατριῶν, ὡς ἐῤῥήθη, καὶ πατρίδων ἐπαίνους ἐξοκέλλειν τὸν μελοποιὸν ἐν πολλοῖς ποιεῖ, καὶ εἴς τινα ἑτεροῖα, ὧν δόξοι ἂν εἰς λίαν περιττὸν ἐκ παρέργου αὐτὸς μεμνῆσθαι τοῖς μὴ εὖ ἐπεσκεμμένοις αὐτόν· ὡς καὶ ὅτε εἰς ἡρωϊκοὺς μύθους παρεκκλίνει κατ' οὐδὲν δέον, ἐν ᾧ δὴ τόπῳ καὶ ἀσάφειαν καινὴν πολλάκις ἔχει, οἷα δυάζων τὰ ἡρωϊκὰ πρόσωπα, ὁποῖόν ἐστι καὶ τό· ἣν ὁ δεῖνα *Κυρήνης στεφάνωμα*, *ἣν ἥρπασεν Ἀπόλλων*. Ἐνταῦθα γὰρ ἐνοπτρίζει τῇ ἐστεφανωμένῃ Κυρήνῃ πόλει τὴν ἡρπασμένην ἡρωΐδα κόρην, τὸ κύριον, ἥπερ ἡ πόλις ὁμώνυμος. Πολλαχοῦ δὲ τοιοῦτον δυαστικὸν ἐμφάντασμα ποιεῖ, ἔχον καὶ αὐτὸ ἴδιόν τι πρὸς χαρακτήρισμα.

κε'. Τοιοῦτος δὲ ὢν τὴν ποίησιν, ὡς ἀμυδρότατα ὑπογράψαι τὸν ἄνδρα (χρῶσαι γὰρ τὸ σκιαγράφημα τοῦτο εἰς ἐντελὲς, εἴη ἂν πάνυ ἐργῶδες), ἐπιμελεῖται ὑπὸ τῶν παλαιῶν καὶ εἰς γένους ἀναγραφὴν τὴν κατά τε Πλούταρχον καὶ ἑτέρους, παρ' οἷς φέρεται, ὅτι κώμη Θηβαίων οἱ Κυνοκέφαλοι. Ἐκ ταύτης οἱ τοῦ σοφοῦ τοῦδε γενέτορες, πατὴρ μὲν Παγώνδας ὀνοματικῷ τύπῳ Βοιωτίῳ, κατὰ τὸ *Ἐπαμειντώνδας*, *Κρεώνδας*· κατὰ δέ τινας Δαΐφάντου ἢ Σκοπελίνου αὐλητοῦ, καὶ Μυρτοῦς. Ὁ δὴ Σκοπελῖνος τὴν αὐλητικὴν διδάξας τὸν παῖδα, ἐπεί φασιν εἶδεν αὐτὸν μείζονος ἕξεως φύντα, ἥπερ ὑπ' αὐτῷ τελειωθῆναι, παρέδωκεν εἰς μάθησιν μελοποιῷ, τῷ περιῳδομένῳ Λάσῳ, τῷ Ἑρμιονεῖ, παρ' ᾧ ἐπαιδεύθη τὴν λυρικήν. Ἔνιοι δὲ τὸν αὐτὸν ἔφασαν δυωνυμίας λόγῳ Σκοπελῖνον καὶ Δαΐφαντον λέγεσθαι. Ἄλλοι δὲ πατέρα Πινδάρου εἴτε πατρῴων τὸν Σκοπελῖνον εἶπον γενέσθαι. Εἰσὶ δὲ, οἳ καὶ οὐ Μυρτὼ, ἀλλὰ Κλεοδίκην, ἢ κατὰ συναίρεσιν Κλειδίκην, μητέρα τῷ Πινδάρῳ ἀναγράφουσι, γενομένῳ ἐπὶ ἄρχοντος Ἀθήνησι κατὰ τοὺς χρόνους Αἰσχύλου, ᾧ καὶ συγγεγένηται, ὁμιλήσας καὶ ἀπονάμενός τι καὶ τῆς ἐκείνου μεγαλοφωνίας. Τέθνηκε δὲ, ὅτε τὰ Περσικὰ ἤκμαζε, κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα, ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, κατὰ δὲ ἐνίους ὀγδοήκοντα. Ἔσχε δὲ, φασὶ, θυγατέρας δύο, Πρωτομάχην καὶ Εὔμητιν, υἱὸν δὲ Διόφαντον, γήμας Μεγάκλειαν· ὧν δὴ θυγατέρων μέμνηται καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Ἡ μάλα Πρωτομάχη τε καὶ Εὔμητις λιγύφωνοι
Ἔκλαυσαν, κλυταὶ Πινδάρου θυγατέρες,
Ἀργόθεν ἦμος ἵκοντο, κομίζουσ' ἐνδοθι κρωσσοῦ
Λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

Ἐν ᾧ δὴ ἐπιγράμματι οὐ δηλουμένου τοῦ, πῶς ἐν

Ἄργει θανὼν ὁ Πίνδαρος, εἶτα εἰς τὴν πατρίδα ἐκεῖθεν ἐκομίσθη, ὅμως ἔστιν ὑπονοῆσαι, ὅτι ἀπελθὼν εἴς τινα Πελοποννήσιον ἀγῶνα, καὶ θανὼν κατ' αὐτὸ τὸ Ἄργος, ἀπεδόθη ἐκεῖθεν πατρίδι νεκρός. Τῷ δὲ ῥηθέντι υἱῷ Διοφάντῳ καὶ δαφνηφορικὸν ᾆσμα γράψαι λέγεται ὁ πατήρ, ὃς φασι καὶ Σιμωνίδου ἤκουσε, νεώτερος μὲν ἐκείνου ὤν, πρεσβύτερος δὲ Βακχυλίδου.

κς'. Εἰπεῖν δὲ τοῦτο καὶ ἄλλως κατὰ τοὺς παλαιοὺς, ἐπέβαλε Πίνδαρος τοῖς χρόνοις Σιμωνίδου, ᾗ νεώτερος πρεσβυτέρου. Τῶν αὐτῶν γοῦν μέμνηνται ἀμφότεροι πράξεων. Ἀλλὰ καὶ παρὰ Ἱέρωνι τῷ Συρρακουσίων τυράννῳ ἄμφω ἐγένοντο, ἀποδημήσαντες δηλαδὴ καθ' ἑτέρους καὶ αὐτοὶ σοφοὺς εἰς τὴν Σικελίαν. Καὶ μὴν πρὸς τὸ ἱστορηθὲν τοῦτο διαφέρισθαι δοκεῖ τὸ περιφερόμενον. Λέγεται γὰρ, ὅτι Πίνδαρος ἐρωτηθεὶς, διὰ τί Σιμωνίδης μὲν πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐκ ἐθέλει; Ἔφη, Διότι βούλομαι ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

κζ'. Ἄδεται δὲ καὶ, ὡς εὐσεβὴς ἦν, τιμῶν Πᾶνα καὶ Ῥέαν καὶ Ἀπόλλωνα, καὶ ὅτι κατὰ τὴν τοῦ Ξέρξου διάβασιν ἡκμαζε τὴν ἡλικίαν. Διὰ δὲ τὸ θεοφιλὴς δόξαι, καὶ τιμῆς πολλὴν περιουσίαν ἔσχεν ἐν Ἕλλησιν. Ἀπόλλων γοῦν οὕτω φασὶν αὐτὸν ἐφίλει, ὡς καὶ μερίδα λαμβάνειν ἐκ τῶν θυομένων ἐκείνῳ, καὶ τὸν ἱερέα δὲ βοᾷν ἐν ταῖς θυσίαις· *Πίνδαρος ἐπὶ τὸ δεῖπνον τῷ θεῷ*· ἢ καὶ ἄλλως· *Πίνδαρος ἴτω ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ*. Κατὰ δὲ ἄλλους ἐν Δελφοῖς κλείειν ὁ νεωκόρος μέλλων τὸν νεὼν, κηρύσσει καθ' ἡμέραν· *Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ*. Καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς δηλοῖ καὶ αὐτὸς εἰπών·

Πενταετηρὶς ἑορτὰ βουπομπὸς, ἐν ᾗ πρῶτον
ἐβάσθην ἀγαπατὸς ἐν σκαργάνοις,

ὃ ἐστιν *ἐλέχθην*, ὡς ἀπὸ τοῦ *βάζω*, ἢ καὶ ἄλλως *εὐάσθην*, *εὐφημήθην*, ὡς ἀπὸ τοῦ *εὐάζω*. Λέγεται δὲ καὶ, ὅτι ὁ Πὰν μεταξὺ Κιθαιρῶνος καὶ Ἑλικῶνος ὠφθη ᾄδων παιᾶνα Πινδάρου. Διὸ καὶ αὐτὸς ᾆσμα ἐποίησεν, ἐν ᾧ χάριν αὐτῷ τῆς τιμῆς ἀνθομολογεῖται, οὗ ἀρχή·

Ὦ Πὰν, Πὰν, Ἀρκαδίας μεδέων καὶ σεμνῶν
ἀδύτων φύλαξ.

Τῇ ἱστορίᾳ δὲ ταύτῃ μαρτυρεῖ καὶ ἐπίγραμμα παλαιὸν ἐκεῖνο·

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,
Τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς.
Οὐδὲ μάτην ἁπαλὸς περὶ χείλεσιν ἵσμὸς ἐκεῖ-
νος
Ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
Μάρτυς ὁ Μαινάλιος νερόεις Θεὸς, ὕμνον ἀείσας
Τὸν σόν, καὶ νομίων λῃσάμενος δονάκων.

Λέγει δὲ τὸ ἐπίγραμμα τοῦτο *νεβρείους* μὲν αὐλοὺς, τοὺς ὡς εἰκὸς ἐξ ὀστέων ἐλάφου νεογνῆς. Δῆλον γὰρ, ὡς νεβρὸς τὸ νεογιλὸν τῆς ἐλάφου· ὡς δὲ ἀπὸ ὀνείων ὀστῶν, οὕτω καὶ ἀπὸ νεβρείων αὐλοὶ ἐγίνοντο. Ἡ δὲ *χέλυς*, *ὃ ἐστιν ἡ κιθάρα*, ἐξ ἀρχαιοτάτης κλήσεως κεκληρονόμηται εἰς φράσιν. Ἦν γὰρ ὅτε ὄστρακον χέλυος, ἤγουν χελώνης, εἰς κοίλωμα κιθάρας τῷ Ἑρμῇ ἐχρησίμευσεν (ὡς καὶ μετ' ὀλίγα γεγράψεται), καθ' οὗ ἐνταθεῖσαι χορδαὶ τὴν κιθάραν ἀπετέλεσαν. Ὁ δὲ *ἐσμὸς* δηλοῖ μὲν τὴν βοτρυδὸν συνίζησιν τῶν μελισσῶν, ὧν ἐν τοῖς κατωτέρω πλατεῖα μνήμη ἔσται. Δασύνεται γὰρ ἀπὸ *τοῦ ἕζω*. Κάθισμα γὰρ μελισσῶν ἡ λέξις δηλοῖ, καὶ συνιστᾷ τὸ δασὺ ἐνταῦθα πνεῦμα ὁ παρὰ Ἀριστοτέλει ἐν τῷ Περὶ ζώων ἱστορίας ἀφορισμός. *Τὸ δὲ κηρόδετον μέλι* ἀφομοιοῦταί πως τῷ παρ' Αἰσχύλῳ *κηροπλάστῳ δόρατι*, ὃς δηλοῖ τὸ *σύριγγα*. *Μαινάλιος* δὲ θετὸς ὁ Πὰν ὡς Ἀρκαδικός. Ἐν Μαινάλῳ γὰρ ἐτιμᾶτο, Ἀρκαδίας ὄρειι *Κερδεὶς* δὲ ὁ αὐτὸς, ἐπεὶ κερασφόρος ἐπλάττετο, διὰ τὰς τῶν ὀρῶν ἐξοχὰς τὰς ὑψηλοτάτας, αἳ αὐταὶ μέρος εἰσὶ τοῦ παντὸς, εἰς ὃ μεταλαμβάνεται καὶ ὁ Πάν. Ὅτι δὲ *κέρατα* ἐλέγοντο καὶ αἱ ὀρειναὶ ὑπεροχαὶ, δηλοῖ ὁ γράψας *ὑψικέρατα πέτραν*, τὴν καὶ ὑψηλὴν καὶ εἰς ὀξὺ λήγουσαν. Ὕμνον δὲ *ἀείσας* ταυτόν ἐστι τῷ *ᾄσας παιᾶνα*, τὸν, ὡς δεδήλωται, Πινδαρικὸν, εἰ καὶ ἄλλως ἑτεροῖόν τι παρὰ τὸν ὕμνον ὁ παιάν. *Δόνακες* δὲ *νόμιοι*, τουτέστι *φίλιοι τοῖς νέμουσι*· καὶ δηλ σύριγξ ἡ τῷ Πανὶ φίλη διὰ τὰς πνοὰς τῶν κατακόσμων ἀνέμων καὶ τοὺς ἐκεῖθεν συριγμοὺς, ἃ τῷ Πανὶ παντὶ φίλα εἰσί. Καὶ οὕτω μὲν τὸ εἰρημένον ἐπίγραμμα θεοφιλῆ ἐμφαίνει γενέσθαι τὸν Πίνδαρον. Λέγεται δὲ καὶ, ὡς Δημήτηρ ὄναρ ποτὲ αὐτῷ ἐπιφανεῖσα ἐμέμψατο, εἰ μόνην θεῶν αὐτὴν οὐχ ὕμνησεν. Ὁ δὲ καὶ εἰς αὐτὴν ἐποίησεν, ἀρξάμενος οὕτω· *Πότνια θεσμοφόρε*· καὶ βωμὸν δὲ ἀμφοῖν πρὸ τῆς οἰκίας ἱδρύσατο. Χαμαιλέων δέ φασι καὶ Ἴστρος ἱστοροῦσιν, ὡς περὶ Ἑλικῶνα θηρῶντος αὐτοῦ, καὶ καμάτῳ κατενεχθέντος εἰς ὕπνον, μέλισσα τῷ στόματι προσκαθίσασα, κηρία ἐνέθετο· οἱ δὲ ὄναρ φασὶν ἰδεῖν αὐτὸν, ὡς μέλιτος καὶ κηροῦ πλῆρες αὐτῷ γεγόνοι τὸ στόμα. Καὶ οὕτως οἰωνισάμενος, ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους, ἢ Ἀπολλοδώρου, ὃν φασι καὶ προϊστάμενον κυκλίων χορῶν, καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ, παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιττωθὲν διακοσμήσαντα περιβοηθῆναι. Τινὲς δέ γε, ὡς κατωτέρω ῥηθήσεται, τὸ σημεῖον τῆς μελίσσης παιδὶ νεωτάτῳ ἔτι ὄντι Πινδάρῳ ἐπιγενέσθαι ἱστοροῦσιν. Ὅτι δὲ ἐν παλαιῷ ἐπιγράμματι κεῖται γοργῶς μνήμη τοῦ μελισσείου τοῦδε κηρίου, δεδήλωται ἀνωτέρω.

κη'. Ἐχθρὰ δέ φασι φρονούντων ἀλλήλοις Ἀθηναίων καὶ Θηβαίων, ἐπεὶ ἔγραψέ που· Ὦ ταὶ *λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθῆναι*, κατὰ δέ τινας, ἐπεὶ *ἐρεισμα Ἑλλάδος* ἔφη τὰς Ἀθήνας, ἐζημίωσαν αὐτὸν Θηβαῖοι χιλίαις δραχμαῖς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι ὡς φυλακτικοῦ. Λέγεται δὲ καὶ, ὡς Λάκωνες ἐμπρήσαντές ποτε Θήβας κατὰ μάχην, ἧς ἦρχε Παυσανίας ὁ σὺν βασιλεὺς, ἀπέ-

σχοντο μόνης τῆς οἰκίας τοῦ ποιητοῦ, ἰδόντες ἐπιγεγραμμένον τό· *Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε.* Τοῦτο δέ φασι καὶ Ἀλέξανδρος μετὰ ταῦτα πεποίηκε. Καὶ αὐτὸς γὰρ ἐμπρήσας Θήβας, ἐφύλαξε τὴν οἰκίαν, ἢ καὶ εἰς Πρυτανεῖον ὕστερον ἀπετελέσθη.

κθ'. Φέρεται δὲ λόγος, καὶ θεωρούς ποτε ἀπιόντας εἰς Ἄμμωνος, αἰτῆσαι Πινδάρῳ, οἷα φίλῳ, τὸ ἐν ἀνθρώποις ἄριστον· καὶ θανεῖν αὐτὸν ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ. Τοῦτο δὲ πάντως καὶ θανάτου ἐστὶ σέμνωμα, ὡς κολούοντος τὴν ἐν κακοῖς μακροτέραν βιοτήν· ὃ δὴ καὶ ἐπὶ τῶν κτισάντων τὸν Πυθοῖ ναὸν ἱστόρηται, οἳ τὸ ἔργον συντετελεκότες θαύματος ἄξιον ὄν, καὶ ἀγαθὸν μέγα ἑαυτοῖς θεόθεν αἰτησάμενοι, εἶτα ἔωθεν οὐκ ἔτ' ἦσαν, ὡς θανάτῳ ἀπεληλυθότες. Καὶ Κλέοβις δὲ καὶ Βίτων ὅμοια τῆς ὑπὲρ ἀγαθοῦ εὐχῆς ἀπώναντο, ἡνίκα ἐκεῖνοι τὴν μητέρα ἐπὶ ἁμάξης ἑλκύσαντες διὰ μέσης ἀγορᾶς ἐς νενομισμένην δημοτελῆ θυσίαν (οἱ γὰρ ἱεροὶ βόες οὐ παρῆσαν), ἔτυχον μὲν εὐχῆς μητρόθεν ὡς ἐπὶ κρείττοσιν· αὐτοὶ δὲ προὐκαλέσαντο θάνατον, ὃς αὐτίκα ἐκείνων ἐλάβετο. Ἀλλὰ ταῦτα μὲν οὕτω παρερρίφθω, οὐδ' αὖτὰ εἰς κενόν.

λ'. Τοῦ δὲ κατὰ Πίνδαρον γένους οὕτω πεζολογικῶς προενηνεγμένου, φέρεται εἰς αὐτὸν καὶ δι' ἐπῶν παλαιῶν ταῦτα, οἷς ἐμφέρονται καί τινα ἐπέκεινα τῶν προειρημένων·

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδεϊ θήβης
Κλειδίκη, εὐνηθεῖσα μετεπτολέμῳ Δαϊφάντῳ,
Γείνατο, ναιετάουσα Κυνὸς Κεφαλῆς παρὰ χώρῳ,
Οὐκ οἶον· ἅμα τῷ καὶ Ἐρίτιμον, εἰδότα θήρην,
Εἰδότα πυγμαχίην τε παλαισμοσύνην τ' ἀλεγεινήν.
Τὸν μέν, ὅτε κτώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ,
Εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
Χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
Τῷ δὲ λιτυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
Ἔπλετο δῖα Κόριννα, θεμείλια δ' ὤπασε μύθων
Τὸ πρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
Ὃς ῥά οἱ κατέλεξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
Εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μεγοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἅστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
Ἀλλὰ τὸ μὲν μετόπισθεν. Ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
Ἥβᾳ καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
Καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠὐκερως Πὰν
Πινδάρου αἰὲν ἄειδε, καὶ οὐκ ἐμέγηρεν ἀοιδῶν.
Ἥμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
Αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
Τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
Τῷ δὲ Τιμοξείνη παρελέξατο, δῖα γυναικῶν,
Ἣ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαιφάντην,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. Ἔμελψε δὲ κῦδος ἀγώνων
Τῶν πισύρων, μακάρων παήονας † ἀναδεδεγμένος,
Καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους
Ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
Τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
Κάτθανεν, ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

λα'. Οὕτω δὲ καὶ τούτων ἡσμένων εἰς τὸ τοῦ ποιητοῦ γένος οὐκ ἀγλαφύρως, οἱ παλαιοὶ ἔξω τῶν ἐν τῇ Πινδαρικῇ βίβλῳ κειμένων γνωμικῶν ἀποφθεγμάτων προσιστοροῦσι καὶ τάδε. Πίνδαρος ἐρωτηθείς, τί πρίονος ὀξύτερον, εἶπε· Διαβολή. Δελφίσι δὲ ἐρωτηθεὶς τί πάρεστι θύσων, Παιᾶνα, εἶπε· μονονουχὶ λέγων, ἐκ τῶν ἐλλογίμων ἀνδρῶν θυσίαν εἶναι λόγους τῷ κρείττονι. Πρὸς ὃν συλλαλεῖ καὶ ὁ γράψας, ὡς *ἅπαντα θύουσιν ἀοιδοί.* Πρὸς δὲ τὸν ἐρωτήσαντα, διὰ τί οὐ τῷ εὖ πράττοντι τὴν θυγατέρα δίδωσιν; Οὐ μόνον εὖ πράττοντος, ἔφη, δεῖσθαι, ἀλλὰ καὶ πράξαντος εὖ. Τῷ δὲ πυθομένῳ, διὰ τί μέλη γράφων, ᾄδειν οὐκ ἐπίσταται; Καὶ γὰρ οἱ ναυπηγοί, ἔφη, πηδάλια ποιοῦντες, κυβερνᾶν οὐκ οἴδασι. Τοῦτο δέ πως παρέοικε πρὸς τὸ ἐρωτηθῆναι μέν τινα σοφιστήν, διά τί, δημογορεῖν ἄλλους πρὸς ὄχλον διδάσκων, αὐτὸς οὐ δύναται οὕτω ποιεῖν; ἐκεῖνον δὲ εὐστόχως εἰπεῖν, ὡς καὶ ἡ ἀκόνη ὀξύνουσα εἰς τομὴν τὰ αἰδήρια, ὅμως αὐτὴ τέμνειν οὐ δύναται.

λβ'. Ὅτι δὲ οὐ δεξιὸς ἦν αὐτὸς ᾄδειν ὁ Πίνδαρος, ἀλλ' ὑποβολέα οἷον εἶχεν ἕτερον τοῦ τοιούτου ἔργου, δηλώσει, ἐν οἷς μνήσεταί τις Αἰνείου χοροστάτου· ὃν καὶ δοκεῖ φιλεῖν οἷα ἐπικοσμοῦντα οἰκείᾳ τέχνῃ τὰς Πινδαρικὰς ᾠδάς, ὡς κορυφαῖον χοροῦ ἄριστον.

λγ'. Εἰ δὲ κατὰ τοὺς παλαιοὺς Πίνδαρος ἔφη, *τοὺς φιλοσοφοῦντας ἀτελῆ σοφίας δρέπειν καρπόν,* ἀλλὰ τοῦτό γε εἰς ψόγον ἂν ἐμπίπτοι, ὁποῖος καὶ τῷ Κωμικῷ προστέτριπται, ὃς που τοὺς φιλοσόφους διὰ τὸ ἀπράγμονας εἶναι σκώπτει ὡς ἀργούς.

λδ'. Ποιήματα δὲ πολλὰ γράψαι Πίνδαρος λέγεται, ὧν καὶ φέρονται οὐκ ὀλίγα, οὐ μὴν τὰ πάντα ὑπεμνηματισμένα. Εἰσὶ δὲ παιᾶνες, διθύραμβοι, προσόδια, παρθένια, τὰ καὶ αὐτὰ μνημονευθέντα πρὸ βραχέων, ὑπορχήματα, ἐγκώμια, θρῆνοι καὶ ἐπινίκιοι, κατὰ τὴν ἱστορίαν ὡσεὶ τετρακισχίλιοι, οὓς καὶ ἐπινίκους τετρασυλλάβως φασίν, οἳ καὶ περιάγονται μάλιστα διὰ τὸ ἀνθρωπικώτεροι εἶναι καὶ ὀλιγόμυθοι, καὶ μηδὲ πάνυ ἔχειν ἀσαφῶς κατά γε τὰ ἄλλα. Εἰ δὲ καὶ ὕμνοι λέγονται οἱ αὐτοί, ἀλλ' αὐτὸ παραχρήσεως εἶδος ἐστί, καθ' ἣν καὶ τὸ *ὑμνεῖσθαι* ἀντιφραστικῶς που ἐπὶ ψόγου ἐτέθη, ὡς δηλοῖ καὶ τό· *ὑμνεῖσθ' ὑπ' ἀστῶν ῥοιμίοις πολυῤῥόθοις.* Δῆλον δέ, ὡς αἱ ἐπινίκιοι ᾠδαὶ τοῦ Πινδάρου καὶ *εἴδη*, τουτέστιν *ἰδέαι*, χάριν σεμνότητος ὀνομάζονται, ὅπερ ὑποκορισθὲν εἰς *εἰδύλλια* ἐπιγραφῇ γέγονε τοῖς Θεοκρίτου ποιήμασι. Μελοποιὸς δὲ ὢν ἐς τὸ καθόλου ὁ Πίνδαρος, παρωνυμεῖται πρὸς μέρος μουσικοῦ ὀργάνου λυρικὸς καλούμενος καθά τις ἕτερος κιθαρῳδός, καὶ ἄλλος ἀπὸ ψάλτρου ψαλτῳδός. Οὐκ ἐξ ἀνάγκης δέ γε πρὸς λύραν μόνην ἐμελῴδει· ἀλλ' αὐτὸ μὲν ἐπελέγη πρός τι ἐξαίρετον εἰς κλῆσιν τῷ ποιητῇ. Σεμνύνεται γὰρ πολλοῖς καὶ πολλαχῶς ἡ λύρα. Ὃ δὲ καὶ ἑτέροις ὀργάνοις ᾀδων ἐχρᾶτο, καθὰ δηλοῖ καὶ τὸ *ἀναξιφόρμιγγες ὕμνοι*, καὶ ἐξῆς. Εἰ δ' ἴσως ταυτόν τι φόρμιγξ καὶ λύρα, οὐδ' οὕτως αὐτῷ μόνον τὸ τῆς λύρας χρῆμα πρὸς ἴδιόν τι ἀποκεκλήρωται. Ὡς δὲ *λύρα*

εἴρηται ἢ παρὰ τὸ *λύειν ἀρὰς*, εἰς πρὸς ἡδονὴν γλυκέως ἁρμόττεται, ἢ παρὰ τὸ μυθικῶς εἰς *λύτρον καταλλακτήριον* εὑρεθῆναι ὑπὸ Ἑρμοῦ ὃς *χέλυν*, ὅ ἐστι *λύραν*, ἐξ ὀστράκου συντεθεῖσαν χελώνης; δοὺς τῷ Φοίβῳ ἀντὶ βοῶν κλοπῆς, οὕτως ἐλύσατο ἑαυτῷ τὸν ὑπὲρ τοῦ κλέμματος χόλον, λέγουσι καὶ αὐτὰ οἱ παλαιοί.

λε'. Ἰστέον δὲ καὶ, ὅτι, τεσσάρων ὄντων περιωνύμων ἀγώνων Ἑλληνικῶν, οἵ καὶ ἱεροὶ ἐκαλοῦντο, οἷς οἱ νικῶντες ἠξιοῦντο λόγου τοῖς λυρικοῖς, πρώτους ἐξέθεντο οἱ τῷ Πινδάρῳ φίλοι πρὸς ἀνάγνωσιν τοὺς Ὀλυμπιονίκας, διὰ τὸ τοῦ Ὀλυμπικοῦ ἀγῶνος πάνυ ἔνδοξον, οὗ τὴν θέσιν σεμνολογοῦντες τῶν τινες παλαιῶν. εἰς τὰ κατὰ Πέλοπα καὶ Οἰνόμαον αὐτὴν ἀναφέρουσιν, ὡς ἐκεῖθεν χρόνου ἀρξαμένου τοῦ τῶν Ὀλυμπίων ἀγῶνος· πρὸς ὃ τὶ δυσαρεστούμενοί φασιν, ὡς αἰσχρὰν οὖσαν τῇ αἰτίᾳ τὴν θέσιν οὐκ ἂν διεφύλαξαν οἱ ἀρχαῖοι, οὐδ' ἂν παρέμεινεν εἰς οὕτω μακρὸν ἱερὸς λεγόμενος ἀγών, ἐφ' οἷς οὐ τοιοῦτός ἐστι διὰ τὸ κατ' αἰτίαν αἶσχος, ἐφ' ᾗ τέθειται, ἥπερ ἐστὶν Ἔρως Ἱπποδαμείας καὶ φόνος Οἰνομάου περίεργος. Ἕτεροι δὲ εἰς Ἡρακλῆν ἀνάγουσι τὴν τοῦ Ὀλυμπικοῦ ἀγῶνος καταβολήν, καθὰ καὶ ὁ Πίνδαρος ἐνδοξότερον αὐτὸν κοσμεῖ. Ἐκεῖ γὰρ τὴν Αὐγίου κόπρον καθήρας οὐκ ἔτυχε τῶν ἐπηγγελμένων, συναγαγὼν φασι στρατόπεδον, τόν τε Αὐγίαν *ἀπάγει τοῦ ζῆν*, καὶ τὴν Ἦλιν *παρίσταται*, ἦγουν *πορθεῖ*. Καὶ πολλὰ λάφυρα περιποιησάμενος, ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασι. Καὶ τὸ ἔθος ἐκεῖθεν διέμεινεν. Οἱ δὲ μηδὲ πρὸς τοῦτο εὐαρεστούμενοί φασιν, ὡς οὐδὲ αὕτη ἔμεινεν ἂν ἡ διάθεσις, ἐπεὶ δυσχερείας πραγματικῆς ἦν ὑπόμνησις· ἀλλὰ μᾶλλον Ἶφιτός φασι καὶ Εὐρύλοχος τοὺς Κιρραίους καταπολεμήσαντες λῃστὰς, τὴν παράλιον τῆς Φωκίδος κατέχοντας, καὶ πολλὰ ἐξ αὐτῶν λάφυρα συναναγαγόντες, ὁ μὲν Ἶφιτος τὰ Ὀλύμπια κατεβάλετο, τὰ Πύθια δὲ ὁ Εὐρύλοχος. Καὶ παρέμεινεν ἡ θέσις αὕτη, ὡς ἀπὸ ἐνδόξου αἰτίας ἔχουσα τὴν ἀρχήν.

λς'. Ὅτι δὲ κατὰ πενταετηρίδας ἐτελεῖτο τὰ Ὀλύμπια, διὰ τὸ πάνυ πόρρωθεν συλλέγεσθαι τῶν ἀθλούντων πολλούς· καὶ ὡς αἱ τοιαῦται πενταετηρίδες καὶ Ὀλυμπιάδες ἐλέγοντο ἐκ τῆς Ὀλυμπίων πανηγύρεως, ἣν ἐπὶ Ὀλυμπίῳ ἦγεν Διὶ, τῷ τοῦ Ἡρακλέους πατρί· καὶ ὅτι, ὅπερ τοῖς ὕστερον πέντε ὁμοῦ ἐνδείκνυται, τοῦτο ἑκάστη τῶν Ὀλυμπιάδων τοῖς πάλαι· καὶ ὅσοι δὲ ἄθλοι τῶν Ὀλυμπιακῶν συντέλουν ἀγώνα, δηλοῦσι μὲν καὶ οἱ παλαιοὶ σαφῶς, καὶ ἡ προκειμένη δὲ παρεκβολικὴ πραγματεία ἐκφανεῖ ἅπαν τοιοῦτον ἄξιον γνώσεως.

λζ'. Νῦν δὲ ῥητέον ὅτι τὸ λεγόμενον πένταθλον οὕτω περιγράφεται μέτρῳ ἰαμβικῷ·

Ἅλμα, πάλη, δίσκευμα, κοντὸς καὶ δρόμος.

Καὶ ἑτέρως δὲ ἡρῴῳ μέτρῳ·

Ἅλμα ποδὸς, δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωὴ,
Καὶ δρόμος, ἡδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τε-
λευτή.

λη'. Ἔτι ἰστέον καὶ ὅτι τὸ ἐν τοῖς ἐπινίκοις Πινδαρικὸν μέτρον *τριὰς* ἐκαλεῖτο. Ἦν δὲ ἐν τῷ καθόλου τοιαύτη τριὰς ποίημα, ἐν ᾧ, καθὰ καὶ ἐν τοῖς τοῦ Κωμικοῦ δηλοῦται, ἔστι στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδός· περὶ ὧν καὶ οἱ τῆς ῥητορικῆς τέχνης ὑπομνηματισταὶ διαλαμβάνουσι σαφέστατα. Δῆλον δὲ ἔνθα εἰσὶ τὰ *τρία* ταῦτα, ἡ στροφὴ δηλαδὴ, ἡ ἀντίστροφος καὶ ὁ ἐπῳδὸς, ἐκεῖ καὶ χοροὶ εἰσι, στρεφόμενοι, καὶ ἀντιστρεφόμενοι, καὶ διὰ μέσων ἐπῴδοντες, καὶ τὸ στάσιμον· εἴτε κύκλιοι οὗτοί εἰσιν, οὓς οἱ ᾄδοντες ἁσματοκάμπτας σκώπτονται τῷ Κωμικῷ, εἴτε καὶ ἑτεροῖοι· ὧν καὶ αὐτῶν ὕμνων πάντων ὁ Πίνδαρος, οὐδὲν δὲ ἧττον αὐτοῦ καὶ ὁ κοσμῶν αὐτὸν χοροποιὸς Αἰνέας, περὶ οὗ πρὸ βραχέων εἴρηται. Ὅτι δὲ οἱ Πινδαρικοὶ ἐπινίκιοι τῇ προσεχῶς δεδηλωμένῃ τριάδι ἐναλλάγδην συντελοῦνται κατ' ἀκολουθίαν εὐσύντακτον ἐναρμόνιον, ἣν οὐκ ἔστι παραβῆναι· καὶ οἷοις ποσὶ καὶ μέτροις ἡ τοιάδε τριὰς ἑκασταχοῦ ἀπαρτίζεται, σαφέστατα ἐκτίθενται οἱ ὑπομνηματισάμενοι, οἷς καὶ ἔστιν εὐμαθῶς ἀκολουθεῖν τοὺς περιελθόντας ἐπισκεπτικῶς τὸ τοῦ Ἡφαιστίωνος μετρικὸν ἐγχειρίδιον. Ἀλλ' ἐκεῖνα μὲν ἑτέρου ἔργου· ἐνταῦθα δὲ τὸ προκείμενον ἐπέλευσις οὐκ ἀσυνήθης, τὰ ἐκ τῶν Πινδαρικῶν ἐπινικίων συλλέγουσα χρήσιμα εἰς εἴδησιν εὔχρηστον τοῖς καὶ γράφειν καὶ ἄλλως δέ πως νοεῖν ἐθέλουσι, καὶ τοῦτο οὐ κατὰ ὑπομνηματικὴν ἐξήγησιν, ἀλλ' εἰς ὅσον ἐκ πλατυτάτου λειμῶνος ἀνθολογῆσαι, ὅσα οὐκ ἂν πατοῖτο ἢ ἄλλως ἐξαθερίζοιτο τοῖς γε φιλοκάλοις καὶ εἰδόσι τὰ τῶν Μουσῶν στεφανώματα.

DE SIMULATIONE.

Τοῦ αὐτοῦ περὶ ὑποκρίσεως.

α'. Ὁ προθέμενος, χαρακτῆρα τῆς οὔτε εὐτέχνου, ἀλλὰ καὶ φαυλοτάτης διατυπώσεσθαι ὑποκρίσεως, αὐτίκα πάντως καὶ κατὰ ψεύδους αὐτοῦ χωρεῖ, τοῦ καὶ πολυειδοῦς καὶ δι' αὐτὸ πολυσχιδοῦς, ὅπερ εἰς ἰδέας πολλὰς διαβαῖνον καὶ κατ' αὐτὰς διαιρούμενον, ἔχει τι στρεβλὸν σκέλος καὶ τὸ ὑποκριτικόν· ὥστε κατὰ δύο κακιῶν ὁ τοιοῦτος ἀεθλεύει, ὃ καὶ ἡμεῖς ἄρτι ποιοῦμεν, τοῦ τε ψεύδους καὶ τῆς ὑποκρίσεως· ἦν ἡ μὲν παλαιὰ εὕρεσις ἐπ' ἀγαθῷ μεθώδευσε τεχνικῶς καὶ οὕτως ἐπωφελῶς τῷ βίῳ, οἱ δὲ τῆς ἀρετῆς ἐπίβουλοι δαίμονες ἐν ὑστέροις χρόνοις κακῶς τεχνησάμενοι, ἐς ψυχοβλαβὲς καὶ αὐτὴν ἐνέργημα μετεποίησαν. Ἦν μὲν γὰρ, ὅτε θεάτροις ἐνευδοκίμουν πρὸς ἔπαινον οἰκεῖον οἱ ὑποκριταὶ, σοφίαν αὐτοῖ ἐπικοσμοῦντες, ἣν ἐτέχνουν οἱ τῆς τραγῳδίας διδάσκαλοι, ἀνατρέχοντες εἰς παλαιγενεῖς ἱστορίας ἐκεῖνοι, δεξιὰς παιδεύειν σεμνῶς, καὶ τὰ κατ' ἐκείνας πρόσωπα ὡς οἷον ἐξανιστῶντες, καὶ εἰς θέαν προάγοντες δι' ἀνδρῶν, ὡς οὕτως εἰπεῖν, ἐκπροσωποποιούντων ὑποκριτικῶς ἐκείνοις ἔν τε πιθανότητι πλάσεως ῥητορικῆς καὶ εἰκονογραφίᾳ προσώπων, καὶ ἐν τοῖς ἐκείνων πάθεσί τε καὶ λόγοις, ὅσα καὶ κατόπτροις, εὐθετίζοντες πρὸς ἀρετῆς καλλονὴν τοὺς καὶ θεωμένους καὶ ἀκρωμένους, καὶ τῇ τοιαύτῃ ἀνειδωλοποιήσει (δοτέον δὲ καὶ προσωποποιΐᾳ εἰπεῖν, ἤδη δὲ καὶ ὑποκρίσει) διδασκάλια ἐν βιβλιογραφίᾳ ἐκκαλοῦντες, δι' ὧν καὶ αὐτῶν εἰσέτι καταρτίζεται βίος ὁ καθ' ἡμᾶς.

β'. Ἦν γοῦν ἐκ τῆς τοιαύτης τέχνης μανθάνειν τοὺς τότε ἀνθρώπους, ἔστι δὲ καὶ τοὺς νῦν, τύχης μεταβολὰς παντοίας καὶ ἠθῶν ποικιλίας καὶ βίων ἀμυθήτους διαφοράς. Ἐδίδαξαν, καὶ μήν ἔτι διδάσκουσιν αἱ βασιλικαὶ δυσπραγίαι, ἃς ἡ ὑποκριτικὴ τέχνη λογογραφεῖ, μὴ χρῆναι πιστεύειν τῷ περιόπτῳ βίῳ, ἐστήξεσθαι διάλου ἐν περιωπῇ, ἀλλά που εὐλαβεῖσθαι καὶ κατακύλισμα. Ἔμπαλιν δὲ τούτων ἐγνώρισαν ἡμῖν αἱ τῶν χαμαιριφῶν προσώπων παρυψώσεις, ἃς καὶ αὐτὰς ἡ ὑπόκρισις ἐκείνη διαχειρίσατο εἰς ἐπίδειξιν, οὐ φρενήρη ἄνθρωπον εἶναι, ὃς πεδινὸς ὢν ἀπογινώσκει τὴν σὺν Θεῷ οὐράνωσιν. Ἔγνωμεν ἐκεῖθεν καὶ, ὁπόσα φαῦλα τοὺς ἥρωας ὁ φθόνος διέθετο, εἰκότα ὄντα διαβαίνειν τῷ χρόνῳ καὶ εἰς τοὺς ὕστερον. Καὶ ἡ τοιαύτη γνῶσις βελτιοῖ τοὺς εἰδότας. Οὐκ ἀφῆκαν αἱ παλαιαὶ ὑποκρίσεις ἐκεῖναι οὐδὲ τὴν φιλίαν ἀπαρασήμαντον, ἀλλὰ διέστειλαν καὶ αὐτὴν ὀρθῶς, μὴ ἔχουσαν ἐν καλῷ καθιστᾷν λιμένος τοὺς περὶ βίον θαλαττεύοντας, εἰ δὲ καὶ στρεβλωθῇ, θανατοῦν πρὸς ὥραν τοὺς ἀθλίους πεφιλημένους.

A *Ejusdem de simulatione.*

1. Qui sibi proponit non artificiosæ tantum, sed nequissimæ simulationis characterem exprimere, statim omnino contra falsitatem ejus invehitur, quæ multiformis, et idcirco multiplex, in multas species transiens, et secundum illas divisa, membra articulatim torquet et loco movet, ita ut qui sic vexatur contra duo mala certet, ut nos inpræsentiarum facimus, falsitatem et simulationem; quam quidem vetus inventio ad bonum artificialiter et utiliter pro vita instruxit, insidiatores autem virtutis dæmones in ultimis temporibus prava machinatione in operationem animis perniciosam transformarunt. Tempus enim fuit quo propria laude celebres erant actores, ingenio quo ipsi adornantes quam artiB ficialiter creabant tragœdiæ magistri, ad antiquas recurrentes historias, aptas ad honestam doctrinam, et illarum personas quasi suscitantes et ob oculos ponentes per homines, ut ita dicam, per simulacrum cum istis personificatos et in persuasione formationis rhetoricæ et repræsentatione personarum, in istarum passionibus ac sermonibus, velut in speculis, disponentes juxta virtutis pulchritudinem videntes et audientes, et tali repræsentatione (diceretur autem prosopopœiæ aut etiam simulationis nomine) provocantes in librorum descriptione documenta, quibus ipsis adhuc vita nostra informatur.

C 2. Ex hac igitur arte discere poterant tunc temporis homines, possunt autem etiam hodierni, omnimodas fortunæ mutationes, morum varietates, et innumeras vitæ vicissitudines. Docebant, et etiamnum docent regum infortunia, quæ actorum ars scenica describit, non esse credendum conspiciendæ vitæ, in circumspectione omnino standum, sed etiam a lapsu cavendum. Verum e contrario prostratorum hominum elevationes, quas etiam actores dabant passim spectandas, notum nobis fecerunt, non esse sanæ mentis hominem, qui super terra gradiens mansionem cum Deo in cœlo non speret. Exinde quoque cognovimus quot malis, quæ verisimiliter ad posteros erant transitura, heroes invidia affecerit. Et talis notitia meliores reddit D scientes. Non reliquerunt illæ simulationes antiquæ amicitiam irreprehensam, sed et istam recte distinxerunt, quæ non valet in portu tuto sistere per vitam navigantes, imo si pervertitur, infortunatos dilectos ad horam morti tradit.

3. Quid mihi vero discurrendum per singula talium magna ex parte bonorum, cum bene scientibus indicare sufficiat, quod hujusmodi simulationis species omnimodam ex historia virtutem et malitiam visendas ac audiendas antiquis proponebat, ut illam quidem probarent, hanc vero rejicerent? Bonum hoc exinde transiit ad posteros, ut non solum e viventibus mutuemur boni scientiam; sed et cum mortuis per hanc transactionem conversantes, vitam virtuti congruam adipiscamur. Et talis quidem erat tunc scenica demonstratio, cum rationalis esset personarum et actionum imitatio, et in istis qualitatum florilegium ad studiosorum disciplinam. Et erat hujus temporis actor scenicus omnis virtutis præceptor, introducens quidem in theatrum etiam malitiarum typos, non ut quis earum indueret formam, sed ut ipsam aversaretur. Ut aliter dicam, quoad vultum mendax, in magisterio verax erat; et poterant spectatores tunc sibi lucrosum reddere mendacium et illud laudabile, ubi quod spissum et sensibile erat, veritati non erat congruum; quod autem ad sententiam enuntiatam spectabat, animæ quædam erat figura.

4. Dici vero quoque potest ejusmodi actor quasi substantivus sermo. Corpore namque personato prorsus fictus, disciplinis substantialiter constabat, et aliquo modo videbatur ille inhærens animis heroicis, a quibus fortiter inspiratus edocebat auditores. Rectissime etiam dixeris illum ut monitorem, alienos sermones bene transmittentem audientibus; sive quasi bifrontem, e vultibus uno, etsi non quomodo celeber Janus, utentem; sive quemdam duplicem, etsi aliter quam Molionidæ. Imaginaretur aliquis in illo, metempsychoseos nomine, portentosam transfusionem. Qui vero mente simplex est, velut mandatarium talem nuncupaverit, personis heroicis subservientem, quasi sermones ipsarum et actiones imitando exprimeret, non judicans quidem secundum illas, vel, ut idem dicam, discernens vel decernens, et ita judex res ipsarum determinans, ut agat et dicat quæ quidem illæ reipsa fecissent ac dixissent.

5. Aliter enim judex simpliciter diceretur: Sed nunc, ut comparatus ad ducem et ad prætorem et ad imperio maximo præpositum, est subprætor, et subdux et hyparchus, sic et ad judicem illum præcipuum, cui quasi thema subest primitivum, est actor scenicus; colligens quidem et ipse critico modo, opera et verba, ambo heroica, non tamen indubitabiliter illa ipsa quæ secundum accuratam sunt veritatem, sed verisimilia et forsitan ita se habentia, et moribus illorum submissa, et ita fere sub judicio illorum posita; ad suadendum auditoribus ut credant, si non ipsissima, ut quis dixerit, saltem talia debuisse prototypa esse heroica, quibus disciplina theatralis refulget, et adeo ut hujusmodi orator dicere auderet animas heroicas evocatas loqui et facere, per illos actores ea quæ

γ'. Τί δέ μοι ἐκπεξελθεῖν κατὰ μέρος τοῖς τοιούτοις εἰς πλέον ἀγαθοῖς, δέον ὃν ὑποκρούσασθαι τοῖς εὖ εἰδόσιν, ὡς τὸ τῆς τοιαύτης ὑποκρίσεως; εἶδος παντοίαν ἱστορικῶς ἀρετήν τε καὶ κακίαν τοῖς ἀρχαίοις ἐξέθετο εἰς τε πρόοπτον καὶ εἰς ἐπήκοον, ὡς τὴν μὲν ἐκείνους αἱρεῖσθαι, τὴν δὲ ἀποπροσποιεῖσθαι; Ὃ δὴ καλὸν ἐκεῖθεν κατέδη καὶ εἰς τοὺς μετέπειτα, ἵνα μὴ μόνον ἐκ τῶν ζώντων ἐρανιζώμεθα τὴν τοῦ ἀγαθοῦ μάθησιν, ἀλλὰ καὶ νεκροῖς ὁμιλοῦντες δι' ὑποκρίσεως ἐκείνης, τὴν κατ' ἀρετὴν ζωὴν προσεπικτώμεθα. Καὶ τοιαύτη μὲν ἦν ὅτε ἡ ὑποκριτικὴ ἐπίδειξις, μίμησις οὖσα προσώπων τε καὶ πραγμάτων ἔλλογος, καὶ ἀνθολόγημα τῆς ἐν ἐκείνοις ποιότητος ἐπὶ παιδεύσει τῶν ἐντυγχανόντων. Καὶ ἦν ὁ τότε ὑποκριτὴς ἀρετῆς ἁπάσης διδάσκαλος, παρεισάγων μὲν εἰς τὸ θέατρον καὶ τύπους κακιῶν, οὐχ ὥστε μὴν μορφωθῆναί τινα πρὸς αὐτάς, ἀλλ' ὡς ἐκτρέψασθαι· εἰπεῖν δὲ καὶ ἄλλως, ψευδόμενος ἐκεῖνος τὸ πρόσωπον, ἀληθιζόμενος ἦν τὸν διδάσκαλον· καὶ εἶχον οἱ θεαταὶ πορίζεσθαι τηνικαῦτα ψεῦδος καὶ ἐκεῖνο ἐπαινετόν, οὗ τὸ μὲν παχὺ καὶ πρὸς αἴσθησιν οὐδὲν οὐδόλως ἦν πρὸς ἀλήθειαν, τὸ δὲ πρὸς ἔννοιαν τὴν ἐκλαλουμένην ψυχῆς ἦν τι μόρφωμα.

δ'. Ἔστι δὲ τὸν ὑποκριτὴν ἐκεῖνον εἰπεῖν καὶ ὡς οἷον λόγον αὐτόχρημα. Τὸ γὰρ καθ' ὑπόκρισιν σῶμα ψευδόμενος εἰς τὸ πᾶν, ταῖς γοῦν διδασκαλίαις θῶσίωτο, καί πως ἐῴκει κάτοχος ἐκεῖνος εἶναι ψυχαῖς ἡρωϊκαῖς, ὑφ' ὧν ψυχαγωγικῶς ἐμπνεόμενος ἐδίδασκε τοὺς ἀκροατάς. Τάξοι δὲ ἄν τις αὐτὸν καὶ ὡς εἰς ὑποβολέα, λόγους ἀλλοτρίους εὐθυβόλως παρθμεύοντα τοῖς ἀκροωμένοις· ἢ καὶ ὡς οἷον διπρόσωπον θατέρῳ τοῖν προσώποιν ἐνεργοῦντα, εἰ καὶ μὴ κατὰ τὸν περιῳδόμενον Ἴαννον· ἢ καὶ διπλοῦν τινα, εἰ καὶ ἄλλως, ἥπερ οἱ Μολιονίδαι. Φαντάσηται δ' ἄν τις ἐν τῷ τοιούτῳ καὶ τὸν τερατευόμενον μεταγγισμὸν μετεμψυχώσεως λόγῳ. Ὁ δὲ τὸν νοῦν ἀπέριττος καὶ ὡς εἰς ἐντολέα τὸν τοιοῦτον ἐγγράψεται, καθυπουργοῦντα προσώποις ἡρωϊκοῖς, ὡσεὶ καὶ λόγους ἐκείνων καὶ ἔργα πρὸς μίμησιν ἐξεμάττετο· οὐ κρίνων μὲν κατ' ἐκείνους, ταὐτὸν δ' εἰπεῖν, διακρίνων ἢ ἐπικρίνων, καὶ οὕτω κριτικῶς ὁρίζων, αὐτὰ δὴ τὰ ἐκείνων, ἵνα καὶ ποιῇ καὶ λέγῃ, ἅπερ ἂν ἐκεῖνοι αὐτόχρημα.

ε'. Ἡ γὰρ ἂν κριτὴς ἀσυνθέτως ἐλέγετο. Νῦν δὲ, ὥσπερ ἐστὶ πρὸς τὸν δοῦκα καὶ πρὸς τὸν πραικτῆρα καὶ πρὸς τὸν ἐν μεγίστῃ ἀρχῇ ὁ ὑποπράκτωρ καὶ ὁ ὑποδοὺξ καὶ ὁ ὕπαρχος, τοῦτο καὶ πρὸς κριτὴν ἐκεῖνον κορυφαῖον οἷον ὄντα διὰ τὸ πρωτόθετον ὁ ὑποκριτής· ἀναλεγόμενος μὲν καὶ αὐτὸς κριτικῷ τρόπῳ ἔργα καὶ λόγους, ἡρωϊκὰ καὶ ἄμφω, οὐ μὴν ἀναμφιλέκτως αὐτὰ ἐκεῖνα τὰ πρὸς ἀπηκριβωμένην ἀλήθειαν, ἀλλ' ἐοικότα, καὶ τάχα ἂν οὕτως ἔχοντα, καὶ ὑπαγόμενα τοῖς ἐκείνων ἤθεσι, καὶ ὡς ὑπό γε κρίσεως ὄντα τῇ κατ' ἐκείνους· ὡς ἔχειν πείθειν τοὺς ἀκροατὰς οἴεσθαι, εἰ καὶ μὴ αὐτότατα, καθά τις ἔφη, ἀλλὰ γοῦν τοιαῦτα εἶναι ἂν καὶ τὰ πρωτότυπα ἡρωϊκὰ, οἷς ἡ ὑποκριτικὴ ἐλλάμπεται μέθοδος, καὶ εἰς τοσοῦτον, ὡς καὶ τολμῆσαι ἂν τὸν οὕτω ῥητορεύοντα φάναι, ψυχὰς ἡρωϊκὰς ἀναγομένας λαλεῖν καὶ ποιεῖν

διὰ μέσων τῶν ὑποκριτῶν τὰ εἰς κηληθμὸν, ὡς οὕτως εἰπεῖν, τῶν θεατῶν. Οὗ ποιητικὸν ἦθος παρ' ἄλλοις μὲν αἱ ἀοιδαὶ Μοῦσαι, παρὰ δὲ τῷ κορυφαίῳ ἐν μελικοῖς αἱ Κηληδόνες, ἄλλο τέρας αὐταὶ παρά γε τὸ τῶν Σειρήνων. Ὁ δὲ οὕτω τολμηρὸς ῥήτωρ καὶ τὴν ἐντεχνον παλαιὰν ὑπόκρισιν ὁρίσηται ἂν ἀγοήτευτον ψυχαγωγίαν, βελτιοῦσαν τὸν βίον, καὶ τὸν αὐτὴν μετιόντα ὑποφήτην ψυχῶν ἡρωϊκῶν πρὸς βίου λυσιτέλειαν, ἢ βιβλίον ἱστορίας ζῶν καὶ λαλοῦν, ἢ καὶ ἡρώων ὑπαδρηστῆρα, οἷς καὶ τεθνεῶσιν ὁ νοῦς δι' αὐτοῦ περὶ γῆν σώζεται.

sunt spectatoribus, ut ita dicam, incantamentum. Sic poeticum privilegium quidem apud cæteros sunt cantatrices musæ, apud vero coryphæum in melicis sunt Celedones, aliud ipsæ monstrum præter Sirenum prodigium. Ille vero audacissimus rhetor industriosam veterem artem scenicam definiret animarumsine magia evocationem, quæ vitam meliorem facit, et eum qui prosequitur illam, vatem animarum heroicarum ad vitæ utilitatem, vel historiæ librum viventem et loquentem, vel heroum famulum, per quem illorum etiam mortuorum mens in terra servatur.

ς'. Καὶ οὕτω μὲν ἀγαθὸν παλαιὸν καὶ ἡ ὑπόκρισις, καὶ ὁ κατ' αὐτὴν τεχνίτης. Ἐπεὶ δὲ οὐκ ἦν μὴ καὶ τὸ καλὸν ἐκεῖνο καπηλεύθῆναι, καὶ πρῶτα μὲν ἀχρειωθῆναι κατὰ παράμιξιν φαυλότητος, εἶτα καὶ παντελῶς ἀμαυρωθῆναι, ὡς ἀντὶ τέχνης εὐχρήστου εἰς ματαιοτεχνίαν, εἴτε κακοτεχνίαν διεκπεσεῖν, ἀνύει ταῦτα ὁ πολύτροπος βίος· καὶ κατά τι φθόνου τέχνασμα τῇ ἀγαθουργῷ ἐπιβουλευσάμενος ὑποκρίσει, πρῶτα μὲν ἐπινοεῖται τὰ Σατυρικὰ, μίγματα ἐκεῖνα πράξεων καὶ λόγων τῶν ἐν προσώποις ἡρωϊκοῖς, ὧν τὸ κρᾶμα γέλωτι καὶ σπουδῇ παραμέμικτο. Καὶ ἴσασιν αὐτὰ οἱ ἐντετυχηκότες παλαιοῖς πονήμασιν, ὧν ὀλίγα τινὰ περιφέρεται.

6. Et sic quidem bonum erat antiquum et ars scenica et hujus artis artifex. Cum autem fieri non posset ut hoc bonum non corrumperetur, et primo quidem ob vilium rerum admistionem inutilis fieret, deinde prorsus etiam sic obfuscaretur, ut, artis bonæ loco, in vanum sive malum desineret artificium, hæc perficit multiformis vita; et, secundum aliquam invidiæ machinationem, utili insidiata theatro, excogitat satyram, misturam illam actionum et sermonum in personis heroicis positorum, quorum compositio risu gravitateque commista est. Hæc sciunt qui veteribus studuerunt operibus, quorum aliqua pauca circumferuntur.

ζ'. Μετὰ δὲ τὰ Σατυρικὰ σπουδαιογελοῖα εὐδοκίμησε τὸ Κωμῳδικὸν ὑποκριτικὸν, οὐκέτι προσώπων ἡρωϊκῶν ἀντεχόμενον, εἰ μή που ἐν παρέργῳ· τὰ πολλὰ δὲ συρφετοῖς ἐγκαλινδούμενον, καὶ οὕτω καταπατούμενον, καὶ ἂν κειόμενον εἰς παρόραμα, εἰ μὴ καλλιῤῥημονοῦντες οἱ κωμῳδοὶ ἐπήγοντο τὰς τῶν θεατῶν ἀκοὰς, καὶ οὕτω πλατυνάμενοι περιεσώθησαν εἰς ἀνάγνωσιν τοῖς ἐλλόγως βιοῦσιν· οἱ τοῦ ἐκεῖθεν μυελοῦ κερδαίνοντες ἀπόῤῥιπτοῦσι τὰ ὀστᾶ, καὶ ἄλλο δὲ πᾶν, ὅσον μὴ νόστιμον, εἰς ἐξουθένωσιν.

7. Post satyram autem jocoso serioque temperatam, in honore fuit repræsentatio comica, non jam personas heroicas tractans, nisi forte per accessionem, sed plerumque sordibus involuta, sicque conculcata, atque in despectum casura, nisi eleganter loquentes comœdi spectatorum captivassent auditum et ita diffusi servati fuissent ad instruendos rationabiliter viventes : qui medullam excipientes, ossa rejiciunt, et aliud omne, quodcunque non est utile, aversantur.

η'. Καὶ οὕτω μὲν τρεῖς αὗται παλαιαὶ ὑποκρίσεις, τῇ μὲν μεταχειρίσει διάφοροι, ἐλλόγιμοι δὲ ἄλλως καὶ ἐπαγωγοὶ, ἀνθήσασαι ἀνέκαθεν χρόνου, καὶ καρπὸν δὲ ἐνεγκοῦσαι πᾶσαι, ἡ μὲν παλαιὰ θαυμάσιον, ἡ δευτέρα δὲ καὶ τρίτη οὐδ' αὐταὶ πάντῃ ἀπόβλητον, ἐξώλοντο. Ἀνεφάνη δὲ τετάρτη μετ' ἐκείνας, οὔτε ἔλλογος, οὐδὲ μὴν ἀγαθὴ ὅλως εἰς ψυχὴν, καὶ διὰ τοῦτο ἐρεθίζουσα τοὺς φιλοῦντας τὸ ἀληθὲς, ὁμόσε χωρεῖν τῷ κατ' αὐτῆς ψόγῳ, καθὰ πρώτην ἀράξαντες λόγου βαλβῖδα ὑπεκρουόμεθα. Καὶ οἷα μὲν τὴν ἀρχὴν ἐν ἀνθρώποις ἐπολιτεύσατο, οὐκ ἂν εἰπεῖν ἔχοι μικρὸς ἀκρίβειαν. Ἐπολιτεύσατο δὲ ἂν πάντως, καθὰ οὐκ ἀγαπᾷ ὁ Θεός.

8. Et ita quidem tres illæ veteres comœdiæ, tractatu quidem diversæ, aliunde vero insignes et ad suadendum aptæ, quæ a longo tempore floruerunt et fructum tulerunt omnes, illa quidem antiqua mirabilem, secunda vero ac tertia nec ipsæ prorsus abjiciendum, perierunt. Apparuit autem post illas quarta, nec rationalis, nec prorsus ad animam utilis, et ideo veri amatores excitans quoad consentiendum in ejus vituperationem, tanquam prima sermonis repagula abscindentes insiluavimus. Quæ qualem in hominibus se gesserit ab origine dicere non posset nisi auctor gravis; sed omnino vitam degit qualem non amat Deus.

θ'. Ἔτι θετέον εἰς ὑποκρίσεως τόπον καὶ τὴν κατὰ τὸν ἀρχέκακον ὄφιν ἐκεῖνον ψευδαπάτην, τὴν ψίθυρον. Νῦν δὲ ἀκμάζειν ἔοικεν, εἴτε σφριγᾷν καὶ ὁρμᾷν καὶ τεθηλέναι εἰς καρπὸν σαπρόν. Ἐμὲ τοίνυν αὐτὸν, τὸν ἄρτι τοῦδε τοῦ κακοῦ ξυγγραφέα, ἐξόλλυσιν ἡ μιαρά. Καὶ γάρ τοι κατακώχιμος ὢν μυρίαις κακίαις, μήπου δὲ καὶ ἀπάσαις, διαλελώβημαι καὶ ὑπὸ ταύτης, ὡς οὐκ οἶμαι, εἴ τις ἄλλος τῶν κατ' ἐμέ. Δέον γοῦν ποτε χολᾷν, ἐφ' οἷς πραγματικῶς διάκειμαι, ἀνακαγχάζω, ἐπικρύπτων ἐμαυτὸν, ὡς

9. Ponendum est adhuc in arte scenica illam quæ secundum auctorem totius mali serpens seductrix est, susurrantem dico. Nunc autem florescere videtur, sive germinare, prorumpere ac abire in fructum putridum. Memet scilicet ipsum, præsentem hujus mali descriptorem, perdit bestia illa scelerata. Etenim traditus mille iniquitatibus, sinon omnibus, ab ea diffamatus sum, ut nullus, puto, mihi æqualium. Oportet enim aliquando de negotiis quibus insum, vexari bilem; sed abscon-

dens me sicut possum, rideo. Essent quidam a me segregandi : sed magis illos ad negotia reserva. Causam oporteret defendere : tacco in judicium mihi. Ut omnia brevissime dicam, plerumque sincerum virum mentior. Utinam tandem non prorsus fallar, te precor, Deus Salvator, qui super me posuisti manum tuam. Hoc igitur unum non simulo, sanctitatem, a qua remotus sum, non solummodo, « quantum a terra distat cœlum, » sed, si sic loqui licet, quantum ex superterrenis ad fictos antipodes spatium currit. Ecce pessimum memetipsum manifesto. Non enim sinceritati memetipsum fallaciter inscribo, secundum plerosque eorum qui sunt circa nos, ego qui etiam frivolos homines inter aniles et vetulos et stupidos numero; nec æque cunctis in amicitiam imprudentem, blanditorem me præbeo. Verum, stricte semper quæ secundum Deum est, charitatem amplectens, nihilominus invitante tempore, contra malitiam latro, dixerit ille malignus qui laudabilem reprehensionem in latratu ponit; et neque paciscerer, neque complectenti coadunarer, etsi simultatem mihi exprobrans rumperetur. Cum flere oportet, non risu sardonico utar. Est quoque mihi rationalis lætitiæ occasio, cum non, contractis superciliis nec labiis constrictis, suffoco gaudium, illud intus per hypocrisin componens. Non simulanter laudarem quem non diligo, linguæ gratiam fingens adulatoriam, cum etiam adulationem scio propaginem pravæ stipitis, simulationis. Non item sobrietatem fingam, satius ducens captum ebrietate me videri quam fallaciter pro homine sobrio haberi. Manum habens messe quæ venit a Deo plenam, fructum non abscondam.

10. Ut totum declarem, simulationem ego, ut qui maxime ex omnibus, in odio habeo. Hoc autem dico non glorians, Astydamantis instar, ut dicitur, sed secundum accurationem studio proprio immunem. Prorsus enim malum istud detestor, et ab illo, quantum possum declino. Si vero in his forte diversæ locutionis convincor, hinc quidem memetipsum accusans de more simulatorio, sicut jam antea confessus sum, illinc autem idem negans, ecce mihi factus advocatus in veritate dico quod de cætero prosequens sinceritatis solem, simulationis effugio tenebras; sed quæcunque simulatorie facere confessus sum, hæc sunt a me rationes œconomiæ, qualem regula præscribit discretos sermones dispensare statuens, labiaque secundum opportunitatem aperire, nec non apertæ locutionis intempestivitatem vitare, atque omnino rerum conditionibus ad opus accommodari. Quod quidem si quis tribuit simulatorio discrimini, non posset omnem honestatem et moderationem et disciplinam, quibus in vitiorum fugam inducuntur homines, hypocrisi non subjicere. Manifestum est enim, quod hominum natura, quæ lubrica est et errabunda facile potest præcipitari in ruinam; ille vero qui rectitudinis Dominus est, desuper respiciens

ἐγὼ οἶδα. Δέον ὂν ἀφορίζειν τινὰς ἀπ' ἐμοῦ, ἀγκαλίζομαι τοὺς τοιούτους πραγματευτικώτερον· δέον δικαιολογήσασθαι, ἀλλὰ ἐχεμυθῶ εἰς κρῖμα ἐμοί. Τὸ πᾶν ἐν βραχυτάτῳ εἰπεῖν· ψεύδομαι τὸν ὀρθὸν ἄνθρωπον τὰ πολλά. Μὴ γὰρ μοι γένοιτο ἐς τὸ παντελὲς, μὴ, ὦ Θεὲ Σῶτερ, ὁ καὶ εἰς ἐμὲ θεὶς τὴν χεῖρά σου. Ἐν γοῦν ἐκεῖνο οὐχ ὑποκρίνομαι, τὴν ἁγιότητα, ἧς ἀφιστάμενος οὐ μόνον, « ὅσον οὐρανὸς ἐστ' ἀπὸ γαίης, » ἀλλ' εἴπερ ἦν εἰπεῖν, καὶ ὅσον ἐκ τῶν ὑπεργείων εἰς τοὺς ἐννοουμένους ἀντίποδας. Ἐκφαίνω ἐμαυτὸν ἰδοὺ περιπόνηρον. Οὔτε γὰρ εἰς ἁπλαστίαν ἐμαυτὸν ψευδογραφῶ κατὰ τοὺς πλείους τῶν περὶ ἡμᾶς, ὁ καὶ τοὺς ἀδαθεῖς ἀνθρώπους εἰς μαμμακούθους καὶ πολυώρους καὶ μελιτίδας ἐγγράφων· οὐδὲ μὴν ἐπίστης ἅπασιν ὡς ἐς φιλίαν ἀδιακρίτως προσφέρομαι ἀρίσκου δίκην. Ἀλλὰ στέργων ὀρθῶς ἀεὶ τὴν κατὰ Θεὸν ἀγάπην, ὅμως καιροῦ καλέσαντος καθυλακτῶ τοῦ κακοῦ, εἴποι ἂν ἐκεῖνος ὁ κακὸς, ὃς τὸν ἐπαινετὸν ἔλεγχον εἰς βαῦσμὸν τίθησι· καὶ οὐκ ἂν οὔτε συναλλάξαιμι, οὔτε ἀσπαζομένῳ προσενωθείην, κἂν διαῤῥαγείη ἐπικαλῶν μοι τὸ μνησίκακον. Κλαῦσαι δεῆσαν, οὐκ ἂν ἐκγελάσω σαρδόνιον. Ἔστι μοι καὶ χαρμονῆς ἀλλόγου καιρὸς, ὅτε οὐκ ἂν συναγαγὼν τὰς ὀφρῦς, καὶ τὰ χείλη συσφίγξας, πνίξω συστείλας· τὴν χαρὰν ἐντὸς ὑποκριτικῶς. Οὐκ ἂν ὑποκρινάμενος ἐπαινέσαιμι, ὃν οὐ φιλῶ, ψευδόμενος γλώσσης χάριν κολακικώτερον, ἐπεί τοι καὶ τὴν κολακείαν παραφυάδα οἶδα φαύλου στελέχους, τῆς ὑποκρίσεως. Οὐ προσποιήσομαι οὐδὲ τὸ ἐγκρατευτικόν. Βέλτιον ἡγήσομαι κατάσχετος μέθῃ ἐκφανθῆναι, ἤπερ ψευδογραφηθῆναι πρὸς νηστευτήν. Πεπληροφορημένος τὴν χεῖρα θέρους τοῦ ἐκ Θεοῦ, οὐκ ἐπικρύψομαι τὸν καρπόν.

ι'. Συνόλου δὲ ἀποφήνασθαι· ἀπεχθῶς ἐγὼ διάκειμαι περὶ τὴν ὑπόκρισιν, ὡς οὐκ οἶδ', εἴ τις ἀνθρώπων. Λέγω δὲ αὐτὸ, οὐκ ἀποσεμνύνων ἐμαυτὸν Ἀστυδάμαντος δίκην, ὃ λέγεται, ἀλλὰ πρὸς ἀφίλαυτον ἀκρίβειαν. Πάνυ γαρ μισῶ τουτὶ τὸ κακὸν, καὶ εἰς ὅσον δύναμις, παρεκκλίνω ἀπ' αὐτοῦ. Εἰ δὲ τυχὸν ἐναντιοφωνίας ἐν τούτοις ἁλίσκομαι, πῇ μὲν κατηγορῶν ἐμαυτοῦ τὸ ὑποκριτικὸν ἦθος, ὡς φθάσας ἀνθωμολογησάμην, πῇ δὲ ἀπαρνούμενος τὸ αὐτὸ, ἀλλ' ἰδοὺ δικηγορῶν ἐμαυτῷ λέγω πρὸς ἀλήθειαν, ὅτι ἄλλως μὲν μεταδιώκων τὸν τῆς ἀνυποκρισίας ἥλιον, ἐκφεύγω τὸ τῆς ὑποκρίσεως σκοτεινόν· ὅσα δὲ διωμολογησάμην δρᾷν ὑποκριτικῶς, ἀλλ' ἐκεῖνα οἰκονομίας εἰσὶ καὶ παρ' ἐμοὶ μέθοδοι, ὁποίαν ὁ ὀρθὸς παραγγέλλει κανὼν, λόγους τε κριτικοὺς οἰκονομεῖν ἐκεῖνος διατάττόμενος, καὶ χεῖλη ἐν καιρῷ ἀνοίγειν, καὶ τὸ τῆς παῤῥησίας ἄκαιρον ἀπολέγεσθαι, καὶ ὅλως ταῖς περιπετείαις τῶν πραγμάτων εἰς δέον ἁρμόττεσθαι. Ὅπερ εἴ τις ὑποβαλεῖ διαιρέματι ὑποκριτικῷ, οὐκ ἂν φθάνοι καὶ πᾶσιν σεμνότητα καὶ κοσμιότητα καὶ παίδευσιν, δι' ὧν τῇ τῶν κακῶν ἀποχῇ ἐνάγονται ἄνθρωποι, καθυπάγωνεἰς ὑπόκρισιν. Δῆλον γὰρ, ὡς ἡ μὲν κατ' ἄνθρωπον φύσις εὐόλισθος οὖσα, καὶ τὸ ἁμαρτητικὸν εὐπετῶς ἔχει καταῤῥιπτεῖσθαι, ὅπη μὴ χρή· ὁ δὲ τῆς ὀρθότητος Κύριος

ὑπερείδων αὐτὴν, δύο ταῦτα ἐξανύει ἀγαθὰ, κατα- A illam, hæc duo bona perficit, a cadendo præser-
πίπτειν τε κωλύων ἐν τῷ ὑπερείδειν καὶ συγκρο- vans, sustentando fortificans, et lapsam erigens. Et
τεῖν, καὶ πεσοῦσαν ἐξανιστῶν. Καὶ οὐ δήπουθεν ὁ sane qui cæteroquin quidem pronus est ad malitiam,
ἄλλως μὲν ἕτοιμος εἰς κακίαν, τῇ δὲ κατὰ νοῦν διοι- sed spiritali moderatione erigitur, non appellabitur
κήσει ἐξορθούμενος, λέγοιτο ἂν ὑποκριτής. simulator.

ια'. Ὑποκριτὴν γὰρ οἴδαμεν εἶναι τὸν ἐν ἀγαθῇ 11. Simulatorem quidem esse scimus eum qui bona
προσποιήσει καὶ φαντασίᾳ τῇ ἔξωθεν εὐχρηστεῖσθαι specie et apparentia videtur utilis et divinum cre-
δοκοῦντα, καὶ ὡς εἰς μύρον θεῖον καθεστάναι· τὰ δὲ deretur unguentum; interius autem inutilis est ac
ἐντὸς ἄχρειον καὶ ἀδωδότα· καὶ θεῖον μὲν δολίως fœtet; fraudulenterque divinus apparet, dum se-
προφαινόμενον, δαιμόνιον δὲ τὰ ἐς κρύφιον. Εἰ δὲ creto dæmoniacus est. Si vero talis est hypocrita,
τοιοῦτος ὁ ὑποκριτὴς, πῶς ἂν εἴη ὅμοιος ὁ τῇ κακίᾳ quomodo ei similis esset qui cum malitia luctatur?
παλαίων; καὶ πολεμούμενος μὲν ὑπ' αὐτῆς, νικῶν qui quidem ab illa bello oppressus illam tamen
δὲ αὐτὴν ἐγκρατῶς· καὶ κολακευόμενος μὲν, ἀνα- firmiter vincit; et adulatus ab eadem, respuit et
νεύων δὲ καὶ καταπτύων αὐτῆς, ὅτε φιλεῖν αὐτὸν conspuit illam, quando vult osculari eum. Atta-
ἐθέλει. Ἀλλὰ ταῦτα μὲν οὕτω καθιστάσθω μοι, τάχα men hæc quidem mihi sic statuta sint, forte qui-
μὲν ἀμεμφῶς ἔχοντα, ἴσως δὲ καὶ ἄλλως. B dem irreprehensa, aliquando vero reprehendenda.

ιβ'. Οἱ δὲ ὑποκριταὶ, ὧν καὶ φθάσας πεπείραμαι 12. Hypocritæ vero, quos jam expertus sum et
καὶ εἰσέτι πειρῶμαι, τοιαύτην ἔχουσι καταγραφήν. adhuc experior, talem subeant delineationem. Fin-
Ὑποποιοῦνται πρὸ τῶν ἄλλων τὸ φίλιον, ποππύζον- gunt ante omnia amicitiam, subeant provocantes
τες τὸν παρατυγχάνοντα, θώπτοντες, αἰκάλλοντες occurrentem, adulantes, mulcentes, ut faciunt
ὡς οἷα καί τινα κυνάρια σαίνουρα, κνυζώμενοι, προ- catuli caudam moventes, gannientes, ad pedes pro-
κυλινδόμενοι ποδῶν, λείχοντες μικροῦ καὶ ἴχνη, πρὸ voluti, vestigia fere lambentes, eorum dilectis, beni-
τῶν φιλουμένων βαΰζοντες εὐνοϊκῶς δῆθεν, πάντα gne sane, latrantes, omnia facientes, omnia dicen-
ποιοῦντες, πάντα λέγοντες, δι' ὧν ἂν ἑφελκύσωνται tes, quibus alliciant hominem ad assuescendum ipsis
ἄνθρωπον, προσανέχειν αὐτοῖς ὡς ἑταίροις φίλοις· ut charis sociis; plorantes, non solum, quando
κλαίοντες, οὐ μόνον, ὅτε δάκρυον ὁ φιλούμενος ἐκρή- amicus in tribulationis lacrymas erumpit, sed etiam,
ξει θλιβερὸν, ἀλλὰ καὶ, ὅτε που χαίρων αὐτὸς πάθῃ, cum forte gaudens ipse sic afficitur, et cum super-
καὶ ὀπηνίκα δὲ οὕτω συμβὰν ὀφθαλμία ἐπιγενομένη veniens oculorum morbus visum dolore premit
λυπήσει τὴν ὄψιν ὡς εἰς δάκρυον, ὁ πήγνυται καὶ tanquam ad fletum, qui coaguletur in lippitudinem.
εἰς λήμην. Πάντῃ γὰρ πάντως μεθοδεύουσι, τῷ γε- C Ubique enim omni modo studet irriso conformari,
λωμένῳ συσχηματίζεσθαι, ἀκριβούμενοι τὴν πρὸς naturalem ipsius typum exprimere conantes; et
ἐκεῖνον εὐφυῶς τύπωσιν· καὶ οὕτω μὲν κλαίοντες, ita quidem flentes; lætantes vero interdum quidem
χαίροντες δὲ ἀστείως μὲν ἴσως, ὅτε χαρὰν ὁ θωπευ- urbane, quando lætitiam adulatus habet; hoc
όμενος ἔχει· τὸ δὲ καὶ ἄλλως, ἢ κέρχνειν ἢ βήχειν autem alias, si forsan raucitas vel parva tussis illi
ῥῆμα ἐπέλθοι ἐκείνῳ. Ὑποποιησάμενοι γὰρ, δοκεῖν supervenial. Conspicati enim illum ridentem suffo-
ἄγχεσθαι γελῶντα ἐκεῖνον, συνδιατίθενται τῷ κα- catoque fere similem, ad imitationem ejus cachinni
χασμῷ εἰς ὁμοιότητα· ψύλλης δὲ ἐνδακούσης, ὡς componuntur. Quod si pulex momorderit, ut signo
ἐπισημήνασθαι, ἢ μυίας ἐπιπετασθείσης, ἕτοιμοι manifestetur, vel insederit musca, parati sunt ad-
καὶ ὁπλοφορεῖν κατὰ τῶν ἐνδακόντων οἱ θῶπες. Εἰ versus mordentes arma capere adulatores. Si vero
δέ πως ὑπώπιον ἢ πρόσκομμα πάθοι βλητρόν τι καὶ forte quamdam levem suggillationem vel subob-
ἀμυδρὸν, σπένδουσιν Ἀσκληπιῷ καὶ Πανακείᾳ, συν- scurum patiatur offendiculum, Æsculapio Pana-
επικαλούμενοι καὶ τὴν Ἰασὼ πρὸς θεραπείαν. Ὅτε ceæque libant, insuper et Jasonem ad curationem
δὲ καὶ εἰς πταρμὸν ἐξανεμωθῇ, βαβαὶ τῶν προσκυ- invocantes. Cum autem in sternutamentum exagi-
νημάτων καὶ τῶν εὐφημιῶν! Ἀγωνιῶσι, καὶ κρο- tetur, papæ! quæ salutationes et qualia vota! In
κύδα ἢ ἄχνην τινὰ ἐφιζάνουσαν ἰδόντες τῇ τοῦ φίλου D angoribus sunt tramam vel glumam in amici vesti-
ἀναβολῇ. Καθημένῳ παρίστανται ἀτενεῖς, τὰς χεῖ- mento supersedentem videntes. Apud sedentem
ρας ἐπαλλάξαντες πρὸ τοῦ κόλπου, ὡσεὶ καὶ βασι- astant attenti, manibus ante sinum consertis
λέως ἔμπροσθεν, ἐθέλοντες οἶμαι καὶ ὄπίσω συνδῆ- tanquam in regis conspectu volentes etiam, puto,
σαι περσικώτερον αὐτὰς, ἵνα τὸ δουλοπρεπὲς εἰς persico more, retro ligatas illas habere, ut ad ser-
πλέον ἐμφήνωσιν. Ἐξαναστάντος αὐτοῦ σκύλλονται, viendum devoti magis appareant, assurgente,
ἀπορούμενοι, ὅ τι δράσαιεν ἢ ἐξ ἐπιταγῆς, ἢ ἄλλως. laborant illi, observantes quid faciant vel ex jussu,
Ὁδεύοντι παρομαρτοῦσιν, ὅσα καὶ ὁτρηροὶ θεράποντες, vel aliter, iter facientem comitantur, veluti celeres
φιλονεικοῦντες τὴν πρόοδον. Μακαρίζουσι τοὺς servi, progressum æmulantes. Beatos prædicant
γειναμένους τὸν ἄνθρωπον. Εἴ τι λαλήσει, φαντά- qui genuerunt hominem. Si quid loquatur, illum
ζουσιν αὐτὸν, ὀλίγον μέν τί ἐστιν, ἐὰν εἰς Δημοσθέ- parum abest quin vel in Demosthenem, plures
νην, οἱ δὲ καὶ εἰς αὐτὸν Ἑρμῆν. Τοξεύων, εἰς Ἄβα- etiam in ipsum Mercurium transfigurent. Sagittans
ριν εἰκάζεται τὸν περίκλυτον· τρέχων, εἰς Βορεάδας Abaris famam adæquat; currens, aquilonibus as-
ἀνάγεται· μικρὸν γὰρ, εἴπερ εἰς Περσέα, τὸν similatur; parum enim, si Perseo, qui, velut
καθά τις ἔφη ἀρβυλόπτερον. Ἅδων, Ὀρφέως ἐμ- aliquis dixit, pennipes erat. Cantans, Orpheo-

musicior esse prædicatur. Virum sic celebratum Nireo præponit, et super omnia felicem esse mundum aiunt, quod talem exornationis gratia obtinuerit hominem. Unum quid ad elevationem amici relinquunt intentatum, hominem facere Deum, et in sacram extollere columnam. Attamen divinum ac divinissimum atque divum, atque Deo similem et Deo parem et Dei æmulum, et si quod est hujusmodi venerabile cognomentum frequenter appellant hominem. Mane se lavanti assistunt : a dormiente sedulo muscas abigunt ; spuentis non sinunt calcari salivam, non fastidiosam illam esse putantes, sed amœnam visu. Ascendentem in subjugale humeris extollunt, et adhærentes illi, veluti muscæ cupediis, de reditu persuasum habere nolunt. Enarrant quoque calumnias, contra quas, amico intentas, ipsi sane decertarunt, quasque confutaverunt, et ipsas non veras, sed fictas, scelerati. Adulatum sic ironice ipsi contumelia afficientes, argute comminiscuntur vitæ communitatem et substantiæ distributionem, vini amphoras, et alios autumni fructus, et catinos placentis refertos, illi proferentes. Et comedentem quidem et bibentem ad intemperantiam incitant, ut ipsi prætexunt, ad vitæ sustentationem, sed alias puto, ut ipsius gulam ebrietatemque risui habeant : verum si non satiatum illum ægre ferunt in apparentia, magis tamen gauderent, quod ipsi laute replerentur. En autem aliquid novi magis : mysteriis initiantur, et propria secreta, quæ vel fecerunt, vel excogitaverunt, revelant, et ipsa pessima ; et tanquam amico loqui credereque cuncta in animo reposita, ausi, miserum et tunc provocant ad consortium, ut et ille quædam suorum secretorum manifestet. Et hæc quidem ipsi faciunt, et his alia plura pejoraque, usque dum præstigiis deceperint inescatum, illique persuaserint ut ipsis confidat et quasi rectis amicis inhæreat. Cum autem intra retia miserandum hunc passerculum captum retinuerint, tunc simulationis nebulam abjicientes, apparent, amicitia vera sicque malitia splendidissimi.

13. Et quomodo tractent hunc hominem, ego scio, fratres, et vos scitis, et ante vos sciunt scriptores, imo omnis mundus : unde superfluum esset exponere quæ de cætero auditu non sunt digna. Araneus qui ita culicem, captum retibus teneret, animalculum offenderet. Sed istud per attenuationem dicitur. Leo vero sic irrueret ovi, animalque dente discerperet, sicut illi miserandum amicum discerpunt lætantes, imo vero hilaria canentes, ut etiam cum ipsis veluti canibus ludibria conspiciantur. Non enim erubescunt, sed ostentationem amant, quasi per chorum et cantilenam, talia complentes hi audaces et miserabiles : unum quidem, quod audacter adversus amicitiam agunt ; aliud vero, quod nihil laudabile faciunt.

14. Itaque non jam amicitiam blandimentis alli-

μελέστερος εἶναι ἀκούει. Καλὸν εἶναι μανθάνει καὶ ὑπὲρ Νιρέα τὸν περιφδόμενον. Καὶ ἐπὶ πᾶσιν εὐδαιμονεῖν τὸν κόσμον φασὶν, ὅτι τοιοῦτον εἵληχεν ἄνδρα εἰς ἐπιχείσμημα. Ἕν τι ἀφιᾶσιν εἶναι ἀσάλευτον εἰς ὑπερύψωσιν φιλικὴν, τὸ θεοποιῆσαι, καὶ εἰς ἱερὰν στήλην ἀνασπῆσαι τὸν ἄνθρωπον. Τὸ μέντοι θεῖον καὶ θειότατον καὶ θέσκελον καὶ θεοείκελον καὶ τὸ θεοειδὲς καὶ τὸ θεομίμητον, καὶ εἴ τι τοιοῦτον σεμνὸν ὄνομα, συχνὰ κατεπᾴδουσι τοῦ ἀνδρός. Ἔτι λουομένῳ παραστατοῦσιν· ὑπνοῦντος ἀποσοβοῦσι τὰς μυίας προμηθικῶς· πτύσαντος οὐκ ἀφιᾶσι πατηθῆναι τὸν σίελον, μὴ σιχρὸν αὐτὸν εἶναι φιλοσοφοῦντες, ἀλλ' ἡδὺν βλέπεσθαι. Ἀναβαίνοντα εἰς ὑποζύγιον ἀναβάλλουσι κουφίζοντες, καὶ παρακολουθοῦντες ὅσα καὶ μυῖαι γλυκάσματι, οὐκ ἐθέλουσι πεῖθεσθαι εἰς ἀνάκαμψιν. Ἀφηγοῦνται καὶ διαβολὰς, ὧν δῆθεν ἐπιφερομένων τῷ φίλῳ αὐτοὶ προέστησαν ἀντίμαχοι καὶ ἀνέτρεψαν, καὶ αὐτὰς οὐκ ἀληθευούσας, ἀλλὰ πλαττομένας, οἱ ἐπίτριπτοι. Ὑβρίζοντες αὐτοὶ οὕτω πλαγίως τὸν κολακευόμενον, σοφίζονται καὶ βίου κοινωνίαν καὶ περιουσίας ἀπομερισμὸν, βίκους οἴνου περιφοροῦντες ἐκείνῳ, καὶ ὁπώραν ἄλλοτε ἄλλην, καὶ τρυβλία πεμμάτων μεστά. Καὶ ἐσθίοντα μὲν καὶ πίνοντα συνεπωθοῦσιν εἰς πλησμονὴν, τὸ μὲν φαινόμενον ἐπὶ συστάσει ζωῆς, ἄλλως δὲ οἶμαι, ἵνα καταγελῶεν αὐτοῦ εἰς βορότητα καὶ οἰνοφλυγίαν. Μὴ ἐμφορουμένου δὲ δοκοῦσι μὲν ἄχθεσθαι, χαίροιεν δὲ ἂν μᾶλλον, ὅτι αὐτοὶ πλησθήσονται δαψιλῶς. Τὸ δὲ καινότερον· καὶ μυστηριάζονται, καὶ κρύφια οἰκεῖα ἢ δράσαντες ἢ πλάσαντες, ἐκκαλύπτουσι, καὶ αὐτὰ χείριστα, καὶ ὡς οἷα τεθαρρηκότες φίλῳ λαλεῖν καὶ παρατιθέναι τὰ ἐν ψυχῇ ἅπαντα, προκαλούμενοι τὸν ἐλεεινὸν κάνταῦθα εἰς ὁμοιότητα, ἵνα καὶ ἐκεῖνος τῶν τινα παρ' αὐτῷ ἀπορρήτων ἐκφήνῃ. Καὶ ταῦτα μὲν ποιοῦσιν αὐτοὶ, καὶ τούτων ἕτερα πλείω καὶ χείρω, ἕως ἂν καταγοητεύσωσι τὸν δελεαζόμενον, πείσαντες θαρρεῖν ἐκείνοις, καὶ προσανέχειν ὅσα καὶ φίλοις ὀρθοῖς. Ὅτε δὲ θηρασάμενοι ἔσω παγίδος τὸ οἰκτρὸν ἐκεῖνο στρουθίον κατάσχωσι, τότε δὴ τὸ τῆς ὑποκρίσεως ἀπαγαγόντες νέφος, ἐκλάμπουσι, τῇ πρὸς ἀλήθειαν φιλίᾳ καὶ οὕτω κακίᾳ περιφανέστατοι.

ιγ'. Καὶ οἷα διατίθενται τὸν ἄνδρα, ἐγώ τε οἶδα, ὦ ἀδελφοὶ, καὶ ὑμεῖς οἴδατε, καὶ πρὸ ὑμῶν οἴδασιν οἱ βιβλιογραφήσαντες, καὶ ὁ κόσμος δὲ ἅπας· διὸ καὶ περιττὸν ἂν εἴη, ἐκθέσθαι τὰ καὶ ἄλλως μηδὲ ἀκοῆς ἄξια. Ἀράχνης ἂν τις οὕτω κώνωπα περιλαβὼν, οἷς δικτυοῦται, κακουργοίη περὶ τὸ ζωῦφιον. Ἀλλὰ τοῦτο μὲν εἰς εὐτέλειαν πέφρασται. Λέων δὲ οὕτως ἂν ἐπιβρίσῃ προβάτῳ, καὶ συσχὼν διασπάσηται τὸ ζῶον, ὡς ἐκεῖνοι τὸν οἰκτρὸν φίλον διασπαράττουσι χαίροντες, μενοῦνγε μέλποντες εὐφρόσυνα, ἵνα καὶ ἐπ' αὐτῶν ὅσα καὶ κυναρίων μέλπηθρά τινα θεωροῖντο. Οὐδὲ γὰρ ἐπαισχύνονται, ἀλλὰ καὶ φιλενδεικτοῦσιν ὡς ἐπὶ χορῷ καὶ μολπῇ, τοιαῦτα πλημμελοῦντες οἱ καὶ θρασεῖς καὶ τάλανες· τὸ μὲν, ὅτι τολμῶσι κατὰ φιλίας, τὸ δὲ, ὅτι οὐδέν τι δρῶσι μακαριστόν.

ιδ'. Οὐκοῦν οὔτε σαίνουσι τοῦ λοιποῦ τὸ φίλιον,

οὔτε κλαυθμοῦ καὶ χαρᾶς μερῖται φαίνονται, οὐδὲ ἀμύνειν ἢ θεραπεύειν προσποιοῦνται, καὶ τοῦ τιμᾷν καὶ εὐλογεῖν τὸν πρῴην φίλον καὶ εὐδαιμονίζειν ἀπέχονται. Αἴρειν δὲ αὐτὸν ἐπὶ χειρῶν ἀναβολέων δίκην τοσοῦτον ἀπέχουσιν, ὥστε καὶ βοθρεύοντες καταβάλλουσι, καὶ ἐπέχουσι δέ· καὶ εἴ τι ἐχορήγουν τῷ φίλῳ πρὸς δεξίωστν, εἰ δὲ καὶ μυστήρια ἐκειμηλιώσαντό που φιλικὰ οἱ πρὸ τούτων ἐξερευγόμενοι μυστηριακὰ, καὶ αὖ πάλιν ἀντεισδεχόμενοι, οὐδ' ἂν πηγαία χύσις ἡτισοῦν ἐκβράσοι ῥᾷον ἀναβάλλουσα τὸ κατ' αὐτὴν ἀρχικὸν ὕδωρ, ὡς ἐκεῖνοι ἐξεμοῦσι τὰ παρατεθειμένα κρύφια. Ταῦτα δὲ πάντα διατί καὶ τίνος ἕνεκα; Ὅτι φαυλότατόν τι παραπεσὸν πρᾶγμα, οὐδὲ ὀβολοῦ ἀξιούμενον, ἐλύπησε τὸν ὑποκριτὴν παρεωραμένον, ὡς ἂν αὐτὸς εἶποι, ἀξιῶν δεσποτικῶς ἐς τὸ πᾶν τῷ κολακευομένῳ προσφέρεσθαι, καὶ μηδενὸς ἀποτυγχάνειν ἐξ ἐκείνου, ὧν ἐφίεται· ὃ πάντως οὐκ ἔστιν ἐν τῷ βίῳ πρὸς οὐδενὸς γίνεσθαι, ὅπου γε πᾶς ἄνθρωπος οὐδὲ τοῦ οἰκείου κρατεῖ διόλου βουλεύματος, ἀλλά τι κυρώτας ἐν σταθερῷ, τὴν σήμερον αὔριον μεταβαλὼν, ἀπεχειροτόνησε τὴν οἰκείαν πρόθεσιν. Τί δέ φημι αὔριον; δέον εἰπεῖν, ὅτι αὐθωρὸν, τά τε ἄλλα, καὶ διότι οὐ πάνυ ἀπᾴδον πρὸς ἀλήθειαν, τὸ τὰς φρένας πρὸς τύχας κεκτῆσθαι ἡμᾶς.

ιε'. Καὶ οὕτω μὲν τὰ ἐς φιλίαν κακουργοῦσιν οἱ τῆς ὑποκριτικῆς αἱρέσεως, ὅτε μεταχειρίσασθαι τὸ κατ' αὐτὴν πρόθωνται. Καὶ ἤρκει μὲν ἐνταῦθα φαύλους ἐληλεγμένους αὐτοὺς ἀφεῖναι βάλλειν ἐς κόρακας. Ὁ γὰρ τηλικούτου καταπανουργευσάμενος ἀγαθοῦ, κατὰ ποίου ἑτέρου εὐλάβηθήσεται μὴ ἀνδρίσασθαι; Ἐπισκεψώμεθα δὲ ὅμως καὶ ἐπ' ἄλλοις τὴν αὐτῶν μοχθηρίαν, ὅπη ἐπιτιμίας ἀφώρισται ἐντυγχάνοντες· οὐδεὶς γὰρ τὴν τοιαύτην ἀγνοεῖ μοχθηρίαν, ὅπη ἐπιτιμίας ἀφώρισται· ἀλλ' ὥστε συναγαγεῖν τι καὶ αὐτοὶ πρὸς κατάκρισιν, καὶ προσεπιβαλεῖν τῷ κατ' αὐτῆς μεγίστῳ κάδδῳ ψῆφον μίαν γοῦν τινα μέλαιναν, τὴν διὰ γραφῆς ταύτης, ὁμοίων ὡς εἰ καί τινος ἀλιτηρίου λάϊνον ἀμφιεσαμένου χιτῶνα, ὃν αὐτῷ ἡ κακία ἐξύφανεν, εἰς ἐπίσημον ἐντάφιον περίβλημα προσεπιῤῥίψει καὶ αὐτὸς ἐκ παρόδου λιθάριον εἰς ἀφοσίωσιν ἔθιμον.

ις'. Θεωρητέον οὖν τὸν ὑποκριτὴν, ὁπόθι ἐστι καὶ ἐν τῇ πολιτικῇ κοινωνίᾳ, ὅτε τάξεώς που περιφανοῦς ἐπιτεύξεται. Ἅμα εἶδεν αὐτὸν ἡ ἀγορὰ ἢ τὸ βουλευτήριον, καὶ εὐθὺς περιθέμενος τὸ τῆς εὐσχημοσύνης, εἶτ' οὖν εὐλαβείας καὶ προσοχῆς καὶ ἀκριβείας προσωπεῖον, βουλεύει μὲν βουλὰς ἀγαθὰς, ἀγορεύει δὲ τὰ συνοίσοντα· καὶ ὁμιλῶν μὲν ἐπιλέγεται νοῦν, ὃς προφερόμενος ὡς εἰς Θεοῦ φωνὴν ἀπηχεῖται· πράττων δὲ ἀφορίζει τὸν μῶμον ἐξ ἑαυτοῦ, ὡς καὶ φθονεῖσθαι τοῖς γε βασκάνοις. Καὶ διαιτῶν μὲν οὐκ ἂν ἐς πρόσωπον ἀποβλέψῃ, οὐδ' ἂν κατακαυχήσηται αὐτοῦ δῶρον· μέσος δὲ ἄλλως γινόμενος πράγμασι, τὴν ἀνάρετον συντηρεῖ σύμβασιν λόγῳ τῷ κατ' ἀρετήν. Κρίνων δὲ ἀπορθοῖ τὴν γνώμην εἰς εὐθύτητα θεοφιλῆ. Ἐπανασώζει ἅπαν ἀφαίρεμα, παῤῥησιάζει τὸ δίκαιον, περιγράφει τὸ ἄδικον, κολάζει δεόντως, ἐπεικεύεται πρεπόντως, καθείρ-

ciunt, nec fletus et gaudii participes apparent, nec tueri vel servire fingunt, et ab honorando benedicendoque ac prædicando beatum hunc hesternum amicum, abstinent. Tantum autem abest ut, equisonum instar, illum in manibus tollant, ut eum in caveas præcipitent et obruant; et si quid amico suppeditabant ad amicitiæ signum, et si aliunde mysteria amici quopiam servanda reponebant, illi qui antea divulgabant mysteriosa, ut vicissim obtinerent, non facilius fons ebullientis aquæ suam fontanalem aquam emitteret, quam isti reposita secreta eructant. Hæc autem omnia quare et propter quid? Quia res aliqua vilissima superveniens, nec oboli æstimanda, contristavit simulatorem, despectum, sicut ipse diceret, dominationem in omnibus super adulatum habere volens et ab illo nihil eorum quæ desiderat, non obtinere: quod in vita prorsus a nemine potest obtineri, ubi quidem omnis homo propriæ voluntatis non est omnino dominus, sed, postquam aliquid firmiter statuit, hodierna die in crastinam commutata, proprium abjudicavit propositum. Cur autem dico crastinam? dium oportebat dicere illico; istudque, inter cætera, quia non est omnino a veritate alienum, quod sensus juxta fortunam habemus.

15. Et ita quidem bonum amicitiæ pervertunt, qui pertinent ad sectam hypocritarum, cum id, quod ipsius est, administrare luculentius aggressi sunt. Et quidem ibi sufficiebat istos de pravitate convictos de gradu dejicere. Qui enim adversus tantum bonum perverse egit, contra quod aliud verebitur audacter ferri? Examinemus tamen, et in aliis, ipsorum pravitatem, ubi censura signata est occurrentibus. Nemo enim talem ignorat pravitatem, ubi censura notata est; sed nos etiam aliquid colligemus ad condemnationem, et, maximo contra illum suffragio, suffragium unum inquam saltem nigrum, quod est illius accusationis, superadjiciemus, quemadmodum si, homine scelesto lapideam tunicam induto, quam ipsi malitia texuit, in signatum sepulcrum et ipse transitor ex via pallium lapideum ad expiationem ex more conjiciat.

16. Consideremus igitur simulatorem, qualis sit in civili communitate, si quando ad insignem pervenerit ordinem. Statim ut conspexit eum forum vel senatus, extemplo majestatis, sive circumspectionis et prudentiæ necnon obsequii personam indutus, consiliatur quidem consilia bona, et loquitur verba magnæ utilitati futura. Conversando sententiam quidem concludit, quæ prolata tanquam ad Dei vocem sonat; operando vero sic a se removet reprehensionem, ut invidis saltem fiat objectum invidiæ. Arbiter factus, non ad vultum unquam attendet, nec se donum invito ipsum gloriari audebit. Mistus aliunde negotiis, laudabilem conciliationem, sermone secundum virtutem facto, conservat. Judicans, sententiam juxta rectitudinem Deo placitam, dirigit. Omne restaurat abreptum, aperte justum declarat, repri-

mit injustum, punit opportune, clementia convenienter utitur, firmiter coercet, clementer dimittit. Eum virtutis imaginem dixeris. Præter enim cætera noster homo primum fingit et humilitatem et veritatem : humilitatem, eo quod omnium est servus ; veritatem, quia non diceret aliquid bonum, quod tale non esset. Operatur maxime pulchram hanc dyadem; eos qui sunt in maximo gradu exutus, postquam in eis illam demonstravit et curavit. Elevatus quasi duabus aureis alis, veritatis scilicet et humilitatis, a senatu populoque amatur. Exinde quodcunque civile negotium in manus ejus venit, sed præsertim negotia privata. Solet enim, etsi non semper, frequenter saltem, illi de re publica curanti superaddi rerum privatarum cura. Adeunt igitur illum, quibuslibet horis, innumeri, communicaturi de rebus omnimodis, puta de nuptiis, de mercationibus, denique de omnis generis conventionibus. Et est ipsis ille bonus annus, quem non æquaret annus superveniens felicissimus; facilis ad omnes et de nulla pravitate convictus. Itaque sensim sensimque ascendit ad gloriam, et alis famæ sublevatus, non operose pedibus ac manibus sursum tendit, sed commode per aera, tanquam alatus, exsurgit. Postquam autem omnes perversis viis ad se traxerit, et sic ad ipsum devenerint, et verbum « Bonus ille, » passim hic fuerit divulgatum, tunc veterem illum Deocen in mentem cito rememorabit, qui suos concives justitia rumque communium cura demulserat, et sic in archontem assumptus, postea fortiter illis inhæsit, quæ non conveniebant, ipse quoque ad similia mutatur. Et qualiter tractet vel hanc urbem, quam obtinere potuit officiose regendam, vel hunc pagum, apud quem habitat, vel hoc oppidulum, in quo educatus est, deducendum quidem est ex historiis et monumentis, colligendum autem etiam ex his quæ velut ubique fiunt ; mille namque talia prius conspecta, hucusque etiam videntur. Nobis autem dicere sufficiet, oculis acutis opus esse alioquin homini sic elevato, ut in se post assumptionem clare perspiciat, necessarias autem esse preces, ut exinde possit sublimis humilia spectare.

A γνυσι κραταιῶς, ἀφίησιν ἐπιεικῶς. Ἕκποις ἂν ἐκείνον ἀρετῆς ἀφίδρυμα. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις προσποιεῖται ὁ ἄνθρωπος τὴν ἀρχὴν καὶ τὸ ταπεινὸν καὶ ἀληθευτικόν· τὸ ταπεινὸν, οἷς θεραπεύει πρόπαντας· τὸ ἀληθευτικὸν, οἷς οὐκ ἂν φαίη τι ἀγαθὸν, μὴ οὕτως ἔχον. Πραγματεύεται δὲ ἐπιμάλιστα τὴν καινὴν ταύτην δυάδα, ἀποδυόμενος τοὺς ἐν μεγίστῳ βαθμῷ, καὶ ἐπιδειξάμενος αὐτὴν ἐν ἐκείνοις, καὶ τεθεραπευκώς. Καὶ ἀνυψωθεὶς χρυσαῖν οἷα πτερύγοιν τῇ κατὰ τὴν ἀλήθειαν καὶ ταπείνωσιν, φιλεῖται πρός τε τῆς βουλῆς, πρός τε τοῦ δήμου. Κἀντεῦθεν ὅπαν πρᾶγμα πολιτικὸν ἥκει εἰς χεῖρας αὐτῷ, οὐχ ἥκιστα δὲ καὶ τὰ ἰδιωτικά. Φιλεῖ γὰρ, εἰ καὶ μὴ ἀεὶ, ἐς γοῦν τὸ πολὺ, τῷ ἐπιμελομένῳ τοῦ κοινοῦ προσεπιβάλλεσθαι καὶ ἡ τῶν ἰδίᾳ καὶ καθέκαστα ἐπιστροφή. Φοιτῶσι γοῦν παρ' αὐτὸν μυρίοι ὅσοι, καὶ ὅσαι ὧραι, κοινωσόμενοι περὶ πραγμάτων παντοίων, τῶν κατὰ γάμους, τῶν κατὰ ἐμπορίας, τῶν κατὰ συναλλάγματα παντοδαπά. Καὶ ἔστιν αὐτοῖς ὁ ἐπέτειος ἀγαθὸς οὗτος, ὃν οὐκ ἂν τὸ ἐπιὸν καταλάβοι ἔτος ἀγαθυνόμενον· εὔχρηστος ἐφ' ἅπασι, μηδὲ μιᾶς φαυλότητος ἁλισκόμενος. Καὶ τοίνυν ἀναβαίνει ἐς ὅσον καὶ ὅσον τῇ εὐκλείᾳ, καὶ φήμης πτεροῖς κουφιζόμενος οὐκ ἀναῤῥιχᾶται πονήρως, ἀλλ' εὐμαρῶς αἰθέριος ἄνεισιν, ὡς οἷον πετόμενος. Ἐπὰν δὲ πάντας ἑφελκύσηται τῷ κατὰ πονηρίαν μεθοδεύματι καὶ πρὸς αὐτῷ ἐκεῖνοι γένωνται, καὶ τὸ Ἀγαθὸς ὁ δεῖνα πανταχοῦ τῶν ἐκεῖσε διαφημισθείη· τότε δὴ τὸν παλαιὸν Δηρόκην ἐκεῖνον ἀναπολήσας τάχα εἰς νοῦν, ὃς τοὺς

B

C ἀγχώρους θέλξας τῇ δικαιοπραγίᾳ καὶ τῇ τῶν κοινῶν ἐπιμελείᾳ, καὶ ἀποκαταστὰς οὕτως εἰς ἄρχοντα, εἶτα ἐπέβαλε κρατερῶς, οἷς οὐκ ἔδει, μεταβάλλεται καὶ αὐτὸς ἐφ' ὁμοίοις. Καὶ οἷα διατίθεται ἢ τὴν πόλιν, ἣν ἂν λάχοι περιέπειν, ἢ τὴν κώμην, καθ' ἣν αὐλίζεται, ἢ τὴν κωμόπολιν, ἧς ἀπότροφος ἠξίωται, ἀναλεκτέον μὲν ἐκ τῶν ἱστοριῶν καὶ τῶν συγγραφῶν, προσεπιλεκτέον δὲ καὶ ἀπὸ τῶν ὡς ἑκάστοτε· μυρία γὰρ καὶ τοιαῦτα προτεθεωρημένα, καὶ εἰσέτι νῦν βλέπεται. Ἡμῖν δὲ εἰπεῖν ἀρκέσει, ὡς ὀφθαλμῶν ὀξέων δέεται τοῦ λοιποῦ ὁ οὕτως ἀνειλημμένος, ἀναβλεπόντων τρανὲς ἐπ' αὐτὸν μετὰ τὴν ἀνάληψιν, χρεία δὲ καὶ εὐχῶν, εἴ πως ἐκεῖθεν ἐφορεύσει βλέπων τὰ ταπεινά.

17. Porro transeundum est ex hoc primario conspectu ad ea quæ inferiora humilioraque sunt, in gratiam texturæ sermonis variegatæ, hisque qualibuscunque per unius collectivi modum immorandum, ne longius in injucunda materia immoremur, siquidem, velut portenta, sic et de istis sermones onerosi sunt. Sunt etiam in illis passim locis tales artifices. Non enim vult malum a minimis absistere, sed per omnia sine retinentia progreditur. Simulans quippe malitiæ sophista, vel potius verba Dei usurpans, ex verbis illius ad famulos dæmoniacos illud profert adulteratum : « Videte, ne contemnatis vel unum ex pusillis istis [a], »

D ιζ'. Μεταβατέον δὴ ἐκ τῆς κορυφαίας ταύτης περιωπῆς πάλιν ἐπὶ τὰ κατωτέρω καὶ ταπεινότερα, διαπλοκῆς χάριν ποικιλτικῆς τῆς ἐν λόγῳ, καὶ ἐνδιατριπτέον αὐτοῖς ἐφ' ὁποσονοῦν ἐν τῷ καθόλου συλληπτικῶς, ἵνα μὴ ἐς μακρὸν ἀγλευκεῖ πραγματείᾳ ἐνδιατρίβωμεν, ἐπείπερ καὶ φορτικοί, ὥσπερ τὰ μισητά, οὕτω καὶ οἱ περὶ αὐτῶν λόγοι. Εἰσὶν ἐν τοῖς ἑκασταχοῦ τόποις καὶ χειροτέχναι τοιοῦτοι. Οὐκ ἐθέλει γὰρ τὸ κακὸν οὐδὲ τῶν σμικροτάτων ἀπέχεσθαι, ἀλλὰ διὰ πάντων ἀνυποστόλως χωρεῖ. Ὑποκρινόμενος γὰρ ὁ σοφιστὴς τῆς κακίας, μᾶλλον μὲν οὖν ὑποσυλῶν τὰ τοῦ Θεοῦ ῥήματα, παραποιεῖ ἐκ τῶν ἐκείνου ταῖς δαιμονοφορήτοις θεραπευταῖς τὸ·

[a] Matth. xviii, 10.

« Ὁρᾶτε, μὴ καταφρονήσητε μηδὲ γοῦν ἑνὸς τῶν μικρῶν τούτων, » εἴτε ἀνθρώπων, εἴτε καὶ τεχνυδρίων. Διὸ καὶ οἱ ταῖς τέχναις παρυφεστῶτες ὑποκρινται, ἀγαθοπραξιῶν κατάρχοντες, ὅσα καὶ δελεασμάτων, καί τινες ἀγαθοὺς ἢ καὶ ἄλλως περιφανεῖς δι' αὐτῶν θηρασάμενοι, καὶ ἐπαγωγοὶ φανέντες, αὐτίκα συνεπάγονται καὶ τοὺς ἑτεροίους. Ελώθαμεν γὰρ οἱ ἄνθρωποι ταῖς τῶν χρηστῶν ἀνδρῶν χαίρειν μιμήσεσι, πολλοὶ δὲ καὶ ταῖς τῶν ἁπλῶς μειζόνων. Ἐπειδὰν δὲ πλείους ἐπαγάγωνται, καὶ εὐδαιμοῦ φαύλη περὶ αὐτοὺς ὑπόληψις προφαίνηται, μεταβάλλονται καὶ αὐτοί. Καὶ οἱ πρὴν ἀληθευτικοὶ καὶ ἀπράγμονες, καὶ ὅλως μὴ βαρύνοντες τὸ φυλετικὸν, μηδὲ τοὺς μισθοὺς παρατείνοντες, καὶ τὰ τεχνικὰ δὲ ἀκριβοῦντες, καὶ οὕτω χρηστοὶ πιστευθέντες εἶναι, μισοῦσι μὲν ὄνομα κεκτῆσθαι καλὸν ὑπὲρ πλοῦτον, γίνονται δὲ βδελυρίας ἁπάσης καὶ κέρδους αἰσχροῦ ἥττονες· καὶ μᾶλλον, εἴπερ ἀρχιτεκτονεῖν λάχωσι καὶ δημοσίων προΐστασθαι, ἅλλα τε πλημμελοῦντες ἀνόσια, καὶ τοὺς ὑπουργοὺς κολοβοῦντες, ὧν μισθοῦνται· οἱ φέρουσι μὲν βαρέως κολουόμενοι τοῦ μισθοῦ, ὑπομένουσι δὲ τοὺς τοιούτους ἐργολάβους, δεδιότες οἷα βαρεῖς ἐργεπείκτας, εἰ μὴ τοῦ κέρδους ἐκχωροῦσιν αὐτοῖς. Καὶ μὴν καὶ οἱ ἐν τοῖς τοιούτοις εἰσέτι πλέον μικροῦποκριταί, οἱ τοὺς χάλικας δηλαδὴ παραφοροῦντες, καὶ τὸν πηλὸν ἢ τὴν τίτανον ὀργαζόμενοι, τὰς ἀρχὰς μὲν, ὅτε γνωρισθῶσι τοῖς ἐργοδοτοῦσιν, εὐήθεις καὶ ἁπλοϊκοὶ τυποῦνται τὴν θέαν, μικρὸν δὲ ὅσον ἐξαλλάσσουσιν ἑαυτοὺς εἰς τὰ ἔμπαλιν.

ιη'. Οὕτω κἀνταῦθα σμικροπρεπὴς ἡ τοιαύτη κακία, ἵνα, ὥσπερ ὑπὸ παντὶ λίθῳ σκορπίους καταδαρθάνειν φαμὲν, οὕτω καὶ ὑπὸ παντὶ σχεδόν τι ἀνθρώπῳ ὑπόκρισιν ἐνδομυχεῖν λέγωμεν· ἣν εἴ τις ἐλλόγως θυσφημεῖν προσθήσεται, εἴποι ἄν, ὡς ἀρετὴ δαίμονός ἐστι, κακίας κάλλος ὕπουλον, πραγματεία αἰσχροκερδὴς, ἔσθ' ὅπου δὲ καὶ ἀκερδὴς Θεοῦ προνοίᾳ· βδελυρία παρακεκαλυμμένη, σκιαγραφία χρηστότητος, ἀγαθόσημος ψευδεπίγραφος, ἀπωλείας λάκκος ἠνθισμένος, ὡς καὶ λανθάνειν· γελῶν θάνατος, πικρία μελιτόεσσα, σκότος ψηλαφητὸν μὲν ἄλλως τοῖς μὴ ἐχέφροσι, φευκτὸν δὲ τοῖς βαθυγνώμοσι· θὴρ σαρκοβόρος προβάτου, περικεκαλυμμένος κώδιον· Αἴδης, οὗ προλάμπει ζωή· φῶς ἐπικαλάζον βαθεῖ σκότῳ, ἀλώπηξ λόγῳ τὸ δύσνουν ἐπικοσμοῦσα· ἰὸς γλυκάζων μὲν τῇ προφορᾷ, πικράζων δὲ τῇ φθορᾷ· γλυκεῖα σφαγὴ, ἅλυπος ὀλέθρος, λόγος θανατηρὸς, ἄοπλος, νὺξ οὐκ ἀναπαύσιμος, σκιὰ θανάσιμος, ἔχιδνα ὑφειμένη αἱμοχαρής· δράκων τἆλλα μὲν βροτολοιγὸς, καὶ οὕτω σκληρὸς, μαλθακὸς δὲ τὰ εἰς χρυσὸν κατὰ τὸν θρυλλούμενον χρυσοφύλακα. Δίχα γὰρ ἄλλης φαυλότητος καὶ χρυσομανὲς τὸ ὑποκριτικὸν φῦλον, καὶ λίαν πάνυ κερδαλέον· καὶ οὐκ ἂν οὐδενὸς ἑτέρου πρίαιτό τις τὴν αὐτοῦ εὔνοιαν, ὅτι μὴ χρυσοῦ, καὶ αὐτοῦ συνεχῶς ἐπανελουμένου· ὡς, εἴπερ λείψοι ποτὲ, συνεπιλέλοιπε καὶ ἡ εὔνοια· καθὰ καὶ τῇ λυχνίᾳ ἐπιλειπούσης τῆς ἐξαπτούσης ὕλης, συναπῆλθε καὶ τὸ δι' ἐκείνης λαμπρόν.

A sive hominibus, sive artificiolis. Idcirco qui subsunt artibus simulatores, bonos actus fingentes, quasi illectamenta, quosdamque bonos vel aliter insignes inter ipsos venali, blandique duces visi, continuo sibi seciant et alios. Solemus enim homines bonorum imitatione virorum, pluresque simpliciter majorum imitatione gaudere. Postquam autem plurimos sibi junxerunt, et minime prava videtur apud illos congregatio, mutantur et isti. Qui prius veraces et sinceri, non omnino contribules gravabant, nec detinebant mercedes, sed arte facta curabant, et sic probi esse credebantur, bonum quidem super divitias habuisse nomen minime amant, cuilibet autem improbitati et inhonesto quæstui cedunt; præsertimque, si sorte contingit ipsis ut architecti B sint et publicis præsint operibus, inter alia quæ committunt facinora, submissorum operariorum mercedes mutilant. Isti quidem ægre ferunt mercede frustrari, sed hujusmodi conductores operum sustinent, graves eos timentes laborum exactores habere, nisi quod sibi lucrum retineant. Et vero sunt in talibus non admodum simulatores; qui lapillos scilicet afferunt, mortariumque ac calcem molliunt, initio quidem, partientibus opera videntur probi sincerique præ se ferunt speciem, brevissime vero postea in contrarium commutantur.

18. Sic et ibi parca reperitur hujusmodi malitia, ut, quemadmodum sub omni lapide scorpiones C dormitare dicimus, sic etiam sub omni fere homine simulationem latitare pronuntiemus. Quam si quis ex proposito vellet diffamare, diceret quod est diaboli virtus, simulata malitiæ pulchritudo, probrosi negotiatio lucrosa, sed respectu Dei sine lucro; nequitia velata, adumbrata utilitatis descriptio, bonitatis simulacrum, perditionis lacus floribus, ne cernatur, consperous, mors ridens, amaritudo mellita, tenebræ palpabiles vel hominibus non sagacibus, sed fugiendæ prudentibus; fera carnis ovilis vorax, circumdata vellere, infernus, ante quem præluceat vita; lumen super profundas tenebras volitans; vulpes sermone malam intentionem exornans; sagitta lenis quidem pronuntiatione, sed amara corruptione; dulcis trucidatio, hilare lethum, acies lethifera sine armis, nox non ad quiescendum, mortalis umbra, vipera D sanguine gaudens, submissa; draco, quoad cætera quidem mortifer atque durus, sed juxta celebratum chrysophylacem mollis ad aurum. Præter enim aliam pravitatem, simulatorum genus insanit aure valdeque lucrosum est; et non alio quocunque benevolentiam ejus aliquis emeret, nisi auro, eoque continue profuso; adeo ut, si quando deficeret, deficeret etiam benevolentia, quemadmodum lucerna, deficiente quæ ignem dat materia, simul aufertur lumen.

19. Istud malum etiam nuptiarum bonis insidiatur : mulier enim conjugii simulans continentiam, ad mœchiam inardescit.

20. Istud proditiones invenit, et cum aliis, patriarum proditiones. Etenim sincere amantes, amicus, socius, affinis, civis, amicos, consortes, contribules, concives tuentur ; qui vero cauponantes charitatem adulteraverunt, plerumque quidem ad lucrum, rare vero gloriæ causa, amicitiæ, totiusque communitatis, et generis, et ejusdem regionis civium adversarii fiunt.

21. Alii simulationis effectus sunt abeonsa latrocinia. Non audentes enim homicidæ pugnam ad faciem inire, aliter insidiantur ; et in simulatione consilii non mali, subito quidem hypocriseos personam exuunt, arma palam stringunt, et ita sibi placita complent.

22. Hypocriseos nebula speculatorum insidias obumbrans, grandia mala et exercitibus et urbibus infert.

23. Simulatio amicitiæ celebrem quoque excitavit Semiramidem adversus Persarum regem, non solum innocuum, sed et amicissimum. Perfidia Sinonis magnum Trojanorum urbi malum intulit. Verum ibi de ligneo equo aliquis justo plus extollens artificium, dicat non dissimulationem perfidam istud opus perfecisse, vel ut distinctius loquamur, non sapientiam, hypocriseos loco, hujus facinoris assignet causam. Bene scit enim vere interpellatorus, quod cuilibet operi arte facto sive secundum iniquitatem, sive secundum prudentiam, quorum mater industria præsumpta est, comitatur aliquis dolus, pariterque artificium. Artificio autem doloque nemo affirmaverit non etiam perfidiam plerumque saltem subesse. Et si quidem bonus est dolus, bonus etiam est hypocriseos comitatus ; quod de sophismate quoque valet. Si vero mala sunt etiam ambo, sicuti argumentor de facto Sinonis, talis esse debet illius hypocrisis, non aliter ac simulatio percelebris in magnanimitate Megabyzi. Si quis autem hæc honoris cupiditati virilique audaciæ ascribat, ut etiam comes simulatio laudanda, infitias non ierim. Ego vero non secundum illos mihi nocerem, plane defatigatus, et ex opportunissimis rejectus, vanæ gloriæ causa.

24. Sed quid mihi exponendum hypocriseos exempla, quæ frequentia habentur in antiquis scriptoribus qui historiam tractant ? Concise nec procul a veritate dicendum est mundum præsentem esse crassa simulatione plenum. Qui vel in hoc ipso, quod « mundus » est, apud nos per homines hujusmodi fallitur ; ita ut, quemadmodum magni Dei nomen per eos qui divinam non sequuntur inspirationem, blasphematur, sic etiam blasphematur mundi nomen per eos qui mundi non sunt ; quales sunt, qui gentem hypocritarum componentes, destructionem super omnem aliam tri-

ιθ'. Τοῦτο τὸ κακὸν ἐναβρεύει καὶ τοῖς τοῦ γάμου καλοῖς. Γυνὴ γὰρ ὑποκρινομένη τὸ τῆς συζυγίας εὐάρμοστον, οἰστρηλατεῖται εἰς μοιχικήν.

κ'. Τοῦτο τὰς προδοσίας ἐξεῦρε, τάς τε ἄλλας, καὶ τὰς τῶν πατρίδων. Ὀρθῶς μὲν γὰρ ἀγαπῶντες, ὁ φίλος, ὁ κοινωνὸς, ὁ ὁμογενὴς, ὁ πολίτης, σώζουσι τοὺς φίλους, τοὺς συναλλάκτας, τοὺς τοῦ αὐτοῦ γένους, τοὺς πατριώτας· νοθεύσαντες δὲ τὴν ἀγάπην καπηλικῶς, τὰ πολλὰ μὲν ἐπὶ κέρδει, κατά τι δέ που σπάνιον καὶ δόξης χάριν, καταγίνονται τῆς φιλίας, καὶ κοινωνίας ἁπάσης, καὶ γένους, καὶ τῶν τῆς αὐτῆς γῆς.

κα'. Ὑποκρίσεως ἀποτέλεσμα καὶ τὰ ἐγκρυφῆ λῃστευτικά. Μὴ θαῤῥοῦντες γὰρ οἱ φονικοὶ τὴν ἀντιμέτωπον μάχην, ὑποκάθηνται ἄλλως· καὶ ἐν προσποιήσει τοῦ μὴ φαύλου αἴφνης γυμνοῦσιν ἑαυτοὺς μὲν τοῦ ὑποκριτικοῦ προσωπείου, τὰ ὅπλα δὲ τῶν θηκῶν, καὶ θρῶσιν οὕτω τὰ σφίσι θελητά.

κβ'. Ὑποκρίσεως νέφος καὶ τοὺς ἐπιβούλους πευθῆνας ἐπηλυγάζον, μέγα κακὸν ἐπιπέμπει καὶ τοῖς στρατεύμασι καὶ ταῖς πόλεσιν.

κγ'. Ὑπόκρισις φιλίας καὶ τὴν περίκλυτον Σεμίραμιν κατεπῆρε τοῦ μηδὲν ἠδικηκότος Περσικοῦ βασιλέως, ἀλλὰ καὶ ὑπερφιλήσαντος. Ὑπόκρισις ἡ τοῦ Σίνωνος τὸ μέγα κατὰ τῶν Τρώων κακὸν ἐκορύφωσεν. Ἀλλὰ μή τις ἐνταῦθα σεμνύνων τὰ κατὰ τὸν δούρειον ἵππον, σόφισμα, λεγέτω, οὐ μὴν κρυψίνοιαν ὑποκριτικὴν ἐξανῦσαι τὸ ἔργον ἐκεῖνο· εὐκρινέστερον δὲ εἰπεῖν, μὴ σοφίαν αἰτιάσθω ἐκείνου τοῦ ἀριστεύματος, οὐ μὴν ὑπόκρισιν. Εὖ γὰρ οἶδεν ὁ ὄντως ὑποκρουσόμενος, ὅτι παντὶ ἔργῳ δεινῷ ἐξανυομένῳ, εἴτ' οὖν κατὰ πονηρίαν, εἴτε φρόνησιν, ὧν μήτηρ ἡ δεινότης πεφιλοσόφηται, παρέπεται καί τις δόλος, ὁμοίως δὲ καὶ σόφισμα. Σοφίσματι δὲ καὶ δόλῳ οὐκ ἄν τις ἀπισχυρίσηται μὴ οὐχὶ καὶ ὑπόκρισιν τά γε πλείω παρακολουθεῖν. Καὶ εἰ μὲν ἀγαθὸς ὁ δόλος, ἀγαθὸν καὶ τὸ καθ' ὑπόκρισιν παρακολούθημα· οὕτω δὲ καὶ ἐπὶ σοφίσματος. Εἰ δὲ φαῦλα καὶ ἄμφω, καθά που οἶμαι καὶ τὸ κατὰ Σίνωνα, εἴη ἂν τοιαύτη καὶ ἡ κατ' αὐτὸν ὑπόκρισις, καθὰ καὶ ἡ κατὰ τὸν περίπυστον ἐν μεγαλοψυχίᾳ Μεγάβυζον. Εἰ δέ τις αὐτὰ εἰς φιλοτιμίαν καὶ ἀνδρικὴν τόλμαν ἐγγράψεται, ἵνα καὶ ἡ ἀκόλουθος ὑπόκρισις ἐνάρετος εἴη, ἔστω μὲν αὐτὸ οὕτω· ἔχον. Ἐγὼ δὲ οὐκ ἂν κατ' ἐκείνους ἐσινάμην ἐμαυτὸν, κατακόψας μικροῦ δεῖν, καὶ τῶν καιριωτάτων ἐκκρουσθείς, δόξης χάριν κενῆς.

κδ'. Ἀλλὰ τί μοι πλείω ἐπέρχεσθαι παραδείγματα ὑποκριτικὰ, ἐπιῤῥέοντα συχνὰ ἐκ παλαιτάτων ἀκουσμάτων τοῖς ἱστορεῖν προτεθειμένοις ; Δέον εἰπεῖν συνεπτυγμένως καὶ οὐδὲ μακρὰν ἀληθείας, πλήρη νῦν τὸν κόσμον εἶναι ὑποκρίσεως· ὅς γε καὶ αὐτὸ τοῦτο τὸ « κόσμος » εἶναι ψεύδεται παρ' ἡμῖν διὰ τοὺς τοιούτους, ὡς βλασφημεῖσθαι, καθὰ τὸ τοῦ μεγάλου Θεοῦ ὄνομα διὰ τοὺς μὴ ἐνθέους, οὕτω καὶ τὸ τοῦ κόσμου διὰ τοὺς ἀκόσμους· ὁποῖοι καὶ τὸ ἔθνος τῆς ὑποκρίσεως, οἳ τὴν ἀκοσμίαν ὑπὲρ πᾶν ἄλλο φῦλον τεχνῶνται, παραποιοῦντες τὸ τῆς φύσεως κόσμιον. Ἐπ' ἄλλοις γὰρ πεπλασμένοι κοσμίως, ὡς ὁ κοσ-

μοποιὸς Θεὸς ἀπεφήνατο, ἄλλως αὐτοὶ μεταπλάτ- A
τουσιν ἑαυτούς, δῆλον, ὡς εἰς τὸ ἔμπαλιν. Ἄκοσμοι αὐτοὶ ἄρα πρὸς ἀλήθειαν, καὶ δι' αὐτὸ ἔξω κόσμου ἄλλον τρόπον, ἤπερ οἱ πνευματικῶς ἀναχωρηταί. Αὐτοὶ μὲν γὰρ τῷ κατ' αὐτοὺς ἐξωτερικῷ εἰς ὑπερκοσμίους ὑπερανοικίζονται· οἱ δὲ ὑποκριτικῶς ἔξω τοῦ κόσμου Ἁρπυίαις ἑαυτοὺς παρατιθέασιν, ὡς ἐξωκεανίζεσθαι.

bum, naturæ ordinem adulterantes, artificiose agunt. Præter enim alia, feliciter formati, sicut creator Deus declaravit, aliter ipsi sese immutant: evidens est quod in contrarium. Parum idonei sunt ad investigandam veritatem, et ideo extra mundum alio modo, quam spirituales anachoretæ: hi enim, suo exitu, ad supermundiales ascendunt; qui vero per meudacium extra mundum sunt, harpyis, ut Oceanum transeant, se jungunt.

κε'. Ἀλλ' ἐνταῦθα μνησθεὶς τῶν ἁγίως καὶ θεοφιλῶς ἔξω τοῦ κόσμου ἀνδρῶν, τῶν ὕπερθεν γῆς καὶ πάντων τῶν κατ' αὐτὴν, τῶν ὑπερνεφέλων, τῶν αἰθερίων τὸν νοῦν, τῶν ἀειλαμπῶν τὴν νόησιν, τῶν φλογέων ἀγγελικῶς, τῶν ἐκ Θεοῦ καὶ κατὰ Θεὸν φώτων, ὧν καὶ αἱ γλῶσσαι πύριναι ἀποστολικῶς καὶ ἡ λοιπὴ B
δὲ ἅπασα διαρτία, οἷς τὴν κακίαν καταναλίσκουσιν, ἐμπιπρῶντες ὡσεὶ καὶ ἀχυρα· οἱ κόσμον ἀφέντες καὶ τὰ ἐν κόσμῳ, πρὸς αὐτῷ Θεῷ ἐγένοντο· διορῶμαι στύλους μὲν ὀλίγους πυρὸς ἀσκητικοῦ ἐν ἡμῖν προφαίνοντας, γνόφου δὲ μυρίους ὅσους ὑποκριτικοὺς, ἀποφραγνύντας καὶ διατειχίζοντας τοὺς νεφελουμένους, ὡς μὴ ἔχειν ποθὲν καταλάμπεσθαι. Προσεπιβλεπέτω δὲ καὶ καταιγίδας ἀπορρήγνυμένας ἐκεῖθεν, ἵνα καὶ τὸ φῶς ἐκείνων σβέσωσι, καὶ τὸ πᾶν τοῦ ἐν ἡμῖν βίου ἐν ἀλαμπεῖ καταστήσωνται.

25. Jam vero mentione facta virorum illorum qui sancte juxtaque Dei placitum extra mundum sunt, qui super terram et omnia terrena sunt elevati, qui nubes transcendunt, ætherii spiritu, semper cogitatione lucidi, ardentes angelice, ex Deo secundumque Deum lumina, quorum linguæ, sicut apostolorum, ignitæ sunt sicut et reliqua tota facies, ad consumendam malitiam, quam veluti paleas comburunt, qui mundum et ea quæ sunt in mundo relinquentes, ad ipsum Deum pervenerunt; prospicio quidem in nobis aliquot columnas igne fulgentes ascetico, sed innumeras nubes veluti simulatorias, includentes et circumdant quæ nebulosos, ne lumen exinde fulgere possit. Insuper autem aspicio procellas hinc erumpentes, ut etiam eorum lumen extinguant, et quodquod ad vitam nostram pertinet, in obscuro constituant.

κς'. Ὦ κάκιστον θηρίον, ὑπόκρισις! τί δή ποτε πρὸς τῇ λαϊκῇ τοῦ Θεοῦ ἀγέλῃ ἐνάλλῃ καὶ τῇ ἱερᾷ, ἐξ αὐτοῦ Θεοῦ ἁφαρπάζειν πειρωμένη αὐτὴν, μᾶλ- C
λον μὲν οὖν ἄλλως ἐπαπορῆσαι, οὐκ ἂν οἶμαι, μὴ δεόντως; Τί δή ποτε τὴν ὅλην φαρέτραν ἐκκενοῖς, τοὺς ὡσιωμένους τῷ Θεῷ βάλλον; ὧν οἱ μὲν ἐν βίῳ δι' αὐτὸ δὴ τὸ βιωτικὸν οὐχ οὕτως ἐπιβουλεύονται οὐδὲ βάλλονται, οἱ δὲ τὸν βίον ἀπειπάμενοι φυλαδὸν, καὶ πάντων ὑπερπετασθῆναι τῶν κάτω προθέμενοι, ὧν μέρος καὶ ὁ πρὸς αἴσθησιν γάμος καὶ τὰ κατ' αὐτὸν σαρκικὰ (ὁ γάρ τοι λοιπὸς γάμος, ὁ κατὰ πνεῦμα, οὐκ ἔστιν ἀνδρὶ Χριστιανῷ οὐδενὶ ἀπόρρητος, οὗπερ ἐφίενται νοερῶς οἱ φιλόκαλοι, τῷ τῶν ψυχῶν καθαρῷ νυμφίῳ ἑαυτοὺς παρθενικῶς ἁφασιοῦντες) οἱ τοίνυν πρὸς ἀλήθειαν τοιοῦτοι ὅσιοι τοῦ Θεοῦ ἄσπονδον ἔχθραν ἐξανάπτουσι τῷ κοινῷ πολεμίῳ, γινομένῳ πρὸς αὐτοῖς ὡς μάλιστα, καὶ φιλοτιμουμένῳ τὸ ἀντίπαλον, καὶ οὕτως ἀνθάμιλλον. D
Καὶ τὸ αἴτιον, ὅτι γυμνωθέντες οἱ τοιοῦτοι τῶν τῆς παχυτέρας ζωῆς ῥακέων, ὃ δὴ λέγεται, ἀπαρακαλύπτως εἶλοντο κατὰ τοῦ ἀντικειμένου τοξάζεσθαι ὑπὲρ πάντα τὸν λοιπὸν ἄνθρωπον· καὶ τὴν τοῦ βίου παρεκδύντες τύρβην, καὶ ὡς ἐκ πόλεως ταύτης, καθ' ἣν ἔστι πολεμικῶς πυργηροῦσθαι, προποδίσαντες οἷα καὶ εἰς πεδιάδα, ἐν ᾗ οὐκ ἂν ὑπίδοιτό τις λόχον αὐτόχρημα, στρατιῶται Θεοῦ εἶναι τάσσονται, φύλακες τῶν ἄλλων πάντων ἀνθρώπων, ὀφειλόντων μὲν καὶ ἐκείνων μὴ ἀπονυστάζειν, οὐ κατ' αὐτοὺς δὲ, τοὺς ἤδη τεταγμένους τὰ ὑπὲρ τοὺς λοιπούς. Αὐτοὶ μὲν γὰρ τοῦ Θεοῦ κραταιοὶ, σφόδρα ἐξηρμένοι τῆς γῆς, καὶ διὰ τοῦτο φερέγγυοι, κατὰ τῶν πνευμάτων τῆς πονηρίας ἀνθίστασθαι, τῶν καὶ

26. O pessima fera, simulatio, cur in Dei gregem laicum et sacrum irruis, ipsi Deo illum eripere tentans, ubi potius dubitandum, haud crediderim, an non opportune? Quid totam exhauris pharetram, consecratos Deo percutiens? e quibus qui quidem in vitæ conversatione sunt, propter ipsam vitam non sic patiuntur insidias et feriuntur; qui vero sæculum tributim abnegaverunt, sibique proposuerunt inferiora quæque volatu transcendere, quorum pars nuptiæ sensibiles sunt et secundum eas carnalia; (cæteræ namque nuptiæ, quæ secundum spiritum sunt, nulli viro Christiano sunt interdictæ, quas spiritaliter ampleetuntur ardenter amantes, puro animarum sponso sese virginali modo consecrantes), hi proinde secundum veritatem hujusmodi sancti Dei implacabilem inimicitiam accendunt communi hosti, qui præsertim illis adhæret, in honore tenens quod sibi adæquatum est et sic æmulum aggredi. Et causa est, quoniam hujusmodi homines crassioris vitæ panniculis, ut vulgo dicitur, exuti, palam cœperunt contra hunc adversarium super omnem reliquum hominem sagittari; et vitæ turbam fugientes, et postmodum ex hac urbe, qua turres ab hoste circumveniri queunt, progredientes velut in planitiem, ubi quis non omnino timet insidias, milites Dei esse censentur, aliorum omnium custodes hominum, qui quidem ipsi non dormitare debent, sed non juxta illos, qui jam dignitatem supra cæteros obtinuerunt. Ipsi quidem etenim sunt Dei fortes, multum e terra elevati, ideoque magis valentes ad resistendum contra nequitiæ

spiritus, qui multi sunt, et juxta Psalmistam [1], ex alto dimicant. Alii vero deorsum adhuc graviter incumbunt, et non tam ad pugnam idonei sunt, licet alioquin zelo secundum Deum, et sic intus igne succensi non in carbunculos, nec in qualemcunque flammam, sed velut in fulgura, quæ multiplicata conturbant inimicos Dei, non pauci superent eos qui prorsus tenebrosi sunt, adimplentes et ordine perficientes, quæ non erant ordinata. Quos, puto, pertimescentes illi monachi, qui sese in lignea simulacra secundum virtutem suam erexerunt, neque ferentes, quod quidem ipsi certaverint, alii autem auferant præmia (et hoc prorsus summo jure), sive quod ab ipsis armatura spiritus paululum rejecta, illi eam in ornamentum et propugnaculum vice sua induerint, labuntur in hypocrisim; et illa, tanquam levi quadam armatura sanctificante ad latendum circumdati simpliciores decipiunt, eo quod in armis adversus dæmones inimicos stantes ad fugandum illos, fugant virtutem, et illam totam e sede movent, quasi reversi sint in hanc veterem primitivamque formam, per quam velut in paradiso conversantes, intentati ab insidiatore hominum dæmone evaserint.

27. Videres igitur illos non quales sunt, decipere quemlibet hominem, totos a pedibus ad caput usque fictos. Non solum enim nudis neque lavatis pedibus, sordibusque desuper usque deorsum repleti circum ambulant, sed etiam reliquam circa pedes arte conficiunt fœdationem, qualem nemo mirabitur est ipsos adinvenire, qui divinæ formationis immutationem semel statuerunt. Gesticulantem usurpant incessum, qualem formicarum more incurvus præsefert senex, sic fidem facientes, se naturali vigore solvi per abstinentiam, et propemodum attingere mortem. Attamen hic manus alia testantur. Nutrimentis enim ultra satietatem tumentes, contra sic se jactantem loquuntur. Illa vero quæ facie parent, ipsa differenti turba mendacii mutata videntur. Etenim barba vel inculta manens horret propter abstinentiæ sordes et deformem exinde concretionem, vel ad ornatum compta, pendentem illinc fert virtutis comprehensionem, tegente eam superioris labri lanuginoso flore, veluti tecto piloso. Si vero forte superiora quomodo manus ad ornamentum enutrivit, at etiam habet ad illa asceta artificiosum fucum, qua diversis modis immutans se coloratur. Oculi vero pulchrum animæ speculum, corporis lucerna, sol in humano cœlo lucens, sensibilis luminis in nobis portæ, vultus ornamentum etiam ipsi redduntur inutiles hypocritæ, vultum importune præmonstrantes iratum et tetricum, reprimentes hilaritatem, et sic nebulosi, non visionis radios disseminantes ad ubique videndum et brevissimo tempore quæ sunt sursum et deorsum et circum, divinius conspiciendum, et ita visionem

[1] Psal. LIII, 5.

πολλῶν, ψαλμικῶς καὶ τοῦτο εἰπεῖν, καὶ ἐξ ὕψους πολεμούντων· οἱ δὲ ἄλλοι κάτω ἔτι βαροῦνται, καὶ οὐκ ἐς τοσοῦτόν εἰσιν ἀξιόμαχοι, κἂν ἄλλως τῷ κατὰ Θεὸν ζήλῳ καὶ τῷ οὕτως ἐνδομύχῳ πυρὶ ἀναπτόμενοι, οὐκ εἰς ἄνθρακας, οὐδὲ εἰς φλόγα τὴν τυχοῦσαν, ἀλλ' ὡς εἰς ἀστραπάς, αἱ πληθυνόμεναι ταράσσουσι τοὺς ἐχθροὺς τοῦ Θεοῦ, ὑπερανεβαίνωσιν οὐκ ὀλίγοι τοὺς διόλου μελαμφόρους, ἐξανύοντες καὶ κατορθοῦντες, ἃ μὴ ἐτάξαντο. Οὓς οἶμαι καὶ δεδιότες, ὅσοι τῶν μοναζόντων εἰς ὑπόξυλα ἑαυτοὺς ἀγάλματα κατ' ἀρετὴν ἀνεστήλωσαν, καὶ μὴ φέροντες, εἴπερ αὐτοὶ μὲν ἐστρατεύσαντο, ἄλλοι δὲ ἀποφέρωνται τὰ ἔπαθλα (καὶ αὐτὸ πάντως ὀρθότατα), εἴτε, αὐτῶν ἀποῤῥιψάντων μικροῦ τὴν πανοπλίαν τοῦ πνεύματος, ἐκεῖνοι αὐτὴν ἀντενεδύσαντο εἰς τε εὐπρέπειαν καὶ εἰς ὀχύρωμα, ἐκτρέπονται εἰς ὑπόκρισιν· καὶ περιβαλόμενοι ταύτην εἰς ἐπίκρυψιν ὡς οἷά τι ἐλαφρὸν ἁγιοποιὸν ὅπλον, φεναξίζουσι τοὺς ἁπλουστέρους, ὅτι ἔνοπλοι τοῖς ἐχθροῖς δαίμοσιν ἀντικαθιστάμενοι, καὶ οὕτως ἀποσοβοῦντες ἐκείνους, ἀποσοβοῦσι τὴν ἀρετὴν, καὶ πᾶσαν ἐκείνην εἰσοικίζονται, ὡς εἰ καὶ ἀνέκαμψαν εἰς προσδυγενῆ ὀρχέγονον πλάσιν, δι' ἧς οἷα καὶ ἐν παραδείσῳ διαιτώμενοι, ἀνενόχλητοι τῷ ἐπιβούλῳ τῶν ἀνθρώπων δαίμονι ἐκδεδήκασι.

κζ'. Καὶ ἴδοις ἂν αὐτοὺς οὐκ ἂν μὴ οἵους τε ὄντας, ἀπατῆσαι πάντα ἄνθρωπον, πεπλασμένους ὅλους ἐκ ποδῶν ἕως κεφαλῆς. Οὐ μόνον γὰρ ἐπίττηδες νήλιποι καὶ ἀνιπτόποδες περιέρχονται, καὶ ῥύπου γέμοντες ἀπὸ ἄνωθεν ἕως κάτωθεν, ἀλλὰ καὶ λοιπὴν κάκωσιν τεχνῶνται περὶ τοὺς πόδας, ὁποίαν εἰκὸς περινοεῖσθαι αὐτοὺς, κυρώσαντας καθάπαξ παραλλαγὴν τοῦ θείου πλάσματος. Βάδισμα δὲ περιποιοῦνται μορφαστικῶς, ὁποῖον μυρμηκίζων τροχαλὸς πάσχοι ἂν γέρων, ἔμφασιν οὕτω πέμποντες, παραλελύσθαι τῆς κατὰ φύσιν τονώσεως τῇ ἐγκρατείᾳ, καὶ παρασχεδὸν ἥκειν τοῦ νενεκρῶσθαι. Καὶ μὴν αἱ χεῖρες ἐνταῦθά γε ἄλλα μαρτυροῦσι. Πεφυσημέναι γὰρ ταῖς εἰς κόρον τροφαῖς, ἀντιφωνοῦσι τῷ οὕτως ἀρετῶντι. Τὰ μέν τοι περὶ τὸ πρόσωπον, ἀλλ' αὐτὰ ἑτεροίᾳ τύρβῃ ψεύδους ἐμφαίνεται. Ὁ μὲν γὰρ πώγων ἢ ἀμελούμενος δυσπρόσοπτός ἐστι διὰ τὴν ἐγκρατευτικὴν ῥύπωσιν καὶ τὴν ἐκεῖθεν εἰδεχθῆ πίλησιν, ἢ κτενιζόμενος εἰς εὐπρέπειαν, ἐκεῖθεν ἐκκρεμάμενον φέρει τὸ πᾶν τῆς ἀρετῆς, στεγάζοντος αὐτὴν σεμνῶς τοῦ κατὰ τὸν μύστακα πάππου, οἷα καὶ ὀρόφου λαχνήεντος. Τὰ δὲ ὕπερθεν εἴ που καὶ αὐτὰ κατὰ τὰς χεῖρας τέτροφεν εἰς ὡραϊσμὸν, ἀλλ' ἔχει καὶ κατὰ τούτων ὁ ἀσκητὴς τεχνητὸν ὦχρον, δι' οὗ πολυειδῶς ἑαυτὸν ἀφανίζων βέβαπται. Οἱ δὲ ὀφθαλμοὶ, τὸ καλὸν τῆς ψυχῆς ἔνοπτρον, ὁ λύχνος τοῦ σώματος, ὁ ἐν τῷ κατ' ἄνθρωπον οὐρανῷ ἥλιος, αἱ τοῦ κατ' αἴσθησιν ἐν ἡμῖν φωτὸς πύλαι, ὁ τοῦ προσώπου κόσμος, ἀλλὰ καὶ αὐτοὶ ἀχρειοῦνται τῷ ὑποκριτῇ, κνυζόμενοι ἀκαίρῳ σκυθρωπότητι, συστέλλοντες τὸ ἱλαρὸν καὶ οὕτω νεφούμενοι, οὐ σκεδαννύντες τὰς ὀπτικὰς ἀκτῖνας, ὡς πανταχοῦ θέειν,

καὶ ἀκαρεῖ χρόνῳ τῶν ἄνω καὶ κάτω [καὶ πέρις δράττεσθαι θειότερον, καὶ οὕτω τὴν θέαν μὴ ψεύδεσθαι· ἀλλὰ κατὰ γῆς μόνης αὐτὰς βάλλοντες εἰς ἔνδειξιν ἀκουσίαν τοῦ μόνην γῆν εἶναι τὸ οὕτω κατὼ βλέπον. Καὶ μὴν ἐχρῆν, οὐρανοδάμονα ταξάμενον εἶναι ἄνω βλέπειν συμβολικῶς, καὶ οὕτως αἴρειν ὀφθαλμοὺς εἰς ὄρη, ὅθεν καταπέμπεται τοῖς ὀρθῶς ἀναβλέπουσιν ἡ βοήθεια.

κη'. Οὐκ ἀφίησι δὲ ὁ τοιοῦτος οὐδὲ τὸ στόμα ἐῦ ἔχειν τοῦ κατὰ φύσιν ἐνεργεῖν, ἀλλὰ παραποιεῖ αὐτό, καὶ πολλὰ μὲν σιωπῶν κατὰ τὴν, ὡς ἄν τις πυθαγορίζων εἴποι, ἐκσίγησιν· ὅτε δὲ καὶ φθέγξασθαι αὐτῷ εὐαρεστηθείη, νυκτερίδων δίκην ὑποτρίζων, ὡς μὴ αἴσθησιν ἐμποιεῖν τινι τοῦ λαλεῖν· εἰ δὲ καὶ διαρθροῦν δέει τὸ προφαινόμενον ἠρέμα, καὶ τότε ὑποψοφῶν, ὡς εἰ καὶ εὐλαβεῖτο, μὴ συνεκπνεύσοι καὶ τὴν ψυχήν. Ἔνδειξις ταῦτα τῷ τοιούτῳ ἐναρέτῳ τοῦ πεπνίχθαι τὰ ἐντὸς αὐτῷ ἐν ἀσιτίᾳ καὶ λοιπῇ κακεξίᾳ, ὡς μὴ τόνον ἐντεῦθεν ἔχειν αὐτῷ μηδὲ τὴν ἐκπνοήν. Ἀλιτᾶς δὲ τοιαύτης ὁποῖος τις ἂν εἴη νοῦς; Πλατὺς μὲν γάρ πως ἂν γένηται τῷ οὕτω δυσλάλῳ καὶ δι' αὐτὸ στενολεσχοῦντι, γλυκὺς δὲ οὐκ ἂν οὐδόλως ὁ καὶ δυσαίσθητος. Ὠφέλειαν δὲ ἡλίκην ἔχοι ἄν, εἴσεται ὁ ἀκούσας, ὃς μὴ εἶην ἐγώ. Πραγματεύεται δὲ ἆρα ἐν τούτοις ὁ ψευδάνθρωπος τὴν τῆς ἰδιωτείας ἐπίκρυψιν. Ἀγροικοι γὰρ πάντη πάντως οἱ τοιοῦτοι, πραγματευόμενοι τὸ σιγηλὸν καὶ τὸ ὀλιγορρήμονεῖν, διὰ τὸ ἐκεῖθεν ἀνεξέλεγκτον· ὡς οἵ γε σοφοὶ μοναχοί, καὶ γραμμάτων ἄνθρωποι, καὶ ἀρετῆς ἄνδρες, καὶ μύσται χρηστῆς παιδεύσεως, τήν τε φωνὴν τοροῦσι, τρανότερον λαλοῦντες, καὶ τὸ φθέγμα καλλύνουσιν, ἐννοίας ἐμμούσους ποταμῶν δίκην ἐξερεύγόμενοι, ὧν τὰ ὁρμήματα εὐφραίνουσι πόλεις Θεοῦ· καὶ τοῖς ὀφθαλμοῖς λάμπουσι, καὶ τοῖς προσώποις εἰς ὡραϊσμὸν θεῖον ἐρεύθονται· καὶ τῷ ὅλῳ κατὰ φύσιν ἀναστήματι τὸ θεῖον πλάσμα ἐπαληθιζόμενοι, καὶ ταῖς πράξεσιν εἰς Θεοῦ μίμησιν εἰκονίζονται. Οὐ μὴν κατὰ τοὺς παρ' ἡμῖν ὑποκριτικῶς τυποῦνται, οἳ τὸ ἀκατάληπτον μεθοδεύοντες κομμωτικῶς, ὑπογράφουσι τὴν ἔμπρακτον ἀρετὴν, εἰ καὶ μὴ ἔχουσι διόλου αὐτὸ ἐξανύειν, ὅτι μηδὲ δυνατόν.

κθ'. Πλεονάζουσα μὲν γὰρ ἡ ἀρετὴ, καὶ πραγματεώδης ἀληθῶς οὖσα, καὶ σπουδαζομένη κατὰ πάντα τρόπον, ὡς ἄγχεσθαι δι' αὐτῆς ἀνδρικῶς ὁποῖα καὶ λέοντα τὸ κατὰ ψυχὴν ἄλογον, πνίγοι ἂν ἐντὸς μοχθηρίαν, μὴ ἔχουσαν ἐκφανθῆναι, εἴ τίς που ἐνδόμυχος κρύπτοιτο· καθὰ καὶ ὀδμὴ δυσαπόφορος ἀρωμάτων παραβεβλημένων εἰς πλῆθος οὐκ ἂν ἔχοι φιλενδεικτεῖν τὴν φαύλην ὄσφαν. Ὅτε δέ τινι τὰ μὲν ἐντὸς ἀπάσης ἀκαθαρσίας γέμει τῆς διὰ κακίαν, ἔξωθεν δὲ ἀρετῆς προφαίνοιτο χάσμα ἐπίπλαστον, πῶς ἂν ἐκεῖ νικήσῃ τὸ ἀληθῶς ἐνάρετον, οὗ μηδόλως μέτεστι τῷ ἀνδρί; Ἀμέλει καλῶς ὁ τὴν ἐνάρετον πρᾶξιν ψευδόμενος, καὶ ὡς οἷόν ἐφιμυθιωμένος κατ' αὐτὴν, καὶ προσθέτῳ ἐρυθήματι καλλυνόμενος, οὐ κρύψεται τὴν αἰσχρίαν διὰ παντὸς, ἀλλὰ ταχὺ ἐπιγνωσθεὶς ἐκφανεῖται, καὶ διαδείξει ἑαυ-

non fallendum; sed ad solam terram eos deficientes, ad invite monstrandum solummodo terram esse quam illa deorsum respicit visio. Attamen cœlicolam prorsus perfectum, oportebat symbolice sursum tueri, sicque levare oculos ad montes, unde venit rite suspicientibus auxilium.

28. Talis autem nec os sinit juxta naturalem vim agere, sed illud adulterat, plerumque quidem silens secundum hanc, quam pythagorio more dixeris, taciturnitatem; sed et cum sonum edere bonum ipsi visum est, vespertilionum more stridulam vocem emittens, ita ut sensum sermonis alicui non imprimat; si vero prolatum aliquantulum articulare tentat, tunc etiam submurmurat, quasi timeret, ne simul exspiret mentem. Hæcita que hujusmodi prædito virtute testimonio claro sunt quod ea quæ sunt intus ipsi vexantur inedia reliquaque mala corporis valetudine, tanquam exhinc non haberet tonum nec respirationem, sermonis autem ejusmodi qualis mens esse posset? Larga quidem sane esse potest huic difficile loquenti et ideo anguste fanti, jucunda vero sane non posset haberi quæ tam difficile percipitur. Quantam autem utilitatem proferat, auditor sciet, qui ego non esse vellem. Tentat autem in istis homo falsus suæ rusticitatis dissimulationem. Rudes enim omnimodo sunt hujusmodi, qui silentium verborumque parcitatem observant, quoniam exinde confutari nequeunt. Certe enim monachi sapientes, litterarumque periti, necnon viri virtutibus pleni bonæque disciplinæ initiatores, vocem expoliunt clare loquentes et sermonem adornant cogitationes harmonicas fluminum instar emittentes, quorum impetus lætificant civitates Dei; oculis lucent, ac in divinum decus vultu rubescunt, tota naturali celsitudine opus Dei veraciter annuntiant, et actibus ad Dei imitationem effinguntur. Attamem non simulatorie finguntur secundum illos qui sunt apud nos, quique quod incomprehensibile est de industria prosequentes, efficacem promittunt virtutem, etsi non omnino possint istud perficere, quod haud possibile est.

29. Virtus enim quæ præstat, et vere operaria est, ac omnimode studiosa, ita ut per illam quasi leo stranguletur quod non est in anima rationale, sic internam malitiam suffocaret, ut, si quæ forte lateret interior, manifestari nequiret: quemadmodum tenacissimus aromatum inclusorum odor ad multitudinem non valeret pravam olentiam expandere. Cum autem alicujus interiora qualibet impuritate malitiæ plena sunt, et exteriora fictum virtutis hiatum ostendunt, quomodo vinceret ibi quod vere virtutem sapit, cum huic homo minime participat? Profecto qui pulchram actionem fingit, et per eam quasi cerussatus est, adjectitioque colore venustatur, non semper fœditatem abscondet, sed brevi cognitus apparebit, et seipsum fallacem mendacemque signatorem ostendet. Vel enim

postquam malis artibus jam mendacium complevit, invaluitque decipiens occurrentes, ac in sanctis est reputatus, tandem abluitur hypocrisi, sicque prorsus factus dæmonium in se latens ostendit, et, convictis mirantibus, quid ab ipso scenico sanctitatem æstimaverint, quod erat pravæ naturæ perversæque vitæ manifestatur. Vel cito boni simulationem omnem veritus, uti gravem ipsumque fatigantem, ad similitudinem ejus qui, debile corpus habens ad scenam graviter armatorum, in loricatorum militum armis impeditus apparet (non enim omnino potest concinne moveri, plurimorum talentorum armaturæ pondere circumdatus), ipsam quidem virtutis apparentiam quasi gravem et intolerabilem abjicit, exinde vero fugitivus factus in evidentia peccandi brevi restituitur.

ἀρετῆς ὡς βαρὺ καὶ ἀδάστακτον, ἀποκαθίσταται δὲ μαρτον.

30. Et sic uterque simulationi servit; qui perseverat et qui fugitivus est puram retinent similitudinem cum eo qui principio paruit hypocrita, scilicet antiquissimum. Illic enim qualiscunque, si forte contigisset ut homo personas heroicas imitaretur, deinde post scenam in humilem ut prius hominem redibat : hypocrita vero monachus, postquam virtutem quomodolibet illusit, ille rursus manet qui ante repræsentationem erat peccator. Ascribantur ergo tales homines comico theatro, et subordinati quidem ordinentur in simpliciter scenicos eosque non concinnos; superiores autem reputentur in theatri duces, istique imperfectas simulationes rideant, cogitationem expertis suggerentes, quales cum tonsura quidem apparuerint, quales autem post breve tempus manifestati sint. Simularunt enim totum fugere mundum et consequenter ea quæ comitantur, inter quæ sunt parentes aliique familiares. Constituerunt autem quoque sibi modestiam et successum et omnino paupertatem, ideoque nihil prorsus partiri possunt. Quidnam enim partirentur, qui nihil habere finxerunt; nec ullum alium hominem præter semetipsos videre assueti sunt? Postquam autem huic scenæ sese paululum dedissent repræsentavissentque drama quasi ipsi choragi forent, sibimet ac levioribus placentes spectatoribus, unum solum ex actione dramatica plerique usque ad finem retinuerunt, præfiguratam lamentabilem nigritiam; cæteris autem abstinuerunt, non quod ludebant remanentes, nec etiam ad priora revertentes, sed in pejores transformati, mundum adeo sibi proprium operati, ut illius magis quam sancti monasterii esse viderentur.

31. Antea quidem etenim vel quædam victus quæstio, vel publicitatis pudor ipsos arcuit a foro. Fastidiebant enim inter multos videri, plurimi quidem quia mundana conversatione non erant digni qui conspicerentur; plures autem etiam ob aliquod facinus probrosum, e quibus aliquot carcer celavit malefacientes, et sic abscondi non libenter obti-

τὸν ἀπατεῶνα καὶ ψευδεπίγραφον. Ἔχει δὲ διπλόην ὁ τοιοῦτος ἐκφάνσεως. Ἢ γὰρ ἀνύσας ἤδη τεχνικῶς τὴν ὑπόκρισιν, καὶ ἰσχύσας ἐξαπατῆσαι τοὺς τετυχηκότας, καὶ λογισθεὶς ἐν ἁγίοις, ἀπολούεται τὴν ὑπόκρισιν τοῦ λοιποῦ· καὶ καθαρὸς οὕτω γενόμενος ἐκφαίνει τὸ ἐν αὐτῷ δαιμόνιον, καὶ πληροφορήσας τοὺς θεαθέντας, ὅτι κατετάχθησαν ὑπ' αὐτοῦ σκηνοβατήσαντος, τὴν ἀγιωσύνην διαδείκνυται, ὅπερ ἦν ἐκφύσεως καὶ φαύλης βιώσεως. Ἢ ἀλλὰ εὐλαβηθεὶς τάχιον τὴν ὕλω; ὑπόκρισιν τοῦ καλοῦ, ὡς καὶ αὐτὴν βαρεῖαν καὶ καταπονοῦσαν αὐτὸν πρὸς ὁμοιότητα τοῦ ἐν ἀγεννεῖ τῷ σώματι πρὸς ὁπλιτικὴν σκηνὴν ἐνδεικνυμένου τὰ τῶν καταφράκτων στρατιωτῶν (οὐδὲ γὰρ οὐδὲ ἐκεῖνος εὐρύθμως διόλου ἔχει κινεῖσθαι, περιβεβλημένος βάρος ὁπλίσεως πολυτάλαντον), ἀποῤῥίπτει μὲν καὶ αὐτὸ τὸ πρόσχημα τῆς δραπετεύσας ἐκεῖθεν ταχὺς εἰς τὸ προφανῶς ἐφάλ'. Καὶ οὕτως ἑκάτεροι δοῦλοι τῆς ὑποκρίσεως, ὅ τε παράμονος καὶ ὁ φυγάς, ἀποσώζουσι καθαρὰν εἰκασίαν πρὸς τὸν πρωτοφανῶς ὑποκριτὴν, τὸν παλαίτατον δηλαδή. Ἐκεῖνός τε γὰρ ὁ τυχὼν, εἴ που καὶ λάχοι ἄνθρωπος ὢν καὶ μιμησάμενος ἡρωϊκὰ πρόσωπα, εἶτα μετὰ τὴν σκηνὴν εἰς τὸν πρῴην ταπεινὸν ἄνθρωπον ἀνέκαμπτε· καὶ ὁ καθ' ὑπόκρισιν δὲ μοναχὸς τὴν ἀρετὴν παίξας ἐφ' ὁποσονοῦν, ἐκεῖνος αὖθις μένει ὁ καὶ πρὸ τῆς σκηνοβατήσεως ἁμαρτωλός. Ἀποκληρούσθωσαν δὴ καὶ οἱ τοιοῦτοι ἄνθρωποι τῇ παιγνήμονι θυμέλῃ, καὶ ὑποτακτικοὶ μὲν ὄντες τετάχθωσαν εἰς ἁπλῶς θυμελικοὺς, καὶ αὐτοὺς οὐκ ἐμμελεῖς· ὑπερκαθήμενοι δὲ λογιζέσθωσαν ὡς εἰς θυμέλης προάρχοντας, οἳ καὶ γελάσθωσαν τῶν οὐ σπουδαίων ὑποκρίσεων, ἔννοιαν τοῖς πεπειραμένοις ὑποβάλλοντες, οἷοι μὲν ἅμα τῇ κουρᾷ ἐξεφάνησαν, οἷοι δὲ μετὰ χρόνον οὐ πολὺν ἀπεδείχθησαν. Ὑπεκρίναντο μὲν γὰρ, τὸν βίον πρόπαντα φυγεῖν, ἀκολούθως δὲ καὶ τὰ παρεπόμενα, ἐν οἷς καὶ οἱ πρὸς γένους καὶ οἱ ἄλλως γνωστοί. Ἐτάξαντο δὲ καὶ ἀτυφίαν καὶ ἐκτοπισμὸν καὶ τὸ ὅλως ἄδοσον, διὸ οὐκ ἂν καὶ μετάδωσιν. Τίνος γὰρ ἂν μεταδοῖεν οἱ μηδὲν ἔχειν προσποιησάμενοι, καὶ μηδὲ ἄνθρωπον βλέπειν ἄλλον κυρώσαντες, ὅτι μὴ μόνους ἑαυτούς; Μικρὸν δὲ τῇ σκηνῇ ταύτῃ ἐμμελετήσαντες, καὶ τὸ δρᾶμα ἐπιδειξάμενοι, ὡς αὐτοὶ ἐχορήγησαν, ἑαυτοῖς καὶ τοῖς ἀβαθεστέροις θεαταῖς εὐηρεστηκότες ἓν μόνον τῆς δραματουργίας παρακατέσχον εἰς τέλος οἱ πλείους, τὴν προφαινομένην πένθιμον μελανίαν· τῶν δὲ λοιπῶν ἀπέσχοντο, μὴ, ὅπερ ἔπαιζον, μείναντες, καὶ μηδὲ εἰς τὰ πρότερα γοῦν ἀποκαταστάντες, ἀλλὰ μεταποιηθέντες εἰς χείρονας, τὸν κόσμον ἐς τοσοῦτον οἰκειωσάμενοι, ὡς ἐκείνου μᾶλλον εἶναι δοκεῖν, ἢ τοῦ ἁγίου φροντιστηρίου.

λα. Τοπρὶν μὲν γὰρ ἡ βίου ζήτησις ἠτισοῦν ἀπῆγεν αὐτοὺς τῆς ἀγορᾶς, ἢ ἐντροπὴ προφάνσεως. Ὤκνουν γὰρ τὴν ἐν τοῖς πολλοῖς θέαν· οἱ πλείους μὲν διὰ τὸ τῆς κατὰ κόσμον ἀναβολῆς οὐκ ἀξιοθέατον, πολλοὶ δὲ καὶ διὰ κακουργίαν αἰσχύνουσαν, ὧν δή τινας καὶ κάθειρξις ἐπέκρυπτε κακουργοῦντας, καὶ δῦτω λαγχάνοντας τὸ οὕτω κρύπτεσθαι οὐ καθ'

ἐκούσιον, ὅτε οὔτε τῆς συγγενείας ἦσαν πάντως ἐπιστροφοι, οὔτε τῆς συνηθείας· ἐπεὶ μήτε ὁ τέχνῃ σχολάζων ζωῆς χάριν ἄδειαν ἔχει τὰ τοιαῦτα ἐπισκέπτεσθαι, οὐδὲ μὴν ὁ κρυπτόμενος ὁπωσοῦν. Ἀλλ' ἐπειδὰν ἕκαστος αὐτῶν ὑποκρινόμενος, εἰς τὸ πρότερον ἦθος ἀποκατασταίη, ἐπιτείνει αὐτὸ εἰς ἐμμέλειαν οὐκ εὐάρμοστον. Ἐπανελθὼν γὰρ τῆς κατὰ πνεῦμα φυγῆς, φανητιᾷ, καὶ ταῖς προόδοις ἐλλάμπεται· καὶ τὸ μονότροπον ὡσεὶ οὐδὲν λογισάμενος, πολιτεύεται πρὸς βίον ἀπόβλεπτον, φιλοτιμούμενος, καὶ τὴν συγγένειαν πληθῦναι καὶ τὴν γνωριμότητα. Καί γε πληθύνει αὐτά, ῥυθμίζων ἑαυτὸν οὐ καθ' ἑτέραν ἀναλογίαν, ἀλλὰ τὴν εἰς πολλαπλάσιον.

λβ'. Καὶ τοὺς τρόπους τοῦ πληθυσμοῦ τοῦδε προφέρειν μυσάττομαι, ὧν εἷς πρὸ παντὸς ἔργου ἡ τῶν τέκνων ἐπίκτησις, ὧν τὰ μὲν σαρκικὰ ἐῤῥόντων· ἐγὼ δὲ λέγω τὰ κατὰ πνεῦμα, ὁποίοις ὁ μέγας μὲν Ἀβραὰμ ἄλλως χαίρει, ἑτεροίως δὲ ὁ Ἀβραμιαῖος οὗτος γέρων, ὃς χάριν αὐτῶν δυσκολίαν ὑποκρινάμενος βιοτῆς, καὶ τὸν ἀρχιερέα ὑποποιησάμενος, καὶ γελάσας μὲν οὖν, καὶ εἰς ψυχῶν ἀνάδοχον ἐπικριθείς, καὶ οὕτω διαβὰς ἀδεῶς εἰς τὰ κατὰ βίον σωματικά, καὶ τῇ τῶν τέκνων εἰσποιήσει πλατυνάμενος, ἅπερ ὅσα καὶ μήτηρ ἡ γραῦς ὑπόκρισις ὑπὸ τῷ καλῷ γέροντι ἔτεκεν, εἶτα καὶ τὸν ἐνδόντα τεκνοποιεῖν ἀποπροσποιεῖται, ὡσεὶ οὐθὲν ἐνώπιον αὐτοῦ ἐκεῖνον λογισάμενος. Οὕτω δὲ μετὰ τὴν ἐκ φυγῆς ἐπανέλευσιν ἐκκοσμίου λογικὴν ἀποκαταστὰς ἀκριβοῦται, καὶ τὸ μὴ ἄτυφον μένειν. Καὶ ποῦ γὰρ ἂν εἴη ἀτυφία παρὰ τοῖς ἀπολεξαμένοις μὲν τὴν ταπεινότητα, καὶ ὀπὴ τὴν αὐτῇ ὀπαδὸν ὑπακοήν, ἑλομένοις δὲ τὸ αὐτόνομον καὶ προτακτικόν;

λγ'. Οὐκοῦν συχνὸν τοῖς ὁσίοις μετὰ τὴν ἐκ φυγῆς κάθοδον εἰς τὰ κοσμικὰ πάτρια οὐ τὸ « Εὐλόγησον, » οὐ τὸ « Ὡς κελεύεις. » οὐδὲ τὸ « Ναί, τίμιε Πάτερ, » ἀλλὰ τὰ τούτων ἀνάπαλιν. Τῆς γὰρ ὑποταγῆς ἀλλαξάμενος τὴν ἐπιταγήν, εὐλογεῖ μὲν, ἀλλὰ κατὰ πρόσωπον τὰ πολλὰ διαβόλως· κελεύει δὲ τοῖς ὑπακούουσιν ὅσα καὶ τύραννος· ἀπαναίνεται δὲ προκαλούμενος εἴς τι ἐνάρετον, αὐτὸς ἑαυτὸν κανονίζων, αὐτὸς ἑαυτῷ ἀρέσκων, ἑαυτοῦ καὶ μόνου τὸν κόσμον τιθέμενος, φάναι δὲ καὶ ἄλλως, ἑαυτὸν μόνον τῷ κόσμῳ προσλογιζόμενος· οὗπερ ἐκτοπισθεὶς εἰς βραχὺ ἐπανέδραμε ταχὺ πρὸς αὐτὸν, ὅσα καὶ παῖς παρὰ φίλην τιθήνην· ἄλλως, ἧπερ ἔδει, ἀναχωρήσας ὁ κοσμικὸς ἀσκητὴς, καὶ ἀντὶ τοῦ ἄνω χωρῆσαι ὡς εἰς αὐτὸν Θεὸν, ἀνόπιν χωρήσας, οἷα οὕτως ἑρμηνευόμενος τὴν ἀναχώρησιν πρὸς τοῦ ψαύλου διδασκάλου δαίμονος, καί πως οὕτω φιλοσοφήσας κυνικὸς γενέσθαι, οἷς κύνεον τρόπον ἀναλαβὼν εἰς τὸν οἰκεῖον ἔμετον ἐπανέστρεψε. Μή που δὲ καὶ ἀλλοτρίοις ἐμέτοις ὁ τοιοῦτος προσανεχρώσθη μετὰ τὴν ἐπάνοδον, τήν τε πρῴην φαυλότητα ἐξευρὼν, καὶ ἄλλην προσεπικτησάμενος.

λδ'. Πρὸς γὰρ τοῖς ἄλλοις οὐκ ὀλίγοι καὶ τέχνας καὶ ἐμπολὰς μετὰ τὴν κουρὰν προσεπιλαβόντες, ἐπανέρχονται εἰς τὸν βίον, καὶ ἐκεῖθεν ἔμφορτοι, καὶ ἄλλα δὲ προσεπιφορτίζεσθαι δεξιοὶ διὰ τὸ ἐκ τέχνης πορισ-τικόν. Οἱ δὲ τοιοῦτοι πῶς ἂν εἶεν ἄβιοι, ὅπερ ἐξ

A nentes : et tunc nec prorsus inter propinquos, nec inter notos versabantur : nam neque qui vivendi causa vacat arti, neque qui quomodocunque celatur, otium habet talia invisendi. Sed postquam eorum unusquisque, simulatione facta, ad priorem morem regressus est, extendit illum in proportionem non congruam. Nam e fuga spiritali reversus, conspici amat, et in publico fulget; solitariamque vitam pro nihilo reputans, juxta conspicuam vitam vivit, propinquos et familiares augere cupiens. Et certe auget illa, non sese componens ad aliam proportionem, sed istam multo transgrediens.

32. Modos vero hujus auctionis horreo proferre, quorum unus ante quodlibet opus est liberorum augmentatio. Horum quidem abeant res carnales ; ego vero dico spirituales, qualibus quidem gaudet magnus Abraham, alias autem Abramiæus ille senex, qui in illorum gratiam, fastidio sæculi simulato, postquam archisacerdotem seduxisset et ita quidem lusisset, in patronum electus animarum, et sic ad victus materialia secure delapsus et filiorum adoptione dilatatus, quotquot vetula mater hypocrisis sub hoc bono sene peperit, postea illum qui procreare filios dederat, renuit, quasi pro nihilo coram oculis suis illum reputans. Sic autem post logicam e laudabili fuga reversionem restitutus conatur et quod modestum est non servare. Quomodo enim modestia maneat apud eos qui humilitatem ejusque comitem, obedientiam, abjecerunt, progrii vero juris esse eminereque maluerunt?

33. Itaque religiosis post seditum ex fuga in sæcularem patriam frequens est, non : « Benedic; » non : « Ut jubes ; » neque magis : « Etiam, venerande Pater, » sed prorsus contrarium. Hic enim qui pro obsequio imperium commutavit, benedicit quidem, et sæpe in faciem diabolico modo ; sed subditis veluti tyrannus imperat. Invitatus autem ad aliquid laudabile renuit, seipsum regulam faciens, ipse sibi sufficiens, sui solius mundum esse supponens, lumen aliunde mundo se solum reputans ; e quo digressus aliquantulum, ad illum cito revertitur, sicut puer ad suam nutricem ; aliter ac oportet separatus asceta mundanus, pro superno successu velut ad ipsum Deum, retrorsum digressus, tanquam sic recessum ex nequam magistro dæmone interpretatus, et aliquo modo sic philosophatus fieri cynicus, quibus cynicum morem assumens, ad proprium vomitum revertitur. Aliter alienis vomitibus post reditum talis applicatur, et priorem nequitiam resumens, aliam insuper adjiciet.

34. Nam præter hæc, artes et negotiationem post tonsuram non pauci rursum amplectentes, redeunt ad sæcularem viam, exinde res importantes, et ad ditandum sese per negotium ex arte quæstuosum habiles. Tales autem immunes a victu,

quod primo sibi proposuerant quomodo essent? Victus enim omnis est qui secundum mundum est negotiosus, ut fieri potest, unus quidem sic, alius autem aliter, et sic quæstuosus. Qui vero juxta veritatem egenus esse statuit, et procul a negotiis, quid ei prorsus mundo statimque victa opus est, cum occurrentibus firmaverit esse contentus? Paupertatis cupiditas desolatur monasterium.

35. Sed his quidem superfluum est amplius immorari : sufficienter enim ea hucusque secundum veritatem descripta perscrutati sumus. Ego vero quoddam non simulatæ virtutis idolum, sive simulacrum, sive spectrum (non enim imaginem de re exsecrabili dicere audeo) odiosum Deo venio expositum. Manus injiciunt in carnes suas alicubi virtutis simulatores et quodammodo sic symbolica scribunt perditi, amputatione digni, primitias velut odiosas illa suæ consectantes deæ, cupiditati, quæ Deus illorum dici posset, sicut et venter. Alii quidem gladio superficiem carnis paululum stringentes, ubi videtur ipsis; alii vero ungulum summitatem radentes, vel etiam lima corrodentes, fulgent videntibus, sive privatim pueris, sive publice populis, plagas istas a dæmonibus sibi per noctem orantibus fuisse impositas. Hæc portentosa simulant, ut visu mirationem moveant in sanctitatis ostentationem, vinum autem ac oleum, puto, trahant ad se in remedii adhibitionem externam et internam. Affectant autem etiam iidem pediculorum multitudinem, ita ut extra laceras vestes serpentia videantur tenuia animalia. Vel etiam aliunde forte colliguntur, sive pretio data, sive gratuito. Sed ad quid? Ut per illius gregis animantia concitata miratione substantiam abundanter accipiant et inde magnum lucrum obveniat ipsis juxta scopum hypocritis. Omitto gladiatores, qui per diem loricati quidem intus, etiam exterius loricæ utilitatem ostentant, eo quod pruritu moventur et pediculos studiose exscrutentur, aliunde vero exagitantur, et variis modis attentionem movent; sed nocte tale projiciunt pondus, ut leves sint ad dormitandum. Eos autem qui cavum ferrei circuli prospectum sanguine liniunt, ut videatur sacetæ rodere carnes, et ita cruorem ejusmodi evomere, disperdat Deus, ut sanguine lætantes, quales erant viri sanguinum a quibus psallens David liberari precatur.

36. Mihi autem memori fusius referendum est ridiculum quoddam factum, quod in amplum evperimentum Megalopolitanis venit et nobis etiam novitate perculsis in constanti memoria remansit. Fuit quondam solitariæ virtutis vir astutus amator, dirigente Romanum imperium felicissimis auspiciis Joanne Comneno, ferro constringente interceptus, macula totus, odiosum strigmentum, sordes indelebiles; grave olens alienabat cæteros, quod immunditie circumcingebatur, sed et verba contigerant ipsi in vulgare cognomen, hugatorque vocabatur. Hic porro virtutis habitu primo quidem an-

ἀρχῆς προέθεντο; Βίος μὲν γὰρ ἅπας ὁ κατὰ κόσμον χρηματιστικὸς, ὡς ἐγχωρεῖ, ὁ μὲν οὕτως, ὁ δ' ἄλλως, καὶ οὕτω κτητικός. Ὁ δὲ ἀκτημονεῖν ἐπ' ἀληθείᾳ κυρώσας, καὶ ἀπραγμάτευτος εἶναι, καὶ ἀρκεῖσθαι τοῖς παραπίπτουσι, τί ἂν ὅλως δέοιτο κόσμου καὶ αὐτίκα βίου; Ἀκτημοσύνης ὄρεξις ἐρημοῖ φροντιστήριον.

λε'. Ἀλλὰ τούτοις μὲν περιττὸν ἐμπλατύνασθαι. Ἱκανῶς γὰρ αὐτὰ ἐν ἄλλοις περιειργάσαμεθα πρὸς ἀλήθειαν συγγραφικήν. Ἐγὼ δὲ καί τι ὀρετῆς ἀνυποκρίτου εἴδωλον, εἴτε βρέτας, εἴτε κεράμβηλον (εἰκόνα γὰρ ἐπὶ τῆς ἐπαράτου εἰπεῖν κατοκνῶ) ἐπιθήσων ἥκω θεομισές. Κατεπιχειροῦσι καὶ τῶν οἰκείων σαρκῶν ἔστιν οὗ οἱ τὴν ἀρετὴν προσποίητοι, καί πως οὕτω συμβολογραφοῦσιν οἱ ἐξώλεις, ἄξιοι κατακοπῆς εἶναι, ἀπάργματα οἷον μυσαρὰ ταῦτα τῇ κατὰ σφᾶς ὁσιοῦντες θεᾷ, τῇ ὀρέξει, ὧν Θεὸς καὶ αὐτὴ λέγοιτ' ἄν, καθὰ καὶ ἡ κοιλία. Καὶ οἱ μὲν μάχαιριδίῳ ξέοντες ἠρέμα τὴν ἐπιπολὴν τῆς σαρκὸς, ὅποι διακρίνουσιν αὐτοί· οἱ δὲ ὀνύχων ὀξύτητα ἀποσύροντες, ἄλλοι δὲ καὶ ῥίνῃ κατακονῶντες, πλάττονται τοῖς θεωμένοις, εἴτε ἰδίᾳ τέκνοις, εἴτε κοινῇ λαοῖς, πληγὰς ταύτας ἐκ δαιμόνων αὐτοῖς ἐπιτεθεῖσθαι νύκτωρ εὐχομένοις. Τερατεύονται δὲ ταῦτα, ἵνα καὶ ἐκπλήξωσι τῇ θέᾳ εἰς ἁγιωσύνης ἔνδειξιν, καὶ οἶνον δὲ οἶμαι καὶ ἔλαιον οὕτως ἐφελκύσωνται εἰς ἰατρευτικὴν ἐπίθεσίν τε καὶ ἔνδεσιν. Φιλοτιμοῦνται δὲ οἱ αὐτοὶ καὶ φθειρῶν πληθυσμούς, ὡς καὶ ἔξω τῶν ῥακέων ἕρποντα προφαίνεσθαι τὰ ζῳδάρια. Καί που καὶ ἑτέρωθεν ἐρανίζονται, τυχὸν μὲν καὶ δι' ἐμπολῆς, ἴσως δὲ καὶ δωρεάν. Διὰ τί καὶ τοῦτο; Ἵνα τῆς ἀγέλης ταύτης τεθαυμαστωμένοι ζώοις περιουσιασθήσονται, δι' ὧν ἔσται κέρδος αὐτοῖς τὸ μάλιστα κατὰ σκοπὸν τοῖς ὑποκριταῖς. Ἐῶ τοὺς σιδηροφόρους, οἱ δι' ἡμέρας τεθωρακισμένοι μὲν ἔνδον, προφαίνοντες δὲ ὅμως τὸν θωρακισμὸν εἰς ἐπίδειξιν, ἐν τῷ κνήθεσθαι καὶ τοὺς φθεῖρας πολυπραγμονεῖν, καὶ ἄλλως δὲ διασείεσθαι, καὶ πολυτρόπως μηχανᾶσθαι τὴν θέαν· ἀλλὰ νύκτωρ ἀποβάλλονται τὸ τοιοῦτον βάρος, ὡς ἂν ἐλαφροὶ ὦσι κατακοιμᾶσθαι. Τοὺς δὲ καὶ αἵματι χρίοντας τὴν κοίλην τοῦ σιδηρέου κυκλώματος περιφάνειαν, ὡς δοκεῖν αὐτὸ παρατρώγειν τῶν τοῦ ἀσκητοῦ σαρκῶν, καὶ οὕτως αἷμα οἷον ἐξαποπτύειν, ἐξολέσοι ὁ Θεὸς, οἷα αἵματι χαίροντας· ὡσεὶ καὶ αἱμάτων ἦσαν ἄνδρες, ὧν ψάλλων ὁ Δαυὶδ ῥυσθῆναι εὔχεται.

λς'. Ἐμοὶ δὲ ἔπεισι μνησθέντι καί τι γελοῖον εἰς πλέον ἐκθέσθαι φάκτον τοιόνδε, εἰς πεῖραν ἐληλυθὸς πλατεῖαν ἦν ὅτε τοῖς Μεγαλοπολίταις, ὃ καὶ ἡμᾶς ἐκπλῆξαν παρέμεινεν εἰς μνήμην διηνεκῆ. Ἐγένετό τις ἡσυχαστικῆς ἀρετῆς ἀνὴρ ἐπίτριπτος ἐραστὴς, ζώνοντος τὴν Ῥωμαϊκὴν λῆξιν τοῦ παμμάκαρος Ἰωάννου τοῦ Κομνηνοῦ, σιδήρῳ μεσολαβούμενος σφίγγοντι, σπίλος ὅλος ἐκεῖνος, γλοιὸς μυσαρὸς, ῥύπος ἀνέκπλυτος· διὸ καὶ ὀδωδὼς ἐκεῖνος εἰς δυσπρόσιτον, οἷς ἀκαθαρσίᾳ ἐστεγανοῦτο, ἄλλα τε ῥήματα εἰς ἐπωνυμίαν ἐκληρώσατο κωμῳδούμενος, καὶ ληρούμενος· ὃ ἐπεκαλεῖτο· καὶ ἐξενίκα τοῦτο

εἰς κλῆσιν. Ἐκεῖνος δὴ ὁ τῷ κατ' ἀρετὴν σχηματισμῷ τὴν ἀρχὴν μὲν ἄγγελος εἶναι πεφαντασμένος, τῇ δὲ ὕστερον πρὸς ἀλήθειαν ἀποδείξει δαίμων εἶναι διεγνωσμένος, ἤδη δὲ καὶ ὕπερθεν ἐκείνου ἐνηνεγμένος, οἷς παχύτερον ἐπλημμέλει πρὸς σάρκας, καὶ κρεάτων οἰκείων ἀπέλευσιν ἐσοφίζετο, τῇ τοῦ σιδήρου δῆθεν παρατρίψει διαβιβρωσκομένων εἰς βάθος, ὅσα καί τι ξύλον ὑπὸ πρίονος. Καὶ τὸ σόφισμα μισρὸν τῷ ὄντι, καὶ οὐ μόνον πραγματικῶς, ἀλλὰ καὶ τῷ τρόπῳ τοιῷδε ὄντι. Πνεύμονα ζωϊκὸν ἢ καὶ ἧπαρ ἀπολαμβάνων, καὶ εἰς λεπτότητα κατακνίζων χλοώδη, ὁποῖα τὰ μεμασημένα, καὶ προσπλάττων, ὅποι παρείκοι τοῦ σιδήρου, εἰσεδέχετο τοὺς ὁμιλητάς· καὶ μετὰ βραχεῖαν λαλιὰν διεσείετο ἠρέμα, ὡς εἴπερ ὠδυνᾶτο δακνόμενος. Εἶτα τὴν χεῖρα καθιεὶς ἔνδον, ὅποι τὸν πνεύμονα ἐκεῖνον κατέχρισε, καὶ κινησάμενος ἐξῆγε τὴν ἐξάγιστον ὑπουργὸν εἰς φῶς, καὶ ἐπιφωνήσας ὀδυνηρῶς τὸ « Τά κρέατά μου, » διετίνασσεν αὐτὴν πρὸς τέχνην· ὡς τὸ μὲν τοῦ μύσους καταπεσεῖν εἰς γῆν, ὄζον ἤδη καὶ σήψεως, τὸ δὲ ἐναπομεῖναι τῇ περὶ τοὺς ὄγυχας σήραγγι· ἣν ἀποπλυνάμενος ὡσεὶ καὶ βορβορώδη χείμαρρον, ἔπεμπε πολὺ θαῦμα τοῖς μήπω εἰδόσιν ὁ μὴ μόνον τῶν ἐκεῖ ἐπάξιος.

λζ'. Τίνος ἂν οἱ τοιοῦτοι φείδοιντο, εἰς τὸ οἰκεῖον σῶμα κακουργοῦντες; Ποῖα ἀποπροσποιήσονται μολυσμὸν οἱ οὕτως αἱμοχαρεῖς; Ποῖος ἂν ἐφαρμόσοι ψόγος ἀνδράσιν, οἷς ἀγαθὸν αἱματηρὰ βαφὴ αὕτη, ὅσα καὶ γυναιξὶ φῦκος; Τίς τὸ σιδήρεον τοῦτο γένος ἀξίως ἀποτρέψεται, οὗπερ ἡ πραγματεία χρυσωθῆναι δι' ὑποκρίσεως, καὶ οὕτως ἀποτελευτῆσαι εἰς χρύσεον λόγῳ ἀποπτώσεως κἂν γοῦν εἰς ἀργύρεον;

λη'. Ἔτι σεσημείωνται παρὰ τοῖς ἀνέκαθεν ἁγίοις ὀλίγοι μεγάλοι στυλῖται, οἱ οὐρανοβάμονες, οἳ ὅσα καὶ διὰ κλιμάκων, τῶν στύλων, προσέσχον τῷ οὐρανῷ. Ἡ δὲ νῦν γενεὰ οἷα καὶ δένδρα συχνὰ ἐν ξυλόχῳ πολλαχοῦ γῆς τὸ στυλιτικὸν φῦλον ἀναβλάστησιν, οὐ ζωῆς ὂν αὐτὸ ξύλον, οὐδὲ γνώσεως ξύλον, ἀλλὰ παρά τι βραχὺ ξύλον αὐτόχρημα, καὶ οὐδὲ κατὰ Δωδωναῖον ἐκεῖνο, οὗπερ ἦν τις λόγος, ἀλλὰ ἑτεροῖον καινόφωνον, ἐξ οὗ μόνον ἔστι τρυγᾶν τὸ « Εὐλόγησον. » Εἰ δὲ καὶ διδασκαλίαν ἐν τοῖς ἄρτι στυλίταις ἐπιζητοίη τις, πρόφασις τῷ ἰδιώτῃ στυλίτῃ γίνεται τοῦ μὴ ἔχειν λαλεῖν, ἢ καταπνέων ἄνεμος λιγυρὸς καὶ σκεδάζων τὸ τῆς φωνῆς ἔναρθρον, ἢ ἀσκητική τις ἰσχνότης, δι' ἣν στενοχωρεῖται ἡ λαλιά. Τῆς δὲ κατὰ θεωρίαν ἀρετῆς οὕτω διεκπίπτων, ὅμως τὴν κατὰ χεῖρα κερδῴαν πρᾶξιν εὖ μάλα ὁ τοιοῦτος κατορθοῖ, δι' ἧς ἀνιμᾶται τὴν κάλαθον, ὅτε κατ' αὐτῆς κέρμα κτυπήσει. Καὶ τοιαῦτα μὲν αὐτῷ τὰ ἐν τῷ φανερῷ· τὰ δὲ ἐντὸς οἶδεν ὁ τὰ ἐν κρυπτῷ βλέπων Πατήρ. Οὕτω δὲ ἔχοντες οἱ ἀνατεταγμένοι, τὰ τέκνα τῆς ὑποκρίσεως, οἱ μιμηταὶ τοῦ δαίμονος (τὰ γὰρ λοιπὰ τῶν κατ' αὐτοὺς ὑποκρίσεων εἴδῃ οὐκ ἄν, οὐδὲ εἰ μυρία κάμοι τις γράφων, δύναιτο περιηγήσασθαι), παράγουσι τοὺς ἁπλουστέρους εἰς πλάτειαν κατάγνωσιν τῆς μοναχικῆς βιοτῆς, καὶ γίνονται ὑπόδικοι τῷ Θεῷ βαρείας κολάσεως,

A gelus esse creditus est, deinde vero juxta veritatem demonstratione dæmon esse fuit agnitus atque etiam super hunc elevatus, quod crassius in carnes peccaret, suarumque carnium continentiam fingeret quasi ferri contritione profunde corrosarum, ut roditur sub serra lignum. Argumentatio vere odiosa, non solum in effectu, sed etiam in modo. Pulmonem vel hepar animale sumens et in minuta concidens virescentia, qualia masticata, coaptansque ubi ferrum sineret, suscipiebat familiares; et post breve colloquium paulatim exagitabatur, quasi cruciaretur compunctus. Postea manum intus demittens, ubi pulmonem istum inunxerat, postquam raserat, sceleratam auxiliatricem educit ad lumen, et voce lamentabili emissa: B « Carnes meæ, » illam eum arte discussit ita ut pars quidem horrida, putredine jam olens, in terram decideret, pars autem cavis sub unguibus inhæreret; qua veluti torrente cœnoso abluta, multum excitavit stuporem rem nondum scientibus, ille, qui non solum hujus erosionis veræ hic, sed etiam horum vermium illic erat dignus vexatione.

37. Cui parcent ii, qui proprium corpus cru- καταβρώσεως ἀληθοῦς τῆς ὧδε, ἀλλὰ καὶ σκωλήκων

deliter tractant? A quibus maculis abhorrebunt qui sic sanguine lætantur? Qualis reprehensio conveniret hominibus, quibus bonum est sic immergi cruore, ut mulieribus placet fucus? Quis hujusmodi ferreum genus digne detestetur, cujus negotiatio C est per hypocrisim auro supervestiri, sicque loco ruinæ in aurum, aut saltem in argentum desinere?

38. Noti sunt adhuc inter veteres sanctos aliquot magni stylitæ, cœlo gradientes, qui per columnas, veluti per scalas, cœlo propinquabant. Præsens autem generatio tanquam arbores ligno densæ, multis in terræ locis, styliticam tribum producit, quæ non est vitæ neque scientiæ lignum, sed fere lignum purum, neque secundum illud Dodonæum, cujus magna erat fama', sed aliud quid novi sonans, ex quo solum excipi potest hoc: « Benedic. » Si quis autem in hodiernis stylitis doctrinam quærat, ignaro stylitæ, quod non valeat loqui, prætextus est vel ventus, stridule spirans et vocis arti- D culationem impediens vel quædam ascetica gracilitas, per quam angustiatur elocutio. Sic autem contemplativa virtute lapsus, manibus tamen lucrosam præclare dirigit operationem, qua sursum elevat calathum, cum in illum nummus sonans intravit. Talia sunt ipsi, quæ sunt manifesta: interna vero novit ille quæ sunt in abscondito videns Pater. Taliter autem se habentes qui supra ordinati sunt hypocriseos filii, dæmonis imitatores (cætera namque simulationum illorum genera nemo neque si mille libros componendo impleret, describere valeret), simplices decipiunt ad magnam monasticæ vitæ damnationem, et a Deo gravi punitioni obnoxii, quod per ipsos blasphemetur, non solum in

gentibus, sed etiam in Christiana religione, sanctissima ad imitationem illius conversatio.

39. Jam subobscure indicavimus et ostendimus, fratres, quantum malum sit hypocrisis, dira perversi mendacii species, a rectitudine deflexio, quæ verum hominem reddit inutilem, ignobilis virtutis extenuatio. Fugiamus igitur illam, nos veritatis famuli, scientes nihil esse commune veritati cum mendacio, cui copulatur prava consors simulatio, malis fecundissima, quam nec in inimicos bonis saltem Christianis exercere licet. Enimvero, si quis non aperte loquitur, uti rerum status requirit, contra inimicum, nec justificationem allegat, uno verbo, non totam aperit veritatem, in omnibus se prodens; hoc tamen non est hypocritarum ratio, sed solertia generans prudentiam, juxta quam laudabiliter aliquis opportune considerans tempus, et personam, atque reliquas circumstantias, dissimulabit et abscondet quod in buccam venit, sed utilia loquetur, sermonem ipsi metiente, recteque dirigente ac ordinante, et secundum œconomiam reddente sapientem magno magistro Deo; cui gloria in sæcula. Amen.

Ὅτι δι' αὐτοὺς βλασφημεῖται ἡ πρὸς μίμησιν αὐτοῦ ἁγιωτάτη πολιτεία, οὐ μόνον ἐν ἔθνεσιν, ἀλλὰ καὶ ἐν τῇ Χριστιανικῇ ὀρθότητι.

λθ'. Ἔχομεν ἤδη ἀμυδρῶς ὑποκρουσάμενοι καὶ ἐμφήναντες, ὦ ἀδελφοί, ὁποῖόν τι κακὸν ἡ ὑπόκρισις, τὸ τοῦ κακοῦ ψεύδους ἀδρὸν τμῆμα, ἡ ἐκτροπὴ τῆς ὀρθότητος, ἡ ἀχρειοῦσα τὸν ἀληθῆ ἄνθρωπον, τὸ ἀγεννὲς τῆς ἀρετῆς ὑποκόρισμα. Φεύγοιμεν οὖν αὐτὴν οἱ τῆς ἀληθείας θεραπευταὶ, εἰδότες, μηδὲν κοινὸν ἀληθείᾳ καὶ ψεύδει, ᾧ συνδυάζεται φαύλη σύνοικος ἡ ὑπόκρισις, πολυτεκνοῦσα ἐν κακοῖς· ἣν οὐδὲ ἐπ' ἐχθροῖς ἐνδείκνυσθαι ὅσιον τοὺς γε ἀγαθοὺς Χριστιανούς. Εἰ γὰρ καὶ οὐ παῤῥησιάσεταί τις, ἐφ' οἷς ἐχρῆν, πρὸς τὸν ἐχθραίνοντα, οὐδὲ δικαιολογήσεται, εἰπεῖν δὲ τὸ ὅλον, οὐκ ἐπαληθεύσει, παραδεικνὺς ἑαυτὸν ἐφ' ἅπασιν, ἀλλ' αὐτὸ οὐχ ὑποκριτική ἐστι μέθοδος, δεινότης δὲ γεννῶσα φρόνησιν, καθ' ἣν στοχαζόμενός τις ἐναρέτως ἐν δέοντι καιροῦ καὶ προσώπου καὶ λοιπῆς περιστάσεως, καταπολύψει μὲν καὶ κρύψεται τὸ ἐπερχόμενον τῷ στόματι, λαλήσει δὲ τὰ πρόσφορα, μετροῦντος τὸν λόγον αὐτῷ καὶ ἀκριβοῦντος καὶ τάττοντος καὶ πρὸς οἰκονομίαν σοφίζοντος τοῦ μεγάλου διδασκάλου Θεοῦ, ᾧ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

EJUSDEM

ADVERSUS IMPLACABILITATIS ACCUSATIONEM.

Eustathii Thessalonicensis metropolitæ adversus exprobrantes ei injuriarum memoriam, si quando meminisset vexationis ipsi undecunque illatæ.

1. « Sapiens creatura homo : » hæc est antiquæ sententia Musæ, quæ textilem varietatem erat mirata; exinde vero per levem transformationem dictum fuit : « sapientissimam rem esse pictoris manum. » Pulchra quidem illa duo sunt et talia quæ aureo nitore fulgeant ubi præscribuntur, et eminus splendentem hujus operis frontem faciant. Oportet autem pro simplicioribus auditoribus insuper addi vel animadverti quod in ambobus est artificiosum. Sapiens enim est homo variegans artis ratione, qua texit manibus opera : quod extraneus dicere volucrit; pictoris autem manus est sapiens instrumentum, nisi forte pingens dolose mentiatur.

2. Quod igitur urbs hæc nostra, omnimode fecunda, pictoribus abundat, non omnibus secundum artem, imo forte lineamenta hominum male pingentibus, et alias quidem imagines, et inter eas nostram deturpantibus, meam idcirco secundum archetypum accuratæ expressam transcriptu-

Εὐσταθίου μητροπολίτου Θεσσαλονίκης πρὸς τοὺς ἐκκαλοῦντας αὐτῷ μνησικακίαν, εἴποτε ἀναμνησθείη κακώσεως γενομένης ποθὲν αὐτῷ.

α'. « Σοφόν τι χρῆμ' ἄνθρωπος. » Παλαιᾶς τουτὶ μούσης γνωμάτευμα, ἐφ' οἷς ὑφαντικὴν ἐκείνη ποικιλίαν ἐθαύμασεν· ἐκεῖθεν δὲ λόγῳ παραπαιήσεως ἀναπέφηνε τὸ « σοφόν τι χρῆμα ζωγράφου χεῖρα εἶναι. » Καὶ καλὰ μὲν καὶ ἄμφω ταῦτα καὶ οἷα προστίλβειν χρυσέον τι, ἔνθα προγράφονται, καὶ τηλαυγὲς τιθέναι τὸ τοῦ ἔργου τοῦδε πρόσωπον. Χρὴ δὲ πρός γε τοὺς ἁπλοϊκωτέρους ἀκροωμένους προστεθεῖσθαι, ἢ γοῦν ἀλλὰ προσεπινοεῖσθαι τὸ τεχνικὸν ἐν ἀμφοῖν. Σοφόν τε γὰρ χρῆμα ποικιλτὴς ἄνθρωπος, πρὸς τέχνην ὑφαίνων τὰ πρὸ χειρῶν, ὅπερ ὁ ἐξωτερικὸς εἰπεῖν βούλεται· καὶ ζωγράφου δὲ χεὶρ σοφόν τι χρῆμα, εἰ μὴ ἄρα τῇ τῆς τέχνης ἀρετῇ ψεύδοιτο παραγράφουσα.

β'. Ὅτι γοῦν καὶ ἡ καθ' ἡμᾶς πάμφορος πόλις αὕτη γραφέων εὐπορεῖ, οὐ πάντων πρὸς τέχνην, ἀλλά που καὶ φαύλως γραφόντων ἀνθρωπικοὺς χαρακτῆρας καὶ ἀχρειούντων, καὶ ἄλλας μὲν εἰκόνας, ἐν δὲ καὶ ταῖς τὴν ἡμετέραν, ἧκω μεταγράψων τὴν γοῦν αὐτὸς ἐμαυτοῦ, πρὸς ἀρχετυπίαν ἀκριβῶς

ἔχουσαν. Καὶ τοῦτο οὐ πρὸς φιλαυτίαν (τί γάρ μοι μέλον σκιαγραφίας, εἰ ψεύδοιτο μὲν τὸ στερέμνιον, βλάπτειν δὲ λέγει οὐδέν;), ἀλλ' ἵνα μὴ παραβλέποντες οἱ τὰ ἡμέτερα ζωγραφοῦντες, καὶ εἰς λοιπὴν ἀτεχνίαν ἐκπίπτοιεν· ὅπερ εἰσμάλιστα δάκνει με, εἴ περ ἄλλως πεπαιδευμένοι τὰ εἰς τὴν γραφικὴν, καὶ τρανὲς δὲ ὡς ἑκάστοτε βλέποντες οὐ βλέπουσι, καὶ τοιᾶδε πρὸς ἀκρίβειαν, καὶ νοοῦντες ἐκβαίνουσιν εἰς ἀλλόκοτον.

rus sum. Et hoc non amore mei (quid enim mihi curæ foret pictura, si mentiretur quidem solidum, nihil autem nocivi indicaret?), sed ne qui nostra pingunt, per ignaviam denuo in artis imperitiam decidant: quod in primis me vexat; si quidem res graphicas satis docti clareque fere semper videntes, nunc quidem cæcutiunt et præ nimia cautela descendunt in absurdum.

γ'. Ἐξενίκησε δέ με, καὶ εἰς τόδε ἀντιγραφῆς παρήγαγεν, ὅτι μὴ μόνον ἐν τῇδε τῇ πόλει τὴν εἰκόνα ἡμῶν, τὸ Δαυϊτικὸν εἰπεῖν, ἐξουδένωσαν οἱ εἴτε γράφοντες, εἴτε διαγράφοντες ἡμᾶς, ἀλλὰ τὴν φαυλεπίφαυλον αὐτῶν εἰκόνα, καθ' ἣν ἡμᾶς οὐκ ἀνεστήλωσαν, λέγω, ἀλλ' ἐστηλίτευσαν, ἕως καὶ εἰς τὴν μεγίστην τῶν πόλεων περιήγαγον. Ἔστι δὲ τὸ τούτων δείκηλον· « Μνησίκακος ἀνὴρ, ἐπιγεγραμμένος εἰς ἀρχιερέα Θεσσαλονίκης τὸν ἄρτι. » Πρὸς ὃ δὴ βρέτας; (παικτέον γάρ τι κατὰ τῆς φαύλης τέχνης) τὰ πρῶτα μὲν ἐντρανίσας ἐγέλασα· εἶτα συναγαγὼν ἐμαυτὸν εἰς νοῦν, καὶ ἐθαύμασα, ὅπως ὁ παναίολος χρόνος παράγει μὲν καὶ τὰ καινοφανῆ, γεννᾷ δὲ ὅμως οὐκ ὀλίγα ὡς οἷον ἐν ἀνακάμψει καὶ πρὸς παλαιὰς ὁμοιότητας, καὶ αὐτῶν τὰς μὲν οἷας ἐπαινεῖσθαι, τὰς δὲ λήθης ἐσχάτης ἀξίας. Καὶ ἅμα ἐνενοησάμην τὰς τῶν ἀποκαταστάσεων θρυλλουμένας πεντακοσιοστύας, ὧν ἔργον φασὶν, ἐπεὶ παραδράμοιεν, ἐπανατρέχειν εἰς τὰ φθάσαντα ὡς οἷα καὶ παραδείγματα, καὶ ποιεῖν αὖθις ἀγαθά τε καὶ κακὰ ἐκεῖνα, ὅσοις ὁ προλαβὼν τῶν πεντακοσίων ἐτῶν ἑλκυσμὸς ἐνδιέτριψε.

3. Devicit autem me prorsus et in hanc accusationem induxit, quod non solum in hac urbe nostram imaginem, juxta Davidicum dictum, ad nihilum redegerunt qui nos sive pingunt, sive describunt, sed vilissimam ipsorum imaginem, per quam nos haud in cippum elevaverunt, dico, sed in cippo male notaverunt, postremo in urbium maximam circumduxerunt. Est autem illorum imago: « Memor injuriarum vir, provectus in præsentem Thessalonicæ archiepiscopum. » Ad quod simulacrum (aliqualiter enim ludendum est adversus malam artem), primo quidem, oculis in id conjectis, risi; deinde recolligens mentem, valde etiam miratus sum quomodo temporum varietas nova quædam ad lucem producat, non pauca tamen generet tanquam in renovatione secundumque veteres similitudines, quarum aliæ quidem laude dignæ sunt, aliæ vero omnium oblivione. Et simul in mentem revocavi celeberrimos restitutionum quingentos annos, quorum officium est, aiunt, cum transierunt, ad ea quæ præcesserunt recurrere tanquam exemplaria, denuoque producere bona vel mala illa, quibus elapsum quingentorum annorum spatium immoratum est.

δ'. Χρόνος οὖν πάλαι ποτὲ διέθη, καθ' ὃν ἄλλα τε τινα φαύλως ἐθεωρήθησαν, καὶ τὸ σύννουν δὲ καὶ φυλακτικὸν ἑαυτοῦ, καὶ μὴ ῥᾳδίως τοῖς βλάπτεσθαι ἐθέλουσιν ἀναχρωννύμενον, εἰς οὐκ ἀγαθὸν ἐνεγράφη τοῖς γε παραθεωροῦσι. Καὶ δὴ καὶ νῦν χρόνος οὗτος ἐξεφάνη, γράφων εἰς χαρακτῆρα ὅμοιον καὶ ἡμᾶς, ὅτι προσέχομεν ἡμῖν αὐτοῖς καὶ σκεπτόμεθα, μὴ βαλλώμεθα, καὶ φυλαττόμεθα τὰ τῆς διαβολῆς ἀμφίβληστρα, καὶ ἀνακαθαίρομεν, εὐθετίζοντες τὰ πτερὰ, εἴ πως, ὧν πεπειράμεθα, παγίδων ὑπερπετόμενοι σωζοίμεθα.

4. Tempus igitur olim aliquando transiit, quo, cum aliqua cætera, tum prudentia suique conservatio prave considerata sunt, et non facilis a nocere volentibus decolorationis opificio in non bonum saltem a male judicantibus imputatum est. Et profecto nunc istud tempus reluxit, simili charactere nos etiam pingens, eo quod providemus nobis et ne dejiciamur cavemus, et calumniæ retia fugimus, et alas aptantes repurgamus, si forte super retia, quibus tentati sumus, volantes, salvandi simus.

ε'. Φέρε δὴ, χρώματα τρίψας δι' ὧν ἔχοιμι ἂν ἐμαυτὸν μεταγράψαι εἰς ὅπερ εἰμὶ (οὐ γὰρ λανθάνομαι κατόπτρῳ κεχρημένος ἐν ᾧ χαρακτὴρ ἐμὸς ἐμφαίνεται, ὃν ἡ ψυχὴ ἑκάστων γράφουσα ἐν τῷ βάπτειν εἰς συνείδησιν προῖσιᾷ, ὥστε καὶ ἄλλοις βλέπεσθαι, καὶ διακρίνεσθαι τὰ κατ' ἦθος, καὶ οὕτω περιποιεῖσθαι μὲν τὰ ὀρθῶς ἔχοντα, διορθοῦσθαι δὲ τὰ ὡς ἑτέρως ἐκπίπτοντα), διακριβώσομαι τὸ ἐμὸν παρὰ τοῖς ἐνταῦθα εἰκόνισμα, τὰ μὲν ἄλλα πάνυ ἀπηκριβωμένον κατὰ τοὺς ἐμὲ πρὸς ἁμαρτίαν γράφοντας (φαίνω γὰρ ἰδοὺ ἐμαυτὸν ἄλλως μὲν ὁτιμάλα διεστραμμένον, καὶ ἀγαθῷ μηδενὶ ἐλλαμπόμενον εἰς εὐπρόσωπον)· τὸ μέντοι μνησίκακον ἐς τὸ πᾶν διαγράφω, καὶ ἐξαλείφω τῆς εἰκόνος, ἣν ἀνέστησάν μοι τὰ καλὰ τέκνα τῆσδε τῆς πόλεως.

5. Age porro, tritis coloribus, quibus me possim talem qualis sum pingere (non enim obliviscor uti speculo, unde mea forma relucet, quod anima cujusque pingens colorando conscientiam, ante se ponit ut a cæteris cernatur, inque moralibus dijudicetur, et sic retineantur ea quidem quæ recta sunt, corrigantur errores commissi); perficiam meam coram hic præsentibus imaginem; de cætero quidem prorsus accuratam secundum eos qui me peccaminosum pingunt (ecce enim metipsum aliunde quidem deformatum, et ad pulchram formam nullo bono relucentem ostendo); hanc autem mali memoriam omnino deleo et aufero ab hac imagine, quam mihi hujus urbis boni cives erexerunt.

6. Mihi autem sic habenti scopum aliter hanc A colorandi partem calcis, quam docti pictores nicæ applicuerunt figuræ, considerandum erit ante alia, quibus illud imaginis vitium commode patefieri possit, quia non plane necessarium idem esse, juxta cogitationem, quædam nomina per compositionem proferre, rursumque per appositionem exponere. Sicut autem non semper in eumdem conceptum veniunt expressiones privatim abstractæ, rursumque simul appositæ (non enim aliquis singillatim grammaticus dictus, et rursus privatim celer, jam etiam grammaticus celer necessario evadet, nec eques simpliciter, et privatim bonus, jam in bonum equitem necessario concurrunt); ita nec in idem vergit dicere sciomachiam, in unum redactis «umbræ» pugnæque nominibus, et rursum «sub umbra pugnare: »hoc B quidem prospere fit et desideratur, dum sciomachia vituperationem habet et juxta proverbium ad idem redit ac aeris verberatio. Sic etiam «chirodicum,» manus jurisque conjunctio vituperabiliter ostendit; illum autem« qui jus in manibus habet, »laudabiliter designat. Pariter «sceptrifer» quidem est verborum compositione rex; «sceptrum» autem disjuncte fert curvus et sordidus Ithacæ mendicus Ulysses. «Andrapoda» novimus quidem «serviles personas;» si quis autem expressione soluta dicit «hominum pedes,» exinde« drapetas »invenit servos.« Bubulcitat» aliquis velut agricola: «boves autem prædo abducit.» «Amicus» quidem «bonus» virtutem habet: «philocalus» autem aliter intelligitur, et malitiam indicat, qualem C etiam dicere sapientes hæsitant «Boni» quidem «pedes» conveniunt etiam viris, heroice agentibus, cum hæc verba separantur: in unum autem conjuncta, callisphyro (pulchris pedibus) mulierem exornant. «Sacro ministerio» si quis oneratur, sacris fit aptus: hierodulus autem (quoad nomen) minime convenit. «Fervidum opus» facit arrogans: «θερμουργεῖ» (fervide operatur) homo fortis; videtur idem aliquid quod habeatur sermo per «artiepum» (callide dicentem) et artia (seu perfecta) loquentem: sed qui posteriorem soluto modo sumit, ut perfecta loquentem laudabilem novit, artiepum autem ut impostorem vituperat. Hujus autem auctores methodi, quibus diversitas in solutione verborum, et iterum in eorum compositione, ordinata est, nec «patris percussorem» ducunt eumdem ac eum «qui percutit patrem,» siquidem patris percussor in habitudine malitiæ est, sicut et« verberipater;» dum aliquis patrem forte percussit ignorans. Nec «himatiopolam» et eum qui vestimentum vendit, ad parem sententiam adducunt, tanquam ad artem reducentes «himatiopolam esse,» vestimentum autem vendere judicantes eum qui hoc vel semel fecit.

ς'. Οὕτω δή μοι προθεμένῳ σκοπὸν, μεταχρῶσαι τοῦτό γε τὸ μέρος τῆς κονίας, ἣν οἱ δεινοὶ ζωγράφοι τῷ ἐμῷ χαρακτῆρι προσέπλασεν, θεωρητέον ἂν εἴη πρὸ τῶν ἄλλων, δι' ὧν ἐκεῖνο τὸ τῆς εἰκόνος ἁμαρτωλὸν ἐπιτυχίαν εὑρήσει, ὅτι οὐ πάντως, οὐδὲ ἐξ ἀνάγκης ταὐτὸν, πρὸς ἔννοιαν συνθέτως τε προενεγκεῖν ὀνόματά τινα, καὶ αὖ πάλιν ἐξαγγεῖλαι κατὰ παράθεσιν. Ἀλλ' ὥσπερ οὐκ εἰς ταὐτὸν ἀεὶ νοήματος ἔρχονται λέξεις ἀφωρισμέναι ἰδίᾳ καὶ αὖθις παρατιθέμεναι (οὐ γὰρ δήπουθεν καταμόνας γραμματεύς τις λεγόμενος, καὶ αὖ πάλιν ἰδίᾳ ταχὺς ἤδη καὶ γραμματεὺς ταχὺς ἀναγκαίως ἐκβαίνει· οὐδ' ἂν ὁ καὶ ἱππεὺς ἁπλῶς, καὶ κατ' ἰδίαν ἀγαθὸς, ἤδη καὶ εἰς ἀγαθὸν ἱππέα κατ' ἀνάγκην συνδραμοῦνται), οὕτως οὐδ' εἰς ταὐτὸν ἄγεται «σκιαμαχεῖν» εἰπεῖν, D ὑφ' ἓν ἀγαγόντα ῥῆμα τὸ τῆς «σκιᾶς» καὶ τῆς «μάχης» ὄνομα, καὶ αὖθις τὸ «ὑπὸ σκιᾷ μάχεσθαι·» ἀλλὰ τοῦτο μὲν καὶ εὐτυχεῖται καὶ ποθεῖται, ὁ δὲ «σκιαμαχῶν» εἰς ψόγον ἀποτάσσεται, ὃν οἶδεν ἡ παροιμία εἰς ταὐτὸν ἥκοντα τῷ «ἀέρα δαίροντι.» Οὕτω δὲ καὶ τὸν μὲν «χειροδίκην» ἡ συνθετικὴ κόλλησις τῆς τε «χειρὸς,» τῆς τε «δίκης,» ψεκτικῶς παραδειγματίζει· τὸν δὲ «ἐν χεροῖν τὴν δίκην ἔχοντα» ἐπαίνοις ἀποκληροῖ. Τὸν ὁμοιον τρόπον «σκηπτοῦχος» μὲν κατὰ συναίρεσιν λέξεων ὁ βασιλεύς· «σκῆπτρον» μέν τοι διαλελυμένως ἔχει καὶ ὁ ἐν Ἰθάκῃ ῥικνὸς καὶ ῥυπαλέος ἐπαίτης Ὀδυσσεύς. Οἴδαμεν «ἀνδράποδα» μὲν τὰ «δοῦλα πρόσωπα·» διαλύσας δέ τις τὴν λέξιν, καὶ «ἀνδρῶν πόδας» εἰπὼν, «δραπέτας» ἐντεῦθεν εὗρε τοὺς δούλους. Καὶ μὴν «βοηλατεῖ» μέν τις γεωργοῦ δίκην· «βοῦς» δὲ ἐλαύνει» ὁ ληῖζόμενος. Καὶ «φίλος» μὲν «καλὸς» ἀρετὴν ἔχει· ὁ «φιλόκαλος» δὲ ἀλλοῖός τέ ἐστι κατὰ νοῦν, καί ποτε καὶ κακίαν παραφαίνει, ὁποίαν καὶ λέγειν ὀκνοῦσιν οἱ σώφρονες. Καὶ «καλὰ» μὲν «σφυρὰ» ἐπιπρέπει καὶ ἀνδράσιν, ἡρωϊκῶς ἀνδριζομένοις, ὅτε διίστανται· ἠνωμένα δὲ εἰς ἓν γυναῖκα κοσμοῦσι τῷ καλλισφύρῳ. «Ἱερᾷ δουλείᾳ» βαρύνεταί τις, καὶ ἔστιν ἱεροπρεπής· ὁ δὲ συντεθειμένος εἰς «ἱερόδουλον» οὐ πάνυ ἐκπρέπει. «Θερμὸν ἔργον» δρᾷ ὁ αὐθαδιζόμενος· «θερμουργεῖ» δὲ κατὰ θέσιν ὁ ἀνδριζόμενος. Δοκεῖ ταὐτόν τι λαλεῖσθαι διὰ τοῦ «ἀρτιεποῦς» καὶ τοῦ «ἄρτια βάζοντος·» ἀλλ' ὁ χρησάμενος τὸν μὲν διαλελυμένον εἰς τὸ «βάζειν ἄρτια» ἐπαινετὸν οἶδε, ψέγει δὲ τὸν «ἀρτιεπῆ» ὡς ἐπίκλοπον. Οἱ δὲ τῆς τοιαύτης μεθόδου πατέρες, οἷς ἑτεροιότης ἐν διαλύσεσι λέξεων, καὶ αὖ πάλιν ἐν συνθέσεσι τῶν αὐτῶν πεφυλοκρίνηται, οὔτε τὸν «πατροτύπτην» εἰς ταὐτὸν ἄγουσι τῷ «τύπτοντι πατέρα,» εἴγε «πατροτύπτης» μὲν ἐν εἴδει κακίας, ὁ καὶ «πατραλοίας· «πατέρα» δέ τις «ἔτυψέ που» καὶ ἀγνοῶν. Οὐδὲ μὴν τὸν «ἱματιοπώλην» καὶ τὸν «πωλοῦντα» δὲ «ἱμάτιον» ξυνάγουσιν εἰς ἔννοιαν ἰσοδύναμον, οἷα τὸ μὲν «ἱματιοπωλεῖν» εἰς τέχνην ἀφορίζοντες, «πωλεῖν» δὲ «ἱμάτιον» εἰδότες καὶ τὸν εἰσάπαξ τὸ τοιόνδε χειρισάμενον.

7. Dico ergo sic aliquomodo sese ad invicem habere «mali memoriam» in una voce, et in locutionis divisione, «meminisse mali.» Etenim mali memoria quidem, non honeste, diceretur aliquis affici, nec ab

ζ'. Φημὶ δὲ οὖν, οὕτω πως διαφέρεσθαι πρὸς ἄλληλα τήν τε καθ' ἓν ὅλομα «μνησικακίαν,» καὶ τὸ ἐν διχασμῷ φράσεως «μεμνῆσθαι κακοῦ. Μνησικακεῖν» μὲν γὰρ οὐκ ἂν ποτε λέξῃ τις χρηστολογι-

κῶς, οὐδ' εὐλογοῖτο ἂν ὑπ' οὐδενὸς ὁ μνησίκακος· A aliquo laudaretur mali memor; quod autem aliquis
κακοῦ δὲ μεμνῆσθαι τινά, οὐκ ἀνάγκην πᾶσαν meminerit mali, non necessario reprehensioni subji-
ψέγεται. Καὶ δῆλον ἐκ τοιωνδέ τινων ἐγχειρήσεων. citur; quod ex quibusdam explicationibus mani-
Κακίας ἀπάσης σκοπὸς τῆς κατ' ἦθος, κατακαυχᾶ- festum fiet. Omnis malitiæ finis circa moralia est
σθαι μὲν ἀνθρωπίνης ψυχῆς, καὶ ἐθέλειν ἐπεμπηδᾷν quidem humanæ animæ male facere velleque illi
αὐτῇ πρὸς κάκωσιν, ἐξ ἧς καὶ φερωνυμεῖται· οὐ insultare maleficio, ex quo nomen habet, non ta-
μὴν καὶ δύναμις αὐτῇ ἐξανύειν, ὅπερ προτίθεται, men illi perficiendi, quod sibi proponit, semper in-
εἶσαεί. Τῶν γάρ τοι σπουδαιοτέρων καὶ πεπαιδευ- est facultas. Hominum enim diligentiorum ac disci-
μένων ἀνθρώπων τοῖς μὲν οὐδὲ τὴν ἀρχὴν προσάλ- plinatorum aliis quidem nec imperium in cæteros
λειν θαρρεῖ, τὰ τοῦ πνεύματος ὑποστελλομένη ὅπλα, audet deferre, verita spiritualem armaturam, qua
οἷς πυκάζεται ὁ κατ' αὐτῆς στρατιώτης. Τοῖς δὲ protegitur adversarius ipsi miles; in alios autem
ἐντρέχει μὲν πρὸς ἀναίδειαν, καί που καὶ ἐν χρῷ impudenter irruit, et ad certamen singulare sæpe
μάχης γίνεται· ἀποκρούεται δὲ ὅπλοις ἁγιότητος, descendit, sed sanctitatis armis repellitur, aliquando
ποτὲ μὲν εἰς λίαν ταχύ, ποτὲ δὲ καὶ μετὰ πληγήν, quidem citissime, aliquando vero post vulnus, sive
εἴτε πληγάς, ἃς ὁ ὀρθὸς λόγος ἔν γε τοῖς πειθομένοις vulnera, quæ recta ratio, saltem in fidem habentibus,
ἔτι εἰς ἰατρείαν ἥπια φάρμακα ἐπιπάσας ἐθεράπευσε. B ad curationem dulcia fundens medicamina sanavit.

η'. Τοιοῦτον δὴ καὶ ἡ μνησικακία. Οὖσα κα- 8. Taliter igitur se habet mali memoria. Cum
κία γάρ, καὶ κακιῶν ἡ χειρίστη, πολλοὺς μὲν, οἳ enim malitia sit, et malitiarum pessima, multos qui-
πάλαι κατέστρωνται εἰς πλάτος ἱστορικὸν (τοὺς γὰρ dem, qui jampridem in aperto campo prostrati
ἔξω που βίβλων κειμένους, καὶ ὡς εἰς πλῆθος ἅμμου κεχυμένους, οὐκ ἂν μετρεῖν ἔχῃ τις), ἐλόχησε, sunt (jacentes enim extra libros et velut in arenæ
καὶ ὑφερπύσασα ἐς ψυχὴν, καὶ λαθοῦσα τὴν ὄψιν, acervum accumulatos, nemo unquam metiri poterit);
ἐξέπιεν αὐτῆς ἅπαν τὸ ζωτικόν· καὶ εἰς θάνατον insidiis circumdedit, et in animam subrepens, in-
ἐκτήξασα, τοῦ τε σώματος παρείλετο, καὶ τὴν ὑπὲρ troductione celata, totam ipsius vim vitalem exhausit;
τὸ σῶμα εἰς χάος ἐβάψιψεν. Οὐ γὰρ ἂν εἴπῃ τις ὡς τὸ atque cum ad mortem usque consumpsisset, et cor-
« μνησικακεῖν » ψυχὴν μὲν ἔχει βλάπτειν, σωμασκεῖ pus abstulit, et eam præter corpus in chaos proje-
δὲ ἄλλως τὰ ἔξω· ἀλλὰ μετὰ τὸν φθόνον, ἢ καὶ κατ' cit. Non enim aliquis dixerit a mali memoria lædi
ἐκεῖνον, καὶ τοῦ σώματος ἀφαιρεῖται· καθὰ καί τις posse animam aut alio modo membra exteriora
κλέπτειν προθέμενος; οὔτε τὸν οἰκοδεσπότην ἀφίησι exerceri; imo post invidiam vel secundum istam,
χαίρειν, καὶ τὸν οἶκον δὲ ὑφάψας ἀπῆγαγε. C etiam corpore privatur; ut aliquis qui furtum facere
voluit, non sinit possessorem domus in pace vi-
vere, sed etiam incensa domo abducit.

θ'. Καὶ τοιοῦτον μὲν ἡ μνησικακία, καθὰ καὶ 9. Sic igitur agit mali memoria, ut omnis mali-
πᾶσα κακία, δάκνουσα μὲν ὡσεὶ καὶ κύων τινὰς, εἰ tia, mordens uti canis obvios, nisi terrefaciant
μὴ αὐτὴν ἐκφοβοῖεν· σοβουμένη δὲ εἰς τὸ παντελὲς, ipsam; in fugam autem versa plane, si quis e con-
εἴ τις ἀπεναντίας ἵσταται πρὸς αὐτήν. Ἀνθίσταται tra stat adversus eam. Contra vero stat omnino,
δὲ πάντως ὁ περιορῶν τὰ κατὰ βίον ἅπαντα, καὶ qui vitam omnem despicit, neque juxta fluentum
μήτε ἐκ τῶν κατὰ ῥοῦν φέρεσθαι μαλακῶς ἔχων, ferri molliter sustinens et gubernacula, quo-
καὶ εἰκῇ τοὺς οἴακας, ὅπως ἂν καὶ τύχοι, διασα- cumque velint, exagitans, neque, cum adverso cur-u
λεύων, μήθ', ὅτε ἀνάῤῥουν αὐτῷ χωρεῖ τὰ πράγματα, fluant ipsi negotia, successum violenter abripiens
τὴν εὐροιαν ἀποδιαζόμενος, καὶ ἀπομαχόμενος εὐ- et reluctans ad bonam navigationem, sed omnes fu-
πλοεῖν· ἀλλὰ πάντα κάλων καὶ πᾶσαν τέχνην ζωῆς nes omnemque vitæ artem ad magnum gubernatorem
ἀνάπτων εἰς τὸν μέγαν κυβερνήτην Θεὸν, οἷα καὶ Deum referens, tanquam donum ab illo sortitus
δῶρον ἐξ ἐκείνου λαχὼν τὸ ἐπαμφοτερίζον τῆς προαι- electionis duplicitatem si quidem voluerit Deus et
ρέσεως. Καὶ εἰ μὲν βούλοιτο Θεὸς, καὶ αὐτὸς μεθ- ipse partem habebit, attingens ad ea quibus secun-
έξει γινόμενος; οἷς ἀνατρέχει πρὸς ἐκεῖνον, ἀποματτ- D dum illum ascendit, ipsius bonis utens; si vero non
όμενος τὰ ἐκείνου καλά· εἰ δὲ μὴ ἐθέλει, διεκπίπτων vult, delabens ut voluntas mutata judicavit.
ἀλλοῖος, ὡς ἡ προαίρεσις ἑτεροιουμένη διέκρινε.

ι'. Καὶ οὕτω μὲν δύναταί τις ἡ μνησικακεῖν, 10. Et ita quidem potest quis vel mali memoriam
εἴπερ εἵρεῖται, ἢ ἀμνησικάκως ἔχειν, εἰ προέ- exercere, quando sic maluit, vel illa non affici, si hoc
λοιτο. Κακοῦ δὲ μεμνῆσθαι τῇ μελέτῃ μὲν καὶ τῇ prætulerit. Mali vero meminisse cura, propositione,
προθέσει καὶ προαιρέσει καὶ ἐφέσει καὶ σπουδῇ, voluntate, desiderio, studio, alioque quolibet modo
καὶ εἴ τι τοιοῦτον ἔστιν εἰπεῖν, ἰσχὺν ἔχει ὁ μὴ homo non omnino malus potest. Natura tamen haud
πάνυ κακὸς ἄνθρωπος. Φύσει μέντοι οὐκ ἂν δύ- posset aliquis humanitate imbutus, memoria dives
ναιτό τις, τέλειος; ὢν τὴν ἀνθρωπότητα, καὶ μνή- ac recordatione. Mille namque casibus malorum
μην πλευτῶν καὶ ἀνάμνησιν. Μυρίοις γὰρ συμπτώ- recordatio penetrat in animam, obsistente quidem,
μασιν αἱ τῶν κακῶν μνῆμαι εἰς ψυχὴν παρεισδύον- ut justum est, bono homine, ut mali recordatio in
ται, ἀπευχομένου μὲν, ὡς εἰκὸς, τοῦ καλοῦ ἀνθρώ- ipsius cor non ascendat, non valente autem reme-
που, κακοῦ μνήμην ἀναβῆναι εἰς τὴν καρδίαν dium efficax aliquod opponere, quo talem visita-
tionem repellat.

αὐτοῦ, μὴ ἔχοντος δὲ βοήθειάν τινα ὀχυρὰν προβαλέσθαι, δι' ἧς τὴν τοιαύτην ἀνάβασιν ἀποκρούσεται.

11. Itaque, cum mali memoriæ quidem tentatio potest repelli, si quis ad hoc diligenter se accingat, mali vero non recordari sive cujusdam causa vexationis, aliquis volens omnino non posset, quid tandem illum qui ex aliqua causa urgente se malum ab aliquo fuisse passum, in mentem revocat, injuriarum memoriæ vituperationi subjicimus? siquidem jam agnovimus magnum intervallum jacere, in quo mali memoria, malique vel vexationis alicujus recordatio, distant. Cur etiam malum quidem, quod nondum aliquis passus est, sed in futuro jacet, suspiciens et timens et cavens, in hominem peccatorem non reputatur; vexationem vero mente revolvens, quam expertus est, et hoc juxta quamdam fortunam, sub peccatoris colore pingitur? Attamen hæc ambo, tanquam matre, spirituali generantur imaginatione. Ad hanc enim pertinent et de futuris providentia, et de præteritis recordatio. Qua autem causa quis beneficiorum meminit, eadem maleficiorum etiam memoriam habet. Auferendum est igitur animam illi qui talium oblivisci debet, et ipse morti spirituali tradendus.

ια'. Εἰ τοίνυν μνησικακίας μὲν πόλεμον ἔστι διακρούεσθαι, εἴ τις ἐς τοῦτο κατὰ σπουδὴν ὁπλίζοιτο, κακοῦ δὲ μὴ μεμνῆσθαι, εἴτ' οὖν ἔκ ποθεν κακώσεως, οὐδ' ἂν ἐθέλων τις εἰς τέλος δύναιτο· τί δήποτε τὸν ἐνθυμούμενον ἔκ τινος περιπετείας, ὅτι κακόν ποθεν πάθοι, ἐς μέμψιν μνησικάκου συντιθέαμεν; καὶ ταῦτα, γνόντες ἤδη παχὺ μεσότοιχον κεῖσθαι, ᾧ διίστασθον τὸ μνησικακεῖν καὶ τὸ μεμνῆσθαι κακοῦ ἢ κακώσεως. Ἔτι διατί καχὸν μέν, ὃ μήπω πάθοι τις, ἀλλ' ἐν τῷ μέλλοντι κεῖται, ὑφορώμενος καὶ πτοούμενος καὶ φυλαττόμενος, οὐ λογίζεται εἰς ἁμαρτωλὸν ἄνθρωπον· κάκωσιν δὲ ἀναπολῶν, ἧς πεπείραται, καὶ σὺ κατά τινα τύχην χρώζεται εἰς ἁμαρτητικόν; Καὶ μὴν ἄμφω ψυχικῆς φαντασίας, ὅσα καὶ μητρὸς ἀποτίκτονται. Ταύτης γὰρ καὶ ἡ ἐπὶ τῷ μέλλοντι προμήθεια, καὶ ἡ τοῦ παρῳχηκότος ἀναπόληψις. Ἔτι, ᾧ μέμνηταί τις εὐεργεσιῶν, ἐκείνῳ μνήμην ἔχει καὶ κακώσεων. Μέμνηται δὲ ἀμφοῖν τῇ ψυχῇ. Ἀφαιρετέον ἄρα ψυχῆς τὸν τούτοιν ἐπιλησόμενον, καὶ μεταπλαστέον οὕτως εἰς ἄψυχον.

12. Si quis autem in contradictione sibi complacens dicat, quemadmodum recepti beneficii memoriam comitatur beneficii redditio, sic mali tolerati memoriam subsequi ea quæ retributionis sunt, et inde mutuo concurrere sibi mali recordationem et mali memoriam, is proculdubio absurda dicit, nec certe novit accurate discretionem aut regulam observare, unde probantur quidem quæ virtutis sunt, condemnantur autem quæ pravitatis: rem non profunde penetrat. Verum, sicuti matres gravidæ, sunt quædam qualitates. Itaque beneficiorum memoria, quæ bona qualitas est, alia quidem similia generat, sicuti gratia gratiam gignit; alia vero sola voluntate consistit, quando beneficio donatus in eis quæ sunt ipsius, vacuis manibus commoratur. Est autem etiam aliquando quædam sterilis beneficentia, qualis est ingratorum, exsecrabilium, judaizantium. Et quidem in talibus primum est beneficium retribuere; secundum autem in voluntate sistit, cum ad effectum transire nequit. Denique tertium est neque facere, neque velle, benefactori injuriam inferre, ut fecit Iscariota.

ιβ'. Εἰ δέ τις φιλοκαλῶν ἑαυτὸν εἰς ἀντιλογίαν ἐρεῖ, ὥσπερ δὴ τῇ τοῦ εὐεργετεῖσθαι μνήμῃ συνεκτρέχει τὸ ἀντευεργετεῖν, οὕτω δὴ καὶ τῇ μνημοσύνῃ τοῦ κακοῦσθαι συμπαρομαρτεῖν καὶ τὰ τῆς ἀντικακώσεως, κἀντεῦθεν συντρέχειν ἀλλήλοις τὸ « μεμνῆσθαι κακοῦ » καὶ τὸ « μνησικακεῖν, » λαλεῖ μέν τι παχυλῶς ὁ τοιοῦτος, οὐ μὴν λεπτότερον ἀκριβοῦν οἶδε, καὶ διάκρισιν ἢ κανόνα διαρθροῦν, ὅθεν ἐγκρίνονται μὲν τὰ εἰς ἀρετήν, ἀποκρίνονται δὲ τὰ εἰς φαυλότητα· οὐδὲ ἐμβαθύνει. Ὅμως ἐγκυμονοῦσιν οἷα καὶ μητέρες τινὲς αἱ ποιότητες. Εὐεργεσίας γοῦν μνήμη, ἀγαθὴ ποιότης οὖσα, ἡ μέν τις καὶ γεννᾷ ὅμοια, καθότι καὶ χάρις χάριν ἐστὶ τίκτουσα· ἡ δὲ ἐν μόνῳ τῷ ἐθέλειν ἐστὶν, ὅτε ὁ εὐεργετηθεὶς κεναῖς χερσὶ διοικεῖ τὰ καθ' ἑαυτόν. Ἔστι δέ ποτε καὶ στειρεύουσά τις εὐεργεσία, ὁποία ἡ τῶν ἀχαριστούντων, τῶν ἐπαράτων, τῶν Ἰουδαϊζόντων. Καὶ τὸ μὲν πρῶτον ἐν τούτοις ἐστὶ τὸ ἀντευεργετεῖν· δευτερεύει δὲ τὸ ἐν τῷ θέλειν, ὅτε μὴ ἔχει ἀποβαίνειν καὶ πρὸς ἐνέργειαν. Τὸ δὲ λοιπὸν καὶ τρίτον, τὸ μήτε ποιεῖν, μήτε ἐθέλειν, καί που καὶ αἱρεῖσθαί τι πρὸς βλάβην τοῦ εὐεργετηκότος, ὃ Ἰσκαριώτης ἀπεκληρώσατο.

13. Talia quidem sunt spectantia ad beneficentiam, quæ aut parturit ad lucem, aut in semine solo consideratur, sive quæ prorsus sterilis est, aut si quando parturit, edit molam, sive quæ veram gravitatem alio quodam modo mentitur. Maleficentia vero, juxta rationem, cui subest beneficentia; alia per mali recordationem stimulat eum qui passus est ad efficacem vindictam; et hæc ipsa, veluti gravida, parit cum violentia ab eo qui passus est mali retributionem; alia recordatur quidem et desiderat vindictam: cum autem nocere nequit, desi-

ιγ'. Καὶ τοιαῦτα μὲν τὰ τῆς εὐεργεσίας, τῆς ἢ τικτούσης ἐς φῶς, ἢ ἐν σπέρματι καὶ μόνῳ θεωρουμένης, ἢ καὶ παντελῶς στερίφης, εἰ δ' ἄρα ποτὲ καὶ τέκῃ, μύλην ἀποτικτούσης, ἢ εἴ τί που ἄλλο τὴν ἀληθῆ ἐγκυμόνησιν ψεύδεται. Ἡ κακοποιία δὲ ἀλλὰ καὶ αὐτὴ κατὰ λόγον, ὃν ἔχει καὶ ἡ εὐεργεσίας ἢ διὰ κακοῦ ἀναμνήσεως ἐρεθίζει τὸν πεπονθότα πρὸς ἄμυναν ἐνεργῆ· καὶ ἰδοὺ καὶ αὐτὴ, ὡς οἷα κυσαμένη, ἔτεκε μετ' ἰσχύος τὴν ἐκ τοῦ παθόντος ἀντικάκωσιν. Ἡ μιμνήσκεται μὲν καὶ ἐφίεται ἀμύνης· μὴ δυναμένη δὲ δρᾶσαι κάκωσιν, ἵστησι τὴν ἐπιθυμίαν ἐν τῷ

βούλεσθαι, καὶ πέττει τὸν χόλον· καὶ τὰ κύματα θραύουσα, οὐκ ἐξαφρίζει εἰς θυμὸν ἀκρατῆ. Καὶ οὕτως ἐξ ἀναλόγου δευτερεύει, καθάπερ εὐεργετοῦντος ἀνδρὸς κατ' ἐνέργειαν ὁ ἱστάμενος ἐν μόνῳ τῷ ἐθέλειν εὐεργετεῖν οὕτω καὶ τοῦ μνησικάκου ἐνεργοῦντος τὴν κάκωσιν ὁ ἐθέλων μὲν, ἐπέχων δὲ εἰσέτι. Λοιπὸς δὲ καὶ τρίτος κάνταῦθα, ὥσπερ ἐν τοῖς κατὰ εὐεργεσίαν ὁ ἐπίρρητος καὶ ἐπάρατος (ὁ μήτε ἐνεργῶν τὰ εὐεργετικὰ, μήτε μὴν αἱρούμενος, ἀλλὰ καὶ προσεπιβλάπτων), οὕτω καὶ ἐν τοῖς εἰς κάκωσιν ὁ ἄλλως ἐξ ἐναντίου καὶ ἐπαίνων ἄξιος καὶ εὐχῶν, ὁ μετὰ κάκωσιν δηλαδὴ ἐφθακυῖαν μήτε ἐνεργήσας τὰ εἰς ἄμυναν, μήτε μὴν ἐθέλων, ἀλλ', εἴ ποτέ καὶ μεμνῆτο, χοῦν τῷ κακῷ ἐπιφορῶν καὶ εἴ τί που ἐξοζέσει κακίας, χωννύων αὐτὸ εἰς λήθην, καὶ μυσαττόμενος καὶ τὴν μνήμην αὐτήν.

ιδ'. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει (ἔχει δὲ πάντως οὐκ ἄλλως;), ἔσφαλται ἄρα τοῦ εἰς ὀρθὸν βαίνειν ἀληθείας ὁ τὸ μεμνῆσθαι κακοῦ εἰς ταὐτὸν ἄγων τῇ ἁμαρτάδι τῆς ἀντικακώσεως. Δῆλον γὰρ, ὡς οὔτε ὁ μνήμην εὐεργεσίας ἀναλαβὼν πάντῃ πάντως εὐεργετεῖ, οὐδὲ μὴν ὁ κακώσεως μνησάμενος, ἤδη καὶ εἰς βόθρον τοῦ ἀντικακῶσαι ὤλισθε.

ιε'. Κεφαλαιώσασθαι δὲ τὸ χῦμα τοῦ τόπου τοῦδε· μεμνῆσθαι μέν τινος ἀγαθύνοντος καὶ αὖ πάλιν κακοποιοῦντος ἀντικειμένως ἔχουσιν, οὕτω δὲ καὶ τὸ εὐεργετεῖν· ὃ δή τινες οἴονται μνήμης ἀγαθῆς ἀποτέλεσμα, καὶ τὸ κακοποιεῖν δὲ, ὅπερ οἱ νοεῖν δεινοὶ τόκον οἴδασι τοῦ μνήμην ἀπόθετον ἔχειν κακώσεως, εἰς ἀντίθεσιν ἀσύμβατον ἀφορίζονται· πρὸς δὲ τούτοις καὶ τὸ ἐθέλειν μὲν εὐεργεσίαν ποιεῖν, μὴ ἐξισχύειν δὲ, καὶ πάλιν ἑτέρωθεν τὸ βούλεσθαι μὲν ἀντικακῶσαι, μὴ ἔχειν δὲ, καὶ αὐτὰ εἰς μοῖραν ἀντίπαλον ἰδιάζουσι. Καὶ εἰσὶν ἀγαθῆς μὲν συστοιχίας, τὸ μεμνῆσθαι ἀγαθοποιίας, καὶ τὸ δι' αὐτὴν εὐεργετεῖν· καὶ τρίτον τὸ ἐθέλειν, εἰ καὶ μὴ αἱ χεῖρες δύνανται συνεπιλαμβάνεσθαι. Τῆς ἑτέρας δὲ φατρίας, ὅση λογίζεται εἰς ἐναντίωσιν, τὸ βαρέως μεμνῆσθαι κακώσεως· καὶ δεύτερον εὐθὺς, τὸ δι' αὐτὴν αὐτίκα εἶναί τινὰ κακωτικόν· καὶ ἐπὶ δυσὶ τούτοις τὸ προαιρεῖσθαι μὲν, ἀτυχεῖν δὲ ὁπωσοῦν τὴν προαίρεσιν. Καὶ οὕτω μὲν τῶν ἑκατέρωθεν βαθμίδων αἱ ὑψηλότεραι, ἡ μὲν εὐκταία κατ' ἀρετὴν τοῖς προσβαίνουσιν, ἡ δὲ, ὁποίαν ἀπεύχεται ὁ φρονῶν, ἔσχατον αὐτὸς βαθμὸν αἱρούμενος, ἥπερ ἀναβαίνειν, ὅθεν ἔστι καταχρημνισθῆναι εἰς ὄλεθρον· οἱ μέντοι τούτων πυθμένες ἀνάπαλιν ἔχουσι. Καὶ τὸ μὲν ἔξω μνήμης βάλλειν τὸ εὐεργέτημα, καὶ ἀχάριστον εἶναι, καί που καὶ δακνηρῶς ἐμφύεσθαι τῷ εὐεργετηκότι, ὡς καὶ ἀποτρώγειν ἐθέλειν τῶν αὐτοῦ σαρκῶν, ὃ δὴ καὶ κάτω ἔσχατον ὑποστάθμης λόγῳ ἐν τῇ ἐπαινουμένῃ συστοιχίᾳ ἔκειτο, φαυλεπίφαυλόν ἐστιν ὄντως καὶ μεμισημένον τῷ καὶ πρώτῳ καὶ μεγίστῳ διδασκάλῳ, οὗ τῆς μαθητείας ὁ νενοσηκὼς αὐτὸ Ἰσκαριώτης ἐξέπεσεν. Ἑτέρωθεν δέ γε τὸ μνήμην μὲν π[άσχε]ιν κακώσεως, ἀμελεῖν δὲ ἀντικακώσεως, εἰς ὃ δὴ περιέστη ὡς οἷα καὶ εἰς τρυγίαν τινὰ ἡ κακίστη συστοιχεία τοῦ μεμνῆσθαι κακωθῆναι, καὶ τῇ μνήμῃ ταύτῃ κα-

derium in voluntate reponit bilemque coquit et fluctus reprimens, non in iram impotentem effervescit. Et sic ex analogia quemadmodum secundus est ab homine qui secundum efficaciam bene fecit, ille qui sistit in voluntate benefaciendi, ita quoque secundus est ab eo qui mali memoriam ad effectum ducit, ille qui nocere quidem vult, adhuc autem abstinet. Restat autem hic etiam tertius, sicut in iis quæ sunt beneficentiæ, vituperandus, et exsecrabilis ille (qui nec beneficia reipsa confert nec reddere gaudet, sed etiam injuriam adjicit), ita quoque in his quæ ad vexationem spectant, ille qui cæterum e contrario laudibus et benedictionibus dignus est, qui post vexationem sane præhabitam neque quæ vindictæ sunt operatur neque quærit, sed, si forte meminit, aggerem opponit malo, et si quid olet malitiam, illud in oblivionem et recordationem ipsam e mente rejicit.

14. Hæc igitur si ita sint (proculdubio autem omnino sunt), convincitur in recto veritatis tramite non ambulare qui recordationem mali ad malum malo retribuendum reducit. Manifestum est enim quod neque beneficii recordatus ubique benefacit, neque qui vexationis illatæ meminit, jam eo ipso in abyssum malæ vindictæ delapsus est.

15. Age, jam resumamus hujus argumenti summam : meminisse quidem alicujus bene facientis, et rursum male agentis recordari, oppositionem habent ; ut econtra etiam benefacere, quod quidam bonæ memoriæ effectum esse putant, et male facere, quod sapientes conservatæ mali memoriæ fructum censent, insociabili intervallo separantur. Insuper autem velle quidem exercere beneficentiam, sed non posse ; iterumque alias cupere quidem malum pro malo reddere, neque vero posse, in partem contrariam ipsa distinguuntur. Est boni quidem ordinis simul beneficentiæ meminisse, et ob illam benefacere, et tertium mens benevola, etsi manus perficere non valeant. Alterius autem classis, quæ reputatur in oppositionem, est vexationis dolenter meminisse ; secundum cito propter illam malefacere ; et super his duobus, sibi proponere quidem, sed propositum quocunque modo non attingere. Et ita quidem, ex utrisque gradibus superiores sunt, unus quidem secundum virtutem ambulantibus desiderabilis, alius autem talis ut eum deprecatur prudens, ultimum ipse gradum potius eligens, quam ascendere rursum, unde decidere debebit in ruinam : fundi tamen illorum e contrario veniunt. Et quidem extra memoriam projicere beneficium, et ingratum esse, forteque mordicus sic inhærere benefactori, ut taliter affectus etiam illius carnes comedere velit, quod deorsum in ordine laudabili, læcis loco jacebat, reipsa pravissimum est odiosumque primo magnoque Magistro, e cujus discipulatu qui senserat hoc Iscariota excidit. Aliunde vero memoriam quidem sustinere vexationis, abstinere vero a mali retributione, ad quod vergit, tanquam ad aliquam læ-

cem pessima classis qua mali facti tenetur memoria, hacque memoria malum agitur, vel malefaciendi voluntas habetur, hæc fæx bona est et Deo grata, et peccatorum deletrix, eo quod ipsa delet ex anima non convenientem vindictam. Hujus autem accidentis causa est, quod quidem beneficentiam prorsus oblivisci, ordinatur inter composita superius bona, in quantum nefandum, et ob id in odio est, et in malitiam imputatur; procul autem jacere vindictam, et velle non meminisse, si quod illatum fuerit malum, vel si forte memoria servetur, in animam introitum vindici maleficentiæ intercludere, hoc duobus de quo superius peccatis, obnititur, et illorum declinat ordinem; et relinquens ista dæmoni malo, ipsa Deo appropriatur, et in virtutem purificata, sublimis ad Altissimum volitat.

16. Et sic habet se naturaliter res, sicut et doctorum regula novit. Ex his enim duobus contrariis, oblivione benefaciendi, et iterum malefaciendi oblivione, quoniam unum pravum cum sit, sub bona felici sorte cecidit, alterum ergo divinum cum sit, et ipsum sub aliam seriem malam intravit. Et aliquo modo, qui non voluit intelligere ut bene ageret, juxta Psalmistam, abundantis medio messis enata spina reputatur, scilicet, in serie beneficiorum. Qui vero non pro malo malum reddit, rosa judicatur, quæ, spinas mali memoriæ devitans, bonum innocuum proponit. Itaque jure dici potest, quod ambulant, bonum quidem illud corpus, beneficiorum ordo, veluti malo pede, scilicet, ingratitudinis; malum autem istud, mali memoria, bono pede, secundum malitiam ambulare tardante. Ut aliter dicam, hic complantantur, sicut cum virtutibus malitia, sic cum virtute magna vitia. Etenim ejus qui bene fecit meminisse, beneficiaque revera retribuere, atque etiam mutua vice beneficentiam præstare velle, ejusdem ordinis in virtute sunt; hominum autem prava voluntas his pulcbris arboribus inseruit fruticem pravissimum, ingratitudinem, quam parere solet beneficiorum oblivio.

17. Et ita quidem excrevit ex illarum virtutum ordinibus una pravitas, et ex alia parte, gravis memoria injuriarum, et ab illa prava retributio per malefaciendum. Sed hæc tria mala simul ordinata ad portam, ut aiunt, assimilantur uni virtuti, scilicet, non omnino velle vexationis meminisse: cui I ono memetipsum ipse ascribo; et sic neque malum pro malo cuiquam invenirer reddidisse; neque volens quidem, sed non valens, vindictam suspendisse: quorum prius quidem pessimum, posterius autem virtutis simulationem ingeniis non profundis subjicere vult.

18. Si quis autem dixerit vulgare hoc, « Istud igitur unde manifestum est? primo quidem discutiat vitam nostram, ubi non poterit invenire quemquam a nobis aliquid ulciscendi causa passum. Deinde recentioribus nostris infortuniis adhibeat curam, in quibus nemo nos audivit dicentes aliquid ad damnum hujus linguæ nos calumniant's

κοποιεῖν, ἢ ἐθέλειν κακοποιεῖν, ἀρίστη τέ ἐστι, καὶ Θεῷ φίλη, καὶ ἁμαρτιῶν ἐξαλειπτική, ὅτι καὶ αὐτὴ ἀπαλείφει τῆς ψυχῆς τὸ ἐν μὴ δέοντι ἀμυντικόν. Αἴτιον δὲ τοῦδε τοῦ συμπτώματος, ὅτι τὸ μὲν πάντῃ ἐπιλελῆσθαι ἀγαθοποιίας ἐνήλακται πρὸς τὰ ἀνωτέρω συστοιχοῦντα χρηστὰ, εἰς ὅσον ἄρρητον, καὶ διὰ τοῦτο μισεῖται, καὶ εἰς κακίαν ἀπογράφεται· τὸ δέ γε πόρρω βάλλειν τὸ ἀμυντικὸν, καὶ ἐθέλειν μηδὲ μεμνῆσθαι, εἴ τί που πάθοι κακὸν, εἰ δέ που καὶ μνησθείη, ἀποκλείειν τὴν ἐς ψυχὴν εἴσοδον τῇ ἀμυντικῇ κακοποιᾷ, τοῦτο τοῖς ἀνωτέρω δυσὶν ἁμαρτήμασιν ἐς τὸ παντελὲς ἀντιπίπτει, καὶ τὴν πρὸς αὐτὰ φατρίαν ἐκκλίνει· καὶ ἀποκληροῦσα ἐκεῖνα τῷ δαίμονι, οἰκειοῦται αὐτὴ τῷ Θεῷ, καὶ εἰς ἀρετὴν ἀπολεπτυνθεῖσα κούφη πτερύσσεται πρὸς τὸν ὕψιστον.

ις' Καὶ ἔχει οὕτω φύσεως τὸ πρᾶγμα, καθὰ καὶ φιλόσοφος οἶδε κανών. Δυοῖν γὰρ τούτοιν ἐναντίοιν, λήθης τε τοῦ ἀγαθύνειν, καὶ αὖ πάλιν ἐπιλησμοσύνης τοῦ κακοποιεῖν, ἐπεὶ τὸ ἓν, φαῦλον ὄν, ἔλαχεν ὑπὸ τὰ χρηστὰ πεσεῖν σύστοιχα, τὸ ἄρα λοιπὸν, θεῖον ὄν, αὐτὸ τὴν ἑτέραν συστοιχίαν ὑπέδυ τὴν φαύλην. Καί πως ὁ μὲν μὴ βουληθεὶς συνιέναι τοῦ ἀγαθῦναι, κατὰ τὸν ψαλμῳδὸν εἰς ἄκανθαν λογίζεται λῃῒῳ παραπεφυκυῖαν εὐφόρῳ, τῷ κατὰ τὴν εὐεργετικὴν συστοιχίαν· ὁ δὲ μὴ ἀνταποδιδοὺς τοῖς κακώσασιν, εἰς ῥόδον ἐγκρίνεται, ὃ τὰς ἀκάνθας ἐκφυγὸν τοῦ μνησικακεῖν ἀγαθὸν ἄλυπον πρόκειται. Οὐκοῦν καὶ ἔστι πρὸς ἀστειότητα φάναι, ὡς βαίνουσι, καλὸν μὲν ἐκεῖνο σῶμα, τὰ εὐεργετικὰ σύστοιχα, ὡς οἷα φαύλῳ ποδὶ, τῷ τοῦ ἀχαριστεῖν, κακὸν δ' αὖθις ἐκεῖνο, τὸ μνησίκακον, ἀγαθῷ ποδὶ, ἐπεμβαίνειν ὀκνοῦντι πρὸς κάκωσιν. Φράσαι δὲ ἄλλως· παραπέπηγε κάνταῦθα, ὥσπερ ἀρεταῖς κακία, οὕτω καὶ ἀρετῇ φαυλότητες. Μεμνῆσθαι μὲν γὰρ τοῦ εὐεργετήσαντος, καὶ μὴν ἀντευεργετεῖν κατὰ ἔργον, ἔτι δὲ καὶ ἐθέλειν εὐεργεσίαν ἀντιδοῦναι, συστοιχοῦσι κατ' ἀρετήν. Φαύλῃ δὲ προαιρέσει ἀνθρωπίνῃ παρέπηξε τούτοις δένδροις καλοῖς, φυτὸν φαυλότατον, τὸ ἀχάριστον, ὅπερ ἀποτίκτειν οἶδεν ἡ λήθη τῶν εὐεργεσιῶν.

ιζ'. Καὶ οὕτω μὲν συστοίχοις ταύταις ἀρεταῖς κακία μία παραπέφυκε, βαρεῖα δ' ἑτέρωθεν μνήμη κακώσεως, καὶ ἡ ἐπ' αὐτῇ ἀντικάκωσις κακοποιῆσαι. Ἀλλὰ ταῦτα τρία κακὰ σύστοιχα παρὰ θύραν, ὅ φασιν, ἤκουσιν ἀρετῇ μιᾷ, τῇ τοῦ μὴ ἐθέλειν ὅλως μεμνῆσθαι κακώσεως· ᾧ δὴ ἀγαθῷ ἐμαυτὸν ἐγὼ ἀποκληρῶ· καὶ οὔτε ἂν εὑρεθείην κακοῦ κακόν τινι ἀνταποδοὺς (τοῦτο δὴ τὸ χείριστον), οὐδὲ μὴν ἐθέλων μὲν, ἀδυναμίᾳ δὲ ἀπαιωρῶν τὴν ἄμυναν· ὅπερ ἀρετῆς ὑπόκρισιν ὑποβάλλειν βούλεται τοῖς μὴ ἐμβαθύνουσιν.

ιη'. Εἰ δέ τις ἔχει λέγειν ταῦτα δὴ τὸ δημοτικὸν, τὸ Πόθεν ἄρα τοῦτό γε δῆλον; πρῶτα μὲν ἐπεξελθέτω, οἷς βεβιώκαμεν, ἐν οἷς οὐκ ἂν εὑρέσθαι δύναιτο τὸν ἐξ ἡμῶν πεπονθότα τι πρὸς ἄμυναν. Εἶτα καὶ τοῖς ἐναγχος ἡμετέροις ἐνδιατριψάτω παθήμασιν, ἐν οἷς οὐδεὶς ἤκουσεν ἡμᾶς ἀποπτύσαντάς τι πρὸς βλάβην τῆς καθ' ἡμῶν διαβόλου γλώττης

ἐκείνης, οὐδὲ ἐς τὸ τυχόν. Εἰ δ' ἀμφιβάλλει αὐτὸς, καὶ τί ἂν εἴχομεν ἀντιβλάψαι τὸν τῆς πνευματικῆς ἀγέλης ἀποσκιρτήσαντα ἐφ' ἡμετέραις κακώσεσιν; Οἶδα μὲν, ὅτι κερτομοῦσι πυνθανόμενοι, ἅπερ οἴδασι πρὸς ἀκρίβειαν. Εἰ δὲ καὶ ἑτέδν ἀπὸ σπουδῆς, ὃ λέγεται, ταῦτ' ἀγορεύουσι, παραβαλλόντων ἐφ' ἡμᾶς ἡσυχαίτερον ἐπὶ μαθήσει· καὶ ἡμεῖς ἐξηγησόμεθα, ὁποίοις ἐνισχημένοι κακοῖς οὐκ ἐξελαλήσαμεν εἴ; γε τὸν βλάπτειν ἐπὶ δικαίοις δυνάμενον.

ιθ'. Οὕτω δὴ καταστήσας τὰ εἰρημένα, ὡς οὐκ ἂν, οἶμαι, ῥᾳδίως ἀντιλογηθῆναι, λαλήσω καὶ ἄλλως περὶ ταὐτῶν ἐπιτομώτερόν τε καὶ σαφέστερον, δεικνὺς, ὡς οὐ ταὐτὰ, μιμνήσκεσθαί τε κακοῦ καὶ μνησικακεῖν ἀγαθοποιΐας. Ὁ δεῖνα μέμνηται· ἀγαθὸς ἄρα ἐστί. Κακώσεως ἦλθέ τινι μνήμη· ἄρα μνησίκακος ὁ ἀνήρ. Τίς ὁ τὸ πρῶτον εἰπών; τίς ὁ τὸ δεύτερον; Προβαλλέτωσαν ἑαυτοὺς εἰς μέσον, ἵνα καὶ γελῶντο εἰς ἐμφανές. Μέμνηταί τις οἴκου λαμπροῦ· οἰκοδόμος ἄρα ἐστὶν, οἷς μέμνηται. Πλοίου μνήμην ἔχει, πρὸς τέχνην οἰακιζομένου, καὶ οὕτω παρακρουομένου τὰ πέριξ κύματα· οἰακοστρόφος ἄριστος ἄρα τῇ μνήμῃ ὁ ἀνήρ. Μέμνηται τοῦ φορτικοῦ Φαλάριδος· οὐκοῦν εἰ μέμνηται, τυραννεῖ. Μέμνηται, κατὰ κρημνοῦ πεσών τις καὶ ἐκτραχηλισθείς· πταίει ἄρα εἰς ἑαυτὸν ὁ ἄνθρωπος. Ἀνασκάλλει τῇ διανοίᾳ, κακὸς αὐτός ποτε γεγονὼς, οἷς ἥμαρτε, καὶ τῇ μνήμῃ ἔχθεται· μνησικακεῖ γοῦν ἑαυτῷ. Οὔτε ἐκεῖνα σοφὰ, καὶ ταῦτα δὲ κωμῳδίας ἄξια· οἷς οἶμαι συντακτέον καὶ τό· Μέμνηταί τις' κακώσεως ὁπωσοῦν· ἔστιν ἄρα μνησίκακος.

κ'. Ἔτι ὁ τὴν μνησικακίαν ἀτέχνως μνήμην κακοῦ ἢ κακώσεως ἁπλῶς ὁριζόμενος, οὐ μόνον τὰ ἐς ῥητορείαν πλημμελεῖ, καίριόν τι μέρος τοῦ πανηγυρίζειν ἁπάγων αὐτῆς, τὸ ψεκτικὸν (ὅπερ οὐκ ἂν συνίσταιτο, ἀκαγομένης ἐκ βίου τῆς τῶν κακῶν μνήμης)· ἀλλά γε καὶ τὸ δικανίζειν παραγράφει, καὶ τούς τε ἄξονας ἀποξέει, καὶ τὰς κύρβεις ἀπαλείφει, καὶ τὴν ἀδικίαν παῤῥησιάζει. Αὐτὸς μὲν γὰρ οὐκ ἐθέλει, μνήμην εἶναι κακοῦ εἰς τὸ πᾶν. Τὸ δέ γε δικανικόν εἰσιν οἵπερ ὡρίσαντο, μηδὲν ἕτερον εἶναι, ἢ τό· ἀνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερον χαλεπήνῃ, διὰ μνήμην πάντως κακοῦ ὑπάρξαντος· ἀτελῶς μὲν ἐκεῖνοι φάμενοι, οὐ μακρὰν δὲ σκοποῦ πάντῃ πεσόντες.

κα'. Χρὴ τοίνυν, ὡς ἔοικε, τοὺς δικάζοντας ἅμα ἐντρανίσαι κατηγόρῳ, καὶ ἐξαναστῆναι τοῦ θρόνου, καὶ ἢ ἀφεῖναι τὸ βῆμα καὶ ἀναχωρῆσαι, ἢ ἀλλὰ γράψασθαι μνησικακίας τὸν ἄνθρωπον, ὅτι μεμνημένος κακώσεως ἧκει λύσων κατὰ νόμου δίαιταν τὴν πλοκὴν τοῦ κακοῦ, καὶ διαστησόμενος εἰρηνικῶς. Εἰ δὲ καὶ παράγγελμα θεῖον ὑπόκειται, τυφθέντα τινὰ ἐς παρειὰν στρέψαι καὶ τὴν ἑτέραν, γένηται δὲ ἡ πρώτη πληγὴ οὕτω βαρεῖα, ὡς μηδὲ πλαγιάζειν ἔχειν τὴν λοιπὴν, καὶ ὁ πληγεὶς εἰδὼς καὶ μνήμην ἔχων, ὃ πάθοι, οὐ στρέφει ἑαυτὸν καὶ εἰς ἕτερον πλῆγμα, ἤδη δὲ καὶ ὑποβρύχοιτο στενάζων τῷ βαρυαλγήματι· εἴπομεν ἂν ἐκεῖνον ἁμαρτωλὸν, ὡς εἰδότα, ὃ πάσχει, καὶ οὕτω μνησίκακον; Γελοῖον τὸ πρᾶγμα καὶ ὁρισμός.

A nec sine consilio. Si vero ambigit ipse, erquid haberemus vicissim lædere quemquam e spirituali grege de nostris maleficiis exsultantem? Scio quidem quod vexatorie percontantur quæ perfecte norunt. Si vero certe propter studium, ut dicitur, hæc loquuntur, venientibus ad nos pacifice ad instructionem, nos etiam explicabimus, quibus irretiti malis non locuti fuerimus etiam contra illum qui juste nocere potest,

19. Dictis ita constitutis, ut non facile, puto, contradici possim, alia dicam brevius et evidentius super istis, ostendens non eadem esse recordari mali, et male meminisse beneficiorum. Aliquis meminit : ergo bonus est. Injuriarum alicui memoria venit : ergo mali memor est homo. Quis illud primum dicit? quis hoc secundum? In medium se producant, ut palam irrideantur. Illustris domus aliquis meminit; ergo, quibus meminit, his est architectus. Navis memoriam habet scite gubernatæ sicque fluctibus feliciter ereptæ : optimus ergo gubernator ille vir memorabilis est. Insolentiæ meminit Phalaridis : itaque, quia meminit, tyrannidem exercet. Meminit aliquis viri in præcipitium lapsum et conquassatum : ergo talis homo semetipsum offendit. Cogitatione reputat ipse qui fuit iniquus malaque gessit et memoriæ succenset : ergo mali memor in seipsum est. Illa sapientia non sunt, sed comœdia digna ; quibus istud adjungendum puto : aliquis injuriarum qualitercunque meminit : ergo simultatis tenax est.

20. Insuper qui mali memoriam sine artificio memoriam mali sive vexationis simpliciter definit, is non solum rhetoris artem offendit, ab illa gravem panegyrici partem auferendo, reprehensionem (quæ non subsisteret, sublata de vita malorum memoria), sed etiam jurisdictionem abrogat, et axones abradit, et tabulas delet, et iniquitatem excusat. Ipse namque non vult omnino memoriam esse mali. Jurisdictionem autem aliqui definiunt nihil aliud esse quam istud : Hominem repellere cum aliquis prius iratus est, ob memoriam sane mali quod illatum est : parum sufficienter illi quidem locuti, sed non omnino procul a vero aberrantes.

21. Oportet igitur, ut apparet, judices, ubi cognoverunt accusatorem, e sella surgere, vel tribunal deserere et recedere, vel ob vindictæ animum condemnare hominem, quod vexationis recordatus venit per arbitrium legis mali nodum soluturus et pacifice discussurus. Sed et si divinum subjiciatur mandatum, quod aliquis in maxillam percussus debeat et aliam præbere, fiat autem prima percussio tam gravis, ut impossibile sit alteram vertere maxillam, et percussus videns et memoriam habens, quod passus sit, non se convertat ad aliam percussuram, jam vero submurmurat gravi dolore gemens, dicendum nobis erit, illum peccatorem, quasi quod patitur scientem, et sic simultatis memorem? Ridenda et res et definitio.

22. Præterea vir, in legitimum conjugium sciens esse peccatum, non obliviscetur, puto, passione furentem sociam, et modum quo ipsum tractavit, et ideo cavebit, per totam vitam memor, ne reverteus iniquit.s salutarem disrumpat discordiam. Nec magister, nec paterfamilias, malos habentes compertos, unus quidem discipulum, alter autem alumnum peccantibus per oblivionem veniam darent, et certe nec ipsi trito memoriæ colore, sub mali memorum imaginibus pingerentur; verum unus quidem vocabitur conjugii zelator, alius autem bonus magister, et alter prudens eorum, quorum administrationem habet, œconomus. Eadem vero plane ratione viator qui pravum itineris comitem invenit eumque ob illud suspicatur, prudens dicendus erit, non mali memor. Mercator autem qui consortem assumptum comperit bonum commune furtim exsugentem, arguit ac exprobrat, sibique cavet; sed non de ultione notandus est. Novimus tumulorum violatores, et semper odimus, et tanquam malos vitamus, et non desinemus esse tales, donec isti tales manserint. Si quis igitur mali memores nos dicere vult, audeat et dicat et irrideatur. Hæc autem est etiam cæteris iniquitatibus explicatio. Furatur vicinus: suspectus est; mali memor ergo qui furem suspicatus est. Alius homicidium, sacrilegium alter, tertius autem impietatem perpetravit: si inde odium, mali memoriam experiuntur. Errat ita sentiens et semetipsum decipit.

23. Adhuc, si quidem contrariorum eadem est scientia cognitioque (est autem omnino), eadem erit accepti beneficli malique illati. Qui ergo judicat ab humana anima recordationem prorsus eradicandam, cum aliquid mali passus est, optimam quoque plantam, beneficiorum memoriam, simul exstirpabit, et paradisum qui nobis inest devastabit; et jam non aliquis animadvertere poterit, ut de malo tolerato, sic de beneficio recepto. Eadem enim scientia novit utrumque per recordationem. Si quis autem unius memoriam non habet suscipiendam, certe nec alterius. Et sic humana perfectio defecit.

24. Porro, meminisse mali simpliciter ad multa potest referri: non enim indivisum est. Aliquis memoria tenet, quod ægrotaverit (si sane quid mali sit ægritudo), quod ceciderit in mare furens et ad infernum attrahere tentans; quod gravis plaga fuerit incussa ense, non alieno, sed proprio per aliquem fati casum, quod in profundam foveam ex offendiculo lapsus, quod rivi fluento pertractus fuerit. Hæc igitur perpessi, sive unus, sive plures, non omnino, si meminerint quibus occurrerint malis, mali memoriæ reatui subjicerentur, nisi, qui male loquuntur, sic improprie dicere velint. Itaque per analogiam ex eodem loco nec recordans aliquid se mali passum a quodam fuisse, perverse dicendus est mali memor, sed aliquis recordans, sicut, quæ passus est, malorum, sic etiam eorum quæ sunt e contrario. Si vero

κβ'. Ἔτι οὔτε ἀνὴρ, ἐς τὴν ἔννομον συζυγίαν ἠδικῆσθαι εἰδὼς, λάθοιτο ἂν τῆς οἰστροπλήγος οἶμαι συννόμου, οἷα ἐκεῖνον διέθετο· ἐφ' οἷς καὶ φυλάττοιτο ἄν, μεμνημένος διὰ βίου παντὸς, μὴ καὶ ἀνακυκλήσασα ἡ κακία διαζεύξῃ τὴν καλὴν ἁρμονίαν. Οὔτ' ἂν διδάσκαλος, οὐδὲ μὴν οἰκοδεσπότης, κακοὺς ἐξευρηκότες, ὁ μὲν τὸν μυούμενον, ὁ δὲ τὸν τρεφόμενον, ἀμελοῖεν ἂν λήθης λόγῳ τῶν πλημμελούντων· καὶ οὐκ ἤδη οὐδ' αὐτοὶ, παρατριβομένου τοῦ κατὰ μνήμην χρώματος, γράφοιντο ἂν εἰς μνησικάκων εἰκόνας. Ἀλλ' ὁ μὲν ἔσται καλούμενος φιλοσύζυγος, ὁ δ' ἀγαθὸς διδάσκαλος, ὁ δὲ συνετὸς οἰκονόμος, ὧν οἰκοδεσποτεῖ. Τὸν δὲ ὅμοιον λόγον καὶ ὁδοιπόρος φαῦλον ὁδοῦ κοινωνὸν ἐξευρὼν, καὶ συχνὰ ὑφορώμενος τὸν ἄνδρα κατὰ μνήμην, ἐχέφρων ἂν καλοῖτο, καὶ οὐ μνησικακῶν. Ἔμπορος δὲ συλλαβόμενος μέτοχον, καὶ φωράσας ὑπούλως τὸ κοινὸν ἐκμυζῶντα, ἐλέγξει μὲν καὶ μέμψεται καὶ φυλάξεται· οὐκ ἂν δὲ εἰς μνησικακίαν ἀπάγοιτο. Οἴδαμεν τυμβωρύχους, καὶ μισοῦμεν ἀεὶ, καὶ ἐκκλίνομεν ὡς κακοὺς, καὶ οὐδ' ἂν παυσαίμεθα τοιοίδε ὄντες, ἕως ἂν ἐκεῖνοι τοιοῦτοι μένοιεν. Εἰ γοῦν τις ἐθέλει μνησικάκους λέγειν ἡμᾶς, τολμάτω καὶ λεγέτω καὶ γελάσθω. Ἡ δ' αὐτὴ καὶ ἐπὶ τῶν ἄλλων κακιῶν ἔφοδος. Κλέπτει γείτων· ὑποπτεύεται. Μνησίκακος ἄρα ὁ τὸν κλέπτοντα ὑπειδόμενος. Ἐφόνευσεν ἕτερος, ἱεροσύλησεν ἄλλος, ὁ δέ τις ἐθεομάχησεν. Εἰ δὴ μισοῦνται, μνησικακοῦνται. Παραλογίζεται ὁ φρονῶν οὕτω, καὶ αὐτὸς ἑαυτὸν ἀπατᾷ.

κγ'. Ἔτι εἴπερ τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη καὶ γνῶσις ἐστὶν (ἔστι δὲ πάντως), εἴη ἂν ἡ αὐτὴ καὶ τοῦ εὐεργετεῖσθαι καὶ τοῦ κακοῦσθαι. Ὁ τοίνυν ἀξιῶν ἐκριζοῦσθαι παντάπασιν τῆς κατ' ἄνθρωπον ψυχῆς τὸ μεμνῆσθαι, ὡς κακῶς ποθεν ἔπαθε, συνεκσπάσοι ἂν καὶ τὸ κάλλιστον φυτὸν, τὴν τῶν εὐεργεσιῶν μνήμην, καὶ τὸν ἐν ἡμῖν ἐρημώσει παράδεισον· καὶ οὐκέτι ἄν τις εἰδείη αἰσθήσεσθαι, ὥσπερ τοῦ κακωθῆναι, οὕτως οὐδὲ τοῦ εὐεργετηθῆναι. Ἡ γὰρ αὐτὴ ἄμφω οἶδεν ἐξ ἀναμνήσεως. Εἰ δέ τις θατέρου μνήμην οὐκ ἔχει ἀναλαμβάνειν, οὐκ ἂν οὐδὲ τοῦ ἑτέρου. Καὶ οὕτως ἡ κατ' ἄνθρωπον τελειότης ἐκλέλοιπεν.

κδ'. Ἔτι τὸ μεμνῆσθαι κακοῦ εἰς πολλὰ ἐθέλει ἁπλοῦσθαι· οὐ γάρ ἐστιν ἀσχιδές. Ἔχει τις μνήμην, ὡς νοσήσοι ποτὲ (εἰ δή τι κακὸν ἡ νόσος) ὡς περιπέσοι μαινομένῃ θαλάσσῃ καὶ πειρωμένῃ κατασπάσειν πρὸς ᾅδην· ὡς πληγείη ξίφει πρὸς βαρεῖαν κάκωσιν, οὐκ ἀλλοτρίῳ, ἀλλὰ τῷ ἀπὸ χειρὸς ἔκ ποθι τύχης τινός· ὡς βαθεῖ βόθρῳ ῥιφείς ἐκ προσκόμματος· ὡς παρασυρείη ποταμοῖο ῥεύματι. Ὁ τοίνυν τοιαῦτα παθὼν, εἴτε εἷς ἐκεῖνος, εἴτε πολλοὶ, οὐκ ἂν πάντως, εἰ μέμνηνται κακοῖς ἐγκύρσαντες, τῇ τοῦ μνησικακεῖν κακηγορίᾳ ὑποπεσοῦνται, εἰ μή τι ἀκύρως οἱ κακῶς ἀγορεύοντες ὀνομάζειν βούλοιντο. Οὐκοῦν ἀναλόγως ἐκ τοῦ αὐτοῦ τόπου οὐδ' ὁ μνημονεύων, παθεῖν τι πρός του κακὸν, κακολογοῖτ' ἂν μνησίκακος, ἀλλά τις μνήμων, ὥσπερ, ὧν πεπόνθοι, κακῶν, οὕτω καὶ τῶν ἀνάπαλιν. Εἰ δέ γε καὶ ἄμυναν ἐκεῖ-

νος μελετᾷ, καὶ τίσασθαι τυρεύει, καὶ κακὸν ἀνταποδοῦναι κακοῦ, ἐκεῖνό ἐστιν, ὦ οὗτοι, μνησικακεῖν.

κε'. Ἔτι ἐντεθησαυρισμένου τῷ κατὰ ψυχὴν ταμιείῳ θεόθεν καὶ τοῦ τῆς μνήμης καλοῦ εἰς μυρίαν εὐεργεσίαν, ἣν ἐκθέσθαι βιβλιογραφίας εἴη ἂν ἔργον μακρᾶς, τίς ἂν οὕτω κατεπιχειρήσοι στεγανῆς ταύτης ταμιευτικίας, ὡς ὀργάνῳ λήθης ἐξορύξαι τὸ φύλαγμα, καὶ ἀπώσασθαι μὲν τὸ καλὸν τῆς μνήμης πτερυξαμένης ἄνω που πρὸς Ὄλυμπον, ἀντεισαγαγεῖν δὲ τὴν κίβδηλον λήθην, τὴν τὸ καλὸν πλάσμα τοῦ Θεοῦ ἀπανθρωπίζουσαν;

κς'. Ἐγὼ οὖν μεμνῆμην, Θεὲ σῶτερ, ἀεί· κεκλήμην οὕτω εἰδώς τε καὶ ἐπιστήμων, καὶ διακρίνειν μαθών, καὶ τὸ ὅλον εἰπεῖν, ἄνθρωπος· καὶ μὴ ἐκστραφείην εἰς λήθαργον, μηδὲ μεταπλασθείην εἰς Μαμμάκουθόν τινα, ἢ Μελιτίδην, ἢ τὸν ἕτερον Κόροιβον, ἢ εἰς Πολύωρον· μηδὲ κορυζῶν, ὡς μηδὲν εἰδέναι κρίνειν, ἀλλ' εἰς ἀνδρείκελον μεταπεπλάσθαι, καὶ τὸν λογικὸν ψεύδεσθαι. Δείης δέ μοι πρὸς τῇ μνήμῃ τῶν ἐκ φύσεως καὶ τὸ μὴ κατεργάζεσθαι, μηδὲ εἰς κακοποιὸν ἄμυναν τρίβεσθαι, καὶ οἷον ἀπολεοντοῦσθαι κατὰ τῶν ἐχθρῶν, ἐρεθιζόμενον ἐποῖα καὶ ἀλκαίᾳ τινὶ ταῖς τοῦ θυμουμένου τῆς ψυχῆς; ὑποκινήσεσι, δι' ὧν θυμὸς ῥιπιζόμενος εἰς μέγα κακὸν ἀνάπτεται, καὶ αὐτὸ ἡ μονῆρες κατά τι ὕπουλον, ἢ καὶ ἐπαμφοτερίζον διὰ τὸ ἀντερείδειν φιλονεικότερον· καί με συντηροίης ἐν τῷ μὴ ἐθέλειν ἀνταποδιδόναι, καὶ συνετίζοις φυλάττεσθαι τοὺς κακοὺς καὶ ἐκκλίνειν, ὡς φεύγει τις ἀπὸ ὄφεως, μὴ καὶ ὡς ἔχιδναι ὑφειμέναι παρέρπωσι καὶ λήθωσι πίνοντές με καὶ κτείνοντες.

κζ'. Ἔτι ὁ ἀξιῶν μηδαμῇ μηδαμῶς μεμνῆσθαι, εἴ τις ὅλως πάθοι κακὸν, κἀκεῖνα δοκεῖ προσαξιοῦν. Ἐπικράνθης ἀψινθιζόμενος· οὐκοῦν περιτυχὼν μέλιτι ἐκλαθοῦ, εἰ πικρὸν ἐπὶ σοὶ τὸ ἀψίνθιον. Νενόσηκας, ἀῤῥώστως παθὼν περί τι μέλος, καὶ ἠλγηκας· ἀλλ' εἰς ὑγίειαν ἐπαναχθείς, μηκέτ' ἐν θυμῷ ἔχε, εἰ κακὸν ἡ νόσος. Ἐγὼ δὲ τῷ τοιούτῳ μὲν λόγῳ, καὶ ὅσοι τοιοῦτοι (πολλοὶ δέ εἰσι) προσχοίην οὐκ ἄν· τεχνώσαιμι δὲ, τὸν νοῦν ἀπερείσας εἰς τὰ τοῦ μέλιτος, καὶ τὸ κατὰ μνήμην πικρὸν ἐκχυμίσας ἀντιθέτῳ γλυκάσματι. Οὕτω δὲ καὶ τῇ νόσῳ προσενεχθείς, οὔτε κατ' αὐτῆς λυττήσω σκιαμαχῶν, οὔτε τὸ κατὰ νόσον ἠλγηκὸς μέρος, ἐξ οὗ κακῶς εἶχεν ἡ ψυχὴ, ἐκτέμοιμι, χορδεύσας, ὅ φασιν, ἐμαυτόν· ἀνάμνησιν δέ ποτε σχὼν ἐκείνου τοῦ ἄλγους, ἀντιπαραθήσω τὸ τοῦ ὑγιαίνειν ἡδὺ, καὶ τῷ χαρτῷ πάθει ἐξωθήσω τὸ ἀηδές. Ὁμοίως δὲ πάντως, τῶν κακοποιούντων εἴ που συμβαίη ἐπιμνησθῆναί με, τοῦ καρδιακοῦ θησαυροῦ ἀναλεξάμενος τὰ ἐκ τῆς νίκης καὶ τοῦ περιγενέσθαι καλὰ, τὴν μνήμην μὲν ἐκείνων ἀφορίσω, ψιλήσω δὲ τὰ ὕστερον ἀγαθά· ὧν ἀντισηκούντων καὶ ῥοπὴν καθελκόντων ἀγαθὴν, εἰς Ἅρπυίας ἀνερείψεται τὸ οὐκ ἀγαθὸν ἐκεῖνο μνημόσυνον. Πρὸς τούτοις ἐπανακρίνω τοὺς ἐμοὶ σοφιστικώτερον ἐπικειμένους, καὶ οὔκουν ἀξιώματι περὶ μνησικακίας προτεινομένους, ἀλλὰ τυφλὸν οἷον αἴτημα προϊσχομένους,

A quoque vindictam illa meditatur, machinaturque modum ulciscendi, necnon malum pro malo reddendi, hoc est vere mali meminisse.

25. Item, thesaurizato in animæ promptuario divinitus memoriæ bono in mille beneficia, quorum expositio longum opus esset, quis manus in hanc absconditam provisionem sic injiceret, ut oblivionis instrumento reconditum effoderet thesaurum, ut arceret quidem bonum memoriæ sursum volitantis ad Olympum, introduceret autem ejus loco scoriam oblivionis, quæ pulchrum Dei plasma deformat?

26. Ego vero, Deus salvator, utinam meminerim semper! Vocer ita sciens et noscens, et discernere doctus, et uno verbo, homo! Non convertar in lethargicum, nec transmuter in stultum, aut Melitidem, aut alterum Corœbum, aut Polyorum! nec ita gravedine laborem, ut nihil judicare sciam, sed in hominis figuram transformer, et rationem mentiar! Da vero mihi cum memoria rerum ex natura fluentium, non confici, nec ad malignam conteri vindictam, et quasi leonem fieri contra inimicos, stimulatum velut sævissimis animæ motibus, quibus ira succensa magnum in malum accenditur, et hoc, vel solitarium, per modum alicujus dissimulationis vel inter duos libratum, per æmulum resistendi animum. Conserva me in voluntate non retribuendi malum, et doce me cavere declinareque a malis, ut a facie colubri fugimus, ne sicuti viperæ subs dentes irrepant et latenter nos exsugant et occidant.

27. Deinceps, qui nullatenus nec unquam oportere meminisse statuit, si quis omnino passus sit malum, ista quoque probare videtur: amaricatus es absinthio potatus: ergo recurrens ad mel oblivisce, quod amarum tibi sit absinthium. Ægrotavisti, aliquo membro dolorem passus, et doluisti: ad sanitatem reversus, non jam habeas in animo, quod malum sit morbus. Ego vero hujusmodi rationi et omnes similes (multi autem sunt) non adhærerem; arte vero conarer mentem ad dulcedinem mellis applicare, necnon amaritudinem e memoria, opposita dulcedine, exprimere. Sic autem in morbum lapsus, nec adversus illum cum umbra pugnans furerem, nec membrum morbidum, ex quo patitur anima, amputarem, minutal, ut dicitur, ex me faciens: sed memoriam hujus doloris aliquando retinens, ipsi sanitatis jucunditatem opponam, et amœna sensatione repellam molestam. Prorsus autem similiter, malignantium si forte me meminisse contingit, et e cordis thesauro sumens bona quæ de victoria triumphoque sunt, memoriam quidem illorum arcebo, diligam autem posteriora bona, quibus compensantibus et bonam subducentibus lancem, ad Harpyias sustolletur hæc non bona recordatio. Super his interrogabo mihi sophistice instantes, et non placito de mali memoria propositionem ponentes, sed cæcum videlicet

quæsitum producentes, quod a docto vixdum proponeretur.

28. Qui me instituit et docuit sacer et magnus ille vir, hinc quidem ictus inferebat rationales et sine quibus recta via non incederet qui in institutionis semitas introducitur; illinc autem forte (verum dicendum est) ira suggerente, extra regulam (licebat enim) castigationes modulabatur. Quid igitur non meminero maxime illius disciplinæ, beatumque prædicabo virum, meminero vero forte quoque hujus severioris, et, ut mihi tum videbatur, inveteratæ parumque convenientis, et hanc ipsam ingratam habebo memoriam? Nondum hoc mali memoria est. Esset autem mali memoria, si non cum urbanitate modulate meminissem, exasperatus autem et ultor, illi insultarem.

29. Meminimus etiam (non ego solus, sed totum auditorium) quanta mala nobis omnium supremus et primus magister Deus ex Latina terra recenter in vexationem inferri permisit, et non obliviscemur. Quid igitur, vexationis memores, succensebimus Deo? dicat aliquis, si ipsi placet. Et mihi sunt inter manus sermonis arma, gladiusque biceps ipsi addetur usque ad insignem victoriam. Vertendum est autem aliter idem cogitatum: certe Deus malos non obliviscetur esse malos, et tamen non a boni inimicis mali memor diffamatur. Talibus ora claudantur. Si vero quoque sciens, memoriæ loco, quæ isti peccant in ipsum, afflictionem adducat, quis adeo plenus audacia esset, ut exinde mali memoria ipsi tribueretur? Observaretur quoque tale os, sicut os quod vituperat judicantes, cum ipsi quidem civilia discernentes eos qui semper mali sunt et suam memoriam fori judicialis animabus perpetuo insinuant, æqui memoria persequantur; qui vero amentes sunt mali memores esse juris interpretes censentur: divinam vere rem et nomen adulterantes, vel falso mutantes, vel subripientes: quod non diligerent, neque divini viri, neque Deus ipse qui, sæpe fraudatus, non amare rectissime censetur.

30. Agedum, etiam juxta quid fictum oratoriæ lege argumentatus, pudore sic afficiam eos qui mihi quidem volunt esse sapientes ad malitiam, me vero putant in tantam nominum permutationem insanire stupidumque esse, ac etiam forte gratias ipsis habere, quasi me sapientem ita reddant, quod sane non acute videntibus insciis facio. Mihi enim a Deo multa venit gratia, verissimeque gaudeo, quod pugnis lacessitus non minus integer fiam, et lucta exercitus, non opprimar; et recta via pergens et tentatus, sive scandalorum depositione, sive cum aliquis, juxta proverbium, cornu petit, non laedar, et lapidibus in scandalum projectis, non deturber; et fovearum occurrens aperturæ, sive late profundeque hiantium, sive absconditarum, ut lata patere videatur quæ lubrica est via, in manibus ejus supervolitem. Ipse namque tol-

ὁ δυσχερὲς ἂν εἴη δεδόσθαι πρός γε τοῦ ἐπιστήμονος.

κη'. Ὁ παιδεύσας με καὶ διδάξας ἱερὸς καὶ μέγας ἐκεῖνος ἀνήρ, τὰ μὲν ἐπετίθει πληγὰς ἐλλόγους, καὶ ὧν ἄνευ οὐκ ἂν εἴη τῆς ὁρθῆς γενέσθαι τὸν εἰς ἀτραπὸν παιδεύσεως ἐναγόμενον· τὰ δέ που (εἰρήσθω γὰρ τἀληθὲς) καὶ θυμοῦ ὑποβάλλοντος, ἔξω κανόνος (ἐξῆν γὰρ) θλίβων ἐρρύθμιζε. Τί οὖν μνήσομαι μάλιστα μὲν τῆς ἄλλης ἀγωγῆς, καὶ μακαριῶ τὸν ἄνδρα, μνήσομαι δέ που καὶ τῆς δριμυτέρας, καὶ, ὡς ἐμοὶ ἐδόκει τότε, παρεξηυλημένης καὶ οὐκ ἐμμούσου, καὶ μεθοδεύσω καὶ αὐτὴν εἰς μνήμην εὐχάριστον; Καὶ οὔπω τοῦτο μνησίκακον. Ἦν δ' ἂν μνησικακίας τῆς ὄντως, εἰ μὴ σὺν ἀστειότητι ἐμμελῶς ἐμεμνήμην, ἀλλὰ δριμυττόμενος ἐνηλλόμην ἐκείνῳ, φανταστικῶς ἀμυνόμενος.

κθ'. Μεμνήμεθα (καὶ οὐ μόνος ἐγὼ, ἀλλὰ τὸ σύμπαν ἀκροατήριον), οἷα κακὰ ἡμῖν ὁ πάντων ὕπατος; καὶ πρῶτος διδάσκαλος Θεὸς ἀφῆκεν ἐναγχός που ἐκ τῆς Λατίνης γῆς ἐπεισφρῆσαι εἰς κάκωσιν, καὶ οὐδ' ἂν ἐκλαθοίμεθα. Τί δὴ οὖν μεμνημένοι κεκακῶσθαι, μνησικακοῦμεν Θεῷ; λεγέτω τις, εἰ βουλομένῳ εἴη αὐτῷ. Κἀμοὶ μετὰ χεῖρας τὰ τοῦ λόγου ὅπλα, καὶ δίπαλτος ἂν ἐπιτεθείη αὐτῷ ἕως καὶ εἰς νίκην λαμπράν. Στρέψαι δὲ καὶ ἄλλως τὸ αὐτὸ νόημα· οὐκ ἂν ἐπιλήσεται ὁ Θεὸς τοῦ κακοὺς εἶναι τοὺς κακούς, καὶ ὅμως οὐκ ἂν πρὸς τῶν μισοκάλων κακηγορηθείη μνησίκακος. Ἐγκλειαθείεν τοῖς τοιούτοις τὰ στόματα. Εἰ δὲ καὶ εἰδώς, λόγῳ δῆθεν μνήμης, ἅπερ ἐκεῖνοι ἐξαμαρτάνουσιν εἰς αὐτὸν, ἐπάξεται κάκωσιν, τίς οὕτως ἀνάπλεως τόλμης, ὡς ἐντεῦθεν τὸ μνησίκακον αὐτῷ ἐπιλέξαι; Φραγείη καὶ τὸ τοιοῦτον στόμα, καθὰ καὶ τὸ μεμφόμενον τοὺς δικάζοντας, εἴπερ αὐτοὶ μὲν τὰ πολιτικὰ γνωματεύοντες, τοὺς ἀεὶ κακοὺς καὶ μνήμην ἑαυτῶν ἐνδελεχῆ ἐνοικίζοντας ταῖς τοῦ δικαστηρίου ψυχαῖς μετέρχονται μνήμῃ τοῦ δέοντος, οἱ δὲ παρανοοῦντες μνησικάκους εἶναι τοὺς τῆς δίκης ὑποφήτας ὁρίζονται· θεῖον ὄντως χρῆμα καὶ ὄνομα παραχαράττοντες, ἢ παραποιοῦντες, ἢ ἀποκλέπτοντες· ὅπερ οὐκ ἂν φιλοῖεν οὔτε θεῖοι ἄνδρες, οὔτε Θεὸς αὐτὸς, ὃς μὴ φιλεῖν πολλάκις κλεπτόμενος ὀρθότατα πεφιλοσόφηται.

λ'. Φέρε δὴ καὶ κατά τι πλαστὸν ἐπιχειρήσας νόμῳ ῥητορείας, ἐντράψω καὶ οὕτω τοὺς ἐμοὶ μὲν ἐθέλοντας εἶναι σοφοὺς τὰ ἐς κακίαν, ἐμὲ δὲ μωραίνειν ἀξιοῦντας εἰς τοσαύτην ὀνομάτων ἐπάλλαξιν, καὶ ἀναισθητεῖν, καί που καὶ εὐχαριστεῖν αὐτοῖς, οἷα οὕτω σοφίζουσί με, ὃ δὴ καὶ λανθάνων τοὺς μὴ ὀξὺ βλέποντας ποιῶ. Χάρις γάρ μοι ἐκ Θεοῦ πολλὴ, καὶ χαίρω πρὸς ἀλήθειαν, ὅτι καταπυκτευόμενος οὐκ ἀποθραύομαι τῆς ἀρτιότητος· καὶ παλαιόμενος οὐ καταβάλλομαι· καὶ ὀρθὴν ἐλαύνων καὶ σκελιζόμενος, ἢ καταθέσει σκανδάλων, ἢ καὶ ὅτε τις κυρηβάσει, κατὰ τὸν οὕτως εἰπόντα, οὐ κατακάμπτομαι· καὶ λίθων δὲ παραῤῥιπτομένων εἰς πρόσκομμα, οὐ καταῤῥιπτοῦμαι· καὶ ἀνορύξει δὲ βόθρων περιτυγχάνων, τῶν μὲν ὑπηχασκόντων καὶ πλατὺ καὶ βαθὺ, τῶν δὲ καὶ ἐπικαλυπτομένων, ὡς δοκεῖν εὐθεῖαν εἶναι τὴν σφαλερὰν, ὑπερπέτο-

μαι ἐπὶ χειρῶν αὐτοῦ. Ἐκεῖνος γὰρ αἴρων, καὶ τῷ αὐτοῦ ἀγγέλῳ, τῷ μεγάλῳ καὶ κρατίστῳ ἡμῶν βασιλεῖ, περὶ ἐμοῦ ἐντελλόμενος, διαφυλάσσει με ἐν ἁπάσαις ὁδοῖς αὐτοῦ. Εἰ δὲ τοῖς ἀνεῳγόσιν, ὡς πέφρασται, λάκκοις ἢ λέοντες ὑφεδρεύουσιν, ἢ σκόλοπες ὀξίες ἐμπεπήγασιν, ἢ εἴ τι τοιοῦτον ὀλέθριον ἄλλο — ἀλλ' ἐκεῖνος κἀνταῦθα τοῖς ἐχθροῖς τὸ ὕπουλον κακὸν περιτρέπει, κηδόμενος πάντως, εἴτ' οὖν φειδόμενος τῆς ἡμῶν ἀσθενείας, μὴ καὶ προσκόψαντες ἢ ἀπολώμεθα, ἢ παρενεχθῶμεν εἰς τὸ βλάσφημον, καὶ μηδὲ οἱ ἐπιχαίροντες ἡμῖν, γέλωτι κατὰ τὸν εἰπόντα ἐκθάνωσι, τέλεον ἐγκαυχησάμενοι. Καὶ οὕτω μὲν ἐγὼ χάριτας ὁμολογῶ, τὰς μὲν ὅλας τῷ βοηθῷ Θεῷ. Εἰ δέ τι χάριτος διαβαίνειν ἐθέλει καὶ εἰς τοὺς ἐμοὶ ἐπέχοντας, οὐκ ἂν οἶμαι ῥᾳδίως πιστεύειν ἔχῃ τις, εἰδὼς διακρίνειν, ὅ τι ποτέ ἐστι τὸ εὐχάριστον, καὶ ὡς οὐκ ἂν δύναιτο εὐχαριστεῖν ὁ βλαπτόμενος. Ἀγαπητὸν γὰρ καὶ τὸ στέγειν ἀνοιμωκτὶ καὶ σιγᾷν· τὸ δὲ καὶ ὑπερεύχεσθαι, θεῖον μὲν καὶ ἀνυστὸν ὀτιμάλα Χριστιανοῖς ἀγαθοῖς, οὔπω δὲ καὶ πάντως εὐχάριστον. Καὶ τοῦτο μὲν τοιοῦτον.

λα'. Ἡ δέ μοι ἐπηγγελμένη τοῦ κατὰ ῥητορείαν πλαστοῦ ἔφοδος τοιαύτη τίς ἐστιν. Ὑποτεθείσθω δίοδος κρύπτουσα δεινοὺς ὁδοιδόκους; λῃστὰς ἀνθρωπίνου φύλου, καί τις ἐκεῖθεν ὁδοιπορῶν ἀπέριττος ἄνθρωπος περιπεσέτω τοῖς λοχίταις, καὶ παθέτω δεινὰ ὅσα, ἐν οἷς καὶ τὸ ἀποθραυσθῆναι τῶν καιριωτέρων ἐν μέλεσιν. Εἰ δή τῶν τις ἐκείνων οὐκ ἀγαθοεργῶν ἀνακτησάμενος οἰκτῳ τὸν κατεαγότα, παρερριμμένον ἀναλάβηται, καὶ δεξιώσεται ἄλλοις τέ τισι καὶ οἷς βελτιούμενον τὸ κατακλασθὲν εἰς ἀρτιότητα τὸν βεβλαμμένον ἐπανάγει (κωλύει γὰρ οὐδέν, καὶ εἰδέναι τὸν λῃστὴν ἐκεῖνον φάρμακα, οἷς ἔστιν ἀκεῖσθαι τὰ τοιαῦτα), καὶ ὁ θεραπευόμενος λόγους εὐχαρίστους προάγει, καὶ τούτοις τέως ἀμείβεται τὸν πατάξαντα, τέλος δὲ καὶ ἐπανακληθείς, εἰς ὅπερ ἦν, θεοκλυτεῖ ἐπευχόμενος, καὶ ὑπισχνεῖται τὰ λῴονα, καὶ πρὸ ποδῶν ῥίπτων ἑαυτὸν τοῦ ἀκεσαμένου ἐς γνήσιον, ἀμφιπλέκεται τοὺς πόδας, καί γε καταφιλεῖ· ὁ τοίνυν τοιοῦτος ἀμνηστῆσαι ἂν ἔχοι καὶ ὧν πάθοι ποτὲ κακῶν, καὶ ἀπαλείψαι μὲν αὐτὰ τῆς κατὰ ψυχὴν δέλτου, ἀνάγραπτον δὲ φέρειν μόνον τὸ ἀκεσώδυνον, οὐκ οἶμαί γε, καὶ οὐκ αὐτὸς ἐγὼ, ἀλλ' οὐδὲ ἄλλος, ὅστις ποτ' οὖν. Λέγω δὲ, ὡς πρῶτα μὲν καθ' ἑκάστην θεραπείαν τοῦ σώματος, εἶτα καὶ ὅτε που ἐντύχοι τῷ θεραπεύσαντι, καὶ κατὰ λοιπὴν δὲ ἀνάμνησιν προτρέχοι ἂν αὐτοῦ ἡ μνήμη τῆς κακοποιίας ἐκείνης, ἧς ἀνακεκόμισται. Μάλιστα μὲν οὖν κατὰ τὰ συνανεζυμωμένα ἢ συντετηκότα τῶν σωμάτων, καὶ οὕτω δι' ἀλλήλων ἥκοντα, συμφύροιτο ἂν καὶ τῇ τῆς θεραπείας μνήμῃ ἡ τῆς κακοποιίας. Καὶ ἀποκατασταῖς ὁ ἄνθρωπος εἰς τὸ τῆς φύσεως εὖ, οὐδ' οὕτως ἂν ἔχοι λαθέσθαι, ὧν πάθοι. Καί που τῷ λῃστῇ Ἀσκληπιάδῃ χρόνῳ ποτὲ περιτυχὼν ἀσπάσεται μὲν ἡδέως, περιπτύξεται, κατακλύσει ῥεύμασιν ἐπαίνων, ποτνιάσεται· δὲ καὶ εἰς ξενίαν αὐτῷ ἀφικέσθαι. Καὶ ἐκεῖνος ἀφίξεται, καὶ χαρίτων συναπολαύσει καὶ φιλοτη-

A lens, et angelo suo, magno potentissimoque nostro regi de me mandans, custodit me in omnibus viis suis. Si vero patentibus, ut dictum est, lacubus vel leones insidiantur, vel præacuti pali defigantur, vel aliud quid hujusmodi lethiferum sit, tum ille quoque hoc inimicis dissimulatum malum invertit, omnino curans, sive parcendo nostram debilitatem servans, ne scandalum passi vel dispereamus, vel in blasphemiam inducamur, neque nobis irridentes, risu juxta proverbium, moriantur, in finem gloriantes. Et ita quidem ego gratias profiteor, et has quidem totas auxiliatori Deo. Si vero quid gratiæ transire velit etiam ad eos qui me persequuntur, nemo, puto, faciliter credere poterit, discernere sciens, quid sit gratitudo, quomodoque non pos-
B sit gratias agere læsus. Juxta charitatem enim est, in secreto gemere silereque, pro lædentibus autem orare, divinum quidem est et possibile, præsertim bonis Christianis, nondum vero quoque omnino gratias agere. Et hoc quidem est tale.

31. Illa vero quam promisi secundum rhetoricam fictionis via talis est. Supponatur transitus diros humani generis prædatores celans, et aliquis iter illac faciens incautus homo incidat in insidiatores, crudeliaque patiatur, quibus membra lethaliter saucientur. Si quis porro istorum non beneficorum, misericordia vulneratum suscipiens, relevat
C **dejectum, et quibusdam aliis humaniter excipit, quibus, reparato quod ruptum erat, ad integritatem læsum reducat (nihil enim obstat, quin prædator ille remedia noscat, quibus talia vulnera curentur); et curatus gratias agit, quibus etiam percussorem vicissitudine donet, finaliterque restitutus in id quod prius erat, supplex Deum precatur; optima pollicetur, et ante pedes medici sincere se projiciens, ejus amplectitur pedes et osculatur: talis igitur oblivisci debebit eorum quæ passus est malorum, et illa quidem ex animæ tabula delere, scriptum autem solum gerere lenimentum, non puto, et non ego solus, sed et alius quicunque sit. Dico vero quod primum quidem ad unamquamque corporis curationem, deinde quoque**
D **cum forte illi qui sanavit obvius fiet, juxta vero cæteram recordationem præoccupabit eum illius memoria morbi, e quo revocatus est. Præsertim autem quidem si membra simul fermentescerent et liquefierent, et ita febri penetrarentur, curationis memoriæ memoria maleficii misceretur. Sed in bonum naturæ statum homo restitutus, ne sic quidem poterit eorum quæ passus est oblivisci. Et forte prædatori tandem occurrens Æsculapio, cum libenter quidem amice salutabit, amplecteturque, laudum fluentis exundans, sed et rogabit, ut in hospitium ad se veniat. Et ille veniet, et eum gratiis etiam prospera salute fruetur. Jam vero hospitium vicissim dabit et accipiet. Si vero quis interea benevolum hospitem, qui ægrotus fuerat et**

rursum ad sanitatem revocatus, interrogaret, quis et unde venit ipsi talis hospes, non ita dirus evaderet ipse sophista, quin illius mali memoriam iis quæ diceret, intermisceret. Diceret autem sane : « Alienus quidem odiosus mihi erat hospes iste, cum descendit, et inferni portitorem, ut deorsum me transduceret, invitavit. Jamque pedum altero procedens ego morbo gravis in scapham ascenderam. Ultimo tamen mitis erga me factus, onere sublevato, portitoremque Charonem deprecatus patrocinio terræ solisque, quibus ante tempus me subducere parabat, in id quod nunc sum me reduxit, et ideo bonum hunc hominem benevole habeo. » Numquid hæc dicens hospes ille sicque dispositus (supponitur autem ita esse), simultatum memor erit?

A σίας λαμπρᾶς. Ἤδη δὲ καὶ ξένια τὰ μὲν δώσει, τὰ δ' ἀντιλήψεται. Εἰ δὲ καί τις ἐν τούτοις τὸν φιλόφρονα ξεινοδόκον, τὸν ἦν ὅτε παραλυθέντα καὶ αὖθις συνδεθέντα εἰς ὑγιὲς, ἔροιτο, τίς αὐτῷ καὶ πόθεν ἥκει ὁ τοιοῦτος ξένος, οὐκ ἂν οὕτω δεινὸς αὐτὸς ἀποδαίη σοφιστὴς, ὡς μὴ παραπλῆξαι καὶ μνήμην ἐκείνου τοῦ κακοῦ, οἷς ἐρεῖ. Ἐρεῖ δὲ πάντως, ὅτι « Ἄλλος μὲν ἔχθιστος ἐμοὶ ὁ ξένος οὗτος ἦν ὅτε ἀπεξέδη, καὶ τὸν ἐν ᾅδου πορθμέα ναυστολῆσαί με κάτω προύκαλέσατο· καὶ ἤδη καὶ θατέρῳ τοῖν σκελοῖν ἐπιβὰς ἐγὼ βαρὺς νόσῳ, τὸ πορθμεῖον ἐσκάμβευσα. Ὕστερον μέν τοι γαληνιάσας ἐπ' ἐμοὶ, καὶ τοῦ βάρους ἀνακουφίσας, καὶ τὸν πορθμέα Χάρωνα παραιτησάμενος εἰδοῖ τῆς τε γῆς τοῦ τε ἡλίου, ὧν ἔμελλεν ἀπαγαγεῖν με πρὸ ὥρας, περιήγαγεν, εἰς ὅπερ εἰμὶ ἄρτι, καὶ τοῦδε χάριν φιλοφρονοῦμαι τὸν καὶ οὕτω διακείμενος (ὑπόκειται δὲ ἀληθῶς οὕτω καλὸν τοῦτον ἄνθρωπον. Ταῦτ' εἰπὼν ὁ ξενοδόχος, διατεθεῖσθαι), Ἆρα μνησικακοίη ἄν;

32. Ecce luctamen in ratiociniis : qui volet, adversum me procedat. Habebit autem palæstra lenem substratum pulverem, ut, si forte dejiciatur, resultet sanus, et surgens abstergat eum, et stet, non casu læsus. Dico enim (quis contradicet?), gratias sincere agentem injuriarum memorem dici non posse. Non igitur mali memoria simpliciter est mali recordatio, sed recordatio vindictæ studiosa, sive præsentis, sive promptæ, quas etiam ambas a nobis Deus avertat, non autem solum, sed et ab omni bono Christiano! Si quis autem opponit, quod : Hic etiam qui videbantur maligni fuisse prædones, bona faciunt, tibi nunc Salve, rabbi, clamantes, adorantes vel, sicut aliquis diceret, cancri humiliter prostrati, poscentes misericordiam, veniam supplicantes; in primis quidem a nobis discat, quod hoc sæpe cum juramento profes-i ejusmodi sapientes, nos faciles repertos et flexu dociles, paulo post pejoribus nos circumvenerunt sophismatibus, et dixerunt quidem : Ecce, postquam læsimus, sanavimus et multa contra calumniatorem dixiimus; non multo post autem incautis irruentes plura gravioraque infixerunt vulnera, nec sanabilia; depulsumque latronem ac prædatorem maledicum per modicam quidem aperturam vix exire permiserunt, ad novum autem relitum per magnam januam aperte rursum introduxerunt.

B λβ'. Ἰδοὺ, πάλη ἐν λόγοις· καὶ ὁ βουλόμενος ἀντεπεξίτω μοι. Ἔχοι δὲ ἡ παλαίστρα κόνιν ἀπαλὴν ὑπεστρωμένην, εἴ πως καταπεσὼν ἀναπεδήσει σῶος, καὶ ἀναστὰς αὐτὴν ἀποψήσεται, καὶ ἑστήξεται, μὴ καταθρυφθεὶς τῷ πτώματι. Φημὶ γὰρ (οὐκ ἂν ἀντιλεγοίμην), ὡς ὁ εὐχαριστῶν πρὸς ἀλήθειαν οὐκ ἂν μνησικακεῖν λέγοιτο. Οὐ τοίνυν ἁπλῶς μνησικακία οὐ κακοῦ τινος μνήμη, ἀλλὰ ἡ πρὸς ἐντρέχειαν ἀμυντικὴν, ἢ τὴν αὐτίκα, ἢ τὴν εἰσέπειτα, ἅσπερ καὶ ἄμφω ἡμῶν ἀπαγάγοι Θεὸς, καὶ οὐ μόνον, ἀλλὰ καὶ παντὸς ὀρθοῦ Χριστιανοῦ. Εἰ δέ τις ἀντιθήσει, ὡς Ἰδοὺ κἀνταῦθα οἱ δοκοῦντες λῃστεῦσαι πρὸς κάκωσιν ἀγαθὰ ποιοῦσιν, ἐπὶ σοὶ ἄρτι τὸ Χαῖρε, Ῥαββὶ, προσφωνοῦντες, ὑποκυρτοῦντες, ἤ, καθά τις ἔφη, καριδοῦντες ἑαυτοὺς προσκυνητικῶς, αἰτούμενοι τὸ συμπαθὲς, προκαλούμενοι συγχώρησιν· ἐν πρώτοις μὲν ἴστω μαθὼν ἐξ ἡμῶν, ὡς τοῦτο πολλάκις ἐνορκοι μεθοδεύσαντες οἱ τὰ τοιαῦτα σοφοὶ, καὶ ἡμᾶς εὐκόλους ἐξευρηκότες καὶ εὐστρέπτους εἰς κάμψιν, μετ' οὐ πολὺ δεινοτέροις ἡμᾶς περιῆλθον σοφίσμασι· καὶ εἶπον μὲν, ὡς ἰδοὺ οἱ τρώσαντες ἐξιώμεθα, καὶ μακρὰ τοῦ διαβόλου καταλέγομεν· μετ' ὀλίγον δὲ ἀφυλάκτοις οὖσιν ἐπεισπεσόντες, πλείω καὶ βαρύτερα ἐνέτηξαν τραύματα, καὶ οὐδὲ θεραπεύσιμα· καὶ τὸν ἐξωθούμενον κλέπτην καὶ λῃστὴν διάβολον διὰ μικρᾶς μέν τινος ὀπῆς ἀφῆκαν μόγις ἐξελθεῖν, τῇ δὲ ἀνακάμψει διὰ μεγάλης θύρας παῤῥησιαστικῶς ἀντεισήγαγον.

33. Deinde mente reputent qui contra nos quidem memores sunt mendaces, a nobis autem memoriæ bonum, pulchrum naturæ donum, segregant, quod ego sæpe adversus callidas adorationes, veluti quasdam cornupetarum aggressiones, incautorum ventres effringentes, non omnino stolide declamavi, falsasque genuflexiones demonstravi tanquam luctatorum hominum artes, conantium utriusque cruris amplexu inhærere, et illum cui parantur insidiæ prosternere. Illis autem qui semper hujusmodi sunt, compati et ignoscere suspicor quid apud ipsos significare velit. Etenim compati et veniam dare non esse posset ad id aliquid cum aliquo

C

λγ'. Ἔπειτα ἐνθυμείσθωσαν οἱ καθ' ἡμῶν μὲν ψεῦσται μνήμονες, ἡμῶν δὲ ἀφορίζοντες τὸ ἀγαθὸν μνημονικὸν, τὸ καλὸν δῶρον τῆς φύσεως, ὅτι πολλάκις ἐγὼ κατεῤῥητόρευσα οὐ πάνυ τι ἀφυῶς τῶν στρεβλῶν προσκυνημάτων, ὡς οἷα καί τινων κυριγμάτων ἀναῤῥηγνύντων τὰς τῶν ἀφελῶν γαστέρας, καὶ τὰς ψευδεῖς γονυπετήσεις ἐθεώρησα ὡσεὶ καὶ τέχνας παλαιστρικῶν ἀνδρῶν, τεχνωμένων κνήμαιν ἀμφοῖν περιπλέγδην ἐμφύεσθαι, καὶ κεταῤῥιπτεῖν τὸν ἐπιβουλευόμενον. Τὸ δέ γε συμπαθεῖν τοῖς εἰσαεὶ τοιούτοις καὶ συγχωρεῖν δι' ὑποψίας ἄγω, τί δήποτε παρ' αὐτοῖς νοεῖν βούλεται. Συμπαθεῖν μὲν γὰρ καὶ συγχωρεῖν οὐκ ἂν τὸ σύν τινι παθεῖν καὶ σύν τινι

D

χωρεῖν εἰς τόδε τι. Ἐγὼ δὲ οὐκ ἂν οὕτω παθεῖν, A
οὐδ' ἂν οὕτω χωρεῖν ἐθέλοιμι, ὅτι μηδ' ἄλλος τῶν
φρονούντων εἰς ἀγαθόν. Τίς γὰρ ἂν ἐχέφρων ἕλοιτο
παθεῖν σύν τινι τὸ τῆς γνώμης ἄστατον, ἢ χωρεῖν,
ταὐτὸν δ' εἰπεῖν ὁρμᾷν σύν τινι, πρὸς ἅπερ ὁ συνε-
τὸς ἀπεύχεται; Οὕτω γοῦν ὑπόπτως ἔχων πρὸς τὸ
ἁπλῶς καὶ συμπαθεῖν καὶ συγχωρεῖν, διαιρῶν τὴν
καθ' ὁμωνυμίαν σύγχυσιν, καὶ διευκρινῶν ἐν ὀρθό-
τητι, γνωματεύω κατ' ἐμὴν ἐπίκρισιν, ὡς θελήματι
μὲν ἀγαθῷ συγχωρεῖν, καὶ κατὰ πάθος εὖ ἔχον συμ-
παθεῖν καὶ στέργω καὶ εὔχομαι· καὶ προκαλούμε-
νος χωρῆσαι καὶ παθεῖν ἑτοίμην ἂν, καὶ πάσχοιμι,
ἐς ὅσον ἐξαρκῶ, καὶ οὐκ ἂν ἐλεγχθείην, μὴ οὕτω καὶ
συγχωρῶν καὶ συμπαθῶν. Καί μοι μάρτυρες τούτων
οἱ τῆς πόλεως ταύτης ἀγαθοὶ ἄνδρες, οἷς πλειστά-
κις προκαλουμένοις εἰς ἀγαθὰς ὁδοὺς καὶ εἰς χρηστὰ B
πάθη καὶ συνεχώρησα καὶ συνέπαθον· τὰ πολλὰ δὲ
καὶ οὐ πρὸς δύναμιν, ἀλλ', ἀποστολικῶς εἰπεῖν, εἰς
ὑπερβολήν. Καὶ οὕτω μὲν συγχωρῶ καὶ συμπαθῶ·
διαφωτίσαι δὲ τὰς λέξεις ταύτας εἰς τὸ καίριον,
συνεξορμῶ καὶ συμπάσχω τοῖς χωροῦσι δηλαδὴ καὶ
πάσχουσιν, ὅσα χρεών· ἑτέρως δὲ συγχωρεῖν καὶ
συμπαθεῖν, εἰς ἅπερ ἐθέλουσιν οἱ πολλοί, ἀπεύχο-
μαι. Μὴ γάρ μοι δυσπραγήσειε, παθεῖν σὺν ἐκεί-
νοις καὶ σὺν ἐκείνοις χωρεῖν, εἰς ὅσα μὴ πρέπού-
σιν· ἀλλὰ τἀναντία γένοιτό μοι, πάσχειν τε καλῶς,
καὶ χωρεῖν τὴν κατὰ Θεὸν ὁδὸν, καὶ μὴ συμφέρε-
σθαι φαύλοις, καὶ συμπάσχειν, ἅπερ αὐτοί· ἐν οἷς
καὶ τὸ ἀναιτίως ἐπικεῖσθαι, οἷος οὐ θέμις, καὶ με-
λετᾷν δεσμεῖν, εἴ τίς που δίκαιος, διὰ τὸ δύσχρηστος
εἶναι τοῖς μὴ καλῶς διαχειριζομένοις τἀν πρακτέα. C

λδ'. Φέρε εἴπατε πρὸς αὐτοῦ τοῦ Θεοῦ, εἰ μὴ ὁ
φιλάγαθος ὁ αὐτόχρημα Θεῖος νόμος ὁ αὐτοκράτωρ
ἐπεκάμφθη φιλανθρώπως ἡμῖν, καὶ ταῦτα μηδέν τι
ἀπολογησαμένοις, μὴ καὶ τὴν θεόθεν ὀξεῖαν ἐπικου-
ρίαν ἀμβλυνοῦμεν, οἷς ὑπὲρ ἡμῶν αὐτῶν λαλεῖν
ἔσχομεν (γογγύσαι γάρ τι παρ' αὐτῷ κατὰ τῶν ὑπε-
ναντίων, καὶ εἰς μιασμὸν ἡμῖν ἐλογίσθη στόματος),
ποῦ ποτ' ἂν ἡμεν ἄρτι; Ποῖ δὲ τύχης ἑστηκότας
ἡμᾶς ἔβλεπον ἂν οἱ ἄνθρωποι; Οὐ τοίνυν, οἷς ὁ ἔν-
θεος βασιλεὺς, Θεοῦ λαλήσαντος, εἰς τὴν αὐτοῦ καρ-
δίαν ἡμῖν ἐπένευσε, ταῦθ' ἡμᾶς ἀθωοῦσιν. Ἀλλ'
ἐκεῖνος μὲν καὶ δι' ἡμᾶς ὑμνητὸς, καὶ εὐλογητὸν
καὶ Θεῷ καὶ ἀνθρώποις τὸ αὐτοῦ ὄνομα. Ἐγὼ δὲ
ἀγαπῶν ἀγάπην, τὴν ἀναγκαίαν, τὴν πάνδημον, οὔτε D
κατὰ κακίαν ὑμῖν ὅλως προσενέξομαι, οὐδὲ μὴν
ἀφελῶς πάντῃ κατὰ πίστιν ἀφύλακτον, οὐδέν τι λό-
χου ὑφορωμένην, ἀλλὰ μετὰ συνέσεως ἐμβριθεστέ-
ρας ὡς οἷόν τε, καὶ οἷα τοῖς πολυπαθέσιν ἡμῖν ἐπι-
πρέπει πρὸς τοὺς ἄγαν ἐστυμμένους καὶ αὐστηροὺς
καὶ ἐντρεπτικοὺς τῆς ἡμῶν, ὅτε καλέσει καιρὸς,
ἀφελείας τε καὶ ἁπλότητος· ἣν τοῖς ἀληθέσι φίλοις (οὐ
γὰρ δήπου καὶ τοῖς τυχοῦσιν) ἐμφανίζομεν προάγοντες
εὐηθέστερον, ἀνακεκαλυμμένῳ προσώπῳ αὐτοῖς ἐμ-
βλέποντες, οὐ νεφελοῦντες φῶς ὄψεως, οὐ τοξοποιοῦν-
τες ὀφρῦς, οὐ σεμνοπροσωποῦντες, ἃ δὴ τοῖ, περιέρ-
γοις πολίταις φαντάζομεν. Εἰ δὲ καὶ δέοι φίλοις λαλῆ-
σαι, οὐκ ἀποτορεύοντες λέξεις, οὐδὲ σμιλεύοντες
ἐννοίας οὐδὲ βυσσοδομεύοντες τὰ εἰς φράσιν, ἀλλ'

pati et ei in aliquo cedere. Ego vero non ita pati
nec ita cedere vellem, sed nec alius bene cordatus
qualiscunque. Quis enim prudens inconstantiam
sententiæ cum aliquo pati consentiret, vel cedere,
seu quod idem est, ferri cum aliquo ad ea quæ ex-
pers detestatur? Sic igitur suspicax ad istud simpliciter compatiendum et concedendum, vocum similium discernens confusionem et recte dijudicans, statuo juxta meum judicium quod voluntati quidem bonæ concedere, juxtaque bonam passionem compati naturali propensione complector et desidero, rogatusque cedere ac pati sequerer et paterer quantum possem, nec reprehenderer veluti sic non concedens et compatiens. Hujus autem rei mihi testes sunt hujus urbis boni viri, quibus sæpe ad bonas vias et honestas actiones exhortantibus et concessi et compassus sum, ac plerumque non secundum facultatem, sed, juxta dictum apostolicum, in excessum. Et ita quidem concedo compatiorque: ut autem has voces opportunius dilucidem, concurro compatiorque currentibus ubique patientibusque sicut oportet; aliter vero concedere ac compati, ad ea quæ plerique volunt, abnuo. Non enim mihi accidat, ut patiar cum istis, et cum istis cedam, ad multa quæ non conveniunt! Mihi autem e contra eveniat et bene pati, et cedere juxta Dei viam, et non consentire malis, nec compati cum illis iniquis; inter quæ numeratur absque causa incumbere quibus non licet, meditarique vinculis nectere, si quis forte sit justus, quia male dirigentibus actus importunus est.

34. Agite, in ipsius Dei nomine dicite, nisi virtutis amans, ipsaque divina lex, Dominator, ad nos humaniter descendisset, et hoc, quin ullo modo fuissemus justificati, ne promptum a Deo minueremus auxilium, per ea quæ pro nobis ipsis loqui poteramus (murmurare namque quidquam apud ipsum in adversarios, in oris inquinamentum nobis reputatum est), ubinam essemus hodie? In quo fortunæ statu nunc nos viderent homines? Non enim quod numine afflatus imperator, Deo ad cor ipsius loquto nos benigne respexit, hoc nos justificat. Attamen ille quidem propter nos exaltandus est, et ipsius nomen Deo hominibusque benedicendum. Ego vero diligens charitatem, necessariam, communem, nec per malitiam vobis prorsus inhærebo, nec simpliciter ubique per fidem incautam nullasque suspicantem insidias, sed cum graviore quadam prudentia, qualis multa passo mihi convenit erga nimis acerbos et austeros avocatoresque nostræ simplicitatis ingenuitatisque, secundum opportunitatem habitæ quam cum veris amicis (non cum quibuscunque) manifestamus simpliciter procedentes, eos revelata facie contuentes, non vultus lumen obnubilantes, non supercilium arcuantes, ut in negotiosis civibus videmus. Si vero quoque cum amicis sit loquendum, non polientes locutionem, non cælantes cogitationem, non phrasim exaltantes, sed rusticius apparentes, et scapham, ut dicitur, scapham di-

centes, indocte loquentes secundum evidentiam, non secundum artificiosam obscuritatem, quam affectat aliter judicantium irriser.

35. Si quis autem nobis talem criminatur asperitatem, ex homine quæram, quomodo subridere quandoque audebimus ad serenam occursus exsultationem, cum cernimus homines qui in indecentem cachinnum et in tripudium corybantium, nostrum accusabunt lenem risum, ipsi vere ridiculi et differentiam nescientes inter subridere, vel irridere, vel cachinnare, vel ridere, quorum longissime distant cogitatæ definitiones? Quomodo vero juxta gratiam hilarem et sapientem urbanus sim futurus, juxta speciem sermonis, ponendum est acrem, qualem tradit, non solum qui vinum uvæ sanguinem [3] scripsit, sed dives et dulcis orator David, qui psallit buccellis similes mitti crystallos [4], et nivem expandi sicut lanam, nebulam autem sicut cinerem spargi [5]; fingit autem frigori vultum, eo quod vultus iter facientium conturbat. Omitto enim multas alias dulcedines, quibus sacra divinaque Scriptura per ænigmata loquitur, veluti cum mel e comedente dicit exire [6], et quoddam pilum bellicosum crassum esse sicut texentium liciatorium [7]; et astra in domo ambulare [8], ubi tam rara sunt teguminis superindumenta, ut intus inspicientibus appareat in altissimis astrorum motus. Quibus adjungendum spinas in ebrii manu crescere [9], et patres quidem manducasse carduos, filiis autem obstupescere dentes [10]. Ubi ergo quædam similia prodere ausus sum licet cum moderamine valuissem loqui, quo metropolitæ urbanitas deceptis auribus videtur esse locutio quædam non dithyrambica damnosaque (utinam enim hoc esset!), sed vino gravis, ut inter bacchanalia carmina.

36. Confiteor vobis, fratres, quod sic meos sermones concinnare volo, viris negligenter audientibus, ut etiamsi coram divino rege mihi loquendum esset, non esset mihi opus præcavere ne fortuita loquerer. Et vere scio sub antiquo necnon sub præsenti sacro regno me sic in gravi cœtu fuisse locutum, ut audientes commoverem, et mihi conciliarem. Sed cum his nostris subsurdis (non enim volo dicere subdolis) nihil tale contingit; sed circumstant dolose meditantes, si forte nos decipere possint, ignobilia, sicut dicitur, phalangia miseræ insidiantia musculæ, si forte appropinquantem corripiant. Quid tandem, o sapientes auditores et spectatores, reprehenditis, quando vir senex et non omnino procul a ratione factus, heroicas personas in theatro prodeuntes cernens, Priamum puta scenem, et Atridas, adversarios isti reges, et famosum Ulyssem, et alterum Ajacem nomine,

ἀγροικικώτερον διαχείμενοι, καὶ τὴν σκάφην σκάφην, A
ὅ φασιν, λέγοντες, καὶ ἀμαθέστερον φθεγγόμενοι πρὸς σαφήνειαν, οὐ μὴν τεχνητὴν ἐπίκρυψιν, ἣν ἐπισκευάσεται ὁ κατὰ τῶν ἄλλως ἀκουόντων εἰρωνευόμενος.

λε'. Εἰ δέ τις ἡμᾶς αἰτιᾶται τῆς ταύτης στρυφνότητος, ἐρήσομαι τὸν ἄνδρα, πῶς ποτε μειδιᾶσαι θαρρήσομεν εἰς γαλήνιον διάχυσιν εὐτυχίας, ὅτε βλέπομεν ἀνθρώπους, οἳ καὶ εἰς καγχασμὸν ἀπρεπῆ καὶ εἰς ὄρχησιν Κορυβάντιον τὸ ἡμῶν ἐγγράφονται μειδίαμα, γελοῖοι αὐτοὶ ὄντες, καὶ μὴ διαφορὰν εἰδότες τοῦ μειδιᾷν, ἢ σαρκάζειν, ἢ καγχάζειν, ἢ γέλωτος, ὧν πορρωτάτω πάνυ τὰ κατ' ἔννοιαν ὁρίσματα; Πῶς δὲ καὶ πρὸς χάριν ἱλαρὰν ἀστεῖσόμαι καὶ σώφρονα, κατὰ ἰδέαν λόγου θετέον δριμεῖαν, ὁποίαν παραδίδωσιν οὐ μόνον ὁ γράψας τὸν οἶνον B
αἷμα σταφυλῆς, ἀλλὰ καὶ ὁ πλούσιος καὶ γλυκὺς ῥήτωρ Δαυΐδ, ψωμοῖς ἐοικότας βάλλεσθαι τοὺς κρυστάλλους ψάλλων ἐκεῖνος, καὶ τὴν χιόνα διαπεπτάσθαι ὡσεὶ καὶ ἔριον, τὴν δὲ ὁμίχλην ὡσεὶ σποδὸν πάσσεσθαι· πλάττοντος δὲ καὶ τῷ ψύχει πρόσωπον, οἷς παρενοχλεῖ τοῖς τῶν ὁδευόντων προσώποις. Ἐῶ γὰρ πρός γε τὸ παρὸν τὰς λοιπὰς γλυκύτητας, ἐν αἷς ἡ ἱερὰ καὶ θεία Γραφὴ καὶ αἰνίσσεται, ὡς καὶ ὅτε μέλι ἐξ ἔσθοντος φησὶν ἐξελθεῖν, καί τι δόρυ στρατηγικὸν παχὺ εἶναι ὡσεὶ καὶ ἀντίον ὑφαινόντων· καὶ ἄστρα δὲ οἰκίᾳ ἐμπεριπατεῖν, ἔνθα ἐς τοσοῦτον ἀραιὰ ἡ τοῦ στεγάσματος ἐπισύνθεσις, ὡς φαίνεσθαι τοῖς ἔνδον διορῶσι τὴν ἀνωτάτω κατ' ἄστρα κίνησιν. Οἷς ἐνταχτέον καὶ τὸ

ἀκάνθας ἐν χειρὶ φύεσθαι τῇ τοῦ μεθύσου, καὶ C
τὸ γονεῖς μὲν ἀκανθοφαγεῖν, αἰμωδίαν δὲ τοῖς τέκνοις ἐμφύεσθαι. Ποῦ δὴ ἀλλὰ τοιαῦτα γοῦν τινα τολμήσαιμι ἂν, εἰ γέ που καὶ εὐπορήσαιμι πρὸς γλύκασμα φθέγγεσθαι, ὅπου τὸ τοῦ μητροπολίτου ἀστεῖευμα δοκεῖ ταῖς ἐσφαλμέναις ἀκοαῖς λαλιά τις εἶναι οὐ διθυραμβώδης καὶ ἀτηρὰ (εἴθε γὰρ ἦν τοῦτο!), ἀλλὰ παροίνιος κατά γε τὰ περιῳδόμενα σκόλια.

λς'. Ἐξομολογοῦμαι ὑμῖν, ἀδελφοί, ὡς οὕτω τοὺς ἐμοὺς λόγους ἐθέλω στρογγύλεσθαι, παρηκόων ἀνδρῶν ἀκροωμένων, ὡς οὐδ' ἂν εἴπερ ἔμπροσθεν βασιλέως ἐνθέου λαλῶν πρὸς χρείας εἶχον ακέπτεσθαι, καὶ μὴ λαλεῖν ἀτημέλητα. Καὶ μὴν οἶδα ἐγὼ καὶ ἐπὶ τῆς πάλαι καὶ τῆς νῦν ἁγίας βασιλείας οὕτως ἐν βαρεῖ συλλόγῳ λαλήσας, ὡς διαχέαι τοὺς ἀκροω- D
μένους, καὶ εἰς ἐμαυτὸν ἐπισπάσασθαι. Ἀλλ' ἐν τοῖς καθ' ἡμᾶς τούτοις ὑποκώφοις (ὀκνῶ γὰρ εἰπεῖν ὑποξύλοις) οὐκ ἔστι τοιοῦτον οὐδέν· ἀλλὰ περίστανται μελετῶντες ῥῆμα, τί ποτ' ἂν ἡμῶν λάβοιντο, ἀγεννῆ, ὅ φασιν, φαλάγγια, δυστυχῆ μυΐαν λοχῶντες, εἴ πως ἐγγιζούσης δράξονται. Τί δή ποτε, ὦ σοφοὶ καὶ ἀκροαταὶ καὶ θεαταί, μέμφεσθε, εἴπερ ἀνὴρ γέρων καὶ οὐδὲ πάνυ μακρὰν ἐσκορακισμένος λόγου, ἡρωϊκὰ σκηνοβατούμενα πρόσωπα βλέπων, Πριαμόν τινα γέροντα καὶ Ἀτρείωνας, τοὺς ἀντιπάλους ἐκείνῳ βασιλεῖς, καί τινα Ὀδυσσέα, καὶ

[3] Eccli. L, 16. [4] Psal. CXLVII, 17. [5] ibid. 16. [6] Psal. CXVIII, 103. [7] I Reg. XVII, 7; II Reg. XXI, 19. [8] Dan. XII, 3. [9] Isa. XXVIII, 1 seq. [10] Eccli. XXX, 10.

ἄλλον, Αἴαντα, διερμηνεύει πρὸς τοὺς παρεστῶτας ὑμᾶς δηλαδὴ, μὴ ἀληθῆ ταῦτ' εἶναι, ἀλλὰ σκηνῆς ποιητικῆς παίγνια, ἢ σκιὰς ἀληθείας, εἰπεῖν σεμνότερον· καὶ τὸν μὲν προφαινόμενον Πρίαμον ἄνθρωπον ἀποδεικνύει δυσγενῆ πάνυ, καί που καὶ δοῦλον, τοὺς ἐξ Ἀτρέως δὲ ταριχεμπόρους μὲν, δεξιοὺς δὲ λογολεσχεῖν ἐπὶ θεάτρου μεγαλορρημόνως καὶ εὐσταλῶς οὕτως, ὡς παρεμφαίνειν βασιλικὰ πρόσωπα· τὸν δέ τινα ἔκ που ματρυλλείου ἐξωρμημένον, καὶ εὖ εἰδότα κατ' ἀγορὰν στωμύλλεσθαι, καὶ εἰς ῥωποπερπερήθραν σκώπτεσθαι παραφαίνειν ὑποκριτικῶς τὸν λόγιον Ὀδυσσέα· Αἴαντα δὲ, τὸν προφαινόμενον μέγαν, καὶ καθά τις ἔφη πελώριον, εἶναι μὲν ἄλλως ὀλίγον καὶ οὐτιδανὸν, ἐμβεβηκότα δὲ ὑψηλαῖς ἐμβάσιν, ἢ καὶ ἄλλως ξυλοβάμονα, τῷ τέως ὄντα ὑπεξῆρθαι τοῦ δαπέδου μετέωρον, καὶ οὕτω σκιάζειν τὸν βουγάϊον· τί γοῦν ὑμᾶς παραλυπεῖ τὰ τοιαῦτα δᾶκνοντα; Ἡ γὰρ οὐ τοιοῦτος ἐγὼ, διελέγχων ἑρμηνευτικῶς λόγῳ διὰ γνώσεως ἀκριβοῦς τὰ ἐν ἡμῖν σμικροπρεπῆ σκηνικὰ, καὶ διαφωτίζων τὰ μεγαλοφανῆ μὲν κατ' ὄψιν, πάνυ δὲ σμικροπρεπῶς ἄλλως ἔχοντα, καὶ διεκφαίνων τὴν ὑπόκρισιν, καὶ τὰς φαντασίας διαρθρῶν, ὡς ἂν ἕκαστος πρὸς ἀλήθειαν διεκφαίνοιτο, καὶ γινώσκοιτο πρὸς ἀκρίβειαν, καὶ μὴ γελῴη τοὺς βλέποντας, ὡς ἄλλος μὲν ὤν, ἕτερος δὲ τοῖς παλλοῖς φανταζόμενος;

λζ'. Ἡ γὰρ δίκα τῶν ἄλλων σκηνοβατήσεων οὐχ οἱ πλείονες προσωπεῖῳ φιλίας ἄχθονται μὲν ἔξω, εἴ τινα λυπούμενον ἴδοιεν, τὰ δ' ἐντὸς κροτοῦσι, σκιρτῶσιν, ὀρχοῦνται καὶ προσποίητον ἔλεον παραυγάζοντες βαρύνονται ἐπὶ τοῖς ἐν λύπαις, οὐχ ὅτι τοιοῦτοι, ἀλλ' ὅτι ζῶσιν ἔτι, καὶ οὐκ ἀπάγχονται; Οὐκ ἐκδανείζουσι μὲν ἐπὶ ἀνεγέρσει πτώματος τοῦ κατὰ πτωχείαν, τόκου δὲ τοῦ ἐντεῦθεν βαρύ τι καταῤῥιπτοῦσι, μικροῦ δέον καὶ εἰς τὸ λιμῷ θανεῖν οἰκτιστα. Καὶ οὕτω σχήματι ἐλέου εἰς ἑαυτοὺς τὸ πτωχικὸν ἐπαγόμενοι, καὶ περιπτυσσόμενοι ὡς εἰς ἀγάπην, εἶτα κατὰ ἀπάτην σφάττουσιν ἀνηλεῶς, οὐ προσκυνοῦντες καὶ εὐλογοῦντες τοὺς ἐντυγχάνοντας· εἶτα μικρόν τι προσελθόντες καὶ ἐκ προσώπου γενόμενοι, τὰ χείριστα κακολογοῦσι', μορφάζοντες μὲν φίλον ἄνθρωπον, τοῖς δὲ ἔργοις λυσσητῆρας κύνας ὑπογράφοντες. Τί μὴ λέγω τὸ βαρύτερον; Οὐ τιθέασι τὰς γλώσσας εἰς οὐρανὸν, Θεὸν τὸν οὐράνιον ἐπομνύμενοι, καὶ αὐτὸ οὐκ ἐπὶ ἀληθείας ἐνδείξει, ἀλλ' ἐπὶ κρύψει, ὧν πονηρῶς βουλεύονται; Τοιούτους ἐγὼ κακοὺς ὑποκριτὰς ἐξευρίσκων, καὶ ἐπ' αὐτοφώρῳ κλέπτας τοῦ ἀληθοῦς ἐξελέγχων, καὶ ἄλλο μέντοι φαινομένους ἀποδεικνὺς, ἀλλοίους δὲ τὰ ἔσω διακειμένους, καὶ τοῦτο οὐκ εἰσάπαξ, ἀλλὰ καὶ σήμερον καὶ αὔριον καὶ ἐς τὴν ἄλλην καὶ ἐπὶ ταῖς ἑφεξῆς, μικροῦ δὲ λείπομαι εἰπεῖν, ἐσαεὶ, καὶ οὕτως αἰεὶ καὶ αὐτὸς μεμνημένος τοῦ κακοὺς εἶναί τινας, συντίθεμαι ἀφιλοσόφως εἰς τύπον μνησίκακον. Καὶ οὐκ εἶπον τὰ σοφώτερα, ἐφ' οἷς οἱ πολλοὶ ἄροτρον μὲν ἀγαθῆς ἐργασίας χειρίζονται, στρεβλοῦντες δὲ αὐτὸ, φαύλας τε ἀνασχίζουσιν αὔλακας, καὶ σπόρον οὐκ εὐλογούμενον καταβάλλοντες, τὰ πλείω μὲν παραθεωροῦνται ὑπ' ἐμοῦ, ἔστι δ' ὅτε καὶ ἀναδιδάσκον-

vobis astantibus interpretatur non hæc ea vera, sed poeticæ scenæ ludicra, vel, ut honestius dicatur, veritatis umbras; et illum quidem illustrissimum Priamum hominem ostendit ignobilem et forte servum; filios autem Atrei, salsamentarios, sed habiles in scena sic cum jactantia facilitateque loquitare, ut regias figurent personas; hunc autem quemdam e lupanari fortassis exortum, bene scientem in foro garrire joculariterque nugari, diserti personam Ulyssis repræsentare; Ajacem vero, præeminentem, magnum, et sicut aliquis dixerit, ingentem, esse quidem aliunde parvum et debilem, sed, altissimis ingressum cothurnis, vel alias ligno gradientem, sic exaltari super solum sublimem, et adeo jactatorem obumbrare: quid ergo talia mordentia vos contristant? Porro nonne talis ego sum, interpretatione per accuratam notitiam dijudicans ea quæ nobiscum sunt pusilla scenica, revelansque illa quæ magna quidem sunt visu, sed aliunde parvula valde, manifestans hypocrisim, et species explicans, ut unusquisque secundum veritatem appareat perfecteque noscatur, et non aspicientes irrideat, quasi, cum alius sit, alius multitudini repræsentetur.

37. Nunquid enim præter alias scenas non pe-rique sub amicitiæ persona moleste ferunt extrorsum quidem, si quemdam videant afflictum, introrsum autem plaudunt, exsultant, tripudiant, et fictam miserationem præmonstrantes gravantur super eis qui mœrent, non quia tales sunt, sed quia vivunt adhuc et non strangulantur? Non commodant quidem ad relevandum in paupertatem lapsum, sed fenoris inde nati pondus in eum projiciunt, ut fame misere moriatur. Et ita sub miserationis specie ad se trahentes quod egenum est et quasi charitate complectentes, deinde per deceptionem crudeliter jugulant, non adorantes nec benedicentes occurrentibus; postea paululum progressi et ex visu elapsi, pessime maledicunt, simulantes quidem amicum hominem, sed operibus suis rabidos canes depingentes. Quid non gravius dico? Nonne tollunt linguas in cœlum, Deum cœlestem contestantes, idque non ad veritatis demonstrationem, sed ad abscondenda ea quæ perverse meditantur? Tales ego malos hypocritas adinveniens, et in flagranti de veritatis furto convincens, et ostendens aliter quidem parere, aliter autem intus exsistere, idque non semel, sed hodie et cras et postera die, diebusque sequentibus, fere dicerem, perpetuo, et sic semper ipse memoriter tenens aliquos esse malos, irrationaliter ascribor in injuriæ memoris typum. Neque dixi sapientiora, quibus plerique bonæ quidem operationis aratro manum admoventes, sed istud detorquentes, pravos infindunt sulcos, et semen non benedictum spargentes, plerumque quidem a me despiciuntur, aliquando vero gracili voce admonentur, quid agant. Et statim ego docens non so-

lum ad nihil utilis sum, sed etiam ex bono colloquio percipio fructum quod mali memor vocer. Hujusmodi multa nunc ego silentio prætermitto, tanquam iterum locum ad charitatem convenientem servans. Amicitiam enim veram pigeret aliquem hominibus promittendi, quibus semel exsecrandum amari factum est : quod si hoc non esset, sed exspectaretur illud donec sacramentum ipsis evanescat, non esset hæsitatio sapienti eam talibus se præbere conculcandam.

38. Ut autem, hoc omisso, stringamus sermonem ad id quod jam honeste dictum est, et a prioribus absolvamur, desidero a scientibus edoceri discereque, quomodo, miserationis regiæ recordatus, non possim resumere simul memoriam eorum, pro quibus ex Deo, et ex divino rege misericordiæ ambrosia pluerit super me. Quomodo vero non hæc ambo revolverem in mente, quod sæpe quidem illi qui sane mecum sunt, adversum nos inermes sagittaverunt, et ut Deus nos protegens illæsos eripuit, et linguas jaculari lætantes, retrorsum convertens, obtudit? Ego vero dico, fieri non posse ut sensatus et memor boni regalis in me facti, non meminerim simul ex alia parte nequitiarum, pro quibus descendit super me bonum. Si quis autem ad hoc repugnare vult, vellem eum in Thracia septentrionali exsulare, ad audiendam echo, quæ inter alias ibi circuierit loca, quod adversum nos est reboans, ex qua veluti tonitru fuimus attoniti : et cognosceret ille, qualium nos nude memores, quale nomen non bene obtinuerimus. Memores enim quod vexati sumus, hoc ipso memores injuriæ dicimur. Imo sic quidem ego discutiens umbras, et falsorum virtutis signatorum phantasmata dissipans, et eos qui fratrum amatores videntur ut simulent bonum, manifestans et exsecrandos mutui partus ad abortum adducere conans, mendaciumque dæmonibus sortem relegans, tanquam mentem habens ad Deum veritatis, et cætera juxta similem ordinem administrans, et nunquam obliviscens, sed recordans malos reddendi meliores, præcipitor, quo demittendus est exsecrabilis mali memor.

39. Habeo tamen magnum Eliam, cœlestem et juxta Paulum totum ignem, eo quod indignationis igne secundum spiritum æstuabat, ignemque de cœlo evocavit, atque igneus sursum ferebatur, pro me loquentem, et aliunde quæ mea sunt præfigurantem, in eo quod malorum operum recordatus, non solum hoc consilii prorsus verbo ac lege admoneo, sed et aperte reprehendo, suspiciens quidem me odio habendum, juxta dictum sapientis parœmiastæ, quia non sapientes arguo, nec tamen sic loqui prætermittens. Trucidavit enim ille sacerdotes qui se voverant opprobrio; nec tamen

[11] Hebr. x, 25.

A ται λεπταλέᾳ φωνῇ, ἃ ποιοῦσι. Καὶ αὐτίκα ὁ διδάσκων ἐγὼ οὐ μόνον οὐ λυσιτελῶ εἰς οὐδέν, ἀλλὰ καὶ ἀποκερδαίνω τῆς ἀγαθῆς ὁμιλίας τὸ καλεῖσθαι μνησίκακος. Τούτων δὴ τῶν πολλῶν σιγηλὸς ἄρτι ἐγὼ, οἷα καὶ εἰσαῦθις τόπον εἰς ἀγάπην συντηρῶν τὴν καθήκουσαν. Φιλίαν γὰρ τὴν ὄντως; ὀκνήσοι τις ἂν ὑποσχέσθαι ἀνθρώποις, οἷς ἀπώμοτον καθάπαξ γέγονε φιλοῦσθαι· ὡς, εἴ γε μὴ τοῦτο ἦν, ἀλλ' ἐκαρδοκεῖτο διαπεσεῖν καὶ τοῦτον αὐτοῖς τὸν ὅρκον, οὐκ ἂν ὄκνος ἦν τῷ φρονοῦντι παρέχειν ἑαυτὴν πατεῖν καὶ τοῖς τοιούτοις.

B λη'. Ἵνα δὲ τούτου ἀφέμενοι ἀναθλίψωμεν τὸν λόγον εἰς τὸ σεμνῶς ἤδη λεχθὲν, καὶ τῶν προτέρων ἐξώμεθα, ἐθέλω σοφισθῆναι πρὸς τῶν εἰδότων καὶ μαθεῖν, ὅπως ἂν τῆς βασιλικῆς ἐλεημοσύνης ἀναμνησθεὶς, οὐκ ἂν ἔχοιμι ἀναλαμβάνειν εὐθὺς μνήμην καὶ τῶν πραγμάτων, ἐφ' οἷς ἔκ τε Θεοῦ ἔκ τε βασιλέως ἐνθέου τὸ τοῦ ἐλέους ἀμβρόσιον ἐπεβρέχθη μοι. Πῶς δὲ οὐκ ἂν ἄμφω ταῦτα εἴην ἀναπολῶν εἰς νοῦν, ὅτι τε πολλὰ μὲν οἱ δῆθεν ἐμοὶ ὄντες, καθ' ἡμῶν ἀόπλων ὄντων ἐτοξάσαντο, καὶ ὡς ὁ Θεὸς σκεπάσας ἡμᾶς ἀτρώτους ὑπεξήγαγε, καὶ τὰς ἰοχαίρας γλώσσας ἀπήμβλυνε, στρέψας ἔμπαλιν; Ἔγωγ' οὖν φημι, ὡς οὐκ ἔστι φρονοῦντά με καὶ μεμνημένον τοῦ ἐπ' ἐμοὶ βασιλικοῦ ἀγαθοῦ μὴ συνεπιμεμνῆσθαι ἅμα καὶ τῶν ἐτέρωθεν κακιῶν, ἐφ' αἷς μετάδρομον ἐμοὶ τὸ καλόν. Εἰ δέ τις καὶ πρὸς τοῦτο ζυγομαχεῖν βούλεται, ἤθελον αὐτὸν τῆς βορειοτέρας Θράκης γενόμενον, τὴν ἠχὼ μαθεῖν, ὅση τις τῶν ἐκεῖ περιῆλθε C βομβοῦσα τὰ καθ' ἡμῶν, ἐξ ἧς ἐμβεβροντήμεθα· καὶ ἔγνω ἂν ὁ τοιοῦτος, οἷων ἡμεῖς μεμνημένοι ψιλῶς, ὁποῖον λαγχάνομεν ὄνομα οὐ καλῶς. Μεμνημένοι γὰρ κακωθῆναι, παραγραφόμεθα διὰ μόνον αὐτὸ εἰς μνησίκακον. Ἀλλ' οὕτω μὲν ἐγὼ διασφωτίζων τὰς σκιὰς, καὶ τὰς φαντασίας τῶν ψευδεπιγράφων τὰ εἰς ἀρετὴν διευκρινῶν, καὶ τοὺς δοκοῦντας φιλαδέλφους ἀνακαλύπτων, ὡς ὑποκρίνονται τὸ καλὸν, καὶ τοὺς ἐπαράτους τόκους ἐξαμβλίσκειν ἐπιχειρῶν, καὶ τὴν διαβολὴν καταβάλλων, καὶ τὸ ψεῦδος δαίμοσιν ἀποκληρῶν, οἷα τὸν νοῦν ἔχων πρὸς τῷ τῆς ἀληθείας Θεῷ, καὶ τἆλλα δὲ κατὰ συστοιχίαν τοιαύτην διοικονομούμενος, καὶ μηδέποτε λανθανόμενος, ἀλλὰ μεμνημένος τοῦ βελτιοῦν τοὺς κακοὺς, κρημνίζομαι, ὅποι χρὴ βοθρεύεσθαι τὸν ἐπάρατον μνησίD κακον.

λθ'. Ἔχω δὲ ὅμως τὸν μέγαν Ἠλίαν τὸν οὐρανοβάμονα, καὶ πρὸς Παῦλον τὸν ὅλον πῦρ, οἷς τε πυρὶ θυμοῦ κατὰ πνεῦμα ἔζεε, καὶ πῦρ δὲ κατῆγεν ἄνωθεν, καὶ ἐμπύριος ἀνεφέρετο, ὑπὲρ ἐμοῦ λαλοῦντα, καὶ ἄλλως τὰ κατ' ἐμὲ διατυποῦντα, ἐφ' οἷς μεμνημένος πρακτέων φαύλων, οὐ μόνον παραινῶ συμβουλῆς τοῦτό γε πάντως λόγῳ καὶ νόμῳ, ἀλλά που καὶ ἐξελέγχω, ὑπονοῶν μὲν, ὡς μισηθήσομαι κατὰ τὸν σοφὸν εἰπεῖν παροιμιαστὴν, ἐφ' οἷς οἱ σοφοὺς ἐξελέγξω, οὐκ ἀνιεὶς δὲ ὅμως οὕτω ποιεῖν. Ἔσφαττε μὲν γὰρ ἐκεῖνος ἱερεῖς, οὓς ἐκληροῦτο ἡ αἰσχύνη· οὐκ ἐνεγράφη δὲ βίβλῳ μνησικακούντων, ἀλλὰ

ζηλωτὴς ἦν ὁ θερμότατος. Ἐξεκύντει καὶ ὁ Φινεὲς, εἴ τίς που κακὸς ἦν· καὶ ὁ ἐκκυντῶν (1) σειρομάστης ὠμνεῖται, καὶ οὐκ ἦν οὐδ' ἐκεῖνος μνησίκακος· ζήλῳ δὲ θείῳ καὶ αὐτὸ ἐπεγράφετο. Ἔχασκε γῆ καὶ κατέπινε κακοὺς, ἐκδικοῦσα τοὺς μεμνημένους, ὅτι κακοὶ ἐκεῖνοι· καὶ οἱ τὴν μνήμην ἔχοντες οὐκ ἐψέγοντο. Ἡμεῖς δὲ φεύγοντες μόνον τοὺς καθ' ἡμῶν Ἰεζάβελ, καὶ μόγις οὕτω περισωζόμενοι, καὶ μεμνημένοι φυλάττεσθαι τοῦ κακοῦ, παρανοούμεθα εἰς μνησίκακον.

μ'. Καὶ μὴν μνήμη κακοῦ ἡ μέν τίς ἐστιν ἐφ' ἡμῖν, ἣν ὅσα καὶ μηχαναῖς ταῖς ἰδίαις ὀρέξεσι κειμένην σαλεύομεν ἀνασκάλλοντες· ἡ δέ τις κακοῦ μνήμη οὐκ αὐτόχρημα καὶ ἀεὶ ἐφ' ἡμῖν ἐστιν, ἀλλὰ φύσις αὐτὴν ἀπόθετον ἐν τοῖς κατ' αὐτὴν ταμιείοις τηρήσασα τυγχάνει, ἀνακινοῦσα ὅτε τι λάχοι παραπεσεῖν. Οὕτω κακοῦ τις πεπειραμένος, καὶ ἐκλαθόμενος μὲν, περιτετυχηκὼς δέ ποτε τῷ λυπήσαντι, καὶ λόγῳ δέ τινι ὡς εἰκὸς ὑπομνησθεὶς πρὸς ἐνθύμιον, ἀνακαινίζει τὸ ἤδη γεγηρακὸς τῆς μνήμης, ἢ καὶ ὡς οἷα τεθνηκὸς ἀναζωοῖ. Καὶ τοῦτο μὲν οὐκ ἔστι μνησικακεῖν εἰπεῖν. Πῶς γὰρ ἂν εἴη μνησίκακος ὁ μνήμην μὲν ἀναλαβὼν κακοῦ, ἡρεμῶν δὲ εἰς ἀντίποινον; Εἰ δ' ἄλλως ἐπὶ φθάσαντι δεινῷ ἐρεθίζοιτο πρὸς ἄμυναν, κακὰ μελετῶν, ἀλλὰ τοῦτο μνησικακεῖν ἐστὶ κατὰ τὸ πάντῃ ἀναμφίλεκτον. Οὐκοῦν ὁ μὲν ἡ φύσις κάνταῦθα ποιεῖ, ἄψογόν ἐστι, καὶ οὐδὲ εἰς κακίαν πίπτει, ἀλλ' εἰς ἀναμνηστικὴν τάττεται κίνησιν. Ὃ δὲ ἡμεῖς περιεργασόμεθα, μνησίκακον ἐκεῖνο, καὶ ζωϊκῆς μὲν ἄλλως ἀκολουθίας, οὐ μὴν τῆς κατ' ἄνθρωπον ἀρετῶντα καὶ τῷ κρείττονι ὁσιούμενον. Λέγω δὲ ζωϊκὸν ἐν τούτοις τὸ ἐπὶ κακώσει ἀμυντικὸν, ὃ καὶ οἱ παλαιοὶ ἐκτίθενται, τὸν βοῦν εἰπόντες κέρατι παίειν, εἴ τις αὐτὸν ἐρεθίζει, τὸν ἵππον ὁπλῇ, τὸν ἀετὸν γαμψοῖς ὄνυξι βλάπτειν, κέντρῳ τὸν σκορπίον, τὸν ἐλέφαντα προνομαίᾳ, ὀδόντων ἀκωκαῖς τὸν λέοντα. Καὶ οὕτω μὲν ζωϊκὰ καὶ τὰ τοιαῦτα καὶ τὸ ἐπὶ φθάσαντι κακῷ ἀμύνασθαι. Ἐγὼ δὲ οὐ ζηλῶ ἐπὶ τούτοις· ἀλλὰ διὰ τὸ μέγα παράδειγμα τοῦ ὑβριζομένου μὲν, εὐλογοῦντος δὲ, καὶ πάσχοντος μὲν, οὐκ ἀπειλοῦντος δὲ, καὶ ὅσα ἄλλα τοῦ στοίχου τούτου εἰσὶν, ἐκτρέπομαι τὸ ἀντικακοῦν. Καὶ μὴν οἱ σπουδαιότεροι δι' ἐπιεικείας καὶ καθυφέσεως καὶ ἀοργησίας καὶ πραΰθυμίας, βαρυτέραν ἐπινοοῦνται ἄμυναν. Τίς γὰρ μείζων ἄμυνα τῆς διὰ Θεοῦ, ἣν δηλοῖ καὶ ὁ τῷ ὀνόματι Κύριος τοὺς δωρεὰν κυκλοῦντας αὐτὸν ἀμυνόμενος;

μα'. Ἀλλ' ἰδοὺ, φασὶ, καὶ σὺ ἐμβλέπων ἡμῖν ἁπαντῶσιν εἰς ὁμιλίαν ἐκτρέπῃ τοῦ καθεστῶτος, καὶ εἰ μὲν λαλῶν ἦσθα, σιγᾷς, διακεχυμένος δὲ τὸ πρὶν πρὸς ἱλαρότητα, συννεύεις εἰς ἑαυτὸν, καὶ στύφεις τὸ πρόσωπον. Μνησικακεῖς ἄρα. Οὐκ, ὦ ἀγαθοὶ, ἀλλ' ἀσφαλίζομαι, ἀλλὰ φυλάττομαι, ἀλλὰ τεχνῶμαι, μὴ καὶ λόγος τι; προδραμὼν, ἢ σχῆμα παρατυπω-

(1) ἐκκεντῶν.

A mali memorum ascriptus est numero, sed zelator fuit ardentissimus. Transfigebat quoque Phinees, si quis forte malus esset; et transfigens hasta laudatur, nec fuit ille mali memor, sed zelo divino fuit hoc attributum: hiavit terra malosque absorbuit, vindicans eos qui meminerant ob istorum malitiam et hi qui memoriam tenuerant, non reprehensi sunt. Nos autem eos qui contra nos sunt Jezabel solummodo fugientes, et ita vix salutem obtinentes, et malum vitandi recordantes, mali memores reputamur!

40. Attamen est quædam in nobis quidem mali memoria, quam, veluti machinationibus propriis desideriis jacentem excitando movemus: est autem aliqua mali memoria, quæ non prorsus nec semper B in nobis est, sed quam natura suis in repositoriis depositam servat, resuscitans cum accidit quidquam occurrere. Sic malum aliquis expertus, oblitus quidem est; sed illi qui contristavit obviam factus, et quodam modo, sicut naturale est, ad memoriam cogitatione revocatus, quod jam in memoria sennerat renovat, vel quod aliquo modo mortuum erat resuscitat. Et hoc quidem non est mali meminisse dicendum. Quomodo enim mali memor esset qui memoriam quidem mali recipiens, ad retributionem tamen quiescit? Si vero secus super præcedente damno irritaretur ad vindictam, mala meditans, hoc prorsus sine dubio esset mali meminisse. Quod igitur hic agit natura, irreprehensibile est, nec in malitiam cadit, sed in memorem ordinatur motum. C Quod autem nos operamur, mali memoria est, et quidem alias ex naturali consequentia, non tamen ex ea quæ respicit hominem in virtute viventem et meliori dicatum. In his autem naturale dico, quod super malitia repulsorium est; quod etiam veteres explicant, bovem dicentes, si quis eum irritet, cornu ferire, equum ungula, uncis unguibus aquilam lædere, aculeo scorpionem, elephantum ore, dentibus acutis leonem. Et ita quidem naturalia sunt hæc, necnon super præcedenti malo se defendere. Ego vero non super his æmulor; sed juxta magnum exemplar illius qui passus injuriam, non maledicit, et affectus malo, non animatur, juxtaque cætera similis ordinis quæcunque sunt, malum pro D malo reddere abstineo. Attamen qui honestiores sunt modestia, indulgentia, mansuetudine et patientia graviorem excogitant defensionem. Quænam enim major esset quam divina vindicta, quam ostendit qui vocatur Dominus, circumvenientes se gratis, vindicando?

41. Sed ecce, aiunt, et tu nos in concionem convenientes intuens, e consueto discedis, et si quidem loquebaris, siles, si vero prius ad hilaritatem inclinabaris, in teipsum redis et constringis vultum. Ergo mali memores. Non, optimi, sed tueor, sed caveo, sed operam do, ne quod verbum præcurrens, aut gestus simpliciter distortus, aut intui-

tus surpervacaneus ex quodam in me mala molienti negotia mihi rursum facessat. De his autem non ego sum accusandus, sed vos, per quos ego sum ita circumspectus, et timidus, et suspicax, vel mali suspiciosus, tanquam ab ardentibus solis irruptionibus a multorum fulguribus oculos deflectens.

42. Porro dico esse mali memoriam impassibilem, vel, quod idem est dicendum, mœroris expertem : si vero hoc est, illa quoque mali memoriæ rationi extranea est, si quidem mali memor non est extra luctum, cum iniquitatis ex aliquo meminit. Porro si quis impassibilis meminit injuriæ, quomodo talis esset mali memor? Multas ego scio mali memorias, quas etiam comitatur risus : et tales quoque non reputarentur in mali memoriam, veluti qui passus est hilarem facientes et alacrem, ibique tantum stantes neque, in ultionem desinentes.

43. Adducor etiam in propositis fabula uti. Cancer oblique semper versus, modo dextrorsum, modo sinistrorsum, progeniem ex se natam videns sic obliquam tenere viam, terribiliter agebat indignans suisque natis exprobrans, quod sic oblique ferrentur ac nunquam scirent obvium iter. Quæ quidem fabula ridet, si quis alios hortatur ad corrigenda ea, in quibus ipse semper peccator est. Et iste risus ad nostra pertinet. Quarumdam enim injuriarum memoriam causantes hi qui nos vituperant, et hoc semper disserentes, et in ipsam mali memoriam manifeste prolapsi, postea nobis hoc audent scribere. Quid blateras, homo? Vulneras, et cruor e vulnere profluit, profundaque plaga subest vulnerato; et ille tantummodo clamat, et non miraris illum qua posset ad vindictam non inflammari; sed conquereris, et mali memorem vocas, quasi velis arguere naturam, si juxta suam legem movet dolentem ad plangendum; si vero talis vulnere percussus exinde te declinet ac fugiat, quid in hoc novum? Nec asinus bis in idem offenderet. Multis autem brutorum aliis istud proverbium competit, suspicantibus, ac deinde devitantibus præcedens malum. Quomodo igitur homo, rationem habens, extra illud versaretur, aliquomodo vexatus, et non semel, sed multoties. Puto ego quod non rectæ rationis esset, abundans in eadem passione, insensilisque ad omne permanens ac semper offendere paratus. Si tamen mali causa offendiculi, puteus aut lapis, recederet, hic quidem in semitæ latus segregatur aut alias sublatus, iste vero repletus et cumulatus et ita complanatus, tum sane nec jam homo, nec aliud animal prolapsionis locum pertimesceret, sed itineri seipsum cum securitate committeret.

44. Date mihi ergo et vos facilem ad ambulandum locum; removete laqueos, extollite offendicula, foveas explentes reddite solidas; et sic vos ex Deo judicium deseret, et me timor ac metus de statu itineris. Novit Deus, qui cuncta pernoscit,

θὲν ἀφελῶς, ἢ βλέμμα περιεργασθὲν, πρός τινος τῶν ἐπ' ἐμοὶ ῥᾳδιουργῶν πράγματά μοι πάλιν παρέξει. Ἐπὶ δὲ τούτοις οὐκ αὐτὸς αἰτιατέος, ἀλλ' ὑμεῖς, δι' οὓς ἐγὼ εὐλαβὴς οὕτω καὶ δειλὸς καὶ ὕποπτος, ἢ καχυπόπτης, δυσωπούμενος; ὡσεὶ καὶ ἡλίου καυστηρὰς ἐμβολὰς τὰς ἐκ τῶν πολλῶν ἀστραπάς.

μβ'. Ἔτι φημὶ, ὡς ἔστι μνήμη κακοῦ ἀπαθὴς, ταὐτὸν δ' εἰπεῖν, ἄλυπος· εἰ δὲ τοῦτο, καὶ ἀνοίκειος τῷ τῆς μνησικακίας λόγῳ, εἴπερ ὁ μνησικακῶν οὐκ ἔστιν ἔξω λύπης, ὅτε κακίας τις ἔκ τινος μέμνηται. Εἰ δή τις οὐκ ἐμπαθῶς μνημονεύει κακώσεως, πῶς ἂν εἴη ὁ τοιοῦτος μνησίκακος; Οἶδα πολλὰς ἐγὼ μνήμας κακοῦ, αἷς καὶ γέλως ἐφέπεται· καὶ οὐκ ἂν οὐδὲ αἱ τοιαῦται ἀνάγοιντο εἰς μνησίκακον, οἷα τὸν πάσχοντα ἱλαρυνουσαι καὶ διαχέουσαι, κἀνταῦθα μόνον ἑστηκυῖαι, καὶ οὐκ ἀποτελευτῶσαι εἰς ἄμυναν.

μγ'. Προάγομαι καὶ μύθῳ κατὰ τῶν προκειμένων χρήσασθαι. Καρκίνος πλαγίαν ἀεὶ τρεπόμενος, τήν τε ἐς δεξιὰ καὶ τὴν εἰς τὸ ἔμπαλιν, καὶ τὴν ἐξ αὐτοῦ γονὴν οὕτω ῥαιδουμένην βλέπων τὰ εἰς πορείαν, δεινὰ ἐποίει ἀγανακτῶν, καὶ τοῖς ἐκγόνοις ἐπιτιμῶν ἐνέκειτο, εἰ οὕτω δόχμιοι φέρονται, καὶ οὔ ποτε τὴν εἰς τὸ πρόσθεν οἴδασι τρίβον. Ὃς δὴ μῦθος οὗτος γελᾷ, εἰ παραινεῖ τις ἑτέροις, κατορθοῦν ἐκεῖνα, ἐφ' οἷς αὐτὸς ἀλιτρὸς ἐκβαίνει ἀεί. Καὶ ὁ γέλως οὗτος διαβαίνει ἐς τὰ καθ' ἡμᾶς. Κακώσεών γάρ τινων προϊσχόμενοι μνήμην οἱ τῆς καθ' ἡμῶν ὄντες μέμψεως, καὶ ἀεὶ τοῦτο λαλοῦντες, καὶ κατακεχωσμένοι ἐς αὐτὸ τὸ μνησίκακον προφανῶς, εἶτα δὴ τολμῶσιν αὐτὸ ἐπιγράφειν ἡμῖν. Τί λαλεῖς, ἄνθρωπε; Τραυματίζεις, καὶ καταῤῥέει αἷμα τοῦ τραύματος, καὶ ἡ πληγὴ βαθεῖα τῷ πεπονθότι, καὶ κέκραγε μόνον ἐκεῖνος, καὶ οὐ θαυμάζεις, ὅτι μὴ ἀντιπέπληξαι πρὸς ἄμυναν, ὅπως ἂν καὶ δύναιτο ἐκεῖνος· ἀλλὰ καταμέμφῃ, καὶ μνησίκακον ἐπικαλεῖς, οἷα τὴν φύσιν ἐλέγχειν ἐθέλων, εἰ κατὰ τὸν αὐτῆς νόμον ὑποκινεῖ τὸν ἀλγοῦντα παθαίνεσθαι. Εἰ δὲ καὶ πληγεὶς εἰς τραῦμα ὁ τοιοῦτος ὑποκλέπτεταί σε εἰς τὸ ἐφεξῆς, καὶ ἐκτρέπεται, τί τοῦτο καινόν; Οὐκ ἂν οὐδὲ ὄνος εἰς τὸ αὐτὸ δὶς προσκόψῃ. Πολλοῖς δὲ καὶ ἑτέροις τῶν ἀλόγων ἡ τοιαύτη παροιμία ἐπιμερίζεται φανταζομένοις, καὶ οὕτω φυλατομένοις τὸ φθάσαν κακόν. Πῶς ἂν οὖν ἄνθρωπος, ὁ ἔσω λόγου, ἔξω ταύτης πεσεῖται, κακοποιηθεὶς ὁπωσοῦν, καὶ οὐδὲ εἰσάπαξ, ἀλλ' ἐπὶ πλεῖον; Οἶμαί γε, ὡς οὐκ ἂν ἐκεῖνος ὀρθοῦ ἔχοιτο λόγου, πλεονάζων ἐν τῷ ὁμοίως πάσχειν, καὶ μένων ἐς τὸ πᾶν ἀνάλγητος, καὶ προσκόπτειν ἐσαεὶ ἀνεχόμενος. Εἰ μέντοι τὸ τοῦ κακοῦ προσκόμματος αἴτιον ὁ βόθρος τυχὸν ἢ ὁ λίθος ἀπέλθοι, ὁ μὲν εἰς πλάγιον τῆς τρίβου ἀφορισθεὶς, ἢ καὶ ἄλλως που ἀρθεὶς, ὁ δ' ἀνάπλεως γεγονὼς καὶ μεστὸς καὶ οὕτω ναστὸς, τότε δὴ οὐκ ἂν ἔτι οὔτ' ἄνθρωπος, οὔτε μὴν ζῶον ἄλλοῖον ὑποκλέποιτο τὸν τοῦ προσκόμματος τόπον, ἀλλ' ἐκδοῖεν ἂν ἑαυτὰ τῇ ὁδῷ εἰς διατριβὴν οὐ καχύποπτον.

μδ'. Δότε δὴ οὖν μοι καὶ ὑμεῖς περίπατον εὔοδον, ὑπεξέλετε τὰ παγιδώματα, σχάσατε τὰ σκάνδαλα, στερεώσατε ἀναπληροῦντες τὰ ὑποβοθρεύματα· καὶ οὕτως ὑμᾶς τε τὸ ἐκ Θεοῦ κρῖμα ἐπιλείψει, καὶ ἐμὲ τὸ δεδιέναι καὶ ὑφορᾶσθαι τὰ τῆς ὁδοῦ. Οἶδεν ὁ

Θεὸς, ὁ τὰ πάντα ἐξακριβούμενος; οἶδασι δὲ καὶ οἱ τῶν καθ' ἡμᾶς ἐπιστήμονες, ὡς οὐδὲν ἐξ ἡμῶν εἰσπαίει κακὸν εἰς οὐδένα. Οὐκ ἂν δὲ εἶμαι οὐδὲ εἰ καταλέγοντες ἡμῶν ἔχοιεν ἂν προενεγκεῖν τι πρᾶγμα εἰς ἔλεγχον. Εἰ δὲ καὶ θετέον ἐπὶ προϋπάρξασι θεμελίοις τοῖς ἐξ ἡμῶν, δροφον αὐτοὶ κακώσεως ἔθεντο μνησικακίας οἰκείας λόγῳ. Τί δὴ ἀφιλοσόφως αἰτιῶνται νῦν, μνησικακεῖν ἡμᾶς, μεμνημένους, ὅτι μνησικάκοις ἀνθρώποις περιπεπτώκα μεν, τὸ οἰκεῖον κακὸν αὐτοὶ ἐπικλῶντες ἡμῖν ;

με'. Ἔτι ἀποφαίνομαι πάλιν θαῤῥῶν, οὐ ταὐτὰ νοεῖν μνήμην κακοῦ καὶ μνησικακεῖν, ἀλλ' ἐκεῖνο μὲν φύσεως ἀρετὴν εἶναι καὶ τελειότητα, παρισωζούσης τῇ ψυχῇ τὸ τῶν παθημάτων, εἴτ' οὖν νοημάτων μόνιμον, ὅθεν καὶ τῇ μνήμῃ τὸ τῆς λέξεως ἔτυμον. Τὸ δέ γε μνησικακεῖν ψυχῆς φαυλότητα τίθεμαι μαχίμου καὶ ὀλοθρευτικῆς. Καὶ τοίνυν μέμνηται κακωθείς, ὅ τί περ οἶδα, καὶ εὐεργετηθείς ποτε. Μνησικακεῖν δὲ οὔτε οἶδα ὃν ἔργον ἐμὸν, οὐδὲ μὴν ἐθέλω, καθάπερ οὐδὲ φιλονεικεῖν μάχιμον, οἷα καὶ συνειδὼς, ποίῳ διδασκάλῳ μαθητὴς, εἰ καὶ ἀφυὴς, ἐπιγέγραμμαι, ὅτι δηλαδὴ τῷ εἰρηνικῷ καὶ πράῳ καὶ καθηγουμένῳ τῶν βουλομένων εἰς τὸ φιλάνθρωπον. Εἰ δέ τις ἑτεροιότης ἐν ἐμοὶ ἀγάπης πρὸς τόνδε τοῦδέ τινος, καὶ ἑτέρου πρὸς ἄλλον, καὶ πολλῶν πρὸς πολλοὺς, οὔκουν ἔστιν, οὐκ ἔστιν ἄλλως εὑρέσθαι παρ' οὐδ' ὑτινοῦν ἔχον τὸ πρᾶγμα.

A Dicere vero : neque recipere debeas in mentem quod commissum est, hoc est hominis a sua natura alienatio, velutque transformatio, vereque Dei ira. Injuriam passus sum et silui. Non tamen memoriam abolevi, quia hoc non est possibile, etiamsi quis vellet. Numquid posset aliquis cautionem offerre de somniis, in quibus adumbrata vexationis memoria potest mane accurate depingi in mente vigilantis? Nullus est homo satis in rebus sapientiæ potens, qui, somnio facto, per quod vexationis jam in oblivione positæ repræsentatur imago, deindeque post solis ortum relato, de mali memoria vel somnium, vel somniatorem, licet exinde memoria scientiaque suscitetur, arguat. Non enim idem est malam in quemdam habere dispositionem, et meminisse quemdam esse malum. Unum scilicet ultionis
B est opus, aliud autem puræ notionis. Quod idem esset, trapezitæ lapidem Lydium auferre, hominisque in bonis et malis discretionem tollere. Discretionis igitur spiritualis est opus meminisse, sicuti beneficentiæ, ad retributionem, sic etiam vexationis, non ad vindictam, sed ad malorum fugam.

88. Male facere, Deus Salvator, non velim; malum autem noscere, ut illum effugiam, per te obtingam. Malum novi serpentem et non obliviscar, non ut obsistam, sed ut procul ab illo fiam. Si vero quandoque mihi antidoto ex illo opus est, hoc mihi sero fiat, nec reipsa ad viperam accedam, nisi secundum specialem transmutandi proprietatem,

89. O leges, quæ nunquam mali memores quidem fuistis, sed propter humanitatem vestram, malos amare nescitis! O justitiæ punitiones æternæ, quarum mali memoriam exprobrare nullus auderet! Succurrite nobis et cum ratione juvate, cum dicimus nos esse quidem sine mali memoria, vexationis autem meminisse. Vos quidem enim malos affligitis, nos autem solum meminimus, si quid passi fuerimus ex homine non bono, quomodo liberemur. Onerosum autem est omnino, non memoria mali, sed vindicta.

90. Deinde, meorum inspectores, ego quidem recordans, quod malum sim passus, grave nomen sortior : vos autem qui sine causa contra nos irrationabiliter ferimini, contra nos qui plurimum utiles fuimus, quali vos ipsos appellatione dignos judicatis? D Primum audiam, si quis fiducialiter audet loqui, posteaque contra loquar, quæ suggerit mentis cogitatio. Serpentem video calcaneum meum observantem. Numquid ergo sic generosus erit contra timidam meam circumspectionem, qui animæ suspectionem ac fugam subtrahet, ubi de cætero mihi ipsi succurrendum esset, sive propria manu, sive exhortatione juvante? Leo mihi insidiatur et omnino necesse est ut iter alio vertatur : magnanimus igitur et generosus est qui judicat non esse timendum, sed accedendum feræ ad mortem accubanti. Quid vero non dicis, frater, mali memorem etiam illum qui post injuriam docet et erudit malefactores, et ita meminit sese fuisse vexatum? Numquid hoc prorsus dicere tardas, mendacium veritus?

91. Telephus e Mysia vulneratus est : Achilles, A qui vulneraverat, sanavit. Meminit Mysus mali. Hic memoriæ concurrit sanationis cogitatum, et ad gratos inducit. Nec intermissiones inimicorum sunt mali memores. Etenim in illis hodie amicitia, et paulo post pugnæ malitia. Et ecce, intermissionis amicitia memoriam quidem habebit mali, non sane mali meminerat, nec veterem iram habere videbatur : attamen interea memoriam habent et speculatores, et, omnes insidiarum viæ custodes, in spe mali.

ϟα'. Τήλεφος ὁ ἐκ Μυσίας ἐπλήγη· Ἀχιλλεὺς ὁ καὶ τρώσας ἰάσατο. Μέμνηται ὁ Μυσὸς τοῦ κακοῦ. Ἐνταῦθα μνήμῃ συνεκτρέχει τὸ τῆς ὑγείας ἐνθύμιον, καὶ συνεισάγει τὸ εὐχάριστον. Οὐδὲ αἱ ἀνακωχαὶ τῶν πολέμων μνησικακίαι. Καὶ μὴν ἐν αὐταῖς φιλία σήμερον, καὶ μετ' ὀλίγον μάχης κακία. Καὶ ἰδοὴ ἡ κατὰ ἀνακωχὴν φιλία μνήμην μὲν κακοῦ εἶχεν, οὐ μὴν καὶ ἐμνησικάκει, οὐδὲ κότον ἔχειν ἐδόκει· ἀλλ' ἐν τῷ μνήμην ἔχουσι καὶ αἱ ἀποσκοπεύσεις καὶ πᾶσα φρουρὰ προδοκῆς ἐδοῦ, αἱ κατ' ἐλπίδα κακοῦ.

92. Proindeque ego, si me noverim implacabiles inimicos habere, solerter eos ut malos devitabo, in memoria semper recens. Non jam inde mali memini, sed ubique memoriam mali tutoriam habeo, quoniam isti ubique sunt mali, non ut memores B mali, sed ut vere hoc ipsum, mali memores ; quod si non ita foret, quis assumeret sibi seipsum consumere in continua recordatione pravitatis, et exhauriri sollicitudinibus, et fremitui dentium subjici, et excogitare tartarea, et vitam humanam mentiri, et dilabi, et absumi curarum incendio tabefactioneque machinationum, quibus aliquis ferox fieri et in Timonem transformari posset?

ϟβ'. Οὐκοῦν καὶ ἐγὼ, εἴ που γνοίην ἔχειν ἀσπόνδους ἐχθροὺς, φυλάξομαι κατ' ἀγχίνοιαν αὐτοὺς ὡς κακοὺς, καὶ νεάζων ἀεὶ τῇ μνήμῃ. Οὐκ ἤδη μνησικακῶ, ἀλλ' ἔχω πάντοτε μνήμην φυλακτικὴν κακοῦ, ὅτι κἀκεῖνοι πάντοτε κακοὶ, οὐχ ὡς μεμνημένοι κακοῦ, ἀλλ' ὡς ἀληθῶς αὐτὸ τοῦτο μνησίκακοι· ὡς, εἴγε μὴ τοῦτο, τίς ἂν ἕλοιτο ἑαυτὸν ἀπεσθίειν ἐν τῷ μεμνῆσθαι κάκης ἐς τὸ διηνεκὲς, καὶ τήκεσθαι μερίμναις, καὶ εἰς βρυγμὸν ὀδόντων τάττεσθαι, καὶ βυσσοδομεύειν ὑποταρτάρια, καὶ ψεύδεσθαι τὸ ζῆν ἀνθρωπικῶς, καὶ ὑποβρέειν, καὶ ἀμαλδύνεσθαι τυφεδόνι φροντίδων καὶ μεθόδων τηκεδόνι, δι' ὧν ἄν τις ἀποθηριοῖτο, ἢ καὶ εἰς Τίμωνα μετανθρωπίζοιτο ;

93. Attamen ego, si quoddam apud me judicem proponeretur genus hilaris vitæ, aliudque rursum in cogitationibus superfluis et mœroribus, condemnationem pronuntiarem adversus acerbitatem convictus tristitiæque morositatem et contractionem. C Ex duobus enim illis, Heraclito Democritoque, quorum unus lacrymabundus erat super humanis miseriis ad ipsius experientiam undique venientibus, alter autem risu rumpebatur de rebus humanis, in Democriti partem magis essem, quia secundum humanam naturam est, qua proprium hominis est risus. Fletus enim non in strictam proprietatem cadit, sed rei naturæ adulterat, ideoque non ipsi naturaliter amatur, sed in passione et invite fieri assolet.

ϟγ'. Καὶ μὴν ἐγὼ, εἴ τις παρ' ἐμοὶ κριτῇ δίαιτα εὐτραπέλου βίου προέκειτο, καὶ αὖ πάλιν τοῦ κατὰ περίνοιαν οὐκ ἀναγκαίαν καὶ σύννοιαν, προὐθέμην ἂν καταδιαιτῆσαι τοῦ ἐστυμμένου κατὰ τὸ σύμβιον καὶ περινενοημένου καὶ συνηγμένου εἰς τὸ ἀμειδές· ἐπεὶ καὶ δυοῖν ἐκείνοιν, Ἡρακλείτου τε καὶ Δημοκρίτου, ὧν ὁ μὲν ἀρίδακρυς ἐξέβαινεν ἐπὶ τοῖς ὡς ἑκάστοτε ἥκουσιν αὐτῷ πρὸς πεῖραν ἀνθρωπίνοις συμβάμασιν, ὁ δὲ γέλωτα κατερρήγνυε τῶν παρ' ἀνθρώποις πραγμάτων, πρὸς τῷ Δημοκρίτῳ μᾶλλον εἰμὶ, ὅτι καὶ πρὸς αὐτῇ τῇ φύσει τῇ κατ' ἄνθρωπον, καθ' ἣν ἰδιότης ἀνθρώπου τὸ γελαστικόν. Τὸ δακρύειν γὰρ οὔτε εἰς ἴδιόν τι ἀποκληροῦται, καὶ τὰ τῆς φύσεως δέ που παραποιεῖ· διόπερ οὐδὲ φιλεῖται αὐτῇ ἐς γνήσιον, ἀλλ' εἴ που, κατὰ πάθος, καὶ οὐ μάλα καθ' ἑκούσιον.

94. Non est mali meminisse, o homines, omnino recordari mali, dicereque : Ille quidam me vexavit, et tamen misereatur Deus et illius corrigentis, et mei correcti ; quod ego faciens Deum propter D me habeo, sed prorsus ille mali meminit, qui memoriæ conjunctum habet insidiosum consilium. Quid cogitis simplicem et bonum Jacob in mali memoribus inscribere, cum fratrem Esaii recordans suspicatur, et periculum ex illo suspiciens timet, et subterfugit, et nequit oblivisci qualis in ipsum frater sit, iracundus scilicet malitiamque depositam in corde servans? Quod si oblivisceretur, non, quemadmodum non vult casum præverteret.

ϟδ'. Οὐκ ἔστιν, ὦ ἄνθρωποι, « μνησικακεῖν » τὸ μνήσασθαι ὅλως κακοῦ, καὶ εἰπεῖν, ὡς ὁ δέ τις ἐκάκωσέ με, καὶ ὅμως ἐλεήσαι ὁ Θεὸς καὶ αὐτὸν παιδεύοντα, καὶ ἐμὲ παιδευόμενον, ὅπερ ἐγὼ ποιῶν ἔχω τὸν Θεὸν ὑπὲρ ἐμοῦ· ἀλλὰ μνησικακεῖ πάντως ὁ τῇ μνήμῃ σύντροχον ἔχων τὴν ἐπιβουλήν. Τί βιάζεσθε τὸν καὶ ἁπλοῦν καὶ καλὸν Ἰακὼβ ἐγγράφειν εἰς μνησίκακον, εἰ τὸν ἀδελφὸν Ἡσαῦ μεμνημένος ὑφορᾶται, καὶ τὸν ἐξ ἐκείνου κίνδυνον ὑφορώμενος εὐλαβεῖται, καὶ ὑποστέλλεται, καὶ οὐκ ἔχει λαθέσθαι, ὁποῖος εἰς αὐτὸν ὁ ἀδελφὸς, βαρύμηνις δηλαδὴ, καὶ κακίαν ταμειουχῶν ἀπόθετον ; ὡς, εἴ γε λάθοιτο, οὐκ ἂν φθάνοι πίπτων, καθάπερ οὐ βούλεται.

95. Est etiam non delectu sed casu memoria malitiæ, veluti si milvus advolans in memoriam revocat se aviculorum esse rapacem, et sic admonet quemdam

ϟε'. Ἔστι καὶ οὐχ αἱρετὴ μνήμη κάκης, ἀλλὰ τυχαία, ὡς εἰ καὶ ἰκτῖνος παραπετασθεὶς ἀναμνήσει, ἅρπαξ εἶναι ὀρνυφίων, καὶ οὕτω προκαλέσεταί τινα

συρίξαι καὶ ἐπισυναγαγεῖν παραφαινόμενά που νεόττια. Οὕτω καὶ ῥοῖζος πολλάκις καὶ συριγμὸς ἀνέμνησέ τινα βέλει κακωθέντα ἢ ὄφει, ὡς ἔπαθέ τί ποτε κακὸν, ἢ ἐξ ὄφεως ἢ πληγῆς, καὶ ἐπέστοσψε εἰν ἄνθρωπον εἰς ἐμμέριμνον.

A edere sibilum, ut congregentur alicubi apparentes pulli. Sic etiam sæpe stridor aut sibilus recordationem attulit alicui, qui telo vel serpente jam vexatus est, quod olim aliquid mali vel ex serpente vel ex telo, passus sit, et hominem ad cautelam convertit.

ιϛ'. Εἰ γοῦν δίδοτε ταῦτα, τί δὴ μόνον ἐμὲ νοσφίζεσθε τοῦ καὶ νοεῖν καὶ ἐμμερίμνως ἔχειν καὶ δεδιέναι περὶ ἐμαυτῷ, θ;, εἰ μὲν ἀμύνεσθαι μελετῶ τοὺς ἐχθροὺς, εἶην ἐχθρὸς τῷ Θεῷ· εἰ δὲ ἐκκλίνω τὴν ἐξ ἐκείνων βλάβην, ὑμεῖς μὲν γράφετέ με, ὅπως ἂν αἱ μηλίδες ὑμῖν ὑπουργοῖεν ; Ὁ δὲ διακρίνων — ἀλλ' ἐκεῖνος ἡγήσεταί με καὶ ἀποφανεῖται βεβηκότα καὶ ἀσφαλῆ, καὶ νοῦν ἔχοντα καὶ ὀφθαλμοὺς ἐν τῇ κεφαλῇ (τοῦτο δὴ τὸ τοῦ γραφικοῦ σοφοῦ ἴδιον)· ὃς δὴ παρεξετάζειν μὲν ἐμαυτὸν οὐκ ἔχω, ἵνα καὶ πρὸς ἐκεῖνον γραφοίμην ἀκριβῶς· ἐς ὅσον μέντοι ἰσχνὸν σκιαγραφούμενος, οὐκ ἐν ψυχῇ τίθεμαι τὴν ἐφ' οἷς κακοῦμαι ἄμυναν, οὐδέ μοι πρᾶξις διὰ βίου τοιαύτη κεφαλαιοῦται· ὃς γε καὶ τὸν ἐπὶ τούτοις ἀμυνόμενον μάταιον καὶ ἡγοῦμαι καὶ ἀποφαίνομαι, οὐ μόνον ὡς ἀλαζόνα κατακρίνων, ἀξιοῦντα παντὸς ὕπερθεν εἶναι τοῦ ὀλίσθοντος, ἀλλὰ καὶ ὡς οὐδὲ πάνυ φρενήρη. Ἔοικε γὰρ ὁ τοιοῦτος οὐκ εἰδέναι, ὡς ἄμυνα πᾶσα οὐκ ἐξ ἀνάγκης ἔχει τὸ δρᾶν μόνον, ἀλλά που καὶ ἀντιζυγοῦν εὑρίσκει τὸ πάσχειν, καὶ αὐτὸ πολλάκις μονάζον. Εἰκὸς γὰρ, καθά τις εἶπεν, « ἐγχειροῦντα καὶ πράττειν κακῶς. » Καὶ μυρίους οἴδαμεν, οἳ ἐκδραμόντες ἀμυνεῖσθαι, φθάσαντες ἔπεσον, μηδέν τι μέγα δράσαντες· καὶ τὸ πτῶμα ἦν ὡς δεινόν. Διόπερ ὁ φρονῶν οὔτε ἐπ' ὀδήλῳ πράγματι πολλὰ τυρβάσει, καὶ οὐδὲ τὸ θεῖον ἑαυτῷ ἀπαγάγῃ. ὃ τοὺς πάσχοντας καὶ μὴ ἀμυνομένους ἐκδικεῖν φιλεῖ.

B

C

96. Si ergo conceditis ista, quid me solum absistere cogitis a consilio et sollicitudine et metu super me, qui, siquidem vindicare me cogitem ab inimicis, ero inimicus Deo; si vero declinem illorum vexationem, vos quidem pingitis me quomodo melides vobis adjuvarent? Qui vero dijudicat, at ille diriget me, reddetque firmum ac tutum, et mentem et oculos in capite habentem (hoc porro depicti sapientis est proprium). Non habeo quidem comparare memetipsum, ut secundum ipsum accurate depingar : sed quantum possibile est adumbratus, non in anima pono de quibus vexor vindictam, nec mihi talis actio per vitam computatur. Insuper autem illum qui se vindicat vanum æstimo declaroque, non solum ut jactatorem condemnans, opinantem esse super omnia tribulare, sed etiam ut non omnino sensatum. Videtur enim talis nescire quod omnis vindicta non habet ex necessitate solam actionem, sed etiam contrariam invenit passionem, et hanc plerumque solam. Æquum est, ut aliquis dixit, aggressorem male prosperare. Innumeros quoque novimus qui currentes ad vindictam, nihil operati magni, prius corruerunt: et ruina magna nimis erat. Ideo prudens nec in obscuro negotio multa ciebit, nec divinum auxilium abs se rejiciet, quod patientes et non se vindicantes ulcisci amat.

ιζ'. Θὐκοῦν, καὶ ὅτε ἐν χρῷ γέγονα χρόνου, καθ' ὃν ἐγνώσθη μοι τὰ κατ' ἐμοῦ φαυλισθέντα, ἐξὸν ὃν καὶ λαλῆσαι, καὶ ὡς εἰκὸς ἀντιβλέψαι, ὅμως ἐσίγησα ταπεινωθείς, ὡς εἰ καὶ ἐκωφώθην σφόδρα· καὶ πάντως ἔδει οὕτω με διατεθῆναι, εἰδότα, ποίου δεσπότου δοῦλός εἰμι, οὐκ ἐθέλοντος, ἡμᾶς τοὺς αὐτῷ δεδουλωμένους ἀντεπεξάγεσθαι τοῖς ἐκφλυαρίζουσι τὰ ἡμέτερα, μενοῦνγε τὰ τῶν ἐλπίδων πείσματα εἰς τὴν κατ' αὐτὸν πέτραν ἀνάπτειν, καθ' ἣν οὐδεὶς ἐνεργήσει σάλος τὰ ἑαυτοῦ. Εἰς γὰρ τὸ πᾶν εἰπεῖν, ὄψέ ποτ' ἂν ὁ κοινὸς ἀγαπήσῃ δεσπότης δοῦλον ἀμυνόμενον, καὶ μὴ ἐξηρτημένον τῆς αὐτοῦ δυνάμεως, καθὰ δηλοῖ καὶ ὁ Ψάλλων, ἐπὶ τῷ ὀνόματι Κυρίου ἀμύνασθαι τοὺς ὅσοι κυκλοῦντες ἐκύκλουν αὐτόν. Ἄλλως δὲ καὶ πῶς ἂν ἀμυνεῖται ὁ στρέφων εἰς νοῦν, οἷου μακαρισμοῦ ὁ τοιοῦτος ἔξω πίπτει, μὴ τὼ χέρε συνδέων, καὶ προτιθεὶς ἑαυτὸν τοῖς ἢ παίειν ἢ πατεῖν ἐθέλουσι; Κακορρήμονεῖται ὁ κατὰ Θεὸν ἄνθρωπος· καὶ τί τοῦτο πρὸς αὐτὸν, εἰ φρονεῖ τὰ τῆς γραφῆς; Ὀνειδίζεται· καὶ τί ἂν αὐτὸν βλάψοι ὁ τοιοῦτος ψόγος, οὐκ ἔχων διαβαίνειν εἰς ψυχὴν, εἴ τις ἀκούει στεγανώτερον; Διώκεται· καὶ μέχρι τίνος; Οὐ γὰρ δήπου καὶ ὑπὲρ τὰ Γάδειρα. Εἰ δὲ καὶ τοῦτο, ἐγγὺς αἱ τῶν μακάρων ἱστορούμεναι νῆσοι, καὶ καταπαύσει εἰς αὐτάς.

D

97. Itaque cum in ipsum tempus pervenissem, quo nota sunt mihi prava contra me facta, liceretque loqui et naturaliter contra nocere, tamen humiliatus silui, tanquam hebetem valde, et omnino decebat me taliter [disponi, scientem, qualis Domini sim servus, nolentis nos qui ipsi servimus progredi contra eos qui nostra deridenl, rationes autem spei vult super ipsius petram volentis inniti, contra quam nullus ex se prævalebit fluctus. Etenim, ad totum loquendum, sero communis Dominus diligeret servum se vindicantem et ex ipsius potentia non pendentem, sicut explicat ille qui psallit, se in nomine Domini propulsare eos qui circumdantes circumdabant eum. Alias autem quomodo se vindicaret ille qui revolvit in mente de quali beatitudine talis excidat, qui non, duabus ligatis manibus, se submittit illis qui ludere vel conculcare volunt? Maledicitur homo qui secundum Deum est; quid hoc ad illum, si modo Scripturam cogitet? Conviciis petitur: quid læderet eum hujusmodi vituperatio, quæ non potest ad animam transire, dummodo quis tectus audiat? Persecutionem patitur : usquequo? Non certe ultra Gades, Si vero ita est, prope sunt celebratæ beatorum insulæ, in eisque requiescet.

98. Audire debemus dicentem : « Beati estis, A cum exprobraverint vos ac persecuti fuerint[20], » et reliquum ; in quo ponitur etiam omne verbum calumniosum ac falsum propter Deum illatum. Annon porro hæc omnia pluerunt contra nos, nebula super nos impendente, quam vapores humidi patriotici victus et odii extranei, elevaverunt et in densum contraxerunt ? Convicia passi sumus, quotquot opprobrium inferre possunt. Persecutionem sustinuimus, quæ pendet ab osoribus, quibus præsentia loca non esse capacia reperiuntur, quasi sane nobis totum replentibus, et hunc universum cæteris non habitabilem facientibus. Et tamen nihil magis quam nos circumscriptum. Quantulum enim occupabit locum, pulex unus, et cui magnus David semetipsum assimilavit ? Pronuntiatum est etiam B contra nos verbum, non hoc aliquid simpliciter, sed omne. Nam eheu ! qualia audivimus ! pleraque placer nequeunt linguæ quæ didicit honesta loqui. An vero non fallaciter hæc dicta sint, sed ex veritate, nondum quidem criminosam percepi demonstrationem : ecce vero certaminis statio, et si coronam meruerit adversum nos qui procedere contra fuerit ausus, corruam et a divina beatitudine et etiam a vita. Sed et si verbum « propter me » hic convenit (propter Deum enim mihi sunt hujusmodi passiones, et propter justitiam et veritatem ejus) ; non amplius decertare volo, ne revelans molesta, propter quæ steti adversarius et hic contra me succendi incendium, forte audiam « ecce C qui mali meminisse negat coactus passione convincitur, » hunc sermonem extraneum, nec nobilem nec strenuum, resonantiam linguæ inhonesta canentis, et talis quæ balbutire nugas et nihil opportunum loqui sciat.

99. Sic ego non ulcisci machinor, sed et cujuslibet hujusmodi personæ negotique importunitatem et imperitiam et mane studium observo, judicans et hoc ex me, quod illi qui maledicunt quemdam non prorsus ab usu dicendi alienum, in reprehendentem aciem inire videntur. Omnis autem talis dilectus esset rationem habenti, secundum istud : « Reprehende sapientem, et diliget te[21]. » Addo tamen hoc pro veritate, quod, ubi quidem amicus reprehendit, ibi prorsus est jucunda reprehensio, et erudiens et sic corrigens ; ubi vero inimicus est qui reprehensionis acerbæ verba profert, ibi jucunditatem reprehensio secum non affert, eo quod ex ore non amico, nec melliſluente, sed eructante quæcunque loquens audienti putat esse mala, exit. Non vero tamen hujusmodi reprehensio cessat, quin utilis sit. Quemadmodum enim qui corpus sanum vult, etiam, plusquam ipsum mel, amarum absinthium æstimabit ; sic et qui vult anima sanus esse, quod utile est emendicabit, sicut ab amica locutione ; sic etiam ab illo qui ut inimicus loquitur. Itaque, sicut invenit quod ad

ιη'. Ἀκουστέον τοῦ εἰπόντος· « Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, » καὶ τὸ ἑξῆς ὅλον, ἐν ᾧ κεῖται καὶ πᾶν ῥῆμα κατήγορον ψευδές τε καὶ ἐπαγόμενον ἕνεκεν τοῦ Θεοῦ. Ἦ γὰρ οὐ ταὐτὰ πάντα καθ' ἡμῶν βέβρεκται, νέφους ὑπερκρεμασθέντος ἡμῶν, ὅπερ ἀτμίδες καὶ ὑγροῦ μὲν ἡμεδαποῦ βίου, καὶ μίσους δὲ ἀλλοτρίου, ὕψωσαν καὶ συνέστησαν εἰς πύκνωμα ; Ὠνειδίσθημεν, ὅσα καὶ προενεγκεῖν αἰσχύνην ἔχει. Ἐδιώχθημεν τό γε ἧκον εἰς τοὺς μισήσαντας· οἷς οὐκ εἶναι τὰ ἐνταῦθα χωρητὰ ἐνέστηται, ὡς ἡμῶν δῆθεν τὸ πᾶν πληρούντων, καὶ τὴν ἐνταῦθα οἰκουμένην ποιουμένων ἀοίκητον τοῖς λοιποῖς. Καὶ μὴν οὐδὲν ἡμῶν εὐπεριγραπτότερον. Πηλίκον γὰρ καθέξει τόπον ψύλλος εἷς, ὁποίῳ καὶ ὁ μέγας Δαυὶδ ἐξίκασεν ἑαυτόν ; Ἐῤῥέθη καὶ καθ' ἡμῶν ῥῆμα, οὐ τόδε τι ἁπλῶς, ἀλλὰ πᾶν. Οἵμοι γὰρ, ὧν ἠκούσαμεν, ὧν τὰ πολλὰ οὐδὲ ὀχεῖσθαι δύναται εἰς γλῶσσαν σεμνὰ φράζειν μεμαθηκυῖαν. Εἰ δὲ μὴ ψευδῶς ἐκεῖνα λελάληνται, ἀλλὰ πρὸς ἀλήθειαν, οὐκ ἔχω μὲν κατηγορικὴν ἀπόδειξιν ἔτι μεμαθηκώς· ἰδοὺ δὲ βῆμα πάλης· καὶ εἰ στεφανωθείη κατ' ἐμοῦ ὁ προβῆναι τεθαῤῥηκὼς εἰς ἀντίπαλον, ἐκπέσοιμι καὶ τοῦ θεόθεν μακαρισμοῦ, καὶ τοῦ ἔχειν ζωήν. Εἰ δὲ καὶ τὸ « ἕνεκεν ἐμοῦ » ἁρμόττει ἐνταῦθα (Θεοῦ γάρ μοι ἕνεκεν αἱ τοιαῦται πάθαι καὶ τῆς κατ' ἐκεῖνον καὶ δίκης καὶ ἀληθείας), οὐκ ἐθέλω τέως ἐπαγωνίσασθαι, μὴ καὶ ἀποδεικνὺς τὰ φορτικὰ, ὑπὲρ ὧν ἐνστάτης προεστὼς ἐξέκαυσα ἐγχώριον κατ' ἐμοῦ πυρκαϊὰν, ἀκούσω ποθὲν, ὡς ἰδοὺ ὁ ἔξαρνος τοῦ « μνησικακεῖν » ἐνισχόμενος τῷ πάθει ἁλίσκεται, παράμουσον τοῦτον λόγον, καὶ οὐκ εὐγενῆ οὐδὲ δραστικὸν, ἀπήχημα γλώσσης φθούσης ἀνάρμοστα καὶ οἷας βατταρίζειν εἰδέναι, καὶ μηδὲν λαλεῖν καίριον,

ιθ'. Οὕτως ἐγὼ οὔτε ἀμύνασθαι τεχνῶμαι, καὶ παντὸς δὲ τοιοῦδε προσώπου καὶ πράγματος ἀκαιρίαν καταφράζω καὶ σκαιότητα καὶ σπουδὴν ὑπόκεινον, κρίνας καὶ ἐκεῖνο πρὸς ἐμαυτοῦ, ὡς οἱ κακολογοῦντές τινα μὴ πάνυ ἐστερημένον τῆς ἐν λόγῳ διαγωγῆς, εἰς ἐλέγχοντα δοκοῦσι τετάχθαι. Πᾶς δὲ τοιοῦτος ἀγαπητὸς ἂν εἴη τῷ λόγον ἔχοντι κατὰ τὸ « Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε. » Προστίθημι μέντοι κἀκεῖνο πρὸς ἀκρίβειαν, ὡς, ἔνθα μὲν φίλος ἐλέγχει, ἐκεῖ πάντως καὶ ἡδὺς ὁ ἔλεγχος, καὶ διδασκαλικὸς, καὶ οὕτως ἐπιστρεπτικός· ὅπου δὲ ἐχθρὸς ὁ ἀναταράττων τὰ εἰς δριμὺν ἔλεγχον, ἀλλ' ἐκεῖσε ἡδονὴν μὲν ὁ ἔλεγχος οὐκ ἐπισύρεται, ἐπεὶ δὴ μηδὲ φιλικοῦ πρόεισι στόματος, μέλι ἀποῤῥέοντος, ἀλλὰ ἐξερευγομένου, ἅπερ ὁ λαλῶν οἴεται πρὸς κακοῦ εἶναι τῷ ἀκούοντι. Οὐκ ἐστέρηται δὲ ὅμως οὐδ' ὁ τοιοῦτος ἔλεγχος τοῦ προσιτὸς εἶναι. Ὡς γὰρ ὁ μελετῶν ὑγιαίνειν ἐς σῶμα, τιμήσεταί ποτε καὶ πρὸς αὐτοῦ μέλιτος τὸ πικρὸν ἀψίνθιον, οὕτω καὶ εἰς ψυχὴν εὐεκτεῖν ἐθέλων, ἐρανίσεται τὸ ὠφελοῦν, ὥσπερ ἀπὸ φιλικῆς λαλιᾶς, οὕτω δὲ καὶ ἀπὸ τοῦ πρὸς ἐχθρίαν λαλοῦντος. Οὐκοῦν καὶ ὥσπερ ἐκ φίλου εὑρίσκει τὸ κατορθοῦσθαι

[20] Matth. v, 11. [21] Prov. IIX, 25.

εἰς εὐθὺ ἀρετῆς, οὕτω καὶ ἀπὸ δυσμενοῦς· εἰ καὶ ἐκεῖνο μὲν γλυκέως, ὑποπίκρως δὲ τοῦτο. Λογιεῖται γὰρ εὖ μάλα ὀρθῶς ὁ ἀκούων κακῶς, ὅτι ἀληθεύοντος μὲν τοῦ ἐχθροῦ κερδαίνει σωτήριόν τι ὁ κακολογούμενος, διότι φέρει θριαμβευόμενος, καὶ κατανύσσεται ἐς ψυχήν, καὶ φεύγει τὴν εἰς τὸ κακὸν ἐπιμονήν, λέγων καὶ αὐτὸ τὸ « Εἰ οὕτω γνωστὸν γέγονε, » καὶ θεραπείαν τινὰ ἔχων τὴν ἐν κόσμῳ κατάκρισιν. Καὶ οὕτω μὲν, εἴπερ ἀληθεύει ἐκτιθεὶς ὁ ἐχθρὸς τὰ τοῦ μισουμένου κακά· εἰ δὲ καὶ ψεύδοιτο, ὁλλὰ καὶ τόδε κέρδος μέγα τῷ κακολογουμένῳ, καὶ οὐ μόνον ὅτι, ὡς οἴδαμεν, μακαρίως πάσχει καταμαρτυρούμενος οὕτω ψευδῶς, ἀλλὰ καὶ εἰς τὸ μέλλον ῥυθμίζεται, διανοούμενος, ὡς εἰ καὶ μὴ ποιήσας χρωματίζεται οὕτως; οἷος ἂν εἰκονισθείη παραπεπτωκὼς εἰς ἁμάρτημα. Οὕτως ἐγὼ φρονῶν περὶ ἀμύνης, οὐκ ἂν γενοίμην τοῦ ἀμύνεσθαι, μὴ καὶ ἀπαγάγοιμι ἐμοῦ αὐτοῦ τὸ σώζεσθαι.

ρ'. Ἀλλὰ μή μοί τις ἐνταῦθα σοφιστικὰ παίζειν ἐθέλων ὑποφερέτω, καὶ χάριτας ἀποφείλειν χρῆναι ἀναφανδὰ τοῖς κακοποιοῦσιν, εἴπερ τὸ τοιοῦτον κακὸν καὶ εἰς ἰατρείαν τοῖς εἰδόσι φέρειν ἐγγράφεται, καὶ εἰς διδασκαλίαν, καὶ εἰς εὐεργέτημα, καὶ εἰς ὅσα τοιαῦτα· μηδὲ ἀξιούτω ἡμᾶς τὸ κακὸν, ὃ τὴν « μνησικακίαν » παρανομάζει, μεταγράφειν εἰς ἀγαθὸν, καὶ ἀντονομάζειν, ὡς δῆθεν καλόν· ἵνα οὕτω χρεὼν εἴη, καὶ διδασκάλοις ἐγγράφεσθαι τοὺς κακοποιοῦντας, ὡς οἷα πρὸς ἀρετὴν ἐπιστρέφοντας τὸν κακούμενον, εἴπερ εὖ ἐκεῖνος φρονοίη, καὶ τὴν κάκωσιν ἀνάγοι πρὸς παίδευσιν, ἀναλογιζόμενος, ὡς οὐκ ἀγαθὰ πράξας εὑρίσκει τοὺς κολάζοντας, λέγων που καὶ αὐτὸς καιρίως, ὅτι τὰ ἔργα τοὺς λόγους εὑρίσκεται, καὶ ὡς νοσημάτων ψυχῆς τοιοῦτον φύεται νοσήλειον φάρμακον.

ρα'. Μὴ δὴ τοιαῦτά τινα ὑποκρουέσθω τις παίζειν ἐθέλων καὶ γελοῖα σοφίζεσθαι. Πρῶτα μὲν γὰρ ὁ τοιοῦτος ἀκούσεται, ὡς, εἴπερ ἀγαθὸν αὐτόχρημα τὸ κακοποιεῖν, τί δήποτε ὁ κακὸν ποιῶν αὐτὸ τοῦτο ποθὲν ἐλεγκτικῶς ὀνειδιζόμενος ὀκνεῖ ἀκούειν, καὶ δυσχεραίνει τὸν λόγον, καὶ οὐ χαίρει μανθάνων οἰκεῖον ἔπαινον; Ἀλλὰ ἦ βύει τὰ ὦτα πρὸφ τὸν ὀνειδον, ἢ ἀκούει μὲν, ἀντερεύγεται δὲ γογγυσμοὺς, καὶ ὑβριζόμενος, ὅτι κακοποιεῖ; Ἔπειτα δὲ προσακούσεται καὶ, ὅτι λαλεῖ μὲν ὁ οὕτως ἀξιώσας πρᾶγμα τολμηθῆναι δυνάμενον, καὶ παραλαλεῖ ἐπιείκειαν. Δυνάμεθα γὰρ οὕτω ποιεῖν, καὶ ὀνομάζειν τὸν ἐχθρὸν μὲν ἄλλο τι σεμνὸν, καὶ ἐντάττειν αὐτὸν μὲν εἰς εὐεργέτου τόπον, τὸ δὲ τῶν μωλώπων ἐξοιδοῦν καὶ ὕφαιμον εἰς πάχος εὔτροφον τιθέναι, φιλίῳ χυμῷ χρωζόμενον τὸ κατὰ ἐρύθημα, τὰ δὲ ῥαπίσματα εἰς φιλήματα, τὰς βλασφημίας εἰς εὐλογίας, τὰ καταπτύσματα εἰς μύρων χεύματα, τοὺς ἐκ τριχῶν ἑλκυσμοὺς εἰς κτενίσματα, ἐφ' οἷς πλόκαμοι πρὸς κάλλος κέχυνται. Καὶ δυναταὶ μὲν αἱ τοιαῦται μετωνυμίαι· οὐκ οἶδα δὲ, εἰ ἐκφευξεῖται ὁ οὕτως ἀντονομάζων εὐτραπελίας ἔγκλημα, καὶ τὸ εἴρων εἶναι, καὶ κλέπτειν εἴτε ἑαυτὸν εἰς νοήματα, καὶ τὸ ἐν ἀνθρώποις κοινωνικὸν ἐξαλλάττων οὕτω, καὶ ἀλλοφωνῶν, ὡς εἰπεῖν, καὶ ἀντιφράζων ἀλλόκοτα. Μήποτε δὲ ἐπ'

A virtutis rectitudinem ducit ex amico, sic et ab hoste infenso, licet quidem dulciter illud, hoc autem amare. Rectissime namque reputat qui male audit, quoniam, inimico vere quidem loquente, lucratur aliquid salutare maledictus, eo quod fert triumphaliter, et anima compungitur, et in malo perseverantiam fugit, dicens et hoc ipsum : « Si notum factum est; » et quamdam curationem ex mundana condemnatione trahens. Et ita quidem est, si verax est inimicus odiosi mala explicans; si vero mentiatur, hoc etiam magnum lucrum est maledictionem patienti, non solum, quia veluti scimus, qui sic fallaciter malo testimonio lacessitur, beate patitur, sed etiam quia in posterum recte dirigitur, considerans, quod si quidem non operatus taliter B depingitur, qualis repræsentaretur in peccatum prolapsus. Sic ego de vindicta sentiens, ad vindicandum haud venirem, ne procul a me salutem efficiam.

100. Attamen ne quis mihi volens hic jocose opponere sophistica, dicat gratias etiam aperte malefacientibus esse reddendas, siquidem hujusmodi malum in curationem ferre scientibus censetur, et in disciplinam, et in beneficium, et in alia similia; neque existimet malum, quod mali memoriam cognominat nos, inter bona referre, aliterque nominare, quasi scilicet bonum; ita ut opus esset, inter magistros inscribi malefacientes, tanquam ad virtutem convertentes vexatum, dummodo quidem ille recte sentiat, et vexationem pro C vehat in disciplinam, reputans quod non operatus bona, adulatores invenit, dicens autem etiam ipse non importune, quod opera rationes inveniunt, et tanquam animæ morborum tale producitur salutare remedium.

101. Non sane talia quædam aliquis, iudere volens et jocose sophisticeque cavillari, proferat. Primo quidem enim audiet, quod, si bonum reipsa est malefacere, quid tandem malum facientem de hoc ipso vituperationem ac reprehensionem audire piget, hicque ægre fert sermonem, nec discere suam laudem gaudet? Sed vel obturat aures ad exprobrationem, vel audit quidem, at murmur eructat, etiam injuriæ habens, quod malefacit? Deinde vero quoque audiet, quod loquitur quidem, qui D judicavit ita rem ausu possibilem, sed extra sensum loquitur. Possumus enim sic facere nominareque inimicum aliud quid honestum; et ipsum quidem in beneficii locum provehere, plagarum autem tumorem et ruborem in nutritoriam pinguedinem, amico succo rubescentem, inscribere; alapas in oscula, blasphemias in benedictiones, sputamenta in unguentorum fusiones, capillorum circinos in comptum, quo pulchre comæ fluunt: Possibiles quidem sunt hujusmodi metonymiæ: non autem scio, an qui sic antonomastice loquitur, scurrilitatis vocamen effugiet, nec joculator dicetur, aut non in cogitationibus se seducens habebitur, sic, quod commune est in hominibus, immutans extraneamque fere linguam loquens, et per

antiphrasim absurda dicens. Nisi vero forte hic ludatur istud : Lingua dixit, mens vero non erat consors nec concinens. Forsan autem ipse sumet ordinem cum ita ludente : Quis scit an vivere sit idem ac mori? et cætera. Nonne enim idem lusus est dicere : Quis scit an conspuere sit amplecti, virgaque ferire amice salutare, et reliqua, quibus se jactabit ille qui maleficia reputari vera beneficia judicat?

102. Non igitur possem, quemadmodum per antonomasiam vocare, sic nec in idipsum ponere magistrum eum qui me male tractat. Nulla enim magistralis vexatio malitia reputatur : quod autem per maleficium fit, malitiæ nomine taxatur, et Deo non placet. Bona quidem sunt omnia disciplinarum acerba, injuria, vexationis minæ, minarum in opus productio, torvorum oculorum conjectus, et reliqua. Non enim ad malitiam, sed ad virtutis informationem adinventa sunt. Ideo concurrimus ad ita docentes, et mercede punitiones illorum commutamus, et libenter gravissima sustinemus. Et si non ita pati velimus, excurrimus quidem ab his magistris, qui pure dulces sunt, et asperari nesciunt ; fimus autem sub aliis, qui miscent cum dulci amarum, et ita mœrorem seminantes, pulchram in posterum educunt messem. Talia quidem sunt quæ pertinent ad amaros magistros, quorum finis est dulcedo. Qui vero malefaciunt, præstant quidem amaritudinem, non tamen ut dulcem inducant disciplinam, sed ut perdant. Si quis autem probe et absque mali memoria vivit, dulcedinem secundum virtutem sentit, at hic quidem est secundum Deum et per Deum, et ex Deo, ac virtutis, quæ in patientia est, finis ; sed qui protulit amaritudinem, non erudivit, imo, quod ad ipsum attinet, perdidit.

103. Non igitur in magistrum mihi sophistice quis ponat adversarium, cujus interest, non juxta disciplinam sive verbis, sive operibus, ad virtutem convertere, sed, veluti si quæ carnivora fera vel fulmen quemdam consumeret, a vita abducere. His opportune, puto, superaddo, quod, si vel ab inimicis utilitatem percipere diligentiores recte agnitum et solerter excogitatum est, in sententiam dicta redigentes eruimus esse quandoque vel inimicitiæ magnum aliquid commodum. Si enim inimicum in beneficum ordinemus et magistri loco inscribamus, non jam declarandum erit quod possibile sit ex inimicis utilitatem percipere, sed potius quod naturale sit ex beneficis et magistris quosdam excipere commoda. Et sic quidem e vita tolletur quidem utilissima sententia, substituetur autem quod vix auditum aliquis ridebit.

104. Scio quidem quod aliquis respondebit, et insuper gratias esse reddendas hostiliter agentibus, siquidem prorsus aliquando sunt utiles. Talis autem audiret a me, quod si gratias istis novi, eum peccator ab illis per conversionem in meliorem sum mutatus, attamen non sane hac ista ratione simul

αὐτοῦ καταπαιχθήσεται τό· Ἡ γλῶττα εἶπεν, ἡ δὲ φρὴν ἀσύνθετος καὶ ἀσύντροχος. Τυχὸν δὲ ταχθήσεται καὶ αὐτὸς μετὰ τοῦ παίξαντος τό· Τίς οἶδεν, εἰ τὸ ζῆν μὲν ἔστι κατθανεῖν; καὶ τὰ ἑφεξῆς. Ἢ γὰρ οὐ τοιοῦτον παίγνιον καὶ τὸ φάναι· Τίς οἶδεν, εἰ τὸ καταπτύειν ἀσπάζεσθαί ἐστι, καὶ τὸ ῥαπίζειν δεξίωσις, καὶ ὅσοις τοιούτοις ἐναγλαΐσεται ὁ ἀξιῶν, τὰς κακοποιΐας εἰς αὐτόχρημα εὐεργεσίας λογίζεσθαι;

ρβ'. Οὐκ ἂν οὖν δυναίμην, ὥσπερ ἀντονομάζειν, οὕτως οὐδὲ εἰς αὐτὸ τοῦτο διδάσκαλον τιθέναι τὸν ἐμοὶ κακῶς προσφερόμενον. Οὐδεμία γὰρ τῶν διδασκαλικῶν κακώσεων εἰς κακίαν ἐγγράφεται· αὐτὸ δὲ διὰ τὸ κακοποιεῖν κακίας τε ὀνόματι ἐπιγράφεται, καὶ οὐδὲ Θεῷ φιλεῖται. Καὶ ἀγαθὰ μὲν πάντα τὰ ἐκ διδασκάλων δριμύττοντα, ἡ κακολογία, ἡ τῆς κακώσεως ἀπειλή, τὸ τῆς ἀπειλῆς προαγόμενον εἰς ἔργον, οἱ παραβλῶπες ἐντρανισμοί, τἆλλα. Οὐ γὰρ κατὰ κακίαν, ἀλλ' ἀρετῆς παίδευσιν ἐπιτετήδευται. Διὸ καὶ προστρέχομεν τοῖς οὕτω διδάσκουσι, καὶ μισθοῦ τὰς ἐξ ἐκείνων κακώσεις ἀλλαττόμεθα, καὶ ἑκόντες ἐπαχθιζόμεθα τὰ βαρύτατα· κἂν εἰ μὴ οὕτω πάσχοιμεν, ἐκτρέχομεν ἐκείνων τῶν διδασκάλων, τῶν ἀκράτως μὲν γλυκαινόντων, πικραίνειν δὲ οὐκ εἰδότων· γινόμεθα δὲ ὑπὸ ἄλλοις, οἳ τῷ ἡπίῳ συγκιρνῶσι τὸ δάκνον, καὶ οὕτω λύπην ἐνσπείροντες, εὐκαρπίαν προκαλοῦνται τὴν ἐσύστερον. Καὶ τοιαῦτα μὲν τὰ τῶν πικρῶν διδασκάλων, ὧν τέλος ὁ αὐτόθεν γλυκασμός. Οἱ δέ γε κακύνοντες πικραίνουσι μὲν, οὐχ ὥστε μὴν δεδασκαλικῶς γλυκαναι, ἀλλ' ἐξολέσαι. Εἴ δέ τις γενναίως φέρων καὶ ἀμνησικάκως γλυκύτητα πάσχει κατ' ἀρετὴν, ἀλλὰ τοῦτο μὲν κατὰ Θεὸν, καὶ διὰ Θεὸν, καὶ Θεοῦ, καὶ τέλος ἐστὶν ἀρετῆς τῆς ἐν ὑπομονῇ· ὁ δὲ πικραίνων οὐκ ἐπαίδευσεν, ἀλλὰ τό γε εἰς αὐτὸν ἦκον ἀνάλωσε.

ργ'. Μή μοι γοῦν σοφιστικῶς εἰς διδάσκαλον ἐγγραφέτω τις τὸν ἀντικείμενον, καὶ οὗπερ σκοπὸς, οὐκ ἐπιστρέψαι παιδευτικῶς τὰ μὲν λόγοις, τὰ δ' ἔργοις εἰς ἀρετὴν, ἀλλὰ ὑπεξαγαγεῖν βίου, ὡς εἰ καὶ θὴρ ὠμηστὴς ἢ καὶ σκηπτὸς ἀναλώσει τινά. Τούτοις προσεπάγω καιρίως, οἶμαι, ὡς, ἂν καὶ παρ' ἐχθρῶν ὠφελεῖσθαι τοὺς σπουδαιοτέρους ὀρθῶς τε ἐγνωμάτευται, καὶ δεξιῶς μεμελέτηται, ἀναιροῦμεν οἱ τὰ εἰρημένα γνωματευόμενοι τὸ εἶναί ποτε καὶ τῆς ἔχθρας μέγα τι προσωφέλημα. Εἰ γὰρ τὸν ἐχθρὸν εἰς εὐεργετοῦντα τάξομεν, καὶ εἰς διδάσκαλον μεταγράψομεν, οὐκέτι ἀποφαντέον, ὡς ἔστι καὶ ἐξ ἐχθρῶν ὠφέλειαν σχεῖν, ἀλλὰ μᾶλλον, ὡς ἄρα πέφυκε καὶ ἐξ εὐεργετούντων καὶ διδασκόντων ὠφελεῖσθαι τινάς. Καὶ οὕτως ἐκ τοῦ βίου οἰχήσεται μὲν γνωμάτευμα χρησιμώτατον, ἀντεισαχθήσεται δὲ, ὃ μὴ καὶ ἀκούσας τις ἐκγελάσηται.

ρδ'. Καὶ οἶδα μὲν, ὡς ὑποκρούσεταί τις, καὶ εἰσέτι χαριστέον εἶναι τοῖς ἐχθραίνουσιν, εἴπερ ὅλως ὀπωσοῦν ὠφελοῦσιν. Ἀκούσοι δ' ἂν ὁ τοιοῦτος ἐκ γε ἐμοῦ, ὡς, εἰ καὶ οἶδα τούτοις χάριτας, ἐφάμαρτος ὢν καὶ βελτιούμενος ὑπ' αὐτῶν εἰς ἐπιστροφὴν, ἀλλ' οὐ δῆπου τῷ λόγῳ τούτῳ σύνοιδα, καὶ ἀγαθοὺς αὐτοὺς εἶ-

νει εἰς ἐμὲ ὅτι μηδὲ προτίθενται τὴν ὠφέλειαν. Ἀλλ' αὐτοὶ μὲν εἰς κάκωσίν βάπτουσιν, ἡ δὲ κάκωσις, Θεοῦ μεταποιοῦντος, ἀλλοιοῦται εἰς τὸ λυσιτελές· ὅθεν οὐδ' ἂν αὐχήσαιεν κατὰ τοὺς διδασκάλους, ὡς ἄρα τόδε τινὰ κακώσαντες ἐδίδαξαν εἰς ἀγαθόν. Ἀλλ' ὁ μὲν διδάσκαλος θαῤῥούντως ἂν ἐναγλαΐσηται τῷ δεδαγμένῳ, καὶ προβαλεῖται, ὅσα δριμυξάμενος οἷα ἐδίδαξεν ἀγαθά· ὁ δὲ μεμαθητευμένος προσκυνήσει, καὶ οἱ ἀκούοντες μακαρίσουσιν. Ὁ δὲ κακοποιήσας οὐκ ἂν ἐναβρυνθείη ὁμοίως οἷς δέδρακεν, ὡς οὐδ' ἂν αἱ νόσοι ἀγαθολογήσωσιν ἑαυτάς, εἴ γε πολλοὺς κακύνουσαι, πρὸς ἀρετὴν ἐπιστρέφουσιν. Οὔκουν ταὐτόν ἐστι τὸ διδάσκειν καὶ οὕτως εὐεργετεῖν, καὶ τὸ κακοποιεῖν καὶ οὕτω δοκεῖν εὖ ποιεῖν. Ἀλλ' ἐκεῖνο μὲν ἀγαθὸν τῷ ὄντι, εἰ καὶ ὁ διδαχθεὶς ἀπεκβαίη ἐπίῤῥητος· τοῦτο δὲ φαῦλον, εἰ καὶ ὁ κακωθεὶς γένοιτο ἅγιος διὰ τὸ φερέπονον. Καὶ ἐκεῖνο μὲν αὐτοάγαθόν τι, τοῦτο δὲ αὐτοκακίας ἔργον. Εἰ δὲ καὶ ἀγαθόν τι δοκεῖ, ἀλλὰ φαντάζει τὴν ἀγαθότητα, ὡσεὶ καὶ πίθηκος ἄνθρωπον, ἢ καὶ τὸ ἐν χελιδόνι τεχνοειδὲς τέχνην οἰκοδομικήν. Τάχα δὲ θετέον τόν, ἐν οἷς βλάπτειν ἐθέλει, ἐπωφελοῦντα εἰς τὸν πλήξαντα μὲν ἐπὶ φόνῳ, ἰασάμενον δὲ ἢ ἀπελεύσει αἵματος, ἢ πληγῇ τομῶντος τραύματος· ὃν εἰκονίσοι μὲν ἂν τις εἰς εὐεργέτην σκιαγράφου δίκην, οὐκ ἂν δὲ διαζωγραφήσοι καὶ εἰς ἐντελές. Μενοῦν γε καὶ περιτυχών ποτε, ἀποτρίψεται ὡς ἐχθρὸν, καί που καὶ ἀμυνεῖται, ὡς δύναμις. Ἀλλ' ἐγὼ τοῦτο μὲν οὐκ ἂν οὐδὲ ἐνθυμοίμην, εἰ μὴ Θεὸς αὐτὸς ἐξέληταί μου τὸ φρονεῖν. ε Ἀμνησικακῶν δὲ, ὡς ἐκεῖνος ἐντέλλεται, ἄλλο μὲν εἶναί φημι διδάσκαλον καὶ εὐεργέτην, ἄλλο δὲ τὸν ὡσανεὶ διδάσκαλον καὶ ὡς οἷον εὐεργέτην, καὶ εἶναι τιμιωτάτους μὲν τοὺς πρώτους, ὑστερεῖν δὲ εἰ; πρεσβεῖον τοὺς λοιπούς.

ρϛ'. Μὴ οὖν αἱρετιζέτω τις, καὶ ἐκεῖνα καὶ ταῦτα συνάγειν εἰς ἕν, ἀλλ' ἐάτω μὲν φεύγειν, ὅστις ποτ' ἂν καὶ εἴην ἐγὼ, τὸ φευκτὸν, εἴτε κατὰ τὸν τῆς ἐρήμου, ἣν καὶ ἐφίλει ἐκεῖνος, εἴτε κατὰ τοὺς δειλούς. Ἐάτω με φρονεῖν καὶ νοεῖν καὶ εἰδέναι διαφορὰς ἠθῶν, καὶ τί μέν ἐστιν ἀδελφὸς ὁ ἁπλῶς, τί δὲ φίλος, τὸ ἐν τοῖς καθ' ἡμᾶς μὲν εἰκαῖον καὶ ῥᾴδιον καὶ πολύχροον, τοῖς δὲ σπουδαιοτέροις μάλα πεπονημένον καὶ μονάζον, καθ' ὃ καὶ κοινὰ τοῖς φίλοις τὰ πάντα γίνεται. Οὐ γὰρ ἔστι κατὰ τὸ τυχὸν φίλον ἄνθρωπον εἶναι πάντα, οὐ μὴν οὐδὲ ἀδελφόν. Ἀλλὰ χρὴ μὲν οὕτω; εἶναι· ἡμεῖς δὲ οὐ ποιοῦμεν οὕτως, ἀλλ' ὀνόμασι καὶ μόνοις ὁσιούμεθα, ὥσπερ τὸν ὁμόγνιον, οὕτω καὶ τὸν φίλιον. Ἔστιν οὖν μοι τὸ ἀξίωμα, τὸν μὲν εὐεργετοῦντα ὑπεραγαπᾷν, τὸν δὲ κακοποιοῦντα φέρειν, ὡς δυνατὸν, καί πως ἀγαπᾷν, καὶ ὑπερεύχεσθαι· τὰ πλείω μὲν στῆσαι τὴν κάκωσιν, καὶ ῥαῖσαι τῆς ἀγαναχτήσεως, παρενσπείρειν δέ που καὶ εὐχὰς τὰς ὑπὲρ αὐτοῦ, καὶ λέγειν τό· Μὴ στήσῃς αὐτῷ, Κύριε, τὴν ἁμαρτίαν ταύτην. Καὶ μὴν τοῦτο φίλον μὲν τῷ κακοποιοῦντι ἁπλῶς ἀκουόμενον. Φιλοίη γὰρ ἄν, εἴπερ, ἐν οἷς κακόν τι ποιεῖ, ἀγαθὸν εὑρίσκει τὸ ἐκ τῆς εὐχῆς; Πλὴν ἀλλὰ ἐμβαθύνων τῷ λόγῳ, βλεπέτω τὴν τοιαύτην εὐχὴν, μή τι καὶ βαρύτητος ἔχῃ. Στῆ-

A not ip os erga me bonos esse, nisi quod proferant utilitatem. Ipsi quidem in injuriam mergunt; injuria vero, Deo mutante, convertitur in commodum. Unde gloriari non possent, secundum magistros, quod aliquem male tractantes in bonum docuerint. Magister quidem confidenter sibi complaceret in edocto, allegaretque, quantum fuit severus, tantum edocuisse boni; eruditus autem adoraret et audientes dicerent beatum. Qui vero male fecit, non similiter in his quæ patravit gloriaretur, sicuti nec morbi se ipsos laudarent, eo quod multos vexantes ad virtutem convertant. Non igitur idem est docere, sicque benefacere, ac malefacere, sicque ad bene agendum erudire. Illud quidem revera bonum est, etsi qui doctus est evadat perversus; hoc autem parvum, etsi qui vexatus est, fiat per patientiam B sanctus. Si vero quamdam boni speciem gerit, bonitatem solum fingit, quemadmodum hominem simia, vel hirundinis speciem industriosa constructionis artem. Forte vero ponendum est illum qui, in his quibus nocere intendit, utilis est, in perculientem ad occidendum, sanantem autem cruoris effusione, vel vulneris abscindendi plaga: quem repræsentaret quidem aliquis in beneficum per modum adumbrationis, non autem omnino depingeret. Et vere forsitan occurrens, velut hostem evitabit, et forte, juxta potestatem, propulsabit. Hoc tamen ego quidem non mente conciperem, nisi Deus ipse mihi sensum auferat; verum haud mali memor, sicut ille jubet aliud quidem esse dico ma- C gistrum et benefactorem, aliud vero illum qui quasi magister et quasi benefactor est; esseque priores in honore multum, posteriores autem orbari laude.

105. Non igitur aliquis contendat in unum hæc et illa congregare; sed quod quidem fugiendum est, quisquis tandem ego sim, fugere sinat, sive sicut ille qui fugit in eremum quem amabat, sive sicut ignavi. Sinat me sapere, meditari, scireque morum differentias, quid sit quidem frater simpliciter, quid vero amicus; quod quidem in nostris est fortuitum et facile variumque; diligentioribus autem valde laboriosum et unicum, juxta quod etiam omnia dilectis communia fiunt. Non enim fieri potest ut casu sit amicus omnis homo, ne frater quidem. D Hoc quidem oporteret esse: nos autem non sic agimus, sed solis nominibus veluti propinquum, ita amicum, habemus sanctum. Igitur mihi pro lege est beneficum quidem magis diligere, malefacientem vero ferre, quantum possibile, et aliquatenus amare, et pro illo orare: præsertim quidem sistere malitiam et ab indignatione abstinere, fundere vero quoque propter illum preces ac dicere: Ne statuas illi, Domine, hoc peccatum[22]. Porro istud quidem amicitia malefacienti simpliciter intelligitur. Diligeretur enim, siquidem in his quibus malum infert, bonum orationis invenit. Attamen in altum rationis descendens talem intuea-

[22] Act. VII, 59.

tur orationem, ne quid etiam gravitatis habeat. Hic enim Statuere videtur intelligi : *ponderare*, sive *librare*, vel, uti ita dicam, *statera sistere*. Et significaret : Domine, ne juxta meritum statera ponderes; nec secundum proportionem exantines hoc peccatum; at si reprimi malos oporteat, erudi quidem et converte, terreque velut ad reprimendum, atque illis ostende potentiam tuam; non autem juxta æqualitatem, vel, ut clarissime loquar, ad æquipondium.

106. Sed, ut dicebam, non aliquis velit contra statutam ire consuetudinem in rebus per antonomasiam vocandis. Etenim si maleficum in beneficum, eo quod per patientiam utilitatem percipimus, inscribamus, ex consequenti amicum, si consultus non de regulis amicitiæ bene decernat, in inimicum; eo quod aliquid detrimenti fuerimus experti, per metonymiam transferemus. Hoc autem dici non poterit. Non enim ex effectibus opera solent, ut didicimus, characteres accipere. Possibile namque est boni finis pravissimum esse principium, etsi finis ille prospere terminetur, finis autem actionis non bonæ probissimum initium esse, etsi male successerit operatus. Itaque probissimus amicus semper probus est, etsi per eum aliquod dilecto subeat detrimentum; maleficus autem semper pravam sortitur appellationem, donec malus perseverat, etsi per accidens in beneficium ejus malitia terminetur. Hic autem dico confidentes, quod non dicit amicus : Nocui; memoriam non habeas. Verum haud ex proposito noxam amici novit, licet quam maxima mala ex illo patiatur. Nunquam amicus maledicit similem, numquam blasphemat, non odit, non rixatur, non diffidit amico, non fingit calumnias, non accusat. Anima vero non amica nec solertiam istorum habet. Si vero quandoque male ratiocinata velit dicere lacessito : Noli meminisse, sed semper amicus esto; jocatur in his quæ reposcit, nihilque tutum loquitur. Audiet talis a læso : Licet notus quidem sis et familiaris, non autem amicus. Nam omnis amicus in dilectum a recto verbo regulaque non deflectit. Si vero offendat, offensa non in istum haud excitatum ruet. Insuper autem talis audiet, quod juxta conscriptos in cives et ipse reputabitur. Et quemadmodum in civitatem aliquis ordinatus aliquandiu quidem non reipsa civis est, sed extranens; inscriptus autem in societatem, appositione filius fit civitatis, et secundus est ab indigenis tanquam hospes non pares ac cæteri participans honores, nisi deveniat, forsitan illustratus, sive per dignitatis ornamentum, sive per augmentum : sic et tibi aliquandiu quidem amicum erit contubernium : si vero favorabile tempus ad regularem amicitiam illuxerit, tunc in verum amicum, qui diligit unanimitatem, ordinaberis. Alias autem recte vereretur quis in te quod inexpertum est, interque cæteras rationes etiam quid forsan, his cognitis, hesternus socius, antiquus, semper amicus, sincerus, commodus, ab amico, in unum et ipsum

σαι γὰρ ἐνταῦθα δοκεῖ λέγεσθαι τὸ σταθμώσασθαι, εἶτ' οὖν ταλαντεύσασθαι, καὶ, ὡς εἰπεῖν, ζυγοστατῆσαι. Καὶ λέγοι ἄν· Κύριε, μὴ πρὸς ἀξίαν σταθμώσῃ, μηδ' ἀνάλογον τρυτανεύσῃς τοῦτο τὸ ἁμάρτημα· ἀλλ' εἰ καὶ δεήσει ἀνασταλῆναι τοὺς φορτικοὺς, παίδευσον μὲν καὶ ἐπίστρεψον καὶ ἐκφόβησον ὡς ἐπὶ ἀναστολῇ, καὶ γνώρισον αὐτοῖς τὴν δύναμίν σου, μὴ πρὸς ἀντάξιον δὲ, καὶ σαφέστατα εἰπεῖν, ἰσοστάσιον.

ρς'. Ἀλλ' ὅπερ ἔλεγον, μή τις ἐθελέτω πιρανομεῖν εἰς τὸ καθεστηκὸς κοινωνικὸν διὰ τοῦ ἀντονομάζειν τὰ πράγματα. Εἰ γὰρ τὸν κακύνοντα εἰς εὐεργέτην ἐπιγράψομεν, οἷς ἀνεξικακοῦντες ὠφελούμεθα, ἐξ ἀκολούθου καὶ τὸν φίλον, εἴ ποτε συμβουλευσάμενος οὐκ εὐστοχήσει τὰ ἐς φιλικὴν ὑποθήκην, μετονομάσομεν εἰς ἐχθρὸν, εἴ τί που βλαβησόμεθα. Τοῦτο δὲ μηδὲ λαλοῖτο. Οὐ γὰρ ἐκ τῶν ἀποτελεσμάτων οἶδε τὰ ἔργα χαρακτηρίζεσθαι, ὡς ἐμάθομεν. Εἰκὸς γὰρ καὶ ἀγαθοῦ τέλους φαυλοτάτην εἶναι τὴν καταρχὴν, εἰ καὶ αὐτὸ εὐτυχῶς τετέλεσται, καὶ πέρατος δὲ πράξεως οὐκ ἀγαθῆς χρηστότατον εἶναι τὸ κατάρξαν, εἰ καὶ ὁ πράξας δεδυστύχηκεν. Οὐκοῦν καὶ ὁ χρηστότατος φίλος ἀεὶ χρηστὸς, κἂν εἰ καὶ συνέβη τῷ φιλουμένῳ βλάβη τις δι' αὐτόν· καὶ ὁ κακύνων δὲ κληρονομεῖ διόλου φαύλης κλήσεως, ἕως ἂν μένοι κακὸς, εἰ καὶ εἰς εὐεργεσίαν οὕτω συμβὰν ἀπετελεύτησεν ἡ ἐξ αὐτοῦ κάκωσις. Λέγω δ' ἐνταῦθα θαῤῥούντως, καὶ ὡς οὐ λέξει φίλος· Ἐκάκωσα, καὶ μὴ ἔχε μνήμην. Ἀλλὰ κάκωσιν οὐκ οἶδε φίλου τὴν ἐκ προθέσεως, κἂν ὅτι μάλιστα δεινὰ ἐξ ἐκείνου πάσχῃ. Οὐδέποτε φίλος κακολογεῖ τὸν ὅμοιον, οὐδέποτε βλασφημεῖ, οὐκ ἐχθαίρει, οὐκ ἐρίζει, οὐ διαίζει ἑαυτὸν τοῦ φίλου, οὐ συμπλάττει διαβολὰς, οὐ κατηγορεῖ· ψυχὴ δὲ ἄφιλος καὶ οὐδὲ εὐμήχανος τῶν τοιούτων γίνεται. Εἰ δέ ποτε Μὴ εὐστοχήσασα ἐθέλει λέγειν τῷ πολεμηθέντι· μὴ μέμνησο, ἀλλὰ διόλου φίλος ἔσο· παίζει, ἐφ' οἷς ἀξιοῖ, ἀσφαλὲς δὲ λέγει οὐδέν. Ἀκούσεται γὰρ ὁ τοιοῦτος πρός γε τοῦ βλαφθέντος· Ὡς γνώριμος μὲν ἔσῃ καὶ συνήθης, φίλος δὲ οὐκ ἄν. Φίλος γὰρ ἅπας ἀναμάρτητος ὀρθῷ λόγῳ καὶ κανόνι πρὸς τὸν φιλούμενον. Εἰ δέ που καὶ προσκόψοι, ἀλλὰ τὸ σφάλμα οὐκ εἰς ἀνέγερτον ἐκεῖνον καταῤῥίπτει. Προσακούσεται δὲ ὁ τοιοῦτος, καὶ ὅτι κατὰ τοὺς πολιτογραφομένους λογισθήσεται καὶ αὐτός· καὶ καθάπερ τις ἐς πόλιν ξένος μὲν οὐκ αὐτόχρημα πολίτης ἐστὶν, ἀλλὰ δήπου ξένος· ἐγγραφεὶς δὲ εἰς φρήτρην, θέσει τέκνων γέγονε πόλεως, καὶ δευτερεύει τῶν ἰθαγενῶν, ὡς ἔπηλυς, οὐ μεταλαγχάνων τῶν ἴσων τοῖς ἄλλοις πρεσβείων, εἰ μὴ ἄρα συντελέσει, ἀριστεύσας τυχὸν, ἢ πρεσβείαν τιμήσας, ἢ ἐπιδούς· οὕτω καὶ σοὶ τέως μὲν ἀγαπητὸν ἔσται τὸ ὁμωρόφιον. Εἰ δὲ χρόνος εὐμαρὴς ἐκφήνῃ τὰ τῆς φιλίας κανονικῶς, τότε δὴ καὶ εἰς αὐτόχρημα φίλον τετάξῃ, ὃς ὁμοψυχίαν φιλεῖ· ἄλλως δὲ καλῶς ἂν εὐλαβοῖτό τις τὸ ἐν σοὶ ἀδοκίμαστον, τά τε ἄλλα, καὶ ὅτι ταὐτ' ἴσως μαθὼν ὁ πρώην ἑταῖρος ὁ χρόνιος, ὁ ἀεὶ φίλος, ὁ καθαρὸς, ὁ ἐπωφελὴς, ἀποπηδήσοι ἂν φίλου τάσσοντος εἰς ἓν αὐτόν τε καὶ τὸν νέηλυν· καὶ ὅτι οὐδὲ

σοφὴν, τὸ ἐξ ἄκρας ἔχθρας πιστεύειν εἰς φιλίαν ἄκραν ἀχρόνως ἀποκαθίστασθαί τινας. Ἀποφαίνομαι γὰρ οὐκ ἐνδοιάζων, ὡς οὐδενὶ τῶν τῆς θείας τραπέζης ἡδυσμάτων ἐπιχαίνειν ὁ λίχνος δαίμων φιλεῖ, καθὰ τῇ ἀγάπῃ καὶ τῇ συστοίχῳ ταύτης φιλίᾳ· καὶ χασμᾶται ἀεὶ κατὰ τοῦ τοιούτου καλοῦ. Καὶ ἔνθα μὲν ὁ Θεὸς ἐπικουρεῖ, ἀπωθούμενος τὸ θηρίον, λύκος ἀποβαίνει, μάτην χανών. Ἄλλως δέ γε ἀνύει, τὰ μὲν ὀψέ ποτε, ὅπου καθὰ πόλις ὀχυρὰ ἡ φιλία πέπηγε· τὰ δὲ καὶ ῥᾳδίως, ἔνθα κατὰ ψάμμου τὰ φιλικὰ τεθεμελίωται.

ρζ'. Χρὴ τοίνυν δοκιμάζειν, ὥσπερ τἄλλα πνεύματα, οὕτω καὶ τὸ τῆς φιλίας, καὶ μὴ προσφέρεσθαι τῷ τυχόντι πείρας ἄτερ, ἀλλ' ἐξετάζειν, καὶ συχνὰ περιβλέπεσθαι, καὶ πάντα ποιεῖν, δι' ὧν ἂν ὁ φίλος διακριθήσεται, εἰ στερέμνιος, εἰ ἀληθής, εἰ μὴ χορεύσει σκηνικῶς· εἰ στεγανοῖ τὰ χείλη, ὡς μήτε κακολογίας ἐκεῖθεν ἐκπέτεσθαι, μήτε αὖ μυστήρια προπηδᾷν· εἰ δύναται φέρειν ἐλαφρῶς φίλον βαρυνόμενον κατ' αὐτοῦ· εἰ μὴ πρὸς κέρδος φιλεῖ, τοῦτο δὴ τὸ τοῖς πλείοσιν ἐπιπολάζον· εἰ μὴ θερμὸς, εἰς ἐργωδίαν ἐκτρέχειν, ὡς πράγματα παρέχειν τῷ φίλῳ· εἰ μὴ πρόσεισι καχύποπτος· εἰ πρὸς ἄλλους φιλίαν συνηλλαχὼς, ἔμεινε καὶ κατώρθωσεν· εἰ καὶ κινδύνους ὑπομένειν ἡτοίμασται· εἰ τῷ φίλῳ ἐπαρκέσει, καιροῦ καλοῦντος, ἐν οἷς ἄρα καὶ δέοιτο εἰ τυρευομένην ἐπιβουλὴν καταμηνύσει μαθών· εἰ τοῖς τοῦ φίλου καταπίπτουσι παρέξει ἀντίληψιν· τὸ πᾶν εἰπεῖν, εἰ τοιοῦτος ἔσται τῷ φίλῳ, οἷος ἂν αὐτὸς ἑαυτῷ, φάναι δὲ κατὰ τὸν εἰπόντα σοφὸν, « ἄλλος αὐτός. » Οὕτως ἐγὼ δοκιμάζειν αἱροῦμαι τοὺς ἤν ὅτε βλάψαντας, καὶ δοκιμάσας, ἐξευρὼν εἰς ἓν αὐτοῖς ἥκω, καὶ συνανακίρναμαι τὰ ψυχικά, καί εἰμι ἐγὼ ἐν αὐτοῖς, καθὰ παραγγέλλομαι· εἶεν δὲ καὶ αὐτοὶ ἐν ἐμοί. Ἄλλως δὲ εὐλαβοῦμαι, ὑποστέλλομαι, ἤδη δέ που καὶ διαστέλλομαι, καὶ ἐγχίζων αὖθις ἀνὰ πόδα χωρεῖν ἐθέλω· καθά που καὶ στρουθίον δειλὸν, ὅτε κόκκον σίτου ἴδῃ, καὶ ἐπ' ἐκεῖνον δραμὸν μικρὸν, καὶ κατόπιν χωρεῖ, μὴ καὶ εἰς παγίδα πέσοι.

ρη'. Ἔπαθον ἐγὼ πολλὰ τοιαῦτα· ἐδελεάσθην, ἠπατήθην, παρεκρούσθην, ἀπεπλανήθην, δοκῶν φιλίαν κερδῆσαι. Οἵ μοι τῆς ἔχθρας, ἣν εὗρον. Φαντασάμενος, ῥόδοις ἀγάπης περιτυχεῖν, φεῦ ὁποίαις ἀκάνθαις περιεπάρην, οὐ τριβόλοις, οὐ παλιούροις, οὐ βάτοις, ἀλλὰ κυνοσβάτοις, αἳ κέντροις ὀξυτάτοις φρίσσουσι. Πλεονάκις ὕπουλος φιλία κατεκαυχήσατό μου, καὶ οὕτως ἐπαιδεύθην τὸ ἀκριβές. Ἤλπισα μυριάκις τὰ εἰς φιλίαν· καὶ ἡ ἐλπὶς, ὃ δὴ καὶ λέγεται τοῖς σοφοῖς, ἐλλιπὴς ἀπέβη μοι· κἀντεῦθεν δέδοικα τὸ τῶν ἐλπίδων ἀτελεσφόρητον, ὡς ἐάν καί τις εὐλαβοῖτο σκιάς. Καὶ ὁ μὲν τὰς ἐλπίδας φάμενος ἐγρηγορότων ἐνύπνια, οὐκ ἔσθ' ὅπως εὑρήσει τὸν ἢ ἀντιλέξοντα, ἢ κάλλιον φράσοντα. Ἐγὼ δὲ ἀλλ' ἐκεῖθεν ἐρανισάμενος, καὶ τοῦ γνωματεύσαντος ἀπονάμενος, λέγω καὶ αὐτὸς, ὅτι, καθὰ βλεφάρων ἐξ ὕπνου ἀνάπτυξις ὀνείρων ἐστὶν ἐκπέτασις, οὕτω ψυχῆς ἀνάνηψις κενῶν ἐλπίδων ἀπέλευσις καὶ ἀπάλειψις. Διὸ πολλάκις μὲν ὀνειροπολήσας ἀγάπην,

A et novellum ordinante, prosiliret; et quod non est sapiens ex inimicitiæ cacumine confidere quosdam ad amicitiæ cacumen subito transferri. Declaro namque non dubitans quod nullam divinæ mensæ suavitatibus inhiare solet invidus dæmon, sicut charitatem et ipsius consortem amicitiam. Ubi quidem vigilat Deus, feram arcens, lupus frustrato hiatu recedit. Alias autem cogitatum perficit, quandoque quidem sero, cum veluti firma civitas amicitia constat; quandoque vero facilius, cum super arenam amicitiæ fundamenta nituntur.

107. Oportet igitur, sicut cæteros spiritus, sic et amicitiæ spiritum experiri, nec occurrenti sine probatione inhærere, sed examinare, crebro circumspicere cunctaque facere quibus amicus dijudicetur, B an firmus, an verus, annon scenice saltans; an labia stringat, ut exinde maledictiones non exeant, nec secreta prosiliant; an leviter ferre possit amicum in ipsum gravatum, annon ob lucrum amet, quod multis porro frequens est; annon fervens ad excurrendum in difficultates, ut negotia suscitet amico; annon ab anteriori suspiciosus; an cum aliis amicitia contracta, perseveraverit et bene processerit; an etiam pericula sustinere paratus; an amico suppeditaturus sit, poscente circumstantia, illa quibus egeret; an cognita insidiarum machinatione revelaturus; an rebus amici concidentibus auxilium præstaturus; an, uno verbo, talis amico futurus sit qualis ipse sibimetipsi juxtaque sapientis dictum, alius ipse. Sic ego probare C intendo illos qui aliquando nocuerunt, et probatione facta, si tales inventi fuerint, in unum ipsis convenio, spiritualiaque communico, et ego sum in ipsis, sicut jubeor; utinam autem et ipsi forent in me. Aliter autem vereor, recedo, jam vero forte sejungor, et denuo propinquans retroferre pedes volo, sicut timidus passer, qui granum frumenti videns, paululum ad illud currit, et retrorsum secedit, ne forte in laqueum cadat.

108. Ego multa similia passus sum: seductus sum, deceptus, lusus, in errorem conjectus, amicitiam me putans fuisse lucratum. Eheu! quantam inimicitiam inveni! Imaginabar in amicitiæ rosas incidisse; qualibus, eheu! perfossus sum spinis, non D tribulis, non paliuris, non batis, sed cynoblatis qui spiculis acutissimis horrent! Sæpe dissimulata amicitia insolenter in me se tulit, et ita exquisite eruditus sum. Centies amicitiæ bona speravi et spes quod sapientibus etiam dicitur, imperfecta mihi abiit; quam ob causam etiam operum immaturitatem timeo: veluti si quis timeret umbras. Et ille quidem qui dixit spes vigilantium somnia, sane nunquam inveniret vel contradicentem, vel melius loquentem. Ego vero exinde tamen mutuatus et sententiali fruitus, et ipse dico, quod, quemadmodum e somno palpebrarum apertura somniorum est evolandi ratio, sic ebrietatis animæ cessatio, vanarum sperum profectus est et abolitio. Ideo sæpe

quidem charitate somniata vel sperata, totiesque A sanata ebrietate, cum speratum non invenirem ut elapsum, illud ex animæ tabula delevi, nec jam speravi. Et exhine usque nunc spes timeo proboque, donec illarum, ut dicere fas est, umbra in aliquid solidum desierit : cujus præmonstrati statim exstitit.

Ante transformationem istius generis, necesse est ut homo statui politico totus inhæreat. Hic autem, paucis definitus verbis, in eo consistit status ut omnes charitate se complectantur invicem et exteros ; ut inter se communicent in quantum quisque desideret, se mutuo defendant et adjuvent; nullæ adsint rixæ, nec linguæ maledicentes, nec ulla denuntiatio perfida, seu verius diabolica. Ast fallor ipse qui rem unicam latius extendi: prædicta enim bona et cætera prætermissa in mutuum confluunt amorem , quo mali illati oblivio accedit. Quæ si mens mea non esset, (est autem, juvante Deo,) excidam de umbra divinarum alarum . Si vindictæ gladium exacui , profecto non ascendi gradus divini sacerdotii , verum montes abruptos et voraginibus hiantes ! Ast si verberibus afflictus et dolore compunctus quando ingemui, sive Heu mihi, væ mihi ! effatus sum; si Domine, adjuva me, exclamavi , imo et vehementiora adjeci : Dæmonii, quid aggredimini hominem innocuum ? istius modi autem verba non in mali recordationem abeant nec mihi vertantur crimini : qui talia suis inscripta vellet tabellis, calamum currentem intinxisset in aquam et nullam litteram formasset. Laudo enim, quoad mali recordationem, me talem esse per totam vitam , qualis sum, et poetæ sententiam afferam. Qui his non est contentus, qui mihi est molestus et (si permitteret Deus) ad pejora procederet, conficit forte vota et molimina ipsius ad Altissimum deferenda; ast nullus me tenet tremor : apprime scio justam ad cœlum ascendere orationem et pervenire ad aures Dei, ast in vanum movet istius generis invocatio scalas; nunquam enim eo usque ascendet.

εἶτ' οὖν ἐλπίσας, τοσαυτάκις δὲ ἀνανήψας, καὶ τὸ ἐλπισθὲν μὴ εὑρὼν ὡς ἀπεληλυθὸς, ἀπήλειψα τῆς κατὰ ψυχὴν δέλτου αὐτὸ, καὶ οὐκέτι ἤλπισα · καὶ ἐκεῖθεν ἕως; καὶ εἰς δεῦρο δειλιῶ τὰς ἐλπίδας, καὶ δακιμάζω, ἕως; ἂν ἡ κατ' αὐτὰς, προσφυῶς εἰπεῖν, σκιὰ εἴς τι στερέμνιον ἀποτελεσθήσεται · οὗ προφανέντος ἀνέκυψεν αὐτίκα τελεία φιλία, καὶ περιλάμψασα πᾶσαν ἀπήγαγε νεφέλην ὑποψίας, καὶ ὁ φίλιος παῤῥησιάζεται.

Τὸ δὲ ἄλλον ἢ ἁπλοϊκῶς ἴσως εἴρηται ἀντὶ τοῦ ἕτερον, ἢ πρὸς ἀκρίβειαν δογματικὴν, ἣν οἶδεν ὁ ἀκριβωσάμενος· τὸ ἄλλας, ἀλλ' οὐκ ἀλλοίας· ᾧπερ ὁ ἀκολουθῶν καὶ ὡς ἐν φωτὶ οὕτω περιπατῶν, οὐκ ἂν εἶποι πεμφθῆναι ἀλλοῖον παράκλητον, ἀλλὰ ἄλλον κατὰ τὴν ἐνταῦθα γραφήν· γενέτην δὲ τὸν ἐνταῦθα ῥηθέντα καὶ γενέτορα καὶ φύσαντα καὶ πατέρα ἡ θεία συνωνυμία εἰς ἓν ἄγει σεμνῶς. Ὁ μέντοι φυτοσπόρος κοινότερος, τὸ δὲ ἐκ κόλπων Πατρὸς πεμφθῆναι τὸ ἅγιον Πνεῦμα, ὁ κανὼν διδάξει ἐμφανέστερον, ἐν ᾧ εὑρεθήσεται πάλιν κείμενον καὶ τὸ γλώσσῃσι ποιητικῶς Ἰώνων διαλέκτῳ. Οἷα γὰρ ἐποποιὸς, ὀχλεῖται καὶ λέξεσι χρῆσθαι ὁποίας οἶδε φιλεῖν ἡ ποίησις· σημεῖον δὲ φέρει τῆς τοῦ Υἱοῦ φύτλης τὸ ἅγιον Πνεῦμα, οὐχ ἓν κατὰ τὴν ἐνικὴν προφορὰν τῆς ἀκροστιχίδος, ἀλλὰ διάφορα, οἷον τὴν ἀλήθειαν. Ἠλήθευσε γὰρ ὁ τῆς ἀληθείας χορηγὸς Λόγος ὑποσχόμενος πέμψαι τὸ τῆς ἀληθείας ἅγιον D Πνεῦμα, τὴν φιλίαν ἣν ἔφθασε σχεῖν ἐπὶ τοῖς μαθηταῖς, οὓς καὶ τὸ ἅγιον Πνεῦμα συνεφίλησε, τὸ καὶ σοφίσαν ἐκείνους ὡς Πνεῦμα σοφίας. Ἔτι σημεῖον οὗ ἔφανεν καὶ τὸ συμφυὲς Πατρὶ καὶ Πνεύματι, τὸ συμφωτιστικὸν, τὸ συναγιαστικὸν, τὸ τῆς χάριτος συμμεταδοτικὸν, ἣν ἐκεῖθεν ἧκει φέρον τὸ ἅγιον Πνεῦμα ὥσπερ τότε τοῖς καὶ μύσταις, κἀ αὐτίκα μυστηπόλοις τῶν ἐθνῶν, οὕτω καὶ νῦν ἡμῖν τοῖς πνευματικοῖς ὑμνοπόλοις, ὃ ἐστιν ἀναστρεφομένοις περὶ ὕμνους· τοῦτο δὲ τὸ ἀγαθὸν καὶ εἰς πάντας διαβαίνει τοὺς τοῦ Θεοῦ ὑμνητάς· οἷς ὁ μελῳδὸς δεξιῶς ἑαυτὸν ἰδοὺ συμπαρέμιξεν ἐπὶ συμμεθέξει τῆς χάριτος· σκοπητέον δὲ εἴπερ τὸ φέρον θεότητος ἄϋλου σῆμα, δυνήσεται καὶ τῷ λόγῳ προσαρμόσαι κατὰ εὐθείαν ἄρσενος μετοχῆς, ἵνα λέγηται ὁ Υἱὸς ἄγειν διὰ τοῦ ἁγίου Πνεύματος ἡμῖν σῆμα τῆς ἑαυτοῦ φύσεως.

Ὅτι δὲ φύτλη οὐ μόνον ἡ φυσις, ὡς εἴρηται κατὰ τὸν ἐξηγητήν, ἀλλὰ καὶ ἡ γέννησις, φανερόν ἐστι κοινῶς· καὶ ἔστι προσφυὴς ἡ τοιαύτη σημασία ἐπὶ τοῦ Υἱοῦ ὡς γεννητοῦ, δι' οὗ τὸ Πνεῦμα τὸ ἅγιον ἡμῖν ἐπιφοιτᾷ. Δῆλον δὲ ὡς ἐκ τῆς τοιαύτης φύτλης, καὶ ὁ διὰ τοῦ υ διχρόνου προφερόμενος ἐξωτερικῶς παρῆκται φυτάλιμος· γινόμενος μὲν καὶ παρὰ τὸ φυτὰ ἄλλεσθαι ποιεῖν, μάλιστα δὲ παρὰ τὴν φύτλην, ἵνα ᾖ ἐξ αὐτῆς φυτλάμιος, καὶ μεταθέσει φυτάλιμος· ὡς οἷά τις πατὴρ καὶ οὕτως αἴτιος τοῦ φύεσθαι, ἢ τις ἔννοια καὶ τὸν φυτοσπόρον ὠνόμασεν. Οὕτως δὲ καὶ τῆς ἀκροστιχίδος διεσκευασμένης, ὥρα μέχρις ὧδε καταστῆναι τὰ πρὸ τοῦ κανόνος, ἵνα ἐντεῦθεν εἰς ἐκεῖνον μεταβαίνῃ ὁ λόγος ἡμῖν παρασημηναμένοις ὡς πλημμελῶς ἐνιαχοῦ ὁ τοιοῦτος ἔχει κανὼν, διὰ τὸ τῶν ἀντιγράφων ἐκ μακροῦ ἐφάμαρτον, ὡς ἐν τοῖς ἑξῆς φανεῖται.

A Quod autem φύτλη non solum natura, ut dictum est secundum interpretem, sed et origo sit, evidens est; et naturalis est hæc significatio de Filio quasi genito, per quem nobis Spiritus sanctus venit. Evidens est autem quod ex ista voce φύτλη deductum est verbum φυτάλιμος prolatum vulgari modo per anceps; derivatum ex radice quæ significat, facere ut crescant plantæ, maxime a φύτλη, ita ut inde fiat φυτλάμιος et cum transpositione φυτάλμιος; quasi quis pater sit, et sic causa crescendi, unde venit nomen φυτοσπόρος. Verum sic adornata acrostichide, tempus est ut hic sistant quæ præeunt hymno, ut exinde in eum veniat nobis sermo, qui notavimus mendosumquandoque esse hymnum hunc, ex antiquorum culpa librariorum, B ut ex sequentibus patebit.

Εἱρμὸς τῆς ᾠδῆς πρώτης.

Ἀρχὴ τῆς τοῦ εἰρημένου κανόνος ἐξηγήσεως, ἤχου μὲν ὄντος τετάρτου τοῦ κατὰ τοὺς ᾠδικοὺς μουσικωτάτου καὶ χοροποιοῦ, μεμελισμένου δὲ πρὸς εἱρμοὺς τοὺς ὑποτεταγμένους· οἷς δηλαδὴ ἀκολούθως καὶ τὰ ὑφ' ἑκάστῳ συνείρονται τροπάρια.

Ι. Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ
Ἐρρητόρευσε τὸν θεόγραφον νόμον.
Πλὴν γὰρ ἐκτινάξας ὄμματος νόου,
Ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος
Γνῶσιν γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Εἱρμὸς τῆς πρώτης ᾠδῆς.

Divina tectus tardilinguis nebula,
Elocutus est a Deo scriptam legem:
Materia enim abjecta, oculis mentis
Videre eum qui est discit, Spiritus
Cognitionem laudans divinis cantibus.

Ἑρμηνεία.

Interpretatio.

α'. Κανονικῶς, ὡς εἰπεῖν μεθοδεύσας τὸν παρόντα εἱρμὸν τῆς πρώτης ᾠδῆς ὁ σοφὸς ποιητὴς Ἰωάννης, C ὅς τις ποτ' ἂν καὶ εἴη οὗτος, οὐ μόνον ἐκ τῆς τοῦ βλέειν λέξεως χαρακτηρίζει αὐτὸν, ἧς χάριν ᾠκειωμένης τῇ πρώτῃ ᾠδῇ, παρεισῆκται τὸ ᾄσμα κείμενον ἐν τῷ, *Γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν*, ἀλλὰ καὶ αὐτὸν τὸν νομοθέτην μόνον, ὕλην ποιεῖται τοῦ εἱρμολογικοῦ μέλους, ἄλλως μέν τοι παρὰ τὸ σύνηθες. Οὐ γάρ τι ἐρυθραῖον ὅλως ἐνταῦθα ἡ Αἰγυπτιακὸν παραπλέκει θαῦμα· τὰ τῆς ἑορτῆς δὲ παρεμβαλὼν τοῦ ἁγίου Πνεύματος ἀσυμφανῶς, ἤγουν τὸν θεόγραφον νόμον, ᾧ σύστοιχος καὶ σύμφωνος ὁ ἐκ Σιὼν ἐξελευσόμενος νόμος, ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται· καὶ τὴν τοῦ ὄντως ὁρᾶσιν διὰ πνευματικῆς ἀποκαλύψεως ὁποία καὶ τοῖς ἁγίοις ἀποστόλοις σήμερον ἐπεγένετο, καὶ τὴν τοῦ Πνεύματος γνῶσιν προθεωρηθεῖσαν ἔκτοτε, ὡς μετ' ὀλίγα λέξεται, φιλοσοφεῖ ἐπὶ τῷ προφήτῃ οἷα πνευματοφορήτῳ τὰ καθήκοντα· ἔστι δὲ ὁ μέλλει τοιοῦτον· Μωϋσῆς, ὁ μικροῦ λέγειν δέω, νοῦς θεῖος καὶ τὴν σοφίαν περιττὸς, ἄλλως μέν τοι βραδύγλωσσος, οὐ νεφέλῃ σιναϊτικῇ σκεπασθεὶς ἁπλῶς, ἀλλὰ γνόφῳ πυκάζοντι θείῳ, ἐρρητόρευσε νόμον ἐκεῖνον τὸν περίκλυτον διὰ τὸ θεόγραφον, ἀστραπηβολήσας οἷον ἐκεῖθεν τὸν μέχρι καὶ τότε κρυπτόμενον· ἢ καὶ ἄλλως, ἐκφήνας ὡς εἰ καὶ ἐκ λίθου πυρίτιδος φῶς αὐτὸς πρῶτος ἔφηνεν, ὃ δὴ λέγεται, ἄφαντον τοῖς μήτε ἰδοῦσι, μήτε εἰδόσιν αὐτό.

1. Regulariter, ut ita dicam, tractatam præsenti primi hymni strophen doctus poeta Joannes, quisquis sit, non solum ex verbo ᾄδειν insignit, cujus gratia primam strophen formavit, introductus est cantus his verbis: *laudans divinis cantibus;* sed et ipsum legislatorem solum materiam facit poetici operis, aliter autem quam fert consuetudo. Non enim omnino maris Rubri vel Ægypti miracula hic intexuit, sed furtim introducens quæ festo Spiritus sancti congruunt, divinam nempe legem, cui compar et consona est lex ex Sion oritura, sicut postea dicetur, simul et Dei visionem per revelationem Spiritus, qualis et sanctis apostolis hodie facta est, et Spiritus cognitionem ex tunc præbitam, ut mox dicetur, disserit de pro- D pheta quasi a Spiritu edocto quæ decent. Hoc est autem quod præcinit: Moyses (quod vix dicere necesse est), mens divina, et in sapientia excellens, cæterum linguæ tardus, non nebula Sinaitica coopertus simpliciter, sed circumfusa nube divina, illam promulgavit legem omnium præclarissimam; quæ a Deo scripta est, fulguribus inventis eam usque ad id temporis incognitam; vel aliter, manifestans quasi ex igneo lapide, lucem quam ipse primus ostendit, quæ dicitur, his qui nec viderunt nec noverunt eam, invisibilis.

β'. Εἰ δὲ ξενίζον δοκεῖ ἄνθρωπον ὑπογραμματεῦσαι, ἢ ὅλως ὁμιλῆσαι τῷ ἀοράτῳ, καὶ ἀναιδέῳ καὶ ἀπροσίτῳ

2. Si autem inauditum videatur hominem Dei scribam extitisse vel omnino conversatum esse cum

invisibili, formam non habente et inaccessibili Deo, quando spiritualibus hominis oculis non lignum, vel trabs, vel tale aliud vile corpusculum objacet ad eripiendam divinam visionem; sed mundanum lutum vitæ humori immistum inungit limi instar animæ intellectum, ita ut omnino non possit per se ipsam pervenire ad visionem Dei. Si igitur non mirum videatur quibusdam, sciant non vulgarem hominem fuisse Moysen quando, ut quidam ait, cum Deo loquebatur amici instar familiarissimi, nec humanis utebatur oculis, sed fere angelicis; imo omnino angelicis. Non enim depravabat visionem ejus materia aliena, nec limus qualem diximus, qui oblinere gaudet et obtenebrare animæ lumen, et sic inutilem facere hominum prudentiam; sed cum expunxisset eum et removisset, ut aptius loquar, cum excussisset de oculo mentis impedimenta, vidit Dominum, et statim initiatus est, sive accepit notitiam ejus qui hodie celebratur Spiritus, qui cum Deo semper est et cognoscitur et cernitur; quem statim et veneratus est, ut videtur, cantibus non vulgaribus, sed vere divinis, superne afflatus sicut et in celebrato exitu. Non enim accidit ei sicut Manoe dicere: Periimus, Deum vidimus: sed, Viximus, et vitam produximus, et confirmati sumus; Deo appropinquavimus, Deo collocuti sumus ut discipuli; unde lætari oportet et laudare Deum, et læta canere, non simpliciter sicut quæ vulgo laudabilia sunt, sed certe divina, per quæ et animæ bonitas demonstratur, et gaudium de bono; Deum enim vel divina laudare, animæ virtus est; cantando autem ea proferre, lætitiæ indicium: cum nullum sit animal triste, cantare voluimus.

3. Vide in supracitato hymno, hoc: *divina tectus nebula*, dictum ad distinctionem naturalis nubeculæ densatæ in tempestatem aeriam rutilantem, per quam læduntur aliquando quæ in mundo sunt; adhuc et aliarum nubium quales violenter spirare lætatur pessimus dæmon ad perniciem Ecclesiæ, et dicere possem Christianitatis. Ex multis hisce nubibus repletur historia sacra, quam princeps tenebrarum condensat, nebulas in eos congregans qui contemnunt, insidians quandoque et machinans ut in lucem tonet et fulgurei, non valens autem hoc facere usque in finem, et tenebrosus brevi evadens, sicut lumen fulguris simul ac emicat evanescit. Non talis ergo nebula beatum operuit Moysem, sed re ipsa divina; a Deo enim congregata in atrum condensata est, et virum Dei circumfudit, et modo quasi in templo divino ipso vel schola Deus loquebatur ut magister, et scribebat; Moyses autem hæc exinde hauriens promulgavit.

4. Vide *tectus* opportunissimum verbum, et adjacentibus congruens; non enim *coopertus* vel aliud simile fuisset aptius hic Moysi quam tectus; et videtur prodire verbum hoc ex aulæis, et iis

A Θεῷ, οὗ δὴ ἁπλῶς ἀνθρώπου τοῖς κατὰ νοῦν ὄμμασιν οὐ ξυλήφιον, ἢ δοκάριον, ἢ ἄλλο τι τοιοῦτον φαῦλον σωμάτιον ἐπίκειται εἰς θείαν ὄψιν ἐπιπροσθοῦν· ἀλλὰ χοῦς κοσμικὴ βίου ὑγρότητι ἀνακεχραμμένη ἐμπλάττει δίκην ἰλύος τὸ νοερὸν τῆς ψυχῆς, ὡς μὴ ἐξικνεῖσθαι ὅλως τὸ κατ' αὐτὴν ὀπτικὸν εἰς θέαν Θεοῦ. Εἰ τοίνυν τοῦτο ξενίζον ἔχει τινάς, ἀλλ' ἴστωσαν ἐκεῖνοι, ὅτι οὐκουν ὁ τυχὼν ἄνθρωπος ἦν ὁ Μωϋσῆς, ὅτε κατὰ τὸν οὕτως εἰπόντα ὡάριζε τῷ Θεῷ δίκην οἰκειοτάτου ὁμιλητοῦ, οὐδὲ ὀφθαλμοῖς διῳκεῖτο ἀνθρωπικοῖς, ἀλλὰ ἀγγελοειδέσιν, εἰπεῖν δὲ ὀρθῶς καὶ ἀγγελικοῖς. Οὐ γὰρ ἐκπαρακούρει τὴν ὄψιν αὐτῷ οὔτε ὕλη τις ἀλλοία, οὐδὲ μὴν ἰλὺς, ὁποίαν εἴπομεν, φιληδοῦσα καταπλάττειν καὶ ἀμαυροῦν τὸ κατὰ ψυχὴν φῶς, καὶ οὕτως ἀχρειοῦν

B τὸ ἐν ἀνθρώποις νηφάλιον· ἀλλὰ ἐξαλείψας αὐτὴν καὶ ἀπαγαγὼν, καιριώτερον δὲ φάναι, ἐκτινάξας τοῦ κατὰ νοῦν ὀφθαλμοῦ, ὁρᾷ τε τὸν κυριότητα ὄντα, καὶ αὐτίκα μυεῖται εἶπον μυσταγωγεῖται τὴν γνῶσιν τοῦ σήμερον ἑορταζομένου Πνεύματος, τοῦ ἀεὶ σὺν ἐκείνῳ καὶ ὄντος καὶ γινωσκομένου καὶ ὁρωμένου· ὅπερ εὐθὺς καὶ ἐγέραιρεν, ὡς εἰκὸς, ἄσμασιν οὐ τοῖς τυχοῦσιν, ἀλλὰ δηλαδὴ ἐνθέοις, ἐνθεάζων δή που κατὰ τὰ ἐν τῇ περιυμνήτῳ ἐξόδῳ. Οὐ γὰρ ἐπῆλθε καὶ αὐτῷ κατὰ τὸν Μανωὲ λέγων, ὡς Ἀπολώλαμεν, Θεὸν ἑωράκαμεν· ἀλλὰ Ἐζήσαμεν, διεγενόμεθα, συνέστημεν, Θεῷ ἠγγίσαμεν, ὁμιλητὰι Θεοῦ χρηματίζομεν. Διὸ καὶ ἀγάλλεσθαι χρὴ, καὶ γεραίρειν τὸν Θεὸν, καὶ ᾄδειν χαρμόσυνα, οὐχ ἁπλῶς ὁποῖα

C τὰ πολιτικῶς ἐπαινετὰ, ἔνθεα μέν τοι, δι' ὧν καὶ χρηστότης ψυχῆς ἐκφαίνεται καὶ χαρμονὴ ἐπὶ τῷ ἀγαθῷ· τὸ μὲν γὰρ ὑμνεῖν τὸν Θεὸν ἢ τὰ θεῖα, ψυχῆς ἀρετή· τὸ δὲ καὶ ᾀσματικῶς αὐτὰ προάγειν, σύμβολον ἡδονῆς· ἐπεὶ μηδὲν ζῶον λυπούμενον, ᾄδειν παρελάβομεν.

γ'. Ὅρα δὲ ἐν τῇ ῥηθείσῃ ᾠδῇ τὸ *θείῳ καλυφθεὶς γνόφῳ*, ῥηθὲν καὶ ἐπὶ διαστολῇ φυσικοῦ τινος γνόφου πυκνωθέντος εἰς ἔκρηξιν ἀερίαν πυρόεσσαν, δι' ἧς βλάπτονταί ποτε τὰ κατὰ κόσμον. Ἔτι δὲ καὶ πρὸς ἑτεροίους γνόφους, ὁποίους ἐπαιγίζειν φιλεῖ ὁ ἀρχέκακος δαίμων ἐπὶ βλάβῃ ἐκκλησιαστικῇ, ἐχόμενα δὲ εἰπεῖν, χριστιανικῇ. Καὶ γέμει πολλῶν τοιούτων γνόφων ἡ ἁγία Ἱστορία, οὓς ὁ τοῦ σκότους ἄρχων πυκνοῖ, νεφέλας ἀγείρων κατὰ τῶν μισούν-

D των αὐτῷ, συσκευαζόμενος μέν ποτε καὶ τεχνώμενος, καὶ εἰς φῶς ἐξαστράπτειν, καὶ οὕτως ἐκλάμπειν· οὐκ ἔχων δὲ κατορθοῦν αὐτὸ καὶ εἰς τέλος, ἀλλὰ σκοτιαῖος ταχὺ ἀποβαίνων, ὡς καὶ σέλας ἀστραπαῖον ἐκλάμψαν ἀπέσβη· οὐ τοίνυν τοιοῦτος τὸν μακάριον Μωϋσῆν ἀμφεκάλυψε γνόφος, ἀλλὰ τῷ ὄντι θεῖος· ὑπὸ Θεοῦ τε γὰρ συνηγμένος εἰς μέλαν ἐστεγάνωτο, καὶ Θεοῦ περιελάμβανεν ἄνθρωπον· καὶ ὅσα καὶ περὶ μουσεῖον θεῖον αὐτὸν ἡ διδασκαλεῖον Θεὸς μὲν ἐλάλει ἐξάρχων καὶ ἔγραφε, Μωϋσῆς δὲ τὰ ἐκεῖθεν μεταλαμβάνων ἐξηγητόρευσεν.

δ'. Ὅρα δὲ τὸ *καλυφθεὶς*, καιριωτάτην ταύτην λέξιν καὶ τοῖς προκειμένοις εὐάρμοστον. Οὔτε γὰρ τὸ σκεπασθεὶς, οὔτε ἄλλο τι τοιοῦτον προφύοιτο ἂν τῷ Μωϋσῇ ἐνταῦθα μᾶλλον, ἢπερ τὸ *καλυφθεὶς*. Καὶ

δοκεῖ ὠρμῆσθαι ἡ λέξις ἐκ τῶν θυρατικῶν καλυμμάτων, καὶ μᾶλλον τῶν κατὰ τὰς οὕτω καλουμένας νεφέλας, ὁπόσαι πλεκόμεναι δικτυωδῶς καταπετάννυνται πετεινῶν, καὶ περιειληφυῖαι κύκλῳ αὐτὰ κατέχουσιν ἔσω, καὶ οὐκ ἀφιᾶσιν ἐκδιδύσκεσθαι τὸ ἀμφίβληστρον. Οὕτω γάρ πως, κυριολεκτικῶς εἰπεῖν, κάτοχος τῷ Θεῷ γενόμενος ὁ καλυφθεὶς Μωϋσῆς, ὅλος ἦν ἐκείνου, καὶ πρὸς ἐκείνῳ καὶ δι' ἐκείνου ἐνήργει τὰ κελευόμενα· τοιούτου δὲ νοήματος ἥρτηται καὶ τὸ κεκαλύφθαι μὲν τὴν Ἐρυθρὰν ὕδατι, ἀνακαλυφθῆναι δὲ τὰ ἐκείνης θεμέλια ἐν τῇ διαβάσει τοῦ Ἰσραήλ. Οὕτω καὶ πόντος ἐκεῖνος τὸν Φαραὼ σὺν τοῖς ἀμφ' αὐτὸν ἐκάλυψε· καὶ τὸ ἀνακεκαλυμμένον δὲ πρόσωπον, τοιαύτης θεωρίας ἐκκύπτει· καὶ οἱ ἀποκεκαλυμμένοι δαυιτικῶς ὀφθαλμοί, τοιαύτην κατακάλυψιν ἐκδύντες, ἀνεῴγασιν βλέπειν πλατύ.

maxime quæ similia sic vocatis nebulis, retium instar implicata, avibus expanduntur, et in gyrum circumacta eas intus detinent, nec elabi sinunt e reticulo. Sic ergo, ut proprie dicam, a Deo occupatus tectus Moyses, totus erat ejus, et pro eo et per eum jussa perficiebat (tali menti affine est quod mare Rubrum unda coopertum est, et profunda ejus detecta sunt in transitu filiorum Israel; sic et mare illud Pharaonem cum comitibus suis cooperuit), et revelata facie tali contemplatione prospicit; et detecti plane oculi, tali velamine exuti, aperti sunt ut late viderent.

ε'. Ὅρα δὲ ὡς γνόφῳ καλυφθεὶς ὁ Μωϋσῆς, ὅμως οὐκ ἐσκότωται ζοφωθείς ὁμοίως τῷ καταπεπλασμένῳ ἰλύϊ τὸ ὀπτικὸν τῆς ψυχῆς, ὡς ὁ μελῳδὸς φησιν, ἀλλ' εἰς τοῦτο καὶ μόνον περιεχύθη ἔνδον, ὡς κρυβῆναι· τὸν κόσμον καὶ θεωρῆσαι καθ' ἡσυχίαν τὸν Θεὸν, καὶ ἐξιστράψαι λόγῳ τε καὶ πράξει, ἐκδὺς τὸν γνόφον ἀστραπηβόλος καὶ ἀπηλλαγμένος αὐτοῦ, καθὰ καὶ οὐρανὸς καλύψεως τῆς ἐκ νεφῶν. Ὅλως γὰρ αἴνιγμα ἦν ὁ γνόφος τοῦ καὶ σχολῆς δεῖσθαι τὸν προφήτην, ἵνα οὕτω γνῷ δαυιτικῶς, καὶ τοῦ ἀστράψειν ἐκεῖθεν πνευματικῶς· ἃ δὴ σύστοιχα τῇ νῦν ἀγομένῃ ἑορτῇ, ἐν ᾗ φώτισμα ἁγίου Πνεύματος, καὶ φωτοχυσίας φλὸξ καὶ ὑγρότητος ἁγιαστικῆς τῆς κατὰ τὸν ἅγιον Ἰωὴλ χορηγεῖται· ἣν ὑγρότητα σκοτεινὸν μὲν ὕδωρ ἄλλως ἐν νεφέλαις πνευματικαῖς κατενόησε διὰ τὸ βάθος τοῦ μυστηρίου ὁ Δαβίδ· οὐκ ἂν δὲ μὴ κατελάβετο καὶ πάμφωτον εἶναι τὸ αὐτὸ, διὰ τὸ ἅγιον βάπτισμα καὶ τὴν οὕτως ἔνδυσιν τοῦ ἀληθινοῦ φωτὸς Ἰησοῦ Χριστοῦ.

5. Vide porro quomodo nube tectus Moyses non tamen tenebrescit, caligine circumfusus quasi illitis limo oculis mentis, ut ait poeta; sed in tantum et solummodo in interiori effusus est, ut absconderetur mundus, et in pace videret Deum, et verbo fulgeret et actu, nube exutus fulgura coruscans, et expeditus, sicut cœlum absque velamine nebularum; omnino enim mysterium erat nebula et significabat otio indigere prophetam, ut sic aperte cognosceret, et inde spiritualiter illuminaturum esse; quæ præsenti congruunt festo in quo illuminatio Spiritus sancti et flamma cum diffuso lumine et pluvia sanctificante subministratur, juxta sanctum Joel; quam pluviam aliter ad undam tenebrosam in nubibus spiritualibus intellexit David; non autem intellexisset lucidissimum esse hoc per sanctum baptisma, in quo sic veram induimus lucem, Jesum Christum.

ς'. Ὁ δὲ βραδύγλωσσος ἀντίκειται μὲν τῷ ταχυγλώσσῳ, οὐ πάνυ δὲ πλείω ψόγον οὗτος ἐκείνου ἔχει. Ὁ μὲν γὰρ βραδύγλωσσος ἔχοι ἂν ἀγαθόν τι ποτὲ, οἷς διατρίβων τὴν φράσιν καὶ οὕτως ἐστὶν ὅ τε ἀναδιπλῶν αὐτὴν καὶ οἷον ἐπαναφέρων, ἐγκαθίζει ταῖς τῶν ἀκροατῶν ψυχαῖς εἰς ἀκριβεστέραν μνήμην καὶ γνῶσιν τὰ λεγόμενον, βάδην τῷ λόγῳ προϊὼν καὶ παρακολουθούμενος. Ὁ δὲ ταχυλάλος καὶ φύρων οὕτω τοὺς λόγους εἰς ἀδιάρθρωτον, οἷα ἐπίφορον γλῶσσαν τοῖς λόγοις ἐφιεὶς, καὶ δυσπαρακολούθητος ἐντρέχων οἷς λέγει γοργότερον ὡς εἰ καὶ ῥεύματι κατὰ πρανοῦς ᾔχετο, τάχα ἂν παραδράμοι τοὺς ἀκροωμένους, κενὰ ψοφήσας, καὶ πνευμόνων, ἃ δὴ λέγεται πόνον παθών· ὁποίους πολλοὺς οἴδαμεν πεπειραμένοι ὠκυγλώσσους, χύδην τοὺς λόγους ἐκφέροντας· ἐμὲ γοῦν διδάσκαλος λάχοι πλήρης τὴν γλῶσσαν κατὰ τὸν Μωϋσῆν, καὶ μὴ πτερόεντας προφέρων λόγους, καὶ οὕτω κενόγλωσσος· εἰ μέν τοι γλῶσσαν ὁ τοιοῦτος πλουτεῖ ἐντρέχουσαν, ὡς οἷα καὶ κάλαμον γραμματέως ὀξυγράφου τὰ θεῖα μακαρίζω αὐτόν.

6. *Tardilinguis* opponitur celeriter loquenti, nec plus quam iste vituperandus est. Tardiloquus enim hoc boni habet quod phrasim protrahens et sic locupletans, et quasi repetens, audientium animis in diligentissima memoria et cognitione inserit dicta, dum sermone vir pedetentim graditur et comitatur; qui autem celeriter loquitur et dicta sic inarticulatim miscet, citatam linguam verbis impellens, captu difficilis est, et acrius in dicendo cerrens ut torrens in præceps raptus, cito audientes præveniet, inutili facto strepitu, et pectore, ut aiant, dolens; ut plures novimus breviloquentes qui confuse verba proferunt; mihi autem magister obveniat lingua perfectus sicut Moyses, non qui alatas proferat voces, et sic inania loquatur; si autem pernicem talis locupletetur linguam, beatum illum dico, sicut et calamum scribæ divina velociter scribentis.

ζ'. Ἐνταῦθα δὲ σημειωτέον, ὡς εἰ καὶ, καθὰ ἱστορήθη, ἐξ ἐπικαύσεως ἐπῆλθε τῷ μεγάλῳ Μωϋσῇ τὸ βραδύγλωσσον, ἀλλ' οὐχ οὕτω καὶ τὸ δύσηχον, ὅπερ ὁ ἀγιώτατος ποιητὴς Κοσμᾶς ἐπιλέγει αὐτῷ ἐν τῷ, *τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ*. Τῷ

7. Notandum hic quod si, ut narratum est, ex adustione acciderit Moysi tardiloquentia, non æque ingratus vocis sonus quem ipsi attribuit sanctissimus Cosmas poeta dicens; *Tardiloquo et dissono Moysi*; in ore enim restricta lingua, eorum tan-

tum qui in ipso efformantur sonorum domina est, nec raucitatis, nec gravedinis, nec cæterorum morborum qui male sonantem reddunt vocem causa est, quia non omnibus participat ipsa, sed multi soni non articulosi et qui lingua non indigent, per seipsos in nobis efformantur et somno deditis, vel aliter silentibus, nec plane loquentibus. Physicum ergo vitium in Moyse gracilis vocis sonus, nec ex adustione provenit; quoad tardiloquentiam autem, notandum quod hic non derisorie adjectitium hoc nomen prophetæ qui Deum vidit inferatur, sed per singularitatem quamdam dictum sit, cum mirum sit eum qui sic lingua vitiosus erat, non fuisse errabundum in verbis interpretem Dei. Unde illustrissimum non dixit Moysen, sed ex tardiloquentia eum notavit, quasi per excellentem cum articulo demonstrativo conjunctionem, expresse omnino vocari potuerit *qui divina loquitur*, si ita libuisset. Si enim vulgaris homuncio, et ut ita dicam ultimus, in cantus poetici initio commemorandum habuisset Moysis ipsum nomen dicendo: *Divinitus olim tectus nube Moyses*; vel aliter: *Divina Moyses aliquando tectus nebula*; vel *Divinam Moyses ingressus olim nubem*, quomodo, sublimis poeta videri volens, sic demens fuisset ut tardiloquum proferret, sileret autem inclytum Moysis nomen? Et tale quid hic habemus.

8. Nubes (γνόφος) autem, si oporteat et philologis aliquid præbere quod ipsis gratum sit, non longe distat a νέφος, et νόφος et ζόφος; sic autem construitur. Est verbum absconditum, nec usu clarum νεφὼ non fulgeo, unde simplicius deducitur νέφος: solita autem commutatione litteræ ε in ο, efficitur νόφος; unde consequenter, et medius inter verbum præhabitum νέφω, deducitur νένοφεν, sicut dicitur κέκλοφεν; inusitatum autem verbum νόφος unam ex tribus mediis litteris, hinc γ, inde δ sumens, (quarum communio in πηδῶ et πηγὴ, et in γῆπεδον et δάπεδον demonstratur) fit γνόφος et δνόφος; γνόφος autem, rejecto hoc et servato quod immutabile est, et assumpto ζ, ζόφος tandem fit; quod et locum habet in μαδὸς et μαζὸς, ut aiunt veteres; μαδᾷ enim necessario μαζός. In nube autem, et non aperte luce fulgente, paratæ sunt prodigia quæ ad divinam legis scriptionem spectant, sicut decet omnium regem Dominum tersibilem et hominum amatorem, ut millies docent sacræ Scripturæ suaviter agenti in his quæ ad nos sunt, sicut et graviter, et ut ita dicam, regie; ut et superbos homines doceret, et eos præsertim qui in magnis dignitatibus sunt, interesse plerumque et assimilari iis qui sub manu eorum sunt per consensum et concursum in demissione; non oblivisci autem gravitatis quando necessaria est, ne impune se extollentes subditi, conversi volvantur in insubordinatione, et sic in anarchia, quod ipsis minime commodum esset, nec magistratibus. Et

στάματι γὰρ ἐγκολυμβῶσα ἡ γλῶσσα, καὶ μόνον τῶν κατ' ἐκεῖνο ποιῶν ἦχων αὐτὴ κυριεύουσα, οὐκ ἤδη καὶ βραγχώματος, καὶ κορύζης, καὶ ἄλλων παθῶν ποιούντων δυσήχους τοὺς ἐκφωνοῦντας, αἰτία ἐστὶν, ὅτι μηδὲ συνεπιλαμβάνεται πάντων ἐκείνη, ἀλλὰ πολλοὶ ἦχοι ἄναρθροι καὶ οὐδέν τι γλώσσης δεόμενοι, ἐνεργοῦνται ἡμῖν αὐτοὶ καθ' ἑαυτούς, καὶ ἀνακειμένοις εἰς ὕπνον, καὶ ἄλλως δὲ σιωπῶσι καὶ μὴ φθεγγομένοις τὸ σύνολον· φυσικὸν ἄρα πάθημα τὸ δύσηχον τῷ Μωϋσῇ καὶ οὐκ ἐξ ἐπικαύσεως καὶ αὐτό. Εἰς δὲ τὸ *βραδύγλωσσος*, παρασημαντέον καὶ ὅτι οὐ σκωπτικῶς ἐνταῦθα τὸ τοιοῦτον ἐπίθετον τῷ θεόπτῃ προφήτῃ ἐπέρριπται, ἀλλά πρός τινα παραδοξίαν ἐπιλέλεκται, ὡς καινὸν ὄν, εἴπερ ὁ οὕτω τὴν γλῶτταν ἡμαρτημένος, οὐκ ἁφαμαρτοεπὴς ἦν θεορρήτωρ· διὸ καὶ σιγήσας τὸ ἐπισημότατον κύριον τὸν Μωϋσέα, ἐκ βραδυγλωσσείας αὐτὸν ἐχαρακτήρισεν, ὡς οἷα ἐξ ἅρματος ὑπεροχικοῦ μετὰ καὶ ἄρθρου γνωριστικοῦ, δυνάμενος πάντως ἐξονομάσαι ῥητῶς τὸν θεορρήμονα, εἴπερ ἤθελεν. Εἰ γὰρ ἄνθρωπος εἰκαῖος, καὶ ὡς οὕτως εἰκεῖν ἥκιστος, ἔχοι ἂν ἐν καταρχῇ τοῦ εἰρμοῦ μνησθῆναι τοῦ προφήτου πρὸς ὄνομα, εἰπὼν θείως ὁ Μωϋσῆς πρὶν καλυφθεὶς τῷ γνόφῳ· ἢ καὶ ἄλλως· Θεῖῳ καλυφθεὶς Μωϋσῆς πατὲ γνόφῳ, ἢ καὶ θεῖον παρεισδὺς Μωϋσῆς πάλαι γνόφον· πῶς ἂν ὁ μεγαλεπήβολος μελῳδὸς βουληθεὶς, ἐξηπορήθη ὡς τὸ βραδύγλωσσον μὲν προσενεγκεῖν, σιγῆσαι δὲ Μωϋσέα τὸ περίκλυτον ὄνομα; καὶ τοιοῦτον μὲν καὶ τοῦτο.

Ιγ'. Ὁ δὲ γνόφος, εἴ τι χρὴ καὶ τοῖς ἐγκυκλίου παιδεύσεως ὁμιλοῦσι παραθεῖναί τι σφίσι φίλον, οὐ μακρὰν μὲν ἀπαιωρεῖται νέφους καὶ δνέφου καὶ ζόφου. Ἔχει δὲ σκευωρίαν τοιαύτην· ἔστι λέξις κρυφαία καὶ οὐ παραυγάζουσα χρῆσιν, νέφω τὸ οὐ λάμπω, ἐξ οὗ ἁπλούστερον μὲν τὸ νέφος· τροπῇ δὲ συνήθει τοῦ ῥηματικοῦ ε εἰς ὀνοματικὸν ο, νόφος· ᾧ ἀκολούθως καὶ μέσος παρακείμενος τοῦ αὐτοῦ ἐνεστῶτος τοῦ νέφω, παραδίδοται νένοφεν ὡς κέκλοφεν· ὁ δὲ ἄχρηστος νόφος οὗτος ἐκ τῶν τριῶν μέσων στοιχείων πῇ μὲν τὸ γάμμα, πῇ δὲ τὸ δέλτα προσλαβών, ὧν κοινωνία καὶ ἐν τῷ πηδῷ καὶ πηγῇ, καὶ ἐν τῷ γῆπεδον καὶ δάπεδον, ποιεῖ τὸν γνόφον καὶ τὸν δνόφον. Ὅθ μέν τις γνόφος ἐκπυρηνίσας, οἷον τὸ ἀμετάβολον, καὶ μεταλαβὼν τὸ φίλαν ζῆτα, ζόφος ἀποτελεῖται· ὃ δὴ γίνεται καὶ ἐν τῷ μαδὸς καὶ μαζὸς, ὡς φασὶν οἱ παλαιοί· μαδᾷ γὰρ ἀναγκαίως ὁ μαζός. Ἐν γνόφῳ δὲ καὶ οὐκ ἀπαρακαλύπτως ὑπὸ φωτὶ λάμποντι τὰ κατὰ τὴν θείαν νομογραφίαν τερατουργεῖται, καθάπτ τὸν παμβασιλέα Κύριον τὸν καὶ φρικτὸν καὶ φιλάνθρωπον, μυριαχοῦ τῆς ἱερᾶς Γραφῆς μανθάνομεν, ἱλαρῶς τε προσφερόμενον τοῖς κατ' ἡμᾶς, οὐχ ἥκιστα δὲ καὶ σεμνῶς, καὶ ὡς εἰπεῖν βασιλικῶς, ἵνα καὶ τοὺς ὑπεροχικοὺς ἀνθρώπους διδάξῃ, καὶ μάλιστα τοὺς ἐν μεγάλαις ἀρχαῖς πραΰνεσθαι μὲν τὰ πλείω καὶ ὡς οἷον ἁρμοζοῦσθαι τοῖς ὑπὸ χεῖρα διὰ συγχωρήσεως καὶ συνδρομῆς τῆς διὰ συγκατάβασιν· μὴ λανθάνεσθαι δὲ μηδὲ τοῦ ἐμβριθοῦς ὅτε χρεών· ἵνα μὴ ἐξυπτιάσαντες ἀδεῶς οἱ ὑποτεταγμένοι, καταχυλισθῶσιν ἐκτραπέντες εἰς τὸ ἀνύποιστον

καὶ οὕτως ἄναρχον· ὡς μηδὲν ὂν διάφορον ἀϊδίᾳ καὶ τῷ ἄρχοντι· καὶ μὴν καὶ ἄλλως, ἡσυχίας φιλοσόφου καὶ ἀτρεμείας καὶ ἠρεμίας, καὶ ἐπικρύψεως ἐναρέτου σύμβολον καὶ ὁ ῥηθεὶς μωσαϊκὸς γνόφος· ὡς δέον τοὺς ὁμιλητὰς τοῦ Θεοῦ μὴ κατὰ σκότον μὲν ἠλάσκεσθαι (μὴ γένοιτο!) πλὴν μηδὲ ἐν φωτὶ ἀγοραίῳ καὶ τυρβαστικῷ, σεμνότερον δὲ εἰπεῖν, πανηγυρικῷ, μετιέναι τὰ θεῖα, ἐν ἀτρανείᾳ δὲ σχολαστικῇ, καθ' ἣν οἱ σχολάζοντες γινώσκουσι δαυιτικῶς τὸν Θεόν. Καὶ ταῦτα μὲν τοιαῦτα. A aliter quidem, quietis philosophiæ et securitatis, et tranquillitatis, et occultationis, virtute prædita symbolum est dicta Mosaica nubes; quare oportet Dei collocutores non in tenebris vagari, ne fiat ut aliter ad divina accedamus quam in luce non forensi et tumultuaria, et melius dicam vulgari, sed in obscuritate quiete plena, in qua qui otio vacant, Deum intime norunt. Et hæc talia sunt.

θ'. Τὸ δέ, *ὁ βραδύγλωσσος ἐῤῥητόρευσεν*, ἀντιθέτῳ ἔοικε ῥητορικῷ· ἀντίκεινται γάρ πως ἡ ῥητορεία καὶ ὁ βράδύγλωσσος. Εἰ γάρ τις βραδύγλωσσος, πῶς ἂν ῥητορεύσῃ; καὶ αὖ πάλιν εἰ ῥητορεύει, καὶ ταῦτα νόμον θεόγραφον, πῶς ἂν εἴη βραδὺς τὴν γλῶσσαν; Καὶ ὅμως ἔχει τὸ ἀσφαλὲς ἡ ἔννοια κατὰ ἰδέαν ὕψους, ὅπερ ἐστὶ σεμνότητος. Τρόπον γάρ τινα φράζει οὕτως· Ὁ τὴν γλῶσσαν παράκοπος οὐ διὰ μογγίαν, ἀλλ' ὡς οἷον βούγλωσσος καὶ βατταρίζειν σκωπτόμενος ἐῤῥητόρευσεν, οὐχ ὑπουργῶν τῇ ἐπιτυχούσῃ φράσει, ἀλλὰ φθόγγῳ Θεοῦ. Εἰ δὲ σκηνοβατῶν τις ἐν θεάτρῳ καλῶς ὑπὸ χορηγῷ λαμπρῷ, ἔπαινον πολὺν ἐπισύρεται, πηλίκος ἂν εἴη ἐς θαῦμα ὁ τῷ χορηγῷ τῆς σοφίας Θεῷ ὑποφητεύων τὰ ἐκείνου ῥητορικῶς καὶ τορῶς; Διὸ τῷ τοιούτῳ ἀντιθετικῷ σχήματι καὶ νοήματι συνεξαιρόμενος ὁ μελῳδὸς καὶ τὰ ἐς φράσιν, οὐκ εἶπεν ὡς ὁ βραδύγλωσσος ἐξηκρίβωσεν ἢ ἐξετράνωσε τὸν θεόγραφον νόμον, ἀλλὰ τοῦ τροπαριακοῦ γνόφου ὅσα καὶ βροντὴν ἐξέῤῥηξε τὸν τοῦ ἀμεταβόλου συχνὸν ῥοιζόν, τρεπλώσας αὐτὸν ἐν μιᾷ λέξει πρὸς εὐλογίαν τριαδικὴν, καὶ τὸ σεμνὸν σεμνῶς φράσας ὡς ἔπρεπε· τί δ' ἄλλα καὶ χρῄζομεν ἐν τοιούτοις Μωϋσέως τούτου σταντοροφώνου ῥήτορος, οὗ καὶ τὸ ἰσχναλέον τῆς λαλιᾶς εἰς οὐρανὸν αὐτὸν ἀναβαίνει ἀκουομένου ὑπὸ Θεοῦ; καὶ στοιχείοις ὑπακοὴν ἐμποιεῖ ἐπὶ ἀλλοιώσει ξένῃ, καὶ θάλασσαν σχίζει καὶ ἀποκαθιστᾷ, καὶ γῆν δὲ αὐτὴν ῥήγνυσιν ὡς χαίνειν κατὰ κακότητος, εἴ τις ἐννοήσεται τὰ κατὰ τὸν Δαθὰν καὶ τὸν Ἀβειρών. 9. Quod autem tardiloquus locutus sit, altitudini simillimum est oratoriæ; opponuntur enim quodam modo eloquentia et tardiloquentia. Si enim quis sit lingua tardus, quomodo eloquatur? Et rursum, si loquatur, et legem proferat a Deo scriptam, quomodo lingua tardus sit? Et tamen certa manet mens, secundum ideam altitudinis, id est majestatis; quodam enim modo sic loquitur: Qui lingua impeditus erat non quia clara orbatus voce, sed quasi bubulam linguam gerens, et balbutit non cuilibet phrasi obsequens, sed voci Dei. Si autem scenam adiens quis in theatro a nobili magistro edoctus, gloriam multam lucretur: qua in admiratione foret qui sub magistro sapientiæ Deo interpretaretur verba ejus clare et eleganter? Unde tali antithetica figura et cogitatione sublatus poeta etiam quoad phrasim, non dixit tardiloquum plane calluisse vel explicasse divinam legem, sed sicut figurativæ nubis tonitrua, crebrum emissi immutabilis Dei sibilum, triplicans eum in uno verbo ad Trinitatis gloriam, et grandia graviter eloquutus, ut decebat; quid autem nobis opus est in his Moyse illo stentoreæ vocis rhetore, cujus gracilitas vocis in cœlum ipsum ascendit sub audiente Deo? Et elementis auditum fecit pro aliena transmutatione, et mare divisit et dimovit, et terram rupit, ita ut adversus pravitatem patesceret, si recogitaveris quæ circa Dathan et Abiron facta sunt. B C

ι'. Εἰ δὲ καὶ μὴ δυσπραγίᾳ φύσεως, ἀλλὰ ἐξ ἐπικαύματος ἄνθρακος, ὃν μετέλαβεν αὐτὸς ἀντὶ στατῆρος καὶ αὐτοῦ χρυσέου, τὸ βραδύγλωσσον ὁ γλυκὺς Μωϋσῆς ἐκληρώσατο, σεμνότης καὶ αὕτη τῷ θεράποντι τοῦ Θεοῦ μεγίστη, ἐφ' ᾧ καὶ χρυσέαν τὴν γλῶσσαν λέγεσθαι, καὶ πυρίνην γλῶσσαν καὶ αὐτὸν λαχεῖν ἀποστολικῶς, καὶ κατὰ τὸν μέγαν Ἡσαΐαν ἄνθρακα ψωμισθῆναι προφητικῶς. Εἰ δὲ καὶ κωφοὶ ἐκ γενετῆς τρανοῦνται γλώσσας ὑπὸ Θεοῦ καὶ θαυμάζονται, καὶ μογιλάλοι διατρανοῦσι τὸ λάλημα καὶ ὑποκινοῦσι καὶ αὐτοὶ θαῦμα, πηλίκος ἂν εἴη βραδύγλωσσος οὗτος ῥήτωρ, ὃς Θεοῦ φωνὴν ὑποκρινάμενος, οὕτως ὑπερλίαν εὐδοκιμεῖν ἔλαχε; Φράσαι δὲ καὶ ἄλλως τὸ αὐτό· Ἐὰν ἀνθρωπίνη συνάσκησις ἐπιμελὴς θεραπεύσοι γλῶσσαν δυσπραγοῦσαν εἰς τὸ λαλεῖν, ὃ δὴ ὁ Παιανιεὺς ῥήτωρ ὡς καλλίστευμα δυσπραγούσης φύσεως ἐτεχνήσατο, πῶς οὐκ ἂν δυνήσεται ὁ παντοδύναμος Κύριος, ὁ τῆς φύσεως δημιουργὸς τὸν αὐτοῦ ῥήτορα θεραπεῦσαι, εἰ τὴν γλῶσσαν καχεκτεῖ; Σημείωσαι δὲ ὅτι ἄλλως τὸ *ἐῤῥ-* 10. Si autem non ex vitio naturæ, sed ex carbonis adustione, quem sumpsit ipse pro statere auri, tardiloquium miti accidit Moysi, maxima est vere Dei dignitas, post ipsum aureum os dici, et igneam linguam sicut apostoli sortitam esse, et magni inter Isaiæ, carbone prophetice fuisse tactum. Si autem loquelam et muti a nativitate claram a Deo obtinent et admirationi sunt, et balbi perspicuam reddunt vocem et ipsi prodigium sentiunt, qualis fuit tardiloquus ille orator qui Dei vocem interpretatus, sic abundantius meruit honorari? sed idem aliter dicendum: Si diligens hominum studium linguam curet in loquendo mali prohibitam, quod et fecit ex Pæana tribu oriundus orator ad vitiosæ emendationem naturæ, quomodo non possit omnipotens Dominus, naturæ creator, proprium interpretem curare, si lingua laboret? Notandum autem quod illud *pronuntiavit* non necessario sumatur pro *perfecte et eleganter protulit*, sed significare auctor voluit *sincera et ma-* D

nifesta locutus est, prout faciunt diligenter et generosi oratores, qualis exstitit Moyses non a seipso loquens, nec propria proferens, sed divinitus quæ Dei erant; unde invincibiles sunt et ipsi a Spiritu sancto afflati oratores qui, ut postea canet poeta, illitterati cum essent, Græcorum philosophorum ora clauserunt, non aliter quam verbo; et tales esse Dei prædicatores omnino oportebat.

A ῥητόρευσεν οὐκ ἐξ ἀνάγκης λαμβάνεται ἀντὶ τοῦ, διάτορον ἐκαλλιῤῥημόνησεν, ἀλλὰ δηλοῦν ἐθέλει καὶ τὸ, σπουδαῖα καὶ ἀναντίῤῥητα ἐλάλησε κατὰ, τοὺς καὶ ἐναγωνίους καὶ γενναίους ῥήτορας, ὁποῖος πέφηνε καὶ ὁ Μωϋσῆς, οὐκ ἀφ' ἑαυτοῦ λαλῶν, οὐδὲ τὰ ἑαυτοῦ, θεόθεν δὲ τὰ τοῦ Θεοῦ· δι' οὗ ἀκαταμάχητοι καὶ οἱ κατὰ τὸ ἅγιον Πνεῦμα ῥήτορες, οἳ ὡς ἐν τοῖς ἑξῆς μέλψει ὁ μελῳδὸς, ἀγράμματοι ὄντες, τοὺς τῶν Ἑλλήνων σοφιστὰς ἐπεστόμιζον, οὐκ ἄλλως ἀλλὰ λόγῳ· καὶ ἐχρῆν πάντως τοιούτους εἶναι τοὺς θεορῥήτορας.

11. *Divina* autem *lex* quam Deus ipse digito scripsit, per quam dæmones pellit, et onera volvit quæ nemo feret unquam, et innumera alia peragit miracula; excogitaret autem hic forsan aliquis quod, inter cætera, alius sit legis dator, et alius legislator; sed ambo in Deum recidunt; ipse enim legem dat præcipiendo, et fert scribens in corporibus; idem legem et dedit, et tulit; manifeste autem a Deo scripta inventa est lex per Moysen divinitus Israelitis missa, ad supereminentem distinctionem cæterarum legum physicæ, gentium, et si quæ alia justa distinguitur omnino ab illa lege; incompositæ enim et incongruæ leges, et crudeles, quales erant Cyclopum et Læstrygonum leges, non sunt hic omnino commemorandæ, quando sermo est de lege a Deo rite scripta; sicut nec leges eorum qui statutis reguntur propriis, vel mulierum, vel tabularum, vel puerorum, et si qui alii tales sunt; nec ipsi enim ob vilitatem memoria digni sunt. Si autem omnis lex politica Dei donum, et sapientium hominum inventio esse dignoscitur, talis certe bona est, et vere accipitur ut a Deo data et lata.

ια'. Θεόγραφος δὲ νόμος, ὃν Θεὸς αὐτὸς ἔγραψε δακτύλῳ, δι' οὗ καὶ δαιμόνια ἐκβάλλει καὶ φορτία μετακινεῖ, ἅπερ οὐκ ἂν φέροι τις, καὶ λοιπὰ δὲ μυρία ἐκτελεῖ τεράστια. Πορίσηται δ' ἄν τις ἐντεῦθεν, εἰ καὶ ἐπ' ἄλλων διαφόρους εἶναι δοκεῖ κατά τι τόν τε νομοδότην τόν τε νομοθέτην, ἀλλ' ἐπὶ Θεοῦ συμβαίνειν ἀμφότερα. Ὁ γὰρ αὐτὸς καὶ νόμον δίδωσιν ἐπιτελλόμενος, καὶ τίθησι γράφων ἐν σώμασιν· ὁ αὐτὸς ἄρα καὶ νομοδοτεῖ. Δῆλον δὲ ὅτι θεόγραφος εὑρέθη νόμος ὁ διὰ Μωϋσέως θεόθεν τοῖς Ἰσραηλίταις πεμφθεὶς πρὸς ὑπέρσεμνον διαστολὴν ἑτέρων νόμων, τοῦ φυσικοῦ, τοῦ ἐθνικοῦ, καὶ εἴ τις ἄξιος ἀντιδιαστέλλεται ὅλως νόμῳ τοιούτῳ. Οἱ γὰρ ἀλόγιστοι καὶ ἀπρεπεῖς νόμοι, ἔτι δὲ καὶ οἱ θηριώδεις, ὁποῖοι καὶ οἱ κυκλώπειοι, καὶ οἱ κατὰ Λαιστρυγόνας, οὐδὲ μνημονευτέοι ὅλως ἐνταῦθα, ἔνθα ὁ λόγος περὶ νόμου εὐθέτως γραπτοῦ τῷ Θεῷ· καθὰ οὐδὲ οἱ τῶν αὐτονόμων, ἄλλως δὲ οὐδὲ οἱ τῶν γυναικονόμων, καὶ τῶν τραπεζονόμων, καὶ τῶν παιδονόμων, καὶ οἵ τινες ἄλλοι τοιοῦτοι. Οὐδ' αὐτοὶ γὰρ ἐν τοῖς ἄρτι μνήμης ἐπάξιοι, διὰ τὸ εὐτελές. Εἰ δὲ καὶ πᾶς νόμος πολιτικὸς δώρημα μὲν Θεοῦ, εὕρημα δὲ σοφῶν ἀνδρῶν ἐγνωμάτευται, ἀλλὰ τοιοῦτον ἀγαθὸν μάλιστα καὶ κυρίως ἡ διειλημμένη ἐκ Θεοῦ νομοδοσία καὶ νομοθεσία.

12. Limus autem quod sit cœnosa humiditas et per hoc ad illinendum apta, et aliud quam materia simpliciter, jam declaratum est pulchre repræsentans ex conjectura naturalis inter legem collationis et carnem in nobis ex limo conditis, ideam et notionem; unde obtenebrata nostra mentali lucerna quasi ab eo liniretur velut ex limosis tabellis, ut aperte dicam, susceptio deletur et manifestatio luminis in mentibus nostris; nec prius permittitur illuminans esse et lucifera lucerna hæc a Patre luminum accensa, quam *primo* cœnosam absterserimus interiorem mansiunculam; quando et videre vel cogitare poterimus illuminatorem Deum, cadente madido cœno, et munita contra impedimenta immissa luce; ut exinde locus qui est in anima nostra illuminans, et excipiat hilarem lucem a Deo, et emittat, adeo ut quomodo quidam sit, eum certissime cernat qui est ultra omnem visionem.

ιβ'. Ἡ δὲ ἰλὺς ὅτι πηλώδης ὑγρότης ἐστὶ, καὶ δι' αὐτὴ ἐμπλαστικὴ, καὶ ἄλλο τι παρὰ τὴν ἁπλῶς ὕλην, δεδήλωται ἤδη· σαφῶς ἑρμηνεύουσα ἐξ εἰκασίας προσφυοῦς παραβολῆς νόμῳ τὸ ἐν ἡμῖν τοῖς ἐκ πηλοῦ σαρκικὸν φρόνημα καὶ νόημα· δι' οὗ ἐπιπροσθούμενον τὸ νοερὸν ἡμῖν φανίον ὡς εἰ καὶ ἐνεπλάττετο ὑπ' αὐτοῦ οἷα καὶ πηλοῦ πλατειῶν δαυιτικῶς εἰπεῖν, ἀφαντοῖ τὴν τοῦ κατὰ Πνεῦμα φωτὸς καὶ εἰσδοχὴν καὶ ἔκφανσιν· καὶ οὐ πρότερον ἀφίεται φεραυγὲς εἶναι καὶ φωσφόρον ἐμπυρευόμενον ἐκ τοῦ τῶν φώτων Πατρὸς, εἰ μὴ πρότερον τὴν ἰλυώδη ἀπαλείψομεν μεσολάβησιν· ὅτε καὶ ὁρᾷν ἥγουν νοεῖν δυνησόμεθα τὸν φωτοδότην Θεὸν, τῆς πλαδώσης ἰλύος καὶ ἐπιπιπτούσης καὶ στεγανούσης πρὸς κωλύμην φωτὸς ἀπενηνεγμένης· ὡς ἐντεῦθεν τὸ ἐν ἡμῖν φωταγωγὲς χωρίον τὸ κατὰ ψυχὴν, καὶ εἰσδέχεσθαι φῶς ἱλαρὸν θεόθεν, καὶ προπέμπειν, ὡς ὀξύτατα, κατὰ τὸν οὕτω φάμενον, ἐκδέρκεσθαι τὸν ἁπάσης θέας ἐπέκεινα.

13. Verbum *excutiens* fortitudinem demonstrat, et nobilem facilitatem ob liberationem a malo; sic salvi Israelitæ facti sunt projectis Ægyptiis in mare; sic Paulus mordentem viperam excussit a manu. Usitatum autem hoc verbum, et in psalmis

ιγ'. Τὸ δὲ *ἐκτινάξας* γενναιότητα ἐμφαίνει καὶ εὐγενῆ ῥᾳστώνην ἐξ ἀπαλλαγῆς κακοῦ· οὕτως ἐξάντες Ἰσραηλῖται τῶν Αἰγυπτίων ἐγένοντο ἐκτιναχθέντων εἰς θάλασσαν· οὕτω Παῦλος τὴν ἐνδακοῦσαν ἐχιδναν ἐκτινάξας ἀπάγει τῆς χειρός· χρήσιμον

δέ τι ἐνταῦθα καὶ ψαλμικὸν τὸ « Ἐξετινάχθην ὡσεὶ ἀκρίδες · » ὄμμα δὲ νόου, ὡς ἐκ μέρους τούτου τὸν τὸ πάντα διπλοῦν αἰνίττεται ἄνθρωπον. Ὡς γὰρ μιᾷ θυρίδι τοῦ κατ' ἄνθρωπον οἴκου, τῇ κατ' ἀκοὴν αἰσθητικὴν ἀντανέῳγεν ἡ κατὰ νοῦν, οὕτως καὶ ταῖς λοιπαῖς τέτρασιν αἱ ἀνάλογοι. Εἰ δὲ καὶ χερσὶ χεῖρες, καὶ πόδες ποσὶ, καὶ μέσα μέσοις παράκεινται, συνδυασμοῦ λόγῳ, τοῦ κατ' αἴσθησιν καὶ τοῦ κατὰ νοῦν, οὐκ ἂν εἴη ἀναγκαῖον εἰς πλέον ἐπισημαίνεσθαι παρά γε ἀνθρώποις οὐ παραβλέπουσιν, ἀλλὰ ὀρθῶς μεμαθηκόσι θεωρεῖν διπλόην ταύτην ἐπαινετὴν τὴν κατὰ ἄνθρωπον.

ιδ'. Τὸ γὰρ, *ὁρᾷ τὸν ὄντα*, δίδωσιν ἡμῖν θαυμάζειν, ὅτι ἐν γνόφῳ καθορᾷ ὁ θεοπτικώτατος Μωϋσῆς κάλλιον ἢπερ οἱ ἄνθρωποι τὰ αἰσθητὰ ἐν φωτὶ καθαρῷ. Αὐτοὶ γὰρ παραβλέποντες, καὶ τὰ μὴ ὄντα ἔστιν οὗ ὡς ὄντα φαντάζονται · θεορρήμων ἄρα κυρίως ὁ Μωϋσῆς ὡς Θεὸν τὸν ὄντως ὄντα ὁρῶν καὶ ἀληθῶς θεωρικώτατος. Ἰστέον δὲ ὅτι τὸ, *ὁρᾷ τὸν ὄντα*, δηλοῖ μὴ ἐνδαλθῆναι ἢ ἄλλως ἁπλῶς οὕτω φαντασιωθῆναι τὸν Μωϋσῆν τηνικαῦτα · αὐτὸν δὲ πάντως τὸν Θεὸν ἰδεῖν ὡς ἀνθρώπῳ ἐφικτόν · ποῖον Θεόν; οὐ κύριον ὥσπερ ὄνομα Ὁ ὤν · κατὰ τὸ Ἐγώ εἰμι ὁ ὤν · ὁ κατ' ἐξοχὴν δηλαδή. Εἰ δὲ καὶ τὰ ὄντα εἶδεν ἄλλοτε διὰ τοῦ Θεοῦ, καὶ οὕτως εἶδεν τὰ κατὰ τὴν κοσμογένειαν ὁ Μωϋσῆς, οὐχ ἁπλῶς, λόγῳ δὲ φιλοσοφίας καθὸ δηλαδὴ ὄντα · ἀλλὰ νῦν αὐτὸν τὸν ὄντα βλέπει, τὸν δι' οὗ τὰ ὄντα πάντα, καὶ οὗ τῇ δεσποτείᾳ τὰ ὄντα πάντα ὑπόκειται. Ἐν δὲ τῷ *μυεῖται* σημείωσαι ὅτι ἅμα εἶδε Μωϋσῆς τὸν ὄντα, καὶ αὐτίκα μυεῖται τὰ τοῦ Πνεύματος, ἐν οἷς ὁ θεόγραφος νόμος, ἵνα ὡς ὁ ἑωρακὼς τὸν Υἱὸν ἑώρακε καὶ τὸν Πατέρα, οὕτως ὁ ἑωρακὼς ὃ ἐστὶ νοήσας, καὶ οὕτω γνοὺς τὸν ὄντα, ἔχοι γνῶσιν αὐτίκα καὶ τοῦ Πνεύματος. Ἀγαθὸν τοῦτο μέγα, τὸ καὶ τοῖς ἀποστόλοις κεχαρισμένον ἀπὸ τῆς σήμερον ἑορτῆς.

ιε'. Τοῦ δὲ *μυεῖται* λέξιν καιριωτέραν τοῖς τὰ θεῖα τελουμένοις οὐκ ἔστιν εὑρέσθαι. Ἐξ αὐτῆς γοῦν παρ' Ἕλλησι μύσται τὸ πρῶτον οἱ τὰ σφίσι δοκοῦντα θειότατα κρυφιομυστικῶς παραλαμβάνοντες πρὸς τῶν ἱεράσθαι λαχόντων, καὶ οὕτω τελούμενοι, καὶ τελεταρχικῶς παιδευόμενοι · ὁποῖα καὶ τὰ Ἀττικὰ μεγάλα καὶ μικρὰ μυστήρια καὶ τὰ ἐν Τροφωνίου καὶ Ἀμμώνος καὶ λοιπά. Παρῆκται δὲ ἡ λέξις ἡ ἀπὸ τοῦ μύειν, ὅ ἐστι συγκλύειν τὰ χείλη · ἀνάγκη γὰρ ἦν σιγᾷν πάντη καὶ πάντως τοὺς μυουμένους ἅπερ ἐτελέσθησαν, ὡς καὶ οἱ Πυθαγορικοὶ μάλιστα δηλοῦσι, καὶ θανάτῳ ἐτιμῶντο οἱ τὰ μυστήρια ποιούμενοι ἔκφορα · ἢ ἀπὸ τοῦ μύειν, ὅ δὴ καὶ καμμύειν φαμὲν, διὰ τὸ δεῖν εἶναι τὸν οὕτω μυστηριαζόμενον, εἰς ἑαυτὸν συνῆχθαι καὶ μόνον, κατὰ τὸν ὅλον ἄνθρωπον, καὶ μηδέν τι τῶν ἑαυτοῦ ἀπολύειν ἔξω ῥέμβεσθαι, μηδ' αὐτὸ τὸ τῆς ὄψεως ἐξαλλόμενον ὀπτικὸν, μήποτέ τι τῶν ἐξωτερικῶν εἰδώλων, ὁ μύστης ἐπεισσπασάμενος, ἀποκαταστήσῃ τὴν μύησιν ὡς εἰς ὀνειροπόλησιν· οὐ μὴν οὐδὲ οὕτω καμμύειν τοῖς ὀφθαλμοῖς τὸν μυούμενον ὡς ἀφυπνοῦν καὶ οὕτω νεκρίζειν · ἀλλ' ὡς πὰς πύλας τὰ βλέφαρα συγκλείειν

notum : « Excussus sum sicut locustæ. » Oculum mentis ex hac parte duplicem totum hominem innuit; ut enim uni portæ domus alicujus quoad intelligentiam sensuum, opposita patet alia in mente, sic in aliis quatuor sensibus. Si autem manibus manus, et pedes pedibus, ex media mediis adjacent, in modum dualismi inter sensus et mentem, nil necesse foret illud demonstrare hominibus non negligentibus, probe autem scientibus videre duplicem gloriam hanc in homine.

14. Verba, *videt eum qui est*, admirandi locum præbent quod Moyses vir maxime perspicuus, melius Deum viderit in nube, quam homines in pura luce sensibilia. Ipsi enim torva tuentes, quæ non sunt sibi efformant quasi sint; Moyses autem a Deo afflatus, quasi Deum, eum qui vere est vidit, vero oculo. Sciendum autem quod *vidit eum qui est*, ostendat non visum esse, vel aliter, non simpliciter effigiem respexisse Moysen; ipsum autem omnino Deum vidisse sicut homini fas est; qualem Deum? Suum Dominum, cujus nomen : Qui est; juxta hæc : Ego sum qui sum, videlicet excellenti modo. Si autem ea quæ sunt intuitus est olim per Deum, et sic vidit ea quæ ad cosmogoniam spectant Moyses, non simpliciter, sed per modum philosophicum ratione nempe eorum exsistentiæ : nunc autem et ipsum entem videt, per quem sunt omnia, cujus potestati omnia subsunt. In verbo autem *initiatur*, notandum quod simul entem vidit Moyses, et statim novit quæ de Spiritu sunt, in quibus divina lex; unde, sicut qui vidit Filium, vidit et Patrem : ita qui vidit, id est, qui cogitavit et sic novit entem, Spiritus statim cognitionem habet; et magnum illud bonum quod et apostolis concessum est in hodierno festo.

15. Opportunius autem quam μυεῖται verbum iis qui divina peragunt invenire impossibile est : ex hoc enim apud Græcos mystæ primo, qui ea quæ sibi divinissima videbantur, accipiebant ab his qui sacerdotium sortiti erant, sic initiati et sacra edocti; qualia inter Atticos parva et magna [mysteria, et Trophonii, et Ammonis, et alia; deducitur autem verbum a μύειν, id est labia claudere: necesse enim erat ut omnia omnino quæ perfecta erant silerent initiati, sicut maxime ostendunt Pythagorici; et morte mulctabantur qui mysteria evulgabant; vel a verbo μύειν quod καμμύειν; quia initiatum, in seipso recollectum esse secundum totum hominem, nec sinere aliquid in se exterius evulgari debet, ne ipsum quidem oculi ictum, ne aliqua exteriori imagine abstractus qui initiatur, initiationem faciat quasi somnium; nec sic oculos claudere debet dum initiatur ita ut obdormiat, et sic moriatur; sed quasi portas palpebras claudere si oportuerit, et lucem omnem in mysterium reservare; hujus symbolum, initiationis tempus apud Atticos, et ejus ordinatio; nox enim, erat

tempus illud; cæterum illustrata quoque erat lumi- A
num fulgore ex mysticis lampadibus diffuso, quarum
usus nocturnus oculos claudi volebat; lampadum
autem accensio vigilantiam et doctrinam mysticam
initiatis commendabat.

εἶγε δεήσει, καὶ τὸ φῶς ἅπαν οὕτως ἀπασχολεῖν εἰς τὰ μυστήρια. Τούτου δὲ σύμβολον καὶ ὁ τοῦ μυστηριασμοῦ καιρὸς παρὰ Ἀττικοῖς, καὶ ἡ κατ' αὐτὸν διάθεσις· νὺξ μὲν γὰρ ὁ χρόνος ἐκεῖνος. Δείκειτο δὲ ἄλλως ἡμερωφαῶς τῇ τῶν φώτων ἀναλάμψει τῇ ἐκ τῶν μυστικῶν δαΐδων, ὧν τὸ μὲν νύκτερον τοῦ χρῆναι καμμύειν, ὡς εἴρηται, αἴνιγμα ἦν· τὸ δὲ φωσφόρον λαμπαδούχημα τοῦ ἀνυστάζοντος ἐν ἐγρηγόρσει ἐμβλέπειν καὶ ἀναθεωρεῖν τὰ τῆς μυστικῆς τελετῆς.

16. Mihi quidem videtur metaphorica docti Joannis dulcedo non inconsulto hic subjunxisse divinam nubem spiritualis initiationis, sed ad genuinam metaphoram seu translationem, ut divina nubes illa sit congrua applicationi animæ non in vanis occupatæ caligo divina; initiatio autem consentanea, ea quæ in ipso fit illuminans et sub sole Spiritus sancti initiatio, et vere docta cognitio; quam cognitionem Spiritus dicit per oppositionem B cæterarum notionum, sicut tertia strophe docebit varias esse, moralem, et physicam, et mathematicam, et excellentiorem theologicam Patris et Filii et Spiritus sancti: hujus meminit divinus poeta, et duas illas significavit; Dei enim lex triplex est; similiter et initiatio cognitionis Spiritus vel Filii vel Patris, communis est sanctæ Trinitati; quod item ex phrasi poetæ intelligi potest. Dicendo enim: *videt eum qui est*, sanctam Trinitatem indigitavit, et initiationem appellans Spiritus, illam nobis supponendam reliquit, sicut colligi potest ex alio poeta qui in nona strophe prossiçi hymni dicens apostolos superno afflatu illuminatos, Trinitatem omnem cognovisse, inducit in se- C quenti strophe illius ævi populos qui cognitioni Trinitatis initiandi erant.

ις'. Ἔμοιγ' οὖν ἡ μεταφορικὴ τοῦ σοφοῦ Ἰωάννου γλυκύτης, οὐ παρέργως ἐνταῦθα δεκαὶ προσθεῖναι τὸν θεῖον γνόφον, τῆς πνευματικῆς μυήσεως, ἀλλὰ πρὸς εὐφυῆ μεταφορὰν ἤτοι τροπὴν, ἵνα σκότος μὲν εἴη θεῖον πρέπον συστολῇ ψυχῆς ἀβρεμβέστου ὁ θεῖος ἐκεῖνος γνόφος· μύησις δὲ ἀνάλογος ἡ ἐν αὐτῷ φωταυγὴς καὶ ὑπὲρ ἥλιον τοῦ ἀγιωτάτου Πνεύματος μύησις· καὶ ἀληθῶς γνῶσις ἐπιστημονική· ἣν γνῶσιν Πνεύματος λέγει πρὸς διασαφὴν ἑτέρων γνώσεων, ὁποίαν καὶ ἡ τρίτη λαλήσει ᾠδὴ διαφόρους οὔσας, ὧν καὶ ἡ κατ' ἦθος, καὶ ἡ φυσικὴ, καὶ ἡ πρὸς μάθησιν, καὶ τὸ κορυφαῖον ἡ θεολογικὴ, ἡ τοῦ Πατρὸς, ἡ τοῦ Υἱοῦ, ἡ τοῦ ἁγίου Πνεύματος· ἧς ἐνταῦθα μνησθεὶς ὁ θεῖος ποιητὴς καὶ τὰς δύο συνεδήλωσε. Θεοῦ γὰρ νόμος τριαδικός ἐστιν· ὁμοίως δὲ καὶ μύησις γνώσεως Πνεύματος ἡ Υἱοῦ, ἡ Πατρὸς κοινὴ τῆς ἁγίας Τριάδος· ἔστι δὲ καταναφάσθαι αὐτὸ καὶ ἀπὸ τῆς φράσεως τοῦ μελῳδοῦ. Εἰπὼν γὰρ *ὁρᾷ τὸν ὄντα*, τὴν ἁγίαν Τριάδα παρεστήσατο· καὶ μύησιν δὲ φάμενος Πνεύματος, τὴν αὐτὴν ἀφῆκεν ἡμῖν συνεννοεῖν, ὡς ἔστι καταλαβέσθαι καὶ ἀπὸ ἑτέρου μελῳδοῦ, ὃς ἐν τῇ ἐννάτῃ ᾠδῇ τοῦ πεζολαχικοῦ κανόνος εἰπὼν, ὡς οἱ ἀπόστολοι ἐπιπνοίᾳ τῇ ἄνωθεν καταλαμφθέντες, τὴν Τριάδα πᾶσαν ἐγνώρισαν. ἐπάγει ἐν τῷ ἑξῆς τροπαρίῳ, τοὺς ἐκεῖ τότε λαοὺς τὴν τῆς Τριάδος μυηθῆναι γνῶσιν.

17. Forsitan quis dicat Moysen primum, non solum prophetici, sed Dei gratia et apostolice initiatum fuisse cognitioni celebrati Spiritus, et hoc ex strophes verbis erui. Sic enim per nubem significatur domus in qua inventi sunt discipuli hodie sedentes; divina enim nubes illa nuncupabatur prophetæ, et domus nebula quodammodo adumbrans interiora ejus, nec sinens illum radiis solaribus attingi. Per eloquentiam autem illi inditam, notatur sapientia apostolorum antea rudium; ejus autem tardiloquium quod ignitæ ejus eloquentiæ non nocuit, linguas significavit discipulorum igneas D ex indoctis a Deo magistro factas; divisionem autem linguarum et eos qui tunc adfuerunt populos lex divina manifestavit; ipsa enim duro populo Israelitico partita est ad directionem, et Christus Spiritum divisit, sicut infra canetur, populo gentili qui erat ipse dura cervice, sicut ostendunt qui ex ipsis aderant festo, et ebrietatem sanctis apostolis exprobraverunt; mox dicendum autem quod spiritum vehementem et in ipso ignem, nubes illa significet; nebulas enim pervadunt tales aeriæ passiones modo ex casu, modo ex Dei jussu; et tale quid fuit circa cognitionem Spiritus sancti. Posset autem aliter per circumlocutionem idem Spi-

ιζ'. Ἔχοι δ' ἂν τις εἰπεῖν ὡς ἔφθη οὐ μόνον προφητικῶς, ἀλλὰ Θεοῦ χάριτι καὶ ἀποστολικῶς μυηθῆναι τὴν τοῦ ἑορταζομένου Πνεύματος γνῶσιν ὁ Μωϋσῆς, καὶ διὰ τῶν κειμένων ἐν τῷ εἱρμῷ· οἷον διὰ τοῦ γνόφου τὸν οἶκον ἐν ᾧ εὑρέθησαν οἱ μαθηταὶ καθήμενοι σήμερον· ὁ θεῖός τε γὰρ ἐκεῖνος γνόφος οἶκος οἷον ἐχρημάτιζε τῷ προφήτῃ· καὶ οἶκος δὲ γνοφοῖ τρόπον τινὰ σκιάζων τοὺς ἐντὸς αὐτοῦ καὶ μὴ ἀφιεὶς ἀκτῖσιν ἡλίου ψαύεσθαι· διὰ δὲ τῆς κατ' αὐτὸν ῥητορείας τὴν τῶν ἀποστόλων ἐξ ἰδιωτῶν σοφίαν· τὸ δὲ κατ' ἐκεῖνον βραδύγλωσσον, ὃ τὴν ἐν αὐτῷ πυρίπνουν ῥητορικὴν οὐδὲν ἔβλαψεν, τὰς τῶν μαθητῶν ἐμύησεν αὐτὸν γλώσσας πυρπνόου; ἐξ ἀγραμμάτων διδασκαλικῶς γενομένας· τὴν δὲ διανέμησιν τῶν γλωσσῶν καὶ τοὺς τηνικαῦτα παρατυχόντας λαοὺς ὁ θεόγραφος νόμος παρεδήλωσεν· αὐτός τε γὰρ σκληρῷ λαῷ τῷ Ἰσραηλιτικῷ διενεμήθη πρὸς διόρθωσιν· καὶ ὁ Χριστὸς ἔνειμεν τὸ Πνεῦμα, ὡς ἐν τοῖς ἑξῆς μελῳδηθήσεται, ὑπὲρ τοῦ ἐθνικοῦ λαοῦ τοῦ καὶ αὐτοῦ σκληροτραχήλου, ὡς ἐμφαίνουσιν οἱ ἐξ αὐτῶν παρόντες τῇ ἑορτῇ, καὶ μέθην τῶν ἁγίων ἀποστόλων καταλέγοντες· τὴν δέ γε ῥηθησομένην βιαίαν πνοὴν καὶ τὸ κατ' αὐτὴν πυρῶδες, ὁ γνόφος ἐκεῖνος συνεδήλου. Γνόφων γὰρ τὰ τοιαῦτα ἐκτρέχουσιν ἀέρια ὄντα παθήματα· ποτὲ μὲν ἐκ

συμβάματος, ποτὲ δὲ ἐκ θείου κελεύσματος· καὶ ἐοικότων μὲν τοῦτο περὶ τοῦ μυεῖσθαι Πνεύματος γνῶσιν. Ἔστι δὲ καὶ ἄλλως περιφράσεως λόγῳ ταὐτὸν Πνεῦμα εἰπεῖν καὶ γνῶσιν Πνεύματος τὴν κατὰ νοῦν ἀνθρώπου· εἴ γε καὶ παρ' ἡμῖν κατὰ τὴν ἔξω σοφίαν, ὁ νοῦς οὐκ ἔχει δράττεσθαι τοῦ γνωστοῦ ἀκριβῶς, εἰ μή πως ἐξομοιωθῇ πρὸς αὐτό. A ritus dici et cognitio Spiritus in mente hominis, quoniam in nobis quo ad exteriorem sapientiam, mens non potest doctrinam perfecte capere, nisi aliquo modo assimiletur ei.

ιη'. Ἰστέον δὲ ὅτι καὶ ἄλλως ἔστιν εἰπεῖν ὡς ἐμυήθη ὁ Μωϋσῆς τὴν γνῶσιν τοῦ Πνεύματος διὰ τοῦ νόμου, ὃν ἐκεῖθεν δεδίδακται θεόγραφον εἶναι· ὡσαύτως; μεμύηται καὶ διὰ τῆς ὁράσεως καθ' ἣν εἶδε τὸν ὄντα τοῦ ἁγίου μεσολαβοῦντος Πνεύματος· ἔτι δὲ καὶ διὰ τοῦ γνόφου, ᾧ περιελάμφθη θεωρητικῶς, ἐναστραφέσης ἐκεῖθεν αὐτῷ καταληπτικῆς θείας νοήσεως, ἵνα ὥσπερ νεφέλη φωτεινὴ ἐπεσκίασεν ὕστερον τοὺς μετὰ τοῦ Σωτῆρος, οὕτως ἀνάπαλιν γνόφου σκιὰ φωσφορήσῃ θειοτάτην Ἔλλαμψιν Πνεύματος· ἣν ἐκ τότε, ὡς εἰκὸς, μυηθεὶς κρυφιωδέστερον ὁ προφήτης, ἐθεώρησεν ὕστερον ἐκφαντορικῶς ἐν Θαβώρ· φωνὴ ἐκείνῳ καὶ τὰς πυρίνας ἅμα γλώσσας ἐνοπτρισάμενος θεοπτικώτερον, καὶ οὕτω μέλψας ᾄσματικῶς τῷ Θεῷ· δηλώσει δὲ καὶ τὸ τέλος τοῦ ἑφεξῆς τροπαρίου ἐν τῷ, *νεῦμας τὸ Πνεῦμα* καὶ νόμον Θεοῦ. B 18. Sciendum autem quod dici possit initiatum fuisse Moysen cognitioni Spiritus per legem, quam inde didicit esse divinam; similiter initiatus est per visionem qua illuminatus est spiritualiter, fulgente hinc ei comprehensibili divina mente, ut sicut nubes lucida obumbravit postea eos qui cum Salvatore erant, sic rursus nebulæ umbra transmitteret divinissimam Spiritus illuminationem; cui exinde, ut videtur, initiatus obscurius propheta, postea manifestius vidit in Thabor; in luce hac speculatus igneas linguas evidentius et sic Dei laudes cantibus prosecutus; ostendet autem finis sequentis antistrophæ, in his : *dans Spiritum Christus;* nam idem est cognitionem Spiritus dicere, et legem Dei.

ιθ'. Τοῦ δὲ *γεραίρων*, ὅπερ ἐστὶ γέρως καὶ τιμῆς ἀξιῶν, πρωτόθετόν ἐστι τὸ γέρας· οὕτω δὲ καὶ τοῦ κεραίρειν, ὃ κεραίειν ἄλλοι γράφουσι, τὸ κέρας προϋπόκειται, εἰς ὃ ἐγχέοντες τὸ ποτὸν οἱ παλαιοὶ ἐξωσίουν τὰ φίλα συμπόσια· ἔνθεα δὲ ᾄσματα κυρίως ἅπερ ᾄδομεν ἐντὸς ἡμῶν τὸ θεῖον ἔχοντες, καὶ διασαφηθήσεται ἡ λέξις κάλλιον ἐν τοῖς ἑφεξῆς. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ *γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν*, ἐκ περισσοῦ κεῖται τὸ ἄρθρον πρὸς ἀναπλήρωσιν μέτρου ἀναγκαίαν τῷ μέλει· ἄλλως γὰρ οὐδέν τι παρασημειοῦται ἡ Ἑλλην φράσις, εἴ τις εἴποι *γεραίρων ἐνθέοις ᾄσμασιν*· οὕτω δὲ καὶ τὸ *ἐν πυρίνῳ τῷ εἴδει* παρὰ τοῖς ἱεροφάνταις οὐ πρὸς ἀνάγκην ἔχει τὸ ἄθρον τῆς δοτικῆς· ἐνεαλὴς γὰρ ἦν καὶ τὸ *ἐν πυρίνῳ εἴδει*. 19. Verbi porro γεραίρων, id est, honore et veneratione dignum reputans, radix est γέρας; sic ut κεραίρειν, quod alii κεραίειν scribant, a voce κέρας derivatur, in quo potum effundentes antiqui, sua celebrabant convivia. *Divina* autem *cantica* ea sunt proprie quæ canimus Deum in nobis habentes; et melius explicabitur verbum hoc in sequentibus. Sciendum autem quod in γεραίρων ἐνθέοις ᾄσμασι, ex abundanti ponitur articulus, ad complementum mensuræ versui necessarius; nam nisi amplius significet græca phrasis, si quis dicat : γεραίρων ἐνθέοις ᾄσμασι. Sic et illud : ἐν πυρίνῳ τῷ εἴδει in sacris scriptoribus, non habet necessario articulum dativo præmissum; sufficiens enim erat : ἐν πυρίνῳ εἴδει. C

Τροπάριον.

Ἔφη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα·
Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις·
Ἐγὼ γὰρ εἰς πατρῷον ὕψιστον θρόνον
Συνεδριάζων, ἐκχεῶ τοῦ Πνεύματος
Λάμψαι ποθοῦσι τὴν χάριν τὴν ἄφθονον.

Antistrophe.

Dixit severum et venerandum os,
Divisio vobis non fiet, o amici :
Ego enim ad paternum excelsum thronum
Considens effundam Spiritus
Splendere desiderantibus gratiam infinitam.

20. Μετὰ τὸν εἱρμὸν, πρὸς ὃν εἰώθαμεν ᾄδειν τὰ μετ' ἐκεῖνον τροπάρια, γενόμενος τῶν ἑφεξῆς ἐχόμενα τῆς ἑορτῆς ὁ μελῳδὸς, παραφράζει Δεσποτικὴν ὑπόσχεσιν ἐπηγγελμένην τοῖς ἁγιωτάτοις αὐτοῦ μαθηταῖς οὐ μόνον ἐν τῷ, *Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς*, καὶ ἐν ἄλλοις δὲ πολλοῖς τόποις εὐαγγελικοῖς, ἀλλὰ καὶ ἐν τῷ, *Καθίσατε ἐν Ἰερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους*· καὶ ἐν πρώτοις τιμῶν τὸ ἁγιώτατον γαζοφυλάκιον, ἐξ οὗ προῆλθε ὁ ἅγιος θησαυρὸς, ἡ εἰρημένη ἐπαγγελία, τὸ στόμα δηλαδὴ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· σεπτὸν αὐτὸ καὶ σεβάσμιον λέγει, παραλλήλῳ θεὶς τῷ ὀνόματι τούτῳ κατὰ μᾶζ ἀμφωσημασίαν, διὰ τὸ μὴ ἔχειν ἄλλο τι φράσαι προσφυέστερον καὶ σεμνότερον. Τὸ γὰρ σέβειν τῷ Θεῷ μόνῳ ἀφώρισται εἰς οἰκείωσιν 20. Post strophen (εἱρμὸν), post quam soliti sumus canere antistrophas sequentes, aggrediens statim poeta ea quæ ad festum spectant, explicat promissionem a Deo factam sanctissimis discipulis suis, non solum his verbis : *Non relinquam vos orphanos*, et in aliis multis locis evangelicis; sed et in hoc : *Sedete in Jerusalem, donec induamini virtute ex alto*; et venerans primo sanctissimum gazophylacium unde prodiit sanctus thesaurus dictæ promissionis, os scilicet Salvatoris nostri Jesu Christi, *sevarum* illud et *venerandum* dicit, simul addens nomini huic duo in unum ne idonea verba, eo quod aliud dicendum non haberet aptius et augustius : verbum enim σέβειν reservatum est Deo soli ob congruentiam, apud antiquos, a σέβειν D

autem oritur σεπτὸν et σεβάσμιον, sicut et σεμνόν. Ideo ei qui apud Romanos vocabatur Deus succedens Filius, veritus ne orbaretur hoc titulo in eisdem terminis adhibito, aliter illum adulans induxit, augustum seipsum cognominans, ut una venerabilis idea divinissima, quasi vestimentum duplex optata, Dei scilicet cogitatio et augusti, et Patri conveniret viventi, et cum Filio exsisteret per omnem vitam, ob ideæ dignitatem; qui enim in veritate augustus est, Deus est, quoniam Deus in veritate augustus. Per hunc itaque titulum ornamentis gaudens dignissimis qui inter sanctos reges, apostolis par, est vere firmus Constantinus, longum sibi honoris titulum attribuere noluit, sicut et sequentes principes; sed hoc solum Augusti cognomen assumere dignum reputans, sic inscribebat epistolam suam : Constantinus Augustus, salutem. Si autem multiplicatum est nunc pulchrum hoc nomen, deos esse, eosque plures, quid malum esse filios Excelsi omnes, ac proinde augustos? καλὸν ὄνομα τοῦτο, τίς φθόνος θεοὺς εἶναι καὶ ἔτι σεβαστούς;

παρά γε τοῖς παλαιτάτοις· οὗ δὴ σέβειν ἐξώρμηται καὶ τὸ σεπτὸν καὶ τὸ σεβάσμιον, καθὰ καὶ τὸ σεμνόν· διὰ καὶ τὸν ἐν Ῥωμαίοις ἐπικληθέντα Θεὸν ὁ διαδεξάμενος Υἱὸς ὀκνήσας ἀποστερῆσαι τοῦ κατὰ τὴν τοιαύτην λέξιν ἐπιθέτου, ἄλλως αὐτὸν κολακεύσας ὑπηγάγετο, σεβαστὸν ἑαυτὸν ἐπονομάσας, ἵνα μία σεμνὴ ἔννοια θειοτάτη ἑκατέρα, ὡς οἷα καὶ διπλόη στολὴ ἐφαρμόττουσα ἡ τοῦ *Θεός*, καὶ ἡ τοῦ *σεβαστός*, συνδιάγοι καὶ τῷ Πατρὶ ζῶντι, καὶ τῷ Υἱῷ δὲ συμβιοτεύοι παρ' ὅλην ζωὴν διὰ τὸ τῆς ἐννοίας ἀξίωμα. Εἰ γάρ τις πρὸς ἀλήθειαν σεβαστὸς, καὶ Θεός ἐστιν, ἐπεὶ καὶ ὁ Θεὸς σεβαστὸς τῷ ὄντι· ἐκείνῳ δὲ τῷ σεπτῷ σεμνώματα χαρεὶς ἀξιώτατα καὶ ὁ ἐν βασιλεῦσιν ἁγίοις ἰσαπόστολος ὁ φερωνύμως εὐσταθὴς Κωνσταντῖνος, σχοινοτενὲς μέν τοι σεμνολόγημα ἑαυτῷ ἐπιγράφειν ὤκνησε κατὰ τοὺς μετ' αὐτὸν περιττούς. Σεβαστὸν δὲ τοῦτο καὶ μόνον ἠξίου προσονομάζειν ἑαυτὸν, προγράφων τῶν οἰκείων ἐπιστολῶν ἐκεῖνο δὴ καὶ μόνον — Κωνσταντῖνος σεβαστὸς τῷ δεῖνι χαίρειν. — Εἰ δὲ νῦν πεπλήθυνται τὸ πλείονας, καὶ υἱοὺς Ὑψίστου πάντας, καὶ αὐτίκα

21. Dixit ergo, inquit, venerandum os Domini ac Verbi incarnati, quando inter nos versaretur; dicens enim propheta os Domini hæc locutum esse, semper innuit os Dei. Ait ergo : O dilecti discipuli, divisio vestri non fiet, id est non relinquam vos, non elongabo, non procul et separatus a vobis ero; quomodo autem hæc perficiam, qui mox tollendus sum a vobis? Secundum speciem quidem corpoream non amplius conversabor vobiscum; brevi in altum conscendens, et æterno Patri assidens, non cessabo esse ubique vobiscum; sed Spiritus mei gratiam vobis immarcescibilem effundam, quam cupitis omnes lucere vobis; non quod ego qui lux veni in mundum exstinguendus sim, quando tollar a vobis, nec amplius luceam vobis; sed cum sancto Spiritu et ego illuminabo generans vos, sicut et Pater; et promissa fulgida illuminatio non in mente solum, et secundum operationem secuturam ex vobis in ultimis temporibus concipietur, sed statim opportuno tempore, clare, evidenter, communiter, et ut ita dicam universaliter cognoscetur, non coram duobus testibus vel tribus, vel quibusdam aliis quos facile numerabit quis, sed coram multitudine magna oculis spectante, et sic admirante, et ore acclamante quæ divina docet Scriptura.

21. Ἔφη τοίνυν, φησὶ, τὸ πάνσεπτον κυριακὸν στόμα τοῦ θεανθρώπου Λόγου, ὅταν περὶ ἡμᾶς ἔτι ἐστρέφετο· ὁ γὰρ εἰπὼν προφήτης, ὅτι Τὸ στόμα Κυρίου ἐλάλησε ταῦτα, μυστηριάζει ἄλλως τὸ στόμα τοῦ Θεοῦ. Ἔφη οὖν ὅτι, Ὦ φίλοι μαθηταὶ, νόσφισμα ὑμῖν οὐ γενήσεται· τοὐτέστι, Οὐκ ἀφήσω ὑμᾶς, οὐκ ἀποστήσομαι, οὐ νόσφι καὶ χωρὶς ἡμᾶς γενήσομαι· πῶς δὲ τοῦτο ἐξανύσω ὁ μικρὸν ὅσον ἀναλῃφθησόμενος ἀφ' ὑμῶν; κατὰ ὄψιν μὲν τὴν ἐν σώματι οὐκέτι συναναστραφήσομαι ὑμῖν· μικρὸν δὲ ὅσον ὑψοῦ ἀναβάς, καὶ τῷ συνανάρχῳ Πατρὶ συνεδριάσας, οὐ πεύσομαι ὢν πάντοτε μεθ' ὑμῶν· ἀλλὰ καὶ τοῦ Πνεύματός μου ἐκχεῶ ὑμῖν χάριν ἄφθονον, ἣν ποθεῖτε πάντες ἐπιλάμψαι ὑμῖν· οὐχ ὅτι ἐγὼ φῶς ἐληλυθὼς εἰς τὸν κόσμον ἀπεσβηκὼς ἔσομαι, ὅτε ἀναληφθῶ, καὶ οὐκέτι καταλάμψω ὑμᾶς, ἀλλ' ὅτι σὺν τῷ ἁγίῳ Πνεύματι καὶ ἐγὼ καταστράψω ζωογονῶν ὑμᾶς, καθὰ καὶ ὁ Πατήρ· καὶ ἡ ὑπεσχημένη ἀστραπαία λάμψις αὕτη οὐ κατὰ νοῦν μόνον, καὶ τὴν ἐπομένην ἐξ ὑμῶν ἐν ὑστέροις χρόνοις ἐνέργειαν καταληφθήσεται, ἀλλὰ καὶ αὐτίκα ὥρας ἐναργῶς, καὶ ἐμφανῶς, καὶ κοινῶς, καὶ ὡς εἰπεῖν, πανδημεί, γνωσθήσεται· οὐκ ἐπὶ μαρτύρων δύο ἢ τριῶν ἢ τινων ἄλλων, οὓς ῥᾴον μετρήσει τις, ἀλλὰ ὄχλου μυρίου ὀφθαλμοῖς τε βλέποντος, καὶ οὕτω θαυμάζοντος, καὶ στόμασιν ἀνακράζοντος ἅπερ ἡ θεία διδάσκει συγγραφή.

22. Notandum deinde quod in his : *divisio non fiet vobis amicis*, amicos postea solos dicit sanctissimos apostolos; cæterum eorum opera, salutare nuntium in eos venit, nec venire cessabit, qui nimirum apostolice vident, ut idem dicam, et digni Deo. Hoc autem verbum νοσφισμὸς stricte hic sumptum, id est simpliciter et leniter, licet aliter contra communis locutionis consuetudinem: multi enim nunc inter nos νοσφίζεσθαι intelligunt usurpare, et propria sibi facere aliena; et νοσφισμὸν

κβ'. Σημειωτέον δὲ ὅτι ἐν τῷ, *νόσφισμα ὑμῖν οὐ γενήσεται φίλοις*, φίλους προσεχῶς μὲν ἐν τῷ παρασχεδὸν μόνους ἔφη τοὺς ἁγιωτάτους ἀποστόλους· ἄλλως δὲ διὰ μέσων ἐκείνων ἡ σωτήριος ἐπαγγελία καὶ εἰς τοὺς μετ' αὐτοῦ διαβαίνει, καὶ οὐδὲ παύσεται καταβαίνουσα, ζῶντας δηλαδὴ ἀποστολικῶς, εἰπεῖν δὲ ταὐτὸν, καὶ θεοπρεπῶς. Ὅρα δὲ τὸ, νοσφισμὸς, δριμέως ἐνταῦθα δεχθὲν, ὃ ἐστιν ἀφελῶς καὶ γλυκέως, εἰ καὶ ἄλλον τρόπον ἀσυνήθως τῇ κοινῇ ὁμιλίᾳ· οἱ γὰρ πολλοὶ ἐν τοῖς νῦν καθ' ἡμᾶς νοσφι-

ζεσθαί τε φασὶ τὸ σφετερίζεσθαι καὶ ἰδιοποιεῖσθαι τὰ ἀλλότρια· καὶ νοσφισμὸν τὴν τοιαύτην ἰδιοποίησιν· οὕτω γὰρ καὶ νοσφίζεσθαί τις τὰ τῶν πέλας λέγεται, καὶ νοσφισμὸν ποιεῖσθαι τῶν παρ' ἑτέροις ὄντων· καὶ ἔστι τοιοῦτον νοσφίζεσθαι, τὸ νόσφι καὶ χωρὶς τοῦ ἔχοντος πρᾶγμά τι ποιεῖν διὰ ἐπικτήσεως οὐκ ἐπαινετῆς. Ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ὕστερον.

κγ'. Ὁ δὲ τῶν παρ' Ἕλλησι ποιητῶν πρώτιστος, τὸ νοσφίζεσθαι τίθησιν ἐπὶ ἔννοιαν ὁποίαν· οἶδε καὶ ὁ ἱερὸς οὗτος μελῳδός. Νοσφίζεσθαι γάρ, φησὶν ἐκεῖνος, ἀνδρὸς γυναῖκα καὶ θυγατέρα, ὅ ἐστιν ἰδίᾳ καθεσθῆναι· καὶ γυναῖκα φονεύσασαν ἄνδρα τὸν ἑαυτῆς νοσφίσασθαι ἐκείνου κειμένου καὶ ἔτι ἀσπαίροντος· ἐκείναις δὲ ταῖς χρήσεσιν ἀκολουθήσας ἀκριβῶς ὁ ἱερῳδὸς οὗτος, νοσφισμὸν ἔφη τὴν ἀναχώρησιν, ὅ ἐστι τὸν χωρισμὸν, τὸ νόσφι δηλαδὴ γενέσθαι τῶν ὁμιλητῶν· τὸ δὲ ὑμῖν ἀσφαλῶς ἔχοι ἂν καὶ διὰ τοῦ η γραφόμενον, ἵνα συνεισάγων καὶ ἑαυτὸν ὁ Σωτὴρ, λέγῃ ὡς Οὔτε ἐγὼ ὑμῶν ἐμαυτὸν χωρίσω, οὔτε ὑμεῖς ἐμοῦ χωρίσεσθε. Εἰ γὰρ κατὰ τὸν εἰπόντα τὸ διαζευγνὺν τοῦ διεζευγμένου διέζευκται, οὐκ ἂν εἰκὸς εἴη οὐδὲ δυνατὸν, ἐμοῦ μεθ' ὑμῶν ὄντος, μὴ καὶ ὑμᾶς μετ' ἐμοῦ εἶναι, καὶ τὸ ἀνάπαλιν. Αἴτιον δὲ τοῦ τοιούτου μὴ νοσφισμοῦ ἡ φιλία· ἐπεὶ γὰρ δι' αὐτὴν ὑμῶν τε ἕκαστος ἄλλος ἐστὶν ἐγὼ, καὶ ἐγὼ δὲ ὅπερ ἄλλος ὁ καθ' ἕνα ὑμῶν· οὐδεὶς δὲ ἑαυτοῦ νοσφίζεται ζῶν· οὐδ' ἄρα ὑμῖν ἔσται νοσφισμὸς δι' αἰῶνος.

κδ'. Ὁ δὲ ὕψιστος θρόνος πολλὴν μὲν ἔχει γραφικὴν συγκρότησιν, ὡς οἷα καί τινα λαμπρὰν ἀρχιτεκτόνησιν· ἀρκέσει δὲ μόνον παραδεῖξαι τὸ αὐτοῦ ὕψος ἐκ τοῦ, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν. Τῷ γὰρ οὕτω παντεπόπτῃ, καὶ ὕψιστος πάντως ὁ ἐποπτικὸς θρόνος θρόνος· εἰ δὲ καὶ τὸ αὐτοῦ εἶναι τὰ ὑψηλὰ τῶν ὀρέων σεμνόν ἐστι, ἀλλ' ὑπέρσεμνα τὰ κατὰ τὸν οὐρανὸν, οὗ αἱ πύλαι κατὰ τὸν ψάλλοντα αἴρονται ἀναλαμβανομένου τοῦ Σωτῆρος Χριστοῦ. Ὅρα δὲ ἐνταῦθα τὸ, πατρῷον θρόνον· οὐ γὰρ εἶπεν εἰς οἰκεῖον ὕψιστον θρόνον, τοὐτέστι τὸν ἐμὸν, ἵνα μή τις διαίρεσις ἐμφανείη αὐτοῦ πρὸς τὸν Πατέρα ὑποσκιασθεῖσα τῷ τοῦ θρόνου δυασμῷ. Ἐπέκρινε δὲ πατρῷον θρόνον εἰπεῖν, ἵνα ὥσπερ μία προσκύνησις τῆς ἁγίας Τριάδος συμπροσκυνουμένης· ἐν μιᾷ προσκυνήσει, οὕτω καὶ θῶκος εἷς καὶ συνεδριασμός· ὧν ὁ μὲν θρόνος τὸ ἐν ἀγαθότητι βασιλικῶς ἑδραῖον τῆς ἁγίας Τριάδος δηλοῖ· ὁ δὲ συνεδριασμὸς τοῦ κατ' αὐτὴν ἀχωρίστου σύμβολόν ἐστι· τὸ δὲ συνεδριάζων ἐκ τοῦ κοινώτερον λεγομένου συνεδρίου παρείληκυσται. Ἡ γὰρ ἕδρα ὅπερ ἐστὶ καθέδρα τρισύλλαβον ῥῆμα παράγει τὸ ἑδράζειν, οὐ μὴν ἐδριάζειν· δικαστικὴ δὲ λέξις τὸ συνεδριάζειν πρέπουσα Υἱῷ τῷ καὶ κρίνοντι καὶ συγκρίνοντι τοῖς ἴσοις τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ ἐλευσομένῳ κρῖναι ζῶντας καὶ νεκρούς.

κε'. Τὸ δὲ ἐκχεῶ, προφητικὴ λέξις ἐστὶ, τοῦ Ἰωὴλ δηλονότι, καὶ ἔχεται ἱερωτάτων ἐννοιῶν, ὧν μία καὶ ἡ κατὰ τὸ ἅγιον βάπτισμα, εἰς ὃ καταδύντες, οὕτω καὶ συναναστάντες σωτηρίου ἱμάτιον ἠμφιέσμεθα, χιτῶνα τοῦτον φωτεινὸν περικέχυμενον ἡμᾶς, καὶ διεμ-

talem alieni usurpationem boni; sic enim quis dicitur νοσφίζεσθαι subtrahere vicinorum bona, et furtum facere eorum quæ cæterorum sunt; et sic νοσφίζεσθαι significat aliquid separare, et procul a possessore removere per acquisitionem non laudabilem. Sed hoc in sequentibus.

23. Princeps Græcorum poetarum idem verbum hac mente accipit, sicut novit sanctus noster auctor; νοσφίζεσθαι, ait ille, a viro uxorem et filiam, id est seorsum ponere: et mulierem quæ virum suum interfecerat νοσφίζεσθαι, procul removere ab illo jacente et adhuc spirante. Quem sensum apte sequens auctor noster, νοσφισμὸν ait secessum, id est separationem, procul a contubernalibus abesse. Verbum autem ὑμῖν recte diceretur per litteram (ἡμῖν), ut inducens seipsum Salvator dicat: Non meipsum a vobis secerno, nec vos a me separabimini. Si enim, ut quidam ait, dividens a diviso dividitur, non verisimile esset nec possibile, me manente vobiscum, vos mecum non esse et vice versa. Causa autem hujus indivisionis amicitia; quoniam enim per eam unusquisque vestrum, et nemo a seipso dividitur vivens, non proinde separatio vobis erit in æternum.

24. *Excelsus* vero *thronus* magnum habet apparatum descriptionis, quasi sit formosa quædam ædificatio; sufficiet autem ejus altitudinem ostendere ex hoc textu: *Qui in altis habitat, et humilia respicit.* Ejus qui sic omnia videt, excelsus omnino visibilis thronus. Si autem quæ hic sunt excelsa montium augustum quid sunt, multo augustiora quæ sunt in cœlo, cujus portæ, juxta Psalmistam, elevantur ascendente Salvatore Christo. Vide nunc *paternum thronum*; non enim dixit: in proprium excelsum thronum, id est meum, ne aliqua divisio appareret inter illum et Patrem, duplici adumbrata throno. Maluit enim paternum thronum dicere, ut sicut una est adoratio sanctæ Trinitatis veneratæ simul in una adoratione, sic et unus sit thronus, una sedes; manifeste autem thronus est sedes sanctæ Trinitatis in bonitate: consessio autem symbolum est indivisionis ejus. Verbum autem συνεδριάζων ex voce communiter συνέδριον trahitur; ἕδρα enim, id est cathedra, verbum trisyllabum producit ἑδράζειν ut et ἑδριάζειν; judiciale autem verbum συνεδριάζειν convenit Filio qui et judicat, et conjudicat cum æqualibus personis Patre et Spiritu sancto, qui venturus est judicare vivos et mortuos.

25. Verbum deinde *effundam* propheticum est, ex Joel videlicet sumptum, et abundat sanctissimis cogitationibus; quarum una ad sanctum lavacrum refertur, in quod descendentes et mox assurgentes, salutis vestem induti sumus, splendidam hanc tuni-

cam circumfusam et ostendentem Spiritum sanctum descendisse sicut in sanctos illius ætatis, ita et in eos qui postea fuerunt, et usque ad nos. Si autem et fluminis undam libet dicere argenteam, simul et pulchram, et candidam, quando leniter fluit quod adjectivum apte apponemus propheticæ huic effusioni a sanctis apostolis desideratæ, juxta sacrum hymnum, huic igni et flammæ, et lumini illuminaturo eos in commune bonum?

26. Notandum porro quod, sicut in sequentibus patet, amat inspiratus noster Joannes liquidos, ut quidam ait, arte facere suos versus, ex sacris talibus textibus; gaudet aspergere hoc scribendi genus ex sacris Scripturis, ex quibus habemus, si nobis opus sit, salientes undas, quales Samaritanam genuerunt; et puteorum aquam quibus antiqua sacra Scriptura refertur; et flumina evangelica ex abysso sapientiæ divinitus defluentia; et rores et pluvias voluntarias; qualis et mannæ pluvia, et procellæ quasi semper pacificæ, quas ad salutem vulgo stillat, et pluit, et effundit; et quasi imber descendens in vellus, et quasi stillans super terram, cujus nomen unguentum effusum, sicut accepimus per laudabilem suam evacuationem; superfertur autem nobis nebula salutaris, lucida ipsa, utpote quæ solem intra se inclusit, et pluvia nutrice mundi fœta, quæ exinde subito inclinata, nullo modo cessat mundum verum spiritualem hominem opimare et vivificare.

27. Talibus verbis densatæ sacræ Scripturæ fulcitur quodam modo prædictum verbum *effundo*. Hic in mente habendum quod verbum hoc pro cœlesti rore scriptum est, ut non solum Filius credatur pluvia effusa super vellus hoc purissimum, sed pluvia voluntaria et optata sit et Spiritus sanctus ut olim et postea in sanctos apostolos, ita et nunc in omnem Christianam creaturam effusus. Ex verbo autem *effundo*, ut dictum est, et effusio sapientiæ in dignos missa est, et omnis spiritualis lætitia et gratia inde in labiis sanctis effusæ sunt. Si autem intermiscendum sit aliquid aliud, inde oritur Israeliticus vulgus quando multiplicati in Ægypto sicut arena maris terram totam repleverunt. Talem autem cœlestem effusionem dulcem et lætam et consolatricem habentes et nos, et lætabundi de superna boni concessione, simul contrario animo versemur, et caveamus, et humiliemur, maxime quando audierimus: Effunde super eos iram tuam, quam hi soli fugient qui effundunt coram Deo deprecationem suam.

28. In hisce notandum est verbum *effundam*, nexum esse et vinculum Salvatoris Christi, per quod non separatur ab amicis suis: dum enim effundit Spiritus gratiam in eos, sic semper inest eis: quod Spiritum autem attinet, continebitur in voce *effundam*, ut dicatur: *De Spiritu meo effundam*. Facile autem intelligitur hoc: Effundam gratiam Spiritus in

A φαίνοντα ὅτι θεῖον Πνεῦμα ἐκκέχυται ὥσπερ εἰς τοὺς τότε ἁγίους, οὕτως καὶ εἰς τοὺς μετ' ἐκείνους καὶ ἕως καὶ εἰς ἡμᾶς· εἰ δὲ ποτάμιον χύμα φιλοῦμεν ἀργύρεον λέγειν, ἔτι δὲ καὶ καλὸν καὶ λευκὸν ὅτε ἡδὺ προῤῥέει, ποῖον ἂν ἐπίθετον προσαρμόσωμεν εἰκαίως τῷ εἰρημένῳ προφητικῷ χεύματι τῷ τοῖς ἁγίοις ἀποστόλοις ποθητῷ κατὰ τὴν ἱερὰν μελῳδίαν, τῷ καὶ πυρὶ, καὶ φλογὶ, καὶ φωτὶ περιλάμψοντι αὐτοὺς εἰς κοινὸν ἀγαθόν;

κς'. Ἰστέον δὲ ὅτι καθὰ καὶ ἐν τοῖς ἑξῆς φανεῖται, χαίρει ὁ πνευματῳδὸς οὗτος Ἰωάννης ὑγρὰ κατὰ τὸν οὕτως εἰπόντα ποιῶν ἐπιτηδὲς τὰ κατὰ αὐτὸν ἔπη, ἐκ τοσούτων ἱερῶν λέξεων· χαρεὶς ὁδρεύσασθαι τὸν τοιοῦτον γραφικὸν τρόπον ἐκ τῶν θειοτάτων Γρα- B φῶν, ἐξ ὧν ἔχομεν οἱ χρῄζοντες πηγιμαῖά τε ὕδατα, ὁποῖα καὶ τὴν Σαμαρεῖτιν ἐζωογόνησε, καὶ φρεατεῖα, ὧν ἡ παλαιὰ θειοτάτη Γραφὴ γέμει· καὶ ποτάμια εὐαγγελικὰ τῆς θεόθεν ἀβύσσου σοφίας ἀναπιδύοντα, καὶ δρόσους καὶ βροχὰς ἑκουσίους· ὁποῖα καὶ ἡ τοῦ μάννα, καὶ οἱ ὡς ἑκάστοτε εἰρηνικοὶ ὄμβροι, οὓς ἐπὶ σωτηρίαν κοινῇ καὶ ψεκάζει, καὶ βάλλει, καὶ καταδράσσει· ὁ καὶ ὡς ὑετὸς ἐπὶ πόκον καταβὰς, καὶ ὡς οἷα σταγὼν στάζουσα ἐπὶ τὴν γῆν, οὗ ὄνομα μύρον, ἐκκενωθὲν καθὰ παρελάβομεν διὰ τὴν αὐτοῦ ἔνδοξον κένωσιν· ὑπερφέρεται δὲ ἡμῖν καὶ νεφέλη σωτήριος, φωτεινή τε ἐκείνη ὡς ἥλιον στέξασα ἔνδον, καὶ ὄμβρου δὲ κοσμοτρόφου ἐγκύμων, ὃς ἐκεῖθεν καθάπαξ ἐκκύψας οὐδέ ποτε ἀνήσει τὸν κυρίως κόσμον τὸν πνευματικὸν ἄνθρωπον πιαί- C νων καὶ ζωογονῶν.

κζ'. Τοιαύταις οὖν λέξεσι τῆς ἁγιωτάτης πεπυκνωμένης γραφῆς, συστοιχεῖ πῶς ἐκείνοις, καὶ τὸ ὡς εἴρηται ἐκχεῶ· ἔνθα ληπτέον εἰς νοῦν, ὅτι ἡ λέξις αὕτη ὡς ἐπὶ οὐρανίου ὄμβρου ἐγράφη, ἵνα μὴ μόνον ὁ Υἱὸς ὑετὸς νοῆται βρεχθεὶς ἐπὶ πόκον ἐκεῖνον καθαρώτατον, ἀλλὰ βροχή τις εἴη ἑκουσία καὶ εὐκταία, καὶ τὸ ἅγιον Πνεῦμα ὥσπερ πάλαι ποτὲ, ὕστερον δὲ καὶ ἐπὶ τοὺς ἁγίους ἀποστόλους, οὕτω καὶ νῦν ἐπὶ πᾶσαν σάρκα χριστιανικήν· τοῦ δὲ ὡς ἐῤῥέθη ἐκχεῶ, καὶ χύμα σοφίας ἐπὶ τοὺς ἀξίους ἀπεστάλακται, καὶ πᾶσα δὲ πνευματικὴ χαρὰ καὶ χάρις ἐκεῖθεν ἐν χείλεσιν ἁγίοις ἐξεχύθησαν. Εἴ δέ τι παρενθεῖναι χρὴ καὶ ξενίζον ἡρέμα, ἐκεῖθεν καὶ τὸ Ἰσραηλιτικὸν ὥρμηται χυδαῖον, ὅτε δηλαδὴ πληθυ- D νόμενοι ἐν Αἰγύπτῳ ἐκεῖνοι καθ' ἃ καὶ ἄμμου χύμα ἢ θαλάσσης χυδαῖοι ἐγίνοντο ἐπὶ τῆς γῆς· τοιοῦτον δὲ οὐράνιον χεῦμα γλυκὺ καὶ ἱλαρὸν, καὶ παρήγορον ἔχοντες καὶ ἡμεῖς, καὶ χαίροντες τῇ ἄνωθεν ἀγαθοχυσίᾳ, ὅμως ἐνθυμούμεθα καὶ ἑτεροῖα, καὶ αὐτίκα εὐλαβούμεθα, καὶ συστελλόμεθα, καὶ μᾶλλον ὅτε ἀκούομεν τὸ, Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, ἣν μόνοι φευξοῦνται οἱ ἐκχέοντες ἐνώπιον τοῦ Θεοῦ τὴν δέησιν αὐτῶν.

κη'. Νοητέον δ' ἐν τούτοις τὸ ἐκχεῶ, ἅψιν οἱόν τινα καὶ ἁφὴν τοῦ Σωτῆρος Χριστοῦ, δι' ἧς οὐ νοσφίζεται τῶν αὐτοῦ φίλων. Ἐκχέας γὰρ τὴν τοῦ Πνεύματος χάριν ἐπ' αὐτῶν, καὶ σύνεστιν οὕτως αὐτοῖς εἰσαεί· τὸ δὲ τοῦ *Πνεύματος*, κολληθήσεται μὲν ἀσφαλῶς καὶ εἰς τὸ ἐκχεῶ, ἵνα λέγῃ ὅτι *Ἐκ τοῦ Πνεύματός μου ἐκχεῶ*· εὐοδοῦται δὲ καὶ τὸ ἐκχεῶ,

τὴν χάριν τοῦ Πνεύματος τοῖς, ὡς εἴρηται, ποθοῦσι τὴν αὐτοῦ λάμψιν· ἡ δὲ τοῦ Πνεύματος χάρις, οὐκ ἂν ἰδιάζουσα εἴη, ἀλλὰ πάντως Τριαδική. Ἡ γὰρ ἄφθονος δηλοῖ μὲν καὶ τὴν δαψιλῆ καὶ πολλήν· καθότι καὶ πολλοὶ οἱ οἰκτιρμοὶ τοῦ Θεοῦ, καὶ πολὺ τὸ πλῆθος τῆς αὐτοῦ χρηστότητος· οὐ πίπτει δὲ μακρὰν σημασίας τοιαύτης οὐδὲ ἡ ἀφθόνητος.

A eos, ut dictum est, qui cupiunt ejus illuminationem; Spiritus autem gratia non individua, sed omnino triplex; *infinita* autem, illam ostendit magnificam et multam; sicut et multæ miserationes Dei, magnam multitudinem bonitatis ejus, non procul abest ab hoc sensu invidiæ carentia.

Τροπάριον δεύτερον τῆς πρώτης ᾠδῆς.

ΙΙΙ. Ὅρος βεβηκὼς ἀτρεκέστατος λόγος
Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν,
Ἔργον γὰρ ἐκπεράνας, εὔφρανεν φίλους,
Πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττήμασι.
Νείμας τὸ Πνεῦμα, Χριστὸς ὡς ὑπέσχετο.

Troparium secundum primi hymni.

Terminus perfectus verissimum verbum
Tranquillæ formæ implet cor:
Opere enim expleto lætificavit amicos,
Flatu violento, et ignis glossematis
Dato Spiritu, Christus ut pollicitus est.

κθ'. Ἔοικε γνωμικῷ τινι λόγῳ ἡ καταρχὴ τοῦ παρόντος τροπαρίου, ἵνα οἱ μὲν πρῶτοι κείμενοι δύο στίχοι λέγωσιν ἐν τῷ καθόλου, ὅτι ὁ ὅρος ὁ βεβηκὼς ἡγοῦν ὁ στερρὸς καὶ ἀληθέστατος λόγος, γαληνιᾶν ποιεῖ τὰς καρδίας· ἔχει δὲ οὐχὶ οὕτως ἁπλῶς, ἀλλὰ χρὴ τὸ Χριστὸς ὄνομα κείμενον πρὸς τῷ τέλει τοῦ πέμπτου ἰαμβείου προσαρμόσαι τοῖς κατάρκταις δυσὶ στίχοις, καὶ εἰπεῖν οὕτω θεολογικῶς· Ὁ Χριστός, ὁ βεβηκὼς ὅρος ὁ ἀτρεκέστατος Λόγος, γαλήνης αἴτιός ἐστι τῇ τῶν αὐτοῦ φίλων καρδίᾳ. Πόθεν τοῦτο δῆλον; ἐὰν τὴν παροῦσαν γνώμην καταγαγόντες ῥητορικῶς εἴς τι μερικὸν πιστωσώμεθα ἐκείνην δι' αὐτοῦ· ἰδοὺ γὰρ ὡς βεβηκὼς φησι καὶ στάσιμος ὅρος, καὶ ὡς Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς ἀψευδὴς, ὑποσχόμενος ἤδη τοῖς φίλοις μαθηταῖς ἀκύμαντον καρδιακὴν γαλήνην, καὶ εἰς ἔργον προάγαγὼν τὴν ὑπόσχεσιν, εὔφρανεν αὐτούς. Τί δὲ ἦν τὸ ἔργον ὅπερ ἐπαγγειλάμενος ἐξεπλήρωσε; τὸ διαμερίσαι αὐτοῖς τὸ ἅγιον Πνεῦμα οὐκ ἠρέμα καὶ ἡσυχῇ κατά τι παράβυστον καὶ οὕτω τοῖς ἐν κόσμῳ ἀνεπίγνωστον, ἀλλὰ πρὸς ἐνάργειαν ἐν πνοῇ ἀνέμου βιαίου, ἣν οὐκ ἦν λαθεῖν, καὶ γλώτταις πυρὸς, αἷα γλωσσῶν πυριμόρφων, ὡς οἷον ἐξ αὐρίας πνοῆς τινος, ἄνωθεν ἐμφανῶς ἐρχομένων ἐπὶ τοὺς μαθητὰς, καὶ ἐμπυρευουσῶν ἐκείνοις ἀοράτως ἁγιώτατα νοήματα, καὶ λαλιὰς ὁμοίας· ὡς ἂν καὶ γλώσσαις ἀγγέλων λαλῶσι, καὶ εἰς λειτουργικὰ φλογοειδῆ ἐγγράφωνται πνεύματα.

B præsentis strophæ, ita ut duo primi versus omnino enuntient terminum perfectum, stabile scilicet et verissimum verbum, quieta facere corda. Non sic autem simpliciter se habet, sed oportet nomen Christi in fine quinti versus adaptari initialibus his duobus versibus, et dici sic theologice: Christus terminus perfectus, verissimum Verbum, tranquillitatis causa est suorum corde dilectorum; unde hoc patet? Si præsentem sententiam reducentes rhetorice ad aliquid particulare, hinc illam faciamus fide dignam. Dicit etenim: Perfectus et stabilis terminus, et Verbum Dei et Patris non mentitur, sed promissa jam dilectis discipulis quieta cordis tranquillitate, promissa perficiens lætificavit eos. Quid autem erat quod nuntiatum complevit? Partiri eis Spiritum sanctum, non sensim et paulatim quasi intrusum aliquid et sic his qui in mundo erant incognitum, sed cum evidentia in flatu venti vehementis qui latere non poterat, et linguis igneis, ut linguis igni similibus, velut secundo aliquo flatu ex alto manifeste delapsis in discipulos, et inflammantibus in eis invisibiliter sanctissimas cogitationes et locutiones: quasi linguis angelorum loquerentur, et inter ministrantes spiritus igniformes ascriberentur.

λ'. Καὶ τοιοῦτο μὲν ἡ τοῦ τροπαρίου νοῦς, ὡς ἐν συναιρέσει ἐκθέσθαι κατὰ πρώτην ἁπλουστέραν ἐπιβολήν. Ἔστι δὲ καὶ ἄλλως αὐτὴν διαβήσεσθαι χαριέστερον· Ὁ ῥηθεὶς ὅρος καὶ Λόγος Χριστὸς εἰδὼς τεταραγμένους εἶναι τοὺς ἁγίους αὐτοῦ μαθητὰς ὑπὸ δυσελπιστίας, ὡς εἰκὸς, καὶ ἀνωμοίας μετὰ τὴν ἐκείνου ἀνάληψιν, ἔπαυσε τὴν τοιαύτην τάραχον αὐτοῖς ὡς γαληνιᾷν. Πῶς δὲ κατέστησε τὸν τάραχον; Βιαίαν πέμψας πνοὴν, ᾗ καὶ γλῶσσαι πυρὸς ἀναμεμιγμέναι, θαῦμα εἶχον· καὶ τοῦτο ποιήσας, εὔφρανε τοὺς ἁγίους ἀποστόλους κατὰ τὴν αὐτοῦ πρὸς ἐκείνους ὑπόσχεσιν· καὶ ἔστι γλυκύτερον οὕτω διανοεῖσθαι καὶ ἀστεῖον τὸ νόημα, εἰ διὰ πνοῆς βιαίας γαλήνην εὐφρόσυνον μεθώδευσεν ὁ Θεὸς τοῖς αὐτοῦ μαθηταῖς. Οὕτω δὲ καὶ τῆς δευτέρας ἐννοίας τοῦ τροπαρίου ἐν ἐπιτομῇ καθεστηκυίας, πρῶτα μὲν ἐπισημαντέον ὡς εἰ καὶ ἀνεπισφαλῶς τὸν ὅρον ἔστιν εἰπεῖν ἀτρεχῆ·

C

D

39. Et hæc quidem strophæ mens, sic compendiose exposita, ex prima et simpliciori conjectura. Potest autem exponi elegantius: Christus dictus terminus et Verbum, sciens turbatos esse sanctos discipulos præ desperatione, et tristitia post discessum suum, tali finem imposuit eorum turbationi; ita ut quieti fierent. Quomodo autem turbationem compressit? Vicienti omnino flatu, cui et linguæ ignis admistæ erant mirum in modum; quo facto lætificavit sanctos discipulos secundum ipsis datam promissionem. Et est jucundior sic positus, et proprius sensus, si per ventum vehementem tranquillitatem lætam insinuavit Deus apostolis suis. Sic secundæ strophes sententia compendiose exposita, ostendendum primo quomodo certissime terminus dici possit verus, et Verbum firmum; simul et pro accurata diligentia, termini denuntiatur firmitas, et Verbi

veracitas ; deinde discutiendæ veniunt pro luciditate singulæ strophæ partes.

31. Duplicem præbet sensum verbum ὅρος ; enuntiatur enim ὅρος masculino genere, vulgo et usitatisissime terrena circumscriptio, id est (ὁρισμός) quod ab ὁρᾷν deducitur ; talis enim terminus visibile et oculis spectabile facit uniuscujusque prædium, vel vitem, vel hortum, vel quemcunque locum; locale enim verbum est hic ὅρος, et apte dicitur firmum ; unde proverbialis sententia, oportere ut maneat quisque intra terminum suum, id est non transgrediatur quod justum et sanctum est ; idem autem dicitur ὅριον neutro genere ; unde proverbium exiit, Ne tollas terminos æternos. Ex his autem eruitur ὁρίζω, circumscribo mensurans terram, et inde verbum ἀφορίζω, cujus duplex significatio, sacra una, ut quando dicimus pluviam voluntariam segregare Deum servis suis ; et segregari aliquem ex servis Dei, et Separavit Deus aliquem ad serviendum sibi ; vel quando Separavit per electionem ; idem autem est dicere ὥρισε, hic enim inutilis est præpositio ἀπὸ, sicut et in ἀπεμνημόνευσεν pro ἐμνήσθη. Alia autem significatio verbi ἀφορίζειν exclusionem ostendit et ejectionem procul a consuetis finibus, juxta quam mentem et ab Ecclesia excluditur quis et a patria, procul scilicet a finibus ejus mittitur, et ostendit hic præpositio semotionem privativam, sicut in verbo ἀπεμήνισεν, id est, iram depusuit pace inita.

32. Dicitur etiam philosophis ὅρος, ratio exsistentiæ cujuslibet personæ et actus ; non proinde latiori sensu hoc sumitur ; sicut qui ait animal esse ens animatum sensibile, terminum aut rationem terminativam ait animalis, et manifestationem essentiæ ejus ; plane enim et clare et perspicue et vere indicat quid sit animal. Sic qui dicit hominem esse animal rationale, mortale, mentis et intelligentiæ capax, essentiam hominis dicit esse in hoc verbo ; hoc est enim homo quod ait dicta definitio ; et idem similiter de cæteris cunctis, de quibus sermo. Dicitur adhuc philosophice ὅρος, pars propositionis, vel quasi simplex vox ; et ut apertius dicam, verbum unum definiens et circumscribens et sic clare ac perfecte manifestans cogitatum quoddam, id est unam simplicem cogitationem ; sic propositio est simplex apprime et integra, non exquisita et captu facilis ; Socrates ; philosophatur ; termini autem ex quibus constat sunt *Socrates* et *philosophatur*, quorum unusquisque φάσις dicitur apud doctos ; exponit enim cogitationem, qua terminatur perfecta et veritas, simplicem, τὸ Socrates, et τὸ philosophatur ; hinc quidem essentiam hominis, inde autem actionem.

33. Talibus autem terminis superior est apprime syllogismi medius terminus, qui inter duos extremos medius exsistens cum cadit in medio eorum, sicut tradunt philosophi, facile colligat eos ;

καὶ τὸν λόγον βεβηκότα· ὁμοῦ πρὸς ἀκρίβειαν ὅρου μὲν κατηγορεῖται τὸ βεβηκὸς, λόγου δὲ τὸ ἀτρεκές· εἶτα δὲ διαληπτέον ἐπὶ ταχυνείᾳ καὶ τὰ κατὰ μέρος τοῦ τροπαρίου.

κα'. Ὁμώνυμος λέξις ὁ ὅρος· ὅρος γὰρ λέγεται ἀῤῥενικῶς, κοινῶς μὲν καὶ συνηθέστατα ἡ κατὰ γῆν περιγραφὴ, ὅπερ ἐστὶν ὁρισμὸς, παρὰ ὁρᾷν αὐτὸς γενόμενος· εὐόρατον γὰρ ὁ τοιοῦτος ὅρος καὶ εὐσύνοπτον ποιεῖ τὸ ἑκάστου, ἢ χωράφιον, ἢ ἀμπέλιον, ἢ γήπεδον, ἢ ὅλως εἰπεῖν τόπιον· τοπικὴ γάρ τις λέξις ὁ τοιοῦτος ὅρος, καὶ κυρίως λεγόμενος βεβηκώς· ἐξ οὗ παροιμιώδης παραγγελία τὸ χρῆναι μένειν ἕκαστον ἐντὸς τοῦ οἰκείου ὅρου, ἤγουν μὴ παρεκβαίνειν τὸ ἦ ὅσιον ἢ δίκαιον. Ὁ δ' αὐτὸς καὶ ὅριον λέγεται οὐδετέρῳ γένει· ἀφ' οὗ πεπαροιμίασται τὸ, Μὴ μέταιρε ὅρια αἰώνια· ἐκ δὲ τῶν τοιούτων καὶ ὁρίζω, περιγράφω ἀναμετρῶν γῆν· καὶ ἀπ' αὐτῶν σύνθετον τὸ ἀφορίζω. Διπλῆ δὲ αὐτοῦ σημασία· ἱερὰ ἡ μία, ὡς ὅτε λέγομεν βροχὴν ἑκούσιον ἀφορίζειν τὸν Θεὸν τοῖς αὐτοῦ· καὶ ἀφωρίσθαι τινὰ ἐκ παίδων τῷ Θεῷ· καὶ, Ἀφώρισεν ὁ Θεὸς τὸν δεῖνα ὑπηρετεῖν αὐτῷ· ἢ ὡς περιώρισε κατ' ἐπιλογήν· ταὐτὸν δ' εἰπεῖν ὥρισε, περιττευούσης ἐνταῦθα τῆς ἀπὸ προθέσεως, ὡς καὶ ἐν τῷ ἀπεμνημόνευσεν ἀντὶ τοῦ ἐμνήσθη· ἡ δὲ ἑτέρα ἑρμηνεία τοῦ ἀφορίζειν, ἐξορισμὸν δηλοῖ καὶ ἀποδίωξιν ἐκ τῶν συνήθων ὁρίων· καθ' ἣν ἔννοιαν καὶ τῆς Ἐκκλησίας ἀφορίζεταί τις καὶ τῆς πατρίδος, ἤγουν ἀπὸ τῶν ὁρίων γίνεται· καὶ δηλοῖ ἐνταῦθα ἡ πρόθεσις ἀπέλασίν τινα στερητικήν· ὡς καὶ ἐν τῷ ἀπεμήνισεν, ἤγουν ἀπέθετο τὴν μῆνιν σπεισάμενος.

λβ'. Ἔτι ὅρος λέγεται καὶ ὁ λόγος τῆς οὐσίας ἑκάστου προσώπου καὶ πράγματος φιλοσόφως· οὐ μέν τοι κοινότερον καὶ αὐτὸς, οἷον ὁ εἰπὼν ὅτι ζῶον ἐστὶν οὐσία ἔμψυχος αἰσθητικὴ, ὅρον ἤγουν λόγον ὁριστικὸν εἶπε τοῦ ζώου, καὶ δήλωσιν τῆς οὐσίας αὐτοῦ· ἐδήλωσε γὰρ σαφῶς, καὶ ἀκριβῶς, καὶ βεβαίως, καὶ ὡς εἰπεῖν εὐδιοράτως πρὸς ἀλήθειαν, τί ἐστι τὸ ζῶον· οὕτω δὲ καὶ ὁ εἰπὼν ὅτι ἄνθρωπός ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐσίαν ἔφη τοῦ ἀνθρώπου ἐν τῷ τοιούτῳ λόγῳ. τοῦτο γάρ ἐστιν ἄνθρωπος, ὅπερ εἶπεν ὁ ῥηθεὶς ὁρισμός· τὸ δὲ αὐτὸ ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, ὧν ἂν εἴποι τις· ἔτι ὅρος λέγεται φιλοσόφως, καὶ μέρος προτάσεως, ἢ ὡς ἁπλῆ τις φωνή· καὶ σαφέστερον εἰπεῖν, λέξις μία ὁρίζουσα καὶ περιγράφουσα καὶ οὕτω σαφῶς καὶ βεβηκότως δηλοῦσα νόημά τι ἕν, ἤτοι μίαν ἁπλῆν τινα ἔννοιαν· οἷον πρότασις μέν ἐστι ἁπλουστάτη καὶ ἀφελὴς, καὶ ἀπερίεργος, καὶ εὔληπτος, τὸ Σωκράτης φιλοσοφεῖ· ὅροι δὲ αὐτῆς ἐξ ὧν σύγκειται, τὸ Σωκράτης, καὶ τὸ φιλοσοφεῖ· ὧν ἑκατέρα καὶ φάσις λέγεται παρὰ τοῖς σοφοῖς· φάσκει γάρ τι νόημα προβεβηκυῖαν ἀλήθειαν ὡρισμένον καὶ ἁπλοῦν τὸ Σωκράτης, καὶ τὸ φιλοσοφεῖ· τὸ μὲν οὐσίαν ἀνθρώπου, τὸ δὲ ἐνέργειαν.

λγ'. Τῶν δὲ τοιούτων ὅρων ὑπερτερεῖ μάλιστα ὁ συλλογιστικὸς μέσος ὅρος, ὃς μεσάζων τοὺς δύο ἄκρους, ἐν τῷ πίπτειν μέσος αὐτῶν, καθὰ οἱ φιλοσοφοῦντες παραδιδόασι, συνάγει αὐτοὺς εὐμεθόδως·

ὡς ἐξ ἐκείνων καὶ τῶν κατ' αὐτοὺς δύο τὸ ἐλάχιστον προτάσεων, ἃς ὁ μέσος ἀπαρτίζει διπλούμενος, ἀποτελεῖσθαι συμπέρασμα βεβηκὸς οἷον καὶ στάσιμον διὰ τὸ ἀληθεύειν, καὶ οὕτως οὐ μὴν ἄλλως περαίνεσθαι τὸ διὰ σπουδῆς τῷ πλέκοντι τὸν συλλογισμόν· καὶ ἔστιν ὁ τοιοῦτος ὅρος προσφυέστατος τά γε κατὰ τὸ εἰκὸς, τῷ μελῳδουμένῳ ἐνταῦθα βεβηκότι ὅρῳ, τῷ Μεσσίᾳ Ἰησοῦ Χριστῷ, τῷ ἀκρογωνιαίῳ παντίμῳ λίθῳ, τῷ τῶν διεστώτων οὐκ εὐλογίστως λογικῶν ἐκ τοῦ Θεοῦ συνδετικῷ. Πίπτων γὰρ αὐτὸς μέσος ἡμῶν τε τῶν ἐφαμάρτων καὶ τοῦ ὑπεραγίου Πατρὸς αὐτοῦ, συναποτελεῖ ὅπερ ἐστὶν αὐτῷ διὰ πολλοῦ σπουδάσματος, τὸ ἑνοποιεῖν ἡμᾶς, καὶ κολλήσας ὀπίσω ἐκείνου κατὰ τὸν ἅγιον Δαβὶδ ἀκολουθητικῶς, καὶ παριστάνειν εἰς πρόσωπον αὐτοῦ ὡς ὀπτάνεσθαι· καὶ οὕτω τὴν σωτηρίαν ἡμῶν οὐχὶ ἁπλῶς περαίνειν ἅμα τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ἀλλ' ἀναγκαίως συμπεραίνειν· συνθελόντων γὰρ καὶ ἡμῶν, περατοῖ συνάγων τοιοῦτον τέλος· ἄλλους δὲ ὀκνεῖ, ὡς τὰ πολλὰ σώζειν ἄκοντας, καὶ ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας ἄγχειν τῶν μὴ ἐθελόντων ἐγγίζειν αὐτῷ. Οὐ γὰρ οὕτω βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, ὡς ἑλκομένους καὶ τυραννουμένους πρὸς βίαν τὴν ἄλλοθεν σώζεσθαι ἡμᾶς· ἢ γὰρ ἂν πρὸ ἡμῶν οἱ δαίμονες τοῦτο ἔπαθον ἄν· οὐκοῦν δικαίως ἐξ ἀνάγκης τοὺς, ὡς οὕτως εἰπεῖν, ἑτερογνάθους, καὶ ἀστόμους καὶ δυσηνίους ἐν τῷ πάντῃ πάντως ἀποπτύειν τὸν ἀπευθύνοντα χαλινὸν, ἀφίησι κατὰ χρημνοῦ φέρεσθαι.

ita ut ex his propositionibus quæ inter se ad minus duo sunt, quas medius duplicans adaptat, perficiatur conclusio firma et stabilis quia vera est, et sic finem accipiat diligentia texentis syllogismum; et est talis terminus maxime congruus, ut videtur quidem ei qui canitur hic termino perfecto, Messiæ Jesu Christo, angulari venerando lapidi qui conciliavit rationabiles homines a Deo male divisos; cadens enim medius inter nos peccatores et sanctissimum Patrem suum, perficit quod ipsi maximæ curæ est, redigens nos in unum, et adjunctos post se, juxta sanctum David, constituens in conspectu ejus ut videamur; et sic salvationem nostram non simpliciter perficiens cum Patre et Spiritu, imo necessario nobiscum procedens; volentibus enim nobis optatus hic habetur exitus; alios autem plerumque tardat salvare invitos, et camo et freno eorum maxillas constringere, nolentium accedere ad eum. Non enim ita violentum est regnum cœlorum, ut tractos et per vim aliunde coactos salvet nos; nec enim pro nobis id dæmones paterentur; juste igitur ex necessitate eos qui, ut ita dicam, indociles sunt et dura cervice, et freni impatientes ita, ut omnino dirigens eos frenum penitus abjiciant, in abyssum præcipites dari sinit.

λδ'. Ἔτι ὅρος λέγεται θείῳ τρόπῳ καὶ λόγῳ καὶ ἐπὶ ἱερῶν ἀποφάνσεων, καὶ θείων κελευσμάτων. Ὅρον γοῦν τῆς ἁγίας συνόδου φαμέν τινα, καὶ βασιλικοὺς ὁρισμούς· ὃ καὶ αὐτὸ, ἄγχιστα κεῖται τοῦ καὶ ὅρους εἰπεῖν· κἀντεῦθεν ὥρισε, φαμὲν, ἡ ἁγία σύνοδος, καὶ ὥρισεν ὁ αὐτοκράτωρ. Λαμβάνουσι δὲ ἀφορμὴν αὐτὰ εἰς τὸ οὕτως ὠνομάσθαι ἢ ἀπὸ τοῦ κατὰ τὰς γαίας εἰρημένου ὅρου. Ὡς γὰρ ἐκεῖνος περιγράφει τὸ ἔνδον αὐτοῦ εἰς ἀμετάβατον, οὕτω καὶ οἱ ῥηθέντες σεβάσμιοι ὅροι τὸ ὑπ' αὐτῶν κελευσθὲν, καὶ ποιοῦσιν ἐκεῖνο βεβηκὸς καὶ ἀπαράβατον, καὶ ἀναντίῤῥητον, καὶ ἄμαχον τοῦ λοιποῦ, καὶ, ὡς εἰπεῖν, ἀδήριτον· ὃ δὴ καὶ τοῦ κατὰ τὴν γῆν ὅρου ἀρετὴ φαίνεται εἶναι. Ὁ γὰρ ἀκριβῶς περιωρισμένος καθ' ὁμολογίαν τόπος οὐκέτ' ἀμφιβάλλεται ὑφ' ὅτου δεσπόζεται· διὸ οὐδὲ φιλονεικίαν ὑποκινεῖ μάχιμον, ὁποίαν πάσχουσιν οἱ, κατὰ τὴν ποίησιν, ἀμφ' οὔρεσι δηριόωντες, ἤγουν μαχόμενοι περὶ γῆς ὅρων· ἢ τοίνυν ἐκ τοῦ τὰ γήδια περιγράφοντος ὅρου λαβόντες· ὅρους λέγομεν τοὺς, ὡς ἐῤῥέθη, ἁγίους καὶ θείους, ἢ ἀπὸ τοῦ φιλοσόφως διασαφοῦντος τὴν οὐσίαν τοῦ ὑποκειμένου, καὶ διδάσκοντος αὐτὴν ἐναργέστατα. Ὡς γὰρ ὁ ὅρος ἐκεῖνος καθιστᾷ τὸν νοῦν βεβηκότως ἤγουν βεβαίως εἰς τὸ καταλαβέσθαι ὅ τί ποτέ ἐστιν ἐκεῖνο, οὗ τὴν οὐσίαν ζητοῦμεν, οὕτω καὶ οἱ σεβάσμιοι ὅροι τυποῦσιν ἀποφαντικῶς εἰς εὔγνωστον καὶ πρὸς βεβαίωσιν ἔμπρακτον ἀναμφίλεκτον, ὅπερ ὁρίζουσι.

34. Dicitur quoque ὅρος modo divino et verbo, de sacris effatis et divinis unionibus. Dicimus item ὅρον sacræ synodi, et βασιλικοὺς ὁρισμοὺς istud enim idem prope est ac dicere ὅρους; inde definivisse dicimus sacram synodum, et decrevisse imperatorem: ortum autem ducunt hæc, vel a termino in terra prænotato. Sicut enim hic circumscribit quæ intra se sunt ita ut transgredi non possint, sic et prædicta veneranda decreta quod ab ipsis imperatur, et faciunt ut illud firmum sit, nec possit violari aut contradici aut impugnari, aut citra controversiam fiat; quod videtur esse virtus decreti in terra. Qui enim perfecte delimitatur per conventionem locus, cujus domini sit non ambigitur: unde nullam contentionem suscitat adversam, qualem patiuntur qui, juxta poetam, circa limites concertant, id est de terræ limitibus pugnant, vel limitem prædia dividentem invadunt. Definitiones vocamus, ut dictum est, sanctas et divinas, vel ab eo qui philosophica constructione notam fecit substantiæ essentiam, et illam optime didicit. Sicut enim definitio hæc mentem firmiter instituit in intelligendo quid sit hoc cujus essentiam quærimus; sic veneranda decreta aperte manifestant quod interminant, ita ut bene cognitum sit, et cum explorata fide minime dubium.

λε'. Τετραχῶς οὖν ἡμῖν ἐνταῦθα, κατὰ τὸ ἐν τοῖς παροῦσι χρήσιμον, τεθεωρουμένου τοῦ ὅρου κατ' ἐπιδρομήν· τὸ ὅρος γὰρ οὐδετέρῳ γένει ἐνταῦθα

35. Quadrupliciter igitur nobis secundum præsentem usum considerato termino, ὅρος enim neutro genere hic intrusum fuisse nemo cogitabit, ut

arbitror ; videndum est, utrum apte et congrue Salvatori nostro Jesu Christo accommodentur hi quatuor sensus. Et quidem primum examinemus et dicamus terminum, sicut et Verbum ingeniti Patris Filium dici theologice, ut terminantem eum, et ostendentem, et notum per se facientem. Sicut enim constans in terra terminus, si vocem haberet, diceret quidem ad auditorem quæritantem: Qui me videt scit quid a me limitetur ; sic et Filius ait : Qui videt me, videt et Patrem ; et, Ego in Patre, et Pater in me est. Sic igitur terminus existens maximus et Filius et Deus, habet necessario ex transpositione rerum bene fundatarum vel firmarum firmum esse, id est stabilem, immobilem, inconcussum, inaccessibilem, uni soli pervium, constantem, solidum, immutabilem. Si enim terminus utilis sit quem nemo prætergredietur evellens et immutans, quales novimus eos qui antiquas metas transiliunt, quomodo non esset terminus perfectus qui secundum Patrem immutabilis, et secundum naturam firmissimus summe et immobilis est? Et hæc prima termini commentatio rapida, ex terra sumpti, et notissimi, et apertissimi.

παραβυσθῆναι οὐδὲ ἐνθυμηθήσεταί τι·, οἶμαι, θεωρητέον ἐν ἐπαλεύσει, ὡς οἷόν τε, εἰ καλῶς καὶ οὐκ ἀπροσφυῶς ἁρμόσουσι τῷ ἡμῶν Σωτῆρι Ἰησοῦ Χριστῷ καὶ οἱ τέσσαρες. Καὶ πρῶτον ἐπιβλητέον τῷ πρώτῳ· καὶ ῥητέον ὅτι ὅρος καθὰ καὶ Λόγος τοῦ ἀγεννήτου Πατρὸς ὁ Υἱὸς λέγεται θεολογικῶς, οἷα ὁρίζων ἐκεῖνον καὶ δεικνὺς, καὶ γνωρίζων δι' ἑαυτοῦ. Ὡς γὰρ ὁ περὶ γῆν βεβηκὼς ὅρος εἴπερ ἀνελάβετο φωνὴν, εἶπεν ἂν ποτε πρὸς ἀκροατὴν ζητητικὸν, ὅτι Ὁ ἐμὲ βλέπων οἶδε καὶ τὸ περιωρισμένον δι' ἐμοῦ, οὕτω καὶ ὁ Υἱὸς λέγει ὡς Ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν Πατέρα· καὶ, Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί. Τοιοῦτο δὲ ὢν ὅρος ὁ πάμμεγας καὶ Υἱὸς καὶ Θεὸς, ἔχει ἀναγκαίως ὡς ἐκ μεταφορᾶς τῶν εὖ διαβεβηκότων, ἢ βεβηκότων, καὶ τὸ βέβαιος εἶναι, ἤγουν σταθερὸς, ἀμετακίνητος, ἀπαρασάλευτος, ἀνεπιχείρητος, ἐφ' ἑνὸς βάσιμος, ἑστὼς, ἀσφαλὴς, ἀμετάθετος. Εἰ γὰρ ὅριον εὔχρηστόν ἐστι ὃ οὐδεὶς παρελεύσεται παρασπῶν, καὶ ὁρογλυφῶν, ὁποίους οἴδαμεν τοὺς ἀρχαῖα ὅρια ὑπερκηδῶντας καὶ ὑπερβαίνοντας, πῶς οὐκ ἂν εἴη ὅρος βεβηκὼς, ὁ κατὰ τὸν Πατέρα ἀναλλοίωτος, καὶ τὴν οὐσίαν εὐσταθέστατος ἐς ἄκρον καὶ ἀμεταποίητος; καὶ αὕτη μὲν ἐπιβολὴ πρώτη ὅρου ἐπίτροχος, τοῦ γῆθεν δηλονότι καὶ γνωριμωτάτου κοινῶς καὶ σαφεστάτου.

36. Adjungenda venit Salvatori nostro mens definitiva, juxta philosophicum terminum, idque pari celeritate et rectitudine. Si enim terminus est verbum notam faciens, aut ostendens essentiam vel personæ, vel qualemvis, esset et Filius, Patris Verbum, terminus ejus quatenus manifestavit his qui erant in mundo et etiam nunc manifestat nomen ejus, substantialiter nimirum, quatenus divinitatem habet Pater. Omnino enim inter philosophos perfectus terminus, firma et stabilis, et essentialiter vera definitio, est nominis subjacentis ad notitiam præbendam substantialis cognitio ; et certo videtur auctor huic sententiæ maxime hæsisse ; unde quasi hinc comminiscens, inducit interpretative vel commutative *verissimum Verbum*, in unum redigens Patris et Verbum et terminum ; quorum uni quidem adjungitur *perfectus*, alteri autem *verissimum*. Existimatur certe terminus, Dei Patris Filius, secundum tertiam termini significationem in propositione, si quis sic sedulo mentem ejus exquirat : Ego, ait, in Patre et Pater in me est ; terminus igitur oblati quasi dualismi hujus sanctissimi et semper commansuri in unitate, est Filius simpliciter exsistens et cogitatus, mentem habens completam et in seipso perfectam ; sed etsi excogitetur cum Patre coexsistens, cum eo unitus, simul agens, et certissime et in absoluta veritate ; quod aliter determinatur, ei qui scit inquirere per hoc quod mediator sit ut in unitate redigat de qua paulo ante, ut licuit disseruimus. Sic et hoc breviter et quasi summæ rei et sententiæ signum attigerim.

Ἔστι δὲ προσβιβάσαι τῷ ἡμῶν Σωτῆρι νοῦν ὁρικὸν καὶ κατὰ φιλοσοφούμενον ὁρισμὸν ὁμοίᾳ γοργότητι καὶ ὀρθότητι. Εἰ γὰρ ὅρος ἤγουν ὁρισμός ἐστι λόγος γνωρίζων, ἤτοι δηλῶν οὐσίαν ἢ προσώπου ἢ ἁπλῶς οἱανοῦν, εἴη ἂν καὶ ὁ Υἱὸς, ὁ τοῦ Πατρὸς Λόγος, ὅρος ἐκείνου, καθότι καὶ ἐγνώρισε τοῖς ἐν κόσμῳ καὶ εἰσέτι δὲ γνωρίζει τὸ ἐκείνου ὄνομα· οὐσιωδῶς δηλαδὴ καὶ ὡς ἔχει θεότητος ὁ Πατήρ. Πάντως γὰρ καὶ ὁ παρὰ τοῖς φιλοσόφοις βεβηκὼς ὅρος, ἀσφαλὴς καὶ βέβαιος ὁρισμὸς καὶ ὄντως ἀληθὴς, ὀνόματός ἐστιν ὑποκειμένου εἰς διδασκαλίαν, οὐσιώδης γνωρισμός· καὶ δόξοι ἂν ὁ μελῳδὸς ἐπαναπαύσασθαι μᾶλλον τῇ τοιαύτῃ ἐννοίᾳ. Διὸ καὶ ὡς οἷον παρισάμενος ἐντεῦθεν, ἐπάγει παραφραστικῶς ἢ μεταποιητικῶς τὸ *ἀπρεκέστατος Λόγος*· ἄγων οἷον εἰς ἓν τὸν τοῦ Πατρὸς ὅρον τε καὶ Λόγον· ὧν τῷ μὲν ἐπιτέθειται ὁ βεβηκὼς, τῷ δὲ ὁ ἀπρεκής· νοοῖτο δὲ ἂν ἀσφάλτως ὅρος ὁ τοῦ Θεοῦ Πατρὸς Υἱὸς, καὶ κατὰ τὸ τρίτον σημαινόμενον τοῦ κατὰ πρότασιν ὅρου, εἴ τις οὕτω μετέλθοι τὸν νοῦν ἐκείνου ἰσχνῶς. Ἐγὼ, φησὶν, ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Ὅρος οὖν, οἷον προτεταμένου δυασμοῦ τούτου τοῦ ἁγιωτάτου καὶ ἀεὶ ξυμβιβαζομένου εἰς ἑνότητα, ὁ Υἱὸς ἁπλῶς καὶ ὢν καὶ νοούμενος, νοῦν ἔχων ὁλοτελῆ καὶ παντέλειον καθ' ἑαυτόν· ἀλλὰ καὶ συννοούμενος τῷ Πατρὶ καὶ συνὼν καὶ συμπροβαλλόμενος, καὶ συμπροτείνων τὰ ἐνεργήματα, βεβηκότως καὶ πρὸς ἀλήθειαν ἀσφαλῆ, ἄλλως τε περατουμένην, ὡς ἐκεῖνος οἶδε μεθοδεύειν, καὶ διὰ τοῦ μεσιτεύειν δὲ ὡς ὑπὸ ἑνότητα συνάγειν ἡμᾶς, ὁποίαν ὁρικῶς πρὸ βραχέων, ὡς ἐξῆν δεδηλώκαμεν· καὶ οὕτω μὲν καὶ τοῦτο βραχυλογικῶς, καὶ ὡς οἷον ἐφάψασθαι κατά τι σημεῖον μεγίστου πράγματος καὶ νοήματος.

37. Non multum autem laborabit quis, ut quar-

λζ'. Τὸν δὲ τέταρτον ὅρον τῷ Παμβασιλεῖ προσαρ-

μόσαι Υἱῷ, οὐ μακρὰν πονήσεταί τις, τὸν καὶ ἱερώτατον καὶ θειότατον καὶ βασιλείῳ ἐπιπρέποντα ἱερατεύματι· ὅρος γάρ ἐστι τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ ὡς τὸ πρὸ αἰώνων βεβουλευμένον καὶ τετύπωμένον καὶ ὡρισμένον, αὐτοκρατορικώτατον καὶ ἁγιώτατον θέλημα αὐτὸς πληρώσας· καὶ πρωταπόστολος τῆς ἡμῶν σωτηρίας γινόμενος, καὶ δακτύλῳ Πατρὸς, ὅρου δίκην καὶ λόγου, τόμῳ ἐγγραφεὶς ἁγίως καθαρωτάτῳ παρθενικῷ, καὶ οὕτως εἰς ὅρον θεῖον ἀποτελεσθεὶς, καὶ τοῖς ἀνθρώποις ἀποδοθεὶς, ἐπὶ ἀγαθῷ μεγίστῳ καὶ βεβηκότι, καὶ ἀτρεκεστάτῳ πρὸς αὐτὴν ἀκρίβειαν· καὶ οὕτω μὲν ἡμῖν ὁ βεβηκὼς ὅρος, ὡς ἐξῆν, ἐπελευστικῶς τεθεώρηται· συνεπιδραμοῦσιν ἅμα καὶ τὸν μελῳδικὸν ἀτρεκέστατον λόγον· περὶ οὗ σαφέστερον ἔστιν εἰπεῖν, καὶ ὅτι σημασίας οὔσης καὶ τῷ λόγῳ οὐχ ἁπλῆς, ἀλλὰ ὑπὸ δεκάδα, καθὰ ἐκτίθενται οἱ παλαιοὶ, τὸ ὕψιστον ἐν τῇ τοιαύτῃ λέξει σημαινόμενον ὁ τοῦ Θεοῦ Λόγος ἐστὶν ὁ ἐνούσιος, ὁ πρὸ πάσης οὐσίας κτίστης, ὁ αἴτιος καὶ αὐτοῦ τοῦ κατὰ ἄνθρωπον λόγου καθ' ὃν ἐκεῖνος λογικὸς ὀνομάζεται· οὐ μόνον δηλαδὴ τοῦ προφορικοῦ τῆς ἰδιαιτάτης τοῦ ἀνθρώπου φωνῆς, ἀλλὰ καὶ τοῦ ἐνδιαθέτου, τοῦ εἰδοποιοῦντος τὸν ἐν τοῖς καθ' ἡμᾶς ἄνθρωπον· οὗ δὴ λόγου ποτὲ μὲν ψεῦδος ὑπαγορεύοντος ἢ ἐφαμάρτως ἢ κατά τι ἄλλως παρατυχὸν, ποτὲ δὲ πρὸς τῇ ἀληθείᾳ ὄντος, διέσταλται ὁ ἐν ἀρχῇ Λόγος διὰ τοῦ μὴ ἁπλῶς ἀτρεκὴς εἶναι, ἀλλὰ ἀτρεκέστατος, ὅ ἐστιν ἀληθέστατος, ὅπερ οἱ μὲν παρὰ τὸ στερητικὸν α καὶ τὸ τορύν, καὶ τὸ *ἐκὰς* εἶπον εἶναι· ἵνα εἴῃ ἀτρεκὲς τὸ μὴ τοῦ τοροῦ ἐκὰς, ἤγουν τὸ μὴ πόῤῥω τοῦ σαφοῦς καὶ τεθαρ- C βημένου διὰ τὴν ἀλήθειαν· οἱ δὲ παρὰ τὸ α στερητικὸν μόριον καὶ τὸ τρέω τὸ φοβοῦμαι. Ὁ γὰρ τῇ ἀληθείᾳ χαίρων οὐ μόνον οὐκ αἰσχύνεται λαλῶν ἐναντίον ὧν ἂν λέγοι, ἀλλ' οὐδὲ φοβεῖται.

tum terminum regio adoptet Filio sacratissimum et divinissimum, et regio congruentem sacerdotio. Terminus est enim Patris Filius, et quatenus ante sæcula volitam et expressam et determinatam, omnipotentem et sanctissimam perfecit ejus voluntatem; et primus præco nostræ salutis factus, et digito Patris, termini instar et verbi, volumini inscriptus purissimo Virginis, et sic in terminum divinum consummatus, et hominibus datus pro bono maximo et perfecto et verissimo; et sic perfectus terminus transeundo, ut decebat, visus est nobis qui simul conversati sumus cum sacratissimo verissimo Verbo; de quo apertius dicendum est quod significatione τοῦ *verbo* non simplici exsistente, sed decuplici, sicut docent antiqui, B altissima hujus significatio est Dei Verbum substantiale, ante omnem substantiam creator, auctor hujus qui in homine est verbi secundum quod et rationabilis vocatur; non solum prolationis propriæ homini vocis, sed intimi sensus, unde in se constituitur homo; non verbi quod errorem profert vel culpabiliter, vel ob aliquam circumstantiam, aliquando autem præter veritatem est; non ad hoc assignatum est in principio Verbum, eo quod sit non simpliciter verum, sed ἀτρέκεστατον, quod alii ab α privativo, et τορὸν, et ἐκὰς derivant, ita ut sit ἀτρεκὲς τὸ μὴ τοῦ τοροῦ ἐκὰς, id est, non procul a recto et securo per veritatem; alii ab α privativa particula, et τρέω; qui enim veritate gaudet, non solum non erubescit loquendo coram quibuslibet, sed nec metuit.

λη'. Ἐνθυμητέον δ' ἐνταῦθα ὅτι καθὰ ὑπὲρ ἅπασαν οὐσίαν ἡ οὐσία ἐστὶ τοῦ Θεοῦ, καὶ πάντα δὲ τὰ κατ' αὐτὸν ὑπὲρ ἅπαντα τὰ ἐγκόσμια, οὕτω καὶ ἡ αὐτοῦ ἀλήθεια ὑπὲρ ἅπασαν ἀλήθειαν. Ὁ μὲν γὰρ ἐν ἡμῖν λόγος ἑκάτερος ὅτε καὶ ἀληθεύσει, οὐκ αὐτὸς ἐποίησεν ἢ ποιεῖ τὸ πρᾶγμα ἐκεῖνο περὶ οὗ ἀληθεύει, ἀλλὰ καταλαβόμενος ἐκφαίνει τὴν ἐπ' ἐκείνῳ ἀλήθειαν· ὁ δὲ πανάγιος Λόγος καὶ ὅρος τοῦ Πατρὸς, ἡ αὐτοαλήθεια, καὶ τοῖς ἔργοις ἐπαληθεύει, ὧν ἐστι ποιητὴς καὶ προβολεύς· οὐ ψευσάμενος τὴν αὐτῶν παραγωγὴν ὡς οἷα παραποιῶν ἀτέχνως, ἀλλ' ἐν σοφίᾳ κατασκευάσας ἀῤῥήτῳ. Διὸ καὶ καλῶς ψάλλομεν ἀληθινὰ εἶναι πάντα τὰ ἔργα αὐτοῦ, καὶ πάντα ἐν D ἀληθείᾳ ποιῆσαι αὐτόν· οὗ κατ' ἄλλην ἔφοδον καὶ ὁ Λόγος ἀλήθειά ἐστιν. Ἀσφαλέστατα γοῦν καὶ ὑψηλότατα τὸν τοῦ Πατρὸς Λόγον ἀτρεκέστατον ὁ σοφὸς Ἰωάννης ἐμελῴδησεν.

38. In mente porro recondendum quod sicut super omnem essentiam est essentia Dei, et cuncta quæ ad eum pertinent super omnia mundana, sic et veritas ejus super omnem veritatem. Quod enim est in nobis verbum, quando verax est, non ipsum fecit vel facit rem illam de qua vera dicit, sed acceptam manifestat de ea re veritatem: sanctissimum autem Verbum et terminus Patris, ipsa veritas, etiam in operibus verax est quorum est auctor et productor; non mentitur eorum creationem, quasi imperite assimulans, sed in sapientia disponens ineffabili; unde recte psallimus vera esse omnia opera ejus, et eum cuncta in veritate fecisse; unde et per aliam expositionem, Verbum est veritas: certissime proinde et altissime Verbum Patris verissimum cecinit Joannes.

λθ'. Ἐνταῦθα δὲ λόγου ἐλθὼν καὶ διαγνοὺς οὐ κατ' ἔνθυμον, ἀλλ' ἐξ αὐτοῦ ἔργου, ὅτι τῶν τινες ἢ ἁπλουστέρων καὶ οὕτως ἀβαθεστέρων ἢ καὶ ἄλλως πειρατικῶν ἀνδρῶν ἐπιφύονται τῷ περὶ γῆν ὄρῳ, καὶ ὡς οἷα γῆς ἀναδασμὸν ἀκριβούμενοι, ἀπάγουσι τὸ κατ' αὐτὴν ὅριον, τοῦ βεβηκότος ὅρου, καὶ λόγου τοῦ ὑπερουσίου Θεοῦ, ὡς μὴ ἐπάξιον ὂν τῷ ὑπερουσίῳ γήϊνόν τι παχὺ προσαρμόττειν ὄνομα· σφαδάζω μὲν ἐνθουσιῶν πολλὰ λαλῆσαι αὐτοῖς, γινώσκων δὲ τὸ πρᾶγμα

39. Atque in hoc loco confitendum nobis est non per cogitatum, sed ex ipsis operibus, quosdam vel simpliciores et sic rudiores, ac prædatorios homines exsistere in finibus terræ, et velut partitionem terræ probe cognitam habentes, qui terminum ejus procul agunt a perfecto termino et Verbo supersubstantialis Dei, quasi indignum sit supersubstantiali terrestre quoddam et crassum adjungere nomen. Tripudio quidem ardore flagrans multa eis loquen-

di ; sciens autem non opportunam rem esse, verba ita ponderabo ut neque his reprehendendum me præbeam, neque aliis penes quos est judicium. Et ante omnia, ad iræ nostræ levamen, mensam ipsis instructam, qualem hospitibus præbent, proponam, per quam oblectati, ut arbitror, miles efficientur; apponetur autem his quidem ovis, his autem, probabile enim est quosdam Deo sacratos præsto futuros, piscis λάβραξ; et si quidem in mensam hæc afferri eligant, ita ut ovem dum vivent devorent cum vellere, cum pelle, carnibus et ungulis et visceribus, et piscem cum squamis et reliquo corporis habitu : cavebo statim ne respondeam eis, non mente considens, sed admiratus, me vidisse homines voraces. Si autem confecerint rite et non ferarum more, et eligentes exquisita et communia comederint, sicut oportet, reliqua autem sicut et cætera inutilia, et quasi superflua abjecerint, tunc confidens, conversabor cum eis, et postquam ipsos superaverim, gloriabor dicens me victoriam retulisse.

40. Et exprobrans primo defraudatores esse supra quam oportet erga Deum, homines de quibus præsens mihi sermo, suppliciter efflagitabo ut dentur mihi qui colligant nomina per quæ designatur Deus, ob aliquam ejus actionem, ad æmulam diligentiam, et propriam ipsi veritatem; et si bene cesserit oratio mea, gratias agam eis multas, nec ego solus, sed et omnes quicunque tractatui illi interfuerint. Sed, antequam emiserim eos ut colligant quæ ego discere cupio, alo dici Filium Dei terminum perfectum, ex terrestri limite, non quod circuitum patiatur, et circumagatur qui includit gyrum terræ, qui omnipotens est, et incomprehensibilis, et infinitus; nec quod manibus tangatur qui intractatus est; nec quod Patrem circumscribat et coarctet quasi in circuitu, nec aliud quid faciat quasi in patientem Patrem ; sed inter tales omnes actiones et voces electo terrestri termino, terminus perfectus omnium Patris Verbum ejus est, secundum prædictam congruam rationem ; et hoc pro nobis et per nos qui discere opus habemus, nec aliter discere possumus, quam per solas vires inditas nobis, in quibus Deus inhabitare diceretur, nec per hoc solum quod Dei qualitates in nobis ejus circumstantibus rebus sitæ sunt et per medium earum sit in nobis Deus. Si autem recte sapiamus, per hæc sumus et nos in eo, ipsi attributi; et velut sinceri unguentarii, odorifera hæc aromata præparata velut ex odorante materia venerandorum a nobis nominum offerimus, ita ut odoretur Dominus odorem suavitatis, et ipsum acceptabilem, sive e terra ascendat, sive aliunde oriatur.

41. Si autem commentatam terminum, o negotiose et industriæ tenacissime, abjicias eo quod verbum

A οὐκ εὔκαιρον, μετρήσω τὴν λαλιὰν εἰς ὅσον μὴ πάνυ ζύγῳ ἐμαυτὸν ὑποσχεῖν μήτε παρ' ἐκείνοις μήτε παρ' ἄλλοις, οἷς ἔστι διάκρισις· καὶ πρό γε τῶν ἄλλων μείλιγμα χόλου τοῦ καθ' ἡμῶν τράπεζαν αὐτοῖς ὅσα καὶ παραβαλοῦσι ξένοις ἐξαρτίσας, ὑποθήσομαι, δι' ἧς, οἶμαι, θελξάμενοι τραπήσονται· ἔστω δὲ τὸ πρόθεμα, τοῖς μὲν πρόβατον, ἑτέροις δέ, εἰκὸς γὰρ καὶ Ναζιραίους τινὰς παρατυχεῖν, ἰχθὺς λάβραξ ἁβρός· καὶ εἰ μὲν ἐκεῖνοι ἕλωνται προσενέγκασθαι εἰς τραπέζωμα τὰ τοιαῦτα, ὡς τὸ μὲν βόσκημα κατα θοι νήσασθαι οὕτως ὡς ἔχει ζωῆς, αὐτῷ μαλλῷ, αὐτῷ δέρματι, κέρασιν αὐτοῖς καὶ ὄνυξι, καὶ τῇ τῶν ἐγκάτων διαθέσει, τὸ δὲ ὄψάριον αὐταῖς λεπίσι καὶ τῇ λοιπῇ κατὰ σῶμα διαρτίᾳ, στήσομαι τύχα τοῦ ἀντειπεῖν αὐτοῖς, οὐκ ἐξαπορηθεὶς πάντως, ἀλλὰ τε- B θαμβημένος οἷς ἀνθρώπους εἶδον ὠμηστάς. Εἰ δὲ κατεργάσονται φρονίμως, οὐ μὴν θηριωδῶς αὐτά· καὶ ἀπολεξάμενοι τὰ μὲν πολιτικὰ καὶ κοινὰ προσοίσονται, καθὰ χρή, τὰ δὲ λοιπὰ ὡς καὶ ἄλλως περιττὰ καὶ ὡς περιττώματα δὲ ἀποπροσποιήσονται· τότε ἂν τεθαῤῥηκὼς ἐμπλέξομαι αὐτοῖς, καὶ κατενεγκὼν αὐχήσω εἰπεῖν ὡς νενίκηκα.

μ'. Καὶ πρῶτα τέως ἀποστερητικοὺς ἐξονειδίσας εἶναι παρὰ τὸ δέον ἐπὶ τῷ Θεῷ τοὺς ἀνθρώπους, περὶ ὧν ὁ παρὼν ἐμοὶ λόγος, ποτνιῶμαι προσκυνητικῶς παραδοῦναί μοι ἀπανθίσοντας ὀνόματα δι' ὧν χαρακτηρίζεται ὁ Θεὸς ἐφ' ὁποιανοῦν ἐνέργειαν αὐτοῦ πρὸς ἐμφερῆ ἀκρίβειαν, καὶ οἰκειοτάτην αὐτῷ ἀλήθειαν, καὶ πάντως εἴπερ εὐστοχήσω τῆς αἰτή- C σεως, ὀφλήσω χάριν αὐτοῖς πολλὴν, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες ὁπόσοι τῇ τοιαύτῃ παραδόσει μεθ' ἡμᾶς ἐπιτύχωσι. Καὶ τοίνυν πρὶν ἢ ἐπιβαλεῖν αὐτοὺς ἀπανθίζεσθαι ἅπερ ἐγὼ μαθεῖν ἐπιποθῶ, λέγω ῥηθῆναι τὸν Υἱὸν τοῦ Θεοῦ βεβηκότα ὄρον ὡς ἐκ τοῦ κατὰ γῆν ὄρου, οὐχ ὅτι περιέλευσιν πάσχει καὶ περιλαμβάνεται ὁ κατέχων τὸν γύρον τῆς γῆς καὶ ἀπειροδύναμος καὶ ἀπερίληπτος καὶ ἀπερίγραπτος· οὐδ' ὅτι χερσὶ ψαύεται ὁ ἀναφὴς, οὐδ' ὅτι περιορίζει τὸν Πατέρα καὶ στενοχωρεῖ ὡς ἐν περιγραφῇ, οὐδ' ἄλλο τι ποιεῖ ὡς ἐπὶ πάσχοντι τῷ Πατρὶ, ἀλλὰ τῶν τοιούτων πάντων ἐνεργημάτων καὶ ἰδιωμάτων τοῦ γηΐνου ὄρου ὑπεξαιρουμένου, ὄρος βεβηκὼς τοῦ πάντων Πατρὸς ὁ πρὸς ἐκεῖνον λόγος ἐστὶ, κατὰ μόνον τὸ ὡς ἐῤῥέθη πρέπον γνώρισμα· καὶ αὐτὸ πρὸς ἡμᾶς, D καὶ δι' ἡμᾶς τοὺς δεομένους μανθάνειν, οὐκ ἔχοντας δὲ ἄλλως μαθεῖν ὅτι μὴ διὰ μόνων τῶν καθ' ἡμᾶς οἷς ἐνοικεῖν ὁ Θεὸς λέγοιτο ἂν καὶ κατ' αὐτὸ τοῦτο, ὅτι δηλαδὴ τὰ τοῦ Θεοῦ χαρακτηριστικὰ ἡμῖν καὶ τοῖς περὶ ἡμᾶς ἔγκειται, καὶ διὰ μέσων αὐτῶν ἔστιν ἐν ἡμῖν ὁ Θεός. Εἰ δὲ φρονοῦμεν ὀρθὰ, ἐσμὲν διὰ τῶν τοιούτων καὶ ἡμεῖς ἐν αὐτῷ, λογιζόμενοι ἐκείνῳ, καὶ ὡς εἰς καθαρείους μυρεψοὺς εὐώδη θυμιάματα ταῦτα σκευαστὰ ὡς ἐξ εὐόδμου ὕλης τῶν ἐν ἡμῖν τιμίων ὀνομάτων ἀναπέμποντας· ὡς ὀσφραίνεσθαι τὸν Κύριον ὀσμὴν εὐωδίας, καὶ ταύτην εὐπρόσδεκτον, εἴτε γῆθεν ἀναδιδομένην εὐκόσμως, εἴτε ἄλλοθεν ὀθενοῦν.

μα'. Εἰ δὲ τὸν διειλημμένον ὄρον, ὦ πολυπράγμον καὶ γλισχρότατε τὴν ἀκρίβειαν, ἀποστρέφῃ,

διὰ τὸ τῆς λέξεως χθαμαλὸν καὶ παχὺ καὶ βαρύ, καὶ τὸ κατ' αὐτὴν νόημα δογματίζεις μὴ ἂν δύνασθαι ὑψοῦ ἐλαφρισθῆναι ὡς ἁρμόττειν τῷ ἀπαχεῖ καὶ ἀβαρεῖ καὶ ὑπερουρανίῳ Θεῷ, ἔξεστί σοι τοῦ λοιποῦ ἀποστερεῖν μὴ μόνον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ λέξεως ἁπάσης ἐγκοσμίου, ἀλλὰ καὶ τὸν προαιώνιον Πατέρα, καὶ τὸ συνάναρχον Πνεῦμα· οὐκοῦν ἀποῤῥάπιζε τὰ ἐν τοῖς καθ' ἡμᾶς πάντα ὀνόματα, ὡς μηδὲ ἓν αὐτῶν οἰκειοῦν τῷ ἀκατονομάστῳ Θεῷ, καὶ μᾶλλον τὰ ἐν ἡμῖν ταπεινότατα, οἷον τὸν δημιουργὸν ὃν χειροτέχνην οἴδαμεν ἑρμηνεύεσθαι, περὶ οὗ καὶ ἐν τοῖς μετὰ ταῦτα εἰρήσεται· τὸν τεχνίτην ὃς οὐδ' αὐτὸς ὑπεροχὴν ἔχει πολλήν· τὸν παντουργὸν, ὃν οὐδὲ ἐν εὐφήμῳ σημασίᾳ τάττουσιν οἱ τὴν ἀρχὴν αὐτὸν ὀνομάσαντες· ἔτι δὲ καὶ τὸν ποιητὴν τὸν εἰς ταυτὸν ἥκοντα τῷ δημιουργῷ, καὶ τὸν κυβερνήτην, ἐμπορικόν γε αὐτὸν ὄντα καὶ οὕτω κερδαλέον, ὡς τὰ πολλὰ καὶ ἐφ' οἷς οὐ χρή· τὸν ἀκρογωνιαῖον λίθον τὸν τάχα οὐδὲ μναῖαῖον τὸ τίμημα. Τί δέ μοι τῶν τοιούτων λέξεων καὶ ὅσαι δὲ ἄλλαι κατ' αὐτὰς ἀπαξιούμεναι οἰκειοῦσθαι τῷ Θεῷ, κατεπιχειροῦνται ὑπὸ τῆς ἐν σοὶ λεκτικῆς δυνάμεως; Δέδοικα μὴ ὁδῷ προϊὼν οὐκ εὐόδῳ, μελετήσῃς ἀφελέσθαι τῆς ἁγίας Τριάδος, καὶ αὐτὰ τὰ ἰδιαίτατα χαρακτηριστικά. Οὔτε γὰρ Πατὴρ κληθήσεται κατά γε κριτὴν τὸν κατὰ σέ. Πατὴρ μὲν γὰρ ἅπας ἐν τοῖς καθ' ἡμᾶς ἐμπαθὴς, εἴτε παρὰ τὸ σπείρειν κατὰ σάρκα οὕτω καλεῖται, εἴτε ἄλλοθεν ὁθενοῦν· καὶ υἱὸς δὲ ἐκ τοῦ κατὰ φυσικὴν οὐ μὴν ὑπερφυῆ ἀκόλουθα φύεσθαι, εἴτουν ὕεσθαι, κατὰ τοὺς σοφούς· καὶ πνεῦμα δὲ ἐκ τοῦ ἐπιπνέειν καὶ ἐμπνέειν ἡμῖν· τὸ δὲ πνέειν, ἀστασίαν τινὰ ἔχει. Οὕτως δὲ καὶ ἄλλως, καὶ τὸ πᾶν εἰπεῖν, πολυειδῶς καὶ οὐ κατά τινα μονομέρειαν, κινούμενον ἢ καὶ ἀντικινούμενον.

sit vile, crassum, pingue, et sensum ejus contendas non posse in altum levari, ita ut Deo non crasso, nec gravi et supercœlesti aptetur, licet tibi cæteroquin non solum Filium et Verbum Dei verbo omni mundano dirimere, sed et æternum Patrem et corregnantem Spiritum. Tolle igitur omnia inter nos usitata nomina, quasi neque unum ex istis proprium sit ineffabilis Dei, sed potius omnia nostra humilia, sicut et mundi creatorem quem fabricatorem novimus exponi, de quo in sequentibus sermo erit; fabricatorem, quod neque ipse magnam excellentiam habeat; omnium factorem, quem neque congrua significatione designant qui principium ipsum vocant; adhuc et creatorem quod est mundi creator; et gubernatorem, mercatorium ac proinde quæstuosum, ut plerumque circa res incongruas versetur; lapidem angularem, quæ æstimatio non satis ponderosa est; et quid talia commemorem quæ omnia non judicantur Deo congruere, et tua convelluntur eloquenti potentia? Vereor, ne via incedens invia, illas a sancta Trinitate auferre cogites quæ ipsi propriæ sunt notas; non enim Pater vocabitur, juxta judicem tui similem; Pater enim omnis communium affectuum particeps, sive a pariendo secundum carnem sic vocatur, sive aliunde; υἱὸς autem, ex verbo in se non supernaturali deducitur φύεσθαι (gigni), vel a verbo ὕεσθαι juxta doctos; πνεῦμα autem ex verbo ἐπιπνέειν (exsufflare), et ἐμπνέειν; flare autem quamdam habet inconstantiam. Sic et omne verbum multiformiter nec sub uno tantum respectu movetur, vel ex adversa parte removetur.

μβ'. Εἰ δὲ οὕτω ἐπιχειρήσεις πρὸς διάλεξιν σοφιστικὴν, ἐψίλωσας τὸν Θεὸν ἅπαντος τοῦ ἐξ ἀνθρώπων σεμνώματος, καὶ ἀφῆκας μὲν ἐκεῖνον ἀνώνυμον, ἐστέρησας δὲ καὶ ἡμᾶς τῆς πρὸς ἐκεῖνον κοινωνίας καὶ ἐγγύτητος, καὶ οὐδὲ τὸ, Κύριε, ἐλέησον, καταλελοιπὼς ἡμῖν εἰς ἀνεπιχείρητον, διὰ τὸ κατὰ τὸν ἔλεον περιπαθὲς, καὶ οὕτως ἐμπαθὲς, μόνην ἡμῖν ἀφῆκας τὴν εἰς οὐρανοὺς ἀνάτασιν τῶν χειρῶν, καὶ τὴν τῶν ὀφθαλμῶν ἄρσιν εἰς τὰ ὄρη, ὅθεν ἡμῖν ἥξει ἡ βοήθεια· ἤδη δέ που καὶ τοὺς στεναγμοὺς καὶ οἷον ὠρυθμοὺς πρὸς ὁμοίωσιν σκύμνων τῶν ὠρυομένων καὶ ζητούντων παρὰ τῷ Θεῷ βρῶσιν ἑαυτοῖς· καὶ μὴν, ἄνθρωπε, καθὰ σὺ αὐτὸς οὐδὲν βοτὸν χερσαῖον, οὐδὲ ἀέριον ζῶον, οὐδὲ θαλάττιον ἁπλῶς οὕτω προσφέρῃ εἰς ἀποδοχὴν καθὰ διὰ τοῦ προβάτου, καὶ τοῦ λάβρακος προϋπηνιξάμεθα, μὴ ἀφορίζων μὲν, ὅσον αὐτοῦ καλὸν εἰς προσφοράν, ἀπεκλεγόμενος δὲ τὸ μὴ πρόσφορον· οὕτω κατὰ τὴν τῶν ἁγίων Πατέρων τύπωσιν καὶ ἡμεῖς ἐφ' ἑκάστου τῶν ὀνομάτων, ἅπερ ἐξ ἡμῶν λαβόντες τῶν ταπεινοτάτων ἀνατιθέαμεν τῷ Θεῷ, μᾶλλον δὲ ὅσιοῦμεν αὐτῷ τὰ ἐκείνου, ἐξαφαιρούμενοι καὶ μηδὲ εἰς νοῦν λαμβάνοντες τὸ ἀνοίκειον τῷ Θεῷ, ὀρθῶς αὐτῷ προσφέρομεν· ὅμοιον ὡς εἴ καὶ ἱερεῖον ἀποδείραντες καὶ εἰς καθάρειον ἀποπλύναντες, θύομεν κατὰ τὸ ὅσιον.

42. Si autem dialecticam sophistarum in auxilium vocas, Deum omni qua apud homines fruitur auctoritate privas; quem ubi nomine spoliasti, nos ipsos a communitate ac familiaritate, quæ nos inter et Deum intercedit, ejicis. Quia enim ne illud quidem, Miserere, Deus, nobis reliquisti, non nisi manuum et oculorum ad montes elevationem permittis, unde nobis auxilium veniet; jam vero etiam leonum more, qui circumeuntes rugiunt et alimenta a Deo efflagitant, gemere nobis ac rugire licebit. Sicut autem tu, homo, nullum animal terrestre, aut aerium, aut marinum, ovis aut lupi marini instar, offers, inter id quod offerendum est, et id quod non est, distinguendo et rejiciendo; sic et nos, secundum Patrum sanctorum exemplum, unumquodque nominum, quæ pro humilitate nostra Deo offerimus aut potius sanctificamus, et rejectis iis quæ Deo indigna sunt, ei sacrificamus.

μγ'. Δημιουργὸν γοῦν ἐκεῖνον καλοῦμεν καὶ τεχνίτην καὶ παντουργὸν καὶ ποιητὴν κατ' οὐδὲν ἄλλο ἢ μόνον ὅτι παράγει ὥσπερ ἐκεῖνοι ἐπιμελῶς τὰ κατὰ σφᾶς αὐτοὺς ἔργα, οὕτω καὶ αὐτὸς, οὐ δη-

43. Opificem igitur eum et artificem et fabrum et conditorem appellamus ob id tantum quod, sicut illi, opera sua rite exsequitur. Re vera enim non solum creat et summa arte omnia facit, sed quæ

facit cognovit et in honore habet, imo diligit, amore complectitur et iis providet. Gubernatorem autem Deum nominamus, navigii nempe mundani, sed qui nostram quoque naviculam pro scientia ac voluntate sua per undas dirigit, quanquam aliqui nostrum, spreta illius arte gubernatoria, vitæ undis decumanis agitari malunt, et cum scopulis ac saxis luctantes aquis obruuntur. Dum enim a lapide angulari quidquid superfluum est, rescindimus, id tantum conservamus quod animum versus cœlestia ac divina tollit. Christus enim Salvator, naturarum distantium quasi mœnium mediator factus, illas in unum quasi corpus adunat; quæ cum secundum gentium ac populorum ingenia diversæ apparent, non eodem diriguntur; per Salvatoris autem mediationem, contactum ac adunationem unum quid factæ, communionis spiritualis compotes fiunt, ita ut quæ modo errabant et discordabant, unum fiant.

A μιουργῶν μόνον καὶ σοφωτάτῃ τέχνῃ πάντα ἐργαζόμενος καὶ ποιῶν, ἀλλὰ καὶ διὰ τιμῆς ἄγων καὶ συνιστῶν τὰ εἰργασμένα, καὶ φιλῶν, καὶ περιποιούμενος, καὶ προνοίας παντοίας ἀξιῶν. Κυβερνήτην δέ φαμεν τὸν αὐτὸν Θεὸν, ὡς τοῦ κατὰ κόσμον σκάφους γε, καὶ τῶν καθ' ἡμᾶς δι' ἁλιάδων ἰθυντῆρα κατὰ τὴν αὐτοῦ καὶ ἐπιστήμην καὶ θέλησιν· εἰ καί τινες ἡμῶν παρανομοῦντες τὴν ἐκεῖθεν οἰακιστικὴν, καὶ βίου κύμασι προαιρούμενοι πλάζεσθαι, χοιράσι καὶ ῥαχίαις ἡμᾶς αὐτοὺς προσαράσσομεν εἰς ἀπώλειαν· καὶ λίθου δὲ ὁμοίως ἀκρογώνου τὴν οὐκ εὔχρηστον σκῦρον εἴτουν λατύπην ἀποξέοντες ἅπασαν λιθοξοϊκῶς, ἐκεῖνο καὶ μόνον αὐτοῦ ἀπολαμβάνομεν εἰς ἔνθεον ἀναφοράν· ὅτι μεσίτης ὁ Σωτὴρ Χριστὸς τῶν διεστώτων φύσεων ὅσα καί τι- B νων τοίχων γενόμενος, συνδέει αὐτὰς, καὶ εἰς μίαν συνάγει συνέχειαν· γεγωνιωμένας μὲν ἄλλως ἰδιοτροπίᾳ οἰκοδομῆς τῆς κατὰ ἔθνη καὶ λαοὺς καὶ οὕτω μὴ ἐχούσας τὸ ἰθυτενές· διὰ δὲ τῆς αὐτοῦ μεσολαβήσεως καὶ τῆς ἑκατέρων ἅψεως καὶ συναγωγῆς ἐνοποιουμένας, ὡς εὐθυβόλως πρὸς ὀρθότητα συνίστασθαι ξυνοικίας πνευματικῆς, τὰ τέως μὲν πλαγιάζοντα, μικρὸν δὲ ὅσον καὶ διαστησόμενα εἰς ἀσύμβατον.

44. Eadem ratione etiam Pater qui communis omnium Pater, non per instinctum agit, sed qui post mundum creatum nostrum omnium curam agit et gaudet si multiplicamur et crescimus, sicut ipse vult. Eos enim qui ipsius more digni sunt, alit et ditat, et alios patres facit secundum carnem, alios secundum spiritum, et hæreditatem, imo regnum cœlorum, ut pater benevolus, tribuit, atque ita quidem Deus verus Pater est; vult enim patrem quoque carnalem honorari qui, secundum C antiquos per alium generat, illumque nostri similem neque inferiorem fieri sustinet.

μδ'. Τὸν αὐτὸν δὲ λόγον καὶ Πατὴρ ὁ κοινῶς πάντων Πατὴρ, οὐκ ἐμπαθῶς, ἀλλ' ὅτι κήδεται πάντων ἡμῶν μετὰ τὴν ἐν κόσμῳ γένεσιν καὶ γέννησιν, καὶ εὐφραίνεται εἴπερ αὐξανόμεθα καὶ πληθυνόμεθα ὡς αὐτὸς ἐθέλει, καὶ τρέφει καὶ πλουτίζει τοὺς ἀξίους, καὶ πατέρας ποιεῖ τοὺς μὲν κατὰ σάρκα, τοὺς δὲ πνευματικούς· καὶ κληρονομίαν πατρικῶς, ναὶ δὴ καὶ βασιλείαν τὴν ἐν οὐρανοῖς ἀποτίθεται· καὶ οὕτω μὲν Πατὴρ ὁ Θεός· ἐθέλων μὲν τιμᾶσθαι καὶ τὸν σαρκικὸν πατέρα τὸν ἐν ἄλλῳ γεννῶντα κατὰ τοὺς παλαιοὺς, καὶ θεοείκελον ἐκεῖνον ἡμῖν λογίζεσθαι, οὐκ ἀνεχόμενος δὲ εἰ τὸ ἔλαττον ἐκείνου παρ' ἡμῖν φέρεται.

45. Talis autem Patris coæternus Filius ex eo genitus, ex ipso non humano more, sed divino processit. Pater autem hunc ut sibi consubstantialem amat et duplici glorificatione honorat, una quidem ante mundi creationem, altera post incarnationem quæ mundo saluti fuit et adventum; et cohæredem habet omnium quæ vitam æternam et regnum cœleste participant, addita Filii hæreditate, quæ non cum morte exstincta, sed communionis beneficio immortalis erit, ita ut quæ Pater penes nos habet, ad Filium quoque spectent, et ut quæ Filii sunt, Patris quoque sint, et ut simul immortales ac coætanei exsistant. Hic enim Filius illius Patris; sicut Pater nos filios genuinos adoptavit, sic ille, concesso nobis hoc privilegio, fratres suos fecit. Quia enim amorem paternum in filios et fraternum in fratres contulit, Filium illum principio carentem Patris, qui sine principio est, appellari prorsus decet.

με'. Υἱὸς δὲ Πατρὸς τοιούτου συμπροαιώνιος ὁ ἐκείνου ἐκφὺς, καθότι ἐξ ἐκείνου ἐξελήλυθεν ἀπαθῶς ὅτι καὶ θεϊκῶς· καὶ φιλεῖ ἐκεῖνος τοῦτον συνουσιωμένον αὐτῷ, καὶ δοξάζει δόξῃ διπλῇ· μιᾷ μὲν τῇ πρὸ τοῦ εἶναι τὸν κόσμον, ἑτέρᾳ δὲ τῇ μετὰ τὴν κοσμοσωτήριον σάρκωσιν καὶ ἐμφάνειαν· καὶ κληρονόμον δὲ πάντων ἔχει τῶν αὐτοῦ τῇ αἰωνίῳ αὐτοῦ ζωῇ καὶ βασιλείᾳ, καὶ τὴν τοῦ Υἱοῦ κληρονομίαν συμπαραμετρῶν· οὐ θανάτῳ ἀπελευσομένην, ἀλλὰ κοινωνίᾳ συμπαρεκταθησομένην τῇ ἐς ἀθάνατον· ἵνα τοῦτο δὴ τὸ ἐν ἡμῖν μὴ κρατοῦν πάντα καὶ πάντοτε ὅσα ἔχει ὁ Πατὴρ, ἔχῃ διηνεκῶς ὁ Υἱὸς, καὶ πάντα τὰ τοῦ Υἱοῦ ἔχῃ καὶ ὁ Πατὴρ, κοινωνοὶ οὗτοι ἀθάνατοι καὶ ἀδιάδοχοι· ἔτι Υἱὸς οὗτος Πατρὸς ἐκείνου ὅτι καθὰ ὁ Πατὴρ εἰς υἱοὺς ἡμᾶς ἐξιδιώσατο γνησιότητος λόγῳ θεοπρεποῦς, οὕτως αὐτὸς ἐχωρήσας ἐκείνῳ τῆς προληπτικῆς τοιαύτης μερίδος, εἰς ἀδελφοὺς ἡμᾶς ᾠκειώσατο· εἰς ταὐτὸν συναγαγὼν ἀγάπης πατρικὴν ἐκείνην σχέσιν πρὸς υἱοὺς, καὶ ἀδελφικὴν ταύτην πρὸς ἀδελφοὺς, καὶ οὕτω μὲν ἐπιτόμως εἰπεῖν καὶ Υἱὸς Πατρὸς προαν- D ἀρχου συνάναρχος.

46. Spiritus porro sanctus ob nullam materialem causam ita appellatus apud sanctos Christianos hoc nomine dignus est habitus, quia omnis vitæ

μς'. Τὸ δὲ ἅγιον Πνεῦμα, κατὰ οἰδεμίαν ὑλαίαν αἰτίαν οὕτως ἐπικληθὲν παρὰ τοῖς ἁγίοις Χριστιανοῖς, δεδόξασται ὀνομάζεσθαι οὕτως διὰ τὸ συστατι-

κὸν τῆς καθ' ἡμᾶς εἶναι ζωῆς, καὶ πνοῆς ἁπάσης αἴτιον, καὶ Θεὸν τῶν πνευμάτων ἀναψύχοντα τοὺς ἐν ἡμῖν ἐκλείποντας ὑπὸ κακότητος, ἐπανάγοντα ἐξ ὀλιγοψυχίας, καὶ τὸ πᾶν εἰπεῖν, ζωογόνον καὶ ζωοποιὸν καὶ ζωοδότην ἀληθέστατον· οὐ μόνον γὰρ φυτὰ παντοῖα προάγον συντηρεῖ ὡς τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνδημιουργὸν καὶ συμπρονοούμενον καὶ συμπεριέπον καὶ συνιστῶν, ἀλλὰ καὶ ζῶον ἅπαν τῷ θεόθεν συνουσιωθέντι κατὰ φύσιν πνεύματι θάλπει, καὶ εἰς αὔξην προάγει, καὶ εἰς τὸ ζῆν συγκρατεῖ· ὅθεν καὶ ἡ φύσις παρωνόμασται, κατά τινα σοφὸν παλαιὸν, ὡς οἷον φύσησις κατὰ τὸ ἀρχέγονον τῆς παραγωγῆς· φυσᾷ γὰρ ὥσπερ αὐτὴ καὶ οὕτω διιστᾷ, καὶ ἐξογκεῖ τρόπῳ οἰδήσεως, καὶ αὔξει τὸ ζωϊκὸν σῶμα, ὡσεὶ ἀσκόν τινα ἐμφυσώμενον· κἀντεῦθεν τὰς προσφύσεις διαστάσεις ἔχει τὰ ἐκ γῆς γεννώμενα καὶ τρεφόμενα, καὶ αὐξόμενα· συνεπιλαμβανομένου τοῖς ἐν κόσμῳ τοῦ ἁγίου Πνεύματος παντὸς ἀγαθοῦ, καὶ οὐ μόνον τοῦ κατὰ φύσιν, ἀλλὰ καὶ τοῦ ὑπερφυῶς· καὶ ζωγρεῖ δὲ ψυχὴν ἀπιοῦσαν τὸ ἅγιον Πνεῦμα, οὐ κατὰ τὸ ἀέριον, ἀλλ' ὑπὲρ λόγον· καὶ οὕτως ἀναψύχει ἐκείνην εἰς σωτηρίαν, καὶ πυρὶ δὲ ψυχικῷ συντελεῖ ἐνεργοῦντι τὰ καθήκοντα ἐξανάπτον αὐτὸ εἰς φλόγωσιν ἀγγελικὴν, καὶ τοῖς πνευματικῶς πλέουσι τὸν πρῶτον πλησιστίοις χαρίζεται πλοῦν.

A et spirationis secundum modum humanum origo est, et quod Deus est spirituum, qui eos qui animi perversitate in peccata lapsi sunt redintegrat et qui pusillanimos consolatur; ut uno verbo dicam, qui reipsa vitæ genitor, conditor datorque exsistit. Non solum enim plantas varias producens cum Patre ac Filio conservat, amplectitur, curat; sed omne animans halitu qui divinitus datur, fovet, auget, vivificat; unde etiam natura apud antiquum aliquem philosophum sufflatio audit secundum originem productionis. Sufflat enim ac separat et sufflando distendit et corpus vividum sicut utrem insufflatum amplificat, et inde, quæ a terra genita aluntur et augentur, cohæsionum ac connexionum loco habet, ea lege ut Spiritus sanctus rebus mundanis adjiciatur non tantum secundum naturam, sed supranaturaliter, et Spiritus quidem sanctus animam abeuntem captivam facit suprarationaliter, et sic illam ad salutem animat, et igni spirituali ei qui debita præstat officia, angelico more incendit et iis qui cum Spiritu navigant, navigationem secundam largitur.

μζ'. Οὐκοῦν οὐδεμία τῶν κάτω καὶ περὶ ἡμᾶς λέξεων ὑψοῦ πρὸς Θεὸν ἔχει αἱρεσθαι, μὴ ἐπιεικῶς αὐτῷ προσδεχθεῖσα, ἐν τῷ συγκαταβατικῶς καὶ ἀναγκαίως εἰς ὅσον ἐξὸν προσιτὴ διακριτικῶς ἐκείνῳ γενέσθαι καὶ συγγνωμονικῶς παρὰ τὸ μὴ ἔχειν ἄλλως αὐτὸ γενέσθαι· καὶ ὁμοιοῦται τόδε τὸ πρᾶγμα ὡς εἰ καὶ βασιλεὺς ὑπερτίμῳ πλούτῳ πλήθων, καὶ πολυταλάντῳ καλλωπισμῷ ἐλλαμπόμενος, ἀνέχεταί ποτε ἄμφιον περικεῖσθαι τῶν εὐτελεστέρων κατά τινα χρείαν, οὔτε ἀποπροσποιούμενος, καὶ ἐπικοσμῶν δὲ τὸ οὐ πολυτελὲς περίβλημα, οἷς ἐπιεικευσάμενος αὐτὸ περιέθετο. Τί δὲ οὐ ταχύνω λέγειν ὡς χαίρει καὶ ποιμὴν λεγόμενος ὁ Θεός; καὶ αὐτὸς οὐχὶ ὀκνῶν πάνυ σμικρολόγος εἶναι, ὁποῖος ὁ κατὰ τὸ ἅγιον Εὐαγγέλιον τὰ ἐννενηκοντα ἐννέα πρόβατα βόσκεσθαι ἀφεὶς ὡς εἰ καί τις ψυχὴ αὐτὰ ἐνέμετο, καὶ πονηθεὶς περὶ τὴν τοῦ ἑνὸς τῶν ἑκατὸν ἀποπλανηθέντος ἀναψηλάφησιν· ἔτι δὲ καὶ οἰκοδόμος, κατὰ τὸ, Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον· ὁ καὶ παιδεύσας ἐπὶ ἀσφαλοῦς καὶ μὴ ἐπὶ ψάμμου οἰκοδομεῖν· καὶ φύλαξ δὲ πόλεως, ἣν αὐτοῦ μὴ φυλάσσοντος, εἰς μάτην ἀγρυπνοῦσιν οἱ αὐτῆς φύλακες· καὶ ἀμπελουργὸς δὲ, κατὰ τὴν ἐπ' αὐτῷ ἁγίαν θεωρίαν· εὐαγγελικῶς δὲ καὶ οἰκοδεσπότης. Εἰ δὲ μὴ καὶ ἁλιεὺς αὐτόχρημα, ἀλλ' οὖν φιλοαλιεὺς διὰ τοὺς μαθητὰς οἳ τὴν τοιαύτην τέχνην εὖ μάλα ἠσκήσαντο· κατὰν δὲ οὐδὲν φιλιώσασθαι αὐτὸν τοῖς κατ' ἄνθρωπον τὸ φιλοτίμημα τῶν αὐτοῦ χειρῶν, εἰ καὶ λέων καὶ ἀετὸς ἐκλήθη, τὸ μὲν ἐκ τῶν κατὰ γῆν οὐ λογικῶν, τὸ δὲ ἐκ τῶν ἀερίων δεξιωσάμενος; Τί δέ μοι καὶ ταῦτα, εἰ καὶ σκώληξ αὐτῷ εἰς κλῆσιν οὐκ ἀπηξίωται; γινώσκει δὲ ὁ αὐτὸς, καὶ νηδὺν Παρθένου Μητρὸς ὑποδὺς, καὶ βρέφος ἐκεῖθεν ἐκδὺς, καὶ ἐν φάτνῃ ἀνατεθεὶς, καὶ ἀκόλουθα τῇ κατὰ σάρκα φύσει, τὰ μὲν ποιήσας θεοπρεπῶς, τὰ δὲ καὶ παθὼν, καὶ διὰ πάντων τὴν ἀνθρωπείαν φύσιν κοσμήσας, ὥσπερ ἐν τῷ προσλαβεῖν αὐτὸν τὸν ἀναμάρ-

47. Igitur nulla vocum pedestrium atque humanarum ad Deum tolli poterit, nisi, quantum fieri potest, inter eum et nos congruenter astruatur. Hæc vero res comparatur regi qui, divitiis abundans et luxu resplendens, vestem induit exiguam ad certum finem. Sed cur non dicam Deum etiam pastorem dici? et quod parvis rebus animum applicuerit, sicut is qui in Evangelio, nonaginta novem ovibus relictis, quasi spiritualiter eas pasceret, ad eam reperiendam quæ amissa erat, se accinxit; aut sicut architectus, secundum illud: Nisi Dominus ædificaverit domum; ut doceret in solo firmo, neque vero in arena, ædificandum esse; aut custos urbis quæ sine ipso male custodiretur; aut vinitor ut in Scriptura sacra legimus; aut sicut paterfamilias, ut ibidem. Si autem non reapse piscator, sed qui pisces capiendo delectatur propter discipulos qui istam artem strenue exercuerunt; nec mirum si alios munus ejus honorare docuit, sive leo, sive aquila appelletur, e quibus ille quidem animal terrestre rationis expers, hæc e volatilibus sumpta erat. Quid autem, si vermem elegisset? Hoc autem ipse novit; cum enim in Matris Virginis uterum intraret, cum partu inde ederetur et in præsepi reponeretur, hæc omnia secundum carnem quidem, sed more divino et fecit et tulit. Et sicut naturam humanam pro viribus ac dignitate ornavit, eo nempe temporis momento quo incarnatus est, sic humanis quoque nominibus ac vocibus appellatus est. Adeo enim pro nobis humiliatus est ad salutem nostram, ut post incarnationem peccatum et maledictio audiret.

τούτων ἀνθρώπων, οὕτω καὶ ἐν τῷ καταδέξασθαι λέξεις ὁποίας κατ' ἄνθρωπον· καὶ ἐς τοσοῦτον ἐπὶ τὸ μέτριον ἡμῶν συγκατιὼν ἡμέρας, δι' ἣν καὶ ἐσαρκώθη, ὡς καὶ ἁμαρτίαν καὶ κατάραν ἐπικληθῆναι ὄνομα.

48. Qui porro ex istis rebus nomina adeptus est, A eo qui postremo humanam naturam suscepit, terminum terrestrem nunquam abolebit, ut nec eo quod mundi facultatem, aut activitatem quæ felici alioqui ratione vitæ tradita est; quæ æqualitatis contributive vi mortales justificat, et quæ cuivis homini benigne pacificeque amanter opitulatur. Vocabat autem iste terminus, quo Spiritus sanctus etiam per ostentationem nomen suum gerit, sed vaporis et fumi symbolo prophetico nuncupatur; ut breviter dicam, mi frater, cogitationes nostras irreprehensibiles pio animo ad Deum referamus, qui hæc omnia nobis donavit, et cui hoc modo munus datum reddimus.

μη'. Οὕτω τοίνυν ὁ τοιούτοις ἐπικλήσεις εἰς ἀναδοχὴν ὀνόματα καὶ καταδεξάμενος ἐξ ἐκείνων καλεῖσθαι, τέλος δὲ καὶ αὐτὸν ἀναλαβόμενος τὸν ἄνθρωπον, ἐξουθενώσει τὸν γήϊνον ὅρον· ταυτὸν δ' εἰπεῖν τὴν κατ' αὐτὸν δύναμιν ἤδη δέ πως καὶ ἐνέργειαν, τὴν καὶ δι' εὑρέσεως εὐτυχῆς παραδοθεῖσαν τῷ βίῳ, καὶ ἀνταποδοτικὴν ἰσότητος, καὶ δικαιοῦσαν τοὺς βιωτικούς, καὶ τῷ ἀγαθῷ φιλανθρώπῳ καὶ εἰρηναίῳ, καὶ ἀσπαστῶς συμπράττουσαν. Χαίρει δὲ ἂν ὅρος τοιοῦτος ἐπονομαζόμενος οὐ πρὸς μεγαλοπρέπειαν, κατὰ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, συμβολογραφούμενος οὐ πάνυ μεγαλείως ἀτμίδι καὶ καπνῷ προφητικῶς, κεφαλαιώσασθαι δέ μοι τὸν λόγον καὶ ἀπαρτίσαι ταχύ, εἰ μὴ πᾶν, ὦ ἀδελφέ, νόημα τῶν ἐν ἡμῖν οὐκ ἂν πόθεν ἐχόντων μέμψιν, αἰχμαλωτίζομεν εὐσεβῶς εἰς τὸν Θεόν, οὗ δῶρον ἐν ἡμῖν καὶ αὐτό, καὶ οὕτως ἔξεστιν αὐτῷ ἀνταποδοῦναι.

49. Quo alio igitur illum nomine appellemus, B aut excipiamus cognoscamusve, aut qua ratione aliis docendo tradamus? Num secundum ea quæ Paulus in cœlum sublatus mysteria didicit? Humano utique more quæ discere licebat didicit. Homo autem humanum tantum sermonem capiet; igitur res terrestres cœlestibus haud indignæ videbantur. Insuper secundum ea quæ Paulo cœlitus revelata sunt, Joannem psalten inspiratum Filium Dei, non terminum aut Verbum appellare oportuit, sed melius aliquid; forte enim verbum non conferetur Christo supersubstantiali ab iis qui omnia ausi sunt; vox enim subito in nihilum abit; sed nec ipse, nec nos de sermonibus cœlestibus aliquid didicimus. Non enim Paulo sanctissimo ista dicere licuit; quare non prolocutus est.

μθ'. Πῶς ἂν ἐκεῖνον καὶ πόθεν ἄλλοθεν ἢ ὀνομάσωμεν, ἢ δεξαιώμεθα, ἢ γνωσόμεθα, ἢ ἄλλοις ἐς διδασκαλίαν παραδωσόμεθα; ἆρά γε ἀφ' ὧν ὁ Παῦλος ἀρθεὶς ἄνω καὶ μυηθεὶς ἔμαθε; καὶ μὴν ἐκεῖνο μαθὼν ὡς ἐξὸν ἦν ἀνθρώπῳ μαθεῖν ἐμεμαθήκει; ἐξῆν δὲ πάντως κατ' ἄνθρωπον· ἄνθρωπος δὲ οὐκ ἂν μάθοι μὴ οὐχὶ κατ' ἀνθρωπίνην διάλεκτον· ἄρα τοίνυν οὐκ ἀπηξίωται οὐδὲ ταῖς οὐρανίαις τὰ γήϊνα καὶ καθ' ἡμᾶς ῥήματα· πρὸς ταύταις δέ, εἰ καὶ ἐκ τῶν ἄνω μεμυσταγωγημένων τῷ Παύλῳ, ἐχρῆν ἐμπνευσθέντα τὸν ἱερωδὸν Ἰωάννην ὀνομάσαι τὸν Υἱὸν τοῦ Θεοῦ μὴ ὅρον ἢ λόγον, ἀλλά τι κρεῖττον ἄλλο· τάχα γὰρ καὶ ὁ λόγος οὐ παραδεχθήσεται φαντάσθαι τῷ ὑπερουσίῳ Χριστῷ παρὰ τῶν τὰ πάντα τολμώντων, διὰ τὸ τοῦ προφορικοῦ ῥευστὸν καὶ οὕτως ἀνούσιον· ἀλλ' οὔτε αὐτὸς οὐθ' ἡμεῖς οὐδὲν ἐκείνων τῶν ἀνωτάτω ῥημάτων ἐμάθομεν· οὔτε γὰρ ἦν θέμις τῷ ἁγιωτάτῳ Παύλῳ εἰπεῖν ἐκεῖνα, καὶ ἀκολούθως οὐδὲ εἶπεν.

50. Age, sodes, et nos quoque sicut omnes cæteræ C gentes lingua humana loquamur, postea spirituali idiomate res divinas dicturi; virtutem enim et bonum spirituale more divino enuntiamus. Age, Deum, ut ipsi comprehendimus, manifestemus, nempe ex nobis superiorem, ex comprehensibilibus incomprehensum, e terrestribus cœlestem; qui inter res sensibiles immaterialis ac incomprehensibilis est; qui in rerum circumscriptarum numero ubique adest, omnia replet; qui inter res visibiles et limitatas invisibilis et indefinitus est. Quod si nobis hæc tribuis, illico terræ terminus ipse ad præsentem doctrinam non inutilis erit, sensu proprio, ut diximus, adhibitus. Si autem secundum homonymiam tribus aliis terminis logicis circumscribis, hinc fiet ut ipsis quoque totum aliquid et fixum insit, non secundum crassam et materialem naturam. Terminus enim super terra fixus aliter sub terra apparet et collibus, arboribus, fruticetis, spinis, et interdum multiformis surgit et opportuno loco constitutus. Multi enim termini et lapides milliares columnis politis et abacis marmoreis et diversimode inscriptis insistunt. Sed, mi frater

ν'. Ἄφες οὖν, ὦ οὗτος, καὶ ἡμᾶς καθὰ καὶ πᾶν ἄλλο ἔθνος λαλεῖν ἐκ τῶν παρ' ἡμῖν ἀνθρωπίνῃ ὀρθῇ γλώττῃ, αὐτίκα δὲ καὶ πνευματικῇ τὰ τοῦ Θεοῦ ὡς ἐξισχύομεν· ἐπιλεγομένους τὴν ἐν λέξεσιν ἀρετὴν καὶ τὸ κατ' αὐτὰς ἀγαθὸν ψυχικόν, καὶ πνευματικόν, καὶ οὕτω θεοπρεπές· ἄφες διασαφεῖσθαι τὸν Θεὸν ὑφ' ἡμῶν ὡς παρελάβομεν, τὸν ὑπὲρ ἡμᾶς ἐκ τῶν ἐν ἡμῖν καθ' ἡμᾶς, ἐκ τῶν εὐλήπτων τὸν ἀκατάληπτον, ἐκ τῶν περὶ γῆν τὸν ἐπουράνιον, ἐκ τῶν αἰσθητῶν καὶ παχέων τὸν ὑπὲρ πᾶσαν αἴσθησιν καὶ ἄϋλον, ἐκ τῶν περιγραπτῶν τόπῳ τὸν πανταχοῦ παρόντα καὶ τὰ πάντα πληροῦντα καὶ ἀπερίγραπτον, καὶ ἐκ τῶν ὁρατῶν καὶ ὡρισμένων τὸν ἀόρατον καὶ ἀπεριόριστον· καὶ εἴπερ οὕτω δώσεις καὶ ἀφήσεις ἡμῖν, αὐτίκα καὶ ὁ τῆς γῆς ὅρος οὐκ D ἔσται ἡμῖν οὐδ' αὐτὸς ἐς τὴν προκειμένην θεωρίαν ἀσυντελής, κυριολεκτούμενος μὲν αὐτὸς κοινότερον, ὡς προεῤῥέθη, ἐπιμεριζόμενος δὲ λογικωτέρως καὶ τοῖς καθ' ὁμωνυμίαν τρισὶν ἄλλοις ὅροις ὡς ἐγχωρεῖ διὰ τὸ καὶ ἐν αὐτοῖς ἀσφαλὲς καὶ στερεὸν καὶ σταθερόν· οὐ μὴν κατὰ τὸ παχυλῶς καὶ σωματωδῶς ἑστηκὸς καὶ οὕτω βεβηκός· ὁ γάρ τοι περὶ γῆν βεβηκὼς ὅρος ἄλλως ἐν ὀρύγματι θεωρεῖται, καὶ

ἐπαναστήμασι γηλόφων, καὶ δένδροις, ἢ θάμνοις, ἢ ἀκάνθαις, καὶ ἑτέρως δὲ πολυειδῶς ἀνέστασαι, καὶ οὕτως ἐπιτηδείως βέβηκε. Πολλοὶ γὰρ ὅροι καθὰ καὶ μιλιασμοὶ καὶ λίθοις παρασημειοῦνται εἰκαίοις ἀνεστηκόσι, καὶ κίοσιν εὖ ἀπεξεσμένοις καὶ βεβηκόσιν ἐπ' ἀσφαλοῦς, καὶ πλατύτητι ἀβακίων ἐκ μαρμάρων, οἷς καὶ γράμματα ἐντετύπωται. Ἀλλ', ὦ ἀδελφὲ ὀχληρὲ, ἄφες με ἡσυχάσαι τοῦ λοιποῦ, μὴ καὶ ἀνακάμψας εἰς πλέον ἐντρέψω σε, φαινόμενον ἀπαξιοῦν μὴ ὅτι γε τὸν βεβηκότα ὅρον προσαρμόττειν τῷ Σωτῆρι Χριστῷ, ἀλλὰ μὴ καὶ ἄλλην ἐξ ἀνθρώπου λέξιν ὕψος ἔχουσαν καὶ σεμνότητα· ὧν μία μὲν ὁ λόγος, ὃν ὑπὲρ τοὺς ἄλλους αὐτὸς ᾠκειώσατο, ἑτέρα ὁ Υἱός· ἃ δὴ ὀνόματα ἐξ ἀνθρώπων ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ ὡρμημένα εἴπερ ἐθέλεις μέμψασθαι, οὐ μόνον ἐξώλεσέ σοι φρένας αὐτὸς ὁ Θεὸς, ἀλλὰ καταγενήσονταί σου καὶ οἱ δαίμονες τοιούτοις ὀνόμασι σεμνύνοντες δουλικῶς τὸν Θεόν· καὶ οὕτω μὲν ὅρος βεβηκὼς τοῦ Πατρὸς ὁ Υἱὸς ἐξ ὅρου τοῦ περὶ γῆν βεβηκότος λέγοιτο ἂν· ἐξ ἧς γῆς καὶ ἄλλα οὐκ ὀλίγα τῷ Θεῷ ἀνατίθενται ὥσπερ πράγματα, οὕτω καὶ ὀνόματα.

A importune, requiescere me sine, ne denuo te excitem, qui terminum Christo Salvatori injungere non vis et sermonem sublimem et severum pronuntiare; e quibus unus est verbum quod ipse suum fecit, alter Filius. Quæ nomina ab hominibus in Dei Filium collata si tu exprobras, non solum Deus te dementavit, sed dæmones quoque, qui sub illis denominationibus Deo serviliter subjecti sunt, contra te insurgent; et sic terminus fixus Patris Filius a termino terræ infixo dicendus erit. E terra enim res et nomina plurima offeruntur.

να'. Ἡ δὲ γαληνόμορφος καρδία, ἣν ὁ Σωτὴρ εὐφραίνει τεταγμένην εἴτε πεφυκυῖαν ἄλλως ἐν τοῖς δεινοῖς ταράσσεσθαι, κἀντεῦθεν μὴ γαληνῶν, οὐκ ἔστιν ἄλλου τινὸς ἢ τοῦ θεοφιλοῦς ἀνθρώπου· ὃς εὐφραινόμενος τὴν καρδίαν, γλυκὺ θάλος προσώπου κατὰ τὸν παροιμιαστὴν προβέβληται· πάντως δὲ γαλήνη καρδίας ἀπαλλαγὴ πασῶν φροντίδων καὶ μεριμνῶν ἀλλοίων τε καὶ ὁπόσας ἐξ ἐπηρειῶν τῶν ζθενδήποτε πάσχομεν ἄνθρωποι· ἐξ ὧν κορυφούμενα κύματα ἐν ἡμῖν καὶ ταράσσοντα κατὰ τὸ, Τί τεταραγμένοι ἐστὲ διαλογισμῶν ἀναβάσει, ὅσα καὶ κυμάτων ἀνατάσει, καταστορέννυται εἰς πραεῖαν γαλήνην, Θεοῦ κελεύοντος καὶ οὕτως εὐφραίνοντος ἐν τῷ ὑπὲρ ἡμῶν μεριμνᾷν. Δῆλον δὲ ὡς οὐ ψευδογαλήνην ἐνταῦθα δηλοῖ ἡ γαληνόμορφος, καθὸ δηλαδὴ μορφάζουσα ἠρεμίαν οὐκ ἔστι γαλήνιος, ἀλλ' ὡς οὕτω φάναι γαληνοειδής· ἀλλ' ἐπειδὴ μάλιστα τῶν ἄλλων μερῶν τοῦ σώματος ἡ κατ' ὄψιν μορφὴ θάλλουσα καταμηνύει χαίρειν τὸν ἄνθρωπον, καὶ ψυχῆς χαιρούσης ἔνοπτρον τὸ γαληνιῶν πρόσωπον, διὰ τοῦτο γαληνόμορφον ἔφη τὴν καρδίαν, ἧς ἡ χαρὰ τοῦ προσώπου ἐξανίσχει λάμπουσα, χυμὸν προβαλλομένης φλιον καὶ παραφαινούσης ἑαυτὴν ὡς εἰς κάλλος πρωϊνὸν ῥοδοδάκτυλον· καὶ ἄλλως δὲ τῆς μορφῆς εἰς φύσιν μεταλαμβανομένης τοῖς ἁγιωτάτοις Πατράσιν· εἰπεῖν δὲ κατ' αὐτοὺς, εἰς τὴν ἀλήθειαν εἴη ἂν καρδία γαληνόμορφος ἡ φύσει καὶ ἀληθῶς γαληνιῶσα διὰ τὸ εἰς αὐτὸν τὸν Θεὸν εὐφροσύνως ἐλλιμενίσασθαι· οὗ ἡ κατ' εὐφροσύνην γαληνότης ἀκατάκλυστος καὶ ἀδιεχὴς ὡς ὑπὲρ πᾶσαν συνέχειαν διά τε καὶ αἰώνιον αὐτῆς καὶ οὕτως ἀκατάπαυστον· ὡς εἶναι γαληνόμορφον καρδίαν οὐ τὴν μορφαζομένην ὡς εἰς γαλήνην, κατὰ τὸ ἐν τοῖς ἐξῆς πυρσομορφοῦν, ἀλλὰ τὴν ἀληθῶς εὐγάληνον διὰ τὸ κατ' αὐτὴν βέβαιον, ὅπερ ἔσχε διὰ τοῦ βεβηκότος ὅρου Χριστοῦ τοῦ καὶ ἀτρεκεστάτου λόγου, τοῦ καὶ ἐπιτάσσοντος τῇ καταιγίδι στῆναι εἰς αὔραν, καὶ ταπεινοῦντος τὰ κύματα· ὥστε συνοχὴ τῆς κατὰ γαληνόμορφον καρδίαν ἐννοίας, ὁ εἰρημένος βεβηκὼς ὅρος, ὁ ἀτρεκὴς λόγος, ὁ καὶ ἐπιτάξας πρὸς ἀλήθειαν καὶ αὐτίκα ποιήσας βεβηκυῖαν γαλήνην εἶτουν σταθερὰν, δι' οὗ ἀτρεμίζονται παντοῖα κύματα, ὡς καὶ τῶν ἀνέμων καὶ τῆς θαλάσσης ὁποίους ἂν καὶ αὐτοὺς καὶ ἐκείνην ἐκλάβοιτό τις, ὑπακουόντων αὐτῶν.

B 51. Cor serenum quod Salvator tentat et ærumnis objicit ita ut in trepidationem abeat, penes pium tantum invenitur; hic enim lætificans animum, secundum Ecclesiasten, vultum serenum monstrat. Certe serenitas cordis curarum et sollicitudinum absentiam quibus mortales vexantur monstrat. Undæ enim quæ corda vestra perturbant et mentem trepidam faciunt, post tempestatem ad tranquillitatem redeunt; Deus enim jubet et curas vestras ex animis vestris eripit. Manifestum est autem quod tranquillitas non tranquillitatis simulacrum exhibet; differt enim inter speciem et realitatem. Quemadmodum enim inter cætera corporis membra vultus serenus hominis lætitiam ostendit, et quemadmodum facies serenitatis speculum est, sic cor dixit serenum cujus gaudium in vultu resplendet; roseus enim ei color insidet; quæ quidem sanctorum quoque Patrum opinio fuit, quorum veracitati non resistet qui cor serenum habet, et quod in Deo ut tuto portu refugium quærit. Ea enim vera serenitas non interrupta æterna erit. Cor enim lætum non opus habet ut lætum sistatur et inflammetur. Vera enim tranquillitas e termino Christo et genuino Verbo prodit quod vel tempestati imperat et undas subigit. Terminus igitur fixus, verbum tutum cordi tranquillitatem largitur. Illud enim serenitatem stabilit, et sic omnes undæ immobiles redduntur; venti enim ac mare Dei jubentis dicto obediunt.

νβ'. Τὸ δὲ ἐκτελεῖ οὐχ ἁπλῶς κεῖται ἀντὶ τοῦ ποιεῖ, ὅθεν λαβών τις ποιητικώτερον εἶπεν ἂν εὖ ποιεῖ, ἢ καὶ ἄλλως οὐσιοῖ ἢ ἀρτοῖ· ἀλλὰ δῆλον ὅτι ποιεῖ μὲν καρδίαν γαληνόμορφον, πλὴν οὐκ ἄλλως ἀλλὰ τελεταρχικῶς καὶ κατά τινα τελετὴν ἁγίαν

D 52. Illud ἐκτελεῖ porro pro ποιεῖ legitur; poetarum enim more sensa exprimere voleus melius οὐσιοῖ aut ἀρτοῖ dixisset. Sed sine dubio cor serenum reddit, sed cum sanctione quæ homines perfectiores reddit. Ubi enim quis serenitatem

secundum Deum, postea secundum hominem, fieri dicet, ut hinc perfectum dicit eum qui sancte lætatur? Si autem cor non indefinite dicit, sed cum articulo et definitione generali, brevi cor Dei amans revelabitur. Talibus enim hominibus cordis serenitatem impertitur, efficiens quæ promisit. Sed non pro corde ipso misericordia hoc quidem loco accipienda est, sed ad animam ipsam recurrendum est, quod etiam facere vult is qui dicit quod cor et caro ipsius in Deo exsultant; non enim cor ad aliquid quod carnis particeps non est relegat. Patet autem quod per cor variationis ergo spiritus intelligi debet. Quære etiam David postquam dixit spiritum contritum, cor contritum addit. Per hanc enim præcipuam partem, quæ principii loco in nobis est, vita humana et omnis virtus spiritalis et cogitationes spiritales indigitantur.

A δι' ἧς ἄνθρωποι τελειούμεθα· ποῦ γὰρ ἂν εἴποι τις τὴν κατὰ Θεὸν εὐφρόσυνον γαλήνην κατὰ τὴν ἀνθρωπίνην ποιεῖσθαι, ὡς ἐντεῦθεν καὶ τετελεσμένον ἁγίως λέγεσθαι τὸν κατ' αὐτὴν εὐφραινόμενον; Τὴν καρδίαν δὲ εἰπὼν οὐχὶ ἀορίστως, ἀλλ' οἷον μετὰ προσδιορισμοῦ καθολικοῦ διὰ τὸ ἄρθρον, τάχα ἂν πᾶσιν καρδίαν δηλοῖ· θεοφιλῆ δὲ πάντως ἐκείνην· τὰς τοιαύτας γὰρ ὁ Χριστὸς γαληνομόρφους ποιεῖ, ἐργαζόμενος ἅπερ ὑπέσχετο. Οὐ τὸ σπλάγχνον δὲ αὐτὸ καρδίαν νοητέον ἐνταῦθα, ἀλλ' ἀναβατέον ἐξ αὐτῆς συνήθως εἰς τὴν ψυχήν· ὃ δὴ βούλεται ποιεῖν καὶ ὁ τὴν καρδίαν αὐτοῦ καὶ τὴν σάρκα ἐνθέως ἀγαλλιᾶσθαι φάμενος· οὐ δήπου γὰρ τὴν καρδίαν εἴς τι ἄσαρκον ἐκεῖνο ἀπέπεμψε· δῆλον δ' ὅτι καὶ ταυτόν ἐστι καρδίαν πνεῦμα εἰπεῖν πολυωνυμίας λόγῳ· διὸ καὶ ὁ Δαβὶδ εἰπὼν πνεῦμα συντετριμμένον, ἐπισυνάπτει καρδίαν συντετριμμένην· δι' ἧς καιριωτάτου μορίου ἐν ἡμῖν οὔσης καὶ ἁπάσα δύναμις ψυχικὴ, καὶ τὰ ψυχικὰ δὲ φρονήματα.

B

χικοῦ, καὶ ἡ ἀνθρωπίνη δηλοῦται ζωή ποτε, καὶ

53. Opus dein perfecturus et nos exhortans ne sermonum sectatores simus, quod quidem homini prudenti minus expedit, ut jam veterum aliquis docuit, id præcipit ut perfectæ amicitiæ adhæreamus; ne sermonibus et vanis spebus illecti ut somniatores et mendaces vivamus. Tu igitur quod scriptum exstat nota, et quod ad omnipotentem Deum spectat ob oculos pone. Εὔφρανεν autem Attici dicunt, augmentum naturale adhibere satagentes, sicut in εὐλόγησε, εὐδοκίμησε, εὐμοίρησε, εὐμάρισε, εὗρε, εὐτύχησε, εὐκρίνησε, et in aliis. Si quis autem η his vocibus præsignare voluerit, communi dialecto se conformans faciat. Nota autem quod dictio superius prolata, ἔργον γὰρ περάνας εὔφρανε φίλους, duobus in locis falsa est; participium enim æque ac verbum ipsum male se habet. Quando enim quartus pes spondeus est cum finali, et ἐκπεράνας ut τύψας aut λέξας, etc., profertur, quintum quoque pedem brachycatalectum habet contra normam, quasi iambus aut trochæus esset. Itaque non facile est versum secundum communem nostrum iambeium scandere ac metiri. Si quis autem arte critica usus et more ionico scripserit ἔργον γὰρ ἐκπέρανεν, aut εἰς πέρας ἤγαγεν εὐφραίνων, aut εὐφράνας φίλους, pes quartus neque nimis longus, neque quintus nimis brevis erit, et sic voci justi iambi formam dabit. Si autem sic scribendum esse alicui probabimus, jam non errabimus. Quod autem περαίνειν sæpe cum περατοῦν congruit, τὸ τελειοῦν quoque indicat. Quod autem πειραίνειν aliud quid valet, id aliunde cognosci potest.

C

D

νγ'. Τὸ δὲ ἔργον γὰρ ἐκπεράνας, καὶ ἐξῆς παιδεύειν ἀριδήλως ἡμᾶς βούλεται μὴ λόγους φιλεῖν, ὅπερ οὐ στέργει ἄνθρωπος φρονῶν, καθά τις φθάσας ἐγνωμάτευσεν, ἀλλὰ σπεύδειν ἐργάζεσθαι τὰ πρὸς ἐντελῆ φιλίαν· ἵνα μὴ λόγων μόνων καὶ τῶν ἐντεῦθεν ἐλπίδων ἀπαιωρούμενοι, ὡς ἐν ὀνείροις ζῶμεν, γλυκέως ἐλπιδοκοπούμενοι καὶ τὸ δαιμονικὸν ψεῦδος οὕτω παῤῥησιάζοντες· σημείωσαι δὲ τὸ ἐνταῦθα γραφὲν ἔργον, καὶ τὰ κατ' αὐτὸ θεῖα ὧν ἕνεκεν παντουργὸς ὁ Θεὸς, ὡς ἐν τοῖς ἑξῆς φανεῖται. Τὸ δὲ εὔφρανεν Ἀττικοὶ λέγουσιν, ἀρκούμενοι τῇ κατὰ φύσιν αὐξήσει τῇ τοῦ ἐνεστῶτος, καθὰ καὶ τὸ εὐλόγησε, καὶ εὐδοκίμησε, καὶ εὐμοίρησε, καὶ εὐμάρισε, καὶ εὗρε, καὶ εὐτύχησε, καὶ εὐκρίνησε, καὶ ὅσα τοιαῦτα. Εἰ δέ τις τὸ η προκαθίζει τῶν τοιούτων λέξεων, χειροτονείτω ἐκεῖνο ὡς βούλεται χαριζόμενος τῇ κοινότητι· σημείωσαι δὲ ὅτι τὸ προσεχῶς ἐξηγημένον ἔπος, τὸ, ἔργον γὰρ ἐκπεράνας εὔφρανε φίλους, ἐν δυσὶ τόποις ἔσφαλται, δυσπαθοῦν κατὰ τὴν μετοχὴν καὶ τὸ ῥῆμα. Ὅταν γὰρ ὁ τέταρτος πούς σπονδεῖός ἐστιν ἐκτείνων τὴν λήγουσαν τοῦ ἐκπεράνας κατὰ τὸ τύψας, καὶ λέξας, καὶ τὰ ὅμοια, καὶ τὸν πέμπτον δὲ πόδα βραχυκατάληκτον ἀσυνήθως ἔχει ὡς εἴπερ ἦν ἴαμβος ἢ τροχαῖος, καὶ ἔστι διὰ τοῦτο ὑποδύσκολον ἐκθεραπεῦσαι τὸν στίχον ὡς μετρηθῆναι κατὰ τὸ παρ' ἡμῖν ἄρτι κοινὸν ἰαμβεῖον. Εἰ δέ τις κριτικῷ λόγῳ μετεγράψει αὐτὸ οὕτως, ἔργον γὰρ ἐκπέρανεν, ἰωνικῶς, ἤγουν εἰς πέρας ἤγαγεν, εὐφραίνων, ἢ εὐφράνας φίλους, τό τε προκείλιον τοῦ τετάρτου ποδὸς θεραπεύσει, καὶ τὸ τοῦ πέμπτου ἀγαρόν· καὶ οὕτως εἰς ὑγιὲς ἰαμβεῖον ἔπος αὐτὸ μεταγάγῃ. Εἰ δέ τινι ἀπάδομεν οὕτω χρῆναι γράφειν λέγοντες, ἀλλ' ὅτι παρεσημειωσάμεθα τὸ οὐ πάντῃ σύνηθες, ἁρμοσόμεθα εἰς ἄμεμπτον· ὅτι δὲ τὸ περαίνειν μὲν, ὡς ἐπὶ πολὺ τὸ περατοῦν δηλοῖ καὶ τελειοῦν· τὸ δὲ πειραίνειν ἀλλοῖόν τι σημαίνει, ἑτέρωθεν ἔστι γνῶναι.

54. Amicos Christi sanctos apostolos secundum sanctum Evangelium appellat poeta. Quod porro Dei præsentiæ et operationum signa et indicia sunt tempestates et ventorum impetus, maris turbines et fervor, aer obscurus, æther violentus, cœli

νδ'. Φίλους δὲ τῷ Χριστῷ τοὺς ἁγίους ἀποστόλους ἀκολούθως τῷ ἁγίῳ Εὐαγγελίῳ εἶπεν ὁ μελῳδός· ὡς δὲ θείων παρουσιῶν καὶ ἐνεργειῶν ἄλλα δῆτα τὰ καὶ ἐνεργειῶν ἐπίσημά εἰσι καὶ παράσημα, αἰγίδες καὶ καταφοραὶ ἀνέμων, ὧν ἀποτέλεσμα καὶ

ἀγριότης θαλάσσης, καὶ ἀὴρ σκοτόεις, καὶ σκυθρωπότης αἰθέρος, καὶ ἄχος οὐρανοῦ, καὶ τῶν περὶ γῆν ἀνακίνησις, οὐδεὶς ἀγνοεῖ. Ἔγνωσται δὲ ὁμοίως καὶ αὐτὴν τὴν κτίσιν συνεκπολεμεῖν τῷ Θεῷ καθ' ἡμᾶς, ὅτε αὐτὸν εἰς ἀγανάκτησιν ἐρεθίσομεν· ἐνταῦθα μέντοι εἰς τοιοῦτον οὐδὲν ὑπουργοῦσι τῷ Σωτῆρι Χριστῷ ἡ μελῳδημένη βιαία πνοὴ καὶ τὰ κατ' αὐτήν· ἀλλὰ συμπαρομαρτοῦσι τῇ διανομῇ τοῦ ἁγίου Πνεύματος ὅσα καὶ βασιλεῖ μεγίστῳ δοῦλα σώματα, ἤτοι κελευόμενα, ὡς οὐκ ἐξέφηνεν ἐμφανῶς ὧδε ἡ ἁγία Γραφή· ἢ καὶ ἄλλως ἀκέλευστα ὡς δοῦλα ὑποκινούμενα ὀφειλετικῶς εὐδοκίᾳ Θεοῦ, καὶ αὐτὸ ἐπὶ αἰσχύνῃ τῶν λογικῶν ἡμῶν ἀχρηστοδούλων, οἳ τῷ κοινῷ Δεσπότῃ πρὸς οὐδὲν εὐχρηστούμεθα· καὶ ἔστι μυρία ὅσα ἐνταῦθα Γραφικὰ συναγαγέσθαι χρηστὰ πρὸς λόγου πίστωσιν, καὶ πρὸς ἀπόδειξιν τοῦ μὴ ἂν ἀεὶ ἐκφωνεῖσθαι, ὡς ὅτι κελεύσει θείᾳ τὰ κατὰ κόσμον φοβερὰ ἡμῖν ἐμβριμῶνται, ἢ ἐπιτίθενται, ὡς δοκεῖν καὶ αὐτὰ καθ' αὐτὰ οἷον οἰκοθεν ζηλοῦντα βλάπτειν, θεόθεν παραχωρούμενα.

A ira, terræ motus, nemo ignorat. Notum vero est quod ipsa creatio secundum nos Deo adversatur, quando ipsum ad iram lacessimus. Hoc autem loco Christo Salvatori spiritus violentus, de quo poeta loquitur, nullatenus inserit, sed Spiritui sancto, ut regi maximo corpora servilia imperanti obtemperant, ut Scriptura sacra hoc quidem loco minus clare indicat, aut alio modo, sicut corpora serva Dei gloriæ more debito inserviunt, idque ad confundendos nos servos inutiles, qui communi Domino nulla in re prosumus; ad quod probandum sexcentos Scripturæ sacræ locos congerere liceret quibus probaretur, nutu divino visionibus terrificis nobis interminari, ut eas vere a Numine ipso ad nos castigandos missas credamus.

νε'. Ἔβρεξε μὲν οὖν πῦρ ὁ Κύριος, καὶ ἀπέστειλε καταιγίδα· ἐγένοντο δὲ ταῦτα καὶ ἄλλως εἰς κάκωσιν δίχα ἱστορικῆς ἐπισημάνσεως, εὐδοκούμενα σιωπηλῶς· οὕτω καὶ ἐπιβλέπων ἐπὶ τὴν γῆν ποιεῖ τρέμειν αὐτήν, ὡς ἐκεῖνος οἶδε καὶ τοῦτο ποιεῖν. Οὐκοῦν καὶ ἐνταῦθα τῇ τοῦ θείου Πνεύματος τοῦ ἄνωθεν παρακλήτου ἀποστολῇ καὶ ἐναργεῖ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ, παρακολουθοῦσιν ἀναγκαίως καὶ φρικτά τινα Θεῷ ἐπιτρέποντι· πνοή τε, φησὶ, βιαία καὶ πυρὸς γλωττήματα καὶ πνεύματι ἀγαθῷ καὶ πραϋτάτῳ ψυχὰς ἀνακτωμένῳ καὶ οὕτως εὐκταίῳ, παρομαρτεῖ πνεῦμα βίαιον, ὡς οἷα φιλοτιμούμενον καταπνέειν καὶ ἠχητικῶς ὑποσαλπίζειν καὶ παρασημαίνειν ἐνδημίαν ταύτην βασιλικὴν, καὶ πυρὶ θειοτάτῳ θάλποντι μὲν καὶ φωτίζοντι καὶ ζωογονοῦντι, ἀλλὰ δὴ καὶ ὡς οἷον ἐργατικῶς τὰ δέοντα ἐκφλογοῦντι, καὶ παράγοντι, ναὶ δὴ καὶ ἀφέψοντι τοὺς τῷ πνεύματι ζέοντας καὶ τῇ ἐκείνου τραπέζῃ προσήκοντας ὅσα καὶ βρῶμα θεῖον καὶ θυσίαν φίλην τῷ Θεῷ· ἄλλως δὲ καὶ καταναλίσκοντι αὐτῆς ἐπεξελεύσεως ἄξια· συντρέχει καὶ πῦρ ἀέριον τὸ ἀΰλῳ πυρὶ ἐκείνῳ καὶ ζωηφόρῳ συνεξαστράπτον τούτου Πνεύματος, φῶς τι καὶ ἐκ τοῦ αἰσθητοῦ οἱ διπλοῦν πορίζοιντο ἀγαθόν.

B 55. Igitur Dominus ignem cœlitus demisit et tempestates; quæ omnia tacite et quin historia enarret, in perniciem induxerunt. In terram enim respiciens, eam tremefacit. Igitur hic quoque Spiritus divini missione ac visitatione necesse est ut terriculamenta, Deo permittente, subsequantur. Ventus enim violentus ac linguæ ignitæ Spiritum optimum et dulcissimum qui animas captivat post flamina violenta adducit, qui Regis adventum tuba indicat et igne divino illuminat et vivificat et quæ necessaria sunt illustrat et spiritu calefactos ad cibi divini participationem et Deo gratam cœnam invitat; qui quidem spiritus cætera consumit et dissolvit et in nihil reducit quæcunque illo adventu indigna sunt. Sed ignis quoque aereus et flammas C ciens simul descendit ut cum terrore consolatio quoque appareat, et igne invisibili sancti Spiritus spectatores ex visibili aliquid assumant et loco simplicis boni duplex bonum recipiant.

νς'. Εἰ δὲ καὶ εἰς γλώσσας πυρίνας τὸ ἀέριον ἐκεῖνο πῦρ ἐσχημάτιστο, ἀναμὶξ τῇ βιαίᾳ πνοῇ συμφερόμενον, ἄλλο καὶ τοῦτο θάμβος τοῖς θεαταῖς· τὸ μὲν οἷς ἐξέπληττε γλωσσοποιούμενον τὸ μὴ περυκὸς οὕτω μεταπλάττεσθαι· τὸ δ' ὅτι ἐπληροφόρει οὐκ ἔτι τοὺς Θεοῦ φίλους· ἀποστόλους γλώσσαις χρήσεσθαι ταῖς περὶ γῆν, ἃς καὶ γλωττοπέδη φυσικὴ καταργεῖ, καὶ σίδηρος ἀπάγει, καὶ φόβος ἐγκλείει, καὶ ἀπορία κατασιγάζει, ἀλλὰ οὐρανίαις καὶ οὕτως ἐνθέοις καί γε ἀπαθέσιν· ἀλλὰ καὶ οἷαις ἐμπιπρᾷν πᾶσαν ὕλην ἀθεΐας ὅσα καὶ εὐέξαπτον ἄχυρον εἴτε φρύγανον, καὶ φωτειναῖς δὲ καὶ λαμπραῖς διὰ τὴν θεολογικὴν ἔκφανσιν· ἀλλὰ καὶ πανσόφοις ὡς πυρὸς μένος πνέειν, οὔκουν τοῦ κατὰ ῥητορείαν ἢ λόγου σοφιστείαν, τοῦ δὲ κατὰ τὸν ὑπέρσεμνον Κύριον, ὃς καὶ τοιοῦτον πῦρ ἦλθε βαλεῖν εἰς τὸν κόσμον· φῶς αὐτὸς εἰς ἐκεῖνον ἄλλως ἐληλυθὼς, καὶ τοὺς

56. Si autem ignis ille æthereus in linguas igneas flamine violento divisus est, novum id spectantibus terriculamentum exstitit. Linguarum enim igearum species contra naturam transformavit et Dei amicis apostolis facultatem impertivit omnibus per orbem linguis loquendi, quas ordo naturalis constringit et ferrum abigit, et metus concludit, et dubium silere facit. Istæ enim linguæ eæ sunt quæ D omnem impietatem sicut paleam comburunt, et vi theologica lucem et claritatem extendunt, imo et omniscientiæ ignem efflant et doctrinæ fontes recludunt, ipsumque Dominum maxime venerandum qui venit talem ignem super mundum projecturus. Ipse lux apparuit et philosophos mundanos, quorum lingua resonuit, in terram vocavit; initiatores autem cœlestes et divinos ibidem recondidit, nubem igniferam monstrando, et linguas spirituales

ignitas in angelicas transformando quæ humanis linguis superiores essent, quippe quæ Spiritus dactylo tactæ essent, et quæ mundo salutaria essent psallendo resonarent, ut etiam ii qui a sanctis discipulis initiati essent novis linguis loquerentur mirum in modum secundum David, linguis dico quas nunquam didicerunt. His enim linguis opus erat loqui contra vanos, et sic Dei Spiritum testari et cœlestia annuntiare. Si enim atheis a linguis labor et difficultas nascitur, piis e contra dulcedo ut mel accedit, ut linguæ antiquorum populorum, quibus lux immensa accensa est et quæ in aerem ascendit, pessimi regis in auxilium, sunt humiliatæ in miserias vitæ humanæ. Præsentis autem festi linguæ et qui iis illuminati sunt Deo regum Regi se addixerunt. Trinitatis enim ignem continent, qui res exteras non comburit. Quia enim cum vento violento desuper venit, non sicut tonitru et contra legem naturalem in linguas flammeas incidit; sed illuminat et perficit mirum in modum eos qui sic illa luce præditi fuerunt, et tanquam vento violento qui Spiritus sancti virtuti inest, ad Patrem luminum perducit.

μὲν σοφιστὰς τῶν γηΐνων, ὧν ἡ γλῶσσα διῆλθε, προσφυῶς εἰπεῖν, ἐπὶ τῆς γῆς ἀπήγαγε· τοὺς οὐρανομύστας δὲ καὶ θεορρήτορας ἀντεισαγαγὼν ἐπαῤῥησίασε γλωσσόκομον, οἷον αὐτοῖς παραφήνας τὸ πυρίμορφον ἐκεῖνον νέφος, καὶ πνευματοφόροις γλώσσαις ὡς οἷον ἐν πυρὶ τὰς ἐκείνων στομώσας καὶ ἐμπυρεύσας ἀγνῶς εἰς ἀγγελικὰς, ὡς ὑπερβάντας γλῶσσαν ἅπασαν τὴν κατ' ἄνθρωπον, ἀγγέλων γλώσσαις λαλεῖν, ψηλαφωμέναις δακτύλῳ Πνεύματος, καὶ ψαλλούσαις καὶ ἀπηχούσαις τὰ τῷ κόσμῳ σωτήρια· ἵνα καὶ οἱ διὰ τῶν ἁγίων μαθητῶν μυσταγωγούμενοι λαλούντων γλώσσαις καιναῖς, λέγοιεν μετὰ θαύματος ἐκ τῶν τοῦ Δαβὶδ γλώσσας ἀκοῦσαι ἃς ἔγνων οὐδέποτε· καὶ ὡς ἐχρῆν κατὰ τῶν λήρων γλωσσαλγιῶν γλώσσας ταύτας ἐνθέους πεμφθῆναι οὐ δυσπραγούσας ἀλγεῖν, ἀλλὰ τεθεραπευμένως λαχούσας λαλεῖν· καὶ ὡς τοῖς μὲν ἀθέοις κόπος καὶ πόνος ὑπὸ ταῖς γλώσσαις, τοῖς δὲ ἐνθέοις ἡδυσμα ὑπὲρ μέλι, καὶ ὡς αἱ μὲν σύμφυλοι τοῖς πάλαι λαοῖς, καὶ ταῖς τότε φυλαῖς γλῶσσαι, ὅτε καὶ ἡ μικροῦ δέουσα πεντηκοντάπηχυς ἐξανῆπτο φλὸξ, καὶ εἰς αἰθέρα ἐφιλονείκει ἀναβῆναι, βασιλέως τε ἦσαν κακίστου, καὶ κάτω συρόμεναι καὶ ταπειναὶ,

καὶ χοῦν συρφετοῦ βιωτικοῦ κατέχουσαι· τῆς δὲ νῦν ἑορτῆς αἱ γλῶσσαι καὶ ὅσοι δὲ σοφίζονται δι' αὐτῶν τοῦ πάνυ ἀγαθοῦ παμβασιλέως Θεοῦ πεφύκασιν· οἱ καὶ περὶ πῦρ ἔχουσι τοῦτο στρεφόμενοι Τριαδικὸν, οὔτε τοὺς ἐντὸς αὐτοῦ φλέγον οὔτε πλαγιάζον καὶ ἐκτρέχον εἰς ἐμπρησμὸν τῶν πέριξ, οὗ τὸ καινότατον καὶ ὅτι ἄνωθεν κατασκῆπτόν μετὰ βιαίας πνοῆς, οὐ κεραύνιον ἐμπίπτει ἀποπάλλον μερισμῷ παραδόξῳ γλώσσας φλογέας, ἀλλὰ φωτίζει καὶ ἀποτελεῖ θαυμάσιον τὸ τοὺς οὕτω φωτισθέντας δι' αὐτοῦ ἀναρπάζεσθαι, ὡς διὰ πνεύματος βιαίου τῆς κατὰ τὸ ἅγιον Πνεῦμα δυνάμεως, εἰς αὐτὸν δὴ τὸν Πατέρα τῶν φώτων.

57. Restat illis nobisque dicere quomodo dictio symbolica, Deum esse ignem, non a mala phœnice desumptum, non eo usque Dominum omniscium perduxisse, ut missis linguis igneis super discipulos suos vivificam Spiritus sancti virtutem opere visibili et quod mentem supernaturalem denotet, indicaret. Unde cognoscimus sermonem quoque apostolicum igneum evasisse, et quod fulgura ratione spirituali apostolis cœlitus immissa sunt, quæ impie audientes non ad cantum excitarunt. Per fulgura autem non simpliciter tonitru voces subaudiendæ erunt, quales aliunde cognovimus, sed tonitru filii. Tonitru enim impellente et ipsi et post ipsos magistri locuti sunt; quo quidem sensu et Joannes tonitru filius, sicut et fulgur divinum istius tonitru effectus est, quia non modo vita Deo digna per virginitatem effulsit, sed etiam theologico sensu. Si autem linguæ secundum gentes linguis opponuntur, apostolicæ quoque non, sicut dictum est, ebrietatis effectus fuere, quippe quo spiritualiter et harmonice inter se conspirant. Quare quæ desuper sunt linguæ, igneæ habendæ sunt.

νζ'. Ἔστι δὲ καὶ ἐκείνοις καὶ ἡμῖν λέγειν, καὶ ὡς τὸ συμβολικῶς μὲν γεγραμμένον πῦρ εἶναι τὸν Θεὸν, οὐ καλῶς δὲ ἐκληφθὲν τῷ κακοσόφῳ φοίνικι, ἐς τοσοῦτον οὐκ ἐνέτρεψε τὸν πάνσοφον Κύριον, ὡς ἰδοὺ καὶ γλώσσαις πυρίναις ταύταις ἐπιπεμπομέναις τοῖς αὐτοῦ μαθηταῖς, τὴν ζωοποιὸν τοῦ ἁγίου Πνεύματος παραδηλοῦν δύναμιν καὶ ἐνέργειαν αἰσθητῷ σεμνῷ πράγματι παραδηλοῦντι νόημα ὑπερφυές· δι' οὗ καταλαμβάνομεν, καὶ ὡς οἷα πυρίνην λαλιὰν γενήσεσθαι τὴν ἀποστολικήν· καὶ ὡς ἀστραπαὶ νοητῶς πληθυνθήσονται θεόθεν τοῖς ἱεροῖς ἀποστόλοις, ταράσσουσαι ψαλμικῶς τοὺς μὴ ἐνθέως ἀκρωμένους· αἱ δὴ ἀστραπαὶ λέγοιντο ἂν οὐ φωναὶ ἁπλῶς βροντῆς, ὁποίαν ἄλλοθι ἔγνωμεν, ἀλλὰ βροντῆς ἔκγονοι· βροντολάλοι γὰρ καὶ αὐτοὶ καὶ οἱ μετ' αὐτοὺς διδάσκαλοι· ὁποίῳ λόγῳ καὶ ὁ θεολογικώτατος Ἰωάννης βροντῆς υἱὸς, καθότι καὶ ἔνθεος ἀστραπὴ τοιαύτης βροντῆς ἔκγονος, διὰ τὸ ἐξαστράψαι οὐ μόνον θεοπρεπεῖ φανότητι βίου διὰ παρθενίας, ἀλλὰ καὶ θεολογικῶς· εἰ δὲ γλῶσσαι γλώσσαις αἱ κατὰ ἔθνη ἀντίκεινται, ἀλλὰ αἱ ἀποστολικαὶ, εἰ καὶ κατὰ τὸν οὕτως εἰπόντα δίχα φρονέουσι τῷ κατὰ δόκησιν μέθης παρακούσματι, ἄλλως γοῦν

συμφωνοῦσιν ἐκεῖναι πνευματικῶς, καὶ εἰς ἓν ἁρμονίας ἔρχονται· ὅτε καὶ ἦν τινας λέγειν, ὡς αἱ μὲν ἄνωθεν γλῶσσαι, γλῶσσαι πυρός.

58. Quod vero ipsæ operantur, non ignis, non fulgoris aut rerum in mundo ignearum opus sunt, sed lucis spiritalis more angelos symbolice transfigurat; quam qui habet, non lumen est singulari-

νη'. Ὃ δὲ αὗται ποιοῦσιν, οὐ πυρὸς ἔργον, οὐδὲ ἀστραπῆς, οὐδ' ἄλλων ὁπόσα πυρά εἰσιν ἐν τῷ κόσμῳ, φλογὸς δὲ νοερᾶς, ὁποία καὶ τοὺς ἀγγέλους οὔκουν εἰδοποιεῖ, ἀλλὰ συμβολογραφεῖ, ἣν ὁ ἔχων

οὔτε φῶς ἐστι καταμόνας, οὔτε νοῦς ὁ τυχών, ἀλλὰ φωσφόρος νοῦς τοῦ τῶν φώτων Πατρὸς ἀποπαλλόμενος, καὶ τῇ κατ' ἄνθρωπον φωτοφανείᾳ ἐνούμενος, καὶ προσεπαύξων τὴν κατ' αὐτὸν ἐνέργειαν, καὶ ἐξ ἀνθρωπίνης μεταποιῶν εἰς θείαν καὶ ἀποστολικὴν, καὶ οἵαν μὴ φαντάζειν, ἢ τοὺς ἁγίους ἀποστόλους, ἢ τοὺς ἀποστολικοὺς εἰς ἑρμᾶς, ἀλλὰ καὶ εἰς φύσιν Θεοῦ θερμότερον, ἵνα Θεὸς θεῶν οὕτω τῶν ἀποστόλων ὁ Κύριος λέγοιτο, ὁ σὺν τῷ πληθύνειν ὁράσεις ποτὲ σεμνῶς πυροέσσας, ἐμφανίσας νῦν καὶ γλώσσας πυρίνας εἰς μυστήριον, ἐκπλήττειν ἅμα καὶ σοφίζειν τοὺς ζητητικοὺς δυνάμενος· οὗ τὸ ἀξιάγαστον ἐπελθεῖν βραχυλογικῶς, οὕτω συμβολογραφεῖται, καθὰ ψάλλει ὁ μελῳδός· Πνεύματος μὲν τοῦ ἁγιωτάτου σύμβολον ἡ πνοή· τὸ δὲ κατ' αὐτὴν βίαιον, τὴν ἐκείνου δύναμιν ὑπογράφει ὡς Θεοῦ τῶν δυνάμεων· τὸ δὲ πῦρ τὸ καὶ φλογερὸν ἅμα καὶ φωτιστικὸν τῆς θεότητος· ὧν ἡ προχείρισις πρὸς τὰ ὑποκείμενα, αἱ δὲ γλῶσσαι σοφίας ἐνδείξεις· ἧς ἀβύσσου παρὰ τῷ Θεῷ ὑπερκεχυμένης ποταμοὶ ἐξερεύγονται τοῖς καὶ πίνειν ἀξίοις, καὶ ἄλλως δὲ ἐξαντλεῖν εἰς κοινὴν ὠφέλειαν. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον καὶ ὑφ' ἡμῶν περιειργάσθω.

ter, neque intellectus, sed mens lucifera e Patre luminum progrediens et illuminationi secundum hominem addita et facultates adaugens, quas ex humanis in divinas et apostolicas, imo in naturam Dei calidiorem transformat, ut Deus deorum sic apostolorum Dominus vocaretur, qui visiones igneas multiplicare, et nunc linguas ignitas in mysteriis manifestare, eos autem qui circa quæstiones versantur permovere et ad mentem reducere valet; cujus miracula, ut breviter dicam, symbolice repræsentantur, ut poeta cantat: Spiritus sancti symbolum ventus; cujus porro vim sicut Dei virtutum exprimit, ignem autem fulminantem et illustrantem divinitatis opus exhibet, cujus præsentia ad res præsentes spectat, et qua in re linguæ sapientiam indicant; cujus etiam abyssi apud Deum flumina iis fluunt qui inde bibere et ista ad communem utilitatem exantlare digni sunt. Sed hæc hactenus.

νθ'. Ἡ δὲ βιαία πνοὴ πρὸς διαστολὴν μὲν εἴρηται μὴ τοιαύτης πνοῆς, ὁποία τις καὶ ἡ καθωμιλημένη αὔρα πραεῖα, καὶ τὸ διασυρίζον πνεῦμα τῆς δρόσου. Ἔστι δὲ οὐχ οὕτω βιαία, ὡς ἡ τοῦ νότου ἡ τὴν Ἐρυθρὰν θάλασσαν κατατεμοῦσα εἰς διαιρέσεις, καὶ ἡ τοῖς τέκνοις τοῦ μακαριωτάτου Ἰὼβ οἶκον ἐπικατασείσασα εἰς ἀπώλειαν. Διὸ οὐδὲ καταφορικῶς νῦν τὸ πνοὴ βιαία εἴρηται, ἀλλ' ἐπὶ σεμνότητι μᾶλλον· βιαία γὰρ ἡ ἰσχυρὰ καὶ ἐνδύναμος, καὶ λέγεται οὕτω παρὰ τὴν βίαν, ἥτις ἦν δύναμις ἐν τοῖς πάλαι, καὶ ἔπαινον εἶχε πολύν· διὸ καὶ τὸν βίον αὐτὴ πράγει. Ὁ γὰρ ἅλις ἔχων τοῦ κατὰ κόσμον βίου, ἐκεῖνος καὶ δύναμιν πλουτεῖ πολυειδῆ· τὴν μέντοι παρὰ τοῖς ἄρτι λεγομένην βίαν τὴν ἀπάνθρωπον καὶ τυραννικὴν, καὶ δι' αὐτὴν κολαζομένην κατ' ἐκβίκησιν, ὑπέρβιον ὕβριν οἱ σοφοὶ ἔλεγον· οἴδασι δὲ καὶ οἱ πεζολόγοι ῥήτορες ἐπὶ ἀναρέτου σημασίας τὸ βίαιον ἐπιχείρησίν τινα γενναῖαν λυτικὴν ἀντιθέσεως τῷ τοῦ βιαίου καλοῦντες ὀνόματι· τὴν δὲ λέξιν τοῦ γλωττήματος ὅθεν εἴληφεν ὁ μελῳδὸς οὐκ οἶδα. Εἰκὸς δὲ ἐν τῷ μυρίῳ καὶ ἀπεριελεύστῳ λεκτικῷ χύματι, ψιάδα παρεγκεχύσθαι που ἡμῖν ἀθεώρητον τὸ γλωττῶ γλωττήσω· ἐξ οὗ καὶ ἡ γραμματικὴ λέξις τὸ γλωσσηματικόν. Καταγλώττισμα μέντοι οἴδαμεν ἐκ τοῦ καταγλωττίζω ῥήματος, καὶ ἄλλα δὲ τοιαῦτά τινα, ἐν οἷς καὶ ὁ κατεγλωττισμένος. Εἰ δὲ λάλον ὕδωρ ἐρρέθη που δεξιῶς, εἶποι ἄν τις καὶ λάλον ταύτην τὴν πνοὴν ἐνθέως τε καὶ οὐδὲ ἀπροσφυῶς, διὰ τὰ εἰρημένα καταγλωττήματα μετὰ τῆς διειλημμένης πνοῆς.

59. Violentus porro ventus ab eo distinguitur qui dulci aura adest et qui vocem agitat. Non est tamen violentia venti qui mare Rubrum in partes divisit, et qui beatissimi Job filios ædificii sub ruina consepelivit. Quare etiam nunc quidem non ob violentiam, sed propter solemnitatem ventus prædicatur. Violentia enim fortis est et a vi derivatur, quæ apud antiquos virtus sonat et de quo multus sermo est. Hinc enim vita quoque originem ducit. Qui enim multum vitæ humanæ habet, is quoque virtute magna pollet. Quæ autem apud nostrates vis tyrannica et inhumana audit, quæque a legislatoribus pœnam dat, eam philosophi nimiam insolentiam vocitarunt. Sed pedestres quoque scriptores cum voce βίαιον antithesin conjungunt et hoc sensu adhibent. Unde vero γλωττήματος vocem poeta sumpserit ignoro. Forte autem in vocabulorum turba guttula per γλωττῶ γλωττήσω distillavit, unde etiam apud grammaticos γλωσσηματικόν. Καταγλώττισμα quidem a verbo καταγλωττίζω derivatum novimus, ut et alia similia, ut κατεγλωττισμένος. Quod si alicubi aqua loquens legitur, ventum quoque loquentem divinitus et mediate dixerit, ob καταγλωττήματα vocem cum vento diviso.

ξ'. Τὸ δὲ, νείμας τὸ Πνεῦμα, ταὐτόν ἐστι τῷ διαμερίσας· μερίζεται δὲ αὐτὸ οὐκ ἄλλως ἀλλ' ἢ κατὰ τὴν ἑκάστῳ καὶ τότε δεδομένην καὶ μέχρι νῦν δεδομένην χάριν ἐκ τοῦ Θεοῦ, ὃς ἄλλοις ἄλλα δίδωσιν ὡς ἐκεῖνος ἐπικρίνει, καὶ οὐδ' ἂν παύσηται ποιῶν τοῦτο διαπαντός. Εἰ δέ τις ἄλλον τινὰ βλέπων πλεονεκτοῦντα χαρίσμασι βιάζεται τὸ ἐκ περισσοῦ, οὐκ ἂν ὀκνήσῃ ὁ χαριτοδότης Θεὸς εἰπεῖν καὶ πρὸς ἐκεῖνον, ὡς Ἀρκεῖ σοι ἡ χάρις μου· προθέμενος ἴσως καὶ τὸ, Ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Εἰ γὰρ

60. Quod deinde νείμας Spiritum dicitur, idem est ac διαμερίσας. Distribuitur autem non aliter ac secundum gratiam quæ cuique data est a Deo, qui aliis alia distribuit, sicut ille quidem judicat, et quod facere nunquam cessabit. Si quis autem alium gratia superabundantem videns vim inde patitur, Deus charismatum dator dicere poterit ad eum: « Sufficit tibi gratia mea; » addens illud quoque: « Virtus mea in debilitate perficitur. » — « Si tu enim debilis es, nulla ex me sumpta gratia, ego, inquit,

in virtute mea debilitatem implebo. » Sciendum autem quod illud νείμας, quod derivatur a νέμω, unde et νόμος, indicat, quod hodierna Spiritus distributio apostolis et discipulis Christi in legem abierit, ut, distributione rite facta, secundum præceptum nostrum, nobis Israelitis legislatores facti sunt, qui per ipsos mentes Deum videntes facti sumus.

καὶ σὺ ἀσθενεῖν φῄς, μὴ λαβὼν ἐξ ἐμοῦ χάριτος ἐπιβολήν, ἀλλ' ἐγὼ, φησὶ, τῇ ἐν ἐμοὶ δυνάμει ἀναπληρώσω τὴν κατὰ ἀσθένειαν. Ἰστέον δὲ καὶ ὅτι τὸ νείμας, οὗ προκατάρχει τὸ νέμω, ἐξ οὗ ὁ νόμος, ἐμφαίνει καὶ εἰς νόμον γενέσθαι τοῖς ἁγίοις ἀποστόλοις καὶ μαθηταῖς τοῦ Χριστοῦ τὴν σήμερον διανομὴν πρὸς αὐτοὺς τοῦ ἁγιωτάτου Πνεύματος, ὡς καὶ ἐν τοῖς ἑξῆς φανήσεται· ὥστε ταύτην εὖ διαθέμενοι καθὰ ὑπὲρ ἡμῶν ἐνετάλθησαν, καὶ νομοθέται γεγόναμεν ἡμῖν τοῖς κυρίως Ἰσραηλίταις, οἳ δηλονότι διὰ μέσων αὐτῶν καὶ δι' αὐτοὺς νέες τὸν Θεὸν ὁρῶντες γεγόναμεν.

61. Ὑπέσχετο deinde, quod dicit, syntaxeos normam transgreditur. Illud quoque Ἔργον γὰρ ἐκπεράνας omnes operis divini partes superat. Salutanda vero vox ὑπέσχετο ab ὑπέσχεν derivata, qua utimur, humilitatis sub specie, in ὑπέσχεν αὐχένα, τὴν χεῖρα, id est, salutandi formula subjecit se manui distribuenti. Sic enim quodammodo etiam Christus Salvator discipulis suis promisit, per condescendentiam sese communicando, et beneficium pollicendo amicis, qui ipsi ad bonum oblatum se accommodare et gratias referre debebant. Quod si aliter ista verba interpreteris, conjunctivum ὑπέσχετο sensum habet. Patet enim quod is qui aliquid promittit, præcipue autem veris amicis, ab his tenetur et quasi debito obligatur. Cum his autem vocibus ὑπισχνεῖσθαι quoque ejusdem naturæ est, sicut et ὑπέσχετο, et alia similia.

ξα'. Τὸ δὲ ὑπέσχετο ἀναχθὲν κατὰ ὑπέρβασιν συντάξεως· εἰς τὸ Ἔργον γὰρ ἐκπεράνας, διαβαίνει ἐκεῖθεν καὶ εἰς ὅλα κατὰ κοινοῦ τὰ τοῦ θείου ἔργου μερικά. Δεξιωτικὴ δὲ λέξις τὸ ὑπέσχετο, ἐξωρμημένη τοῦ ὑπέσχεν, οὗ χρῆσις ἐν τῷ ὑπέσχεν αὐχένα ταπεινώσεως λόγῳ· καὶ ἐν τῷ ὑπέσχε τὴν χεῖρα, ἤγουν ὑπέθετο καὶ ὑποκάτω ἔσχε τῆς δωρουμένης χειρὸς λόγῳ δεξιώσεως. Οὕτω γὰρ τρόπον τινὰ καὶ ὁ Σωτὴρ Χριστὸς ὑπέσχετο τοῖς μαθηταῖς, οἷα συγκαταβάσεως ταπεινοποιοῦ χάριν ἑαυτὸν ὑποσχών· καὶ ἐπαγγειλάμενος εὐεργεσίαν φίλοις ὀφείλουσιν ἑαυτοὺς ἀνθυποσχεῖν εἴς τε ὑποδοχὴν τοῦ διδομένου ἀγαθοῦ, καὶ εἰς ἀπόδοσιν ἀντιχάριτος· καὶ ἄλλως δὲ τῇ λέξει ἐπικλεῖν, συνδετικὴν ἔννοιαν ἔχει τὸ ὑπέσχετο. Δῆλον γὰρ ὡς ὁ ὑποσχόμενός τι, καὶ μάλιστα φίλοις γνησίοις, ἴσχεται ὑπ' ἐκείνων ἢ ἔχεται ἐκείνων, ἢ ἐνέχεται ὥσπερ χρέει. Συστοιχεῖ δὲ τοῖς τοιούτοις ῥήμασι καὶ τὸ ὑπισχνεῖσθαι· ἀκολούθως δὲ καὶ τὸ ὑπέσχετο, καὶ ὁπόσα δὲ ἄλλα τοιαῦτα.

Hirmus tertiæ odæ.

Effregit ventris sterilis vincula,
Injuriamque intolerabilem fecundæ
Sola oratio prophetissæ olim
Annæ, ferentis spiritum contritum
Ad potentem et Deum scientiarum.

Ὡδῆς τρίτης εἱρμός.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας,
Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης
Μόνη προσευχὴ τῆς προφήτιδος πάλαι
Ἄννης φερούσης πνεῦμα συντετριμμένον
Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

62. Hujus tertii carminis nexus juxta quamdam tenuissimam mentem a festivo subjecto dependens, in cætera ipsius textura rebus sanctæ Annæ prophetissæ componitur: hoc fit ex lege psallendi per nexum quem illius oratio parat tertia carmina dirigentibus. Dicit ergo sacer ille poeta, simul pulchrum christianæ consequentiæ precumque systema, necnon sanctam Annam exornans, rem adeo esse pulchram orare, et a Deo meliora precari, ut insolubiles compedes et vincula non parientis ob sterilitatem ventris Annæ, quam Scriptura declarat prophetissam non quoddam donum, qualia magna fiunt apud homines, sed solo Deo chara, precatio mulieris calamitatem patientis, disruperit, illamque tandem liberam in pace per vitam ob fecunditatem ambulare permiserit. Statim autem eadem oratio simul sustulit et injurias aut exprobrationes quas ex invidis patiebatur Anna, ac præsertim ex fecunda beataque ob prolem Phenenna. Qui nihil aliud valentes maledicere contra castam et Deum timentem prophetissam Annam, ex inepta sterilitatis ratione, quasi ratio criminandi inde penderet, calumniabantur eam ut ma-

ξβ'. Ὁ εἱρμὸς τῆς ἐνταῦθα τρίτης ᾠδῆς κατὰ πάνυ βραχύν τινα νοῦν παραπτόμενος τῆς ἑορταστικῆς ὑποθέσεως τῷ λοιπῷ αὐτοῦ ὕφει τῶν κατὰ τὴν προφῆτιν ἁγίαν Ἄννην ἔχεται, νόμῳ εἱρμολογίας ψαλμῳδικῆς, ἣν καὶ ἡ προσευχὴ ἐκείνης ἀρτύει τοῖς μεταχειριζομένοις τὰς τρίτας ᾠδάς. Λέγει οὖν ὁ ἱερὸς οὗτος ποιητὴς, ἀποσεμνύνων ἅμα καὶ τὸ καλὸν χρῆμα τῆς Χριστιανικῆς ἀκολουθίας καὶ εὐχῆς, καὶ τὴν ἁγίαν δὲ Ἄνναν, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστι καλὸν τὸ προσεύχεσθαι, καὶ αἰτεῖσθαι παρὰ Θεοῦ τὰ κρείττονα, ὥστε τὰς ἀλύτους πέδας καὶ τὰ δεσμὰ τῆς διὰ στείρωσιν ἀτεκνούσης γαστρὸς τῆς κατὰ τὴν Ἄνναν τὴν, ὡς ἡ Γραφὴ ἀποδείκνυσι, προφῆτιν, οὐ δωρεά τις, ὁπόσαι παρ' ἀνθρώποις μεγάλαι, ἀλλὰ μόνη φίλη Θεῷ προσευχὴ τῆς πασχούσης τὸ κακὸν γυναικὸς διέῤῥηξε, καὶ ἀπέλυσε λοιπὸν ἐκείνην ἐλευθέραν ἐν εἰρήνῃ κατὰ βίον πορεύεσθαι διὰ τοῦ τεκνοποιήσασθαι. Αὐτίκα δὲ συναπεφόρτισεν ἡ αὐτὴ προσευχὴ καὶ τὰς ὕβρεις εἴτουν ὀνειδισμοὺς, οὓς ἡ Ἄννα ἐκ τῶν ἐριθευόντων κακοζήλως ἔπασχε, καὶ μάλιστα ἐκ τῆς εὐτέκνου Φενάννης, τῆς καὶ πολυτέκνου· οἳ ἄλλο κατειπεῖν μηδὲν ἔχοντες τῆς καθαρᾶς καὶ Θεὸν διοπτευούσης Ἄννης, καὶ διὰ

τοῦτο προφήτιδος, ἐκ τῆς κατὰ τὴν ἀτεκνίαν οὐκ αὐτέχνου αἰτιολογίας, ὡς εἰ καὶ ἔγκλημα ἦν ἐξ αὐτῆς ἐπαγόμενον, ἐκείνην ἐκακολόγουν, οἷα δηλαδὴ ἁμαρτωλὸν οὖσαν, καὶ δι' αὐτὸ καρπὸν κοιλίας ἐκ Θεοῦ μὴ λαμβάνουσαν· λυπησομένην μὲν πάντως καὶ αὐτὴν ἐν τῷ τίκτειν, χαιρήσουσαν δὲ μετὰ τόκον, ὅτι ἐγεννήθη δι' αὐτῆς ἄνθρωπος εἰς τὸν κόσμον, καὶ διὰ τοῦτο μὴ παραχωρουμένην θεόθεν συλλαβέσθαι καὶ τεκεῖν, ἵνα μὴ χαίρειν αὐτῇ γένοιτό ποτε· ἐῤῥάγη δέ, φησίν, ὁ τῆς ἀτεκνίας δεσμὸς τῇ ἁγίᾳ ἐκείνῃ Ἄννῃ, τεκούσῃ οὐ πολλοὺς, ἀλλὰ ἕνα μέγαν, τὸν φερωνύμως θεαίτητον Σαμουὴλ διὰ προσευχῆς, οὐ τῆς ἁπλῆς καὶ ὡς ἔτυχεν, ἣν οἱ πολλοὶ ἄκροις μόνοις ἐκπνέομεν χείλεσιν, ἐξοσιούμενοι ἀναπνεῖν ἅμα καὶ εὔχεσθαι, ἀλλὰ ἣν εὔξατο, προσάγουσα δέησιν μετὰ συντριβῆς ψυχῆς τῷ Θεῷ τῷ πάντα καὶ δυναμένῳ καὶ γινώσκοντι. Καὶ τοιαύτη μὲν ἡ ἔννοια τοῦ ὅλου εἱρμοῦ.

ξγ'. Ὁ δὲ εἷς νοῦς ὁ ἐπὶ βραχὺ τῆς πανηγυριζομένης, ὡς ἔφαμεν, ἑορτῆς ἐχόμενος, τὸ συντετριμμένον ἐστὶ πνεῦμα τῆς Ἄννης, ὃ καὶ αὐτὸ χάρισμά ἐστι ἅγιον τοῖς ἀγαθοῖς ἀνθρώποις θεόθεν, ἤγουν ὥσπερ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, οὕτω καὶ τοῦ ἑορταζομένου ἁγιωτάτου Πνεύματος. Οὐδὲν γάρ ἐστιν ἐν ἡμῖν ἀγαθὸν, ὃ μὴ κατῆλθεν ἄνωθεν· τῶν δὲ ἐν τῷ εἱρμῷ λέξεων τὸ μὲν ἔῤῥηξε ἦν γραφῆναι καὶ ἔλυσε· λύονται γὰρ ὥσπερ δεσμὰ, οὕτω καὶ πέδαι· κατὰ τὸ, *Λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου*· ὑποδῆσαί τε γὰρ καὶ δεσμῆσαι σύστοιχά εἰσι, καὶ ἡ πέδη δεσμός τις οὖσα, ποδὶ παρωνόμασται· διὸ ταυτόν τι *πέδας* λῦσαι, καὶ ἐκ ποδῶν ὑπόδημα λῦσαι. Ἐκδηλον δὲ μάλιστα τὸ ῥηθὲν ἐξ ἑτέρας μελῳδίας, ἐν ᾗ λέγεται ὁ Θεὸς λῦσαι, ταυτὸν δ' εἰπεῖν ῥῆξαι τὰ ἄλυτα τῆς ἀτεκνίας δεσμὰ τῇ μητρὶ τῆς Θεομήτορος. Τοιούτῳ δὲ λόγῳ ἐπ' αὐτῆς ἐλύθη, ὅ ἐστιν ἐῤῥάγη, ὅσα καὶ στερρός τις δεσμὸς καὶ ἄῤῥηκτος ἡ ἀρὰ τοῦ ἐν λύπαις τίκτειν τὰς μετὰ τὴν Εὔαν· ἐκφαίνεται δὲ ἡ ῥηθεῖσα ἰσοδυναμία τοῦ ῥῆξαι καὶ λῦσαι ἐν τῷ, Τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου, ἔλυσε τοῦ θανάτου τὸ κατάκριμα· καὶ οὕτω μὲν εἶχε γράψαι ὁ μελῳδὸς, ἀντὶ τοῦ ἔῤῥηξε, τὸ ἔλυσε· προεκρίθη δὲ ἐνταῦθα τὸ ῥῆξαι τοῦ λῦσαι, καὶ διὰ τὸ σεμνὸν μὲν ἴσως τῆς φράσεως, καὶ οὕτω φάναι, βοιζητικόν· μάλιστα δὲ πρὸς ἔμφασιν καὶ τῆς τοῦ δεσμοῦ στερῤῥότητος, καὶ τῆς ταχυτάτης ἐκλύσεως· ἀκολούθως γὰρ τῷ εἰπόντι δεσμοὺς ἀῤῥήκτους, ἀλύτους· ῥήγνυνται μὲν οἱ σιδηροῖ καὶ ὅσοι οὕτω σκληροὶ ὁμοίως αὐτοῖς· ὁποῖος καὶ ὁ ἐν Ἐφέσῳ ἀργύρεος, ὃν ὁ μέγας Ἀλέξανδρος ἔῤῥηξε κρούσας ξίφει· λύονται δὲ ὅσοι ἀναγνάμπτεσθαι δύνανται· δηλοῖ δὲ τὸ σεμνὸν τῆς λέξεως καὶ ἡ παραγωγὴ αὐτῆς· ἐκ τοῦ ῥῶ γὰρ τὸ δύναμαι καθὰ ἡ ῥῶσις, οὕτω καὶ τὸ ῥήσσειν παράγεται.

ξδ'. Τὸ δὲ γαστρὸς πέδας, διαστολή ἐστιν ἑτεροίων πολυειδῶν δεσμῶν. Οὐκ ἄδηλον δὲ ὡς ἐπὶ ποδῶν κυρίως ἡ πέδη, ὅθεν καὶ παρῆχθαι φαίνεται· δεσμοὶ δὲ πάντως γαστρὸς πολλοὶ, ὅθεν διαστολῆς χάριν κεῖται τὸ ἠτεκνωμένης· δοκεῖ γὰρ πεπεδῆσθαι καὶ νηδὺς ἄτεκνος παρὰ τὸ μὴ εὐδρομεῖν δύνασθαι εἰς τὸ τὰ ἑαυτῆς ἐνεργεῖν. Εἰ δὲ ζητεῖν ἐθέλει τις τί τὸ

A nifestam peccatricem et ideo fructum ventris a Deo non suspicientem : tristitiam enim prorsus etiam in pariendo habuisset; sed post partum, lætitiam, quod ex ipsa homo genitus esset in mundum; et idcirco non obtinuerat a Deo concipere et parere, nequando gaudere ipsi daretur. Ruptum est autem, inquit, sterilitatis vinculum illi sanctæ Annæ, quæ peperit non multos, sed unum magnum, cognomine petitum a Deo, vel Samuel, per orationem, non simplicem, quam plerique summis tantum labiis efflamus, respirare simul et orare sancte studentes, sed quam efflagitabat, supplicans cum contritione cordis Deum, qui cuncta potest et scit. Talis igitur totius nexus sententia.

B 63. Unus autem ille sensus, ut diximus, a dicti solemnitate pendens, contritus est Annæ spiritus, qui et ipse sanctum est charisma bonis hominibus veniens a Deo, seu, quemadmodum a Patre Filioque, sic et a sanctissimo Spiritu cujus festum agimus. Nihil enim in nobis est boni, quod non descendat ab alto. Ex vocibus autem sequelæ, verbum *rupit* poterat etiam scribi *solvit*. Sicut enim solvuntur vincula, sic et compedes, juxta illud : *Solve calceamentum ex pedibus tuis*. Subligare enim vincireque ejusdem sunt ordinis, et cum vinculum quoddam est compes, a pede cognominatur. Ideo idem est solvere compedes, et ex pedibus calceamentum solvere. Maxime vero quod dicimus manifestum est ex alia melodia, qua legi-

C tur Deus solvisse, vel, quod idem est, rupisse insolubilia sterilitatis vincula matris Deiparæ. Simili ratione propter ipsam soluta vel rupta est, quasi solidum quoddam et firmissimum vinculum, maledictio qua in mœrore pariunt post Evam mulieres. Manifestatur autem dicta potestas æqualis verborum *rupisse* et *solvisse*, in hoc : Raptis inferni vinculis, mortis solvit sententiam. Et ita quidem scribere poterat cantor pro verbo *rupit* verbum *solvit*. Hic autem verbum ῥῆξαι verbo λῦσαι fuit antepositum, quia dictio æque honesta est, et, ut ita dicam, sonora; sed præsertim ad ostendendam vinculi duritiem et solutionis celeritatem. Congruenter enim dixit : vincula infragilia et insolubilia ; rumpuntur qui-

D dem ferrea et quæ alia sunt similiter illis dura, quale erat argenteum Ephesi, quod Alexander Magnus ense disrupit ; solvuntur autem quæcunque possunt enodari. Ostendit autem etiam dictionis magnificentiam ejus derivatio : ex ῥῶ namque potens sum, sicut ῥῶσις, sic etiam ῥήσσειν derivatur.

64. Compes autem ventris est distinctio cæterorum vinculorum quæ multiformia sunt. Non obscurum est pro pedibus esse proprie compedem, unde quoque derivari videtur. Ventris autem vincula cum omnino multa sunt, distinctionis gratia ponitur hoc : infecundi. Videtur enim compedibus ligari sterilis uterus, eo quod non excurrere

valet ad eorum quæ sibi propria sunt efficaciam. Si quis autem quærere vult quid prophetissam orbaret prole ; sicut enim omnino sterilitas feminam sterilem reddit, ut scimus, ex humoribus sterilitatem generantibus, sic etiam quod est sterile a quodam sterilitatis auctore sterile factum est ; discet naturæ quidem paralysi, qua multæ afficiuntur matrices, eam fuisse sterilem factam, sed a Deo sanata per sobolem convaluit.

A ἀτεκνοῦν τὴν προφῆτιν· πάντως γὰρ καθὰ τὸ ἀτεκνοῦν ἀτεκνοί τινα, ὡς οἴδαμεν, ἐκ τῶν ἀτεκνούντων ὑδάτων, οὕτω καὶ τὸ ἀτεκνούμενον ὑπό τινος ἀτεκνοῦντος ἀτεκνοῦται· μαθήσεται ὡς πήρωσις μὲν φύσεως ἠτέκνωσεν ἐκείνην, ὁποίας πολλὰς αἱ μῆτραι πάσχουσιν· ὁ δὲ Θεὸς ὑγιώσας εἰς εὐτεκνίαν ἐπέρρωσεν.

65. Intolerandam autem injuriam, violentas, ut dictum est, de carentia prolis exprobrationes, intelligendum est : injuriæ siquidem illæ sunt species, maxime cum in cute mordent audientes, in profundum animæ penetrant ; et tunc intolerabiles sunt ; nam difficile est et exprobrationem passo, dolorem continenti quesique decoquenti non aliquo modo vicissim contristari. Alias autem talis injuria dici potest infrenata, non audienti, sed loquenti : quia cuncti quidem sermones alati sunt, et citi velocesque ex hominum ore volant, et hic etiam manum admovet et convolat diabolus, gaudenti congaudens contumelioso. Sicut enim ei qui irascitur et verbera impingit, ira melle dulcior distillat in pectore, ita etiam ei qui cum ira insultat ; ita ut cum Herodoto dicere possimus quod, sicut ubi vinum bibitur verba proferuntur, ita, quando ira melle dulcior in ejus corde liquefit, insultationes prorumpunt. Nota autem quod poeta calumniam infrenatam rhythmo subjicit, quod quidem e secundo versu patet. Postquam enim in primo dixisset, ventris vinculum ruplit, tum opprobrium intolerabile subjicit, et insultationi vocem *rupit* addit, et nos subaudire vult quod sicut quod prius ruptum est, catena fuit, ita etiam quod postea ruptum fuit, eumdem sensum habet, et quod sine dubio mœror sæpe hominem pungit, idque sæpe magis quam ferrum.

ξε'. Ὕβριν δὲ δυσκάθεκτον τοὺς ἐπὶ τῇ ἀτεκνίᾳ, ὡς ἐρρέθη, καταφορικοὺς ὀνειδισμοὺς νοητέον· ὕβρεως γάρ τι καὶ αὐτοὶ εἶδος, καὶ μάλισθ' ὅταν ἐν χρῷ δάκνουσι τοὺς ἀκούοντας, ἐς βάθους παραδυόμενοι ψυχῆς· ὅτε καὶ ἀκάθεκτοί εἰσιν· ὡς δυσχερὲς ὂν τῷ ὀνειδιζομένῳ κατασχόντι τὴν λύπην, καὶ B ὡς οἷον καταπέψαντι, μὴ ἀντιλυπῆσαι ὁπωσοῦν. Ἔστι δὲ καὶ ἄλλως δυσκάθεκτον ὕβριν τὴν τοιαύτην εἰπεῖν, οὐ τῷ ἀκούοντι, ἀλλὰ τῷ λαλοῦντι· διὸ καὶ πάντας μὲν λόγους πτερόεντας εἶναι, καὶ ὀξεῖς καὶ ταχεῖς ἐκπέτεσθαι τοῦ κατ' ἄνθρωπον τῶν ὀδόντων ἕρκους· ἐπιλαμβανομένου τι κἀνταῦθα καὶ συμπετομένου τοῦ δαίμονος, καὶ χαίροντι τῷ ὑβριστῇ συγχαίροντος· ἵνα, ὥσπερ τῷ ὀργιζομένῳ καὶ πλήττοντι γλυκίων μέλιτος ὁ θυμὸς ἐν στήθεσι καταλείβεται, οὕτω καὶ τῷ μετὰ θυμοῦ ὑβρίζοντι· καὶ γένηται λέγειν, ὥσπερ καθ' Ἡρόδοτον, οἴνου κατιόντος ἀναπλώειν ἔπεα, οὕτω καὶ ἐπὶ τοῦ ἐνδιαθέτως ὑβρίζοντος, ὅτι γλύκιον ἧπερ μέλι καταλειβομένου αὐτῷ θυμοῦ ἐν καρδίᾳ, ὕβρεις ἀναπλέουσι. Σημείωσαι δὲ ὅτι δεσμῷ τινι ὁ μελῳδὸς ὑπάγει καὶ τὴν ἀκάθεκτον ὕβριν· καὶ δῆλον αὐτὸ ἐκ τῆς συντάξεως τοῦ δευτέρου στίχου. Εἰπὼν γὰρ ἐν τῷ πρώτῳ, Ἔρρηξε γαστρὸς πέδας, εἶτα ἐπαγαγὼν ὕβριν τε δυσκάθεκτον, καὶ προσαρμόσας κοινοῦ καὶ τῇ τοιαύτῃ ὕβρει τὸ ἔρρηξεν, ἀφῆκεν ἡμᾶς νοεῖν ὅτι ὥσπερ τὸ ῥαγὲν ἀνωτέρω δεσμὸς ἦν, οὕτω καὶ τὸ κατωτέρω ἐρρηγμένον ὅμοιον ἔχει λόγον· καὶ οὐκ ἔστιν ἀντειπεῖν ὡς οὐ θλίβει πολλάκις τὰ λυπηρὰ τὸν ἄνθρωπον, καὶ χεῖρον δεσμοῦ.

66. Vox autem *prole felicis* convenienter specie distinguit injuriam, ut non putemus Annam simpliciter alicunde contumeliam pati, sed præsertim a mulieribus prole felicibus. Attamen ipsis fuerat cogitandum secundam fortunam non esse necessario bonorum tantum hominum, sed aliquando et improborum, ut ostendit illud : « Accepisti, dives, bona tua dum viveres, et Lazarus similiter mala. » Vos igitur, muliere partu felices, vosque, patres prole gaudentes, ne sic incaute invehamini contra eos qui quidem boni sunt, sed orbitate affliguntur, ne, postquam Spiritum sanctum contristaveritis, mutationem in his quæ sunt ad vos sentiatis, prout judicabit Deus, qui prolem dat et aufert. Memento autem quod non omnino unius bonæ mulieris injuria contristabat Annam : etenim illinc demonstrantur aliæ, nec per istam solum molestari dicitur prophetissa, siquidem multæ ei exprobrabant, Phenennæ fecunditatem, dicentes matrem et ipsam futuram fuisse, si Dei serva, ut ista, fuisset.

ξς'. Τὸ δὲ *εὐτεκνουμένης* ἰδικεύει τὴν ὕβριν ἐπίτηδες, ἵνα μὴ ἁπλῶς ὑβρίζεσθαι νοῶμεν τὴν Ἄνναν ἀπὸ τῶν τυχόντων, ἀλλὰ καὶ μάλιστα ὑπὸ τῶν εὐτεκνουμένων γυναικῶν· καὶ μὴν ἐχρῆν ἐκείνας ἐνθυμεῖσθαι ὡς οὐκ ἐξ ἀνάγκης αἱ εὐπραγίαι τῶν ἐναρέτων μόνον προσώπων εἰσὶν, ἀλλά ποτε καὶ τῶν μὴ τοιούτων, ὡς δηλοῖ καὶ τὸ, « Ἀπέλαβες, ὦ πλούσιε, τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως κακά. » Ὦ γοῦν γυναῖκες εὐτεκνούμεναι, καὶ ὦ πατέρες εὔτεκνοι, μὴ κατεπαίρεσθε ἀπραγμόνως οὕτω D τῶν φανερῶς μὲν ἀγαθῶν, δυσπραγούντων δὲ ἀτεκνίαν, ἵνα μὴ, τὸ Πνεῦμα τὸ ἅγιον λυπήσαντες, μεταστρέψητε τὰ καθ' ὑμᾶς, ὡς ὁ Θεὸς διακρινεῖ, ὁ καὶ διδοὺς παῖδας καὶ ἀφαιρούμενος. Ἰστέον δὲ καὶ ὡς οὐκ ἐξάπαντος μιᾶς ἀγαθῆς γυναικὸς ὕβρις ἐλύπει τὴν Ἄνναν, ἀλλὰ ἦ ἐκ μέρους ἐκείνης καὶ ἄλλα δηλοῦνται πρόσωπα, ἢ δι' ἐκείνην τὴν μίαν λέγεται ἡ προφῆτις βαρύνεσθαι, ὡς πολλῶν προφερόντων εἰς ὀνειδισμὸν αὐτῇ τὸ τῆς Φενάννης εὔτεκνον, καὶ λεγόντων μητέρα καὶ αὐτὴν γενέσθαι ἄν, εἴπερ ἦν θεράπαινα Θεοῦ κατ' ἐκείνην.

ξζ'. Τὸ δὲ μόνη προσευχὴ τῆς προφήτιδος ὑπεξαίρει τῶν ἄλλων θείων προσφορῶν τὴν καθαρὰν προσευχήν, ἣν καὶ αὐτὸ σεμνύνει τὸ κατ' αὐτὴν ὄνομα· εὐχὴ γὰρ ὠνόμασται παρὰ τὸ τοῦ εὖ, ἤγουν τοῦ ἀρίστου, ἔχεσθαι. Εὖ δὲ καὶ ἄριστον καὶ τὸ τελικώτατον ἐν ταῖς ἀρεταῖς, μάλιστα δὲ ὁ Θεός· πρὸς ᾧ γενόμενος ὁ θεοφιλὴς ἄνθρωπος τοῦ κυριωτάτου εὖ ἔχεται, ἤτοι τοῦ Θεοῦ προσιεμένου τὴν τοιαύτην προσευχήν. Ἰστέον δὲ ὅτι οὐ πάντοτε εἰς ταυτὸν σημασίας ἤκουσιν εὐχὴ καὶ προσευχή· ἀλλὰ ὅτε μὲν δέεταί τι τοῦ Θεοῦ, ἀνατείνων τὴν ψυχὴν εἰς ἐκεῖνον καὶ τρόπον τινὰ παριστάμενος, ἤγουν ἐγγὺς ἱστάμενός, προσευχή ἐστι τὸ τοιοῦτον, αὐτίκα δὲ καὶ εὐχή· ὅτε δὲ ἀναπολήσας ἀγαθὰ τὰ ἐκ Θεοῦ ὑπισχνεῖται ἅπερ ἐναρέτως ἐθέλει ὡς εἰς ἀντίδοσιν, τότε εὔχεται μὲν καὶ εὐχὴν ποιεῖται, οὐ μὴν ἁπλῶς προσευχήν, ἀλλὰ τὴν οὕτω κοινῶς λεγομένην ὑπόσχεσιν, ἐγγίζουσάν πως καὶ αὐτὴν τῇ προσευχῇ, καὶ διὰ τοῦτο λεγομένην εὐχήν. Καὶ ἄλλως δὲ εἰπεῖν, ἡ προσευχὴ πλεονεκτεῖν δοκεῖ τὴν εὐχήν. Ἔχει μὲν γὰρ καὶ τὸ ἐκείνης τὸ ἅπαν· ἐπέκεινα δὲ εὐκληρεῖ καὶ τὸ δηλοῦν ἐγγύτητα διὰ προθέσεως, δι' ἧς ἐμφαίνει ὡς πρὸς τῷ Θεῷ ἱστάμενος ὁ εὐχόμενος καὶ θαῤῥῶν, ὡς οἷα καὶ ἐπὶ φίλῳ, ἀναφέρει ἐκείνῳ τὰ βουλητά· ἐν οἷς πολλάκις καὶ δωρεατική τις βούλησις· Διὸ αὐχήσοι ἂν ὁ τοιοῦτος εἰσελθεῖν τὸ ἀξίωμα αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ, καὶ ἐγγίσαι τὴν αὐτοῦ δέησιν ἐνώπιον ἐκείνου. Τὸ δὲ μόνη οὐχ ἁπλῶς ἐνταῦθα τέθεικεν ὁ μελῳδὸς λόγῳ κοινῷ καὶ ἀφελεῖ, ἀλλὰ φιλοσοφωτάτῳ. Πρὸς νόησιν γὰρ αὐτὸ ἔφη τῶν, ὡς φασὶν οἱ σοφοί, συζυγούντων τῇ προσευχῇ· συζυγοῦσι δὲ αὐτῇ θυμιάματα, σπονδαί, θυσίαι, ἀναθήματα πολυειδῆ. Λέγει οὖν ὅτι ἑτερατούργησε διὰ τοῦ Θεοῦ ἡ τῆς προφήτιδος προσευχή, οὐ μετά τινος συζύγου καὶ συστοίχου αὐτῇ, ἀλλὰ μόνη αὐτὴ κατ' αὐτήν, δι' ἧς δικαίως πάντως ἀναφερομένης, σώζεται ἄνθρωπος, μηδεμίαν ἔχων ἐν κόσμῳ περιβολήν, εἴτουν περιττότητα βιωτικήν.

67. Hoc autem sola prophetissæ precatio, segregat ab aliis divinis oblationibus puram precationem, quam ipsum ejus nomen exornat. Εὐχὴ namque est vocata ab εὖ ἔχεσθαι. Hoc autem est bene et optimum in virtutibus, et maxime Deus : apud quem factus homo pius, bene adhæret præstantissimo, sive Deo, qui talem admittit precationem. Sciendum est autem non prorsus idem significare εὐχὴ et προσευχή. Cum aliquis Deum suppliciter rogat, animam ad illum tollens et aliquo modo ante faciem ipsius stans, hoc est προσευχή, sed simul etiam εὐχή. Cum autem divina recogitans bona pollicetur ea quæ sibi proponit in retributionem, tunc votum (εὐχὴν) facit ; jamque non est simplex προσευχή, sed illa quæ communiter dicitur promissio, sese quodammodo jungens precationi, et ideo dicta εὐχή. Aliis autem verbis, precatio videtur præstare voto : habet enim quidquid ad hoc pertinet ; sed insuper gloriam indicandi propinquitatem per præpositionem qua declarat apud Deum adstare illum qui precatur, et confidentem tanquam amico, ipsi desideria communicare. In his etiam sæpe quædam est munerabunda voluntas ; ideoque talis gloriari posset quod suum votum coram Deo venit, sua deprecatio in conspectum ejus propinquat. Vocem autem *sola* non hic simpliciter communi tenuique, sed sapientissima ratione artifex posuit : ob intellectum enim hoc dixit eorum quæ, sicut aiunt philosophi, subjunguntur precationi. Subjunguntur autem ipsi suffitus, libamina, victimæ, donaria diversa. Dicit igitur quod per Deum prodigia fecit prophetissæ precatio, non cum aliquo subjuncto vel affini, sed ipsa sola per ipsam ; qua digne prorsus oblata, salvatur homo, nullam habens in mundo eminentiam aut præstantiam.

ξη'. Τὸ δὲ *τῆς προφήτιδος* Ἄννης τὴν ἐκ τοῦ Θεοῦ τῶν γνώσεων, ἐν τῇ ψυχῇ τῆς ἁγίας γνῶσιν ἤτοι πρόγνωσιν δηλοῖ, καὶ τὸ ἐκεῖθεν εὐέλπι. Εὖ γὰρ εἰδυῖα ὅτι κἂν ἄλυτοι ὦσιν ἄλλως οἱ δεσμοὶ τῆς στειρώσεως, ὅμως λελύσονται αὐτῇ, οὐδὲν ἧττον ἢπερ τῇ μακαρίᾳ Σάῤῥᾳ, εἰ μετὰ συντετριμμένου πνεύματος εὔξεται τῷ Θεῷ, πεποίηκεν οὕτω· καὶ εὗρε τὸ ἐφετὸν ἐκβεβηκὸς αὐτῇ κατ' ἐλπίδα. Τὸ δὲ φερούσης πνεῦμα συντετριμμένον πρὸς τὸν Θεὸν, διάλυσιν πέπονθεν τῆς προσφορᾶς ἰωνικωτέρως. Ὡς γὰρ τὸ *ζῶα γράφειν* διαλελυμένως ῥηθὲν, ταυτόν ἐστι συνθέτῳ τῷ *ζωγραφεῖν*, οὕτω καὶ τὸ φέρειν πρὸς τὸν δεῖνα, εἰς ἴσον ἔρχεται τῷ προσφέρειν τῷ δεῖνι. Πνεῦμα δὲ συντετριμμένον εἶπεν οὐ κατὰ τὸ σημαινόμενον τοῦ συντετριμμένου γραφικῶς καλάμου, ἢ τῶν ψυχικῶν ὀστῶν, ἃ συντριβῆναι ψάλλυνται ὑπὸ βάρους ἡδονῶν, ἀλλὰ τὴν τεταπεινωμένην ψυχὴν κατὰ ἀρετάς· ὅτε δηλαδὴ ἀγαθὰ πράττων ἄνθρωπος, τὸ μηδὲν ἑαυτὸν εἶναι λογίζεται· ὀπηνίκα καὶ κάτω νεύειν καὶ κατακάμπτεσθαι κλοιοῦ δίκην λέγεται ἡ ψυχὴ, καὶ συγκεκυφέναι, ὡς καὶ ἄλλους ἐξανορθοῦν σωτηριωδῶς, οὐ μὴν πάσχειν κατ' ἐκείνην τὴν

68. Vox *prophetissæ Annæ*, illam scientiarum Dei scientiam sive præscientiam et exinde bonam spem in anima sanctæ ostendit : bene namque sciens sterilitatis vincula, licet insolubilia, tamen fore solvenda sibi, non minus quam beatæ Saræ, si cum spiritu contrito precaretur Deum, ita fecit, et quod desiderabat citra spem experta est. Illud : ferentis ad Deum spiritum contritum, ionico more sejunctionem oblationis subiit. Sicut enim, dictum sejunctim, ζῶα γράφειν idem est ac compositum ζωγραφεῖν, sic etiam ferre ad aliquem idem est ac ei offerre. Spiritum autem contritum dixit non juxta sensum calami Scripturæ confracti, vel spiritualium ossium, quæ conteri voluptatum pondere psalluntur, sed humiliatam secundum virtutem animam significavit ; quod fit, cum bene agens homo, nihil semetipsum esse putat, necnon quotiescunque deorsum incurvari tanquam collare et inclinari anima dicitur, ut alios salutariter erigat, non tamen ut afficiatur sicut illa quæ miserе corruit ; atque hujus rei manifestatio sunt prostrationes et genuflexiones, humiliante se cum anima corpore. Trans-

latæ sunt autem ipsa contritio ac humiliatio ab arboribus, quarum multæ quidem flectuntur, non paucæ vero cremationis causa comminuuntur, seu terentur siccatæ; quod etiam patiuntur eorum ossa qui Davidico more per Deum humiliati sunt; quasi oporteat in his quæ juxta vim errantia sunt, fortia esse conterenda, quoniam facile humiliantur et mollia. Rursum igitur spiritualem sanitatem affectantibus interiora necesse est conteri per humiliationem et ab intensa labilique altitudine demitti, ut, interioribus sanatis, ac restitutis in rectum hominem interiorem, firmus etiam constet exterior, carnalis et materialis. Sic enim cum arbor curva dextere erigitur, ipse cortex in similem habitus rectitudinem extenditur. Cor igitur contritum, id est, ut interpretatur David, spiritum contritum ac humiliatum qui gerit, his quæ sunt a Deo, non frustrabitur.

τετριμμένην, ταυτὸν δ' εἰπεῖν, ὡς ἑρμηνεύει Δαβίδ, σάμενός; τις οὐκ ἐξουδενωθήσεται τὰ παρὰ τοῦ Θεοῦ.

69. Illic autem etiam alia recogitanda sunt ossa Davidica, quorum nec unum conteretur. Quænam vero sunt? Ea quibus prope est Deus, eo quod humilia sunt spiritu, sicque digna salute. Qui namque quasi leones sunt, et adeo spiritualibus ossibus fortiter compaginati, ut tanquam ignivomum instrumentum sint istorum contritione contra persequentes ipsos, non egeant contritione ossium juxta eos qui sic pati sunt digni. Si quis autem reputans animo contrito et humiliato opponi quod rectum est, et in mentem revocans spiritum rectum, præferre se potius dicat habere rectum spiritum quam spiritum contritum et humiliatum, audiet ipsi dimidiatum esse tale bonum desiderium: oportere enim ipsum dicere se non magis quam spiritum contritum amare rectum, sed æqualiter utrumque. Maxime igitur præstat ipsum scire quod primo conterendum est cor sicut petram montosam et asperam, in præcipiti minantem, respuentemque quod est campestre proindeque humile ac planum vel æquum; deinde studium de recto instruendum procedendumque juxta viam illis charam qui secundum Deum ambulant in vita. Alias enim anima non contrita non recte dirigetur ad bonum, sicut nec saxa scandali, quæ non remota ad iter æquandum, viam sequi rectam sinent.

70. Ut autem et aliter nunc sermonem resumam, contere, dilecte, dictam hanc arduam, collis instar, petram et in minuta dissecatam exporta diligenter, et observata operatione opportuna, recogitataque in temetipso ædificatione sancta, sicut divinissima Scriptura præcipit, et materia convenienti aggerata, structuram Domino auspice incipias in nomine Dei, illamque in rectitudinem partim perpendiculo, partim amussi spiritualis artis dirigens, accommoda domum in templum Deo dignum, ut inhabitet ibi spiritus rectus: sic enim et non aliter

οἰκτρὰ συγκύπτουσαν· καὶ τούτου παράδειξις καὶ αἱ προσκυνήσεις καὶ αἱ γονυπετήσεις συνταπεινωμένου τῇ ψυχῇ καὶ τοῦ σώματος· καὶ μετῆκται ἡ συντριβὴ αὕτη καὶ ἡ κατάκαμψις, ἀπὸ φυτῶν ὧν πολλὰ μὲν κάμπτονται, οὐκ ὀλίγα δὲ καὶ ἀποφρυγῆναι φράσαντα συντρίβονται, ἤγουν ὁμοῦ τρίβονται τειρόμενα, ὃ πάσχουσι καὶ τὰ ὀστᾶ τῶν Δαυϊτικῶς τεταπεινωμένων διὰ τὸν Θεόν· ὡς δέον ὃν τὰ κατὰ βίαν ἁμαρτητικὰ στερέμνια θρύπτεσθαι· οἷς ῥᾷον συνταπεινοῦνται καὶ τὰ μαλθακά. Οὐκοῦν ἀνάπαλιν τοῖς ἐκθεραπεύουσιν ἑαυτοὺς εἰς ὑγιείαν πνευματικὴν, τὰ ἐντὸς χρὴ συντρίβειν διὰ ταπεινώσεως, καὶ ὑποκαταβιβάζειν τοῦ ἀτενοῦς καὶ ἐφαμάρτως ὀρθίου, ἵνα τῶν ἐντὸς ὑγιασθέντων καὶ ἀποκαταστάντων εἰς τὸν ὀρθῶς ἄνθρωπον τὸν ἐντὸς, ἀτενὴς ἐστήξεται καὶ ὁ ἐκτὸς, ὁ σαρκικὸς καὶ δερμάτινος. Οὕτω γὰρ καὶ στρεβλῷ φυτῷ ἐξορθωθέντι δεξιῶς, καὶ ὁ φλοιὸς εἰς ὅμοιον εὐφυΐαν παρεκταθήσεται· καρδίαν οὖν συνπνεῦμα συντετριμμένον καὶ τεταπεινωμένον κτη-

ξθ'. Ἐνθυμητέον δ' ἐνταῦθα καὶ ἕτερα ὀστέα Δαυϊτικὰ, ὧν οὐδὲ ἓν συντριβήσεται. Ποῖα δὲ ἐκεῖνα; Οἷς ἐγγύς ἐστιν ὁ Θεὸς ταπεινοῖ; οὖσι τῷ πνεύματι, καὶ οὕτω σωτηρίας ἄξιοις. Οἱ γὰρ τοιοῦτοι λέοντες οἷον ὄντες, καὶ εἰς τοσοῦτον ἐστεγανωμένοι στερρῶς τὰ κατὰ ψυχὴν ὀστᾶ, ὡς καὶ πυρεκβολὴν τῇ κατ' αὐτὰ συντρίψει κατὰ τῶν αὐτοῖς ἐγκειμένων, οὐκ ἂν δέοιντο συντριβῆς ὀστέων κατὰ τοὺς οὕτω πάσχειν ἀξίους. Εἰ δέ τις ἐντεθυμημένος ἀντικεῖσθαι τῷ συντετριμμένῳ καὶ κατακεκαμμένῳ τὴν ψυχὴν τὸ εὐθὲς, καὶ προσειληφὼς εἰς νοῦν τὸ εὐθὲς πνεῦμα, αἱρεῖσθαι μᾶλλον εἶποι πνεῦμα εὐθὲς ἔχειν ἤπερ συντετριμμένον καὶ κατακεκαμμένον, ἀκούσοι ἂν ἡμισεύεσθαι αὐτῷ τὴν τοιαύτην ἀγαθὴν ἐπιθυμίαν ἐνταῦθα· χρῆναι γὰρ αὐτὸν εἰπεῖν μὴ μᾶλλον τοῦ συντετριμμένου πνεύματος ἀγαπᾷν τὸ εὐθὺ, ἀλλ' ἐπίσης καὶ ἀμφότερα, ἐπειδὴ καὶ εἰς ἴσον τέλους ἀγαθοῦ ἀποτελευτῶσιν ἑκάτερα. Μάλιστα μὲν οὖν κάλλιόν ἐστιν εἰδέναι αὐτὸν ὅτι πρῶτον συντριπτέον τὴν καρδίαν, ὡσεὶ καὶ πέτραν ὀρεινὴν ἀπόκροτον ὄχθοις ἐκτραχυνομένην καὶ ἀπαρνουμένην τὸ πεδινὸν καὶ οὕτω ταπεινὸν καὶ ὁμαλὸν ἢ ἀγχώμαλον. Εἶτα πραγματευτέον τὸ εὐθὺ καὶ ἀνεπιπρόθητον εἰς ὁδὸν φίλην τοῖς θεοφιλῶς ὁδοιποροῦσιν ἐν βίῳ. Ἄλλως γὰρ ἀσύντριπτος ψυχὴ οὐ κατευθυνθήσεται εἰς ἀγαθότητα, ὡς οὐδὲ πέτραι σκανδαλοποιοὶ μὴ ἐξαιρεθεῖσαι πρὸς λεωφόρον κατευθύνεσθαι τὴν πορείαν ἀφήσουσιν.

ο'. Ἵνα δὲ καὶ ἄλλως χορυφώσω τὸν λόγον τοῦτον, σύντριψον, ὦ φιλότης, τὴν εἰρημένην ὀχθώδη κατ' ἔπαρσιν πέτραν, καὶ διατμήξας εἰς λεπτὰ παρακόμισον ἐπιμελῶς, καὶ φυλαξάμενος ἐργατείαν εὔκαιρον, καὶ λογισάμενος καθ' ἑαυτὸν οἰκοδομὴν ἁγίαν, ὡς ἡ θειοτάτη Γραφὴ ἐγκελεύεται, καὶ ὕλην ἐπισωρεύσας ἱκανὴν, ἄρξαι θεοφυλάκτου οἰκοδομῆς ἐν ὀνόματι Θεοῦ, καὶ ἀπευθύνων αὐτὴν εἰς ὀρθότητα πῇ μὲν καθέτῳ τέχνης πνευματικῆς, πῇ δὲ στάθμῃ ἀπάρτισον τὸν οἶκον εἰς Θεοῦ ναὸν ἐκτηδειον, ὡς ἐνοικῆσαι αὐτῷ πνεῦμα εὐθές· οὕτω γὰρ καὶ οὐκ

ἄλλως τὸ πανάγιον Πνεῦμα εἰς τὸν σὸν οἶκον τὴν καρδίαν εἰσελεύσεται. Τοῦτό σοι κερδήσαντες ἐξ ἐπιστημονάρχου τοῦ μεγάλου Δαυὶδ ἰδοὺ παραδεδώκαμεν εἰς ὠφέλειαν, ὃς εἰπὼν, *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς*, ὡς ἐξ ὑπαρχῆς βίου δηλαδὴ ἐπάγει, καὶ, *Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου*. Ἵνα τί ποιῶ; Ἵνα οὕτως ἐστηριγμένου μοι τοῦ ἱεροῦ οἴκου καὶ ἀβλαβοῦς μένοντος ἀνέμων τε καταπνοαῖς καὶ ποταμῶν ἐπιῤῥοαῖς καὶ σεισμῶν τιναγμοῖς, ἡγεμονεύω κατὰ παθῶν, καὶ μὴ δουλικῶς ὑπ' αὐτοῖς γίνωμαι, ἡγεμονικῷ πνεύματι στηριζόμενος διὰ σοῦ. Κεφαλαιώσασθαι οὖν τὸ πᾶν ἐν βραχεῖ, συντριβῆς πρὸ πάντων χρεία, ὡς εἴρηται· εἶτα οἰκοδομῆς, μεθ' ἣν πνεῦμα εὐθὲς τοῖς ἡμῶν ἐγκάτοις ἐγκαινισθήσεται. Αἱρετὸν οὖν ἐπίσης ὥσπερ τὸ συντετριμμένον πνεῦμα, οὕτω καὶ τὸ εὐθές.

οα'. Συντριβὴν δὲ καὶ πάλιν φημὶ τὴν ἐνάρετον καθ' ἑκούσιον, ὁποίαν μακαρίως πάσχουσι καὶ οἱ λέγοντες πρῶτοι τὰς ἁμαρτίας αὐτῶν καὶ σφᾶς αὐτοὺς κατακρίνοντες. Οἱ γὰρ ἄλλως ἑτέρωθεν συντριβόμενοι καὶ κατακαμπτόμενοι, οὐ μακαρίως ἔχουσι. Τί γὰρ καλὸν ἔσται πονηρῷ ἀνθρώπῳ καὶ ἁμαρτωλῷ συντριβέντι τὸν βραχίονα ψαλμικῶς, ἢ τῷ ἐναχθέντι εἰς παγίδα, καὶ κατακαμφθέντι τὴν ψυχήν; Ἐπιστῆσαι δὲ χρὴ ὡς καὶ ἡ τοιαύτη εὐαγεστάτη συντριβὴ διὰ τοῦ Θεοῦ γίνεται τοῦ προσιεμένου, καὶ μὴ ἐξουδενοῦντος τὸ συντετριμμένον πνεῦμα, ὡς ἄξιον οἰκειοῦσθαι αὐτῷ. Καὶ εἴη ἂν συντριβὴ αὕτη λεγομένη διὰ τὸ σὺν ἑτέρῳ τὴν ψυχὴν κατατρίβειν ἑαυτὴν καὶ συνθλᾶν, καὶ ἐπισχνοῦν τὸ κατ' αὐτὴν σκληρὸν καὶ ἀπολεπτύνειν εἰς πνεῦμα σώματι ἀσυνδύαστον. Πῶς δὲ ἐκεῖνος ἕτερος; Ὁ Θεὸς, οὗ συνεπιλαμβανομένου τῷ ἰδίῳ πλάσματι, ὡς ψυχὴν μόνην δι' αὐτοῦ ἀποτελεῖσθαι τὸν σύνθετον ἄνθρωπον ὃς δεῖ συντρίβεσθαι εἰς εὐαφῆ ταπείνωσιν τὴν ἐν Θεῷ, ἐξανύεται ῥᾷον τὸ τῆς συντριβῆς ἀγαθόν. Ἀλλὰ ταῦτα μὲν πεπόρισται μεταφορικῶς ἀπὸ συντριβῆς ὄμα καὶ κατακέμψεως φυτικῆς· ἄλλως δὲ καὶ ἡ κατεμόνας τροπικὴ συντριβὴ, ὅπερ ἐστὶ σύντριψις, χρησίμη φαίνεται εἶναι εἰς τὸ τὴν συντετριμμένην κατὰ Θεὸν ψυχὴν, καὶ οὕτως ἀτράχυντον καὶ ἀσκλήρυντον, καὶ οὐδὲ ἐπηρμένην, κατανοεῖσθαι φίλην εἶναι τῷ Θεῷ. Βούλεται δὲ καὶ ἄλλως ἡ κατὰ τὴν συντριβὴν τροπὴ, ὅ ἐστι μεταφορὰ, δηλοῦν ἐνταῦθα τὸ καθ' ὁλότητα συλληπτικῶς, ὡς εἰπεῖν, τριβέν· ἵνα τὸ συνθλιβὲν πνεῦμα ἐκεῖνο καὶ συντρίβηται, ὡς οἷον θραυσθὲν διὰ ταπεινώσεως εἰς παντελές· καὶ ἄλλως δὲ φράσαι, συντρίβεται τὸ συνόλως τριβὲν τρόποις πολλοῖς ἢ καί τινι ἀξιολόγῳ ἑνί.

οβ'. Δυνάσσην δὲ γραφικῶς λέγει τὸν παντοδύναμον Θεὸν ὁ μελῳδὸς, ἢ ὡς ἁπλῶς ὄρχοντα, ἢ ἀντὶ τοῦ ἐνδύναμον καὶ ἰσχυρὸν, οἷα τῆς λέξεως τοῦ δυνατοῦ μήτε κατὰ μέτρον, μήτε κατὰ μέλος, εὐχρήστου ἐνταῦθα τῷ ποιητῇ ὄντος. Οὐκ ἀεὶ δὲ ἡ τοιαύτη λέξις ἔπαινον ἔχει παρὰ τοῖς παλαιοτέροις, ἀλλ' εἰσί τινες οἱ βίαιόν τινα τὸν δυνάστην φασὶν, οὐ κυριολεκτοῦντες αὐτοὶ, ἀλλὰ μέσην λέξιν, καὶ τὸν δυνάστην, καθὰ καὶ τὸν δυνατὸν, τιθέμενοι. Εὕρηται γὰρ καὶ ὁ δυνατὸς ἐν τῇ θειοτάτῃ Γραφῇ οὐ μόνον ἐπαινούμενος κατὰ τὸ, *Κύριος κραταιὸς καὶ δυνατὸς ἐν*

A sanctissimus Spiritus in domum tuam, id est cor, intrabit. Hoc tibi lucrati ex magistro scientiarum magno David, tradidimus ad utilitatem; qui dicens: *Cor mundum crea in me, Deus*, tanquam ex vitæ initio repetit; et, *Spiritum rectum innova in visceribus meis:* ut quid faciam? Ut sic mihi stabilita sacra domo, immunique manente a ventorum flatibus et a fluminum fluentis, et a terræ motuum procellis, ego dux sim adversus passiones, et non illis serviliter subjiciar, spiritu principali per te roboratus. Ut igitur breviter totum summatim repetam, contritione ante omnia opus est, ut diximus; deinde apta constructione, post quam spiritus rectus in visceribus nostris inhabitabit. Est igitur desiderabilis sicut spiritus contritus, sic et rectus.

B

71. Contritionem rursum dico laudabilem ac voluntariam, quam feliciter experiuntur qui primi suas culpas dicunt et semetipsos judicant. Qui enim alias et aliunde conteruntur et humiliantur, non feliciter afficiuntur. Quid enim erit boni homini nequam et peccatori juxta psalmos brachio conteri, vel illi qui inductus est in laqueum, et anima humiliatus est? Meminisse vero oportet illam sanctissimam contritionem per Deum fieri qui probat neque rejicit spiritum contritum, ut dignum qui sibi conjungatur; et ista contritio sic dicitur quia cum altero anima semetipsam atterit et frangit, et quod in se durum est, attenuat, et minuit in spiritum corpori dissociatum. Quinam autem est ille alter? Deus, quo propriam creaturam adjuvante, ita ut anima sola per ipsum perficiatur compositus homo qui vult in docilem humiliationem, illam quæ in Deo est, conteri, completur facile contritionis bonum. Hæc autem metaphorice quidem deducta sunt a contritione et incurvatione plantarum: sed aliter seorsim tropica συντριβή, quod est σύντριψις contribuere videtur, ut anima secundum Deum contrita, et ita nec aspera nec dura, nec superba, censeatur esse Deo chara. Aliter autem contritionis tropus, id est metaphora, hic ostendere vult quod in totum est tritum; ita ut spiritus contribulatus etiam conteratur, quasi per humiliationem plane fractus; aliis autem verbis, conteritur quod multis modis, vel uno aliquo majori ab omni parte teritur.

C

D

72. *Dynastam* autem graphice Deum omnipotentem dicit scriptor, vel ut simpliciter dominantem, vel potentem ac fortem, quatenus vox *potens*, nec juxta metrum, nec secundum melodiam hic expedit poetæ. Non autem semper hujusmodi dictio laudem invenit apud antiquos, sed aliqui sunt qui virum violentum *dynastam* vocant, non sensu proprio loquentes, sed mediam dictionem et *dynastam* potentem ponentes. Invenitur enim et potens in divina Scriptura non tantum cum laude dictus, ut: *Dominus fortis et potens in prælio*; et, *Accingere gladium tuum super femur*

tuum, o Potens; sed et cum vituperatione ; quatenus qui in malitia gloriatur, sic etiam dynasta, ut passim videmus. Ille ergo dynasta Deus est, cujus *brachium est potentia munitum* : quem autem evertit Altissimus disperiit jacens. » Sic etiam equi potentia, quod est vigor, laudem habet suam. Ita quoque in homine octoginta annorum viventi facultates. Non tamen hujusmodi est potentia tyrannica. Quærendum est porro utrum, ut a πειράζω πειραστής, a δοκιμάζω δοκιμαστής, sic etiam ex δυνάζω δυνάστης secundum aliquos derivet qua ex causa non ipso accentu notetur. Forsitan autem confudit poeta, sicut πυραύστης, parvum animal; de quo proverbium est : Sors pyraustæ, de eis qui brevi pereunt ex propria incuria.

73. Deum porro scientiarum ac sapientiæ dicere idem est. Qualium tandem scientiarum ? Certe primo earum quæ in ipso Deo sunt, incogitabilium et ineffabilium etiam angelis juxta quas ipse semetipsum cognoscit ; deinde quoque earum quæ apud homines sunt, quæque et ipsæ ad Deum pertinent, quatenus exinde ad illos devenerunt. Sermonem vero nobis etiam confirmat magnus Petrus cum dixit : *Domine, tu omnia nosti, tu scis quia amo te.* Si vero quis inter omnes jactator gloriatur quod ipse quamdam artem aut methodum invenerit, frequens autem sapientium hominum turba tradita sit, attamen non est iste Deus hujus scientiæ ; sed tantum per inventionem artis procreator ex scientiarum Deo, cujus et solius est proprium ipsum esse Deum et dominum scientiarum, cum aliarum, tum earum quæ pertinent ad diversa specialiter dicta studia, quique studia parat, illi sane solique convenientia. Non enim aliis ista parare dicitur, sed sibimetipsi juxta concinnam sanctæ Annæ theoriam. Hic autem sciendum est quod si secundum sanctissimum Petrum dicentem : Tu omnia nosti, tu scis quia amo te, ejusdem sensus est scire et cognoscere, aliquis tamen forte timuerit dicere Deum idearum, sicut scientiarum, veritus ne videretur delirare juxta Platonicas idearum species; et tamen ille veritus quod si juxta rectam sententiam ac opinionem in idem reduceret scientias et cognitiones, non absonum aliquid diceret, ut in sequentibus ex auctore nostro patebit.

74. Quod autem aliis scientiis illa Dei cognitio clare præponitur, quæ proprie vera est et certissima, ex eo quoque manifestum est quod nemo potest mentem Domini novisse, secundi cum sint ab illo qui recte de Deo ratiocinantur, quales erant qui tunc Judæam habitabant, juxta illud : Notus in Judæa Deus ; ubi prorsus sanctus Israel erant quæ Deum videbant mentes. Ideo egregie David adjecit : In Israel magnum nomen ejus, ubi quoque psallens ita, *Magnificamus et exaltamus nomen Domini*, recte dicebat. Illic enim maxime magnificabatur. Hæc autem hujusmodi cognitio vel scientia

A *κολέμῳ* · καὶ, *Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, Δυνατέ* · ἀλλὰ καὶ μωμητός · ὡς καὶ ὁ ἐν κακίᾳ ἐγκαυχώμενος, οὕτω δὲ καὶ ὁ δυνάστης, ὡς καλλιχόρδην ὀηλοῦται. Ὁ μὲν οὖν ἐνταῦθα δυνάστης ὁ Θεός ἐστιν, οὗ καὶ ὁ βραχίων μετὰ δυναστείας · ὃν δὲ καθαιρεῖ ὁ Ὕψιστος, ἐξίλιτο κείμενος · οὕτω καὶ δυναστεία μὲν ἔχοντος, ὃ ἐστι ῥώμη, ἔπαινον ἔχει · ὡς καὶ αἱ κατὰ ὀγδοηκοντούτην ἀνθρώπου δυνατεῖαι τοῦ ζῆν. Οὐ μὴν τοιαύτη καὶ ἡ τυραννική. Ζητητέον δὲ, εἴπερ ὡς πειράζω πειραστὴς, δοκιμάζω δοκιμαστὴς, οὕτω καὶ δυνάστης ἐκ τοῦ δυνάζω κατά τινας γίνεται, πῶς οὐκ ὀξύνεται αὐτός ; Ἴσως δὲ ἐξηκολούθησε τῷ ποιητῇ, καὶ τῷ πυραύστης, ζωΰφιον δέ οὗτος, περὶ οὗ παροιμία τὸ, Πυραύστου μόρος, ἐπὶ τῶν ταχὺ ἀπολλυμένων ἐξ

B οἰκείας ἀβουλίας.

ογ'. Θεὸν δὲ γνώσεων καὶ σοφίας εἰπεῖν, εἰη ἂν ταυτόν. Ποίων δὲ γνώσεων ; Ἢ πάντως πρῶτον μὲν τῶν παρ' αὐτῷ τῷ Θεῷ, τῶν καὶ ἀκατανοήτων καὶ ἀῤῥήτων καὶ ἀγγέλοις αὐτοῖς, καθ' ἃς καὶ ἑαυτὸν ἐκεῖνος γινώσκει · εἶτα καὶ τῶν παρ' ἀνθρώποις, αἳ καὶ αὗται τοῦ Θεοῦ εἰσιν, ὡς ἐκεῖθεν πάντως καθήκουσαι εἰς αὐτούς. Πιστοῦται δὲ τὸν λόγον ἡμῖν καὶ ὁ μέγας Πέτρος ἐν οἷς λέγει · *Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε.* Εἰ δὲ τυχὸν ἀλαζονευόμενός τις τῶν ἁπάντων, αὐτὸς ἐξευρεῖν αὐχεῖ τέχνην οἱανοῦν ἢ μέθοδον, συχνὸς δὲ σοφῶν ἀνδρῶν τοιοῦτος ὅμιλος παραδέδοται, ἀλλ' οὐκ ἔστι Θεὸς C ἐκεῖνος τῆς τοιαύτης γνώσεως · προβολεὺς δὲ μόνον κατὰ εὕρεσιν τέχνης ἐκ τοῦ Θεοῦ γνώσεως, οὗ καὶ μόνου ἴδιον τὸ εἶναι αὐτὸν Θεὸν καὶ Κύριον γνώσεων τῶν τε ἄλλων, καὶ τῶν κατὰ τὰ ἰδίως οὕτω λεγόμενα παντοῖα ἐπιτηδεύματα, ὃς καὶ ἑτοιμάζει ἐπιτηδεύματα, ἐκείνῳ δηλαδὴ καὶ μόνῳ πρέποντα. Οὐ γὰρ ἄλλοις αὐτὰ ἑτοιμάζειν εἴρηται, ἀλλὰ ἑαυτῷ κατὰ τὴν τῆς ἁγίας Ἄννης ἐμμελῆ θεωρίαν. Ἐνταῦθα δὲ ἰστέον ὡς εἰ καὶ κατὰ τὸν ἁγιώτατον Πέτρον εἰπόντα, *Σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε*, τῆς αὐτῆς ἐννοίας ἐστὶ τὸ εἰδέναι καὶ τὸ γινώσκειν, ὅμως εὐλαβηθήσεταί τις ἴσως Θεὸν εἰπεῖν εἰδήσεων, ὥσπερ καὶ γνώσεων, δεδιὼς μὴ καὶ σκωφθήσεται παραλαλεῖν τὸ Πλατωνικὸν εἰδητικὸν αἴτιον · καὶ μὴν ἐκεῖνος ὁ οὕτως εὐλαβηθεὶς εἰ πρὸς ἔννοιαν καὶ δόξαν ὀρθὴν εἰς ταυτὸν ἄγει τὰς γνώσεις D καὶ τὰς εἰδήσεις, οὐκ ἂν ἀπᾴδόν τι λαλήσειεν, ὡς καὶ ἐν τοῖς ἑξῆς φανήσεται ἀπ' αὐτοῦ τοῦ μελῳδοῦ.

οδ'. Ὅτι δὲ τῶν ἄλλων γνώσεων ἡ τοῦ Θεοῦ κατ' ἐξαίρετον ὑπέρκειται γνῶσις, ἡ κυρίως ἀληθὴς καὶ ἐπιστημονική, δῆλον καὶ ἐκ τοῦ μηδένα δύνασθαι νοῦν γνῶναι Κυρίου, δευτερούντων αὐτοῦ τῶν πρὸς ὀρθότητα θεολογούντων, ὁποῖοι καὶ οἱ τῆς Ἰουδαίας ἦσαν τότε οἰκήτορες, κατὰ τὸ, Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἔνθα πάντως ὁ ἅγιος Ἰσραὴλ ἦσαν οἱ Θεὸν ὁρῶντες νόες. Διὸ καλῶς ἐπῆγαγεν ὁ Δαβὶδ, ὡς ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ · ὅπου καὶ ὁ ψάλλων, ὡς *Μεγαλύνομεν καὶ ὑψοῦμεν τὸ τοῦ Κυρίου ὄνομα*, καλῶς ἔλεγεν · ἐκεῖ γὰρ ὑπερλίαν ἐμεγαλύνετο. Ἡ δὲ τοιαύτη γνῶσις εἴτε εἴδησις καὶ

ἐκ πάντων ἀπαιτεῖται ἀνθρώπων· Ἴδετε, γὰρ, φησὶν, ὅτι ἐγώ εἰμι Θεός· ὅπερ ἐστὶ, Γνῶτε, νοήσατε. Ἀλλὰ πρῶται μὲν αὗται, καὶ δεύτεραι γνώσεις· αἱ μὲν αὐτοῦ φανερῶς οὖσαι Θεοῦ, αἱ δὲ ἡμῖν ἐξ ἐκείνου ἐλλάμπουσαι. Εἰσὶ δὲ καὶ ἄλλαι παρὰ ταύτας γνώσεις Θεοῦ, αἱ τῶν καρδιῶν ἡμῶν καὶ τῶν τρίβων ἡμῶν, εἰς ἃς καὶ αὐτὰς ἡ προφῆτις ἀπονεύουσα, ὑπομιμνήσκειν δοκεῖ τὸν Θεὸν, ὡς καὶ καρδίαν καθαρὰν ἔχειν αὐτὴν οἶδε, καὶ εὐθυποροῦσαν ἐναρέτως γινώσκει. Διὸ καὶ ζητεῖ ἐξ ἐκείνου ἀντίχαριν, ὡς ἑτοιμάσαι, ἤγουν ἑτοίμως καὶ ἀπεντεῦθεν αὐτὸν ἐπιτηδεύσασθαι καὶ τὸ δι' εὐχῆς αὐτῇ· καὶ τοίνυν πείθει προσευξαμένη, καὶ ἐπιτυγχάνει τοῦ ἐφετοῦ αἰτήματος.

οε'. Εἰ δὲ καὶ ἑτεροῖαι γνώσεις εἰσὶ παρὰ τῷ Ὑψίστῳ μὴ ἂν συνηριθμημέναι ταῖς ἐκείνῳ φίλαις, καὶ ἐκείνων πάντως αὐτὸς κύριος μετασκευάζων αὐτὰς ὅπως ἂν ἐθέλοι, καὶ κατακυριεύειν οὐκ ἀφεὶς καὶ λυμαίνεσθαι τοῖς αὐτὸν θεραπεύουσιν· ἀλλὰ καὶ ἐκείνας ἀπάγων ἢ ἀλλοιῶν, καὶ τὰς οἰκείας παρεισάγων ἀκαταλήπτῳ χάριτι, ἣν ὁ ἔχων θεολογεῖ κατὰ τοὺς προφήτας καὶ τοὺς μαθητὰς τοῦ Χριστοῦ, οὐ καταπνεόμενος πονηροῖς πνεύμασι παρενοχλοῦσι τοῖς θεωρητικοῖς, ἀλλὰ σκεπαζόμενος, ὡς ἔσω μένων σκηνῆς θείας ἢ ἁγίου ναοῦ, τῶν κρειττόνων τοῦ Μωσαϊκοῦ γνόφου, καὶ ὡς, οὕτως εἰπεῖν, θείων ἡσυχαστηρίων· Σκεπάσω γὰρ, φησὶν, αὐτὸν ὅτι ἔγνω τὸ ὄνομά μου. Τοιαύτη δὲ ἡ προφῆτις Ἄννα, γινώσκουσα τὸν Θεὸν ἐν τῷ σκεπάζεσθαι ὑπ' αὐτοῦ, καὶ οὕτως ἐν ἡσυχίᾳ καρδιακῶς αὐτῷ ἐντυγχάνουσα, καὶ κραγὸν μὲν οὐ κράζουσα καὶ τρανὲς καὶ τορὸν, ἄλλως δὲ, καθὰ ὁ ἅγιος Ἰωνᾶς ἐκ τοῦ κήτους, βοῶσα ἐκ συνοχῆς καρδίας ἐνδόμυχος. Διὸ πανσόφως καὶ ὁ Δαβὶδ μετὰ τὸ σκέπασμα τὸ διὰ τὴν γνῶσιν τοῦ Θεοῦ, ἐπήγαγε τὸ, *Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ*· ὅς γε καὶ ἔτι λαλοῦντος τοῦ ἀγαθοῦ ἀνθρώπου, καὶ πρινὴ δὲ λαλεῖν, κλίνει τὸ οὖς καὶ ὑπακούει αὐτοῦ.

ος'. Τούτων δὲ οὕτως ἐχόντων, καλῶς ἂν ἔχοι εἰπεῖν ἡμᾶς καὶ ὅτι φθάσασα ἡ θαυμασία προφῆτις ἐν τῇ κατ' αὐτὴν ᾠδῇ ἀποκωλύσαι τοὺς ὑπ' αὐτῆς διδασκομένους τοῦ ὑψηλὰ εἰς ὑπεροχὴν λαλεῖν, καὶ τῆς μεγαλορρημοσύνης ἣν τῇ καυχήσει ὀπαδὸν οἴδαμεν, ὡς ἀνοήτων ὄντων τῶν τοιαῦτα ποιούντων καὶ νοῦν μὴ ἐχόντων καὶ γνῶσιν, καὶ διὰ τοῦτο ἀπεστραμμένων τῷ Θεῷ· αὐτίκα φιλοσοφεῖ ὡς αὐτόχρημα γνῶσίς ἐστιν ὁ Θεὸς, καὶ Θεὸς γνώσεων, καὶ φιλῶν τοὺς ὄντως αὐτῷ γνωστούς. Διὸ τοιαύτῃ φιλοσόφῳ προσεσχηκὼς ὁ Θεὸς καὶ ὡς εἰς κήρυγμα λογισάμενος καὶ αὐτὴν καὶ διδάσκαλον, ἀποδίδωσιν αὐτῇ τὸ δι' εὐχῆς, τὸν ἀγαπητὸν δηλαδὴ τόκον, ὃν ᾐτήσατο. Ἐπὶ τούτοις ἔστι γοργῶς φράσαι ὡς Θεὸν γνώσεων ἡ μακαριωτάτη Ἄννα εἰποῦσα τὸν Κύριον, φιλοσόφως ἀντιπίπτει τοῖς βλασφήμως φαμένοις εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ· μονονουχὶ λέγουσα ὡς ἡμεῖς οἱ ἄνθρωποι οὐκ ἐπιστάμεθα, καὶ δι' αὐτὸ οἷα γνῶσιν μὴ ἔχοντες ὀφείλομεν καὶ αὐτοὶ λέγειν τό, *Τίς ἔγνω νοῦν Κυρίου ὃς πάντα οἶδε καὶ πρὸ γε-*

ab omnibus requiritur hominibus : Scitote enim, inquit, quod ego sum Deus : id est, cognoscite, intelligite. Sed aliæ quidem primæ, aliæ vero secundæ sunt cognitiones, siquidem aliæ quidem ipsius Dei manifeste sunt ; aliæ vero nobis ex illo illuxerunt. Sunt autem etiam præter illas aliæ Dei cognitiones, cordium inquam nostrorum ac viarum, ad quas ipsas alludens prophetissa, in mentem Dei revocare videtur, quod ipsam esse puro corde novit, et secundum virtutem ambulare cognoscit : ideoque remunerationem ab illo quærit, ita ut disponat, seu prompte et exinde adducat illum, et hoc per precem, ad curam de ipsa habendam. Et certe precando persuadet et desideratam rem obtinet.

75. Si vero quoque sunt aliæ cognitiones apud Altissimum, quæ connumerari non possent cum illis ipsi charis, istarum etiam ipse prorsus Dominus est, disponens illas sicut vult, nec sinens dominari aut nocere fidelibus servis, sed et illas abducens vel immutans, et proprias introducens ineffabili gratia, qua præditus homo, secundum prophetas et discipulos Christi, de Deo loquitur, non a malignis spiritibus qui speculantes conturbant inspiratus, sed in tuto positus, quasi manens intra divinum tabernaculum seu sanctum templum, quæ Mosaica nube meliora sunt, et, ut ita dicam, divini recessus : Protegam enim, inquit eum, quoniam cognovit nomen meum. Talis autem erat prophetissa Anna, quæ cognoscebat Deum, quod ab ipso protegeretur, et sic in securitate ipsi ex animo inhærebat, non quidem acuto manifestoque clamore clamans, alias autem, sicut sanctus Jonas ex ventre ceti, ex anxietate cordis intrinsecus clamitans. Ideo sapientissime David, post « protectionem in cognitione Dei » adjecit : *Clamabit ad me, et exaudiam eum.* Hic enim adhuc loquente bono homine, sed et priusquam loquatur, aurem inclinat et exaudit eum.

76. Hæc autem cum ita sint, consonum nobis esset dicendum quod, postquam hæc admirabilis prophetissa prævenisset in suo carmine prohibere doctos ab ipsa ne sublimia superbe loquerentur et caverent a jactantia quam gloriationis comitem esse scimus, quantum qui talia agunt insulsi sunt nec mentem nec cognitionem habent, et ideo a Deo avertuntur, statim philosophice docet quod reipsa scientia Deus est et Deus scientiarum et diligit eos qui ipsi vere noti sunt. Idcirco talem philosophiæ magistram advertens Deus et tanquam præconem ac discipulam reputans, ipsi tradidit quod erat in voto, dilectum nempe Filium, quem poposcerat. Acute præterea dicendum est quod Deum scientiarum sanctissima Anna proclamans Dominum, philosophice obnititur iis qui blasphemando pronuntiant an sit scientia in Excelso : quasi diceret nos homines non esse scientia præditos, et ideo veluti cognitionem non habentes debere et ipsos hoc dicere, Quis novit sensum Domini, qui cuncta scit etiam

antequam eveniant ? Ipse namque reipsa sapientissimus est, et summe sapiens, cuncta sciens, et non scientiæ vel scientiarum, sed scientiarum omnium Dominus. Unde colligitur quod nullius iniquitatis ille noxius est : peccatum enim non est cognitio, sed prorsus ignorantia. Porro si peccatum est ignorantia, non ergo sapientiam habet peccator in quantum peccat. Sapientissimus igitur et sanctissimus est scientiarum Dominus. Si vero de numero cognitionum est ea quæ ad laudabile Adami respicit matrimonium quo cognovit Adam uxorem suam quæ et ipsa cognovit illum, et hujus cognitionis Deus est Deus. Faciet ergo quoque super istam dignissimum effectum et institutum, assentiens in adimpletionem ejus quod ipsa postulaverat.

77. Hic autem addi potest quod accurate de Deo disserit prophetissa, cum omnium bonorum causam esse prædicat Deum. Est enim, inquit, Deus scientiarum, nulla vero artificiosa cognitio otiosa est apud ipsum, sed omnes in bonum opus abeunt, et hoc omnino competit huic optimo artifici. Non autem absurdum esset dicere quod copulantur bonæ cognitioni quæ secundum Deum est laudabilis præcognitio, dignoscentia, recognitio, de peccatis antea commissis condemnatio nobilis ignoscentia, circumspicientia, cum spiritualiter inter se circumspicientes disserunt. Talia namque cognitiones quædam sunt Deo probatæ. In his autem est notandum quod hic scite et sapienter modulator apposuit dynastiæ Deum cognitionum, ostendens quod, sicut hominem perfectum scimus esse verbo et opere conspicuum, sic et Deum nosse convenit dynastam et cognitorem ; maxime vero super omnes hujusmodi, qui talis cum sit et cognoscens et potens quod in Anna faciendum erat hoc, nullo cooperatore fecit.

νέσεως ; Αὐτὸς γὰρ μόνος τῷ ὄντι σοφώτατος, καὶ καθὰ πάνσοφος, οὕτω καὶ παγγνώστης, καὶ οὐ γνώσεως ἢ γνώσεων, ἀλλὰ τῶν γνώσεων πασῶν Κύριος· ἐξ ὧν συνάγεται καὶ ὡς κακίας καὶ οὐδεμιᾶς ἐκεῖνος αἴτιος. Ἡ γὰρ ἁμαρτία οὐ γνῶσις, ἀλλ' αὐτόχρημα ἄγνοια. Ἐὰν δὲ αὐτὴ ἄγνοια, οὐδὲ σοφίαν ἄρα ὁ ἁμαρτάνων ἔχει καθὸ ἁμαρτάνει· πάνσοφος ἄρα καὶ ἁγιώτατος ὁ τῶν γνώσεων Κύριος. Εἰ δὲ μία τῶν γνώσεων καὶ ἡ κατὰ τὴν Ἀδαμιαίαν εὐλογητὴν συζυγίαν, καθ' ἣν ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ, γινώσκουσαν δήπου καὶ αὐτὴν ἐκεῖνον, καὶ ταύτης ἄρα γνώσεως Θεὸς ὁ Θεός. Ποιήσει ἄρα καὶ ἐπ' αὐτῇ ἀξιολογώτατον συμπέρασμα, καὶ ἐπιτήδευμα ἐπινεύσας εἰς συμπλήρωσιν οὗ αὐτὴ ᾔξατο.

οζ'. Οὐκ ἀνένδεκτον δὲ εἰπεῖν ἐνταῦθα καὶ ὡς θεολογεῖ συνεπτυγμένως ἡ προφῆτις, πάντων τῶν ἀγαθῶν αἴτιον εἶναι δοξάζουσα τὸν Θεόν. Θεὸς γάρ φησι γνώσεων, οὐδεμία δὲ γνῶσις δημιουργικὴ ἀργοῦσα παρ' ἐκείνῳ ἀπόκειται, ἀλλὰ πᾶσαι εἰς ἔργον ἀποτελοῦνται ἀγαθὸν, καὶ αὐτὸ πάντως καὶ πρέπον τοιούτῳ παναγάθῳ δημιουργῷ. Οὐκ ἂν δὲ εἴη πάρεργον εἰπεῖν καὶ ὅτι συμπαρεκτείνονται τῇ γνώσει τῇ ἀγαθῇ τῇ κατὰ Θεὸν, καὶ ἡ ἐπαινετὴ πρόγνωσις, καὶ ἡ διάγνωσις, καὶ ἡ ἐπίγνωσις, καὶ ἡ ἐπὶ φθάσασι πταίσμασι δικαία κατάγνωσις, καὶ ἡ ἐλλόγιμος ξύγγνοια ἤγουν συγγνώμη, καὶ ἡ πολυωνύμως καλουμένη μετάγνοια, καὶ μετάνοια, καὶ μετάγνωσις· ἤδη δέ ποτε καὶ ἡ ἀμφίγνοια, ὅτε συζητοῦσι πνευματικῶς οἱ ἀμφιγνοοῦντες. Γνώσεις γάρ τινες καὶ τὰ τοιαῦτα θεοφιλεῖς· ἐν τούτοις δὲ σημειωτέον καὶ ὅτι δεξιῶς καὶ σοφῶς ὁ μελῳδὸς ἐνταῦθα παρέθετο τῷ δυνάστῃ τὸν Θεὸν τῶν γνώσεων δεικνὺς ὡς, καθὰ τὸν τέλειον ἄνθρωπον, δόκιμον οἴδαμεν εἶναι καὶ λόγῳ καὶ ἔργῳ, οὕτω καὶ τὸν Θεὸν εἰδέναι πρέπει καὶ δυνάστην καὶ γνώστην· μάλιστα δὲ ὑπερκοσμίως ὑπὲρ τοιούτους ἅπαντας, ὃς τοιοῦτος ὢν καὶ γινώσκων τὸ ἐπὶ τῇ Ἄννῃ ποιητέον, ἅμα δὲ καὶ δυνατὸς ὢν, ἐποίησεν αὐτὸ οὐδενὸς ἄλλου συμπράττοντος προσδεηθείς.

Troparium primum tertiæ odæ.

Incomprehensibilis est divinissimus principatus.
Rhetores enim demonstravit illitteratos,
Satis sophistas mutire faciendo sermone,
Et a profunda nocte extrahendo
Populos infinitos fulgur Spiritus.

78. Ausit aliquis fortasse hic pulchri operis in proposito tropario, non longe fulgens dicere exordium, quod requirit poeta Thebanus antiquissimus. Si enim in quinto versu positum : ἀστραπῇ τοῦ Πνεύματος non est in dativo, sed nominativo desinit ἀστραπή ordinatque sic aliquis syntaxim : Incomprehensibilis est Spiritus fulgor, non valde laudari posset ob extremam inversionem, et hanc uti quis audacius loqueretur, toto cœlo procul distantiam sive juxta altitudinem cœli supra terram, aut saltem quantum de supra cerni possunt quæ sub terra sunt, aut in profundum demergi potest : namque transiens homo simplex et iners, audito : Incomprehensibilis est divinissima, statim perspicere conatur quænam sit ista, et eum tædet per longum

Τροπάριον πρῶτον τῆς τρίτης ᾠδῆς.

Ἀληπτός ἐστιν ἡ θεαρχικωτάτη.
Ῥήτορας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους,
Ἅλις σοφιστὰς συστομίζοντας λόγῳ·
Καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους
Λαοὺς ἀπείρους ἀστραπῇ τοῦ Πνεύματος.

οη'. Ἔστιν, οἶμαι, τολμῆσαί τινα εἰπεῖν ἐνταῦθα ἔργου καλοῦ τοῦ κατὰ τὸ ἐκτεθὲν τροπάριον μὴ κάνυ τηλαυγὲς πρόσωπον, ὃ δὴ ἀπαιτεῖ ὁ σφόδρα παλαίτατος λυρφδός. Εἰ μὲν γὰρ ἐν τῷ πέμπτῳ στίχῳ κείμενον τὸ ἀστραπῇ τοῦ Πνεύματος οὐκ ἔστι δοτικὴ, ἀλλὰ κατ' εὐθὺ πέπτωκεν ἡ ἀστραπὴ, καὶ συντάξει τις ὅτι ἀληπτός ἐστιν ἡ θεαρχικωτάτη ἀστραπὴ τοῦ Πνεύματος, οὐκ ἂν μάλα ἐπαινοῖτό τις ἄκρας ὑπερβάσεως, καὶ τῆς ὡς ἄν τις τολμηρότερον ὑπερβάλοι, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίας, διαστάσεως, ἢ κατὰ ὕψος οὐρανοῦ ἀπὸ γῆς, ἢ γοῦν ἀλλὰ ἐς ὅσον ἐξ ὑπερῴου τὸ ὑπὸ γῆν ἰδεῖν, ἢ κατακολυμβῆσαι βύθιον. Ὁ γὰρ τῆς παρόδου ἄνθρωπος ὁ ἀπράγμων καὶ ἀφελὴς, ἀκούσας ὡς ἀληπτός ἐστιν ἡ θεαρχικωτάτη αὐτίκα ἰδεῖν ἐντρανίζει, καὶ τίς ἐκείνη ἐστί ;

καὶ ὀκνεῖ ἀναμένειν ἐπὶ μακρὸν τὴν ἀπόδοσιν, καὶ οὕτω μὲν οὐκ ἀναπαύει ἀκοὴν τὸ μακρὸν ὑπερβατόν. Εἰ δέ τι ἄλλο νοήσει τις ἀπὸ κοινοῦ λαβὼν ὄνομα κατὰ συνήθειαν παλαιὰν, ἀλλὰ τοῦτο ξενίσει τὸν μὴ ἐντριβῶς ἀκροώμενον· τάχα γὰρ ἔσται εἰπεῖν ὅτι καθάπερ ἐκ τοῦ βασιλεύειν ῥήματος ὄντος εὕρηταί που εἰλγμένον κατὰ κοινοῦ ὄνομα τὸ ὁ βασιλεὺς, ἢ ὁ βασιλεύων ἐν τῷ, οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν αἶψά τέ οἱ, ἤγουν ἐν τῷ βασιλεῖ δῶμ' ἀφνειὸν πέλεται· ὡσαύτως δὲ καὶ ἐν τῷ δικάσω. Ἰθεῖα δὲ ἔσται ἡ ἐκ τοῦ δικάσω δηλαδὴ ὑπακουσθεῖσα δίκη, οὕτω κάνταῦθα ἐκ τοῦ ἐξέφηνε ῥήματος παρεισδύεται τῇ ἐννοίᾳ, ὅτι ἀληπτός ἐστι ἐκφανσις ἡ ῥήτορας τοὺς ἀγραμμάτους ἐκφήνασα.

A explicationem exspectare (1). Si vero quis aliud quid cogitet, communi juxta morem antiquam sumpto nomine, at istud auditorem non asuetum confundit. Forte namque dici poterit quod, quemadmodum ex regnare, quod est verbum, inventum est derivatum commune nomen rex, vel qui regnat, in hoc : « Non enim aliquid malum est regnare, et sive in hoc.: Regi nobile palatium est; ita etiam in verbo : Judicabo. Rectum vero erit ex judicabo, subauditum sane judicium, sic et ibi ex verbo *ἐξέφηνε* occurrit menti, quod incomprehensibilis est ἐκφανσις quæ illitteratos reddidit oratores.

97. In hoc autem οἷος et in hoc μόνος, differentiam exsistentem examinemus quod *μόνος* quidem, cum, ut aiunt sapientes, ad aliquid conjunctum dicitur, sic ad sibi conjunctos omnes alios filios pronuntiatur. Οἷος autem ad aliquid unum in se dicitur, quod non habet fratrem juxta similitudinem adjunctum. Si ergo synonymiæ causa idem est dicere, οἷος et μόνος, clara tamen interpretatio confusionem inde amovet : dicit enim sacer poeta Dei Verbum solum ipsum ex omnibus filiis generari οἷον, sive unum, ex οἵῳ Patre, sive non conjuncto, ideoque solo. Similis est loquendi modus ac si quis speciatim quemdam in laude segregans, ac nolens alium præter ipsum reputari, diceret quod οἷος sive unus ille possidet istud laudis genus, solus et non cum alio quocunque. Simili modo melodus voces οἷος et μόνος ad Filium Dei consociavit ; οἷον dicens, quia solus iste Filius, nec alius, unus Filius generatus est solus ingenito patrum Patri ; significans his quæ præclare dicit, quod mille quidem sunt mille patribus unigeniti ; οἷος autem vel unus Filius, quod est solus, seu, quod idem est dicere, unigenitus, ex οἵῳ sive uno solo Patre, nullus est alius, nisi tu omnino solus.

98. Memento porro quod si ter vox οἷος vel μόνος in nexu esset, eadem sententia pie conservari posset. Solus enim Salvator soli Patri solus Filius generatus est. Sic autem etiam οἷος ille ex Patre οἵῳ οἷος exivit. Melodus vero locutionem disposuit, alternans, ut metrum dabat. Sciendum etiam quod istud : unum ex uno Patre solum Verbum exiens, non absurde quis diceret antistrophum seu æquipollens huic : Solus unigenitor unigeniti filii Pater. Circa eadem enim ex æquo convertun-

οἷος ἦτοι μονογενὴς καὶ εἷς ἐξ οἷου μόνου Πατρὸς δίχα μητρός. Ὦ γοῦν τοιοῦτε Παμβασιλεῦ, ὁ μόνος καὶ, ὡς οὕτως εἰπεῖν, μονώτατος προελθὼν οἷος ἐξ οἷου, ὡς ἔφαμεν, Πατρός · ἐξέπεμψας ὡς ἀψευδής, καθὰ ὑπέσχου τοῖς σοῖς ἀποστόλοις, ἰσοσθενές σου Πνεῦμα καὶ ἀληθές · δι' αὐτοῦ γὰρ ὡς καὶ διὰ σοῦ καὶ Πατρὸς πνέομεν ζῶντες ἑκατέραν ζωήν · καθότι καὶ κοινῇ εὐεργετεῖτε · ποίοις δέ ; Ἀποστόλοις σου, τοῖς ᾄδουσιν ἐκεῖνο προφητικὸν τὸ, Δόξα τῷ κράτει σου, Κύριε · οὕτω γὰρ ἄμεινον γράφειν ἢπερ δόξαν μετὰ τοῦ ν. Ἄναξ δὲ ἀνάκτων ὁ Σωτὴρ, διότι κατὰ τὸν σοφὸν παροιμιαστὴν δι' αὐτοῦ βασιλεῖς ἅπαντες βασιλεύουσι, ποιμαίνοντες τοὺς περὶ αὐτοὺς παρακλήσει ῥάβδου καὶ βακτηρίας ὁποίαν δώσει ἐκείνοις ὁ Θεός. Οὐ πρὸς ἀκρίβειαν δὲ πέφρασται τὸ ἄναξ ἀνάκτων, οἷα προσισταμένου τοῦ μέτρου · οὐ γὰρ ὁ ἁπλῶς ἀνάκτων ἄναξ, ἐκεῖνος καὶ παμβασιλεύς ἐστι · μυρίοι γοῦν ἐν τῷ κόσμῳ ἀνάκτων καὶ γεγόνασι καὶ εἰσὶν ἄνακτες, καὶ ὅμως οὐ λέγονται παμβασιλεῖς ἢ παντάνακτες. Ὁ γοῦν πεζολογικὸς ἱεροψάλτης ἀσφαλέστερον εἶπεν ἐπὶ Θεοῦ τὸ, Ὁ τῶν ἀνάκτων ἄναξ καὶ Θεός.

ιζ'. Ἐν δὲ τῷ οἷος καὶ ἐν τῷ μόνος χρὴ ἐπιστῆσαι τῇ κατ' αὐτὰ διαφορᾷ, καὶ νοῆσαι ὅτι τὸ μὲν μόνος πρός τι συζυγοῦν, ὥς φασιν οἱ σοφοὶ, λεγόμενον, ὡς πρὸς συζυγοῦντας αὐτῷ φράζεται τοὺς ἄλλους ἅπαντας υἱούς · τὸ δὲ οἷος πρός τι ὂν καὶ αὐτὸ, οὐκ ἔχει σύζυγον ἀδελφὸν κατὰ τὸ εἰκός · ὥστε εἰ καὶ ταυτόν ἐστι συνωνυμίας λόγῳ οἷος εἰπεῖν καὶ μόνος, ἀλλὰ ἡ σαφὴς ἑρμηνεία διευκρινήσει τὴν ἐν αὐτοῖς σύγχυσιν · λέγει γὰρ ὁ ἱερὸς οὗτος ποιητὴς τὸν τοῦ Θεοῦ Λόγον μόνον αὐτὸν ἐκ πάντων γεννηθῆναι υἱῶν οἷον, ἤγουν ἕνα ἐξ οἷου πατρὸς ἤτοι ἀσυνδυάστου καὶ δι' αὐτὸ μόνου · καὶ ἔστιν ὅμοιος ὁ λόγος, ὡς εἰ καί τις ἰδίᾳ μονάζων τινὰ κατ' ἐξαίρετον καὶ ὀκνῶν συνεπινοηθῆναι αὐτῷ καὶ ἕτερον, εἴποι ὅτι οἷος ἤγουν εἷς οὗτος τόδε τι ἔσχε σεμνὸν μόνος καὶ οὐ σύν τινι ἑτέρῳ · ὥστε καὶ ὁ μελῳδὸς τοιούτῳ λόγῳ συνεδύασε τὸ οἷος καὶ τὸ μόνος ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ · ὡς οἷον εἰπὼν ὅτι μόνος οὗτος Υἱὸς καὶ οὐδείς ποτε οὐδαμοῦ ἄλλος, εἷς Υἱὸς γέγονε μόνος, ἀγεννήτῳ πατέρων Πατρί · νοῶν ἐν οἷς γοργῶς φράζει, ὅτι μονογενεῖς μὲν μυρίοι τοῖς αὐτῶν τοκεῦσιν · οἷος δὲ ἦτοι εἷς υἱὸς, ὅ ἐστι μόνος, ταυτὸν δ' εἰπεῖν μονογενὴς, ἐξ οἷου ἤτοι ἑνὸς μόνου τοῦ Πατρὸς, οὐδεὶς ἄλλος ὅτι μὴ σὺ μονώτατος.

ιη'. Ἰστέον δὲ ὡς εἰ καὶ τρὶς τὸ οἷος, ἢ τὸ μόνος ἐν τῷ εἱρμῷ ἔκειτο, ἡ αὐτὴ ἔννοια εὐσεβῶς εἶχε σώζεσθαι · μόνος γὰρ ὁ Σωτὴρ τῷ Πατρὶ μόνῳ μόνος Υἱὸς γέγονεν · οὕτω δὲ καὶ οἷος αὐτὸς ἐκ Πατρὸς οἷου οἷος προῆλθεν. Ὁ δὲ μελῳδὸς διῴκησε τὴν φράσιν, ἀλλάξας ὡς τὸ μέτρον ἐδίδου. Ἔτι ἰστέον καὶ ὅτι τὸ οἷος ἐξ οἷου μόνος ; Λόγος προελθὼν Πατρὸς, ἀντίστροφον εἴποι τις ἂν οὐκ ἀπροσφυῶς, εἴτουν ἰσόστροφον τῷ, Μόνε μονογεννῆτορ μονογενοῦς ; Υἱοῦ Πατήρ. Περὶ τὰ αὐτὰ γὰρ ἐξ ἴσου στρέφονται ἄμφω

νοήματα· εἰ καὶ ἐκεῖνο μὲν ἐκ τοῦ Πατρὸς ἀρξάμενον ὡς μόνου μονογεννήτορος εἰς τὸν μονογενῆ κατέληξεν Υἱόν. Τοῦτο δὲ ἀνάπαλιν· διάφορον δὲ ἀμφοῖν, ὅτι ἐκεῖ μὲν ἐξήρκεσεν ἀσφαλῶς τριπλωθὲν τὸ μόνος, ἐνταῦθα δὲ ἅπαξ αὐτὸ ἐρρέθη ὡς τοῦ οἷος τῇ διπλώσει τὸν ἐκείνου τόπον ἀναπληρώσαντος· ὅτι δὲ ψιλοῦται καλῶς τὸ οἷος ὁ μόνος, παραδιδόασιν οἱ παλαιοὶ λέγοντες ὡς ἐκ τοῦ ἷος ἀρσενικὸν μὲν γένος οὐ παρελάβομεν· θηλυκὸν δὲ εὑρῆται ἷα ἡ μία· φαίνεται δὲ καὶ οὐδέτερον αὐτοῦ εἶναι ἷον τὸ ἕν, κατὰ τὸν εἰπόντα θανεῖν τινας ἰῷ ἥματι ἢ ὡς ἑνί· ὃ περισπώμενον καταφεύξεται εἰς τὴν ἀναλογίαν τοῦ θηλυκοῦ. Ὥσπερ γὰρ ἷα μὲν βαρυτόνως, ἡ δὲ γενικὴ ἰᾶς περισπωμένως ὡς μία μιᾶς, οὕτω καὶ ἷον μὲν τὸ ἕν κατὰ βαρυτόνησιν, ἰοῦ δὲ καὶ ἰῷ μετὰ περισπωμένης, αἱ πλάγιοι.

ιθ'. Ἀναίτιον δὲ Πατέρα τὸν ἀγέννητον λέγει, ὡς μὴ γενόμενον καὶ αὐτὸν αἰτιατὸν ἐν τῷ σχεῖν πατέρα αἴτιον τῆς αὐτοῦ γενέσεως κατὰ τοὺς ἐν τῷ κόσμῳ. Διὸ αὐτὸς μὲν αἰτιός ἐστιν ὡς Πατὴρ Υἱοῦ αἰτιατοῦ κατὰ μόνον τὸ γεννηθῆναι. Ἄλλος δέ τις οὐκ ἔστιν αὐτοῦ δὴ τοῦ Πατρὸς αἴτιος· οὐκοῦν ἀναίτιος ὁ Πατὴρ λέγεται παρὰ τὸ μὴ ἔχειν Πατέρα αἴτιον τοῦ εἶναι τοῦτον. Ὅτι δὲ τὸ μὲν αἴτιον τῷ Πατρὶ προσαρμόττει, τὸ δὲ αἰτιατὸν τῷ Υἱῷ, παραδέδοται καὶ θεολογικῶς· σημείωσαι δὲ ὅτι ὁμώνυμος λέξις ὁ ἀναίτιος, ὁ μὴ ἔχων αἰτίαν, ἢ ὡς μὴ ὑποκείμενος αἰτιάματι, ὅ ἐστι μομφῇ τινι, ὃς καὶ οὐκ αἴτιος λέγεται, ὡς τὸ, *Οὔτι μοι αἰτίη ἐσσί*· ἢ ὡς οὐχ ὑπάρχεις μοι μεμπτέα, οὐδὲ ἔχω αἰτιάσασθαί σε· καὶ τοῦτο μὲν ἓν σημαινόμενον τοῦ ἀναίτιος· ἄλλως δὲ φιλοσόφως ἀναίτιος ἐνταῦθα Πατὴρ, ὁ μὴ ἔχων αἴτιον γεννήσεως τῆς ἑαυτοῦ, ἀλλ' αὐτὸς δηλαδὴ αἴτιος γεννήσεως τοῦ Υἱοῦ, αἰτιατοῦ δηλαδὴ αὐτοῦ ὄντος· τὸ γὰρ αἴτιον ἀεὶ πρὸς αἰτιατὸν λέγεται, ὡς καὶ αἰτιατὸν πρὸς αἴτιον· καὶ ἀεὶ αἴτιος μὲν ὁ Πατὴρ πρὸς Υἱόν, αἰτιατὸς δὲ αὐτὸς πρὸς Πατέρα· καὶ οὕτω μὲν σεμνότατα ὁ Πατὴρ Θεὸς ἀναίτιος λέγεται· ἄλλως δὲ κατὰ τὴν κοινὴν σημασίαν εἰπεῖν αὐτὸν ἀναίτιον ἰδιωτικῶς, ἀληθὲς μέν ἐστιν, οὐ πάνυ δὲ σεμνόν. Τί γὰρ ὑψηλὸν ἀναίτιον ἡγοῦν ἄψογον καὶ ἄμεμπτον εἰπεῖν τὸν Θεὸν, καὶ ἐπὶ ποίᾳ αἰτιάσει; ὅπερ οὐδὲ ἔνδοξος ἄνθρωπος ἀκούσας ὑπὲρ ἑαυτοῦ, ἀποδέξαιτο ἂν ἐς λίαν.

ρ'. Ἰστέον δὲ ὅτι τε οὐ ταυτὸν αἰτιατὸς καὶ αἰτιατέος, ἀλλὰ ὁ μὲν αἰτιατὸς ἀγαθὴ λέξις, ὁ δὲ αἰτιατέος ἐπίψογος· καὶ ὅτι εἰ ἀναίτιος ἐνταῦθα ὁ Πατὴρ, καθὰ εἴρηται, ἀλλὰ τρόπον ἄλλον αἰτιός ἐστι πάντων τῶν ὄντων, καὶ σὺν αἰτιώμεθα παντὸς καλοῦ, ἤτοι αἴτιον κρίνομεν πάντων τῶν ἀγαθῶν. Μηδεὶς δὲ παίζων λεγέτω καὶ τὸ μὴ ὂν καὶ τὸ μηδὲν ἀναίτια εἶναι, ὡς μὴ ὄντος τινὸς αἰτίου αὐτῶν. Τὸ μὲν γὰρ αἴτιον ὄντος τινὸς αἴτιον, εἴτε οὐσία ἐκεῖνο τὸ ὂν εἴτε συμβεβηκός· τὸ δὲ μὴ ὄν, καὶ τὸ μηδὲν, οὐσίᾳ μὴ ὄντα, ὥσπερ οὐ τὸ αἴτιον, οὕτως οὐδὲ τὸ ἀναίτιον ἔξουσι κατηγορούμενον ἑαυτῶν· εἰ

A tur ambæ sententiæ, licet hoc a Patre incipiens tanquam solo unigenitore ad Filium unigenitum desinat, illa vero e contrario. Ambobus autem discrepantia, quod hic suffecit triplicata vox μόνος, illic vero semel dicta fuit, tanquam voce οἷος duplicata locum hujus implente. Quod autem recte spiritu tenui notetur οἷος (solus) tradunt antiqui, dicentes nos ex *Ἷος* genus quidem masculinum non accepisse, sed femininum inveniri *Ἷα* (sola). Videtur autem etiam ipsius neutrum esse *Ἷον* (unum), secundum dicentem quosdam esse mortuos ἰῷ telo seu tanquam uno; quod circumflexum aufugiet ad analogiam feminini : sicut enim ἷα quidem gravi tono est, genitivus autem circumflexo, tanquam μία μιᾶς ; sic etiam ἷον quidem (unum), erit cum gravi tono, casus autem obliqui ἰοῦ et ἰῷ cum circumflexo.

99. Ἀναίτιον vero Patrem ingenitum dicit, non causam ipsum agnoscentem in habendo patre suæ generationis causa, secundum eos qui sunt in mundo. Ideo ipse quidem est causa ut Pater Filii causam habentis in solo generationis puncto ; alius autem quis non est Patris principium. Itaque Pater ideo dicitur ἀναίτιος, quatenus ipse non habet patrem suæ existentiæ causam. Quod autem causa Patri conveniat, causatum vero Filio, theologice traditum est. Notandum est autem dictionem *ἀναίτιος* (qui non habet causam), esse homonymam, sive quod iste non subjaceat causæ, id est, cuidam criminationi, et dicitur οὐκ αἴτιος, ut istud : *nihil mihi causa est*, sive quod dicatur : Tu mihi crimi-

B

C

nanda non es, nec ego te accusare habeo : et hoc quidem est unum vocis ἀναίτιος significatum; aliter autem hic philosophice dicitur ἀναίτιος Pater, qui non habet suæ generationis causam, sed ipse sane causa est generationis Filii, causam reipsa habentis. *Αἴτιον* enim semper ad *αἰτιατὸν* refertur, velut affectus ad causam ; et semper causa Pater est quoad Filium, causatus autem hic quoad Patrem. Et ita quidem honorifice Deus Pater *ἀναίτιος* dicitur. Alias autem, juxta communem significationem, ipsum privatim *ἀναίτιον* dicere, verum quidem est, non autem multum honorabile. Quid enim sublime ἀναίτιον, sive insontem, sive irreprehensum, dicere Deum, et super quam criminationem ? Quod nec illustris homo de se taliter audiens in magnum acciperet.

D

100. Nota autem idem non esse αἰτιατὸς et *αἰτιατέος*, sed *αἰτιατὸς* bonam esse locutionem, *αἰτιατέος* vituperabilem. Insuper si Pater hic est ἀναίτιος, ut fuit dictum, at alio modo bonorum omnium est αἴτιος seu causa, ipsumque cujuslibet boni facimus auctorem, sive causam omnium bonorum judicamus. Nemo vero ludens dicat id quod non est et id quod est nihil, ἀναίτια esse, quatenus ipsorum non est aliquis auctor ; quod enim est αἴτιον, cum sit alicujus entis causa, id sive substantia sive accidens est ; quod autem non est et quod est nihil. cum substantiæ non sint, sicut non

αἴτιον sic neque ἀναίτιον de semetipsis habebunt pronuntiatum. Si vero forte quis dicat substantiam illius quod non est vel est nihil, ipsum nihil esse, ludit ille substantiam et ens affirmans, id quod reipsa non est et est nihil ; et verba per quæ contradicit in absurdum abducens sermonem. Adde illum etiam esse αἴτιον seu principium, cum medio dicitur, qui dat impulsum actionis vel passionis, sive irreprehensæ sive reprehensæ. Invenitur autem locutio privatim accepta ad aliquid solitarium et in vituperationem ; qualiter αἴτιος qui scripsit Callimachi causas sive culpandus vel reprehendendus est qui talia scripsit. Nomen proprium Παναίτιος, venerabilem videtur tamen habere laudem, philosopho congruentem, causam cujuslibet rei tradenti debitam: quod positivæ philosophiæ proprium est, vereque divinum et Deo conveniens, apud quem, ut omnium causam, cunctorum sunt principia bonorum, quique cuncta sciens, immittit scientiam illis qui secundum hominem philosophiæ studeat, aliis quidem cum abundantia, aliis autem aliter, prout vult.

A δὲ τυχὸν οὐσίαν τοῦ ὄντος καὶ τοῦ μηδενὸς ἐμέ τις εἶναι αὐτὸ τὸ μηδὲν, παίζει καὶ οὗτος, οὐσίαν λέγων καὶ ὄν, τὸ αὐτόχρημα μὴ ὂν καὶ μηδέν· καὶ οὕτως εἰς ἄτοπον ἀπάγων τὸν λόγον οἷς ἀντιφάσκει· ἔτι ἰστέον καὶ ὅτι αἰτιός ἐστι μὲν, ὅτε λέγεται μέσως, ὁ ἀφορμὴν δοὺς πράξεως ἢ πάθους τινὸς, ἢ ἀψόγου ἢ ἐπιψόγου· εὕρηται δὲ ἡ λέξις ἰδίως ληφθεῖσα κατά τι μονῆρες καὶ ἐπὶ ψόγου· οἷον αἴτιος ὁ γράψας αἰτια Καλλιμάχου, ἤτοι αἰτιατέος καὶ κολαστέος ὁ γράψας ἐκεῖνα. Ὁ μέντοι Παναίτιος τὸ κύριον, εὐφημίαν ἔχειν δοκεῖ σεμνὴν, φιλοσόφῳ πρέπουσαν, παντὸς πράγματος αἰτίαν ἀποδιδόντι δέουσαν· ὃ τῆς ἀνυποθέτου φιλοσοφίας ἴδιόν ἐστι, καὶ θεῖον αὐτόχρημα, καὶ Θεῷ πρέπον, παρ' ᾧ πάντων αἱ αἰτίαι τῶν ἀγαθῶν ὡς πανταιτίῳ, καὶ ὃς πάντα εἰδὼς διαπέμπει γνῶσιν καὶ τοῖς κατ' ἄνθρωπον φιλοσοφοῦσι, τοῖς μὲν ἐξ ἐπιμέτρου, τοῖς δ' ἄλλως, ὡς βούλεται.

B

101. Æquipollentem vel ejusdem potentiæ dicere Spiritum, eamdem vim habet. Idem est dicere de ὁμοσθενὲς, non autem de ὁμοιοσθενές : sicut enim dogmatice prohibemur dicere ὁμοιοούσιον, sic etiam ὁμοιοσθενὲς necnon ὁμοιοδύναμον, in his quæ spectant ad sanctam Trinitatem. Sciendum autem etiam quod si quidem scriberetur : Par tibi potentia, verbum eamdem vim haberet nec aliqua explanatione egeret. Si vero alias scribitur: Πνεῦμά σου par potentia, ut legas : spiritus tuus par tibi potentia, sententia remittenda est ad psallentem : Spiritum qui meus est et Patris, mittam, jam alias sufficienter explicatum. Νημερτὲς autem venit a νη privativo et a verbo ἁμαρτάνειν, et significat verax et infallibile, quomodocunque veracitas inter homines exerceri possit et secundum id quod non diceretur homo mendax. Non autem a recto deviaret, qui tanquam adverbium hanc expressionem acciperet, uti prius hoc monstratum est, ita ut poeta dicat: Vere misisti. Non enim erat possibile te mentitum fuisse discentem : promissionem Patris te discipulis fore missurum. Tuus enim sermo veritas est, et te scimus esse veritatem ipsam, non minus ac tuos in sanctitate compares Patrem et Spiritum. Locutio : Misisti apostolis, aliquid habere nunc etiam sanctum Spiritum demonstrat ; nec mirum est ita sentire : Paracletus enim sanctus Spiritus apostolis missus est; Salvator autem Christus nuntius nobis a Patre salutaris venit; sicut angelus, qui super omnes angelos est, utpote supersubstantialis. Vox autem *beneficus* ostendit manifestissime beneficentiam esse quæ a Deo veniunt charismata, nec omnino tantum in particulari, sed communiter : bonum igitur tunc apostolis missum, ad nos hucusque pervenit et in æternum perveniet. Hæc autem, Gloria potestati tuæ, insinuatio est quod potentes ad imitationem Dei beneficos esse oportet.

ρα'. Ἰσοσθενὲς δὲ Πνεῦμα εἰπεῖν καὶ ταυτοσθενὲς, τὴν αὐτὴν ἔχει δύναμιν· ἤδη δὲ καὶ ὁμοσθενὲς, οὐ μὴν καὶ ὁμοιοσθενές. Ὡς γὰρ κεκώλυται δογματικῶς τὸ ὁμοιοούσιον, οὕτω καὶ τὸ ὁμοιοσθενὲς ἐπὶ τῆς ἁγίας Τριάδος, καθάτε τὸ ὁμοιοδύναμον. Ἰστέον δὲ καὶ ὡς εἰ μὲν γράφεται ἰσοσθενές σοι, τὴν αὐτὴν ἔχει δύναμιν, οὐ δέεταί τινος ἐπιστασίας τὸ ῥητόν· εἰ δ' ἄλλως γράφεται ἰσοσθενές σου Πνεῦμα, ἵνα λέγῃ τὸ Πνεῦμά σου τὸ ἰσοσθενές σοι, ἀναπεμπτέον τὴν ἔννοιαν εἰς τὸν ψάλλοντα, τὸ Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρὸς ἀποστελῶ, ἐξηγημένον ἑτέροις ἱκανῶς. Τὸ δὲ νημερτὲς γίνεται μὲν ἐκ τοῦ νη στερητικοῦ καὶ τοῦ ἁμαρτάνειν, καὶ δηλοῖ ἀληθὲς καὶ ἄπταιστον ἐν τῷ ὁπωσοῦν ἀνθρωπίνως ἀληθεύειν· καθ' ὃ καὶ ἄνθρωπος οὐκ ἀφαμαρτοεπὴς ῥηθείη ἄν. Οὐκ ἂν δὲ σφαλείη τοῦ δέοντος, εἴ τις καὶ ὡς ἐπίῤῥημα ἐνταῦθα λάβῃ τὴν λέξιν ταύτην, καθὰ καὶ αὐτὸ προδεδήλωται, ἵνα λέγῃ ὁ Ποιητὴς ὅτι, Ἀψευδῶς ἐξέπεμψας. Οὐ γὰρ ἦν ψεύσασθαί σε εἰπόντα ὡς τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἐξαποστελεῖς τοῖς μαθηταῖς. Ὁ γὰρ λόγος ὁ σὸς ἀλήθειά ἐστι, καθάτε καὶ αὐτοαλήθειάν σε οἴδαμεν κατ' ἴσον τοῖς συναγιωτάτοις τῷ Πατρὶ καὶ τῷ Πνεύματι· τὸ δὲ, Ἐξέπεμψας ἀποστόλοις, ἔχειν τι ἄρρεν καὶ τὸ ἅγιον Πνεῦμα δηλοῖ· καὶ καινὸν οὐδέν ἐστιν οὕτω νοῆσαι· Παράκλητον γὰρ τὸ ἅγιον Πνεῦμα τοῖς μαθηταῖς ἀπέσταλται, καὶ ὁ Σωτὴρ δὲ Χριστὸς ἀπόστολος ἡμῖν παρῆλθεν σωτήριος ἦλθεν· καθὰ καὶ ἄγγελος ὁ ὑπὲρ πάντας ἀγγέλους, ὅτι καὶ ὑπερούσιος· τὸ δὲ ὡς εὐεργέτης, δηλοῖ σαφέστατα εὐεργεσίαν εἶναι τὰ θεόθεν χαρίσματα, καὶ πάντως οὐχ ἁπλῶς ἐν μέρει, ἀλλὰ κοινάς. Τὸ γοῦν τοῖς ἀποστόλοις πεμφθὲν ποτε ἀγαθὸν, καὶ εἰς ἡμᾶς διαβαίνει μέχρι καὶ νῦν, καὶ εἰς αἰῶνας διαβήσεται· τὸ δὲ, Δόξα τῇ κράτει σου, αἴνιγμά ἐστι τοῦ χρῆναι τοὺς κραταιοὺς εὐεργετικοὺς εἶναι πρὸς Θεοῦ μίμησιν.

C

D

Τροπάριον πρῶτον τῆς τετάρτης ᾠδῆς. A

VIII. Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας;
Λόγῳ κεραννὺς συντεθειμένῃ φύσει,
Ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου
Νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε,
Ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος.

ρβ'. Χορεύων ἐκκλησιαστικῶς ὁ ἱερὸς οὗτος πνευματοφδὸς, καὶ δαιταλεύων φιλοτήσια καὶ πνευματικῶς τρυφερὰ, καὶ ἀγλαΐζων τὴν ἑορτὴν ἐννοιῶν ποικιλίαις, ὡς ἔξεστιν, ὀχετεύει ἐς τὴν ἅρτι πνευματικὴν πανήγυριν, καὶ θειοτάτου λουτροῦ κέρασμα, οὗ τῷ ἁγίῳ Πνεύματι μέτεστι, τὸ δέ ἐστι τὸ κατὰ τὸ ἅγιον βάπτισμα, καὶ διατίθεται τὴν ἔννοιαν τοῦ τροπαρίου γλυκέως ὡς πρὸς ἀκολουθίαν λουτρώνος ὁποίους οἱ καθαριώτεροι σκευάζουσι· κεράννυται γὰρ παρ' ἐκείνοις τὸ λοῦμα, θυμῆρες αὐτὸ κατὰ κράτος τε καὶ ὤμων κερασμένοις, καὶ ῥεῖθρον ἐκεῖσε χορηγεῖται ἱλαρὸν ὁποῖόν τι καὶ τὸ ὄμβριον· φιλοτιμοῦνται δὲ ζέσιν ἐκεῖνοι ἀγαθύνουσαν. Πρὸς γοῦν τοιαύτην ἰδέαν ἕλκων ὁ μελῳδὸς τὴν διάθεσιν τοῦ ἑορταστικοῦ τοῦδε τροπαρίου, ἔννοιαν γράφει τοιάνδε· Ὦ Θεοῦ Λόγε, τὸ θεῖον λουτρὸν τῆς Χριστιανικῆς παλιγγενεσίας κεραννὺς τῇ κατ' ἄνθρωπον οὐχ ἁπλῇ, ἀλλὰ συντεθειμένῃ φύσει, τῇ ἐκ ψυχῆς δηλαδὴ ἀθανάτου καὶ φθαρτοῦ σώματος· πῶς δὲ αὐτὸ συγκεραννύς; λόγῳ δηλαδὴ σῷ, τουτέστιν ἐλλόγῳ καὶ εὐσύνει καὶ ἀναλογίᾳ πρεπούσῃ τῇ κατ' ἄνθρωπον θεοπλαστίᾳ· ἢ καὶ ἄλλως, Λόγῳ τῷ διὰ τῶν ἁγιωτάτων ἐκκλησιαστικῶν εὐχῶν, ὁμβροβλυτεῖς μοι ἐπέκεινα τῆς λοιπῆς ἱεροτελεστίας τῆς καὶ σωματικῆς φαινομένης, καὶ ἄλλως δὲ θεωρητικώτερον νοουμένης, καὶ τὸ ἐκ τῆς ἀκηράτου σου πλευρᾶς ῥεῖθρον τῆς, γραφικῶς εἰπεῖν, νενυγμένης λόγχῃ στρατιωτικῇ, καὶ τῷ τοιούτῳ θείῳ λουτρῷ προσεπιβάλλεις φιλοτιμότερον τὴν ἔνθεον ζέσιν τοῦ Πνεύματος, τὴν διαθερμαίνουσαν τοὺς τῷ Πνεύματι ζέοντας, ἧς προφανῆ σύμβολα καὶ τὰ ἐκ Πατέρων ἁγίων τύπου θερμὰ ὕδατα· ὅτι δὲ ἡ τοιαύτη τοῦ ἁγίου Πνεύματος ζέσις, ἡ ζωτικὴ, ἡ ζωογόνος, ἡ θεῖον ζῆλον ἐντήκουσα τῇ ψυχῇ, τὸ τελικώτατόν ἐστιν αἴτιον καὶ σκοπιμώτατον τοῦ ἁγίου βαπτίσματος, δηλοῖ ὁ μελοποιὸς εἰπὼν ἐπισφραγίζεσθαι τὴν τοιαύτην ὅλην ἱεροτελεστίαν τῇ ζέσει τοῦ Πνεύματος. Ὡς γὰρ ἐπιβουλευτὸς θησαυρὸς ὁ ἀσφράγιστος, οὕτως ἀκάθαρτον βάπτισμα, καὶ τοῖς ἐπιβούλοις δαίμοσιν εὐπεριφρόνητον τὸ μὴ δι' αὐτοῦ τοῦ ἁγίου Πνεύματος· ὁποῖα τά τε ἄλλων αἱρετιζόντων καὶ τὰ τῶν ἀναβαπτιζόντων ἡμεροβαπτιστῶν, ὧν ἄπεστι τὸ ἅγιον Πνεῦμα, ὡς μὴ εἰδὸς ἐκείνους εἰ καὶ ἐπικαλοῦντας αὐτό. Ἐνθυμητέον δ' ἐνταῦθα λουτρὸν εἶναι θεῖον καὶ τὸ διὰ τῶν δακρύων καὶ τὸ μόναχικόν· οἷς καὶ αὐτοῖς Πνεύματος ἀνθρακεύεται καὶ ἀναλάμπει ζέσις παρὰ τοῖς θερμῶς προσιεμένοις αὐτά. Προσενθυμητέον δὲ καὶ ὅτι καθὰ τὴν εἰρημένην ζέσιν ἐπικοσμεῖ τὸ Πνεῦμα συνεκφωνηθὲν, οὕτω καὶ τὸ θεῖον προστεθειμένον, σύμνωμά ἐστι τοῦ λουτροῦ· καὶ ὁ λόγος δὲ ὁ τοῦ δευτέρου στίχου προκείμενος κόσμημά ἐστι τῆς ἐννοίας, ὡς καὶ εἴρηται καὶ αὖθι, εἰρήσεται.

Tropurium 1 quartæ odæ.

Balneum divinum regenerationis
Verbo miscens compositæ naturæ,
Suppeditas mihi aquam ex incorrupto
Vulnerato tuo latere, o Dei Verbum,
Sigillans fervore Spiritus.

102 Choros ducens ecclesiasticos sacer ille Spiritu plenus, et invitans ad spirituales amabilesque delicias, atque sententiarum varietatibus, ut fit, festivitatem exornans, diducit in præsentem spiritualem cœtum etiam divinissimi balnei mistionem, quod cum sancto Spiritu partem habet (hoc est, sancti baptismatis lavacrum), et eximie sententiam strophæ disponit, tanquam ad balnei consectaria, qualia balneatores parant. Miscetur enim B ab istis lavacrum, in caput et humeros illud gratum infundentibus, huicque velut imber dulce diducitur fluentum. Curant autem isti fervorem bonum. Juxta talem igitur hujus strophæ disponens ordinem melodus, hancce scribit sententiam : O Deus Verbum qui Christianæ regenerationis divinum lavacrum miscuisti naturæ humanæ, non simplici, sed compositæ, ex anima scilicet immortali et corruptibili corpore. Quomodo autem illud commiscuisti? Verbo tuo, id est, rationali ordinatione et analogia ad divinam hominis conformationem convenienti. Aliis verbis, verbo tuo per sanctissimas Ecclesiæ preces, mihi, ultra cæteram imitationem quæ corporaliter apparet, et aliunde theoretice reputatur, tanquam imbrem infundis fluentum ex purissimo tuo latere, C quod, ut expresse loquar, lancea militis est percussum ; talique divino lavacro pretiosum Spiritus fervorem divinitus superaddis, qui spiritu viventes calefacit, cujusque manifesta sunt symbola ex sanctorum Patrum typo, fervidæ aquæ. Quod autem talis Spiritus sancti fervor, vitalis, vivificans, divinum zelum animæ communicans, ultima sit ratio scopusque præcipuus sacri baptismatis, ostendit poeta dicens totam hanc sacram initiationem Spiritus fervore obsignari. Sicut enim non signatus thesaurus insidiis objicitur, sic impurum baptisma, quod non est per ipsum Spiritum sanctum, dæmonibus insidiantibus facile lacessitur : qualia sunt cæterorum hæreticorum baptismata necnon D anabaptistarum quotidie baptizantium, a quibus abest Spiritus sanctus, ut nesciens illos, tametsi ipsum invocent. Hic autem recogitandum est lavacrum esse quoque divinum, illud quod fit per lacrymas, et illud quod monachicum est : his et ipsis Spiritus fervor accenditur et ardet in illis qui fervide suscipiunt ea. In mente vero simul habendum est, quod sicut dictum fervorem exornat Spiritus simul eununtiatus, sic etiam divinum superadditum est lavacri decoramentum. Verbum autem λόγος, qui secundum versum antegreditur, ornamentum est sententiæ, sicut dictum est et iterum dicetur.

103. Regeneratio autem, apud Græcos initium sortita, venit ad nos; lapis tunc forte projectus, ultimo vere divinæ ædificationi coaptatus, sive ex calculo in lychnitam cum splendore mutatus, vel etiam arbuscula non nobilis ex monte Libani, sic in cedri altitudinem aucta, ut culmini sacro conveniat; præter illas autem locutiones, ex indigno in dignum commutata, et ex profano in sanctissimum. Antiquus quidem et varius sapientia poeta non expresse talem adhibuit locutionem, sed illam tantum indicavit, dicens: Nunc quidem jactator nec sis, nec fias; hoc enim: nec sis nunc vivens, nec fias, in futurum scilicet, regenerationis æquivalet voci. Post illum autem, discipuli Pythagoræ ei dederunt nomen, παλιγγενεσίαν dicentes iterum atque iterum fieri per metempsychosin post mortem, ut isti aiebant, in eo quod a corporibus in corpora transfunderentur sive transmigrarent hominum animæ, sicque periodos percurrerent, quas illi strabis intuentes oculis spectaverant. Et certe taliter hujusmodi transmissionem firmavit, ut non solum greges exteriores talem mortiferam manducarent herbam, sed et quidam ex ovili et aula Christiana, inter quos præcipue mirabitur aliquis sapientem Origenem in irrationalem hæresim ita fuisse illapsum, postquam retrorsum a sana mente cecidit.

104. Sanctissima tamen Ecclesia pulcherrimum renovationis nomen sciens pessimæ sententiæ impositum, et inanitatis causa quod in desuetudinem veniret periclitari, illud celebravit, statum post migrationem ex præsentibus in meliora, regenerationem dici statuens, eo quod pro mundi generatione corruptibili sit illic incorruptibilis, et transformationem hujus vitæ in bonum, præsertim cum sacra tonsura pure sanctificamur, eadem honorans appellatione, quasi nunc iterum facti fuerimus in vitam editi. Gratias tibi, o pulchra dictio Christiana, quod ita lectionem hanc, augustam quidem, sed dehonestatam sententia, cui servierat, nobiliter liberatam in honestum attulisti donum Deo, qui sanctificatos sibi per pœnitentiam purificat, tanquam per desideratum lavacrum, et statim hoc honoris nomen ferre permittit. Notandum est autem quod communem usum et scripturam sequentes παλιγγενεσίαν hic dicimus, in hoc recte agentes. Si vero iambico inhærendum est metro, et omnino ab illo in præsentibus non est recedendum, παλιγγενησίαν hic oportet scriptum fuisse, ut antepenultimum ita rectam perficiat mensuram; alias enim claudicat. Et est illo quoque sensus accuratus: Sicut enim hoc sacro lavacro renovamur, sic etiam magis proprie rursum generamur tanquam filii Dei: ita ut bonum sit, quod communius, παλιγγενεσία, necnon παλιγγενησία, quod ibi metrum requirit.

105. Hoc autem λόγῳ, de quo jam scriptum est, conjungi potest etiam cum composita natura. Verbo

ργ'. Ἡ παλιγγενεσία δὲ ἀπὸ Ἑλλήνων ἀρχὴν λαβοῦσα, ἐφ' ἡμᾶς ἦκει, λίθος παρερριμένος μὲν εἰκῇ τότε, ὕστερον δὲ οἰκοδομῇ θείᾳ παρεντεθεὶς εἰς εὐάρεστον, ἢ καὶ ἀπὸ κάλικος εἰς λυχνίτην ἐκφανεὶς, ἢ καὶ ἀπὸ ὄρους Λιβάνου φυτάριον οὐκ εὐγενὲς, κεδρωθὲν σεμνότατα ὡς ἐμπρέπειν ὀρόφῳ ἱερῷ· δίχα δὲ τοιούτων φράσεων ἀπὸ ἀναξίου μεταποιηθεῖσα εἰς ἄξιον, καὶ ἀπὸ ἀνιέρου εἰς ἁγιώτατον· καὶ ὁ μὲν παλαιὸς καὶ ποικίλος τὴν σοφίαν ποιητὴς οὐκ ἐξεφώνησε ῥητῶς τὴν τοιαύτην λέξιν, ἀλλ' ἐνέφηνε μόνον αὐτὴν εἰπών, Νῦν μὲν δὴ μήτε εἶης βουγάϊε, μήτε γένοιο· - τὸ γὰρ μῆτε νῦν εἶης ζῶν, μήτε γένοιο, εἰς τὸ μέλλον δηλαδὴ, παλιγγενεσίαν φασὶν αἰνίττεται· μετ' ἐκεῖνον δὲ οἱ ἀμφὶ τὸν Πυθαγόραν καὶ ὠνόμασαν αὐτὴν, παλιγγενεσίαν εἰπόντες τὸ πάλιν καὶ πάλιν γίνεσθαι μετεμψυχωμένους μετὰ θάνατον, ὡς εἶπον ἐκεῖνοι, ἐν τῷ μεταγγίζεσθαι εἴτουν μετεμβιβάζεσθαι ἀπὸ σωμάτων εἰς σώματα τὰς τῶν ἀνθρώπων ψυχὰς, καὶ περιόδους οὕτως ἑλίττειν ἃς ἐκεῖνοι παραβλέποντες ἐθεώρησαν· καὶ δὴ ἐστερέωσε τὴν τοιαύτην ὑπόληψιν εἰς τοσοῦτον, ὡς μὴ μόνον τὰ ἔξω βοσκήματα ἐμφαγεῖν τῆς τοιαύτης ὀλεθρίου βοτάνης, ἀλλὰ καί τινας τῆς Χριστιανικῆς μάνδρας τε καὶ αὐλῆς, ὧν ἐν τοῖς μᾶλλον τὸν σοφὸν Ὠριγένην θαυμάσει τις οὕτω συναπαχθέντα εἰς ἀλόγιστον αἵρεσιν ἐν τῷ ἀνάπαλιν πεσεῖν τοῦ φρονεῖν ὀρθά.

ρδ'. Ἡ μέντοι ἁγιωτάτη Ἐκκλησία γνοῦσα κάλλιστον ὄνομα τὸ τῆς παλιγγενεσίας χειρίστῃ ἐννοίᾳ ἐπιτεθειμένον καὶ κινδυνεῦον ἀχρειωθῆναι ἀχρηστίας λόγῳ, ἐκλέϊσεν αὐτὸ τήν τε μετὰ τὴν ἐκ τῶν ὧδε μετάστασιν εἰς τὰ κρείττονα παλιγγενεσίαν κυρώσασα λέγεσθαι, διὰ τὸ ἀνάπαλιν τῇ κατὰ κόσμον ἐν τοῖς φθαρτοῖς γενέσει ἄφθαρτα εἶναι τὰ ἐκεῖ, καὶ τὴν ἐν ὅσῳ δὴ ζῶμεν μεταποίησιν εἰς τὸ καλὸν, πρῶτα μὲν διὰ κουρᾶς ἁγίας ὁσιωθῶμεν ἐκείνῳ καθαρῶς, τῇ αὐτῇ σεμνύουσα κλήσει, ὡς εἰ καὶ ἄρτι πάλιν γεγονότες εἰς βίον προήλθομεν. Χάρις σοι, ὦ καλὴ Χριστιανικὴ λεκτική, ὅτι οὕτω λέξιν ταύτην σεβασμίαν μὲν, ἀτιμουμένην δὲ ὑπὸ ἐννοίας, ᾗ κατεδουλώθη, εὐγενῶς λυσαμένην προσεκόμισας εἰς δῶρον τίμιον τῷ Θεῷ ἐκκαθαίροντι τοὺς αὐτῷ διὰ μετανοίας οἰκειουμένους, ὅσα καὶ λουτροῦ ἐφετοῦ καὶ αὖτίκα φορεῖν διδόντι τοιοῦτον σεμνότητος ὄνομα· σημείωσαι δὲ ὡς τῇ κοινῇ παρακολουθοῦντες χρήσει τε καὶ γραφῇ παλιγγενεσίαν ἐνταῦθά φαμεν· καλῶς τοῦτό γε ποιοῦντες. Εἰ δέ γε τῷ ἰαμβικῷ προσεκτέον μέτρῳ, πάντως δὲ χρὴ μὴ ἀποστῆναι αὐτοῦ ἐν τοῖς παροῦσι, παλιγγενησίαν ἐνταῦθα χρὴ γράψαι, ἵνα προπαραλῆγον ἐν τῇ τοιαύτῃ λέξει τὸ ἦτα εὐμετρίαν ἀποτελῇ· ἄλλως γὰρ ἔσφαλται· καὶ ἔστιν ὁ τοιοῦτος νοῦς ἀκριβὴς καὶ αὐτός. Ὡς γὰρ πάλιν γινόμεθα τῷ ἁγίῳ λουτρῷ, οὕτω καὶ ἔτι προσφυέστερον πάλιν γεννώμεθα ὡς υἱοὶ Θεοῦ· ὥστε καλὸν καὶ ἡ παλιγγενεσία κοινότερον, καὶ ἡ παλιγγενησία, ἣν ἐνταῦθα τὸ μέτρον ἀπαιτεῖ.

ρε'. Τὸ δὲ λόγῳ, περὶ οὗ καὶ προεγράφη, δύναται κολλᾶσθαι καὶ τῇ συντεθειμένῃ φύσει· λόγῳ

γὰρ Θεοῦ συντίθειται ὁ ἄνθρωπος διεξοδικωτέρῳ, καὶ οὕτω πλείονι καὶ ἐνδοξοτέρῳ τῶν πρὸ αὐτοῦ παραχθέντων, ὡς ἔστιν ἐκ τῆς θειοτάτης Γραφῆς ἀναλέξασθαι. Καὶ τοίνυν κατὰ τοιαύτην ἴσως ἔννοιαν συντεθειμένη φύσις ἠθικῶς ὁ ἄνθρωπος λέγοιτ' ἄν· ἄλλως γὰρ καὶ τὰ ἄλλα σώματα κελεύσει τοῦ Θεοῦ γεγονότα σύνθετά εἰσιν, οὐ δήπου γὰρ ἁπλᾶ. Τὸ δὲ κεραννὺς, καλὸν ὂν εἰς τὴν κατὰ τὸ λουτρὸν τροπὴν, οὐδὲ εἰς τὴν τοῦ ἁγίου βαπτίσματος ἔννοιαν ἀκαλλές ἐστι· καὶ γὰρ καὶ ἐκεῖνα μυστηριωδῶς κεράννυται, ὡς οἴδασιν οἱ μεμυημένοι πρ' οἷς καὶ τὸ ἁγιώτατον μύρον καὶ τὸ τίμιον ἔλαιον θειότατα μεμυστηρίασται· συμποτικὴ δὲ λέξις οὖσα τὸ κεραννύναι, καὶ παρὰ τὸ κέρας γενομένη, δι' οὗ τὴν πόσιν οἱ παλαιοὶ προσεφέροντο, μετενήνεκται ἄρτι ἐκεῖθεν θειότερον δηλοῦν μίγμα τὸ κατὰ τὸ ἅγιον θερμὸν αἷμα καὶ ὕδωρ τὸ ἐκ τῆς πλευρᾶς τοῦ Σωτῆρος Χριστοῦ. Ἔστι δὲ λογίσασθαι ὅτι πρὸς τὸ κεραννύναι ἴσως ἐπῆκται καὶ ἡ συντεθειμένη φύσις ἡ κατ' ἄνθρωπον, ἵνα ᾖ ἁρμόττον τὸ πνευματικὸν τοῦτο κέρασμα ἤγουν κρᾶμα πρὸς τὸ θεόπλαστον σύνθεμα, καὶ ἀναμιχθῇ συνθέτῳ τούτῳ σύνθετον θειότατον καὶ ἐκεῖνο τὸ ἐκ Θεοῦ. Μάλιστα δὲ λογιστέον ὅτι καὶ αἴνιγμα τῆς φρικτῆς τῶν ἁγιωτάτων μυστηρίων τοῦ Θεοῦ μεταλήψεως, ἡ παροῦσα φράσις ἐστί· κρᾶμα γὰρ ἁγιαστικὸν ἐκεῖ αἵματος κυριακοῦ μυστηριάζεται καὶ ὕδατος καὶ ζέσεως πνευματικῆς τῶν ἐκ πλευρᾶς ἀκηράτου δι' ἧς ἀνεπλάσθημεν. Εἰ δὲ τὸ ἐξ ἀκηράτου πρὸς τὸ κεραννὺς ἐπήχθη κατά τινα, τυχαίαν μὲν, γλυκεῖαν δὲ εἰκασίαν ῥητορικῆς παρηχήσεως ὁποία καὶ τοιαῦτα πολλὰ τοῖς γράφουσι παραπίπτουσιν, οὐκ ἀναγκαῖον ἐξακριβώσασθαι· μόνον δὲ παρασημαντέον ὡς τοιοῦτον καὶ ἐν τοῖς ἑξῆς τὸ, *κάμπτει γόνυ γόνῳ Πατρός*· καὶ ἀλλαχοῦ τὸ, *ἐξ ἀλοχεύτου προελθών*, καὶ λογχθεὶς τὴν πλευράν.

ρς'. Τὸ δὲ ὁμβροβλυτεῖς, θαυμασίως ἔχει πρὸς δήλωσιν τοῦ κατὰ τὸ ἅγιον αἷμα καὶ ὕδωρ, ὅτε δεσποτικῆς νυγείσης πλευρᾶς ἐξῆλθεν. Ἄλλως μὲν γὰρ ἀσύμβατα εἰς ἕν, ἡ πάντως ἄνωθεν ὄμβρησις καὶ ἡ κάτωθεν βλύσις· ἐπὶ δὲ τοῦ ἐν τῷ παντίμῳ σταυρῷ θεανθρώπου Λόγου ἀξιολογώτατον τὸ ῥῆμα. Ὁ μὲν γὰρ ὄμβρος, τὸ καὶ ὑψόθεν καὶ ἐκ θείας πλευρᾶς τὸ ἁγιαστικὸν αἷμα καὶ ὕδωρ κατελθεῖν σημαίνει· τὸ δὲ βλύειν, τὸ ἀπὸ τῆς γῆθεν προσλήψεως ἐκεῖνα προῤῥεῦσαι δηλοῖ. Ἀκήρατος δὲ πλευρὰ ἡ τοῦ Δεσπότου Θεοῦ, διὰ τὸ μὴ παθεῖν κῆρα τὴν κατὰ ἁπλῶς ἄνθρωπον. Εἰ γὰρ καὶ μὴ ἄφθορος οὖσα πρὸ θανάτου ἡ Δεσποτικὴ σὰρξ ἐνεκρώθη, ἧς καὶ ἡ πλευρὰ μέρος, ἀλλ' οὐκ εἶδε διαφθοράν, οὐ μὴν οὐδὲ φθορὰν μετὰ τὸ πάθος καὶ τὴν ἔγερσιν, ὡς διαφωτίζει καὶ ὁ ἐκ Δαμασκοῦ λαμπρὸς δαδοῦχος τῶν ἁγίων Γραφῶν. Τὸ δὲ νενυγμένης πλευρᾶς κυριολεκτεῖται, ὡς παλαιαὶ δηλοῦσι χρήσεις, ἐν αἷς νύσσειν λέγεται τὸ κεντεῖν· ἄλλως δὲ τροπικῶς νύσσειν λέγεται καὶ τὸ λόγοις ἢ ἔργοις ἐρεθίζειν τινὰ εἰς πρᾶξιν οἱανοῦν.

ρζ'. Ἡ δὲ ζέσις τοῦ Πνεύματος πεπόρισται μὲν

namque Dei compositus est homo largiore, sicque majore et illustriore quam ea quæ ante ipsum producta sunt, ut ex divinissima Scriptura potest intelligi. Itaque juxta talem sententiam composita natura moraliter homo diceretur : aliter enim cætera quoque corpora Dei jussione producta, composita sunt, non sane simplicia. Vox autem κεραννὺς ad tropum de balneo bona, nec ad sancti baptismatis sententiam est invenusta. Hic enim etiam mystica fit mistio, sicut noverunt initiati, pro quibus sanctissimum unguentum et pretiosum oleum divinissime consecrata sunt. Convivalis autem cum sit dictio τὸ κεραννύναι, et juxta τὸ κέρας facta, quo potum veteres proferebant, nunc exinde derivata est divinior sane mistura, quæ sacro fervente sanguine necnon aqua constans, ex latere Salvatoris Christi profluxit. Potest vero putari quod ad τὸ κεραννύναι est relata etiam hominis natura composita, ut illa spiritalis mistura sive commistio cum divina compositione sit adoptata ; et huic composito divinissimum istud compositum, quod ex Deo est, commistum sit. Maxime vero cogitandum est præsentem dictionem esse tremendæ sanctissimorum Dei mysteriorum participationis ænigma : est enim ibi mystice sanctissima commistio Dominici sanguinis et aquæ, necnon fervoris spiritualis, e purissimo latere, quo plasmati sumus, profluentium. An autem hoc, ἐξ ἀκηράτου, juxta quamdam, fortuitam quidem, sed jucundam rhetoricæ figuræ de sono imitatione speciem, qualia sunt scribentibus elapsa multa, ad τὸ κεραννύς relatum sit, non necesse est accurate definiri : solum vero notandum tale quoque esse in sequentibus, *flectit* γόνυ γόνῳ *Patris*; et alibi : ἐξ ἀλοχεύτου procedens, et latere λογχθείς.

106. Vox ὁμβροβλυτεῖς, mirabilis est ad significandum sacri sanguinis et aquæ fluentum, cum e percusso Domini latere exivit. Non enim alias una congruunt pluvia, quæ desursum omnino venit, et effusio, quæ ab imo est (ὄμβρησις et βλύσις); sed de Verbo Theanthropo, venerandissimæ cruci affixo, convenientissimum est dictum : pluvia namque (ὄμβρος) desuper et ex divino latere sacratissimum sanguinem et aquam exivisse significat; erumpere (βλύειν) vero ex assumptione terrena ista profluxisse ostendit. Incorruptum est Domini Dei latus, eo quod meri hominis non subierit fatum. Etsi enim, non incorrupta ante mortem, caro Domini mortua est, cujus quoque latus pars erat, non tamen vidit corruptionem, nec ullam alterationem post passionem ac resurrectionem, ut explicat illustris ex Damasco sacrarum Scripturarum lucernarius. Dictio vero νενυγμένης πλευρᾶς, proprie sumitur, ut antiqui ostendunt usus, quibus νύσσειν dicitur τὸ κεντεῖν : alias autem νύσσειν, verbis et operibus aliquem ad quemcunque actum excitare, tropice dicitur.

107. Fervor autem Spiritus poetæ quidem præ-

103. Regeneratio autem, apud Græcos initium sortita, venit ad nos; lapis tunc forte projectus, ultimo vero divinæ ædificationi coaptatus, sive ex calculo in lychnitam cum splendore mutatus, vel etiam arbuscula non nobilis ex monte Libani, sic in cedri altitudinem aucta, ut culmini sacro conveniat; præter illas autem locutiones, ex indigno in dignum commutata, et ex profano in sanctissimum. Antiquus quidem et varius sapientia poeta non expresse talem adhibuit locutionem, sed illam tantum indicavit, dicens: Nunc quidem jactator nec sis, nec fias; hoc enim: nec sis nunc vivens, nec fias, in futurum scilicet, regenerationis æquivalet voci. Post illum autem, discipuli Pythagoræ ei dederunt nomen, παλιγγενεσίαν dicentes iterum atque iterum fieri per metempsychosin post mortem, ut isti aiebant, in eo quod a corporibus in corpora transfunderentur sive transmigrarent hominum animæ, sicque periodos percurrerent, quas illi strabis intuentes oculis spectaverant. Et certe taliter hujusmodi transmissionem firmavit, ut non solum greges exteriores talem mortiferam manducarent herbam, sed et quidam ex evili et aula Christiana, inter quos præcipue mirabitur aliquis sapientem Origenem in irrationalem hæresim ita fuisse illapsum, postquam retrorsum a sana mente cecidit.

104. Sanctissima tamen Ecclesia pulcherrimum renovationis nomen sciens pessimæ sententiæ impositum, et inanitatis causa quod in desuetudinem ventret periclitari, illud celebravit, statum post migrationem ex præsentibus in meliora, regenerationem dici statuens, eo quod pro mundi generatione corruptibili sit illic incorruptibilis, et transformationem hujus vitæ in bonum, præsertim cum sacra tonsura pure sanctificamur, eadem honorans appellatione, quasi nunc iterum facti fuerimus in vitam editi. Gratias tibi, o pulchra dictio Christiana, quod ita lectionem hanc, augustam quidem, sed dehonestatam sententia, cui servierat, nobiliter liberatam in honestum attulisti donum Deo, qui sanctificatos sibi per pœnitentiam purificat, tanquam per desideratum lavacrum, et statim hoc honoris nomen ferre permittit. Notandum est autem quod communem usum et scripturam sequentes παλιγγενεσίαν hic dicimus, in hoc recte agentes. Si vero iambico inhærendum est metro, et omnino ab illo in præsentibus non est recedendum, παλιγγενησίαν hic oportet scriptum fuisse, ut antepenultimum ita rectam perficiat mensuram; alias enim claudicat. Et est illo quoque sensus accuratus: Sicut enim hoc sacro lavacro renovamur, sic etiam magis proprie rursum generamur tanquam filii Dei: ita ut bonum sit, quod communius, παλιγγενεσία, necnon παλιγγενησία, quod ibi metrum requirit.

105. Hoc autem λόγῳ, de quo jam scriptum est, conjungi potest etiam cum composita natura. Verbo

ργ'. Ἡ παλιγγενεσία δὲ ἀπὸ Ἑλλήνων ἀρχὴν λαβοῦσα, ἐφ' ἡμᾶς ἦκει, λίθος παρερριμένος μὲν εἰκῇ τότε, ὕστερον δὲ οἰκοδομῇ θείᾳ παρεντεθεὶς εἰς εὐάρεστον, ἢ καὶ ἀπὸ κάλληκας εἰς λυχνίτην ἐκφανείς, ἢ καὶ ἀπὸ ὄρους Λιβάνου φυτάριον οὐκ εὐγενὲς, κεδρωθὲν σεμνότατα ὡς ἐμπρέπειν ὀρόφῳ ἱερῷ· δίχα δὲ τοιούτων φράσεων ἀπὸ ἀναξίου μεταποιηθεῖσα εἰς ἄξιον, καὶ ἀπὸ ἀνιέρου εἰς ἁγιώτατον· καὶ ὁ μὲν παλαιὸς καὶ ποικίλος τὴν σοφίαν ποιητὴς οὐκ ἐξεφώνησε ῥητῶς τὴν τοιαύτην λέξιν, ἀλλ' ἐνέφηνε μόνον αὐτὴν εἰπών, Νῦν μὲν δὴ μήτε εἶης βουγάῖς, μήτε γένοιο· – τὸ γὰρ μήτε νῦν εἶης ζῶν, μήτε γένοιο, εἰς τὸ μέλλον δηλαδὴ, παλιγγενεσίαν φασὶν αἰνίττεσθαι· μετ' ἐκεῖνον δὲ οἱ ἀμφὶ τὸν Πυθαγόραν καὶ ὠνόμασαν αὐτὴν, παλιγγενεσίαν εἰπόντες τὸ πάλιν καὶ πάλιν γίνεσθαι μετεμψυχωμένους μετὰ θάνατον, ὡς εἶπον ἐκεῖνοι, ἐν τῷ μεταγγίζεσθαι εἶτουν μετεμβιβάζεσθαι ἀπὸ σωμάτων εἰς σώματα τὰς τῶν ἀνθρώπων ψυχὰς, καὶ περιόδους οὕτως ἑλίττειν ἃς ἐκεῖνοι παραβλέποντες ἐθεώρησαν· καὶ δὴ ἐστερέωσε τὴν τοιαύτην ὑπόληψιν εἰς τοσοῦτον, ὡς μὴ μόνον τὰ ἔξω βοσκήματα ἐμφαγεῖν τῆς τοιαύτης ὀλεθρίου βοτάνης, ἀλλὰ καί τινας τῆς Χριστιανικῆς μάνδρας τε καὶ αὐλῆς, ὧν ἐν τοῖς μᾶλλον τὸν σοφὸν Ὠριγένην θαυμάσει τις οὕτω συναπαχθέντα εἰς ἀλόγιστον αἵρεσιν ἐν τῷ ἀνάπαλιν πεσεῖν τοῦ φρονεῖν ὀρθά.

ρδ'. Ἡ μέντοι ἁγιωτάτη Ἐκκλησία γνοῦσα κάλλιστον ὄνομα τὸ τῆς παλιγγενεσίας χειρίστῃ ἐννοίᾳ ἐπιτεθειμένον καὶ κινδυνεῦον ἀχρειωθῆναι ἀχρηστίας λόγῳ, ἐκλέῖσεν αὐτὸ τήν τε μετὰ τὴν ἐκ τῶν ὧδε μετάστασιν εἰς τὰ κρείττονα παλιγγενεσίαν κυρώσασα λέγεσθαι, διὰ τὸ ἀνάπαλιν τῇ κατὰ κόσμον ἐν τοῖς φθαρτοῖς γενέσει ἄφθαρτα εἶναι τὰ ἐκεῖ, καὶ τὴν ἐν ὅσῳ δὲ ζῶμεν μεταποίησιν εἰς τὸ καλὸν, πρῶτα μὲν διὰ κουρᾶς ἁγίας ὁσιωθῶμεν ἐκείνῳ καθαρῶς, τῇ αὐτῇ σεμνύνουσα κλήσει, ὡς εἰ καὶ ἄρτι πάλιν γεγονότες εἰς βίον προήλθομεν. Χάρις σοι, ὦ καλὴ Χριστιανικὴ λεκτικὴ, ὅτι οὕτω λέξιν ταύτην σεβασμίαν μὲν, ἀτιμουμένην δὲ ὑπὸ ἐννοίας, ἣ κατεδουλώθη, εὐγενῶς λυσαμένην προσεκόμισας εἰς δῶρον τίμιον τῷ Θεῷ ἐκκαθαίροντι τοὺς αὐτῷ διὰ μετανοίας οἰκειουμένους, ὅσα καὶ λουτροῦ ἔφετοῦ καὶ αὐτίκα φορεῖν διδόντι τοιοῦτον σεμνότητος ὄνομα· σημείωσαι δὲ ὡς τῇ κοινῇ παρακολουθοῦντες χρήσει τε καὶ γραφῇ παλιγγενεσίαν ἐνταῦθά φαμεν· καλῶς τοῦτό γε ποιοῦντες. Εἰ δέ γε τῷ ἰαμβικῷ προσεκτέον μέτρῳ, πάντως δὲ χρὴ μὴ ἀποστῆναι αὐτοῦ ἐν τοῖς παροῦσι, παλιγγενησίαν ἐνταῦθα χρὴ γράψαι, ἵνα προπαραλῆγον ἐν τῇ τοιαύτῃ λέξει τὸ ἦτα εὐμετρίαν ἀποτελῇ· ἄλλως γὰρ ἔσφαλται· καὶ ἔστιν ὁ τοιοῦτος νοῦς ἀκριβὴς καὶ αὐτός. Ὡς γὰρ πάλιν γινόμεθα τῷ ἁγίῳ λουτρῷ, οὕτω καὶ ἔτι προσφυέστερον πάλιν γεννώμεθα ὡς υἱοὶ Θεοῦ· ὥστε καλὸν καὶ ἡ παλιγγενεσία κοινότερον, καὶ ἡ παλιγγενησία, ἣν ἐνταῦθα τὸ μέτρον ἀπαιτεῖ.

ρε'. Τὸ δὲ λόγῳ, περὶ οὗ καὶ προεγράφη, δύναται κολλᾶσθαι καὶ τῇ συντεθειμένῃ φύσει· λόγῳ

γὰρ Θεοῦ συντίθειται ὁ ἄνθρωπος διεξοδικωτέρῳ, καὶ οὕτω πλείονι καὶ ἐνδοξοτέρῳ τῶν πρὸ αὐτοῦ παραχθέντων, ὡς ἔστιν ἐκ τῆς θειοτάτης Γραφῆς ἀναλέξασθαι. Καὶ τοίνυν κατὰ τοιαύτην ἴσως ἔννοιαν συντεθειμένη φύσις ἠθικῶς ὁ ἄνθρωπος λέγοιτ' ἄν· ἄλλως γὰρ καὶ τὰ ἄλλα σώματα κελεύσει τοῦ Θεοῦ γεγονότα σύνθετά εἰσιν, οὐ δήπου γὰρ ἁπλᾶ. Τὸ δὲ κεραννὺς, καλὸν ὂν εἰς τὴν κατὰ τὸ λουτρὸν τροπὴν, οὐδὲ εἰς τὴν τοῦ ἁγίου βαπτίσματος ἔννοιαν ἀκαλλές ἐστι· καὶ γὰρ καὶ ἐκεῖνα μυστηριωδῶς κεράννυται, ὡς οἴδασιν οἱ μεμυημένοι πρ' οἷς καὶ τὸ ἁγιώτατον μύρον καὶ τὸ τίμιον ἔλαιον θειότατα μεμυστηρίασται· συμποτικὴ δὲ λέξις οὖσα τὸ κεραννύναι, καὶ παρὰ τὸ κέρας γενομένη, δι' οὗ τὴν πόσιν οἱ παλαιοὶ προσεφέροντο, μετενήνεκται ἄρτι ἐκεῖθεν θειότερον δηλοῦν μίγμα τὸ κατὰ τὸ ἅγιον θερμὸν αἷμα καὶ ὕδωρ τὸ ἐκ τῆς πλευρᾶς τοῦ Σωτῆρος Χριστοῦ. Ἔστι δὲ λογίσασθαι ὅτι πρὸς τὸ κεραννύναι ἴσως ἐπῆκται καὶ ἡ συντεθειμένη φύσις ἡ κατ' ἄνθρωπον, ἵνα ᾖ ἁρμόττον τὸ πνευματικὸν τοῦτο κέρασμα ἤγουν κρᾶμα πρὸς τὸ θεόπλαστον σύνθεμα, καὶ ἀναμιχθῇ συνθέτῳ τούτῳ σύνθετον θειότατον καὶ ἐκεῖνο τὸ ἐκ Θεοῦ. Μάλιστα δὲ λογιστέον ὅτι καὶ αἴνιγμα τῆς φρικτῆς τῶν ἁγιωτάτων μυστηρίων τοῦ Θεοῦ μεταλήψεως, ἡ παροῦσα φράσις ἐστί· κρᾶμα γὰρ ἁγιαστικὸν ἐκεῖ αἵματος κυριακοῦ μυστηριάζεται καὶ ὕδατος καὶ ζέσεως πνευματικῆς τῶν ἐκ πλευρᾶς ἀκηράτου δι' ἧς ἀνεπλάσθημεν. Εἰ δὲ τὸ ἐξ ἀκηράτου πρὸς τὸ κεραννὺς ἐπήχθη κατά τινα, τυχαίαν μὲν, γλυκεῖαν δὲ εἰκασίαν ῥητορικῆς παρηχήσεως ὁποῖα καὶ τοιαῦτα πολλὰ τοῖς γράφουσι παραπίπτουσιν, οὐκ ἀναγκαῖον ἐξακριβώσασθαι· μόνον δὲ παρασημαντέον ὡς τοιοῦτον καὶ ἐν τοῖς ἑξῆς τὸ, *κάμπτει γόνυ γόνῳ Πατρός*· καὶ ἀλλαχοῦ τὸ, *ἐξ ἀλοχεύτου προελθών*, καὶ λογχθεὶς τὴν πλευράν.

ρς'. Τὸ δὲ ὁμβροβλυτεῖς, θαυμασίως ἔχει πρὸς δήλωσιν τοῦ κατὰ τὸ ἅγιον αἷμα καὶ ὕδωρ, ὅτε δεσποτικῆς νυγείσης πλευρᾶς ἐξῆλθεν. Ἄλλως μὲν γὰρ ἀσύμβατα εἰς ἓν, ἡ πάντως ἄνωθεν ὄμβρησις καὶ ἡ κάτωθεν βλύσις· ἐπὶ δὲ τοῦ ἐν τῷ παντίμῳ σταυρῷ θεανθρώπου Λόγου ἀξιολογώτατον τὸ ῥῆμα. Ὁ μὲν γὰρ ὄμβρος, τὸ καὶ ὑψόθεν καὶ ἐκ θείας πλευρᾶς τὸ ἁγιαστικὸν αἷμα καὶ ὕδωρ κατελθεῖν σημαίνει· τὸ δὲ βλύειν, τὸ ἀπὸ τῆς γῆθεν προσλήψεως ἐκεῖνα προῤῥεῦσαι δηλοῖ. Ἀκήρατος δὲ πλευρὰ ἡ τοῦ Δεσπότου Θεοῦ, διὰ τὸ μὴ παθεῖν κῆρα τὴν κατὰ ἁπλῶς ἄνθρωπον. Εἰ γὰρ καὶ μὴ ἄφθορτος οὖσα πρὸ θανάτου ἡ Δεσποτικὴ σὰρξ ἐνεκρώθη, ἧς καὶ ἡ πλευρὰ μέρος, ἀλλ' οὐκ εἶδε διαφθοράν, οὐ μὴν οὐδὲ φθορὰν μετὰ τὸ πάθος καὶ τὴν ἔγερσιν, ὡς διαφωτίζει καὶ ὁ ἐκ Δαμασκοῦ λαμπρὸς δᾳδοῦχος τῶν ἁγίων Γραφῶν. Τὸ δὲ νενυγμένης πλευρᾶς κυριολεκτεῖται, ὡς παλαιαὶ δηλοῦσι χρήσεις, ἐν αἷς νύσσειν λέγεται τὸ κεντεῖν· ἄλλως δὲ τροπικῶς νύσσειν λέγεται καὶ τὸ λόγοις ἢ ἔργοις ἐρεθίζειν τινὰ εἰς πρᾶξιν οἱανοῦν.

ρζ'. Ἡ δὲ ζέσις τοῦ Πνεύματος πεπόρισται μὲν

A namque Dei compositus est homo largiore, sicque majore et illustriore quam ea quæ ante ipsum producta sunt, ut ex divinissima Scriptura potest intelligi. Itaque juxta talem sententiam composita natura moraliter homo diceretur : aliter enim cætera quoque corpora Dei jussione producta, composita sunt, non sane simplicia. Vox autem κεραννὺς ad tropum de balneo bona, nec ad sancti baptismatis sententiam est invenusta. Hic enim etiam mystica fit mistio, sicut noverunt initiati, pro quibus sanctissimum unguentum et pretiosum oleum divinissime consecrata sunt. Convivalis autem cum sit dictio τὸ κεραννύναι, et juxta τὸ κέρας facta, quo potum veteres proferebant, nunc exinde derivata est divinior sane mistura, quæ sacro fer-

B ventique sanguine necnon aqua constans, ex latere Salvatoris Christi profluxit. Potest vero putari quod ad τὸ κεραννύναι est relata etiam hominis natura composita, ut illa spiritalis mistura sive commistio cum divina compositione sit adoptata ; et huic composito divinissimum istud compositum, quod ex Deo est, commistum sit. Maxime vero cogitandum est præsentem dictionem esse tremendæ sanctissimorum Dei mysteriorum participationis ænigma : est enim ibi mystice sanctissima commistio Dominici sanguinis et aquæ, necnon fervoris spiritualis, e purissimo latere, quo plasmati sumus, profluentium. An autem hoc, ἐξ ἀκηράτου, juxta

C quamdam, fortuitam quidem, sed jucundam rhetoricæ figuræ de sono imitatione speciem, qualia sunt scribentibus elapsa multa, ad τὸ κεραννύς relatum sit, non necesse est accurate definiri : solum vero notandum tale quoque esse in sequentibus, *flectit* γόνυ γόνῳ *Patris*; et alibi : ἐξ ἀλοχεύτου procedens, et latere λογχθείς.

106. Vox ὁμβροβλυτεῖς, mirabilis est ad significandum sacri sanguinis et aquæ fluentum, cum e percusso Domini latere exivit. Non enim alias una congruunt pluvia, quæ desursum omnino venit, et effusio, quæ ab imo est (ὄμβρησις et βλύσις); sed de Verbo Theanthropo, venerandissimæ cruci affixo, convenientissimum est dictum : pluvia namque (ὄμβρος) desuper et ex divino

D latere sacratissimum sanguinem et aquam exivisse significat; erumpere (βλύειν) vero ex assumptione terrena ista profluxisse ostendit. Incorruptum est Domini Dei latus, eo quod meri hominis non subierit fatum. Etsi enim, non incorrupta ante mortem, caro Domini mortua est, cujus quoque latus pars erat, non tamen vidit corruptionem, nec ullam alterationem post passionem ac resurrectionem, ut explicat illustris ex Damasco sacrarum Scripturarum lucernarius. Dictio vero νενυγμένης πλευρᾶς, proprie sumitur, ut antiqui ostendunt usus, quibus νύσσειν dicitur τὸ κεντεῖν : alias autem νύσσειν, verbis et operibus aliquem ad quemcunque actum excitare, tropice dicitur.

107. Fervor autem Spiritus poetæ quidem præ-

statur ex ea de linguis igneis, inflammatione celebrata; spiritualibus autem bellatoribus hujusmodi dictio tanquam arma conspicua utilis est adversus hæresim Hydroparastatarum, quam alius erit temporis circumire, si quædam occurrerit utilitas. Est autem iste fervor vivificans quidem eos qui fervide lavati sunt in Spiritu sancto commiscente, comburens vero sicut ignis prædictos hæreticos aliosque quicunque similes sunt, per calorem sanguinis et aquæ, quæ de sacratissimo latere fluxerunt; quorum meminisse sacratissimus interpres in sua enarratione tonitrui Filium ac Theologum ostendit, ubi scribens in epistola ait: Tres sunt qui testimonium dant, spiritus et aqua et sanguis, et hi tres in unum sunt. Quale hoc unum? secundum unam deitatem, ad quam est satagendum restitui nos per sancti Spiritus fervorem ac perfectionem.

Troparium 2 quartæ odæ.

Flectunt omnia Consolatori genu,
Filioque Patris, Patri cognatissimo.
In personis enim novit tribus substantiam
Vere inaccessibilem, temporis exsortem, unam.
Illuxit enim lumen gratia Spiritus.

108. Cum dixerit sanctissimus Apostolus in nomine Jesu Christi, Salvatoris nostri, omne genu flectendum, cœlestium, terrestrium et infernorum, ibi canit poeta hoc jam advenisse, licet alii quidam aliud hujus miraculi tempus interpretentur. Omnia genu flectunt Paracleto, sive, ait, Patris nato Patrique consubstantiale: hæc autem mirabilis et divinissima genuflexio facta est eo quod non simpliciter, sed omnibus illuxit gratia Spiritus, per quam lucem omnia illuminata subjecta sunt, tanquam protinus perfecta scientia a Deo et Domino scientiarum clarificata, cognoscentiaque Dominum omnipotentem, et ipsi prompte submissa. Qualis autem est hujusmodi spiritualis gratia? Sanctæ Trinitatis agnitio. In tribus enim personis, inquit, scienter noverunt omnia, seu mundus, νημερτὲς, id est vere, ut paulo ante dictum est, unam substantiam sicut et naturam, quæ sanctissimæ Trinitatis est, Patris ingeniti, geniti Filii, et procedentis Spiritus; quas non prius aliquis trinas dixit, quam in unum conglutinavit et adoravit; nondum autem, ut ita dicam, ad unitatem illis reductis, melodus iterum sanctissimis illis tribus personis, omnia, quotquot habet proferre angusta epitheta, siquidem dives erat graphicum solum, tripliciter prostravit; ob loci tamen angustias, istam unicam substantiam inaccessam et æternam dicere satis habet.

109. Hoc quidem, quod Deus invisibilis est: Deum enim nemo vidit unquam; sed etiam tremendus, non quantum ignis consumens, multo vero magis, et ideo inadibilis. Cui enim accessibilis esset, nisi cum reverentia appropinquanti ad ipsam illuminationem? Accedite enim, inquit, et

τῷ μελῳδῷ ἐκ τοῦ ἑορταζομένου κατὰ τὰς πυρίνας γλώσσας φλογώδους· χρησιμεύει δὲ πνευματικοῖς πολεμισταῖς οἷα καὶ ὅπλον ἀξιόλογον ἡ τοιαύτη λέξις, κατὰ τῆς αἱρέσεως τῶν ὑδροπαραστατῶν, ἣν ἄλλου καιροῦ περιελθεῖν εἴ τις παρεμπέσοι χρεία. Ἔστι δὲ ζέσις αὕτη ζωοποιοῦσα μὲν τοὺς ἐνθέρμως ἐν ἁγίῳ Πνεύματι κεραννύντι λελουμένους, καίουσα δὲ ὡς οἷα καὶ πῦρ τοὺς εἰρημένους αἱρετικοὺς καὶ ὅσοι δὲ ἄλλοι κατ' αὐτούς ἡ νοουμένη ἐν τῷ ῥεύσαντι ἐκ τῆς ἁγιωτάτης πλευρᾶς αἵματι καὶ ὕδατι· ὧν μεμνῆσθαι παραπήγνυσιν ὁ ἱερώτατος ἐξηγητὴς τῇ κατ' αὐτὸν ἐξηγήσει, καὶ τόν τε βροντῆς υἱὸν θεολόγον ἔνθα ἐπιστείλας λέγει, ὅτι Τρεῖς εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν. Ποῖον ἐκεῖνο τὸ ἕν; τὸ κατὰ τὴν μίαν θεότητα, εἰς ἣν πραγματευτέον ἀποκαταστῆναι ἡμᾶς διὰ τῆς κατὰ τὸ ἅγιον Πνεῦμα ζέσεως καὶ οὕτω τελειώσεως.

Τροπάριον δεύτερον τῆς δ' ᾠδῆς.

IX. Κάμπτει τὰ πάντα τῷ Παρακλήτῳ γόνυ,
Γόνῳ τε Πατρὸς Πατρὶ συμφυεστάτῳ.
Ἐν γὰρ προσώποις οἶδε τριττοῖς οὐσίαν
Νημερτὲς ἀπρόσιτον, ἄχρονον, μίαν·
Ἔλαμψε φῶς γὰρ ἡ χάρις τοῦ Πνεύματος.

ρη'. Εἰπόντος τοῦ ἁγιωτάτου Ἀποστόλου ὡς ἐν τῷ ὀνόματι τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ψάλλει ἐνταῦθα ὁ μελῳδὸς ὅτι ἄρτι ἀπέβη τοῦτο, εἰ καί τισιν ἕτερος καιρὸς ἡρμήνευται τοῦ τοιούτου θαύματος· καὶ τὰ πάντα κάμπτει γόνυ τῷ Παρακλήτῳ, ἤγουν τῷ καὶ Γόνῳ, φησὶ, τοῦ Πατρὸς καὶ συμφυεστάτῳ τῷ Πατρί. Γέγονε δὲ ἡ τοιαύτη εὐκταία καὶ θειοτάτη κατάκαμψις, διότι οὐχ ἁπλῶς, ἀλλὰ πᾶσιν ἔλαμψε φῶς ἡ χάρις τοῦ Πνεύματος, δι' οὗ τὰ πάντα φωτισθέντα ὑποτέτακται, ὡς αὐτίκα καὶ ἐλλαμφθέντα τελείᾳ γνώσει ἀπὸ τοῦ Θεοῦ καὶ Κυρίου τῶν γνώσεων, καὶ ἐπιγνόντα τὸν παντοδύναμον Δεσπότην, καὶ ὑποταγέντα ἑτοίμως αὐτῷ· τίς δὲ ἡ τοιαύτη πνευματικὴ χάρις; Ἡ τῆς ἁγίας δηλαδὴ Τριάδος ἐπίγνωσις. Ἐν γὰρ προσώποις, φησὶ, τρισὶν οἶδε γνωστικῶς τὰ πάντα, ἤγουν ὁ κόσμος, νημερτὲς ἤτοι ἀληθῶς, ὡς καὶ πρὸ ὀλίγων ἐρρέθη, οὐσίαν μίαν ὥσπερ καὶ φύσιν τὴν ἐν τῇ ἁγιωτάτῃ Τριάδι, τῇ κατὰ τὸν ἀγέννητον Πατέρα, καὶ τὸν γεννητὸν Υἱὸν, καὶ τὸ ἐκπορευτὸν Πνεῦμα· ἅπερ οὐκ ἔφθη τις τριαδικῶς εἰπεῖν, καὶ ἅμα εἰς ἓν συνῆψε καὶ συμπροσεκύνησεν· οὔπω δὲ αὐτὰ ἑνίσας, ὡς οὕτως εἰπεῖν, αὖθις ἐτρίαξε τούτοις τοῖς τρισὶ προσώποις τοῖς ὑπεραγιωτάτοις μυρία ὅσα προσενεγκεῖν σεμνὰ ἔχων ἐπίθετα ὁ μελῳδὸς, εἴπερ ἐπλούτει γραφικὸν πλατὺ ἔδαφος, ὅμως διὰ τὸ στενόχωρον ἀρκεῖται τὴν μοναδικὴν ταύτην οὐσίαν ἀπρόσιτον εἰπὼν καὶ ἄχρονον.

ρθ'. Τὸ μὲν, ὅτι καὶ ἀόρατος ὁ Θεός· Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε· ἀλλὰ καὶ φρικτὸς δὺχ ὅσα καὶ πῦρ καταναλίσκον, ἀλλ' εἰς ὑπέρπλεον, καὶ δι' αὐτὸ ἀκατατόλμητος. Τίνι γὰρ γένοιτο προσιτὸς, εἰ μὴ ἄρα τῷ μετ' εὐλαβείας προσιόντι αὐτῷ ἐπιφωτισμῷ; Προσέλθετε γὰρ, φησὶ, πρὸς αὐτὸν, καὶ φω-

τίσθητε, ἵνα δηλονότι καλοὶ γένησθε· καὶ ἀνακεκαλυμμένῳ προσώπῳ βλέποντες Θεὸν ἀγγελοειδῶς, μηδὲν σκοτίου αἴσχους προκάλυμμα προσώπου φέροντες. Διὸ καὶ ἐπάγει ὁ Δαβὶδ μετὰ τὸ, Φωτίσθητε, τὸ, Καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Ἀλλ' οὔπω μὲν ἀπρόσιτος ἡ ἁγία Τριάς, ὁ εἷς Θεός· ἄχρονος δὲ, ὅτι αὐτὸς μὴ ὅτι γε χρόνους καὶ καιροὺς, ἀλλὰ καὶ τοὺς αἰῶνας ἐποίησε. Διὸ οὐδὲ ἦν χρόνῳ ὑπέχεσθαι τὸν παντὸς χρόνου ποιητὴν καὶ κύριον. Τὸ δὲ, κάμπτει γόνυ, ὅ ἐστι προσκυνεῖ ἐν τῷ γονυπετεῖν, ἤγουν ἐπὶ γόνυ πίπτειν καὶ γονυκλιτεῖν, μετῆκται ἀπὸ τετανῶν σωμάτων, ἃ ταπεινούμενα κάμπτονται· ὁποῖόν τι καὶ τεταναὶ λεγόμεναι τρίχες· ἔστι δὲ ἡ ἐπίτασις τετανοῦ τὸ ἀτενὲς ὡς λίαν τεταμένον εἰς ὄρθιον, ἡ στέρησις ὡς μὴ δεόμενον τάσεως πλείονος, ἣν ὁ ἀπολέσας κέκαμπται. Τοιαῦτα δὲ τὰ μὴ ὄρθια πάντα σώματα, ἐν οἷς αἱ οὖλαι τρίχες, καὶ τὰ γναμπτὰ ἄγκιστρα καὶ τὰ ἀγκιστροειδῶς περιηγμένα, οὐχ ἥκιστα δὲ καὶ τὰ κυρτὰ, ὧν παρωνυμία οἱ ἁλιευτικοὶ κύρτοι. Ὑποταγῆς δὲ σύμβολον ἄκρας τὸ κάμπτειν γόνυ· διὸ καὶ τοῖς κραταιοῖς βασιλεῦσιν ὅτε που ἔθνος ὑποταγῇ, κάμπτειν αὐτῷ γόνυ λέγεται· τὸ δὲ μελῳδικῶς τὰ *πάντα* εἰπεῖν, ἢ τὸ *πᾶν* ἀποστολικῶς, τῆς αὐτῆς ἐννοίας εἰσὶ καὶ τοῖς σοφοῖς· κοσμικὴ γὰρ ὁλότης δι' ἑκατέρων σημαίνεται.

ρι'. Παράκλητον δὲ τὸν Υἱὸν πρὸς τὸν Πατέρα λέγομεν, καθὰ καὶ τὸ Πνεῦμα· οὐκ ἂν οὐδὲ τοῦ Πατρὸς ἀπαξιοῦντος τὸ πρᾶγμα ἢ ἄλλως ἀποστερουμένου τοῦ καλεῖσθαι οὕτω· οὐ μόνον ὅτι παρακαλεῖται καὶ αὐτὸς ὑπὸ τῆς οἰκείας φιλανθρωπίας εἰς τὰ ὑπὲρ ἡμῶν, ἔτι δὲ καὶ ὑφ' ἡμῶν προκαλουμένων τὴν ἐκεῖθεν βοήθειαν, ἀλλὰ καὶ ὅτι παρακαλεῖ ἡμᾶς ὡς εἰ καὶ κατέψυκται, καὶ ποππύζων ἐκολάκευε, καὶ πάντα τρόπον ἐπήγετο εἰς τὸ καὶ υἱοὺς καὶ κληρονόμους ἀποτελέσαι αὐτοῦ. Εἰ γὰρ μὴ ὁ Πατὴρ ἐθέλει καὶ δύναται παρακαλεῖν ἡμᾶς εἰς τὰ κρείττω, τάχα ἂν οὐδὲ ὁ Υἱὸς, οὐδὲ τὸ Πνεῦμα ἔξουσι τὸ τοιοῦτον σέμνωμα· καὶ ἄλλως δὲ τοῦ ἁγίου Πνεύματος σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνουμένου, ναὶ δὲ καὶ συνδοξαζομένου ἐφ' οἷς τερατουργεῖ, ἄτοπόν ἐστιν ἀποστερεῖν αὐτοῦ τὴν ἡμῶν παράκλησιν.

ρια'. Χρὴ γὰρ εἰδέναι ὡς πρὸ πάντων τῶν κατ' ἀνθρώπους θεομιμήτως καὶ διδασκαλικῶς οἱονεὶ παρακλήτων, ὁ κυρίως Παράκλητος Πατὴρ καὶ Λόγος καὶ Πνεῦμα ἐπὶ τοὺς μακαριωτάτους ἦλθε μαθητὰς, καὶ μετ' ἐκείνους ἐπὶ τοὺς δι' ἐκείνων ἐπεγνωκότας τὸν Θεόν· ὃς οὐ μόνον λαλούντων τῶν αὐτοῦ δεομένων, ἀλλὰ καὶ μήπω μηδὲ λαλησάντων, πάρεστιν· ὃ δὴ παρακαλεῖν ὁμολογουμένως ἐστί. Παρακαλεῖ δὲ, τουτέστιν ἐγγὺς αὐτοῦ καλεῖ, πρὸς σωτηρίαν τοὺς τὸν λογισμὸν ἔχοντας πρὸς αὐτῷ μυριαχῶς, οἷον διὰ τῶν κτισμάτων καλλονῆς, ἃ δι' ἡμᾶς ἐποίησε, καὶ τῆς ἐκεῖθεν παντοδαπῆς ἀμόχθου ἡμῖν ὠφελείας, καὶ διὰ τοῦ ἀγαθοῖς ἐπιμετρεῖν, τοῖς δὲ κακοῖς ἄλλως προσφέρεσθαι· καὶ διὰ τοῦ ἐπιφιλοτιμήσασθαι νοῦν καὶ διάνοιαν ἐπιγνώμονας ἀγαθοῦ τε καὶ κακοῦ· ὡς τὸ μὲν ἐγκρίνειν καὶ ἐπιλέγεσθαι, τὸ δὲ ἀποκρίνειν καὶ ἐξωθεῖν οἷα τοῦ κατὰ

A illuminamini, ut nempe boni sitis, et revelata facie Deum angelice tuentes, nihilque opprobrii tenebrosi velamen faciei ferentes. Itaque post : Illuminamini, David adjicit : et facies vestræ non confundantur. Non solum autem inadibilis est sancta Trinitas, unus Deus : est etiam æternus, quod ipse non tantum tempus et sæcula, sed et æternitates fecit. Ideo tempori non erat subjiciendus, qui cujuslibet temporis est auctor et Dominus. Hoc autem : κάμπτει γόνυ, quod est adorat in τῷ γονυπετεῖν, sive in prosternendo se et genu flectendo, translatum est ab extentis corporibus, quæ demissa flectuntur, qualiter etiam extenti dicti crines. Est autem tensionis excessus, inflexibile, ut nimis tensum in rectum, vel privatio, sicut B non egens majore tensione; quam qui perdidit incurvatur. Talia sunt autem omnia non recta corpora, in quibus crispi sunt crines, et curvi hami, et in hami forma tortæ res, sed et maxime curvæ (κυρτὰ) quorum est derivatio piscatoria nassa. Summæ vero subjectionis symbolum est curvare genu : ideoque cum potentibus regibus gens subjicitur, ipsi curvare genu dicitur. Dicere vero cum porta *omnia*, vel cum apostolo *omne*, pro sapientibus ejusdem est sententiæ : ab utroque enim universitas mundi significatur.

110. Paracletum autem apud Patrem Filium dicimus, sicut et Spiritum; cum re non indignus esset ipse Pater, nec aliunde frustrari potest hujusmodi nomine. Ipse quippe ad res nostras *advocatur*, C non solum a sua benignitate propter nos, sed etiam a nobis ipsius auxilium ad nos *advocantibus*. Insuper advocat nos, quasi nos attrectaret, sibilandoque leniret, et omni modo nos allicit, ut filios et hæredes suos nos efficiat. Imo nisi Pater velit et possit nos ad meliora vocare, continuoque Filius neque Spiritus hoc decus haberet. Aliunde vero ubi sanctus Spiritus cum Patre et Filio simul adoratur et conglorificatur pro miraculis quæ patrat, absurdum esset advocandi nos illum honore privare.

111. Scire enim oportet quod, præ omnibus qui inter homines ad Dei magistrorumque instar sunt D quasi paracleti, ille qui proprie Paracletus est Pater, Verbum et Spiritus ad beatissimos venit discipulos, et post illos ad eos qui per ipsos Deum cognoverunt; atque non solum loquentibus, ipso egentibus, sed etiam nondum locutis, adest; hoc est autem, uti constat, παρακαλεῖν : advocat autem, id est, ad se propius vocat ad salutem eos qui secum utuntur ratione multis modis, qualiter per creaturarum pulchritudinem, quas propter nos fecit, et multiformem exinde nobis absque labore utilitatem, et per bonitatem qua bona quidem abunde largitur bonis, malis autem alias succurrit, necnon per dilectionem qua prosequitur mentem et cor quæ bonum et malum discernunt; ut unum quidem admittant et eligant, alterum autem re-

prohent et ejiciant, tanquam homine secundum Deum aliquid indignum. Quod si nos affligens, et in memoriam subjiciens nos ipsius esse servos, ad bene agendum nos inducit, omnino sic etiam ad salutaria nos advocat, tanquam mortificando, et vivificando, pauperem faciendo divitemque reddendo, humiliando et elevando, cæterisque hujusmodi modis.

112. Quod autem ex omnibus in promptu maxime est ac facillimum, et, uti quis recte diceret, magis obvium ac populare, vereque cunctis commune, advocat etiam per suos discipulos et documenta quibuscunque temporibus opportuna; quorum alia quidem circumscribuntur sanctissimo conclusa Evangelio, alia vero prope in infinitum antiquis circumferuntur traditionibus. Paracleti namque, confidenter dico, post Deum, primo quidem in antiqua lege prophetæ salutisque magistri, deinde quotquot, ante celebratam hodie sancti Spiritus in nobis inhabitationem, fuerunt apostoli, per argumentum, ut plerumque, perque objurgationem advocantes reformabant populos, juxta illud : Argue, increpa, exhortare. Illorum vero successores apostolici viri, quorum gratia quæ secundum Spiritum sanctum est, ad præsentem usque generationem pervenit, similiter exhortantur et ipsi ad virtutem auditores, maximeque illi qui sunt sacerdotes, quibus expresse populos exhortari præscriptum est.

113. In his autem observandum quod, si παρακλήσει eadem serie respondere scimus Παράκλητον, atque dicimus consolationem a nobis remitti consolatori, nemo tamen ex nobis paracletus vocari posset, sed soli Deo tale nomen attributum est, qui quidem venit ad nos recte advocantes, propinquat egentibus, et nobis inhabitat cum decenter advocatur; aliunde vero dignum censet honorabiliter in throno gloriæ regni sui manere, ne pertingat ipsum aliquid non conveniens. Rationem autem habet advocationis ex nobis ad altissimum, et iterum advocationis exhinc erga nos ex nostris duplicatio : supponamus enim aliquem in difficilis exitus loçum fuisse lapsum scireque stantem super hunc puteum hominem generosum et amicum quem advocari supplicat ad susceptionem. Si porro caput inclinans iste, amicoque per nomen immittens appellationem, exhortansque ab imo extendere manum, et auditus corripiat manum amicam et ad se trahens terræ matri restituat hominem, ut reponatur ubi stabat ante casum, en advocatus ille ad salvandum hominem, illum vicissim advocavit et salvavit : sic etiam paracletus Dominus, hominem diligens salvari advocantem, illum advocat taliter affici, et ecce ibi quoque duplex advocatio, una quidem Salvatoris paracleti, provocantis egentem, alia vero illius, qui dici posset παρακλήτωρ. Ideo pulchre canit qui sic aliquem e Dei sanctis supplicat : Advoco te advocare me.

A Θεὸν ἀνθρώπου ἀνάξιον. Εἰ δὲ καὶ θλίβων ἡμᾶς καὶ ἐνθύμιον ὑποβάλλων τοῦ εἶναι δούλους αὐτοῦ, εἰς ἀγαθοπραξίαν ἡμᾶς ἀνάγει, παρακαλεῖ πάντως καὶ οὕτως εἰς τὰ σωτήρια ὥσπερ καὶ διὰ τοῦ θανατοῦν, καὶ ζωογονεῖν, καὶ πτωχίζειν, καὶ πλουτίζειν, καὶ ταπεινοῦν, καὶ ἀνυψοῦν, καὶ πάντων τῶν ἄλλων ὅσα τοιαῦτα.

ριβ'. Τὸ δὲ πάντων προχειρότατον καὶ εὐπόριστον, καὶ ὡς ἄν τις ὀρθῶς εἴποι λεωφορούμενον καὶ δημοκοπούμενον, καὶ ἀληθῶς πάγκοινον, παρακαλεῖ καὶ διὰ τῶν αὐτοῦ μαθητῶν τε καὶ μαθητειῶν τῶν ὡς ἑκάστοτε καιροῦ· ὧν αἱ μὲν μεμέτρηνται τῷ εὐαγεστάτῳ Εὐαγγελίῳ περιειλημμέναι, αἱ δὲ μικροῦ καὶ εἰς ἀπειρίαν κέχυνται ταῖς ἀνέκαθεν διαδοχαῖς. Παράκλητοι γὰρ, θαῤῥούντως φημὶ, μετὰ B τὸν Θεὸν πρῶτα μὲν οἱ ἐν τῷ παλαιτάτῳ νόμῳ προφῆται καὶ διδάσκαλοι τοῦ σώζεσθαι, εἶτα ὁπόσοι, πρὸ τῆς ἑορταζομένης ἄρτι ἐν ἡμῖν τοῦ ἁγίου Πνεύματος ἐνδημίας, ἀπόστολοι μετὰ ἔλεγχον, ὡς τὰ πολλὰ, καὶ ἐπιτίμησιν παρακαλοῦντες διωρθοῦντο τοὺς λαοὺς, κατὰ τὸ, Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον· οὓς οἱ μετ' ἐκείνους ἀποστολικοὶ ἄνδρες διαδεξάμενοι, ὧν ἡ κατὰ τὸ ἅγιον Πνεῦμα χάρις μέχρι καὶ εἰς τὴν νῦν γενεὰν καθήκει, παρακαλοῦσιν ὁμοίως καὶ αὐτοὶ πρὸς ἀρετὴν τοὺς ἐπακούοντας, καὶ μάλιστα οἱ ἱερεῖς· οἷς γραφικῶς ἐντέταλται παρακαλεῖν τὸν λαόν.

ριγ'. Ἐν τούτοις δὲ σημείωσαι ὡς εἰ καὶ τῇ παρακλήσει συστοιχοῦντα οἴδαμεν τὸν Παράκλητον, C λέγομεν δὲ καὶ παράκλησιν δι' ἡμῶν ἀναπέμπεσθαι τῷ Παρακλήτῳ, ἀλλ' οὖν οὐδεὶς ἡμῶν Παράκλητος ἐπιλέγοιτο ἄν· ἀλλὰ μόνῳ τῷ Θεῷ νενέμηται τὸ τοιοῦτον ὄνομα εἰς ἐξαίρετον, ἐρχομένῳ μὲν ἐφ' ἡμᾶς παρακαλοῦντας ὀρθῶς, καὶ ἐγγίζοντι διαμένοις, καὶ ἡμῖν ἐνσκηνοῦντι ἐν τῷ πρεπόντως παρακλητεύεσθαι· ἄλλως δὲ ἀξιοῦντι σεμνῶς ἐπὶ θρόνῳ δόξης τῆς βασιλείας αὐτοῦ μένειν ὡς μὴ παραψαύειν αὐτοῦ τὰ μὴ πρέποντα. Ἔχει δὲ τὸ εὔλογον ἡ διπλόη τῆς ἐξ ἡμῶν παρακλήσεως εἰς τὸν Ὕψιστον καὶ τῆς ἐκεῖθεν αὖθις ἐφ' ἡμῖν ἐκ τῶν καθ' ἡμᾶς. Ὑποθετέον γὰρ καταπεσόντα τινὰ εἰς δυσεξίτητον λάκκον καὶ εἰδότα ἑφίστασθαι τῷ βοθύνῳ ἐκείνῳ γενναῖον ἄνδρα φίλον κατακαλεῖσθαι ποτνιώμενον εἰς ἀνάληψιν. Εἰ δὴ ἐκεῖνος ἐπικύψας καὶ τῷ D φίλῳ κλῆσιν ἐπιπέμψας πρὸς ὄνομα καὶ παρακαλέσας ἀνατεῖναι χεῖρα κάτωθεν καὶ ἀκουσθεὶς δράξεται τῆς φίλης χειρὸς, καὶ ἀνελκύσας ἀποδώσει τῇ μητρὶ γῇ τὸν ἄνθρωπον, ὡς καθεστάναι ὅποι καὶ πρὸ τοῦ πτώματος, ἰδοὺ παρακαλεσθεὶς ἐκεῖνος ἐφ' ᾧ περισώσασθαι ἄνθρωπον, ἀντιπαρεκάλεσεν ἐκεῖνον καὶ σέσωκεν· οὕτω δὴ καὶ ὁ Παράκλητος κύριος ἄνθρωπον φιλῶν παρακαλοῦντα σωθῆναι, παρακαλεῖ παθεῖν ἐκεῖνον οὕτω, καὶ ἰδοὺ διπλῆ κἀνταῦθα παράκλησις, ἡ μὲν τοῦ Σωτῆρος παρακλήτου προκαλουμένου τὸν δεόμενον, ἡ δὲ τοῦ, ὡς οὕτως ὀνομάσαι, παρακλήτορος. Διὸ καλῶς ᾄδει ὁ δυσωπήσας τῶν τινα Θεοῦ ἁγίων ὡς Παρακαλῶ σε παρακλέσαι με.

ρι΄. Περὶ δὲ συμφυΐας Τριαδικῆς καθ' ἣν ὁ Χριστὸς γόνος ἐῤῥέθη Πατρὶ συμφυέστατος, προεγράφη τι ἐν τῷ συμφυῇ φρυκτωρίαν. Νῦν δὲ ῥητέον ὡς ἡ λέξις εἴληπται προσφυῶς ἀπὸ κλάδων συμφυῶν καὶ ὁμοουσίων φυτῷ τινι, καὶ ἁπλ βλαστημάτων προῤῥίζων μιᾶς ἀρχῆς ἐξωρμημένων· ὁμοίως γάρ τινι τρόπῳ συμφυέστατος καὶ ὁμοφυὴς τῷ Πατρὶ ὁ Υἱὸς καθὰ καὶ τὸ ἅγιον Πνεῦμα κατὰ τὴν θεότητα καὶ τἄλλα ὁπόσα δογματίζομεν οἱ Χριστιανοί. Περὶ δὲ προσώπου οὐσίας τῶν οὐκ ἔστιν εἰπεῖν ὡς ἠγνοημένων ἐκκλησιαστικοῖς ἀνδράσιν, ὁ ἐνταῦθα γράψαι τι μέλλων ὡς ἐπὶ φιλοτιμίᾳ δεούσῃ, κρατείτω καὶ κῦαθον ὡς μετρήσων δι' αὐτῆς θάλασσαν· ὅμοιον γὰρ τοσαύτῃ ἄρτι φιλοσοφίᾳ ἐπιβαλεῖν τινα καὶ θαλάσσης μετρητὴν γενέσθαι· τοσοῦτον δὲ ῥητέον ἐν στενῷ πρὸς ὑπόμνησιν τοῖς ἀπὸ εἰσαγωγῆς, ὅτι οὐσία μὲν μία τῆς ἁγίας Τριάδος· μονάζει γὰρ ἰδιάζον αὐτῇ τὸ εἶναι, καὶ οὐ σχίζεται εἰς διαφοράς ἀλλοιούσας ἢ ἑτεροιούσας αὐτήν. Ἀλλὰ εἷς ἐκείνη Θεὸς ἁπλοῦς ἀναλλοίωτος. Εἰ γὰρ ἡμῶν ἑκάστου αὐτοῦ καθ' αὑτὸν ἀποφάσκεται τὸ πρὸς τοὺς καθ' ἡμᾶς ἑτεροούσιον τοιούτων ὄντων τὰ ἐς ποικιλίαν ὁποῖοί ἐσμεν, τίς ἂν τολμήσοι συγγενείας ὡς εἰπεῖν τοιαύτης καὶ συνουσιώσεως καὶ ταυτότητος τὴν ἁγίαν ἀποστερῆσαι Τριάδα καὶ τὸ ἀποστατικῶς ἐν αὐτῇ θεωρῆσαι ἀγχέμαχον διὰ τῆς ἀσυμφυοῦς καὶ ἐμφύτου ἑτεροιότητος; Καὶ οὕτω μὲν οὐσία μία τὴν ἁγίαν Τριάδα συνάπτει ὁποίαν εἰκὸς ἐνθεωρεῖσθαι τῷ ὑπερουσίῳ Θεῷ, τῷ καὶ ἐπέκεινα πάσης οὐσίας ὑπερκοσμίου τε καὶ ἐγκοσμίου καὶ αἰτίῳ.

ρια΄. Καὶ τοῦτο περινοησάμενοι καὶ τῶν ἔξω οἱ σοφώτεροι ἓν εἶναι τὸ κυρίως ὂν ἐφιλοσόφησαν· ἐμμείναντες δὲ τῷ τοιούτῳ ἐκεῖνοι νοήματι ἐφ' ὅσον ἐμέτρησεν ἡ ἐν αὐτοῖς γνῶσις, εἶτα κατέσχισαν αὐτὸ εἰς ὁπόσα οὐκ ἂν ἔχοι τις ῥᾳδίως οὐδὲ ἀριθμήσασθαι πολυθεΐαν ἐκεῖνοι δοξάσαντες. Οἱ δὲ τῆς καθ' ἡμᾶς πίστεως ἀγιώτατοι παραδόται τὴν εἰρημένην θείαν οὐσίαν εἰς τρία διελόντες, Πατέρα λέγω καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὰ καὶ πᾶσι μὲν Χριστιανοῖς προσκυνητά, οὐκ ἂν δὲ μὴ καὶ τοῖς ἄλλοις ἅπασι σεβάσμια ὁπόσοι δι' αὐτῶν ὁπωσοῦν ἥκοντες ἀκροθιγῶς παραψαύουσι θείας γνώσεως, εἰς Τριάδα διήγαγον τὸν ἕνα ἐκεῖνον Θεὸν, καὶ πρόσωπα τὰ τοιαῦτα τρία ὠνόμασαν, οὐδέν τι σεμνότερον ἄλλο ἔχοντες ἐπιθέσθαι αὐτοῖς εἰς γνώρισμα τίμιον· ἀλλ' ἐκ τοῦ κατ' ἄνθρωπον τιμιωτάτου μέρους ὃν κατ' εἰκόνα Θεοῦ ποιήσας ὁ ἐν Τριάδι Θεὸς ἐξ ἐκείνου προσωπικῶς ἑαυτὸν εἰκόνισεν, ἐκεῖνον χαρακτηρίσαντες. Οἱ δὲ αὐτοὶ ἅγιοι καὶ τὴν εἰς τρία ταύτην διαίρεσιν φιλοτιμούμενοι συναιρεῖν πρὸς ὀρθότητα, οὐκ ἀποδιιστῶσιν εἰς ἀσύμβατα, καὶ ἀλλότρια, καὶ ἀσύντροχα· διαφορὰν δὲ ὅμως ἐν τοῖς τοιούτοις παραδιδόντες τὴν κατὰ ἰδιότητας εἴτουν χαρακτῆρας· καθότι ὁ μὲν Πατὴρ ἀγέννητος, καθὰ προδεδήλωται, ὁ δὲ Υἱὸς γεννητὸς, τὸ δὲ Πνεῦμα τἄλλα μὲν ταυτιζόμενόν ἐστι τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ἰδίᾳ δὲ νοσφισάμενον τὴν πατρόθεν ἐκπόρευσιν, ἀφιᾶσι

114. Quoad Trinitatis connexionem juxta quam Christus Filius dictus est, Patri natura conjunctissimus, aliquid præscriptum est in locutionem : φρυκτωρίαν συμφυῆ. Nunc dicendum quod dictio convenienter sumpta est a ramis cohærentibus et consubstantialibus arbori, et surculis radicitus ex uno principio derivatis. Similiter enim quodammodo conjunctissimus et consubstantialis Patri Filius est, quemadmodum Spiritus sanctus, secundum divinitatem et cætera quæcunque dogmate tenemus Christiani. De persona vero substantiaque, de quibus non est dicendum utpote viris ecclesiasticis non notis, qui super hæc aliquid scribere debet tanquam ex zelo necessario, vas corripiat quasi eo mare mensurus. Tali namque se dare philosphiæ non secus est ac mare metiri velle. Breviter hoc tantum dicendum est tanquam memoriale super initiatis, quod una quidem est substantia sancta Trinitatis. Unicum enim esse proprium est ipsi, nec dividitur in differentias, illam variantes vel alienantes : verum una est, Deus simplex, incommutabilis. Si enim unoquoque nostrum ipso manente, negatur erga similes nobis substantiæ diversitas, cum, quicunque sumus, tales simus ad varietatem, quis auderet tali, ut ita dicam, naturæ cognatione, consubstantialitate et identitate sanctam privare Trinitatem et in ipsa videre repugnantiam ex insociabili ingenitaque diversitate? Et ita quidem una substantia sanctam coaptat Trinitatem qualem æquum est in superconsubstantiali contueri Deo, qui super omnem substantiam mundanam et cœlestem est ac principium.

115. Et hoc considerantes inter exteros sapientiores, unum esse quod ens proprie est, philosophati sunt. Cum autem in hac sententia permanserunt illi quantum permisit quæ in ipsis erat cognitio, postea diviserunt istud in tot entia quot aliquis nec facile numerare posset, polytheismum opinati. Sanctissimi vero fidei nostræ traditores divinam hanc dictam substantiam ut tria distribuentes, Patrem inquam et Filium et Spiritum sanctum, quæ quidem omnibus Christianis sunt adoranda, sed non ita cunctis aliis veneranda, qui quomodocunque leviter inter eos venientes, divinam notitiam leviter attigerunt, in Trinitatem hunc unum Deum traduxerunt, et personas illa tria nominaverunt, nihil aliud habentes honorabilius, quod illis ad distinctionem auguste imponerent ; sed ex augustissima parte hominis, quem ad imaginem Dei factum hic in Trinitate Deus personaliter sui ipsius imaginem dedit, illum charactere distinguentes. Iidem vero sancti talem in tria distributionem juxta rectitudinem in unum contrahere studentes non in disparata, nec aliena, nec discordia, separant, distinctionem tamen eam quæ est juxta proprietates seu characteres, in illis assignantes ; quatenus quidem Pater est ingenitus, uti præmonstratum est, Filius autem genitus, Spiritus vero de cætero idem cum Patre et Filio, proprie tamen per

processionem a Patre distinctus, concedunt alia, quæcunque dicere quis posset, esse communia; ita ut proinde, salutaris nobis omnibus, Trinitas ista, propriis quidem characteribus circumscripta, sed in immensum diffusa supersubstantiali natura potentiarum suarum in operando atque providendo, nos quoque doceat homines in quamdam multipartitam divinamque communionem informari.

A τὰ ἄλλα πάντα κοινὰ εἶναι ὁποῖα εἴποι τις ἄν· ὡς οὕτω τὴν πάντων ἡμῶν σωστικὴν Τριάδα μεμετρημένην μὲν τοῖς χαρακτηριστικοῖς ἰδιώμασι, κεχυμένην δὲ εἰς ἄπειρον τῷ ὑπερουσιασμῷ τῶν κατ' αὐτὴν ἐνεργειῶν, τῶν τε δημιουργικῶν, καὶ προνοητικῶν, καὶ τῶν λοιπῶν παιδεύειν καὶ ἡμᾶς τοὺς ἀνθρώπους εἰς τινα τοιαύτην πολυμερῆ κοινωνίαν ἔνθεον.

116. Et sic illi quod unum est tria cogitantes, non omittunt quin statim continuoque ac subito ea quæ, sicut dictum est, sunt divisa, ad unum reducant; et hoc citius quam diceret aliquis id unum Trinitatem vel hanc Trinitatem esse monadem. Ideoque distinctionem facientes, sicut mutuo rami consubstantiales et veluti congeneres, simul separentur quantum satis est ut videantur, et statim ad primam cohæsionem recurrant, iidem ad mentem humanam ac rationem et spiritum in eodem ordine conflantem et concurrentem, sanctæ Trinitatis conceptum producunt; et, adumbrata per hujusmodi pulchram in nobis Trinitatem illa veneranda atque colendissima, nos inducunt ad cogitandum, ut possibile, per istam, quomodo sit hæc tria simul et unum. Cum enim in nobis pater animus, et in ipso ratio, et ex ipso et per ipsum spiritus, quæ tria sunt et mensurata, in aliquid unum inseparabiliter conspirant, maximus etiam Pater et sanctissimum ejus Verbum, et sacratissimus Spiritus, aliquo simili modo sane concipiuntur. Unum autem prorsus est ista Trinitas, et tria hæc monas, non juxta quæ sunt in nobis habentia causam producta, facta; omnium vero nostrum et rerum quæ sunt sursum et infra, ipsa certe et sola proprie causa.

ρις'. Καὶ οὕτως ἐκεῖνοι τρία νοοῦντες τὸ ἕν, οὐκ ἀφιᾶσι μὴ οὐχὶ συντόμως καὶ ἀχρόνως καὶ ἀκαρεὶ τὰ, ὡς εἴρηται, διῃρημένα συναιρεῖν· καὶ τοῦτο θᾶττον ἢπερ φράσοι τις ἄν, ἐνταῦθα τὸ ἓν Τριάδα, ἢ τὴν Τριάδα μονάδα εἶναι. Καὶ τοίνυν διελόντες ὡς εἰ καὶ συμφυεῖς κλάδοι ἀλλήλων ἐχόμενοι καὶ οἷον συμπεφυκότες, ἅμα διαστῶσιν εἰς ὅσον ἰδέσθαι, καὶ αὐτίκα εἰς συμφυΐαν δραμοῦνται τὴν πρότερον, οἱ αὐτοὶ καὶ εἰς νοῦν τὸν κατ' ἄνθρωπον καὶ εἰς λόγον τοιοῦτον, καὶ εἰς πνεῦμα στοίχῳ τοιούτῳ σύμπνουν καὶ σύνδρομον, προβιβάζουσι τὴν τῆς ἁγίας Τριάδος νόησιν· καὶ ἐξεικάσαντες τῇ καθ' ἡμᾶς καλῇ Τριάδι ταύτῃ τὴν πάντιμον ἐκείνην καὶ ὑπέρτιμον, ἐνάγουσι κατανοεῖν ἡμᾶς ὡς δυνατὸν ἐκ ταύτης, πῶς καὶ ἐκείνη καὶ τρία ἐστὶ καὶ ἕν. Ὅτε γὰρ ἐν ἡμῖν πατὴρ νοῦς, καὶ ὁ ἐν αὐτῷ λόγος, καὶ τὸ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ πνεῦμα, τρία καὶ ὄντα καὶ μετρούμενα εἰς ἕν τι συννεύουσιν ἀχωρίστως, καὶ ὁ μέγιστος Πατὴρ, καὶ ὁ ἁγιώτατος αὐτοῦ Λόγος, καὶ τὸ πανάγιον Πνεῦμα, ὁμοίῳ δή τινι τρόπῳ καταλαμβάνονται· ἓν δὲ πάντως ἡ Τριὰς αὕτη, καὶ τρία ἡ μονὰς, οὐ κατὰ τὰ ἐν ἡμῖν τὰ αἰτιατὰ, τὰ παρηγμένα, τὰ ποιητά· πάντων δὲ καὶ ἡμῶν καὶ τῶν τε ἄνω καὶ τῶν κάτω, αὐτὰ δὴ καὶ μόνα κυρίως αἴτια.

117. Et postquam ita propemodum, non secundum homines, sed angelorum linguis, locuti erant sancti, vel potius, auctore Deo, talia constituerant, sicut nobis ex divinis sacrisque Scripturis colligere datur, aliter etiam nobis in mentem eamdem philosophiam recte simul ac sapienter inducere studebant. Ponebant quidem, ut aliquam domum, maximum mundum, et tres ibi suspendebant hypothesi lampades, sanctam trifulgentem Trinitatem. Has autem lampades contuebantur privatim nitentes et domum illuminantes; exinde vero claritates et radiationes excogitabant mutuo, per se venientes et cooperantes, unum efficere bonum supremum et finale, hospitii administrationem per illuminationem et pragmaticam ostensionem, in cujus gratiam tales accensæ fuerant lampades; et hujusmodi exemplo docebant, unam compositamque sanctæ Trinitatis operationem, ut neque trinum per confusionem in ea velaretur, sed manifeste pateret; et operatio, quin esset communis et inconfusa, non impediretur. Sunt quidem sapientissima sublimiaque, præter alia multa, talia documenta, necnon rectarum cogitationum inventa, sed ipsa tamen breviora sunt ac corporalia taliaque quæ

ριζ'. Καὶ οὕτω πως οἱ ἅγιοι οὐ κατ' ἀνθρώπους λαλήσαντες, ἀλλὰ γλώσσαις ἀγγέλων, μᾶλλον δὲ θεοπαραδότως τὰ τοιαύτα καταστήσαντες, ὡς ἔστιν ἡμῖν ἀναλέγεσθαι ἐκ τῶν θείων καὶ ἱερῶν Γραφῶν, ἐφιλοτιμήσαντο ἐμβιβάσαι ἡμῖν εἰς νοῦν καὶ ἄλλως τὴν τοιαύτην φιλοσοφίαν εὐθυβόλως ἅμα καὶ σοφῶς· ὡς οἶκον μέν τινα ὑπερθέμενοι τὸν μέγιστον κόσμον, λύχνα δὲ οἷον ὑπανάψαντες ὑποθετικῶς τρία, τὴν τρίφωτον ἁγίαν Τριάδα· καὶ τοὺς μὲν λύχνους ἰδίᾳ θεωροῦντες ἐκλάμποντας καὶ τὸν οἶκον φωτίζοντας· τὰς δὲ ἐκεῖθεν λάμψεις καὶ ἀκτινοβολίας φιλοσοφοῦντες δι' ἀλλήλων ἠκούσας καὶ συνεργούσας, ἓν ποιεῖν ἀγαθὸν καιριώτατον, καὶ σκοπιμώτατον τελικῶς, τὴν τοῦ ὁσπητίου διοίκησιν διὰ φωτισμοῦ καὶ καθυποδείξεως πραγματικῆς, ἧς χάριν τὰ τοιαῦτα λύχνα ἐξανήφθησαν, καὶ διδάσκουσι καὶ ἐκ τῆς τοιαύτης παραδείξεως, τὸ τῆς ἁγίας Τριάδος μονενέργητον συνέργασμα, ὡς μήτε τὸ τριαδικὸν αὐτῆς ἐσκιάσθαι διὰ συγχύσεως, ἀλλὰ φανερῶς ἐκφαίνεσθαι· καὶ τὸ ἐνέργημα δὲ κοινωνικῶς καὶ ἀσυγχύτως ἀνεπικώλυτον εἶναι αὐτῇ· καὶ εἰσὶ μὲν πάνσοφα καὶ τὰ τοιαῦτα πρὸς μυρίοις ἄλλοις διδασκάλια καὶ ὑψηλὰ, καὶ διανοιῶν εὐθέων εὑρήματα, ταχύτερα δὲ καὶ αὐτὰ ὅμως, καὶ σωματικὰ καὶ οἷα μὴ

ἔχειν πληροφορεῖν ἄνθρωπον πολυπράγμονα πρὸς ἀσυζήτητον κατάληψιν, εἰ μὴ αὐτὸς ὁ Θεὸς ἀποκαλύψας τοὺς ὀφθαλμοὺς τῶν ἢ ἀμβλυωπούντων ἢ ἄλλως δυσωπουμένων τὴν πρὸς τὸν ἥλιον τῆς ἀληθείας ἀνάβλεψιν, ἑαυτὸν ἐμφανίσει καὶ διδάξει τὰ ὑπὲρ ἀνθρωπικὴν κατανόησιν. Οὐκοῦν ἵνα μὴ ἀναγκασθῶμεν αὐτόχρημα μεταλαμβάνειν τὰ τῶν ἁγίων Πατέρων ἐξ ἀντιγράφων ἐρανιζόμενοι τὰ καὶ ἡμῶν δίχα ἐκδηλα εἰς ἔνδειξιν φανερὰν τοῦ μίαν ἐν τρισὶ προσώποις εἶναι τὴν ἁγιωτάτην θεότητα, καὶ εἰκῆ φανεῖσθαι περὶ τὰ πᾶσιν εὐπόριστα, περιωρίσθω ἡμῖν ἕως ὧδε καὶ ὁτοιοῦτος νοῦς· τὸ δέ, Ἔλαμψε φῶς ἡ χάρις τοῦ Πνεύματος, διχῶς νοητέον· ἢ γὰρ ὅτι ἀπετέλεσε λάμψιν φωτίζουσαν ψυχὰς ἡ χάρις τοῦ ἑορταζομένου Πνεύματος, ἢ ὅτι σήμερον ἐξέλαμψεν ἀνατεῖλαν φῶς οὐ τὸ σύνηθες, καὶ πρὸς αἴσθησιν, ἀλλὰ ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ἵνα ταυτὸν εἴη φῶς ἐνταῦθα εἰπεῖν, καὶ χάριν τοῦ ἁγίου Πνεύματος.

convincere nequeant hominem de inscrutabili comprehensione curiosum, nisi Deus ipse revelans oculos debilium et eorum qui alias difficile sustinent solis veritatis intuitionem, semetipsum manifestet et ea quæ humanam superant intelligentiam doceat. Itaque ne reipsa cogamur ex rescriptis eruentes explicare dicta sanctorum Patrum, quæ sine nobis ad clare demonstrandum in tribus personis unam esse sanctissimam Deitatem manifesta sunt, vanique videamur circa res omnibus obvias, hucusque circumscribatur nobis hæc talis sententia. Hoc autem : Ἔλαμψε φῶς ἡ χάρις τοῦ Πνεύματος, dupliciter intelligendum : aut enim, quod claritatem animas illuminantem perfecit celebrati Spiritus gratia, vel quod hodie luxit exoriens lumen non assuetum, et sensibile, quod tamen est gratia sancti Spiritus, ut idem sit lumen hic dicere Spiritusque sancti gratiam.

Τροπάριον τρίτον τῆς δ' ᾠδῆς.

Χ. Τελεῖσθε πάντες τῇ θεαρχικωτάτῃ
Ὅσοι λατρευταὶ τῆς τριφεγγοῦς οὐσίας·
Ὑπερφυῶς τελεῖ γὰρ ὡς εὐεργέτης,
Καὶ πυρσομορφοῖ Χριστὸς εἰς σωτηρίαν
Ὅλην πορίζων τὴν χάριν τοῦ Πνεύματος.

Troparium 3 odæ quartæ.

Servitis omnes divinissimo principatui,
Quot servi estis triluminis substantiæ.
Supernaturaliter enim perficit ut benefactor,
Et igneam formam Christus dat in salutem,
Totam porrigens gratiam Spiritus.

ριη'. Ἠθικεύεται ὁ μελῳδὸς ἅμα παρόντι τροπαρίῳ, καὶ τὰ τῆς ἑορτῆς φιλοσοφεῖ. Καὶ ἡ μὲν πρὸς ἦθος παίδευσις λέγει, ὅτι Πάντες ὅσοι ἐστὲ λατρευταὶ τῆς τριφεγγοῦς οὐσίας τελεῖσθε, τουτέστι μύσται γίνεσθε, τελετὴν ἑορτάζοντες, καὶ οὕτω τελεισθῆτε τῇ τοιαύτῃ θεαρχικωτάτῃ οὐσίᾳ· ἡ δὲ φιλόσοφος θεωρία πληροφορεῖ ὅτι ἡ τοιαύτη οὐσία διὰ τοῦ Χριστοῦ, ὃς εὐεργέτης ὄντως ἐστὶν, ὑπερφυῶς τε τελεῖ ἤγουν μυεῖ, τουτέστι μυσταγωγεῖ διδάσκων, καὶ παιδεύων καὶ πυρσομορφοῖ οὐ πρὸς ἐρύθημα αἰδοῦς εἴτε κάλλους, ἀλλὰ εἰς σωτηρίαν, πορίζων τοῖς μύσταις αὐτοῦ ὅλην τὴν χάριν τοῦ Πνεύματος. Οὐ γὰρ ἀτελὴς ὁ Θεὸς, ὥσπερ οὐ τὴν πληρεστάτην φύσιν αὐτοῦ ἢ ἄλλο τι τῶν κατ' αὐτὸν, καὶ περὶ αὐτὸν, οὕτως οὐδὲ τὴν εὐεργεσίαν καὶ τὴν χάριν τὴν ἐξ αὐτοῦ πρὸς τοῦ αὐτοῦ. Εἰ γὰρ καὶ πάνυ μικρὰ λαμβάνων προσίεται ὅς γε καὶ προσκυνήσει χαίρει τῇ κατ' ὀρθότητα καὶ εὐλογίᾳ εὐγνώμονι ὡς καὶ ὄντως εὐλογητὸς, ἀλλ' αὐτὸς μεγαλόδωρός ἐστιν, ὅτι καὶ ἐλευθεριότητος ἁπάσης, καὶ μεγαλοπρεπείας δεσπότης ἅμα καὶ παραδότης· καὶ ὁ τὸν ἀναμάρτητον ἄνθρωπον ὅλον ἑαυτὸν ἐκείνῳ ἀντιδίδωσιν εἴπερ ἄξιος τούτου γένηται.

118. In præsenti quidem stropha poeta moraliter ac philosophice quæ sunt festivitatis tractat. Et quidem moralis instructio dicit : Quicunque substantiæ ter lucentis estis adoratores, initiamini, id est, mystæ sitis mysteria celebrantes, et ita tali omnipotenti substantiæ consecramini. Philosophica vero theoria plenam facit fidem quod talis substantia per Christum, qui vere beneficus est, superius perficit, id est, initiat et sacris consecrat, docens et erudiens, et ignis formam ingerit, non juxta ruborem pudoris vel pulchritudinis, sed ad salutem, suis mystis omnem Spiritus gratiam præbens. Non est enim imperfectus Deus, sicut nec circa perfectissimam ejus naturam, vel aliud quid eorum ad ipsum respicientium, sic neque circa beneficentiam et gratiam quæ ex ipso et per ipsum est. Etsi enim valde parva suscipiens concipiatur, qui facta secundum rectitudinem adoratione gaudet necnon benevola laude, quasi revera laudatus, ipse tamen in donis magnificus est, utpote qui cunctæ liberalitatis et magnitudinis est dominus et dator, quique innocentem hominem totum seipsum illi vice sua tradit dum ille dignus hoc fiat.

ριθ'. Ἰστέον δὲ ὅτι προστακτικῆς τε ἐγκλίσεως τὸ τελεῖσθε, καὶ ὅτι μυστικῶς ἁγία ἡ τοιαύτη λέξις σύστοιχος τῇ τελετῇ, καὶ τῇ τελεταρχίᾳ, καὶ τοῖς τελεσταῖς τῶν μυστηρίων ἐκφάντορσι· τοιοῦτον δὲ καὶ τὸ τελεῖ, ὅπερ ἀνωτέρω κεῖται. Ἀποχαρανοῦται δὲ, ὅ δή τις ἔφη, ταῦτα καὶ ὅσα τοιαῦτα, ὧν καὶ προεμνήσθημεν· σαφῶς δὲ εἰπεῖν κεφαλαιοῦται καὶ ἀφορᾷ εἰς τὴν κατ' ἄνθρωπον τελείωσιν, ἣν εὐπραγοῦσιν οἱ πρὸς ὀρθὴν ἀλήθειαν καὶ ὀρθότητα, οὐ μὴν εἰς κρῖμα ἢ εἰς κατάκριμα, τὰ θεῖα μιμούμενοι· τάχα δὲ τοιαύτη τις ἔννοια καὶ τοὺς ἐν

119. Sciendum est autem imperativi modi esse vocem τελεῖσθε ; mysticeque sanctam esse hanc locutionem quæ ejusdem est generis ac ἡ τελετὴ et ἡ τελεταρχία, et οἱ τελεταὶ, qui sunt mysteriorum interpretes. Tale est quoque verbum τελεῖ, quod superius habemus Ἀποχαρανοῦται autem, ut aliquis dixit, hæc aliaque similia, quorum memoriam fecimus : vel, ut clarius loquar, summatim dicuntur et spectant ad hominis τελείωσιν quam recte faciunt qui juxta rectam veritatem et orthodoxam fidem, non in judicium et condemnationem, divina imitan-

tur. Forte vero talis quædam sententia eos exornat qui in τέλει, id est in dignitate sunt secundum istud: Illis qui sunt in dignitate (τέλει) constituti, parebo, necnon forsitan bellici ordines hinc (τέλη) dicuntur propter illorum velut initiationem ad bonam compositionem, ob quam etiam de talibus quæstionibus liber honorabiliter ταχτικὸν dicitur. De voce autem, ἀρχιχωτάτῃ jam scriptum est. Οὐσία vero prorsus juxta communem formam hic sumitur, non ex quadam prævia, sed ex illa quæ in secundo versu posita est.

A τέλει σεμνύνει, ὅ ἐστι τοὺς ἀξιωματικούς, κατὰ τὸ τοῖς ἐν τέλει βεβῶσι πείσομαι· καὶ τὰ πολεμικὰ δὲ τάγματα ἴσως ἐντεῦθεν τέλη λέγονται διὰ τὴν κατ' αὐτὰ ὡσανεὶ μύησιν τὴν ἐπὶ εὐταξίᾳ, δι' ἣν καὶ τὸ περὶ τοιούτων ὑποθέσεων βιβλίον σεμνῶς τακτικὸν λέγεται. Περὶ δὲ τοῦ ἀρχικωτάτῃ προγέγραπται· οὐσία δὲ πάντως αὕτη ληφθεῖσα κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα ἐνταῦθα, οὐκ ἐκ τινος προηγησαμένου, ἀλλ' ἐκ τῆς ἐν τῷ δευτέρῳ στίχῳ κειμένης οὐσίας.

120. Λατρεύειν olim quidem pro servire sumebatur, et ideo λάτρης servus dicebatur, secundum λα particulam augmentariam, et τρεῖν quod est vereri: taliter enim ad dominos servile genus affici oportet; siquidem δοῦλος (servus), secundum τὸ δέους ὅλος appellatur. Qui tamen aliter afficitur servus haud λάτρης, sed ἀτρεὺς vocari nobilius vellet, scilicet veritus ne quoque *tremens* diceretur, secundum illum qui sic ob timorem luditur. Cum autem, o sodes, inveneris quemdam fornicationi vel avaritiæ λατρεύειν scriptum, hominem commiseresce risu dignum ac commiseratione tanquam idololatram sciens, eo quod talibus iniquitatibus servivit. Sciendum autem expressionem: ὅσοι λατρευταί, evidenter explicare hoc: « In his sanctæ Trinitati initiabuntur, » at segregatim soli omnes ipsius adoratores. Hoc vero: τριφεγγοῦς οὐσίας, ex nominativo accentu acuto notato consuetoque dictum est. Sicut πολυφεγγής, sic etiam est τριφεγγής substantia. Invenitur autem etiam alia dictione talis dictio in hoc: τρίφεγγον οὐσίαν glorificamus. Hoc autem fecit hiatus evitatio vitandaque asperitas, quæ, nisi sic modularetur, esset futura; τρίφεγγος autem ac τριφεγγὴς congruenter est ἡ τρίφωτος: lumen enim ac illuminatio simul est sancta Trinitas, juxta quam lumine videbimus lumen, non autem in tenebris mundano modo. Prorsus inauditum vero est ac supernaturale unam substantiam esse τριφεγγῆ, trilucentem; eo quod soli Deo, in Trinitate uni, specialiter hoc adjectivum competit.

ρκ'. Τὸ δὲ λατρεύειν πάλαι μέν ποτε ἀντὶ τοῦ δουλεύειν εἴληπτο, διὸ καὶ λάτρης ὁ δοῦλος ἐλέγετο, παρὰ τὸ λᾶ ἐπιτατικὸν μόριον καὶ τοῦ τρεῖν ὅ ἐστι τὸ φοβεῖσθαι. Οὕτω γὰρ πρὸς τοὺς δεσπότας τὸ δοῦλον γένος διακεῖσθαι χρεών· ἐπεί τοι ὁ δοῦλος παρὰ τὸ δέους ὅλος εἶναι ὠνόμασται. Ὁ μέν τοι ἄλλως διακείμενος δοῦλος, οὐ λάτρης ἀλλὰ ἀτρεὺς καλεῖσθαι ἂν εὐγενέστερον ἐθέλοι, ὡς οἶα δειδιώς· μὴ καὶ τρέσας κληθείη κατὰ τὸν οὕτως ἐπὶ δειλίᾳ χωμῳδούμενον. Ὅτε δέ, ὦ οὗτος, εὕροις τινὰ γραφόμενον τῇ πορνείᾳ λατρεύειν, ἢ τῇ φιλαργυρίᾳ, οἰκτειρε τὸν ἄνθρωπον τοῦ μυκτηρισμοῦ, καὶ τῆς ἐλεεινότητος ὡς εἰ καὶ εἰδωλολάτρην ἤκουσας, οἷα δεδουλωμένῳ κακίαις τοιαύταις. Ἰστέον δὲ καὶ ὅτι τὸ ὅσοι λατρευταὶ διασαφητικόν ἐστιν εὐκρινῶς τοῦ, τελεσθήσονται τὰ τῆς ἁγίας Τριάδος, ἀλλὰ ἐπιλέγδην μόνοι πάντες οἱ αὐτῆς λατρευταί. Τὸ δὲ τριφεγγοῦς οὐσίας, ἀπὸ εὐθείας ὀξυτόνου συνήθους ἐκλήθη· καὶ ἔστιν ὡς ἡ πολυφεγγής, οὕτω καὶ ἡ τριφεγγής· εὑρίσκεται δὲ καὶ ἑτεροίας λέξεως ἡ τοιαύτη λέξις ἐν τῷ, τρίφεγγον οὐσίαν δοξάζομεν. Ἐποίησε δὲ ἐκεῖνο ἡ τῆς χασμῳδίας ἀποφυγὴ, καὶ τὸ δυσμελὲς, εἰ μὴ οὕτω μεμέλιστο· τρίφεγγος δὲ καὶ τριφεγγὴς ὁμολογουμένως ἡ τρίφωτος· φῶς γὰρ ἅμα καὶ φῶτα ἡ ἁγία Τριάς, καθ' ἣν φωτὶ φῶς θεώμεθα, οὐ μὴν ἐν σκότῳ κοσμικώτερον. Παράδοξον δὲ πάντως καὶ ὑπερφυὲς μίαν οὐσίαν τριφεγγῆ εἶναι· διὸ καὶ μόνῳ τῷ ἐν Τριάδι ἑνὶ Θεῷ τὸ τοιοῦτον ἰδιαζόντως ᾠκείωται.

121. Sciendum est vero quod τρίφεγγος et τριφεγγὴς similitudinem habent ut ἄτερπος et ἀτερπής; quorum unum quidem ponitur apud dicentem: Injucundæ miseriæ memoriam non habuisse, alterum autem in, injucundam aulam, seu triste tabernaculum (ἀτέρπου δίζύος· ἀτερπέα αὐλήν. Hoc autem: ὑπερφυῶς τελεῖν, tuto dicitur. Quod enim aliquis ad summam artem initietur, nihil hoc habet supernaturale: quod autem aliquis mystice initietur, ut non solum ad Deum appropinquet vel accedat, sed et raptus ad Apostoli instar coram Deo sistat in altissimo, hoc supernaturale simul est, ac ineffabile continet beneficium. Ideoque huic: ὑπερφυῶς τελεῖ (supernaturaliter initiat) recte subjectum est: εὐεργέτης, Christus scilicet. Verbum autem πυρσομορφοῖ simplicius ponitur pro: similes facit, sicut jam scriptum est, vel lu-

ρκα'. Ἰστέον δὲ ὅτι τὸ τρίφεγγος καὶ τριφεγγὴς ὁμοιότητα ἔχει πρὸς τὸ ἄτερπος καὶ ἀτερπής· ὧν τὸ μὲν κεῖται παρὰ τῷ εἰπόντι - ἀτέρπου δίζύος ἐκλελαθέσθαι - τὸ δὲ παρὰ τῷ φράσαντι - ἀτερπέα αὐλὴν - ἤγουν λυπηρὰν κατασκήνωσιν. Τὸ δὲ ὑπερφυῶς τελεῖν, ἀσφαλῶς εἴρηται· μυηθῆναι μὲν γάρ τινα πρὸς τέχνην ἄκραν οὐκ ἔχει τι ὑπερφυές· τελεσθῆναι δέ τινα μυστικῶς, ὡς οὐ μόνον ἐγγίσαι ἢ εἰσελθεῖν εἰς τὸν Θεὸν, ἀλλὰ καὶ παραστῆναι αὐτῷ ὑψοῦ ἀποστολικῶς ἀρθέντα, ὑπερφυές τε ἅμα ἐστὶ καὶ εὐεργεσίαν πλουτεῖ ἀνυπέρβλητον· διὸ τῷ ὑπερφυῶς τελεῖ, καλῶς ἐπῆκται τὸ εὐεργέτης, ὁ Χριστὸς δηλαδή· τὸ δὲ πυρσομορφοῖ ἁπλούστερον μὲν ἀντὶ τοῦ, ἐξομοιοῖ πυρσῷ, καθὰ καὶ προγέγραπται, ἢ λαμπρύνει τὴν τοῦ μύστου φύσιν. Μορφὴ γὰρ, ὡς προέφημεν, καὶ ἡ φύσις, ἢ καὶ τὸ πρόσωπον, καθά ποτε δεδόξαστο καὶ Μωϋσῆς τῇ κατὰ πρόσωπον

φανότητι, πιστὸν ἐκεῖνο τότε προδείξας, καὶ τὸ τῆς μεταμορφώσεως θαῦμα, ἐν ᾧ ὑπὲρ ἥλιον ἔλαμψεν ὁ Χριστός· ἔνθα τηνικαῦτα παρὼν καὶ ἐκεῖνος, ἔμαθεν εἰς πλέον ὅπως ὁ Θεὸς πάντα ὅσα ἔχει διανέμει καὶ τοῖς αὐτὸν θεραπεύουσι. Καὶ ταῦτα μὲν ἁπλούστερον περὶ τοῦ ὡς ἐῤῥέθη πυρσομορφοῦν.

A centem initiati naturam reddit: forma namque est, ut ante fuit dictum, vel natura vel facies, sicut olim clarificatus est Moyses, faciei illuminatione, credibile jam antea faciens illud et transfigurationis miraculum, in quo plusquam sol illuxit Christus; ibique simul astans ille magis didicit quomodo cuncta, quæcunque Deus habet, ipsi servientibus distribuat. Et hæc quidem simplicius de verbo, ut dictum est, πυρσομορφοῦν.

ρκβ'. Ἄλλως δὲ εἰς σωτηρίαν πυρσομορφοῖ ὁ Θεὸς τοὺς ἀληθεῖς αὐτοῦ λατρευτὰς, ὡς μορφῶν καὶ εἰδοποιῶν αὐτοὺς εἰς πυρσὸν, ὅ ἐστι φανὸν καὶ φρυκτὸν τῷ ὄντι σωτήριον· ὃς προκείμενός που ἢ νήσου ἢ γῆς παραιγιάλου σωτήριος προλάμπει τοῖς ἢ ἀμφαγνοοῦσιν ὅπου προέρχονται γῆς ἢ θαλάσσης, ἢ πτοουμένοις κίνδυνον προφανῆ. Τοιοῦτοι δὲ πρὸς τοῦ Θεοῦ καὶ διὰ τὸν Θεὸν, καὶ ἄλλοι μὲν μυρίοι ὅσοι ἐλεήμονες ἐκεῖνοι τὴν ψυχὴν, καὶ οἰκτίρμονες, καὶ φιλάδελφοι, καὶ φιλάνθρωποι, καὶ πρὸ πάντων φιλόθεοι· μάλιστα δὲ οἱ βασιλεῖς καὶ οἱ προσεχῶς βασιλικοὶ, καὶ οἱ τῶν ἐπισκόπων δὲ εἰς ὑπέρπλεον· οἷς καὶ ἡ κλῆσις ἐκ τοῦ περισκοπεῖν, καὶ οὕτω φυλάσσειν κεχάρισται· εἰ μήπου, ὅπερ μὴ ἐάσῃς, ὦ Κύριε, γίνεσθαι, ἢ σφοδρὰ καταιγὶς τὸν λαμπτῆρα νοῦν αὐτοῖς ἀποσβέσει καὶ λόγον, ἢ κόνις ἐπαχλύσασα συγχέει τὸ ὀπτικὸν ὃ συγκροτεῖ τὸν ἐπίσκοπον. Ὀρθῶς οὖν οἶμαι καὶ οὕτω πυρσομορφοῦν λέγεται ὁ ἐν Τριάδι Θεὸς εἷς τοὺς ὀρθῶς αὐτῷ λατρεύοντας.

B 122. Aliter autem in salutem πυρσομορφοῖ Deus veros suos adoratores, ut configurans et specie similans illos ad πυρσόν, quod est, lucernam ac pharum revera salutarem; quæ sita ante insulam vel maritimam terram salutaris prælucet iis qui quo maris vel terræ progrediantur hæsitant vel imminens periculum reformidant. Tales autem sunt a Deo et per Deum, tum quidem mille alii animo misericordes et benigni, et fratrum amatores, et humani, et ante omnia erga Deum pii, sed præsertim reges et propinqui principes et maxime qui de episcopis sunt; quibus nomen ex περισκοπεῖν et sic custodire gratiose donatum est; si non, quod ne sinas, Domine, fieri, vel violenta tempestas facem fulgentem ipsis mentem et rationem exstinguet, vel pulvis obscurans infundetur in oculum qui constituit episcopum. Recte igitur, puto, sic etiam ignis formam dare dicitur Deus, in Trinitate unus, illis qui ipsum recte adorant.

ρκγ'. Ἰστέον δὲ ὅτι ταυτὸν φανὸν, καὶ πυρσὸν, καὶ φρυκτόν· καὶ ὁ φανὸς μὲν, ὃν καὶ πανὸν διὰ τοῦ π γράφουσι τῶν τινες παλαιῶν, ἀπὸ τοῦ φαίνω φανῶ, τὸ λάμπω, γίνεται· ἐξ ἐκείνου δὲ φανίον ὑποκοριστικῶς τὸ παρ' ἡμῖν φανάριον. Ὁμωνύμου δὲ ὄντος τοῦ φαίνειν, ἐλέγετο γὰρ φαίνειν Ἀττικῶς, καὶ τὸ ἐνδείκνυσθαι, ὅπερ ἦν εἶδος κατηγορίας πιττάκωμα φιλοῦν λέγεσθαι δημοτικῇ λαλιᾷ, φανὸς ἐσκώπτετό τις Ἀθήνῃσι δικῶν ὑπογραφεὺς, ὡς οἷα φαίνων καὶ οὕτω βλάπτων τινάς· καί πως ἐῴκει ὁ τοιοῦτος τῷ συκοφάντῃ, ὃ καὶ αὐτὸς ἐκ τοῦ ἐπὶ συκῶν οὕτω φαίνειν ὠνόμασται· καὶ τοιοῦτον μέν τι ὁ φανὸς σωτήριος ὢν ὡς τὰ πολλά· ὁ δὲ φρυκτὸς φαίνει μὲν καὶ αὐτὸς, ὠνόμασται δὲ οὐκ ἀπὸ τοῦ ἔργου οὗ ἐπὶ σωτηρίᾳ ποιεῖ, ἀλλ' ἐκ τῆς ὑπαναπτούσης αὐτὸν ὕλης, ἥπερ ἐστὶ πεφρυγμένα ξύλα εἴτε καὶ φρύγανα, καὶ παράγεται ἀπὸ θέματος τοῦ φρύγω φρύξω, ἐξ οὗ ῥῆμα πέφρυκται, ὅθεν καὶ φρυκτὸς ὁ ῥηθεὶς, καὶ φρύκτωρον, καὶ φρυκτωρία ἡ κατὰ τὸν φρυκτὸν φυλακὴ, ὡς ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω. Τοιοῦτου δὲ ὄντος καὶ τοῦ φρυκτοῦ, καὶ τῶν ἐξ αὐτοῦ, ὁ πυρσὸς γνωριμώτερον μὲν ἐξωνόμασται, οὐ μὴν κάλλιον ἥπερ ὁ φανός· καὶ ἔστιν εἰπεῖν ὡς πορρώτερον μὲν τοῦ κατὰ τὴν εὕρεσιν τῶν τριῶν σκοποῦ ὁ φρυκτὸς, ἀπὸ ὕλης ὀνομασθεὶς ὡς προσεχῶς ἐῤῥέθη· ἐγγύτερον δὲ ὁ πυρσὸς, οἷα πῦρ αὐτὸ ὢν ἀποτελεσθὲν ἐκ τῆς τοιαύτης ὕλης· ἔτι δὲ ἔγγιον ὁ φανὸς, οἷα παρὰ τὸ φαίνειν γενόμενος, οὗ ἕνεκεν καὶ τὰ φρύγανα συνῆκται καὶ ὁ πυρσὸς ἀνῆπται ὡς φαίνεσθαι τοῖς ἀναγκαίως χρῄζουσι.

C 123. Sciendum est porro idem esse φανὸν et πυρσὸν et φρυκτόν· ὁ φανὸς quidem, quem etiam πανὸν perscribunt veterum aliqui, a φαίνω φανῶ, id est luceo, venit. Ex hoc autem deminutive est φανίον quod apud nos est φανάριον. Homonymum autem cum sit verbum φαίνειν (dicebatur enim Attice φαίνειν convincere, quod unum erat accusationis genus, in populari lingua πιττάκωμα dici assuetum), φανὸς Athenis lusorie dicebatur quidam causarum notarius, veluti clarificans et ita quosdam lædens. Et aliquo modo talis assimilatur sycophantæ, qui et ipse ex locutione ἐπὶ συκῶν οὕτω φαίνειν, appellatus est. Et ita quidem est plerumque φανὸς σωτήριος· φρυκτὸς etiam ipse φαίνει, sed vocatur non ab opere, ubi salutariter agit, sed ex materia ipsum accendente, quæ est torrefacta ligna (πεφρυγμένα ξύλα) sive cremia (φρύγανα) et deducitur a themate φρύγω φρύξω, ex quo dictus φρυκτὸς, et φρύκτωρον, et φρυκτωρία, quæ est secundum observationis facem custodia, velut ab ὠρῶ quod est φυλάσσω. Talia cum sint et verbum φρυκτὸς, et verba quæ ab isto veniunt, ὁ πυρσὸς sæpius nominatur, non autem pulchrius est quam ὁ φανός. Dicendum autem quod ab inventionis trium scopo, ὁ φρυκτὸς, a materia nominatus ut proxime vidimus, longius abest: propius autem est ὁ πυρσὸς, utpote qui ignis ipse est, ex hujusmodi materia effectus; proxime vero est ὁ φανὸς, ut a verbo φαίνειν veniens, cujus causa cremia succenduntur et ὁ πυρσὸς accenditur, ut quibus est opus luceat.

124. Et eximie perficiatur quartum et ultimum et maxime necessarium bis quibus opus est sive φανῷ sive φρυκτῷ, salus scilicet intuentium ad hoc luminare. Quod autem et alias φανὸς seu fax efficitur absque siccata materia ignisque carbonarii expositione, manifestum est ex constructis tubis et vasculis, in quibus modicæ quædam faces per noctem sive cera sive oleo succenduntur, vitris, tanquam minutis linteaminibus, orbiculatim sanctorum flaminibus, quibus talia lumina exstinguuntur. Cum vero fumus per diem sæpe procul idem præstat indicium ac pharus, et ipse salvificat, φανὸς aut lucerna dici potest et ille per catachresim, vel homonymiam, non juxta φαίνειν, quod est lucere, sed juxta aliud commune φαίνειν seu indicare, et ad lucem conducere, quod proprie dictus φανός aut pharus.

125. Considerandum autem est aliunde an istos fumos, salutis per diem locos, vel alio modo signiferos in insulis aut in aliis locis, recte φανούς vel φρυκτούς vel πυρσούς aliquis dicere possit. Forte enim, non invento meliore nomine, nigrum hunc fumum appellare φανόν ausit aliquis ob lucentem ignem, cujus signum fumus cum sit, rem colorat in nigrum elevatus : propter eamdem vero causam πυρσόν eumdem fumum vocabit, φρυκτόν tamen vel φρύκτωρον hunc appellare quis verebitur : non enim ex fricta materia necessarie producitur iste fumus, ut apud poetam sunt φρύγανα ; sed potius viridi ligno sub ignem aggeratim immisso solet surgere ille fumus. Ast quidem nos velut e fumo, quod dicitur, exeamus ex hoc sermone ; sufficienter explicato verbo πυρσομορφοῖ, quod est, informat tanquam in πυρσόν.

126. Sciendum est etiam quod ex voce πῦρ πυρὸς venit πυῤῥός duplicata sine mutatione littera ῥ, qua in semisonum σίγμα fit πυρσὸς, ex quo verbum πυρσομορφοῖ : non autem obscurum est quod vir πυῤῥός et mulier πυῤῥὰ dicuntur, qui sunt etiam a ῥόδῳ ῥόδεοι ; invenitur et πυρσὴ coma quæ est πυῤῥά. Sic autem etiam proprium nomen Πύῤῥος cum accentu penultimo ad distinctionem adjectivi cum accentu ultimo historia monstrat. Πορίζειν autem idem est ac præstare, factum vel a voce πόρος, ex qua venit ἔμπορος et consortia verba ; vel a πόροις, ex quibus, ut plerumque obscuris, nobis utilia proveniunt ; vel a verbo πόῤῥω, unde quoque est Æolice πόρσω et πορσύνω. Verbum tamen ἐκπορίζειν quamdam expulsionem ac expensam ostendit. Sic enim ignis in hiemis tempore accedens ad nudum, tristitiam ἐκπορίζει, id est, eximit, abigit, evacuat. Est ibi metaphora a sudantibus, quorum corporales pori superfluum humorem celant. Sic autem etiam fures apte dicerentur ἐκπορίζειν aliena. Alias autem, ut rem accurate exponamus, quemadmodum apud antiquos ἐξαίσιον et ἔκδικον,

ρκδ'. Κἐντεῦθεν ἀποτελεῖσθαι τὸ τέταρτον, καὶ τελικώτατον, καὶ ἀναγκαιότατον τοῖς δεομένοις τοῦ εἴτε φανοῦ, εἴτε πυρσοῦ, τὴν σωτηρίαν δηλαδὴ τῶν ἀναβλεπόντων εἰς τὸ τοιοῦτον λαμπρόν. Ὅτι δὲ καὶ ἄλλως φανὸς ἀποτελεῖται δίχα φρυγανώδους ὕλης καὶ πυρὸς ἠνθρακωμένου ἐκφάνσεως, δῆλον δὲ ἐκ τῶν οἰκοδομητῶν χωρημάτων τε καὶ ἀγγείων, ἐν οἷς μέτριοί φανοί τινες νύκτωρ ἀνάπτονται εἴτε ἀπὸ νηροῦ φανία, εἴτε καὶ ἐλαδίου, ὑάλων ὅσα καί τινος λεπτῆς ὀθόνης ἀντικειμένων κύκλῳ ταῖς τῶν ἀνέμων καταπνοαῖς, δι' ὧν τὰ τοιαῦτα φῶτα σβέννυνται. Εἰ δὲ καὶ καπνὸς ἡμερινὸς πόῤῥωθεν δηλοῖ πολλάκις ὑπόσα καὶ ὁ πυρσὸς, καὶ σώζει καὶ αὐτὸς, δύναται φανὸς καὶ ἐκεῖνος ὀνομασθῆναι καταχρήσεως λόγῳ, ἢ ὁμωνυμίας, οὐ παρὰ τὸ φαίνειν ὅ ἐστι λάμπειν, ἀλλὰ παρὰ τὸ κοινῶς ἕτερόν φαίνειν, ἤγουν δεικνύειν καὶ εἰς φῶς προάγειν ἐκεῖνα ὁπόσα καὶ ὁ κατὰ κυριολεξίαν φανός.

ρκε'. Σκόπητέον δὲ καὶ ἄλλως εἰ καὶ τοὺς μεθ' ἡμέραν σωτηρίους τόπους καπνοὺς, ἢ ἄλλον τρόπον σημειώδεις νησιωτικοὺς τυχὸν ἢ καὶ ἐν ἄλλοις ὡς εἰκὸς τόποις, δυνήσεταί τις φανοὺς ὀρθῶς ἢ φρυκτοὺς ἢ πυρσοὺς εἰπεῖν. Ἴσως γὰρ ὁ μὴ ἐκ τοῦ προχείρου εὐπορηκὼς κρείττονος ὀνόματος τολμήσει ἂν καὶ τὸν μέλανα καπνὸν ἐκεῖνον φανὸν ὀνομάσαι διὰ τὸ φανὸν πῦρ, οὗ σημεῖον ὁ καπνὸς ὤν, χρώζει τὸν ἀέρα εἰς μελάντερον ἐξαιρόμενος. Διὰ τὴν αὐτὴν δὲ αἰτίαν καὶ πυρσὸν τὸν αὐτὸν καπνὸν καλέσει· φρυκτὸν μέντοι ἢ φρύκτωρον εὐλαβηθήσεταί τις ὀνομάσαι αὐτόν. Οὐ γὰρ φρυκτῆς ἐξ ἀνάγκης ὕλης ἐξαναδίδοται καπνὸς τοιοῦτος ὁποῖα παρὰ τῷ ποιητῇ κάγχανα ξύλα - καὶ τὰ ἐπ' ἀληθείᾳ φρύγανα, χλωροῦ δὲ μᾶλλον ὑλαίου ὑποκειμένου πυρὶ ὀχλουμένου, ἀναθρώσκειν φιλεῖ ὁ χρήσιμος ἐκεῖνος καπνός. Ἀλλ' ἡμεῖς μὲν ὡς ἐκ καπνοῦ, ὃ δὴ λέγεται, ἀπέλθωμεν τοῦδε τοῦ λόγου, ἀρκούντως διασκευάσαντες τὸ πυρσομορφοῖ, ὅπερ ἐστὶ, μορφάζει ὡς εἰς πυρσόν.

ρκς'. Ἰστέον δὲ καὶ ὅτι ἐκ τοῦ πῦρ πυρὸς γίνεται πυῤῥός, διπλασιασθέντος τοῦ ἀμεταβόλου ῥ, ᾧ εἰς ἡμίφωνον τὸ σίγμα γίνεται πυρσὸς, ἐξ οὗ τὸ πυρσομορφοῖ· οὐκ ἄδηλον δὲ ὅτι καὶ πυῤῥὸς ἀνὴρ καὶ γυνὴ πυῤῥὰ λέγονται οἱ καὶ ἀπὸ τοῦ ῥόδου ῥόδεοι. Εὕρηται δὲ καὶ πυρσὴ θρὶξ ἡ πυῤῥά. Ὡς δὲ καὶ Πύῤῥος κύριον ὄνομα βαρυτόνως πρὸς διαστολὴν τοῦ ἐπιθέτου ὀξυτόνου ἡ ἱστορία δηλοῖ. Τὸ δὲ πορίζειν ταυτόν ἐστι τῷ παρέχειν, γενόμενον ἢ ἀπὸ τοῦ πόρου ἐξ οὗ ὁ ἔμπορος καὶ τὰ κατ' αὐτὸν, ἢ ἀπὸ τῶν πόρων, ὧν ἀδήλων ὡς τὰ πολλὰ ὄντων ἐξίενται τὰ χρηστὰ ἡμῖν, ἢ καὶ ἀπὸ τοῦ πόῤῥω ῥήματος ἐξ οὗ καὶ τὸ πόρσω Αἰολικὸν, καὶ τὸ πορσύνω. Τὸ μέντοι ἐκπορίζειν ἐξαγωγήν τινα δηλοῖ καὶ δαπάνην. Οὕτω γὰρ πῦρ τῷ γυμνητεύοντι προσὸν ἐν καιρῷ χειμῶνος, ἐκπορίζει τὰ λυποῦντα, τουτέστιν ἐξάγει, ἀπάγει, ἐκκενοῖ· καὶ ἔστιν ἐνταῦθα ἡ μεταφορὰ ἐκ τῶν ἱδρούντων, ὧν οἱ κατὰ σῶμα πόροι διηθοῦσι τὸ περιττὸν ὑγρόν· οὕτω δὲ καὶ φῶρες λέγοιντο ἂν ἀστείως ἐκπορίζειν τὰ ἀλλότρια· ἄλλως δὲ πρὸς ἀκρίβειαν παραδοῦναι, ὥσπερ παρὰ τοῖς παλαιοῖς μὲν ἐξαίσιον, καὶ ἔκδικον τὸ ἔξω τοῦ αἰτίου καὶ τοῦ

δικαίου, ὡς οἷον στέρησιν δηλούσης τῆς ἐκ προθέσεως· παρὰ δὲ τοῖς ὕστερον ἐξαίσιον κατ' ἐπίτασιν καὶ ἔκδικον τὸ λίαν, πάνυ αἴσιον καὶ δίκαιον· οὕτω καὶ ἐκπορίζειν ἦν μὲν ὅτε τὸ μὴ πορίζειν, ἀλλὰ ἀπάγειν· οἱ δὲ ὑστερογενεῖς ῥήτορες εἰς ταυτὸν τὸ πορίζειν ἄγουσι καὶ τὸ ἐκπορίζειν, ὡς δηλοῖ καὶ τὸ, παρασκευὴν τροφῆς ἐκπορίζει, ὃ ἐστι δαψιλῶς χορηγεῖ.

A quod extra conveniens ac justitiam est, significat, privationem ostendente propositione *ex*; apud recentiores autem ἐξαίσιον est cum intensione et ἔκδικον cum amplitudine, quod omnino conveniens et justum est : ita etiam ἐκπορίζειν erat olim non præstare, sed abducere ; sed posteriores rhetores in unum redigunt πορίζειν et ἐκπορίζειν, ut illud ostendit : præparationem cibi ἐκπορίζει, quod est laute proponit.

Ὠδῆς ε' εἱρμός.

Hirmus odæ 5.

XI. Λουτήριον κάθαρσιν ἀμπλακημάτων
Πυρίπνοον δέξασθε Πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας·
Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος,
Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Solubilem purgationem criminum,
Ign tum accipite Spiritus rorem,
O filii luciformes Ecclesiæ :
Nunc enim ex Sion exivit lex,
Igneæ linguæ forma, Spiritus gratia.

ρκζ'. Πρὸ βραχέων λουτροῦ θείου μνησθεὶς ὁ καλὸς οὗτος μελῳδὸς, καὶ ὀλίγον ἀποστὰς ἐκείνου, ἐπανέκαμψεν ὡς οἷά τις φιλόλουτρος πάλιν ἐπ' αὐτό· καὶ οὐ διαπετάννυσι μὲν ὅλην τροπικῶς τὴν εἴσοδον, ὡς ἐκεῖ ἐνεδάθυνεν, εἰπὼν τὸ, Ὄμβροβλυτεῖς μοι ῥεῖθρον, καὶ ἑξῆς. Προκύψας δὲ ἄλλως εἰς ὅσον ἠρέμα κάνταῦθα προσάψασθαι τοῦ ἀγαθοῦ, ἐπιστρέφεται εἰς τὰ ἐκκλησιαστικὰ τέκνα, καὶ προκαλεῖται αὐτὰ καθήρασθαι, λελουμένα μὲν ἤδη ὄντα καὶ οὕτω φωτόμορφα, δεόμενα δὲ ὅμως καὶ εἰσαεὶ τῆς αὐτῆς χάριτος, ἣν οὐδέποτε ὀκνήσει ὁ φιλότιμος Χριστιανὸς ἐπιτείνεσθαι ζητεῖν ἐκ Θεοῦ. Φησὶν οὖν τοιαῦτα· Ὦ τέκνα φωτόμορφα ἐκκλησιαστικὰ, δέξασθε κάθαρσιν ἁμπλακημάτων λουτήριον, ἧγουν ἀπολούουσαν ὡς οἷον ῥύπον πολὺν καὶ οὕτω βαρὺν, τὰ ἐν ἡμῖν ἁμαρτήματα· ᾗ δὴ καθάρσει πλυνάμενοι, καὶ ὡσεὶ ἔριον λευκανθήσεσθε, τῇ τοῦ Θεοῦ σκηνῇ χρησιμεύοντες, καὶ ὑπὲρ χιόνα ἧς πολύ τι καλὸν τοῖς ἐπὶ γῆς τὸ ἀποτέλεσμα ἐν καιρῷ. Ποίαν δὲ λέγω κάθαρσιν; Τὴν τοῦ ἁγίου Πνεύματος πυρίπνοον δρόσον· ἣν αὐτίκα Σιωνίτην νόμον ἑρμηνεύσει, εἰπών· Νῦν γὰρ ἐκ τῆς περικλύτου Σιὼν, ἧς πλεῖστος λόγος πανταχοῦ τῆς γῆς, ἐξελήλυθε νόμος. Ποῖος ἐκεῖνος νόμος; Ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ἥ, ὡς εἴρηται, γλωσσοπυρσόμορφος.

127. Paulo ante divini lavacri mentione facta paululumque præterita bonus poeta noster ut homo balnei cupidus, ad illud iterum redit. Non explicat quidem tropologice totum aditum, sicut illic profunde penetravit dicens : Tanquam imbrem mihi fluentem immittis, et reliqua; sed alias inclinatione facta tanquam ad paululum hujus boni hic etiam delibandum revertitur ad Ecclesiæ filios, et illos hortatur ut se purificent, jam lavati et illuminati, sed tamen adhuc in perpetuum eadem egentes gratia, quam fervens Christianus a Deo postulare nunquam pigre curabit. Hæc igitur dicit : O illuminati Ecclesiæ filii, purificationem peccatorum accipite, abluentem veluti sordem multam et profundam, quæ sunt in nobis peccata : hac purificatione lavati, sicut lana dealbamini, Dei tabernaculo servientes, et super nivem, cujus in tempore opportuno effectum est aliquid valde bonum his quæ sunt super terram. Qualem autem dico purificationem ? Igniferum sancti Spiritus rorem ; quem continuo Sioniticam legem interpretabitur, dicens : Nunc enim ex inclyta Sion, cujus plurimus est ubique terrarum sermo, venit lex. Quænam ista lex ? Gratia sancti Spiritus, quæ, sicut dictum est, ignis et linguæ figuram gerit.

ρκη'. Ἰστέον δὲ καὶ ὅτι τοῦ ἐνταῦθα λουτηρίου παράφρασις εἶναι δοκεῖ τοῦ ἐν τῇ τετάρτῃ ᾠδῇ θείου λουτροῦ. Καὶ τοίνυν τὸ μὲν θεῖον ἡ τῶν ἁμπλακημάτων κάθαρσις περιφραστικῶς ἑρμηνεύει· θεῖον δὲ αὐτὴ πάντως οὖσα λουτρόν· τὴν δὲ ἐκεῖ ζέσιν τοῦ Πνεύματος, ἡ ἐν τῷ εἱρμῷ τούτῳ λέξις ἐμφαίνει τοῦ πυρίπνοον· ἡ δὲ δρόσος τὸν ἐκεῖ ὄμβρον καὶ τὸ ῥεῖθρον· οὐ γὰρ ἑτερογενῆ ὁ ὄμβρος καὶ ἡ δρόσος, καθὰ οὐδὲ τὸ ῥεῖθρον. Τὸ δὲ ἑφεξῆς φῶς καὶ ὁ πυρσὸς τὰ ἐν τῷ τρίτῳ καὶ πέμπτῳ στίχῳ λάμποντα, σεμνύνουσιν ὑπὲρ τὴν ᾠδὴν ἐκείνην, τὴν φωτεινὴν κατὰ Πνεῦμα κάθαρσιν, εἴτουν ἀπόλουσιν τῶν ἐκκλησιαστικῶν τέκνων· ἅμα δὲ τὴν εἰρημένην δρόσον τοῦ Πνεύματος ἴαμα οὖσαν τοῖς τέκνοις τῆς Ἐκκλησίας, τοῦ χαρακτῆρος τῆς πέμπτης κατὰ τὸν Ἡσαΐαν ᾠδῆς ἐνθυμητέον εἶναι· καθὰ καὶ τὸ φῶς ὃ προλάμπει τῶν εἰδότων ὅσα πρυστάσσει ὁ Θεός· ὧν φῶς τὰ προστάγματα ἐπὶ τῆς γῆς. Ὁ δὲ πυρσὸς ὁ εἰρημένος ἐν τῷ πυρσόμορφος contenta, non absque verisimilitudine dici

128. Sciendum autem etiam est quod ibi λουτηρίου paraphrasis esse videtur divini lavacri in quarto carmine commemorati. Itaque verbum *divinum* peccatorum purificatio circumlocutione interpretatur, cum ipsa sit omnino divinum lavacrum. Fervorem autem illic Spiritus, dictio πυρίπνοον in hoc nexu demonstrat. Hic ros imbrem illic et fluentum denotat : non enim alieni generis sunt imber et ros, sicut et fluentum. Lumen et fax quæ postea tertio quintoque versu lucent, in illo carmine purificationem secundum Spiritum lucidam, sive filiorum ecclesiasticorum purgationem exorhat. Simul autem oportet ut meditemur prædictum Spiritus rorem, qui filiis Ecclesiæ remedium est, charactere quinti secundum Isaiam carminis esse ; sicut et lumen, quod prælucet videntibus quantum præcipit Deus, cujus lumen sunt præcepta super terram. Dicta vero fax πυρσὸς, in voce πυρσόμορφος

potest et ipsa ex eodem carmine eluxisse, faciente memoriam ignis, qui consumit adversantes nobis. Et quidem tale est istud.

μορφο; οὐκ ἀπεικότω; καὶ αὐτὸ; ῥηθείη ἂν τῆς αὐτῆς ᾠδῆς ἐκλάμψαι, πυρὸ; μεμνημένης ὃ κατεσθίει τοὺ; ὑπεναντίου; ἡμῖν. Καὶ τοιόνδε μὲν καὶ τόδε.

129. Dicta vero balnearia purificatio dicitur ad distinctionem ab aliis sanctis purificationibus, quales sunt hæc quæ fit per exomologesim, hæc per pœnitentiam de malefactis, hæc per morales virtutes. Novimus autem et illum qui carbone circa labia spiritualiter purificatus est. Purificabatur etiam aliquis qui zelum habuerat erga Deum, et qui de illo testimonium reddiderat, vel aliud quid simile bonum fecerat. Horum autem omnium principium est balnearius et igne afflatus traditus ros Spiritus sancti. Ros quidem cognominatus, et quod desursum tanquam irrigat ac pinguefacit pulchras paradisi plantas (bonos homines), easque vocat ad fructuum abundantiam ; igneflatus autem dictus, ob renovationem spiritualis potentiæ per illum et secundum illum factam ; quatenus hæc potentia aqua consumit ea quæ a Deo præscribuntur, et flamma irrigat quæ salute digna sunt ; ita ut sit ideo, juxta poetam, ros igneflatus sancti ros Spiritus, idemque sit roriger ignis cum spiritali fervore, sicque balnearius ad decoram animæ purificationem.

ρκθ'. Ἡ δὲ εἰρημένη λουτήριος κάθαρσις πρὸς διαστολὴν ἄλλων εἴρηται ἁγίων καθάρσεων· ὁποία καὶ ἡ δι' ἐξομολογήσεως, καὶ ἡ διὰ μετανοίας τῆς ἐπὶ κακοῖς, καὶ ἡ δι' ἀρετῶν ἠθικῶν. Οἴδαμεν δὲ καὶ τὸν καθηράμενον ἄνθρακι νοητῶς τὰ χείλη· ἐκαθήρατο δέ τις καὶ ζηλώσας ἐπὶ τῷ Θεῷ, καὶ ὁ μαρτυρήσας ὑπὲρ ἐκείνου, ἢ ἄλλο τι ποιήσας ἀγαθὸν ὅμοιον. Τούτων δὲ πάντων αἰτία ἡ νῦν παραδεδομένη λουτήριος πυρίπνοος δρόσος τοῦ Πνεύματος· δρόσος μὲν ὀνομασθεῖσα διὰ τὸ ἄνωθεν οἷον ἐπομβρεῖσθαι καὶ πιαίνειν τὰ καλὰ τοῦ παραδείσου φυτὰ, τοὺς ἀγαθοὺς ἀνθρώπους, καὶ ἐκκαλεῖσθαι αὐτὰ εἰς πολυκαρπίαν· πυρίπνοος δὲ διὰ τὸ κατ' αὐτὴν καὶ δι' αὐτῆς καινότροπον τῆς πνευματικῆς δυνάμεως· καθ' ἣν ὕδωρ τε φλέγει ἄπιρ ἐπιτάσσεται θεόθεν, καὶ φλὸξ δροσίζει τὰ σώζεσθαι ἄξια· ὡς εἶναι διὰ τοῦτο καὶ δρόσον πυρίπνοον τὴν τοῦ ἁγίου Πνεύματος, κατὰ τὸν μελῳδὸν, καὶ πῦρ τὴν αὐτὴν δρυσερὸν ἅμα ζέσει πνευματικῇ, καὶ οὕτω λουτήριον ἐπὶ καλοποιῷ καθάρσει ψυχῆς.

130. Vox ἀμπλάκημα etiam feminine ἀμπλακία, venit a locutione ἀνάπαλιν ἧκειν, eo quod non rectam vivendi sequitur viam peccator, sed tanquam retrorsum a rectitudine peccans recedit. Πυρίπνοον synthesis est locutionis πῦρ πνέειν, non flammeum, quod ex aere inflammato est, ita ut aliquis eo plenus, ignem sicut chimæra vel catoblepas spiret, sed quale viros apostolicos angelice inflammavit ad divina mysteria ; cujusque linguæ ignitæ (γλωσσοπυρσόμορφοι) erant symbolum. Nota deinceps quod τὸ περίπνοον et ejus masculinum genus accentu notentur in antepenultima ; vox autem per syncopen trisyllaba πυρπνόος in penultima habet accentum ; sicut et ex illis paulo post ὁ πυρίπνους et adverbium πυρπνόως. Hic autem etiam exoticum vide cogitatum sacro hymnographo traditum ad hymnum spiritualem : dictum enim πῦρ πνέειν (ignem spirare) quod initio fuit adinventum de tauris Colchicis et de chimæra Lyciaca, ut ignem spirantibus traditis, sibi nunc solerter proprium fecit, ignis illius, ut ita dicam, ficti et extranei lampade mystice accensa dicataque sancto Spiritui ; per quem balneariam purificationem fidelibus perfecit. Quod si vero posterius aliquis dictus est ob eloquentiam vim ignis spirasse, vel aliquo modo simile est febri fervens, pro : pathetice locutus est, tropi a sunt ista, quod nec anagogice expressa et excelsa. Hic quoque notandum est quod πυρπνόος taurus et πυρπνόος chimæra recte acuto tono signantur ob actionem quam ostendunt, quemadmodum in hac dictione : mulier πρωτοτόκος : hæc enim primum parit, et illi spirant ignem. Porro πυρίπνοος ros ad passionem resolvitur, sicut et

ρλ'. Τὸ δὲ ἀμπλάκημα καὶ ἀμπλακία λέγεται θηλυκῶς· γίνεται δὲ παρὰ τὸ ἀνάπαλιν ἧκειν, ἐπεὶ μὴ εὐθυπορεῖ κατὰ βίον ὁ ἁμαρτωλὸς, ἀλλὰ τῆς ὀρθῆς ἁμαρτάνων ἀναχωρεῖ ὡς οἷον ἔμπαλιν. Τὸ δὲ πυρίπνοον σύνθεσίς ἐστι τοῦ πυρπνέειν, οὐ φλόγεον τὸ ἐξ ἀέρος ἐμπύρου ἵνα τις ἐμφορηθεὶς αὐτοῦ, πῦρ πνέῃ δίκην χιμαίρας ἢ κατώβλεπος, ἀλλὰ ὁποῖον τοὺς ἀποστόλους ἀγγελικῶς ἐξεφλόγωσεν εἰς λειτουργίας θείας, οὕπερ αἱ γλωσσοπυρσόμορφοι γλῶσσαι σύμβολον. Ἰστέον δὲ ὅτι τὸ μὲν πυρίπνοον καὶ τὸ ἀρσενικὸν αὐτοῦ προπαροξύνεται· τὸ δὲ κατὰ συγκοπὴν τρισύλλαβον ὁ πυρπνόος παροξύνεται. Ἐκ τούτων δὲ μετ' ὀλίγα ὁ πυρίπνους, καὶ ἐπίῤῥημα τὸ πυρπνόως. Ὅρα δὲ κἀνταῦθα νόημα ἐξωτερικὸν παραδεχθὲν τῷ ἁγίῳ μελῳδῷ εἰς ὕμνον πνευματικόν. Τὸ γὰρ πῦρ πνέειν τὴν ἀρχὴν ἐπὶ ταύρων Κολχικῶν, καὶ ἐπὶ χιμαίρας τῆς Λυκιακῆς λογοποιηθὲν, ἃ δὴ ζῶα πυρπνόα παραδέδονται, ᾠκειώσατο νῦν δεξιῶς πυρὸς, ὡς οὕτως εἰπεῖν, ἐκείνου πλαστοῦ ἀλλοφύλου ἐναύσας μυστικῶς λαμπάδα καὶ ἀναθεὶς τῷ ἁγίῳ Πνεύματι, δι' οὗ λουτήριον κάθαρσιν ἐξήρτισε τοῖς πιστοῖς. Εἰ δὲ ἐν τοῖς ὕστερον μένος πυρὸς πνέειν τοῦ κατὰ ῥητορείαν ἐῤῥέθη τις, ἢ πυρετῷ ζέων ὅμοιόν τι ἐπὶ τῷ πάθει ἐλάλησε τροπικὰ ταῦτα, οὐ μὴν ἀναγωγικῶς γραφικὰ καὶ ὑψηλά. Ἐπισημαντέον δὲ ἀναγκαίως ἐνταῦθα ὅτι πυρπνόος μὲν ταῦρος, καὶ πυρπνόος χίμαιρα, ὀρθῶς ὀξυτονοῦνται δι' ἣν δηλοῦσιν ἐνέργειαν, ἀναλόγως τῷ, γυνὴ πρωτοτόκος· ἐκείνη τε γὰρ πρώτως τίκτει, καὶ αὐτὰ πυρπνέουσιν. Ἡ μέντοι πυρίπνοος δρόσος εἰς πάθος ἀναλύεται, ὡς καὶ ὁ πρὸ δύο συλλαβῶν ὀξυνόμενος παῖς· ἐκ πυρὸς γὰρ αὐτὴ ἀναπνέεται ἀτμιδουμένη, καὶ σχεδόν τι δρόσος οὖσα· οὐ γὰρ

παρενοχλεῖ ὡς αὐτόχρημα πῦρ, ἀλλὰ θερμαίνει παρήγορα ὡς οἷα λουτήριος.

ρλα'. Φωτόμορφα δὲ τέκνα, ἢ τὰ μορφῇ, ὅ ἐστι φύσει, ὡς προερρέθη, καὶ ἀληθῶς φωτεινὰ, ἢ τὰ φωτοειδῆ· τὸ δὲ τῆς Ἐκκλησίας γλυκέως κεῖται ὡς μητρὸς τῶν εἰρημένων τέκνων, ἵνα λέγῃ αὐτὰ ὁ μελῳδὸς παῖδας ἐκκλησιαστικοὺς, λελουμένους ὑπ' αὐτῆς ἐπὶ καθάρσει φωτεινῇ, ἀρεσκούσῃ τῷ Θεῷ. Ὁ δὲ νῦν ἐξεληλυθὼς νόμος οὐκ ἄλλοθέν ποθεν, ἀλλὰ ἐκ τῆς Σιὼν ἡ τοῦ Πνεύματός ἐστι κατὰ τὸν μελῳδὸν χάρις. Καὶ ἐνθυμητέον ἐνταῦθα ὅτι καλῶς καὶ πρὸ ὀλίγων τὸ νεῖμας τὸ, Πνεῦμα ὡς ὑπέσχετο, τοιαύτης ἐννοίας ἔφαμεν εἶναι ἐμφαντικόν. Εἰ γὰρ μὴ τὰ τοῦ ἁγίου Πνεύματος εἰς νόμους θήσομεν πυρσεύοντας γλώσσαις γραφικαῖς τὰ σωτήρια, σχολῇ γ' ἂν νομοθέτας ἐξωτερικοὺς ἀξιώσομεν λόγου. Τὸ δὲ, ἐξελήλυθε νόμος, ἄλλως μὲν οὐκ ὀρθῶς ποδίζεται, διὰ τὸ βραχυκατάληκτον τοῦ ἐξελήλυθε· πυρρίχιος γὰρ βαίνει ὁ πέμπτος πούς. Ἔχει δὲ θεραπείαν λόγῳ κοινῆς συλλαβῆς, ὁποίαν καὶ ἀορίστου λήγουσα ὁμοία ἐν τῷ· Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή· τινὲς δὲ ἔγραψαν, ἐξεληλύθει, κατὰ ὑπερσυντελικὸν χρόνον. Ἔστι δὲ ἴσως οὐκ ἀκριβὴς ἡ τοιαύτη γραφὴ, διὰ τὸ νῦν ἐπιῤῥῆμα τὸ κατάρχον τοῦ στίχου ἐπὶ ἐνδείξει Καινῆς Διαθήκης. Αὐτὸ μὲν γὰρ ὁμολογουμένως ἐνεστῶτα δηλοῖ, καὶ ᾠκείωται παρακειμένῳ καὶ ἐνεστῶτι. Ὁ δὲ ὑπερσυντελικὸς ἤδη φθάσαι; χρονικῶς ὑπερσυντετέλεστο· ὅτι δὲ καὶ ὁ οὕτω γράψας δύναται εἰπεῖν χρόνον ἀντὶ χρόνου συνήθως ληφθῆναι· ἢ ὡς ὑπερσυντελικὸν ἀντὶ παρακειμένου, καὶ ὅτι ὁ αὐτὸς τὸν νῦν ἐξεληλυθότα νόμον ὡς ἀρχῆθεν βεβουλευμένον τῷ Θεῷ ὑπερσυντελικῶς ἐξελθεῖν φράσαι ἠθέλησεν, ἐς τοσοῦτον διαληπτέον.

ρλβ'. Τὸ δὲ ἐκ Σιὼν ἐξεληλυθέναι τὸν εἰρημένον τῷ μελῳδῷ νόμον, συμφωνεῖ τῷ ἁγιωτάτῳ Εὐαγγελίῳ· ἐχρῆν γὰρ καὶ αὐτὸν ἐκ τῆς Ἱερουσαλὴμ ἄρξασθαι, μετανοίας αἴτιον ἡμῖν ὄντα καὶ ἀφέσεως ἁμαρτιῶν. Ὅρα δὲ τὸ γλωσσοπυρσόμορφος, ἐξαθερίζόμενον μὲν καὶ αὐτὸ τοῖς εἰς οὐδὲν δέον περιέργοις τὰ γραμματικὰ, φιλούμενον δὲ τῷ ἱερῷ ποιητῇ, καὶ δι' ἐκεῖνον τοῖς φιλοκάλοις στεργόμενον. Ἔξεστι γὰρ παντὶ ῥήτορι, καθὰ καὶ τῷ ἐξωτερικῷ καλῷ Ξενοφῶντι, κατὰ ποσὰ διασ:ήματα γράφειν παράσημόν τι φίλον αὐτῷ κατὰ χαρακτῆρα ἴδιον. Μὴ γοῦν κατακλώζωμεν ἀφρόνως, ἀνδρὸς οὐκ ἀγνοήσαντος, ἀλλ' ὡς αὐτῷ ἐδόκει, ἐπικρίναντος τὸ παρ' ἄλλοις οὐχ ἡδύ. Θαῤῥούντως οὖν, ὦ μελῳδὲ, ἀναφώνησον καὶ ἐν τοῖς ἑξῆς, καθὰ σὺ φιλεῖς, τὸ ἀκτιστοσυμπλαστουργοσύνθρονον, ὅπερ ἡμεῖς μὲν ἡδέως ἀκουσόμεθα ἐπικλείοντες ὅλα, κλεΐζοντες ὡς οἷα καὶ νεωτάτην ἀοιδήν, ὅ δὴ λέγεται. Οἱ δὲ μὴ ἀρεσκόμενοι βυέτωσαν τὰς ἀκοὰς, ἀλειψάμενοι κηρῷ αὐτὰς, εἴτε πηλῷ, οὗ καί εἰσι κατάξιοι.

ρλγ'. Ἰστέον δὲ ὡς δοκεῖ χαίρειν ὁ ἐποποιὸς οὗτος καὶ τῇ λέξει τῆς μορφῆς, τῆς προσωπικῆς δηλαδὴ, ὡς οἷα πρόσωπον αὐτὸ τοῦτο λαμβάνων ἐκ-

A παῖς acuto notatur accentu pro duabus syllabis : ex igne scilicet iste spiratur vaporatus, cum adhuc fere sit ros : non enim obturbat ut ipsemet ignis, sed calefacit quasi balnearis.

131. Φωτόμορφα dein τέκνα sunt vel forma, id est, natura, sicut ante dictum est, et vere lucidi filii, vel lumini similes. Vox autem τῆς Ἐκκλησίας, commode ponitur quasi de matre dictorum filiorum, ut illos dicat poeta filios ecclesiasticos ab illa lavatos ad purificationem lucidam et Deo gratam. Lex autem quæ non aliunde venit nisi de Sion, Spiritus est secundum hymnographum gratia ; et ibi recogitandum quod pulchre, paulo antea dictionem , « distribuens Spiritum ut promiserat » , talis cogitati diximus esse demonstrativam : nisi B enim quæ sunt Spiritus sancti ponamus in leges igneis linguis salutaria demonstrantes, vix legislatores extraneos dignos verbo judicabimus. Hoc vero : ἐξελήλυθε νόμος, non recto graditur metro propter syllabam brevem vocis ἐξελήλυθε : pyrrhichius enim graditur pes quintus : habet autem remedium, syllabæ communis ratione, quale similis aoristum terminans in hoc : Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή. Quidam scripserunt ἐξεληλύθει plusquamperfecto : quæ scriptura non videtur accurata propter adverbium νῦν incipiens versum de manifestatione Novi Testamenti. Ipsum enim ex confesso præsens indicat et appropriatur præterito et præsenti : plusquam- C perfectum autem, quod jam tempore præcessit, ante fuerat elapsum. Quoniam autem ille qui taliter scripsit dicere potest tempus pro tempore de more fuisse sumptum, velut plusquamperfectum pro præterito, idemque legem, quæ nunc advenit, tanquam ab initio Deo beneplacitam, in tempore plusquamperfecto venisse voluit indicare, hic disserendi finem facimus.

132. Ex Sion venisse legem a poeta prædictam sanctissimo consonat Evangelio : oportebat enim etiam illam a Jerusalem incipere, tanquam pœnitentiæ peccatorumque remissionis nobis causam. Vide vero vocem γλωσσοπυρσόμορφος, despectam illis qui de grammaticis nimis et inutiliter deliciatiores sunt, sacro autem poetæ charam, et per illum D pulchri amantibus dilectam. Cuilibet enim rhetori, sicut honesto exotico Xenophonti, licet aliquoties aliquid non probatum scribere sibi placens juxta specialem characterem. Non igitur insulse clamitemus adversus hominem non ignorantem, sed, ut ipsi videtur, quod apud alios non est acceptum, eligentem. Confidenter igitur, o poeta, persones etiam in sequentibus, ut tibi placet, dictum ἀκτιστοσυμπλαστουργοσύνθρονον, quod nos quidem libenter audiemus, omnino probantes, celebrantesque recentissimum carmen. Qui vero contenti non sunt, obturent aures, nungentes eas cera, vel luto, quo etiam bene sunt digni.

133. Notandum autem quod etiam gaudere videtur poeta noster dictione τῆς μορφῆς, personalis sane, tanquam personam hanc sibi prælectam su-

mens. Ideo sæpe linguam admovet. Ad illam, indicantem hic etiam in fine *nexus*, vel quod natura verum est, vel quod est juxta speciem, ut sit γλωσσοπυρσόμορφος gratia, quæ per rubras linguas configurata est secundum exemplar, et ita *lumini facta similis*, ad divini luminis ostensionem, πυρσῷ simpliciter accepto pro lumine; aliis autem verbis, πυρσόμορφος est ista gratia, quæ πυρωπός sicque facem tum imitata, linguas ignitas configurabat; quibus linguis, ignari quidem facti sapientes, sermones bonos et vere sapientes et divinissimos adinvenerunt; philosophi vero, adhærente gutturi cujusque lingua, inania balbutiverunt.

Troparium 1 *odæ quintæ.*

Sicut dignum voluit sponte sua liberaliter,
Domino carens descendit Spiritus a Patre,
Sapientes faciens in linguis apostolos,
Sigillans in illis vitæferum verbum,
A Patre pariformi, quod Salvator dixit.

134. In hac stropha sancti Spiritus descensum philosophice tractat poeta, docens quod non serviliter desuper missus est ad apostolos in ethnicorum congregatorum utilitatem, sed, inquit, sicut bene placuit, proprio sane placito communique sanctæ Trinitati, verum etiam sponte sua plenaque voluntate a Patre descendit, siquidem, ut idem placitum, sic quoque potestas eadem ac idem dominatus est et Patri talem descensum comprobanti, Filioque, ac pariter sancto Spiritui. Descendit autem, inquit, erudiens in linguis, sive per linguas ignitas, quibus significabatur Spiritus sanctus, apostolos, atque docens, seu confirmans salutiferum sermonem, quem Salvator dixit, sive sermonem Salvatoris Christi, veraciter affirmantem venturum esse Paracletum, Spiritum veritatis, in apostolos, et inducturum eos in omnem veritatem. Talem autem Filii sermonem etiam πατροσθενῆ vocat, tanquam exinde vim efficaciæ tenentem; et ξύμμορφον veritate, sive isti Verbo et Filio, qui est ipsa veritas, sive æquali Patri, loco dictionis συμφυῆ, juxta significatum μορφῆς, quod naturam indicat; nam omnia quæcunque potest Deus et quæcunque naturalia sunt ei, Filii quoque sunt. Videtur enim sapiens poeta noster vi cogere voluisse quæ sunt Filii, sive virtutem a Patre, id est, potestatem Patri concordem, et quod est cum ipso connaturale, ferventiusque sermoni ab isto sive Filio firmiter promisso ac verissimo coadunare. Talis est, quantum nobis intelligere datur, strophæ sensus, juxta traditum ipsius textum.

135. Si quis autem vivificum sermonem ipsum Dei Patris Filium esse putans ad illum referre velit dictiones : πατροσθενῆ et ξύμμορφον, non facile poterit, puto, juxta talem sensum illis conjungere dictionem : ὃν Σωτὴρ ἔφη. Melius esset ad facilis sententiæ dispositionem si quis scriberet recto nominativoque casu : πατροσθενὴς ξύμμορφος, ut communet sanctus Spiritus vivificum verissimum-

A λεκτὸν αὐτῷ· διὸ καὶ συχνὰ πρὸς αὐτῇ ἔχει τὴν γλῶσσαν, δηλούσῃ καὶ ἐνταῦθα ἐν τῷ τέλει τοῦ εἱρμοῦ, ἢ τὸ φύσει ἀληθὲς, ἢ τὸ κατὰ εἶδος, ἵνα εἴῃ γλωσσοπυρσόμορφος, ἡ διὰ πυρσῶν γλωσσῶν μορφασθεῖσα πρὸς ἔνδαλμα, ὡς ἐξῆν, καὶ οὕτω φωτοειδὴς πρὸς ἔνδειξιν θειοτάτου φωτὸς, λαμβανομένου τοῦ πυρσοῦ ἁπλῶς ἀντὶ φωτός· καὶ ἄλλως δὲ φράσαι πυρσόμορφος Πνεύματος χάρις, ἡ πυρωπὸς καὶ οὕτω πυρσὸν τότε ἐνδάλλουσα, ἥτις καὶ γλώσσας πυρίνας ἐμόρφαζε· δι' ὧν γλωσσῶν ἀγράμματοι μὲν σοφισθέντες, λόγους ἀγαθοὺς καὶ τῷ ὄντι σοφοὺς καὶ θειοτάτους ἐξηρεύξαντο· φιλόσοφοι δὲ κολληθείσης τῷ λάρυγγι τῆς γλώσσης ἑκάστῳ, κενὰ ἐβαττάρισαν.

Τροπάριον πρῶτον τῆς πέμπτης ᾠδῆς.

B XII. Καθὼς περ εὐδόκησεν αὐτεξουσίως
Ἀδέσποτον κάτεισι Πνεῦμα πατρόθεν,
Σοφίζον ἐν γλώσσῃσι τοὺς ἀποστόλους,
Ἐπισφραγίζον τὸν φερέσβιον λόγον
Πατροσθενῆ ξύμμορφον ὃν Σωτὴρ ἔφη.

ρλδ'. Τὴν τοῦ ἁγίου Πνεύματος ὁ μελῳδὸς φιλοσοφεῖ κάθοδον ἐν τῷ ἀνακειμένῳ τροπαρίῳ, διδάσκων ὅτι οὐ δουλικῶς ἐπέμφθη ἄνωθεν εἰς τοὺς μαθητὰς ἐπ' ὠφέλειαν τῶν συνειλεγμένων ἐθνικῶν, ἀλλὰ καθάπερ, φησὶν, εὐδόκησεν, ἰδίᾳ τε δηλαδὴ εὐδοκίᾳ καὶ κοινῇ δὲ κατὰ τὴν ἁγίαν Τριάδα, ἀλλὰ καὶ αὐτεξουσίως καὶ ἀδέσποτον κατέρχεται πατρόθεν· ὡς τῆς αὐτῆς καθὰ εὐδοκίας οὕτω καὶ ἐξουσίας καὶ δεσποτείας οὔσης, καὶ τῷ τὴν τοιαύτην κάθοδον συναποδεχομένῳ Πατρὶ, καὶ τῷ Υἱῷ δὲ ὥσπερ καὶ τῷ ἁγίῳ Πνεύματι· κατέρχεται δὲ, φησὶ, σοφίζον ἐν γλώσσαις, C ἤγουν διὰ γλωσσῶν πυρίνων, αἷς τὸ ἅγιον ἐσημαίνετο Πνεῦμα, τοὺς ἀποστόλους· καὶ ἐπισφραγίζον ἤτοι βεβαιοῦν τὸν φερέσβιον λόγον, ὃν ὁ Σωτὴρ ἔφη, ἤγουν τὸν τοῦ Σωτῆρος Χριστοῦ, τὸν ἀληθῶς εἰπόντα· ἐλεύσεσθαι τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας ἐπὶ τοὺς μαθητὰς, καὶ ὁδηγήσειν αὐτοὺς εἰς πᾶσαν ἀλήθειαν. Τὸν δὲ τοιοῦτον τοῦ Υἱοῦ λόγον καὶ πατροσθενῆ ὀνομάζει, ὡς ἐκεῖθεν ἔχοντα τὸ κατ' ἐνέργειαν σθένος, καὶ ξύμμορφον διὰ τὴν ἀλήθειαν, ἢ ἐκείνῳ τῷ Λόγῳ καὶ Υἱῷ τῇ αὐτοαληθείᾳ, ἢ τῷ ἴσῳ Πατρί· ἀντὶ τοῦ συμφυῆ, κατὰ τὸ σημαινόμενον τῆς μορφῆς, ὃ τὴν φύσιν δηλοῖ· πάντα γὰρ ὅσα τε σθένει ὁ Πατὴρ καὶ ὅσα συμπέφυκεν αὐτῷ D ὡς πανσθενεῖ Θεῷ, καὶ τοῦ Υἱοῦ εἰσι· δοκεῖ γὰρ ἐθελῆσαι βιάσασθαι ὁ σοφὸς μελικὸς οὗτος τὰ τοῦ Υἱοῦ, ἤγουν τὸ πατροσθενὲς, τουτέστιν ἰσοσθενὲς τῷ Πατρὶ, καὶ τὸ πρὸς ἐκεῖνον συμφυὲς, καὶ τῷ ὑπ' ἐκείνου ἤγουν τοῦ Υἱοῦ βεβηκότως ὑπεσχημένῳ καὶ ἀληθεστάτῳ λόγῳ θερμότερον πρασαρμόσαι· καὶ τοιαύτη, ὅσα γε ἡμᾶς ἐπιβαλεῖν, ἡ ἔννοια τῷ τροπαρίῳ, κατὰ τὴν προενηνεγμένην γραφὴν αὐτοῦ.

ρλε'. Εἰ δέ τις φερέσβιον λόγον αὐτὸν τὸν τοῦ Θεοῦ Πατρὸς νοήσας Υἱὸν, ἐθελήσει πρὸς αὐτὸν ἐκεῖνον συμβιβάσαι τὸ πατροσθενῆ καὶ ξύμμορφον, οὐκ ἄν, οἶμαι, δυνήσεται ῥᾷον κολλῆσαι αὐτοῖς πρὸς νοῦν τοιοῦτον καὶ τὸ, ὃν Σωτὴρ ἔφη. Εἴη δὲ ἂν κάλλιον εἰς ἀπαρτισμὸν εὐοδουμένης ἐννοίας, εἴ τις γράψει κατὰ ὀρθὴν καὶ εὐθεῖαν πτῶσιν, πατροσθενὴς ξύμμορφος, ἵνα ἐπισφραγίζῃ τὸ ἅγιον Πνεῦμα, τὸν ζωη-

φόρον καὶ ἀληθέστατον προφορικὸν λόγον, ὃν ὁ Σωτὴρ Χριστὸς ἔφη, ὁ καὶ πατροσθενὴς ξύμμορφος τῷ Πατρὶ δηλαδή. Τούτων δὲ οὕτω προεπιβεβλημένων, ἐπεὶ καλόν ἐστι καὶ τὰ κατὰ μέρος ἐπισκέψασθαι τοῦ τροπαρίου σημήθως, ἰστέον ὅτι τὸ καθώς περ, εἰ καὶ μὴ πάνυ τέτριπται τοῖς πάλαι ῥήτορσιν, ἀλλὰ προτιμᾶται αὐτοῦ τὸ καθάπερ, ὥσπερ καὶ τοῦ καθὼς τὸ καθά, ὅμως ὁ μελῳδὸς διὰ τὸ μέτρον καὶ τὴν πάγκοινον χρῆσιν καὶ ἁγίαν, ἧς τὸ καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, προέκρινε τὸ καθώς περ.

ρλς'. Τὸ δὲ εὐδόκησεν λίαν σεμνῶς εἶπεν· ὑψηλὴ γὰρ λέξις τὸ εὐδοκεῖν, καὶ Θεῷ καὶ θείοις ἀνδράσιν ἀποκεκληρωμένη, ὁποῖοι μάλιστα οἱ βασιλεῖς. Ἔχει δὲ τὸ σεμνὸν διὰ τὸ κατ' ἐπίκρισιν ἀποφαντικῶς· οὐ γὰρ ἐδόκησεν φαμὲν, οὐδὲ δοκεῖ ἐπὶ τῶν τοιούτων, ἀλλὰ εὐδόκησε καὶ εὐδοκεῖ· αὐτεξούσιος δὲ κυρίως ᾧτινι αὐτῷ κρατοῦντι ἑαυτοῦ, δίχα ἐπιτάγματος ἔξεστι ποιεῖν ὅπερ ἐθέλει· καὶ λέγεται ὁ τοιοῦτος αὐτεξουσίως ποιεῖν ὅπερ ἂν ποιῇ, ὡς ἐξὸν ὂν αὐτῷ. Ἀδέσποτον δὲ νῦν μὲν τὸ μὴ τεταγμένον ὑπό τινι δεσπότῃ. Οἱ δὲ παλαιοὶ ῥήτορες καὶ βιβλίον ἀδέσποτον φασὶ τὸ ἀνώνυμον, οὗ μὴ φανερὸς ὁ ποιητὴς ἢ ὁ δεσπότης· οὕτω δὲ καὶ ζήτησιν ἀδέσποτον, τὴν ἀνεπίγραπτον καὶ οὕτως ἄδηλον· καὶ φήμην δὲ ἀδέσποτον τὴν ἀμάρτυρον, ἧς οὐκ οἴδαμεν τὸν κατάρξαντα. Εἰ δὲ πατρόθεν τὸ Πνεῦμα κάτεισιν, ἀλλὰ καὶ ὁ Υἱὸς ἐπεμψεν αὐτό· καὶ αὐτὸ δὲ αὐτεξουσίως κατῆλθεν ἀδέσποτον. Πάντως δὲ οὐ περιγέγραπται τόπῳ καταφοιτῆσαν τὸ ἅγιον Πνεῦμα, καθὰ οὐδὲ ὁ Υἱὸς οὔτε συγκαταβεβηκὼς, οὔτε ἀνεληλυθώς· παντα-

que verbalem sermonem, quem dixit Salvator Christus, qui sane cum Patre virtute formaque consimilis est. His itaque sic adjectis, quoniam bonum est per partes, ex more, strophæ perspicere membra, sciendum est quod vox καθώς περ, etsi non multum fuerit apud antiquos rhetores usitata, ipsique præfertur τὸ καθάπερ, ut verbo καθὼς verbum καθά, poeta tamen ob metrum et similem sanctumque usum, qui dicitur : καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, prætulit καθώς περ.

136. Verbum autem εὐδόκησεν valde convenienter adhibuit. Excelsa namque est dictio εὐδοκεῖν, et Deo divinisque viris sorte tributa, quales sunt præsertim reges. Habet autem majestatem ob electionis liberam manifestationem : non enim dicimus ἐδόκησεν, nec δοκεῖ, erga eos tales, sed εὐδόκησεν et εὐδοκεῖ, αὐτεξούσιος autem proprie est illius cui, sui domino, absque jussione licet facere quod vult. Et dicitur talis αὐτεξουσίως facere quod facit tanquam ipsi licitum. Ἀδέσποτον vero est quod sub aliquo domino non est constitutum. Veteres autem rhetores ἀδέσποτον quoque vocant librum anonymum, cujus auctor aut dominus non apparet sic etiam disquisitionem ἀδέσποτον, illam quæ titulo caret et non est manifesta; ἀδέσποτον quoque dicimus hanc quæ non habet testem cujusque nescimus auctorem. Si vero Spiritus a Patre descendit, at Filius illum etiam misit. Ipse vero quoque sponte sua libereque descendit. Non autem omnino circumscribitur loco descendens Spiritus sanctus, sicut neque Filius, cum ipse descendit aut ascendit : ubique enim semper adest sanctissima Trinitas.

ρλζ'. Σοφίζειν δὲ καὶ ἐνταῦθα τὸ σοφοὺς ποιεῖν, οὐ δήπου γὰρ τὸ ἐξαπατᾷν· τὸ δὲ ἐν γλώσσαις, γλώσσῃσιν εἶπεν ἀναγκαίως ποιητικευόμενος· καὶ ἔστιν ἡ λέξις Ἰώνων, οἳ καὶ τὸ μούσαις καὶ σφαίραις, μούσῃσι φασὶ καὶ σφαίρῃσιν· οὐκ ἂν δὲ γλώσσας ἐνταῦθα μόνας νοοῖμεν ἂν τὰς ἐν εἴδει πυρὸς ἐμφανισθείσας ποτὲ, ἀλλὰ καὶ μᾶλλον τὰς τῶν ἀλλογενῶν, αἷς ὡς μελῳδεῖται καινουργηθέντες ἐσοφίσθησαν οἱ μαθηταί. Εἰ δὲ ὁ Υἱὸς σφραγὶς ἰσότυπος λέγεται τοῦ Πατρὸς, οὐ μεμπτέον τὸν μελῳδὸν εἰπόντα καὶ ὅτι σφραγίζει τὸ ἅγιον Πνεῦμα, τὸν τοῦ Υἱοῦ λόγον· οὐδὲν γάρ τι κωλύει προσαρμόζειν τῇ ἁγίᾳ Τριάδι καὶ τὸ κατὰ τὴν σφραγῖδα σεμνόν. Φερέσβιος δὲ λόγος κυρίως καὶ πρώτως, ὁ μὴ κατ' ἄνθρωπον τὸν ἁπλῶς, ἀλλὰ ὁ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ καὶ ἄλλως μὲν σεμνυνομένου τῇ τοιαύτῃ λέξει πολλαχῶς, μάλιστα δὲ ὅτι αὐτὸς λόγος ἤτοι αἰτία ἐστὶ πάντων τῶν ὄντων, καὶ διὰ τοῦτο καὶ ζωογόνος καὶ φερέσβιος, ἤτοι φέρων ἡμῖν βίον, ὅπερ ἐστὶ ζωὴν διπλῆν, τὴν κατὰ ψυχὴν ὁμοῦ καὶ σάρκα, καὶ τὴν κατὰ βίον, ὃν καὶ αὐτὸν ζωὴν καλεῖ ὁ σεμνύνων τὸν Ἰθακήσιον ἥρωα ὅτι ζωὴ αὐτῷ ἦν πολλή· ζωὴν ἐκεῖνος λέγων τήν τε ἄλλην ἐν βίῳ κτῆσιν καὶ τὴν ζώοις παντοδαποῖς. Ἐκ τοῦ φέρω δὲ φερέβιος, ὡς ἄρχω ἀρχέπλουτος, καὶ ὡς φέρω φερέοικος. Διὰ δὲ τὰ συχνὰ βραχέα φωνήεντα καὶ τὴν ἐνταῦθα κακο-

137. Σοφίζειν hic etiam sapientes facere, non sane decipere significat. Hoc vero : ἐν γλώσσαις, magis poetice necessario dixit γλώσσῃσιν. Dictio est Ionica qua pro μούσαις et σφαίραις, dicunt μούσῃσι et σφαίρῃσιν. Hic autem de linguis cogitare debemus, non istis solis, quæ sub ignis specie apparuerunt, sed præsertim de alienigenarum linguis, quibus, ut poetæ carmine celebratur, renovati sapientes facti sunt discipuli. Si vero Filius æquum Patris dicitur sigillum, non arguendus est poeta dicens Spiritum sanctum signare Filii verbum. Nihil enim impedit quin tribuatur sanctæ Trinitati quod in sigillo venerandum est. Vivificum autem verbum proprie primumque non est hominis vulgaris verbum, sed Verbum Filii Dei, qui sæpe tali dictione celebratur, sed ideo præsertim quod ipse ratio sit (λόγος) sive causa cunctorum entium ; et idcirco dicitur vivificus et vitalis, seu nobis ferens vitam, id est, duplicem vitam, eam quæ simul ad animum et carnem respicit, et illam quæ juxta victum consideratur, quem etiam vitam appellat iste celebrans Ithacensem heroem, quod ipsi multa vita (ζωὴ) erat, vitam vocans reliquam victus possessionem et præsertim eam in variis animalibus stantem. E verbo autem φέρω venit φερέβιος, sicut ἄρχω ἀρχέπλουτος et φέρω φερέοικος.

Propter multas vero breves vocales et falsam exinde mensuram, additione litteræ σ factum est verbum φερέσβιος. Sic quoque Θεόδοτος in metro θεόδοτος diceretur. Similis vero ratio littera σ donavit etiam θεσπέσιον, et ex θεοεικέλῳ θέκελον, postea θέσκελον.

Troparium secundum odæ quintæ.

Curabat mentes quidem a peccato
Et sibi apparabat apostolorum,
Deus Verbum, omnium princeps, immaculata domo;
Æquabilis roboris autem et consubstantialis,
Nunc informatur Spiritus lumen.

138. Gratias debere magno doctori Christo sanctos apostolos philosophice docet poeta, non minores deinde Spiritui sancto ; necnon ipsi Patri. Supremus enim Dominator Filius, quatenus ratio ounctæque persecutor amentiæ, ἴᾶτο vel ἴᾶτο peccato ante ascensionem, et curabat animos apostolorum ; recte vero sub imperfecti forma verbi ἴᾶτο, subintelligeres ἴήσατο αὐτὰς sive jam tunc curavit. Et hoc agens et perficiens parabat sive paravit αὐτῷ, sive ἑαυτῷ, cum aspero spiritu, puram domum, seu sanctam habitationem, unumquemque apostolum. Et hoc quidem sapientissimus œconomus Filius Dei jam ante diem hodiernam in sanctos apostolos perfecerat, eos sibi domos affabre divina cura construens : quædam enim artificiosa dictio est κατασκευάζειν ; aut, ut idem dicam, architectonica: unde nominatur apud sapientes ἀνασκευὴ et κατασκευή. Nunc autem Spiritus sanctus, ut semper dignam quærens inhabitationem ac permansionem sibi, inventis sanctorum apostolorum animis, id est, intellectualibus domibus, scopis mundatis et pulchritudine splendentibus, aromatum plenis, et ad illum alliciendum valde idoneis, inhabitavit hujusmodi domibus, utpote qui cum illo ejusdem est virtutis et consubstantialis. Hic etiam ipsi libertas plena nec ulla senatusconsulti necessitas, ubi nec invidia nec contentio reperitur. Hanc igitur Verbi domum, quæ simul est Patris, hodie Spiritus sanctus ingredietur, vel, ut simplicius dicam, habitat.

139. Verbum ἴᾶτο poterat etiam dicere ἰᾶτο, communius per litteram α. Sequens autem, tanquam extraneus, istud, ἰητρὸς et ἰητρεῖον, ionice dictum ; et hoc : non oculum ἰήσεται, nequidem Neptunus ; scribit et ipse ἴᾶτο pro ἰάτρευε. Pectora vero Christum sanare dicit, non viscera, vel corporalia pectora, quorum derivatio est φρενῖτις, sed spiritualia, secundum quæ sensati (φρενήρεις) parentes esse, et non seductionem neque dementiam subire, putamus illa quidquam etiam fuisse cooperata. Istud enim aliquando faciet medicus, timens ne hypochondria curatus morbi perversitate patiatur. Medicus autem animarum, Dei Filius, in apostolis habitaculum sibi, mentem curat, quæ sapere in hominibus est, seu φρονοῦν, quod φρένας dixit

μετρίαν, ἐπενθέσει τοῦ σ γέγονε φερέσβιος · οὕτω καὶ ὁ Θεόδοτος Θεόσδοτος ἐν μέτρῳ λεχθείη ἄν · ὅμοιος δὲ λόγος ἐσιγμάτισε καὶ τὸ Θεσπέσιον, καὶ τὸ ἐκ Θεοεικέλου Θέκελον, εἶτα Θέσκελον,

Τροπάριον δεύτερον τῆς πέμπτης ᾠδῆς.

XIII. Ἴᾶτο τὰς φρένας μὲν ἐξ ἁμαρτίας,
Χ' αὐτῷ κατεσκεύαζε τῶν ἀποστόλων,
Θεὸς Λόγος πάνταρχος ἄχραντον δόμον ·
Ὁμοσθενοῦς δὲ, καὶ συνουσιωμένου
Νῦν ἐγκατοικίζοιτο Πνεύματος φάος.

ρλη'. Χάριτας ἐποφείλειν τῷ μεγάλῳ διδασκάλῳ Χριστῷ τοὺς ἁγίους ἀποστόλους φιλοσοφεῖ ὁ μελῳδός · ναὶ δὴ καὶ τῷ ἁγίῳ Πνεύματι ἐξάπαντος · δῆλον δὲ πάντως ὡς αὐτίκα καὶ τῷ Πατρί · ὁ γὰρ πάνταρχος Υἱὸς καθὸ Λόγος καὶ πάσης ἀλογίας διώκτης, ἴᾶτο, ἤγουν ἴᾶτο ἐξ ἁμαρτίας καὶ ἐθεράπευε πρὸ τῆς ἀναλήψεως τὰς φρένας τῶν ἀποστόλων · ὀρθῶς δὲ ἂν τῷ κατὰ παρατατικὸν σχηματισμῷ τοῦ ἴᾶτο, συνεπινοήσοιτό τις καὶ τὸ ἴήσατο αὐτὰς, ἤγουν ἐθεράπευσεν ἔκτοτε. Καὶ τοῦτο ἐξανύων καὶ ἐξανύσας, κατεσκεύαζεν ἤτοι κατεσκεύασεν αὐτῷ, ἤγουν ἑαυτῷ, κατὰ πνεῦμα δασὺ, δόμον ἄχραντον, ἤγουν ἅγιον οἶκον ἕκαστον ἀπόστολον · καὶ τοῦτο μὲν ὁ σοφώτατος οἰκοδόμος ὁ Υἱὸς τοῦ Θεοῦ ἤνυσεν ἤδη φθάσας πρὸ τῆς σήμερον ἐπὶ τοῖς ἁγίοις μαθηταῖς, οἴκους ἐκείνους ἑαυτῷ συστησάμενος ἐπιστημοναρχικῶς ἐνθέῳ σκευωρίᾳ · τεκτονικὴ γάρ τις λέξις τὸ κατασκευάζειν · ταυτὸν δ' εἰπεῖν καὶ οἰκοδομική · ὅθεν ὠνόμασται καὶ ἡ παρὰ τοῖς σοφοῖς ἀνασκευὴ καὶ κατασκευή. Νῦν δὲ τὸ Πνεῦμα τὸ ἅγιον ὡς ἀεὶ ζητοῦν ἀξίαν ἐνοίκησιν καὶ παραμονὴν ἑαυτοῦ, εὑρὸν τὰς τῶν ἁγίων ἀποστόλων ψυχὰς, ὅ ἐστι τοὺς τοιούτους νοητοὺς οἴκους αὐτῶν, σεσαρωμένας καὶ εἰς κάλλος λαμπομένας, καὶ ἀποφορᾶς εὐώδους πεπλησμένας, καὶ πολὺ τὸ ἐφολκὸν αὐτοῦ εὐπραγούσας, ἐνῴκησε τοῖς τοιούτοις οἴκοις τοῦ ὁμοσθενοῦς αὐτῷ καὶ συνουσιωμένου ἁγίου Πνεύματος · αὐτεξούσιον κἀνταῦθα καὶ προβουλεύματος οὐ δεόμενον, ἔνθα οὔτε φθόνος, οὔτε στάσις ἡτισοῦν παρεισκρίνεται. Τῷ γοῦν οἴκῳ τοῦ Λόγου, αὐτίκα δὲ καὶ τοῦ Πατρὸς, καὶ τὸ ἅγιον Πνεῦμα σήμερον ἐγκατοικίζοιτο, ἤγουν ἁπλοϊκῶς εἰπεῖν, ἐνοικεῖ.

ρλθ'. Τὸ δὲ ἴᾶτο εἶχε μὲν καὶ ἰᾶτο εἰπεῖν κοινότερον διὰ τοῦ α · ἀκολουθῶν δὲ ὡς οἷα ἐξωτερικὸς τῷ ἰητρὸς καὶ ἰητρεῖον ἰωνικῶς, καὶ τῷ - οὐκ ὀφθαλμὸν ἰήσεται, οὐδ' Ἐνοσίχθων - γράφει καὶ αὐτὸς ἐνταῦθα ἴᾶτο ἀντὶ τοῦ ἰάτρευε · φρένας δὲ τὸν Χριστὸν ἰᾶσθαι φησὶν, οὐ τὸ σπλάγχνον, τὰς σωματικὰς δηλαδὴ, ὧν παρώνυμος ἡ φρενῖτις, ἀλλὰ τὰς ψυχικὰς, καθ' ἃς φρενήρεις φαινόμενοι εἶναι, καὶ οὔτε φρεναπάτην πάσχειν, οὔτε φρενοβλάβειαν, φρονοῦμεν συντελούσας τι καὶ αὐτάς. Ἐκεῖνο μὲν γὰρ ἰατρός ποτε ποιήσει, δεδιὼς μὴ καὶ τὸ ὑποχόνδριον ὁ ἰατρευόμενος δυσπαθήσῃ κακοτροπίᾳ νόσου · ὁ δὲ τῶν ψυχῶν ἰατρὸς, ὁ τοῦ Θεοῦ Υἱὸς, ἐν τοῖς ἀποστόλοις τὸ αὐτῷ οἰκεῖν, τὸν νοῦν θεραπεύει, ὅ ἐστι τὸ ἐν ἀνθρώποις φρονοῦν, ὃ φρένας εἶπεν ὁ με-

λῳδός· τὸ δὲ ἐξ ἁμαρτίας πρὸς ἀκρίβειαν ἐννοίας κεῖται· φρενῶν γὰρ ψυχικῶν ἰατρεία ὡς καὶ καρδίας, ἡ τῆς ἁμαρτίας ἐξαίρεσις.

ρμ'. Καὶ σημείωσαι τὸ ἴᾶτο, ἤγουν ἰάτρευε φρένας ἐξ ἁμαρτίας· δι' οὗ δηλοῦται ὅτι καθὰ νόσοι σωμάτων αἱ κατ' ἐκεῖνο καχεξίαι, οὕτω καὶ φρενῶν αἱ ἁμαρτίαι· καὶ ὅτι ἅμα ἐκείνων ἴασι; ἀποτελεῖται, καὶ αὐτίκα δόμος Θεοῦ γίνεται ὁ τεθεραπευμένος· ὡς δὲ σώματος καθικνοῦνται νόσοι καὶ δι' ἁμαρτίας, ἔμαθε κἀὶ ὁ ἀκούσας τὸ, Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε· καὶ ἔχει εὐλόγως καὶ τοῦτο τὸ πρᾶγμα. Εἰ γὰρ τὸ κατ' ἄνθρωπον ὀργανικὸν σῶμα βλάπτει ψυχὴν καθὰ καὶ τεχνίτην ἄνθρωπον καὶ ἐπιστήμονα πολλάκις τραυματίζει καὶ ἄλλως ὲὲ λυπεῖ τὸ κατ' αὐτὸν ὄργανον, οὐδ' ἐκεῖνο ἀπαθὲς ἀεὶ ὄν, καλῶς ποτε καὶ αὐτὸ πάσχει ἐν καιρῷ κατά τι ἀντιπάθειαν. Ἰστέον δὲ ὅτι τε ὁ μὲν σύνδεσμος ἐνταῦθα οὐκ ἀποδέδοται συνήθως, ἀλλὰ δοκεῖ ἀναπόδοτος εἶναι μερισμὸς ὁποῖος καὶ ἐν τῇ καταρχῇ κεῖται τοῦ σεβασμίου βιβλίου τῶν Πράξεων τῶν ἀποστόλων. Εἰ μή τις ἄρα δεξιῶς αὐτὸν συνδήσει ἐν τῷ ὁμοσθενοῦς δὲ καὶ συνουσιωμένου· ἵνα λέγῃ ὡς τὰ μὲν πρὸ τούτου δόμον ἄχραντον ὁ Θεὸς Λόγος κατεσκεύαζε· νῦν δὲ τῷ τοιούτῳ οἴκῳ ἅγιον Πνεῦμα ἐγκατοικίζεται. Μέτρου δὲ πιεσμῷ σφιγγόμενος ὁ μελῳδὸς τὸ καὶ ἑαυτῷ κατεσκεύαζε δόμον, χ' αὐτῷ λέγει, ἀφελόμενος μὲν τὸ κατ' ἀρχὴν ε τῆς ἀντωνυμίας τῆς καὶ οὕτως πάλιν δασυνομένης· τρέψας δὲ τὸ κ τοῦ καὶ συνδέσμου εἰς ἀντίστοιχον δασὺ τὸ χ, μετὰ τὴν λόγῳ συναλοιφῆς ἐκθλιψιν τῆς αι διφθόγγου· ἥτις δίφθογγος οὕτως ὑπῆλθε κουφισθεῖσα καὶ ἐν τῷ – Ἔρχομ' ἔχων ἐπὶ νῆας· – ἔχει δὲ καὶ ἀρχετυπίαν χρήσεως παλαιτάτης ὁ μελῳδὸς ἐκ τοῦ τυράννου Οἰδίποδος; τὸ – χ' αὐτοῦ – ἤτοι καὶ ἑαυτοῦ.

ρμα'. Τὸ δὲ πάνταρχος ἴσον ἐστὶ τῷ παμβασιλεὺς, καὶ παντάναξ, καὶ ἄναξ ἀνάκτων, καὶ βασιλεὺς βασιλέων, καὶ κύριος κυριευόντων, τὸ δὲ μεῖζον καὶ Θεὸς θεῶν. Σεμνότερον δὲ πάνταρχος λέγειν διὰ τοῦ τ, ὥσπερ καὶ παντάναξ, ἤπερ διὰ μόνου τοῦ ν, καὶ ἡ αἰτία δῆλη· διὸ καὶ ὁ παντουργὸς προεκρίθη ἐκλέγεσθαι τῷ Θεῷ, τοῦ πανούργου ἀφορισθέντος ὡς ἐπιῤῥήτου τὰ πλείω· εἰ καὶ ὁ παροιμιαστὴς ἀγαθὴν ἔννοιαν παρεισκρίνει αὐτῷ, ἔνθα ἐπαινῶν ἐκφαίνεται τὸν πανοῦργον. Λόγῳ δὲ ὁμοίῳ καὶ παντα:τία σοφία λέγεται ἡ τοῦ Θεοῦ παρὰ ἑταίρῳ ἁγίῳ μελῳδῷ, οὐ πρὸς ἀκολουθίαν τοῦ Παναίτιος κυρίου ὀνόματος· ὅτι δὲ καὶ δίχα τοῦ τ ἐν τοῖς τοιούτοις ἡ αὐτὴ ἔννοια σώζεται ὁποία ἦν ἂν καὶ μετὰ τοῦ τ, δῆλον δίχα πολλῶν ἄλλων καὶ ἐκ τοῦ πανωλεθρίᾳ, καὶ τοῦ πανόπτην κύκλον ἡλίου καλῶ· ταυτὸν δ' εἰπεῖν τὸν πάντ' ἐφορῶντα, καὶ ὡς ἂν φαίη τις παντεπόπτην· Ἄχραντος δὲ δόμος ὁ ὑπὲρ πᾶν ἀρχικὸν ὑπερῷον, ὁ πρέπων πάντως Θεῷ. Τοιοῦτος δὲ ὁ ναὸς Θεοῦ ὤν, ἐκεῖνος οἶκος· ὥστε κατὰ τὴν δαυιτικὴν ἱκετείαν, ἧς προεμνήσθημεν, τὰ ἐνταῦθα γίνεται· κατασκευάζει μὲν γὰρ ὁ Υἱὸς καὶ Θεὸς δόμου ἀχράντου τοὺς ἀποστόλους, καρδίαν καθαρὰν κτίζων ἐν αὐτοῖς· ἐγκατοικίζεται δὲ κατὰ τὸν μελῳδὸν αὐτόθι πνεῦμα εὐθὲς, ἐγκαινισμοῦ λόγῳ.

poeta. Hoc autem : ἐξ ἁμαρτίας, ad sententiæ accurationem ponitur : pectorum enim spiritualium sicut et cordis curatio, est culpæ avulsio.

140. Notandum est hoc loco : ἴᾶτο, sive liberabat peccatis pectora : hinc demonstratur quod sicut morbi corporales sunt malæ corporis habitudines, sic et pectorum culpæ ; quodque, statim ut illorum sanatio completur, continuo domus Dei fit sanata. Quod autem ad corpus attingant morbi vel per culpas, ille didicit qui sic audivit : Vide, sanus factus es ; jam noli peccare. Et hoc quoque rationabile est. Si enim organicum hominis corpus animam lædit quemadmodum artificiosum et peritum hominem sæpe sauciat aliasque contristatur ipsius instrumentum, quod non est semper impassibile, bene aliquando etiam ipsum cum opportunitate quodammodo patitur antipathiam. Scito autem quod conjunctio μὲν hic non ex more producitur, sed videtur esse sine respondente particula, qualis in initio venerandi Actuum apostolorum libri legitur ; nisi quis eam conjungat cum isto : ὁμοσθενοῦς δὲ καὶ συνουσιωμένου ; ut dicat : quod antea *quidem* puram domum Deus Verbum parabat ; nunc autem in ista domo Spiritus sanctus inhabitat. Metri vero constrictione pressus poeta, hoc ἑαυτῷ κατεσκεύαζε δόμον, - χ' αὐτῷ dicit, dimissa quidem initiali littera ε pronominis, quod sic etiam aspero spiritu notatur; conversa autem conjunctionis littera κ in asperam ejusdem ordinis χ, post elisionem, per synalœpham, diphthongi αι ; quæ diphthongus sic insinuatur elisa in hoc : Ἔρχομ' ἔχων ἐπὶ νῆας. Habet autem exemplum antiquissimum poeta ex Œdipo rege locutionem χ' αὐτοῦ, sive καὶ ἑαυτοῦ.

141. Vox πάνταρχος æquivalet voci παμβασιλεὺς, necnon vocibus παντάναξ, ἄναξ ἀνάκτων, βασιλεὺς βασιλέων, κύριος κυριευόντων ; et, quod pius est, Θεὸς θεῶν. Satius autem dicere πάνταρχος per τ sicut παντάναξ, quam per solum ν. Ratio manifesta est, ideoque ὁ παντουργὸς dicere de Deo præstat, quam ὁ πανοῦργος, qui plerumque malo sumitur sensu. Si Proverbiorum auctor bonam ei tribuit significationem, hic manifeste videtur laudare τὸν πανοῦργον. Simili ratione πανταιτία dicitur sapientia Dei apud socium sanctum melodum, non congruenter ad nomen proprium Παναίτιος. Quod autem etiam in similibus absque τ servetur eadem sententia qualis esset cum hac littera, patet, præter cætera, ex πανωλεθρίᾳ : et πανόπτην orbem solis voco ; id est, cuncta speculantem ; et, quasi dicas, παντεπόπτην. Ἄχραντος deinde est δόμος surgens super omnem primarium ordinem, et Deo prorsus competens. Talis vero, quæ templum Dei est, illa domus ; ut juxta Davidicam supplicationem, de qua mentionem fecimus, res ibi sint : parat enim quidem Filius ac Deus, in domum immaculatam, apostolos, cor mundum creans in eis; inhabitat autem juxta poetam ibidem spiritus rectus, dedicationis.

142. Vel ut idem dicam, ἐνιδρύσεως ratione. Sacra vero lectio est ἵδρυσις ex extraneis introrsum invecta Deoque sacrata. Dicebatur autem apud Græcos ἱδρύειν, primum instituere in templum cum honorifico comitatu a lege statuto, quod apud ipsos undecunque venerandum erat divinum simulacrum aut statua. Notandum vero quod de immaculata seu pura domo sententia ad prædictum lavacrum aliquo modo pertinens converti potest. Valde namque solerter artificioseque sacer melodus, servato lavacri tropo, sicut in locutione : divinum regenerationis lavacrum, sic etiam paulo ante : Lavacrum peccatorum purificationem; purificatio namque convenienter lavacro inhæret; similiter autem ignis, quo eget balneum, præposito vero sensu huic amico sententiæ, isto : τέκνα φωτόμορφα, quod est, filii nivei ac puri; juxta illud : Lavamini, puri estote, purificantes scilicet vestimenta vestra, quod est, exteriorem ac circumpositum vestimentum animæ purgantes et tali lavacro dealbantes. Sic igitur hac metaphora sapiens poeta recte producta, dictam immaculatam domum illi accommodavit; siquidem, ut vestimentum est animæ corpus, ita quoque domus illius est idem corpus. Itaque, sicut oportet tale vestimentum purgare, sic etiam eamdem spiritualem domum mundare, quatenus semper in ea maneat inaugurationis gratia vel dedicationis, Spiritus sanctus; ut illa domus et quæ sunt ei similes domus prædictæ Sion legis, gratiæ Spiritus sancti, destructivæ fiant domorum iniquarum, de quibus igitur apud David, sicut illa spelunca sancta nativitatis Christi speluncarum latronum scholam reprobavit, quæ probrum et objurgationem habent in sancto Evangelio.

ρμβ'. Ταυτὸν δ' εἰπεῖν ἐνιδρύσεως · ἱερὰ δὲ λέξις καὶ ἡ ἵδρυσις ἐκ τῶν ἔξω παρελκυσθεῖσα ἔσω, καὶ ἀφιερωθεῖσα τῷ Θεῷ · ἐλέγετο δὲ ἱδρύειν παρ' Ἕλλησι τὸ τὴν ἀρχὴν καθιστᾷν εἰς ναὸν μετὰ τιμίας ἀκολουθίας νενομισμένης, τὸ παρ' αὐτοῖς τιμώμενον ἐξ οἱασοῦν ὅλως θεοειδὲς ὁμοίωμα εἴτουν ἀφίδρυμα. Ἔτι ἰστέον καὶ ὡς κατὰ τὸν ἄχραντον ἢ ὡς καθαρὸν δόμον ἔννοια δόξει ἂν τρόπον τινὰ τοῦ προειρημένου λουτροῦ ἔχεσθαι · πάνυ γὰρ δεξιῶς φυλάξας ὁ ἱερὸς ἐποποιὸς τὴν κατ' ἐκεῖνο τροπὴν, καὶ τεχνικῶς καθὰ ἐν τῷ - λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας · - οὕτω καὶ πρὸ ὀλίγου ἐν τῷ - λουτήριον κάθαρσιν ἁμπλακημάτων · ἡ κάθαρσίς τε γὰρ τῷ λουτηρίῳ εὐπρεπῶς παρακολουθεῖ · ὁμοίως δὲ καὶ τὸ πῦρ οὗ δέεται τὸ λουτήριον. Προθέμενος δὲ νοῦν φίλον τοιαύτῃ ἐννοίᾳ καὶ τὸ τέκνα φωτόμορφα, ὅ ἐστι λευκὰ καὶ καθαρὰ, κατὰ τὸ - λούσασθε, καθαροὶ γένεσθε - πλύνοντες δηλαδὴ γραφικῶς καὶ τὰ ἱμάτια ὑμῶν, ὅ ἐστι τὸν ἔξω καθῃρημένους καὶ περίθετον οἷον ἱματισμὸν τῆς ψυχῆς, καὶ λευκάναντες τῷ τοιούτῳ λουτρῷ. Οὕτω γοῦν τὴν μεταφορὰν ἐκείνην ἀπευθύνας ὁ σοφὸς μελῳδὸς, ᾠκείωσεν ἐκείνῃ καὶ τὸν εἰρημένον ἄχραντον δόμον · εἴπερ ὥσπερ ἱματισμὸν ψυχῆς τὸ σῶμα οὕτω καὶ οἶκος ἐκείνης τὸ αὐτὸ σῶμα. Διὸ καθὰ πλύνειν χρὴ τὸ τοιοῦτον ἱμάτιον, οὕτω καὶ τὸν αὐτὸν πνευματικὸν οἶκον σαίρειν, ὡς διόλου μένειν ἐνοικισμοῦ χάριν ἐν αὐτῷ, εἴτουν ἐγκαινισμοῦ, τὸ ἅγιον Πνεῦμα · ἵνα οἶκος οὗτος καὶ οἱ κατ' αὐτὸν οἶκοι τοῦ προειρημένου Σιωνίτου νόμου τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, καθαιρετικοὶ γένωνται οἴκων ἀνομιῶν τῶν παρὰ τῷ Δαβὶδ, κρθὰ καὶ σπήλαιον ἅγιον ἐκεῖνο τὸ τῆς γεννήσεως τοῦ Χριστοῦ σχολὴν κατεψηφίσατο σπηλαίων λῃστρικῶν, ἃ ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ ἔχει μομφὴν καὶ ἔλεγχον.

143. Paris sicut æquæ virtutis est Spiritus cum sanctissimo Filio, necnon, ut dictum est, cum Patre; sed non similis : hoc enim est hæresis. Sic neque similis substantiæ, sed ejusdem substantiæ (οὐδὲ ὁμοιοούσιον, ἀλλὰ ὁμοούσιον) vel, aliis verbis, consubstantialis. Unde quoque consubstantivum Filio Spiritum ibi dicit. Non autem respuendum dicere συσθενὲς, vel ταυτοσθενὲς, vel ταυτούσιον, et recta sunt ista aliaque similia. Evidens autem est impossibile esse Spiritum sanctum, Verbo consubstantivum, non eamdem cum illo domum inhabitare. Hoc autem Πνεύματος φάος, ob festivitatis habetur lumen. Per periphrasim vero dictum est : pro Spiritu namque sumptum. Et ibi poetice loquitur poeta : figura namque poetica est periphrasis. Sive autem quis dicat : inhabitat Spiritus, juxta illud : Spiritum rectum innova in visceribus meis; sive Spiritus gratia, sive Spiritus lumen, hæc uni sententiæ consecrantur. Si vero Spiritus lumen dictæ domui divinæ præparatæ insidet, a Deo proinde juxta David ista domus est constructa, in quam non frustra laboraverunt ædificantes, ejusque lucidæ portæ Deo paratæ sunt ad liberam

ρμγ'. Ὁμοσθενὲς δὲ ὡς καὶ ἰσοσθενὲς τῷ ἁγιωτάτῳ Υἱῷ τὸ Πνεῦμα, οὕτω δὲ καὶ τῷ Πατρὶ καθὰ προεγράφη · οὐ μὴν ὁμοιοσθενές · αἵρεσις γὰρ τοῦτό γε · οὕτω δὲ οὐδὲ ὁμοιοούσιον, ἀλλὰ ὁμοούσιον, εἰπεῖν δὲ ἄλλως, συνούσιον · ὅθεν καὶ συνουσιωμένον ἐνταῦθα τῷ Υἱῷ τὸ Πνεῦμα φησίν · οὐκ ἀπόβλητον δὲ καὶ συσθενὲς εἰπεῖν, καὶ ταυτοσθενὲς καὶ ταυτούσιον, ἀλλὰ ὀρθὰ πάντα ταῦτα καὶ ὅσα τοιαῦτα. Δῆλον δὲ ὡς ἀδύνατον τὸ συνουσιωμένον τῷ Λόγῳ ἅγιον Πνεῦμα μὴ τὸν αὐτὸν ἐκείνῳ δόμον οἰκεῖν · τὸ δὲ Πνεύματος φάος, διὰ μὲν τοῦ φάους ἔχεται τῆς ἑορτῆς · περιπέφρασται δέ. Ἀντὶ γὰρ τοῦ Πνεύματος εἴληπται · καὶ ποιητικεύεται κἀνταῦθα ὁ μελῳδός · σχῆμα γάρ τι ποιητικὸν καὶ ἡ περίφρασις. Εἴτε δὲ ἐγκατοικίζεται Πνεῦμα εἴποι τις κατὰ τὸ, Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου · εἴτε Πνεύματος χάρις, εἴτε Πνεύματος φάος, μιᾷ ἐννοίᾳ ταῦτα καθαγιάζονται. Εἰ δὲ Πνεύματος φάος τῷ ῥηθέντι θεοσκευάστῳ δόμῳ ἐγκατοικίζεται, θεόδμητός τε ἄρα ὁ τοιοῦτος οἶκος κατὰ τὸν Δαβὶδ, εἰς ὃν οὐ μάτην οἰκοδομοῦντές τινες ἐκοπίασαν, καὶ αἱ κατ' αὐτὸν φωταγωγοὶ θύραι, Θεῷ ἥσκηνται εἰς ἀκώλυτον φωτὸς εἰσδοχὴν, ὅπερ ἐκεῖνος ἀκτινοβολεῖ · καὶ φάους πνευματικοῦ

ὁ τοιοῦτος δόμος πέπλησται, οὗ νὺξ οὐκ οἶδε κατα- A luminis acceptionem, quod ille irradiat ; et spiritali
κτυχᾶσθαι. lumine talis repleta est domus, contra quam nox gloriari nescit.

ρμδ'. Τούτων οὕτως ἐχόντων, ἔπεισιν ἡμῖν ἀνα- 144. His igitur ita sese habentibus, nobis oc-
δρομοῦσιν, εἰς τὴν ἀρχὴν τοῦ ἐξηγημένου τροπαρίου currit redeuntibus ad initium enarratæ strophæ
θεωρῆσαι μήποτε οὐκ ἐξ ἀνάγκης ὁ Θεὸς ἴᾶτο κατὰ speculari ne forte non necessario Deus, juxta pe-
τὴν μελῳδὸν φρένας τὰς τῶν ἀποστόλων· οἳ καθάπαξ ὁλοψύχως αὐτῷ ἑνωθέντες καθαροὶ πάντες ἦσαν κατὰ τὸν ἐκείνου λόγον, δίχα ἑνὸς τοῦ ἐπαράτου Ἰούδα· ἀλλὰ φρένας ἑτέρας δυσιάτους ἐν τῷ ἁμαρτάνειν, καὶ οὕτως ἐκείνας ἰώμενος ἑαυτῷ κατεσκεύαζε δόμον ἀποστόλων, ἤγουν ἀποστολικὸν, οὗ οἰκονόμοι δηλαδὴ κατέστησαν οἱ ἀπόστολοι, ὡς καὶ ἐργάται δοῦλοι πιστοὶ καὶ φίλοι κοινωνοὶ ὑπὸ οἰκοδεσπότῃ τεταγμένοι τῷ Θεῷ. Εἰ δὲ δόμον εἶπεν ἐνικῶς καὶ οὐ δόμους πληθυντικῶς, οὐ θαυμαστέον ἡμᾶς ἐνθυμουμένους τὴν μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, τὸν τοῦ Θεοῦ δόμον, τὸν διὰ μέσης τῆς ἐκκλησιαστικῆς λέξεως ἐμπεριεχόμενον τῷ ἁγιωτάτῳ συμβόλῳ τῆς κοσμοσωτηρίου χριστιανικῆς πίστεως. B

numero, nobis non est mirandum, recogitantibus unam esse sanctam catholicam et apostolicam Ecclesiam, Dei domum, quæ media Ecclesiæ dictione, sanctissimo symbolo fidei christianæ, mundi servatricis, comprehenditur.

Ὠδῆς ἕκτης εἱρμός.

XIV. Ἱλασμὸς ἡμῖν, Χριστὲ, καὶ σωτηρία
Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου,
Ἵνα ὡς προφήτην θηρὸς ἐκ θαλαττίου
Στέρνων Ἰωνᾶν τῆς φθορᾶς διαρπάσῃς
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Hirmus odæ sextæ.

Propitiatio nobis, Christe, et salus
Præsens illuxisti ex Virgine,
Ut, tanquam prophetam ex feræ marinæ
Pectoribus Jonam, a corruptione eriperes
Totum Adam cum omni genere cadentem.

ρμε'. Ἀσυνάρτητος ἡ ἔννοια τοῦδε τοῦ εἱρμοῦ πρὸς τὰ τῆς παμφώτου ἑορτῆς, βραχύ τι παντελῶς ἐκείνης θιγγάνουσα κατὰ τὸ, Ἔλαμψας ἐκ τῆς Παρθένου, δηλαδὴ ἧς προλογίσας τὸν ὑπερφυῆ τοκετὸν, εὐθὺς ὡς ἐχρῆν ἀσχολεῖται εἰς τὸ κατὰ τὸν Ἰωνᾶν τέρας τὸν συστάτην τῆς ἕκτης ᾠδῆς, πρὸς ὃ παραβολικῶς εἰκάζει τὰ τοῦ Ἀδὰμ, λέγων οὕτω· Χριστὲ ὁ Δεσπότης, Ἱλασμὸς ἡμῖν καὶ σωτηρία ἔλαμψας ἐκ τῆς ἀειπαρθένου θεοτόκου. Διὰ τί; Συγκαταβὰς καὶ ταπεινωθεὶς ἐς τοσοῦτον, ὡς δι' ἡμᾶς γενέσθαι καὶ ἄνθρωπος ὁ ἡμῶν πλάστης, ἵνα δηλονότι καθὰ τὸν προφήτην Ἰωνᾶν, ὃς προετύπωσε τὴν ἐκ ταφῆς τριημέρου ἀνάστασίν σου, τεραστίως περιεσώσω ἐκ τῶν στέρνων τοῦ θαλαττίου θηρός· θῆρες γὰρ καὶ τὰ κήτη· οὕτω καὶ τὸν Ἀδὰμ ὅλον διαρπάσῃς ἐκ τῆς φθορᾶς, παγγενῆ πεπτωκότα. Ὅλῳ γὰρ τῷ Ἀδὰμ, ἤγουν πάσῃ τῇ ἐξ Ἀδὰμ ἀνθρωπίνῃ φύσει, καὶ ὅλῃ δὲ κατὰ ψυχὴν, δηλαδὴ ἄλλως καὶ σῶμα, ἐδόθη τὸ διὰ τὴν ἀδαμιαίαν ἁμαρτίαν ἐπιτίμιον, καὶ πάντες ἐκεῖθεν φθορᾷ ὑποκείμενοι ἐπανεσώθημεν εἰς τὸ ἀρχαῖον διὰ τῆς γεννήσεως τοῦ Χριστοῦ. C D

145. Non cohærens hujus nexus sententia cum reliquis lucidissimæ festivitatis, cum ad hanc omnino paululum attigit secundum istud : Luxisti de virgine ; de cujus sane præclara supernaturalique progenie prolocutus est, statim, ut oportebat, applicat auctorem sexti carminis ad zonæ prodigium ; juxta quod parabolice depingit res Adami, sic dicens : Christe dominator, propitiatio salusque nobis e Deipara semper Virgine luxisti. Quomodo? Descendisti nobiscum et humiliatus es, ut propter nos et homo fieres, qui noster es creator ; ut sane sicut prophetam Jonam, qui præfiguravit tuam e tumulo post tres dies resurrectionem, miraculose eripuisti de ventre maritimæ feræ ; feræ namque sunt cete ; sic etiam totum Adam, universe lapsum, e perditione subduceres. Toti enim Adam, sive cunctæ quæ venit ex Adam humanæ naturæ, toti vero secundum animam et alio sane modo secundum corpus, ultio data est ; et omnes exinde corruptioni subjecti in pristinum statum per Christi nativitatem redintegrati sumus.

ρμς'. Καὶ τοιαύτη μὲν ἡ τοῦ εἱρμοῦ ἔννοια· τινὰ δὲ ἀντίγραφα ἀντὶ τοῦ Ἱλασμὸς καὶ σωτηρία, ἱλασμὸν καὶ σωτηρίαν ἔχουσι κατὰ πτῶσιν αἰτιατικὴν, ἵνα λέγῃ ὁ μελῳδὸς ὅτι ἱλασμὸν καὶ σωτηρίαν ἡμῖν λάμψαι πεποίηκας. Σεμνοτέρα δὲ ἡ πρώτη γραφή· αὐτόχρημα γὰρ ἱλασμὸς καὶ σωτηρία ἐστὶν ὁ Χριστός. Ἱλάω δέ ἐστι τὸ θέμα τοῦ ἱλασμοῦ, ἔθεν καὶ τὸ ἱλάσασθαι· ῥῆμα δὲ οὐκ εὔχρηστον πραχθὲν ἐξ αὐτοῦ τὸ Πλημι ὡς ἵστημι, παράγει τὸ Πληθι, καὶ Πλαθι, καὶ τὸ ἱλήκοις, ἀντὶ τοῦ Πλεως· εἴης. Ἡ δὲ παραγωγὴ τοῦ ἱλάω καὶ τῶν συστοίχων αὐτῷ περιττὴ

146. Talis est nexus sententia ; quædam autem exemplaria pro Ἱλασμός et σωτηρία, Ἱλασμόν et σωτηρίαν per casum accusativum habent ; ut dicat poeta : propitiationem et salutem nobis lucere fecisti. Augustior autem prima sententia est : propitiatio namque reipsa ac salus est Christus. Ἱλάω vero, unde quoque venit Ἱλάσασθαι, radix est τοῦ Ἱλασμοῦ. Verbum autem non commode factum ex ipsa Πλημι tanquam ἵστημι, derivatione dat Πληθι, et Πλαθι, et ἱλήκοις, pro, Πλεως· εἴης, propitius esto. Derivatio autem τοῦ ἱλάω ipsiusque consortium hic

superflue nunc exponeretur : ex verbo ἱλάω, ἱλάσω, communius verbum ἱλάσκω venit. Quoad autem vocem σωτηρία, scito quod vox σωτήρ, cujus est derivatio σωτηρία, ex extraneis ad res nostras divinas est deducta, sicut et βασιλεύς. Atticis enim populare regimen præferentibus, nec tamen haud ignorantibus regiam potestatem aliis meliorem esse potestatibus, Jupiter cognominabatur βασιλεύς, quasi dignus non esset homo qui rex esset inter ipsos; et ipsum nominabant σωτῆρα, cui etiam κρατῆρα cognomen in conviviis imponebant. Verbum autem ἔλαμψεν ut de sole pronuntiavit; juxta quem augustissima Deipara cœlum est, ex quo justitiæ Sol illuxit. Aliis autem verbis, ex qua, velut lucida nubes et hæc salutaris, illuminatio venit et salvificans nos imber super terram irrupit. Ideo B prætulit hujusmodi dictionem istis : ἔφανας, aut πέφανας, aut ἥσταψας, quæ sunt ipsæ splendidæ dictiones.

A ἐνταῦθα νῦν ἐκτεθῆναι · ἐκ τοῦ ἱλάω, ἱλάσω, κοινότερον ῥῆμα τὸ ἱλάσκω γίνεται. Ἐν δὲ τῷ σωτηρία ἰστέον ὅτι καὶ ὁ Σωτὴρ, οὗ παρώνυμον ἡ σωτηρία, ἐκ τῶν ἔξω παρείληπται εἰς τὰ καθ' ἡμᾶς θειότατα, καθὰ καὶ ὁ βασιλεύς. Ἀττικοῖς γὰρ δημοκρατεῖσθαι μὲν προῃρημένοις, οὐκ ἠγνοηκόσι δὲ κρεῖττον εἶναι τῶν ἄλλων ἀρχῶν τὴν βασιλικὴν, ὁ Ζεὺς ἐπεκαλεῖτο βασιλεὺς, ὡς μὴ ἄξιον ὄν ἄνθρωπον ἐν αὐτοῖς βασιλέα εἶναι · καὶ σωτῆρα αὐτὸν ἐνόμιζον · ᾧ καὶ κρατῆρα ἵστων ἐν συμποσίοις ἐπώνυμον · Τὸ δὲ ἔλαμψεν ὡς ἐπὶ ἡλίου εἶπε · καθ' ὃν οὐρανὸς ἡ ὑπέραγνος Θεοτόκος, ἐξ οὗ ὁ τῆς δικαιοσύνης ἔλαμψεν Ἥλιος. Φράσαι δὲ καὶ ἄλλως, ἐξ ἧς οἷα νεφέλης φωτεινῆς καὶ τοιαύτη σωτήριος λάμψις γέγονε, καὶ ὁ σωστικὸς ἡμῶν ὑετὸς ἐῤῥάγη ἐπὶ γῆς · Διὸ καὶ πρέκρινε τὴν τοιαύτην λέξιν τοῦ ἔφανας, ἢ πέφηνας, ἢ ἥστραψας, αἳ φαειναὶ καὶ αὐταί εἰσι λέξεις.

147. Hic insuper advertendum nubem modo memoratam non simpliciter etymon habere juxta qualecunque nebulum, veluti nigram ac tenebrosam, sed, ut ita dicam, juxta nebulum solare, tanquam obumbrantem intra seipsam veritatis ac justitiæ solem. Vox autem ὁ Δεσπότης admirative dicta est, siquidem hic dominator ita illuxit servis, nihil durum ostendens. Dictio : ex Virgine, cogitare suggerit verbum ἔλαμψας, non secus ac Incarnatus es e Virgine puritate splendente; sicque lumine salutis nos in peccatorum tenebris jacentes circumfulsisti. Per expressionem vero τῶν στέρνων C τοῦ κήτους, ipsius ventrem, ut materno more licebat, significat. Prorsus autem hujusmodi pectoribus ac ventre, quæ sunt inferni figurate cogitanda sunt; unde fuga liberati resurrectionem obtinuimus; et aliquo modo dicit : Quoniam e ventre virginali sicut sol illuxisti, dominator ac Salvator Christe, de ventre inferni mortifero ernisti nos, juxta veterem typum prophetæ Jonæ. Sciendum autem quod pro στέρνων dicere potuisset σπλάγχνων, nisi jam ab alio melodo præventus esset. Vide vero dictionem : φθορᾶς διαρπάσας, de Salvatore Christo prorsus festive fiducialiterque adhibitam : qui enim prævalentis olim contra nos spolia diripuit, non prætermisit quin etiam Adam e corruptione subriperet : optimus raptor et ipse vocari contentus, qui nos docuit, præter alia salutaria, rapere tempus, quod, sicut aliquis sapiens dixit, pretiosissimus est sumptus. Notum est autem linguæ peritis quod τὸ ἁρπάζειν leonum, leopardorum, aliorumque similium proprium positum est. Hoc autem : Totum Adam, referri potest ad id : lapsum; ut intelligatur lapsus Adam totus, anima quidem ob peccatum, corpore vero propter condemnationem ad mortem; cujus liberatio non erat nisi per Salvatoris nostri Jesu Christi resurrectionem.

ρμζ'. Παρασημαντέον δ' ἐνταῦθα τὴν προσεχῶς μνημονευθεῖσαν νεφέλην οὐχ ἁπλῶς ἐτυμολογεῖσθαι κατά τι νέφος τὸ προστυχὸν, οἷα δνοφερᾶν τινα καὶ σκοτόεσσαν, ἀλλ' ὡς οὕτως εἰπεῖν φερωνύμως νέφος ἡλιόεν, οἷα σκιάσαν ἔνδον αὐτοῦ τὸν τῆς ἀληθείας καὶ δικαιοσύνης ἥλιον · τὸ δὲ ὁ δεσπότης θαυμαστικῶς εἴρηται, εἰ ὁ δεσπότης οὕτω λάμπει τοῖς δούλοις μηδέν τι παραδεικνὺς ἀγριώτατον. Τὸ δὲ ἐκ τῆς Παρθένου νοεῖν ὑποβάλλει τὸ ἔλαμψας, ὅμοιον τῷ ἐσαρκώθης ἐξ ἀειπαρθένου φωσφορούσης τῇ ἁγνείᾳ · καὶ οὕτω φωτὶ σωτηρίας ἡμᾶς τοὺς ἐν σκότει ἁμαρτιῶν περιηύγασας · διὰ τῶν στέρνων δὲ τοῦ κήτους τὴν ἐκείνου κοιλίαν ὡς μητρικῶς ἐνεχώρει δηλοῖ. Πάντως δὲ στέρνοις καὶ κοιλίᾳ τοιαύτῃ τὰ κατὰ τὸν ᾅδην εἰκαστέον · ὅθεν φυγόντες ἐτύχομεν ἀναστάσεως · καί πως λέγει ὅτι ἐκ παρθενικῆς κοιλίας λάμψας ὦ Δέσποτα Σῶτερ Χριστὲ ἡλιοειδῶς, ἐκ κοιλίας ᾅδου θανατηρᾶς ἐξέσπασας ἡμᾶς, κατὰ τὸν πάλαι ποτὲ τύπον τοῦ προφήτου Ἰωνᾶ. Ἰστέον δὲ ὅτι τὸ στέρνων εἶχε σπλάγχνων εἰπεῖν, εἰ μὴ προκατελήφθη ἑτέρῳ μελῳδῷ. Ὅρα δὲ τὸ φθορᾶς διαρπάσας πάνυ ἀστείως λεχθὲν καὶ τεθαῤῥημένως ἐπὶ Σωτῆρος Χριστοῦ. Ὁ γὰρ τὰ σκῦλα τοῦ καθ' ἡμῶν ποτε δυνατοῦ ἁρπάσας, οὐκ ἐμέλησε καὶ τὸν Ἀδὰμ τῆς φθορᾶς ἁφαρπάσαι · ἅρπαξ ἅριστος εὐδοκήσας; κληθῆναι καὶ αὐτός · ὃς καὶ ἡμᾶς ἐδίδαξεν ἄλλα τε ἁρπάζειν σωτήρια καὶ αὐτὸν τὸν καιρὸν, τὸν καθά τις ἔφη σοφὸς, πολυτελέστατον δαπάνημα. Γνωστὸν δὲ τοῖς περὶ λόγους ὅτι τὸ ἁρπάζειν λεόντων, καὶ παρδάλεων, καὶ ἄλλων τῶν κατ' αὐτὰ ἴδιον τέθειται · τὸ δὲ ὅλον τὸν Ἀδὰμ δύναται διαβιβασθῆναι καὶ εἰς τὸ, πεπτωκότα · ἵνα νοῆται πεπτωκὸς ὁ Ἀδὰμ ὅλος, ψυχῇ μὲν διὰ τὸ ἡμαρτηκέναι, σώματι δὲ διὰ τὸ κατακριθῆναι θάνατον · οὗ λύτρωσις οὐκ ἦν εἰ μὴ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξαναστάσεως.

148. Notandum autem quod sanctissimus Damascenus lapsam nostram naturam redintegratam

ρμη'. Σημείωσαι δὲ ὅτι ὁ μὲν ἁγιώτατος Δαμασκηνὸς τὴν πεπτωκυῖαν ἡμῶν φύσιν ἀνοικοδομηθῆ-

ναι εἶπεν ἀναστάντος τοῦ, ὡς ὁ Ἰωνᾶς προδιετύπωσε, παθόντος καὶ ταφῇ δοθέντος καὶ ἐν τῇ κοιλίᾳ τῆς γῆς γενομένου Χριστοῦ· ἡ δὲ παροῦσα ᾠδὴ σωθῆναί φησιν ἁφαρπαγέντα φθορᾶς τὸν Ἀδὰμ πεπτωκότα, Χριστοῦ λάμψαντος ἐκ τῆς Ἀειπαρθένου· δεξιώτατα τῆς μελῳδίας ἀνατιθείσης τὸ αὐτὸ καλὸν ἐκεῖ μὲν τῇ θεοπρεπεῖ ταφῇ τοῦ Χριστοῦ τῇ ἐπισφραγιστικῇ τῆς ἡμῶν σωτηρίας· ἐνταῦθα δὲ τῇ καταρκτικῇ τοῦ σωθῆναι τὸ ἀδαμιαῖον φύραμα γεννήσει ἐκείνου· ἐν οἷς ταυτόν ἐστιν ἐκ χοὸς εἰπεῖν ἀνοικοδομηθῆναι τὴν κατ' ἄνθρωπον οὐσίαν, ὅ ἐστι φύσιν κατὰ τὸν Δαμασκηνόν, καὶ ἐκ φθορᾶς ἁρπαγῆναι τὸν ὅλον Ἀδάμ· συμβιβάζοντος τοῦ εἱρμοῦ καὶ τὸ κατὰ τὸν Ἰωνᾶν, εἴς τινα ὁμοίαν ἐκείνῳ ἔννοιαν, ὡς δύναται διασκευάσαι ὁ τὰ θεῖα σοφός. Δοκεῖ δὲ ἡ μὲν ἐκεῖ μετὰ πτῶσιν ἀνοικοδομηθεῖσα θεία οὐσία, πτῶμα χοϊκὸν δηλοῦν τὸ εἰς αὐτὸν τὸν ᾅδην· ὁ δὲ ὡς εἴρηται πεπτωκὼς Ἀδάμ, ἔμπτωσιν ὡς εἰς ᾅδην τὴν κοιλίαν τοῦ κήτους· εἰς δὲ τὸ παγγενῆ χρησιμεύει κατά τε γραφὴν καὶ κατ' ἔννοιαν ἡ ψαλλομένη παγγενὴς κατάρα τῆς προμήτορος.

A fuisse dixit, resurgente, qui, sicut Jonas præfiguravit, passus est et tumulo creditus et in ventre terræ positus, Christo : præsens autem carmen lapsum Adam, e corruptione raptum, ait fuisse salvatum, cum Christus e semper Virgine luxit, melodia idem bonum commode tribuente illic quidem venerando Christi sepulcro salutis nostræ sigillo; hic autem incipienti massam Adamiticam salvare, nativitati ejus : in quibus idem est ex humo restauratam fuisse substantiam hominis, hoc est, naturam, juxta Damascenum, et ex corruptione fuisse raptum totum Adam juxta nexum, qui quod ad Jonam attinet, concinit cuidam illi simili sententiæ, ut concipere potest in divinis sapiens. Videtur autem illic post casum restaurata divina substantia, terrestrem casum in ipsum infernum indicare lapsum : lapsus autem, ut dictum est, Adam, lapsum, tanquam in infernum, in ceti ventrem. Huic autem : παγγενῆ, servire potest quoad scriptum et quoad sensum, psalmis celebrata παγγενὴς aviæ maledictio.

B

Τροπάριον πρῶτον τῆς ἕκτης ᾠδῆς.

XV. Ἱμερτὸν ἡμῖν εὐθὲς ἐν τοῖς ἐγκάτοις
Αἰωνίως ἕξουσι πνεῦμα καινίσοις,
Πατροπροβλήτως πάντοτε ξυνημμένον,
Ὕλης ἀπεχθοῦς καυστικὸς μολυσμάτων,
Ῥύπου τε παντὸς ῥυπτικὸν παντοκράτορ.

Troparium primum odæ sextæ.

Desideratum nobis rectum in interioribus
Æterne habituris Spiritum innoves,
A Patre procedentem undique copulatum,
Materiæ inimicæ combustilem inquinationem,
Sordisque omnis purgativum, o omnipotens.

ρμθ'. Καθαρῶς τὸ παρὸν τροπάριον τὴν τῆς ἐννοίας ἀφορμὴν ἐκ τοῦ πανσόφου ἔχει Δαβίδ, οὗ θεοκλυτήσαντος καρδίαν αὐτῷ καθαρὰν κτισθῆναι, καὶ πνεῦμα εὐθὲς ἐγκαινισθῆναι τοῖς ἐγκάτοις αὐτοῦ, καθὰ καὶ προεγράψαμεν, παραφράσας ὁ μελῳδὸς ὑπερεύχεται εἰς κοινὸν, οὕτω πρὸς ἀκολουθίαν ἑορταστικὴν παραμιγνὺς καὶ θεολογίαν· Ὦ παντοκράτορ Λόγε, καινίσοις εἴθε τοῖς ἐγκάτοις ἡμῶν τῶν χριστιανῶν πνεῦμα ἱμερτὸν καὶ εὐθὲς, ὃ καὶ αἰωνίως ἕξοιμεν· ἵνα ὡς τὸ ἅγιον Πνεῦμα συνῆπταί σοι ἀεὶ, οὕτως ἡ χάρις σου μένῃ διαπαντὸς μεθ' ἡμῶν ἕως συντελείας αἰῶνος, οὐ μεταμελομένου εἰ μὴ φθάσαντες ἡμεῖς πταίσομεν, οὐδὲ διδόντος πνευματικῶς πρόσκαιρα. Εἶτα φιλοσοφῶν θεολογικῶς, λέγει πάντοτε τὸ ἅγιον Πνεῦμα ξυνῆφθαι τῷ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ πατροπροβλήτως, ἐν τῷ ἐκ τοῦ Πατρὸς δηλαδὴ προβεβλῆσθαι καὶ ἐκπορεύεσθαι· ὡς λόγῳ συνωνυμίας μυστικῆς ἀμφοτέρων τούτων παυτιζομένων τῶν λέξεων.

C

D

149. Puram hujus sententiæ originem præsens strophe tenet e sapientissimo David, quem, cum petivisset a Deo sibi cor mundum creari, spiritumque rectum in visceribus suis innovari, quemadmodum antea scripsimus, commentatus poeta, ad festivalem continuationem admiscens quoque theologiam, sic communiter deprecatur : O omnipotens Verbum, utinam innoves in visceribus nostrum Christianorum spiritum desiderabilem ac rectum, quem in sempiternum habeamus! ut, sicut Spiritus sanctus tecum est semper unitus, sic tua gratia semper nobiscum maneat ad sæculi consummationem, te non variante nisi prius nos peccemus, nec spiritaliter momentanea dante. Deinde theologice philosophans, ait Spiritum sanctum semper conjungi cum Filio Verboque Dei πατροπροβλήτως, in eo quod sane ex Patre producitur (προβεβλῆσθαι), et procedit, tanquam, mystica synonymia, utraque dictione idem significante.

Ῥύπου τε παντὸς ῥυπτικὸν παντοκράτορ.

Sordisque omnis purgativum, o omnipotens.

150. Manifestum est autem quod etiam cum Filio semper conjungitur Spiritus; et quemadmodum Pater semper est in ipso, sic etiam Spiritus sanctus. Deinde nobis etiam sancti Spiritus efficaciam brevissime manifestans hymnographus, ipsumque consumentem ignem esse demonstrans, urentem esse dicit macularum odiosam materiam, eluentemque seu purgantem omnes sordes, illas scilicet quæ spectant ad mentem, quod in hoc demonstratur : Munda nos ab omni macula : qua macula quaque sorde lavati puri sunt corde sicque Deum videntes fiunt, lumenque Deo charum tanquam vestimentum induunt. Sciendum est autem quod in

ρν'. Πρόδηλον δὲ ὅτι συνῆπται ἀεὶ τὸ Πνεῦμα καὶ τῷ Υἱῷ, καὶ ὡς πάντοτε ὁ Πατὴρ ἐν αὐτῷ, οὕτω καὶ τὸ ἅγιον Πνεῦμα· εἶτα καὶ τὴν ἡμῖν ἐνέργειαν τοῦ ἁγίου Πνεύματος ἐν ὀλιγίστῳ διασαφῶν ὁ μελῳδὸς, καὶ παραδεικνὺς πῦρ καταναλίσκον εἶναι αὐτὸ, καυστικὸν εἶναί φησι μολυσμάτων ὕλης ἀπεχθοῦς, καὶ ῥυπτικὸν ὅ ἐστι καθαρτικὸν ῥύπου παντὸς, τοῦ κατὰ νοῦν δηλαδὴ, ὃ δηλοῦται ἐν τῷ· Καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος· ἣν κηλῖδα καὶ ὃν ῥύπον οἱ ἁπλουσάμενοι, καθαροὶ τῇ καρδίᾳ καὶ οὕτω θεόπται γίνονται, καὶ φῶς Θεῷ φίλον ὡς ἱμάτιον ἀναβάλλονται. Ἰστέον δὲ ὅτι τε ἐν παλαιοῖς ἀντιγράφοις εὕρηται ῥύπου φρενῶν τε ῥυπτικὸν

150. Manifestum est autem quod etiam cum Filio semper conjungitur Spiritus; et quemadmodum Pater semper est in ipso, sic etiam Spiritus sanctus. Deinde nobis etiam sancti Spiritus efficaciam brevissime manifestans hymnographus, ipsumque consumentem ignem esse demonstrans, urentem esse dicit macularum odiosam materiam, eluentemque seu purgantem omnes sordes, illas scilicet quæ spectant ad mentem, quod in hoc demonstratur : Munda nos ab omni macula : qua macula quaque sorde lavati puri sunt corde sicque Deum videntes fiunt, lumenque Deo charum tanquam vestimentum induunt. Sciendum est autem quod in

antiquis exemplaribus, invenitur : *ῥύπου φρενῶν τε ῥυπτικὸν παντοκράτορ*, quodque strophæ sententia prorumpit eadem ac strophæ paulo superioris in quinto carmine, ubi Dei Verbum sibi præparabat domum, in qua Spiritus lumen inhabitavit. Ut autem accuratius dicam, asseverationem illic positam, in precem hic mutavit poeta, oratione facta ut nos bonum habeamus, quod antea philosophice in secunda illa strophe et in illius continuatione exposuit.

151. Supponendum est autem quod ἐγκατοικίζοιτο, optative dictum illic propter metrum, loco hujus : ἐγκατοικίζεται καὶ ἐνοικεῖ, sacrum poetam ut enthymema duplicantem, induxit ad directe nunc aliquo modo precandum ibique sic dicendum : O summe Potens, postquam immaculatam apostolicamque domum tibimetipsi præparasti nos, innova nobis Spiritum sanctum. Non autem incommode quis dixerit quod ex præcedenti divino lavacro et ex hujus lavacri purificatione deducitur hic odiosarum macularum exustionis sententia spiritualisque purgatio. Cæterum, omissa suppositione quod dictum verbum καυστικὸν fuerit translatum tropice ex Spiritu fervente, ex ignis etiam pendet linguis; et ex hoc : Ignem consumentem esse Spiritum sanctum. Evidens est autem quod magis assatum prorsus τὸ καίεσθαι quam τὸ ῥύπτεσθαι ; nec obliviscendum illam exustionem odiosæ macularum materiæ, tanquam de materiis adulterinis in vase fusorio per ignem vehementem liquefactis : omnis enim hujusmodi materia, puris odiosa, post fusionem et exustionem ejus quod illam fœdat, amatur et requiritur : quod etiam egregie patitur ille qui Spiritus igne probatur, et hac maculæ detersione purificatus exit, ut fit de his quæ fullonica certe vel aliter sordibus absterguntur. Istorum enim non est quamlibet exustionem subire ; istis autem similes sunt Davidici, qui lavari bene volunt, non tamen gustare quemlibet ignem.

152. Attendendum autem ibi ne quando quidam ex nobis, sola tantum detersione sordem deponere valentes, poetam cogamus ad nos in ignis carbones volvendos, ut sic concremata sorde dealbemur et ad Eucharistiam redeamus. Vidimus enim manutergia ex filis amianti contexta, quem olim dicitur produxisse montana Carystes petra, in quibus, cum profunda insedisset macula, facile evanescebat per ignis combustionem aut alias per detersionem : ordinandi sunt in hanc purificationem illi qui celeriter ex pura vita, non advertentes, aliquandiu mutati, postea prompte convertuntur si quis in camino fundit ipsis spiritualem constantiam. Et ita sensus hujus strophæ constitutus sit. De recto autem Spiritu parum quidem, sed tamen jam scriptum est. Nunc dicere satis erit omnino quidem recto curvum opponi, alias autem etiam tortuosum. Talia vero nec in spiritualibus ad vitam civilem attinentibus probantur, si bonis utamur moribus. Huic autem desiderabile festivitatis

παντοκράτορ, καὶ ὅτι τροπαρίου ἐξώρμηται ἡ εἰρημένη ἔννοια τοῦ πρὸ βραχέων ἐν τῇ πέμπτῃ ᾠδῇ ἔνθα ὁ τοῦ Θεοῦ λόγος δόμον ἑαυτῷ κατεσκεύαζεν, ἡ ἐγκατῳκίσθη Πνεύματος φάος · καὶ ἀκριβέστερον δὲ εἰπεῖν, τὴν ἐκεῖ ἀπόφανσιν εἰς εὐχὴν ἐνταῦθα ἤμειψεν ὁ μελῳδὸς, εὐξάμενος ἔχειν ἡμᾶς ὅπερ ἀγαθὸν φθάσας ἐφιλοσόφησεν ἔν τε τῷ δευτέρῳ ἐκείνῳ τροπαρίῳ, καὶ ἐν τῷ ἐκείνου εἱρμῷ.

ρνα'. Ἔστι δ' ὑπονοῆσαι καὶ ὅτι τὸ ἐγκατοικίζοιτο εὐκτικῶς ἐκεῖ λεχθὲν διὰ τὸ μέτρον, ἀντὶ τοῦ ἐγκατοικίζεται καὶ ἐνοικεῖ, ἐνήγαγε τὸν ἱερὸν μελῳδὸν ὡς οἷον ἐπενθυμηθέντα εἰς τὸ ἐξ ὀρθοῦ νῦν εὔξασθαί πως, καὶ ἐνταῦθα τό, Ὦ παντοκράτορ, κατασκευάσας δόμον ἄχραντον ἀποστολικὸν σοὶ αὐτῷ ἡμᾶς, ἐγκαίνισον ἡμῖν τὸ ἅγιον Πνεῦμα. Οὐκ ἂν δὲ δυστροπέως εἴποι τις ὅτι καὶ ἐκ τοῦ φθάσαντος ἁγίου λουτροῦ, καὶ τῆς τοῦ λουτηρίου καθάρσεως, παρείλκυσται ὧδε ἡ τῆς καύσεως ἔννοια τῶν ἀτιχθῶν μολυσμῶν, καὶ ἡ πνευματικὴ ῥύψις · ἄλλως δὲ τὸ εἰρημένον καυστικὸν, δίχα γε τοῦ ὑπονοῆσαι μετηνέχθαι τροπικῶς ἐκ Πνεύματος ἐμπύρου, καὶ τῶν πυρίνων ἔχεται γλωσσῶν · καὶ τοῦ, πῦρ κατανάλισκον εἶναι καὶ τὸ ἅγιον Πνεῦμα. Δῆλον δὲ ὅτι φρικτότερον πάντως τὸ καίεσθαι τοῦ ῥύπτεσθαι · καὶ νοητέον τὴν μὲν καῦσιν τῆς τῶν μολυσμάτων ἀπεχθοῦς ὕλης, ὡς ἐπὶ τῶν ἐν χωνείᾳ τῇ διὰ πυρὸς σφοδροῦ τηκομένων κιβδήλων ὑλῶν. Πᾶσα γὰρ ὕλη τοιαύτη ἀπεχθὴς οὖσα τοῖς καθαρείοις μετὰ τὸ χωνευθῆναι καὶ καυθῆναι τὸ μολύνον αὐτὴν, στέργεται καὶ ἀμφέπεται · ὃ δὲ πάσχει ἐπαινετῶς καὶ πᾶς ὁ πυρὶ Πνεύματος δοκιμαζόμενος καὶ καθαιρόμενος τήνδε τοῦ ῥύπου ἐκπλύνσιν, ὡς ἐπὶ τῶν σμηχομένων ἢ κναφευτικῶς ἢ ἄλλως ὁπωσοῦν. Τούτων γὰρ ἄπεστι παντοία καῦσις · τούτοις δὲ ἐοίκασιν οἱ δαυιτικοὶ, πλυνεῖσθαι ἀξιοῦντες, οὐ μὴν πυρός τινος γεύσασθαι.

ρνβ'. Προσεκτέον δὲ ἐνταῦθα μήποτέ τινες οἱοί τε ὄντες μόνῳ σμήγματι ἀποθέσθαι τὴν ῥυπαρίαν ἀναγκάσωμεν τὸν ποιητὴν ἐπ' ἀνθράκων πυρὸς καταστρῶσαι ἡμᾶς · ὡς ἂν οὕτω κατακαυθέντος τοῦ ῥύπου, λευκανθησώμεθα καὶ εἰς εὐχαριστίαν ἐπανέλθωμεν. Ἐθεασάμεθα γὰρ χειρόμακτρα μέτρα ἐκ μίτων ἀμιάντου ὕλης ἐξυφανθέντα, ἣν πάλαι ποτὲ λέγεται χορηγεῖν καὶ ἡ κατὰ Κάρυστον ὀρεινὴ πέτρα, οἷς βαθὺς ἐγκαθίσας ῥύπος, ῥᾷον ἀπήρχετο διὰ πυρὸς καύσεως ἤπερ ἄλλως διὰ τοῦ ῥύψασθαι. Ταχτέον δὲ εἰς τοιαύτην κάθαρσιν τοὺς ἐκ καθαροῦ βίου ταχὺ ἀλλαττομένους ἀνεπαισθήτου κατὰ μικρὸν, εἶτα θᾶττον μεταβαλλομένους εἴ τις καμινεύει αὐτοῖς πνευματικὴν ἐμβρίθειαν · καὶ οὕτω μὲν ὁ νοῦς καθεστάτω τοῦδε τοῦ τροπαρίου. Περὶ δὲ εὐθέος Πνεύματος ὀλίγον μέντοι, προγέγραπται δὲ ὅμως · νῦν δὲ εἰπεῖν ἀρκέσει, ὅτι καθόλου μὲν τῷ εὐθεῖ τὸ καμπύλον ἀντίκειται, καὶ τὸ ἄλλως δὲ στρεβλόν · τὰ δὲ τοιαῦτα οὐδὲ ἐν τοῖς κατὰ πολιτείαν πνευματικοῖς παρρησιάζονται εἴπερ εὐνομούμεθα · τῷ δὲ τῆς ἑορ-

τῆς εὐκταίῳ Πνεύματι τῷ εὐθυτάτῳ, ἀντιθετεῖ τὸ δαιμόνιον· ὃ καὶ τοὺς κύκλῳ, ψαλμικῶς εἰπεῖν, περιπατοῦντας περιάγει, καὶ οὐδὲν ἀγαθὸν πρὸς ἀλήθειαν εὐθύτητα ποιεῖ, ἀλλὰ στρεβλοῖ τὰ πάντα εἰς τὸ ἡμῖν ἀσύμφορον, εἰ μὴ τὸ εὐθὲς ἀντιπράττει Πνεῦμα βοηθοῦν ἡμῖν· διὰ τῶν ἐγκάτων δὲ τῆς ψυχῆς καὶ τῶν κατ' αὐτὴν ποικίλων θεόθεν ἐννοιῶν αἰνίττεται βάθος, καθ' ὃ σημαινόμενον καὶ ὁ Δαβὶδ τοῖς αὐτοῦ ἐντὸς εὐλογεῖν τὸ ὄνομα Κυρίου ἐπιτέλλεται· ὃς καὶ ἐκ τοιούτων βαθέων κεκραγὼς τῷ Κυρίῳ εἰσακούεται. Χρὴ γὰρ πᾶν ἀγαθὸν ψυχικὸν μὴ ἐπιπόλαιον προφέρεσθαι, ἀλλ' οἰκουρεῖν ἐν βάθει ταμιευτικῶς, θησαυροῦ δίκην, ᾧ καὶ ἡ τοῦ καθέκαστον καρδία σύνεστι κατὰ τὴν ἁγίαν Γραφήν. Ὅτι δὲ τὸ ἐγκάτοις, ἔγκασιν ἔφη ὁ ἐν τοῖς ἔξω σοφὸς ποιητής, δῆλον τοῖς εἰδόσιν· ὃς καὶ τὸ προσώποις προσώπασιν ἔγραψεν· ὁμοίως τὸ ἄστροις ἄστρασι, καὶ ὀνείροις ὀνείρασι. Τὸ δὲ μόλυσμα ἐκ τοῦ μολύνω παρηγμένον ἀναλογεῖ πρὸς τὸ μιαίνω μίασμα, καὶ ἡδύνω ἥδυσμα· τὸ δὲ αἰωνίως πρὸς τὸ πάντοτε ἁρμοστέον, ἵνα δι' εὐχῆς ἡμῖν εἴη, αἰωνίως ἐν ἡμῖν τὸ ἅγιον Πνεῦμα εἶναι τὸ πάντοτε συνημμένον τῷ Παντοκράτορι. Τὸ δὲ ῥύπου ῥυπτικὸν, ἔστι μὲν ἐτυμολογικοῦ τρόπου, Ἀττικῆς δὲ κοινῆς γλώττης ὥρμηται· τοιοῦτον δὲ καὶ τὸ λέγω λόγον, καὶ ὑπνῶ ὕπνον, καὶ τὰ ὅμοια.

A spiritui rectissimo, opponitur dæmonium; quod hac et illac ambulantes, ut cum Psalmis loquar, circumducit, nec ullum bonum juxta veritatem rectitudine facit, sed omnia detorquet ad nostrum incommodum, nisi spiritus rectus, nobis auxilium præstans, obsistat. Per animæ viscera variarum ipsius a Deo cogitationum profunditas insinuatur, juxta quod significatum David his quæ intra ipsum sunt, ut nomen Domini benedicant, præcipit. Et etiam, enim ex talibus profundis clamavit ad Dominum, exauditur. Oportet enim omne bonum animæ non ad superficiem proferri, sed pretiose domus in profundo custodiri, sicut thesaurum, cui juxta sacram Scripturam, uniuscujusque cor B apponitur. Quod autem vocem ἐγκάτοις, ἔγκασιν dixit sapiens apud exteros poeta, viris doctis notum est : similiter scripsit προσώπασιν pro προσώποις ἄστρασι pro ἄστροις, et ὀνείρασι pro ὀνείροις. Vox autem μόλυσμα e verbo μολύνω derivatur analogice cum : μιαίνω μίασμα, et ἡδύνω ἥδυσμα. Adverbium αἰωνίως juxta πάντοτε accommodandum est, ut nobis sit in voto semper (αἰωνίως) in nobis esse Spiritum sanctum, qui summo dominatori semper (πάντοτε) conjungitur. Hoc autem ῥύπου ῥυπτικόν, est quidem etymologicus tropus, Attica vero communi lingua formatur. Talia sunt : λέγω λόγον, ὑπνῶ ὕπνον, et similia.

Τροπάριον δεύτερον τῆς ἕκτης ᾠδῆς.

Troparium secundum odæ sextæ.

XVI. Ὀρεκτὸν ἀξίωμα τοῖς ἀποστόλοις·
Σιωνίταις μίμνουσι σὴν παρουσίαν,
Γνώρισμα Πνεῦμα πατρογεννήτου Λόγου
Λέσχην ἀπηνῆ τῶν ἐθνῶν ποππυσμάτων
Ὠκιστα δεικνὺς πυρπνόως καθιδρύεις.

C Appetibilis dignitas apostolis :
Sionensibus, exspectantibus tuam præsentiam,
Nota, Spiritus geniti a Patre Verbi,
Nugas inficetas blanditiarum gentium
Celeriter monstrans, in illis instar ignis insides.

ργγ'. Εὐξώμεθα ἐν τῷ παρόντι τροπαρίῳ περιτυχεῖν ἀντιγράφῳ ἀσφάλτῳ. Οἷς γὰρ ἐνεκύρσαμεν οὐκ ἔστι μέμψιν ἀξίαν ἐπενεγκεῖν· τῷ τέως δὲ γράψαντες πρὸς τὰ παρευρημένα ὅπως ἰσχύσομεν, ὕστερον ὅτε ὀρθῇ ἐκδόσει περιτευξόμεθα, τότε ἀνακάμψομεν τὸ οὐκ εὐθύ. Λέγομεν οὖν ἀφορμὰς εἰληφότες ἔκ τινος προϋπάρξεως, ὅτι δοκεῖ πρὸς τὸ ἅγιον ἀποτεινόμενος Πνεῦμα ὁ μελῳδὸς, λέγειν οὕτω πως· Ὦ Πνεῦμα ἅγιον, γνώρισμα τοῦ ἐξ ἀνάρχου Πατρὸς γεννηθέντος Υἱοῦ τοῦ Θεοῦ. Ὡς γὰρ ὁ Υἱὸς ἡμῖν τὸν Πατέρα γνωρίζει, οὕτω σὺ τὸν Υἱόν· Ὦ πάνυ ὀρεκτὸν ἀξίωμα τοῖς ἀποστόλοις τοῖς ἐν Σιὼν καθημένοις καὶ ἀναμένουσι τὴν παρουσίαν σου καθὰ παρηγγέλθησαν, σὺ ὡς Θεὸς πυρπνόος, καὶ δι' αὐτὸ φοβερὸς, δεικνὺς τὴν λέσχην καὶ τὴν ὁμιλίαν τῶν κατὰ τὰ ἔθνη τὰ μὴ πιστὰ ποππυσμάτων· ὅτι οὐκ ἔστιν ἐκείνη πνευματικὴ, ἀλλὰ ἀπηνὴς ὤκιστα καὶ σὺν οὐδενὶ πόνῳ καθιδρύεις τοὺς ἐθνικούς· ἤγουν ἁπλῶς καθίζεις καὶ οὕτω κατασιγάζεις καὶ ἀκινητίζειν ποιεῖς, ὡς μηκέτι μέθην εἶναι νομίζειν τὴν ἀποστολικὴν ῥητορείαν· καὶ τοιοῦτον μὲν ὡς ἐκ τῶν παραπεσόντων ἀντιγράφων ἠρανιαάμεθα νοῦν δηλοῦντα, ὡς ἐν ὀλίγῳ φράσαι, ὅτι Ὦ ἅγιον Πνεῦμα τὴν ἐθνικὴν φλυαρίαν ταχὺ ὡς Θεὸς παραδειγματίσας, κατέπαυσας. Εἰ δὲ τὸ πυρπνόως ἐπίῤῥημά

153. Gloriari possumus in hac strophe nos occurrisse tuto exemplari : his enim quibus obvii fuimus nihil exprobatione dignum inferri potest. Hucusque vero cum secundum inventa, quomodo valeremus, scripsimus, postea eum editioni rectæ occurremus, tunc quod non est rectum corrigemus. Dicimus ergo, exordium ex quibusdam præeuntibus mutuati, quod videtur ad sanctum intentus Spiritum poeta ita quodammodo dicere : O sancte Spiritus, Filii Dei, ex Patre principium nesciente D geniti, revelatio, sicut enim Filius nobis revelat Patrem, sic et tu Filium ; — O dignatio valde desirabilis apostolis in Sion sedentibus exspectantibusque tuam, ut ipsis est promissa, præsentiam ; tu tanquam Deus igniflans (πυρπνόος) et ideo tremendus, ostendens relate ad ethnicos non fideles seductionem, sermocinationem ac conversationem, quod non est spiritualis, sed crudelis, protinus et absque ullo labore illos ad terram prosternis, sive simpliciter sedere, sicque silere ac sine motu esse cogis, ut jam non putent ebrietatem esse apostolorum eloquentiam. Talem equidem ut ex præterlapsis exemplaribus eruimus sensum significantem, ut breviter loquar, istud : O sancte Spiritus, ethnicam garrulitatem cito tanquam Deus stigmate no-

tam, continuisti. Si vero πυρπνόως adverbium est, vel δεικνὺς aliter scribitur, vel καθιδρύεις secunda persona non est, nec simpliciter sessionem ac quietem significat, sed, ut paulo ante demonstratum est, sacra est dictio, ut in dedicationem vel in solii inaugurationem dederit Deus nos illuminari.

154. Bonum autem videri posset sic etiam notavi præsentem strophen : O sancte Spiritus, ut dictum est in tribus ex ordine versibus significatum, tu demonstrans ut Deus sanctis apostolis, sive tanquam doctor manifestans qualia sibilent ethnici, qualia vero theologica doceant discipuli Dei, hoc autem ostendens per linguas igneas et per vehementem flatum, sanctos apostolos constituis, sive consecras, et ita venerandos instituis, tanquam divinas statuas, quæ Dei templis illuceant, et ita venerantur, dignas : ut secundum hanc sententiam, sacra dictio sit verbum ἐνιδρύειν, quatenus ante scriptum est : Et tale quidem est istud. Verbum autem ἀξίωμα de advocatione quidem intelligere proprium est ; sed potius ἀξίωμα dicitur, vel quia apostoli, corde mundo in eis creato, digni erant qui Spiritum sanctum reciperent, vel propter hoc : ἐκ πρώην ἀναξίως ἄξιοι γεγόνασι, (ex hesterna indignitate digni sunt facti) et revera conspicui magnificique propter sancti Spiritus in eos inspirationem. Insuper autem in sermone philosophico cum auctoritate (ἀξιωματικῶς) loquebantur velut exinde repleti sapientia. Si enim Pythagora loquente vana, ille qui dubitabat, cum a quodam ex discipulis ejus audierat : Ipse dixit, a quærendo cessabat, quomodo ille qui discipulos spiritu plenos audiebat docentes tam augusta, tam excelsa, tam auctoritate plena, tam Spiritu sancto digna, rebellatione ac contradictione doctrinæ obstitisset?

155. Ὀρεκτὸν autem apostolis erat hujusmodi dignatio, sive valde desiderata, et, sicut prædictum est, ἱμερτόν ; ἱμείρειν enim et ἱμείρεσθαι est ἐπιθυμεῖν, et (ὀρέγεσθαι), cujus est derivatio appetitus et appetentia (ὀρεκτὸν et ὄρεξις) ; sive præcellenter a Deo data : verbum enim ὀρέγειν hujusmodi quoque significationi subjacet, ut sic : ὄρεξόν μοι et manum auxiliatricem, sive porrige, da ; ex quo venit cum accentu penultimo ὄργυια, seu juxta veteres, cum accentu antepenultimo, ὄργυια (ulna) : unde : ὀργυιᾶσθαι extendere nautica vela. Ex hoc autem, ut dictum est, verbo ὀρέγειν, derivatur etiam ἔγχος (lancea) non cominus feriens, sed projecta per manus tensionem. Hoc autem Σιωνίταις est pro Ἱεροσολυμίταις, seu juxta Sion. Vox vero μίμνουσιν tuto dici potuisset μένουσιν, illius loco : In Sion ἀναμένουσιν (exspectantibus) tuam sive tui præsentiam : elegit autem poeta quod magis poeticum erat ; communiter enim μένω dicimus : poetice vero derivatum μίμνω. Talia sunt τέκω τίκτω, ἔχω ἴσχω, et similia. Vox autem πατρογεννήτου compositio est auctori sacro chara.

ἐστιν, ἢ τὸ δεικνὺς ἄλλως γράφεται, ἢ τὸ καθιδρύεις οὐχὶ δευτέρου ἔστι προσώπου, οὐδὲ ἁπλῶς κάθισμα καὶ ἀργίαν δηλοῖ, ἀλλὰ ὡς καὶ πρὸ ὀλίγων δεδήλωται, ἱερὰ λέξις ἐστὶν, ὡς ἐπὶ ἐγκαινίου ἢ ἐνθρονισμοῦ δοίη ὁ Θεὸς διαφωτισθῆναί ποθεν ἡμᾶς.

ρνδ'. Δόξοι δὲ ἂν καλὸν εἶναι νοηθῆναι καὶ οὕτω τὸ παρὸν τροπάριον· Ὦ ἅγιον Πνεῦμα, ὡς ἐρρέθη ἐν τοῖς τρισὶ καθεξῆς δηλούμενον στίχοις, σὺ δεικνὺς ὡς Θεὸς τοῖς ἁγίοις ἀποστόλοις, ἤγουν διδασκαλικῶς παραδηλῶν ὁποῖα μὲν ποππύζουσιν οἱ ἐθνικοὶ, ὁποῖα δὲ θεολογοῦσιν οἱ τοῦ Θεοῦ μαθηταὶ, δεικνὺς δὲ αὐτὸ διὰ τῶν πυρίνων γλωσσῶν καὶ τῆς βιαίας πνοῆς καθιδρύεις τοὺς ἁγίους ἀποστόλους, ἤγουν ἁγιάζεις, καὶ οὕτω καθιστᾷς ἐντίμους, ὡσεὶ καὶ ἀγάλματα θεῖα ναοῖς Θεοῦ ἐμπρέπειν ἄξια, καὶ οὕτω σεβάζεσθαι· ἵνα κατὰ τὴν ἔννοιαν ταύτην, ἱερὰ λέξις εἴη τὸ ἐνιδρύειν, καθὰ καὶ πρὸ τούτων γέγραπται· Καὶ τοιόνδε μὲν καὶ τοῦτο. Τὸ δὲ ῥῆμα ἀξίωμα ἐπὶ παρακλήσεως μὲν νοῆσαι ἰδιωτικόν ἐστι· μᾶλλον δὲ ἀξίωμα λέγεται, ἢ διότι ἄξιοι τῆς τοῦ ἁγίου Πνεύματος ὑποδοχῆς οἱ ἀπόστολοι ἦσαν διὰ τὸ καρδίαν αὐτοῖς καθαρὰν κτισθῆναι, ἢ διὰ τὸ ἐκ πρώην ἀναξίως ἄξιοι γεγόνασι, καὶ ὄντως ἀξιωματικοὶ καὶ μεγαλεῖοι διὰ τὴν τοῦ ἁγίου Πνεύματος εἰς αὐτοὺς ἐπίπνοιαν· καὶ ἀξιωματικῶς δὲ φιλοσόφῳ λόγῳ ἐλάλουν ὡς ἐκεῖθεν σεσοφισμένοι πληρέστατα. Εἰ γὰρ Πυθαγόρου κενολογοῦντος, ὁ ἀπορῶν καὶ ἀκούσας πρός τινος τῶν ἐκείνῳ φοιτώντων ὅτι αὐτὸς ἔφατο, ἐπαύετο τοῦ ζητεῖν, πῶς ἂν ὁ τοὺς πνευματοφόρους μαθητὰς ἀκούων διδάσκοντας οὕτω σεμνὰ, καὶ ὑψηλὰ, καὶ ἀξιωματικὰ, καὶ τοῦ ἁγίου Πνεύματος ἄξια, ἐνέκοψεν ἂν τὴν διδασκαλίαν ἐναντιστικῶς καὶ ἀντιλογικῶς ;

ρνε'. Ὀρεκτὸν δὲ ἀποστόλοις τὸ τοιοῦτον ἀξίωμα, ἢ ὡς ἐφετῶς ἐπιθυμητὸν, καὶ ὃ δὴ προείρηται, ἱμερτόν. Ἱμείρειν γὰρ καὶ ἱμείρεσθαι τὸ ἐπιθυμεῖν, καὶ ὀρέγεσθαι, οὗ ἐκφοίτησις τὸ ὀρεκτὸν καὶ ἡ ὄρεξις· ἢ τὸ ἐξαιρέτως θεόθεν δοτόν· κεῖται γὰρ τὸ ὀρέγειν καὶ ἐπὶ τοιούτου σημαινομένου, ὡς τὸ, Ὄρεξόν μοι χεῖρα βοηθείας, ἤγουν ἔκτεινον, δός· ἐξ οὗ καὶ ἡ παροξυτόνως ὀργυία, ἢ κατὰ τοὺς παλαιοὺς προπαροξυτόνως ὄργυια· ὅθεν τὸ ὀργυιᾶσθαι τοὺς ναυτικοὺς φώσωνας· τοῦ δὲ, ὡς ἐρρέθη, ὀρέγειν παρῆκται καὶ ἔγχος ὄρεκτὸν, οὐ τὸ ἀγχέμαχον, ἀλλὰ τὸ ἐπαφιέμενον διὰ ἐκτάσεως χειρός. Τὸ δὲ Σιωνίταις ἀντὶ τοῦ Ἱεροσολυμίταις ἤγουν κατὰ τὴν Σιών· τὸ δὲ μίμνουσιν εἶχεν εἰπεῖν ἀσφάλτως μένουσιν, ἀντὶ τοῦ ἐν τῇ Σιὼν ἀναμένουσι σὴν παρουσίαν, ἢ σοῦ παρουσίαν· εἵλετο δὲ ὁ μελῳδὸς τὸ ποιητικώτερον, Κοινῶς μὲν γὰρ μένω φαμέν· ποιητικῶς δὲ μίμνω κατὰ παραγωγήν· ὁμοίως τῷ τέκω τίκτω, ἔχω ἴσχω, καὶ ὅσα τοιαῦτα. Ἡ δὲ τοῦ πατρογεννήτου σύνθεσις φίλη καὶ αὐτὴ τῷ ἱερῳδῷ.

ρνς'. Λέσχη δὲ νῦν μὲν κοινότερον ἡ μὴ ἀναγκαία πάνυ, τάχα δὲ καὶ ἄκαιρος πολυλογία καθημένων τινῶν ἀργῶν ἐθνικῶν. Πάλαι δέ ποτε οἱ ἀργοὶ διὰ πενίας, καὶ μὴ ἔχοντες ἔργου σπουδαίου ἔχεσθαι, ἀθροιζόμενοι περὶ καμίνους βαλανειακὰς χειμῶνος καὶ περὶ χαλκεῶνας χάριν ἁλέας ὅ ἐστιν ἀλεωρῆς καὶ θερμότητος, καὶ ἀνακείμενοι καὶ λαλοῦντες τὰ ἐκείνοις φίλα, καὶ μάτην οὕτω τὴν γλῶσσαν πονούμενοι, καὶ κατατρίβοντες ὡς οἷα καὶ γλώσσαλγοι, τὴν τῆς λέσχης ὀνομασίαν ἐξέφηναν. Λέσχαι γὰρ ἐκαλοῦντο οἱ τοιοῦτοι τόποι, τάχα μὲν ἀπὸ τοῦ λέγειν ἤτοι λαλεῖν, μάλιστα δὲ ὡς ἀπὸ τοῦ λέγω τὸ κάθημαι, καὶ ἀνάκειμαι, καὶ κοιτάζομαι· ὅθεν λέξω, λέξομαι, τὸ κοιμήσομαι παρακείμενος δὲ τοῦ τοιούτου θέματος λέλεχα, ὅθεν οὐ μόνον λέχος καὶ λέκτρον ἡ κοίτη, καὶ γυνὴ λεχὼ, ἀλλὰ καὶ ἡ ῥηθεῖσα λέχη, καὶ πλεονασμῷ τοῦ σ λέσχη· ὅθεν καὶ τὸ ἀδολεσχεῖν, ἤγουν δαψιλῶς λαλεῖν.

A 156. Λέσχη nunc quidem communiter est non multum utilis, sed etiam forte non opportuna confabulatio hominum otiosorum ethnicorum. Olim autem οἱ ἀργοὶ propter paupertatem, et qui non poterant operi strenuo vacare, congregati, circa balnearios hiemis caminos et circa fornaces ærariorum ob calorem (ἁλέαν), id est tutelarem et fotum, jacentes et confabulantes, sicque frustra linguam exercentes et consumentes veluti loquaces λέσχης nomen propalaverunt : λέσχαι enim vocantur hujusmodi loca, forte a verbo λέγειν seu loqui, sive potius a λέγω recubo, jaceo, dormio; unde λέξω, λέξομαι, requiescam. Affinitatem autem habet cum hujusmodi radice λέλεχα, unde non solum venit λέχος et λέκτρον cubile, et mulier λεχὼ (puerpera), sed et dicta vox λέχη, quæ cum expletivo σ fit λέσχη. Hinc etiam venit ἀδολεσχεῖν, sive copiose loqui.

ρνζ'. Ἡ ἀπηνὴς δὲ, καὶ ὁ ἀπηνὴς, καὶ τὸ ἀπηνὲς, οὐ μόνον τὸ ἀντικείμενον τῇ πραότητι δηλοῖ, καθ' ὃ σημαινόμενον τοὺς τυραννικοὺς ἀπηνεῖς λέγομεν, ἀλλὰ καὶ τὸ ἄσεμνον παρ' Ἀττικοῖς, ὡς ἄπο αἴνου ἤγουν μακρὰν ἐπαίνου· τὸ γὰρ μὴ σεμνὸν οὐκ ἔχομεν ἐπαινεῖν· ἀπηνὴς οὖν λέσχη ἐθνῶν κατ' ἄμφω ταῦτα σημαινόμενα. Τὸ δὲ πόππυσμα ποία λέξις ἐστίν; ὀνοματοπεποιημένη δηλαδή· ἐτυμολογίαν μὲν οὐκ ἔχουσα, πραγματικῶς δὲ γνωριζομένη τοῖς ἀκούουσιν ὅτι τὰ χείλη σφιγμῷ συνάγοντες, ἢ βρέφη προσφωνοῦμεν φιλίως κολακικώτερον φωνῇ ἀνάρθρῳ, ἢ πωλάρια, ἢ ἄλλο τι μὴ ἔχον ἐπαΐειν ἐνάρθρου λαλιᾶς· καὶ ἔστι τοῦθ' ὅμοιον ὡς εἰ καὶ καθὰ κόκκυ κοκκύζω, οὕτως ἦν καὶ πόππυ, ἐξ οὗ τὸ ποππύζω, ἢ γρῦ γρύζω, καὶ μῦ μύζω· ποππύσμασι δὲ εἰκάζει δεξιῶς ἅμα καὶ ἀστείως τὰς τῶν ἐθνῶν λέσχας, ὅ ἀ τὸ ἐν λόγοις μόνοις ἡδὺ καὶ οἷον φιληματικῶς ἐπαγωγὴν τῶν ἐξωτερικῶν φράσεων. Καρπὸν γὰρ ἐκεῖναι ψυχοτρόφον μὴ φέρουσαι, τὸ ἐφολκὸν εἶχον ἄλλως μυθικοῖς πλάσμασι καί τισι τοιούτοις λήροις, οἷς οἱ χυδαῖοι χαίρουσιν ὡσεὶ καὶ ζῶα ποππυζόμενα.

157. Voces autem ἡ ἀπηνὴς, et ὁ ἀπηνὴς, et τὸ ἀπηνές, non solum quod opponitur mansuetudini significant, quatenus hac significatione tyrannos dicimus ἀπηνεῖς, sed etiam apud antiquos exprimunt quod indignum est tanquam a laude sive gloria (αἴνου et ἐπαίνου) longinquum. Quod enim honorabile non est, laudare non possumus : ἀπηνὴς igitur erat ethnicorum λέσχη sive confabulatio, secundum utramque significationem. Jam πόππυσμα qualis est vox? Onomatopœia sane. Etymologiam enim non habet, sed effectu noscitur audientibus cum labia stringentes, amice blanduleque inarticulata voce compellamus infantes aut pullos, aut aliud quid locutionem articulatam attendere non valens. Hoc vero non secus est ac si juxta κόκκυ κοκκύζω, sic haberetur πόππυ, unde ποππύζω, vel γρῦ γρύζω et μῦ μύζω. Sibilationibus autem blandulis vere, et urbane confabulationes ethnicorum assimilat, eo quod in solis verbis constat quod exterarum locutionum dulce quodamque modo amanter attractivum est. Fructum enim animæ nutritium istæ non ferentes, illecebras aliter habebant ex fabulosis adinventionibus quibusdamque talibus nugis, quibus vulgus, tanquam animalia sibilis illecta, gaudet.

ρνη'. Τὸ δὲ ὠκιστα, οἰκειότατον ἐνεργείᾳ Πνεύματος, ἀχρόνως τὰ οἰκεῖα ἐνεργοῦντος, ἐπίτασις ὂν τάχους, ὥσπερ ὠκὺ ὠκιστα. Τὸ δὲ δεικνὺς ὡς μὲν πρὸς τὴν φορὰν τοῦ Πνεύματος, δεικνὺν ὤφελεν εἶναι· προενεχθὲν δὲ σὺν τῷ πυρπνόως ἀρσενικῶς ἀττικίζεται πρὸς ὑγίειαν ἐννοίας· Θεὸς γὰρ ἀληθῶς καὶ τὸ ἅγιον Πνεῦμα· διὸ καὶ τὸ δεικνὺς ἁρμόττει αὐτῷ· τὸ δὲ πυρπνόως· παράφρασις γοργοτάτη ἐστὶ τοῦ πνοῦ βιαίᾳ καὶ πυρὸς γλωττήμασιν· ὁποῖόν τι καὶ ἡ πυρίπνοος πνευματικὴ δρόσος, καὶ ὅσα τοιαῦτα. Ἰστέον δὲ ὅτι τὸ πυρπνόως εἰ μεγεθύνει τὴν λήγουσαν ἐπιῤῥηματικῶς, συντακτέον ἔσται τῷ δεικνύς· οὕτω γὰρ ἤγουν πυρπνόως, καθὰ ἐῤῥέθη, δέδεικται τὰ τοῦ ἁγίου Πνεύματος ἐν τῇ νῦν ἑορτῇ αὐτοῦ.

158. Hoc autem : ὠκιστα, maxime proprium efficaciæ Spiritus, qui sua sine tempore operatur, superlativum est τοῦ τάχους, quemadmodum ὠκὺ, ὠκιστα. Δεικνὺς vero, tanquam ad Πνεῦμα relatio, debebat esse δεικνύν; sed verbum hoc prolatum cum πυρπνόως, genus masculinum attice juxta cogitationis valetudinem sequitur. Deus enim vere quoque Spiritus sanctus est, ideoque cum ipso consentit δεικνύς. Vox autem πυρπνόως vivida paraphrasis est illius : πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττήμασιν; qualiter ἡ πυρίπνοος πνευματικὴ δρόσος, et his similia. Sciendum autem quod si τὸ πυρπνόως adverbialiter finalem auget, construendum erit cum τῷ δεικνύς. Sic enim, sive πυρπνόως, ut dictum est, ea quæ sunt sancti Spiritus in hac ipsius præsenti festivitate manifestata sunt.

Hirmus odæ septimæ.

Concors clamavit instrumentorum cantus,
Adorare auream inanimam imaginem.
Paracleti autem lucifera gratia
Dignos facit ut clament, O Trinitas sola,
Æquipotens, sine principio, benedicta es.

159. Historiæ veteris appositione populum hunc vetustissimum non sapientem melodus opponit festiviter agentibus nunc in Sion, qui sancti Spiritus hodiernum descensum in apostolos celebrant : abjudicat quidem a parte landatoria turbas illas ; ibi vero sistit eos qui, opportuna dictione, spirituales sunt. Habet autem sacer vates historiam ex adulatrice statuæ Nabuchodonosor elevatione impiorumque ipsius adoratorum agendi ratione. Dicit quod symphoniaca de Nabuchodonosor melodia sonitusque multiformium illorum instrumentorum, quorum pleraque nota non erant Hellenorum genti, signum dabant, ut adoraretur aurea statua, sive inanimum idolum : sed hoc quidem tum erat, cum idololatria publice colebatur. Num autem cum ille qui vere Dominus est et Deus deorum agnoscitur, paracliti sancti Spiritus gratia non aperte noscitur in sonitu clangoris, fistulæ, citharæ, sambucæ, psalterii, aliorumque similium ; sed sonus extraordinarius vehementis flatus et resonantis ignis, quo perculsi sunt hic occurrentes congregati, neminem quidem turbavit, sed σεβασμιάζει sive σεβασμίως (veneranter et pie) movet, augustamque venerationem spiritualem inspirat, et auguste resonat ob concordiam personantis flatus deorsum cum cœlestibus melodiis, docens, non ad istam veterem similitudinem, inanimo sicque insensibili sono respondere, sed liducialiter voce clara dicere ad illum qui prodigia profert, Deum, qui in Trinitate subsistit : O Trinitas, æqua potestate sineque principio constans ; sola sane tu juxta veritatem es benedicenda ; ideoque te solam nos qui tui sumus, benedicimus, tanquam nullum alium Deum præter te solum agnoscentes. Ita verbum σεβασμιάζει antithetum est ad verbum ἐθροήσε, præsertim autem ad dictum σέβειν τὸ βρετας ; cumque fortassis est licitum ad occasionem necessariam rhetoribus novas invenire dictiones, hoc etiam ibi fecit melodus, ex verbo σέβειν derivans σεβασμιάζειν.

160. Vide autem ut solerter sacer ille poeta, dictam Chaldaicam historiam septimi carminis nexui adaptatam, velut aliquid additicium adducens, parallelamque ponens cum his quæ ad celebratum Spiritum sanctum attinent, dexteritatem suam multam manifestavit. Symphoniacæ quippe melodiæ eorum quæ sensus afficiunt instrumentorum, præsentem spiritualem symphoniam opposuit : non enim habetur ibi linguarum confusio, sed unio, et ut ita dicam, consensus. Illorum autem inspirationi ac motui, (quædam enim in eis erant inspirata), spiritalem inspirationem in apostolos ex

A

Ὠδῆς ἑβδόμης εἱρμός.

XVII. Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος
Σέβειν τὸ χροσότευκτον ἄψυχον βρέτας,
Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις
Σεβασμιάζει τοῦ βοᾷν · Τριὰς μόνη,
Ἰσοσθενὴς, ἄναρχε, εὐλογητὸς εἶ.

ρνθ'. Ἱστορίαν παλαιὰν παραθέσει λαὸν ἐκεῖνον οὐκ ἔμφρονα παλαίτατον ὁ μελῳδὸς τοῖς νῦν ἐν τῇ Σιὼν ἑορτασταῖς ἀντιθείς, οἳ καὶ τὴν σήμερον τοῦ ἁγίου Πνεύματος ἔκχυσιν ἐπὶ τοὺς ἀποστόλους πανηγυρίζουσιν · ἀποκρίνει μὲν τῆς ἐπαινετῆς μοίρας τοὺς ὄχλους ἐκείνους, ἐγκαθιστᾷ δὲ αὐτῇ τοὺς, καιρίως εἰπεῖν, πνευματικούς. Ἔστι δὲ ἡ ἱστορία τῷ ἱερῳδῷ ἐκ τῆς κατὰ τὸν Ναβουχοδονόσορ ἀλαζονικῆς B εἰκονοστασίας, καὶ τῶν ἐπιτριπτων τότε προσκυνητῶν ἐκείνης · καὶ λέγει ὅτι τὸ σύμφωνον ἐπὶ Νεβουχοδονόσορ μέλος καὶ ὁ κατ' ἐκεῖνο θροῦς τῶν πολυειδῶν ἐκείνων ὀργάνων, ὧν τὰ πολλὰ οὐδὲ γνωστὰ τῇ καθ' Ἕλληνας γενεᾷ, συνθηματίζων ἦν, σέβειν τὸ χρυσότευκτον βρέτας, ἤγουν εἴδωλον τὸ ἄψυχον. Ἀλλὰ τοῦτο μὲν τότε ὅτε τὰ τῆς εἰδωλολατρείας ἐπαῤῥησιάζετο · νῦν δὲ τοῦ ὄντος Κυρίου τοῦ τῶν θεῶν Θεοῦ ἐπεγνωσμένου, ἡ χάρις τοῦ παρακλήτου ἁγίου Πνεύματος ἐμφανῶς ἐγνωσμένη οὐκ ἐν τῷ θορυβεῖν σάλπιγγας, καὶ τύμπανα, καὶ ψαλτήρια, καὶ θαμβούρια, καὶ σαμβύκας, καὶ εἴ τι τοιοῦτον · ἀλλὰ κατηχεῖσθαι παραδόξως πνοῇ βιαίᾳ καὶ βρέμοντι πυρὶ τοὺς παρευρημένους καὶ συλλεγῆναι λαχόντας, ἐθρόησε μὲν οὐδένα, σεβασμιάζει δὲ ἤτοι C σεβασμίως καὶ σεπτῶς ὑποκινεῖ καὶ σέβασμα ἐνθεάζει σεμνῶς πνευματικὸν καὶ κατηχεῖ σεπτῶς ἕνεκα τοῦ ἀντιδοᾶν κάτωθεν ταῖς ἄνωθεν κατηχουμένῃ πνοῇ, οὐ πρὸς ὁμοιότητα ἐκείνην παλαιὰν ἀψύχῳ καὶ οὕτως ἀναισθήτῳ βοῇ ἀντιφθέγγεσθαι, ἀλλὰ θαρσαλέως λέγειν διατόρῳ βοῇ πρὸς τὸν ἄρτι σημειοφοροῦντα Θεὸν, τὸν ἐν Τριάδι τὸ Ὦ Τριὰς ἰσοσθενὴς ἄναρχος · μόνη σὺ εὐλογητὸς εἶ πρὸς ἀλήθειαν. Διὸ καὶ μόνην σὲ ἡμεῖς οἱ σοὶ εὐλογοῦμεν, ὡς μὴ εἰδότες Θεὸν ἄλλον ὅτι μὴ σὲ καὶ μόνον · ὥστε τὸ σεβασμιάζει ἀντίθετόν ἐστι πρὸς τὸ ἐθρόησε, μάλιστα δὲ πρὸς τὸ σέβειν τὸ βρέτας · καὶ ἴσως ἐξὸν ὂν τοῖς ῥήτορσιν ἔστιν οὗ κατ' ἀνάγκην τινὰ καινουργεῖν λέξεις · ἐποίησε τοῦτο καὶ ὁ μελῳδὸς νῦν, παραποιήσας ἐκ τοῦ σέβειν τὸ σεβασμιάζειν. D

ρξ'. Ὅρα δὲ ὡς δεξιῶς ὁ ἱερὸς οὗτος ποιητὴς τὴν εἰρημένην Χαλδαϊκὴν ἱστορίαν παρεισοδιάσας ἁρμόττουσαν εἱρμῷ ἑβδόμης ᾠδῆς, καὶ παράλληλον αὐτὴν θεὶς τοῖς κατὰ τὸ ἑορταζόμενον ἅγιον Πνεῦμα, δεξιότητα πολλὴν οἰκείαν ἐξέφηνε· τῷ μὲν γὰρ συμφώνῳ μέλει τῶν πρὸς αἴσθησιν ὀργάνων ἐκείνων, τὴν ἄρτι πνευματικὴν συμφωνίαν ἀντιπαρέθετο. Οὐ γὰρ γλωσσῶν ἐνταῦθα σύγχυσις, ἀλλὰ ἕνωσις, καὶ ὡς οὕτως εἰπεῖν συμφρόνησις · τῇ δὲ κατ' ἐκεῖνα ἐμπνοίᾳ καὶ κινήσει, ἐμπνευστὰ γάρ τινα πάντως ἦσαν ἐν αὐτοῖς, τὴν πνευματικὴν ἐπίπνοιαν εἰς τοὺς ἀποστόλους ἀντιτίθεικεν · ὄργανα Θεοῦ αὐτοὺς

δντας τὰ ἐκείνου μέλποντα· τοῖς δὲ τότε λαοῖς, καὶ φυλαῖς, καὶ γλώσσαις, τὰ ἐν τῇ νῦν ἑορτῇ ὅμοια· τῇ δὲ βοῇ ἐκείνῃ πρὸς βίαν πληττούσῃ τὸν ἀέρα, τὴν ἐνταῦθα βιαίαν πνοήν· τῷ δὲ ἐκεῖ σεβασμῷ τοῦ ἀξίου κακολογεῖσθαι ἀψύχου εἰδώλου, καὶ τῇ προσκυνήσει, τὴν τοῦ ἀληθινοῦ Θεοῦ τοῦ ἀεὶ ζῶντος ζωοπαρόχου ἐπίγνωσιν καὶ προσκύνησιν· συννοητέον δὲ καὶ ὡς πυρὶ ἐκείνῳ Χαλδαϊκῷ φυλάσσοντι μὲν τοὺς τὴν ἁγίαν Τριάδα τυποῦντας μακαρίους τρεῖς παῖδας τὴν ἐν μιᾷ θεότητι πάντως, ἣν συμβολικῶς ἐδήλου ὁ εἷς ὁ συγκαταβάς· ἐπὶ σωτηρίᾳ ἐκείνοις, πῦρ τὸ ἐνταῦθα παρέθετο, σῶζον μὲν σὺν τῷ καὶ πυρίνων εἴδει γλωσσῶν σοφίζειν τοὺς τῆς ἁγίας Τριάδος ἐπιγνώμονας· οὐκ ἂν δὲ μὴ καταναλίσκον ἀῤῥήτῳ συνειδήσεως τρόπῳ καὶ λόγῳ τοὺς μὴ τοιούτους. καθὰ καὶ προείρηται· καὶ τοιαύτη μὲν ἡ τοῦ σοφοῦ Ἱερυφάλτου ἐνταῦθα δεξιότης ἐς ὅσον ἡμᾶς ἐνοπτρίσασθαι. Ἐν δὲ τῷ εἰρμῷ τὸ μὲν σύμφωνον μέλος, καιρίως λέλεκται, καὶ οὐκ ἔστι φράσαι κάλλιον· ἔνθα ὅρα λέξιν ἀγαθὴν καὶ σύμφωνον, καὶ οὕτως ἐναρμόνιον, φυλοπραξίᾳ προσαρμόσασαν τῇ ἐκ θελήματος τυραννικοῦ· καὶ εἰσὶν ἀληθῶς καθὰ συνελεύσεις ἀπευκταῖαι καὶ φευκταῖαι, ὁποία καὶ ἡ τῶν πονηρευομένων συναγωγή, ὡς ψάλλει Δαβίδ, καὶ καθ' ἣν συνελθεῖν Ἀτταγᾶς Νουμηνίῳ πεπαροιμίασται, οὕτω καὶ συμφωνίαι δαιμονιώδεις· ὧν χειρίστη μὲν ἡ συγκράξασα τὸ, Ἆρον, ἆρον, σταύρωσον αὐτόν· ὑφειμένη δὲ ὡς πρὸς ἐκείνην, ἡ βασιλέα μὲν ἔχειν ἀπαρνησαμένη, ἐγκρίνασα δὲ Καίσαρα.

ρξα'. Τὸ δὲ ἐθρόησε τραχεῖα λέξις πρέπουσα ἐννοίᾳ ἐκφοβητικῇ· ἄλλως δέ γε ἀστεία, διότι οὐδὲν εἶχεν ἡδὺ τὸ μέλος ἐκεῖνο, ἀλλ' ἢ μόνον ἐθρόει καταφοβοῦν· ἐπιστῆσαι δὲ χρὴ ἐνταῦθα μήποτε οὐ τὸ σύμφωνον τῶν ὀργάνων μέλος τὸ μάλιστα θέλγον, ἐθρόησε τοὺς παρατετυχηκότας, ἀλλὰ τὸ κήρυγμα τοῦ βασιλικοῦ βουλήματος· ὃ κήρυγμα συνεπιλαβόμενον καὶ θροῆσαν, ὅ ἐστιν κλονῆσαν καθ' ἕτερον μελῳδὸν, πεποίηκε συνεξακούεσθαι τοῖς ὀργάνοις τὴν θρόησιν. Ἀληθῶς γὰρ οὐ τὸ μέλος ἐθρόει, ἀλλὰ τὸ κήρυγμα· ἴσως δὲ καὶ διὰ τὸ ὑπερπαίειν τὰ τύμπανα καὶ τὰ βάρβιτα καὶ τὰ κύμβαλα τῷ τραχυφώνῳ τὴν λεπτὴν ἐμμέλειαν, καὶ θορυβητικὰ μᾶλλον εἶναι ἢπερ θελκτήρια, ὡς ἐκ μέρους αὐτῶν καὶ τῶν κατ' αὐτὰ κατηγόρησε τὸ θροεῖν τῶν ὀλοργάνων· γίνεται δὲ τὸ θροεῖν ἐκ τοῦ θρόος θροῦς, ὃ δηλοῖ τὸν θόρυβον· δύναται δὲ θροεῖν εἶναι καὶ τὸ ἠχεῖν ἁπλῶς, καὶ τὸ λαλεῖν δὲ θροεῖν φασί τινες, οὐ μὴν πεζολογικῶς, ἀλλὰ ποιητικῶς τραγικώτερον. Ὄργανα δὲ ἰδίως νῦν τὰ μουσικὰ, οὐ κυριολεκτικῶς, ἀλλὰ κοινότερον δι' αὐτὴν ἐπ' αὐτοῖς ὄρεξιν τῶν ὡς ἐπὶ πολὺ ἀργοτέρων, μάλιστα δὲ τῶν ἐν πανηγύρεσιν· ἄλλως μέντοι ὄργανα, καὶ ἐργαλεῖα εἰς ἓν σημαίαν ἀποτελευτῶσι· τὰ μὲν παρὰ τὸ ἔργον ὠνομασμένα ὡς ἐργατικῶς ἀφωρισμένα προσώποις· τὰ δὲ παρὰ τὸ ὀρέγω τὸ κτείνω, εἰς ἃ χεῖρες ἐργατικαὶ ὀρέγονται ἤγουν ἐκτείνονται.

adverso statuit, qui sunt ipsi Dei instrumenta, ipsius laudes melode canentia. Istis autem olim populis et tribubus et linguis, quæ sunt in hac festivitate similia comparat; illi vero clamori violenter aera percutienti vehementem ibi flatum; illi venerationi digni cui maledicatur inanimi idoli atque adorationi, veri Dei semper viventis et vivificantis agnitionem et adorationem. Una vero cogitandum quod illi Chaldaïco igni, beatos illos servanti tres pueros, figurantes sanctam Trinitatem in una prorsus divinitate, quam symbolice figurabat hic unus qui descendit ad salvandos illos, ignis ibi contra positus est, servans quidem, sub ignearum forma linguarum reddendo sapientes sanctæ Trinitatis cognitores; nonne autem forte consumens ineffabili conscientiæ modo rationeque eos qui tales non sunt, ut jam dictum est? Talis quidem est ibi sapientis auctoris sacri solertia, quantum nos inspicere potuimus. In hoc autem nexu: σύμφωνον μέλος, opportune dictum est, nec erat locutio pulchrior: ubi vide dictionem bonam et symphoniacam, et ideo harmonicam pravo adaptatam operi quod e voluntate tyranni pendebat. Sunt etenim vere, sicut abominabilia detestandaque concilia, qualis erat, juxta psalleutem David, iniquorum synagoga, illaque qua Attagus cum Numenio congredi proverbium est, sic etiam dæmoniacæ symphoniæ, quarum pessima fuit quidem ea quæ conclamavit: Tolle, tolle, crucifige eum; et ea quæ, tanquam illi subjecta, non habere regem nisi Cæsarem, affirmabat.

161. Verbum autem ἐθρόησε dictio est aspera, terrificæ sententiæ conveniens; alias autem urbana, eo quod nihil habebat dulce talis melodia sed tantum personabat ad terrendum. Hic autem advertendum minime symphoniacam instrumentorum melodiam, valde mulcentem, obvios conturbavisse, sed regiæ voluntatis præconium: quod præconium, simul acceptum et θροῆσαν, id est, juxta melodum alterum, turbans (κλονῆσαν), exaudiri fecit cum instrumentis terroris sonum: vere namque non melodia, sed præconium conturbabat. Forsitan autem etiam, eo quod tympana, barbytus, et cymbala rauco sono lenem melodiam superabant, ideo magis turbare quam mulcere poterant, ita ut ex parte illorum et ipsis similium adversus omnia dixerit instrumenta verbum θροεῖν. Venit autem θροεῖν ex voce θρόος θροῦς, quod significat tumultum. Potest autem esse θροεῖν simpliciter ἠχεῖν, resonare, et etiam loqui dicunt aliqui θροεῖν, non quidem in prosa, sed in stylo poetico tragico. Ὄργανα vero speciatim hodie dicuntur instrumenta musica, non propria dictione, sed communi, ob appetitum ὄρεξιν in ea plerumque pigriorum maximeque cœtibus panegyricis assuctorum. Alias tamen organa et ἐργαλεῖα in unum quoad significationem desinunt: una quidem ob ἔργον dicta tanquam ἐργατικῶς sejuncta a speciebus; alia vero propter ὀρέγω tendo, in quæ manus operariæ tenduntur vel ὀρέγονται.

162. Quoad σέβας autem, cujus est derivatio σεβάζειν, unde venit ὁ σεβάσμιος et σεβασμιάζειν, in prima stropha primi carminis scriptum est. Auream vero statuam illam dicit ex illius parte, quod pretiosius est, ut ibi quoque quodammodo tyrannidem exerceat aurum, alias quidem materias statuæ absconditas, et illa vocatum. Alias enim diversis materiis erat idoli compositio, licet etiam aliunde gentium idola sint tantum argentum et aurum. Adjectivum autem ἄψυχον ad confusionem dictum adorantium hujusmodi simulacrum, cujus honor species augusta; non solum non habens spiritum in ore ejus, ut juxta David loquar, sed nec aliquid pium in animam suggerens.

A ρξβ'. Περὶ δὲ τοῦ σέβας οὗ παράγωγον τὸ σεβάζειν, ὅθεν ὁ σεβάσμιος, καὶ τὸ σεβασμιάζειν, ἐν τῷ πρώτῳ γέγραπται τροπαρίῳ τῆς πρώτης ᾠδῆς. Χρυσότευκτον δὲ εἰκόνα ἐκείνην λέγει ὡς ἀπὸ μέρους τοῦ τιμιωτέρου, ἵνα πως κάνταῦθα τυραννῇ ὁ χρυσὸς, τὰς μὲν ἄλλας ὕλας τοῦ ἀνδριάντος ἀποκρύψας ἐκφωνηθεὶς δὲ αὐτό· ἄλλως γὰρ διαφορόβυλος ἦν ἡ τοῦ εἰδώλου σύνθεσις· εἰ καὶ ἄλλως τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριόν εἰσι μόνον καὶ χρυσίον μόνον· τὸ δὲ ἄψυχον πρὸς ἐντροπὴν εἴρηται τῶν προσκυνούντων τοιοῦτον βρέτας, οὗ τὸ τίμιον φαντασία σεμνὴ, οὐ μόνον οὐκ ἔχον πνεῦμα ἐν τῷ στόματι αὐτοῦ, ἑαυϊτικῶς εἰπεῖν, ἀλλ' οὐδὲ συμβαλλόμενόν τι ἐς ψυχὴν θεοφιλῶς.

163. Vox βρέτας venit quidem a voce : βροτὸς homo, significatque mortale sive humanum simulacrum ἀνδριάντα scilicet ; duas autem habet terminationes, unam in α; ut γῆρας, et ὕδας aqua, et οὖδας; pavimentum ; et aliam in ος, secundum prædicta : Sicut enim dicimus γῆρος, ex quo venit γηροτροφεῖν, et apud Sophoclem γηροβοσκὸς, atque etiam ὖδος, cujus dativus est ὕδεῖ et ὕδει tanquam τείχεῖ τείχει ; similiter quoque ἔδος, ἔδεος ἔδους, ἔδεῖ ἔδει; sic etiam βρέτος, ex quo pluraliter deorum βρέτη idola dicuntur. Poetica vox est βρέτας; etiam pedestribus rhetoribus. Ideo dulcis comicus disyllabam hanc dictionem alicubi deridens, βρετέτας; in tribus syllabis dixit. Si vero βρέτας; comice ridetur, quid ergo patietur κεράμβηλον? Similis quidem significationis et ipsum, ausum autem sic dici juxta κέρας et præpositionem ἀνὰ, et τὸν βηλὸν, quod est cœli limen, ut sit κεράμβηλον, cujus κέρας sive potentia, pervenit ad ipsum cœlum. Ut breviter autem hæc resumam, veteribus polyonomiæ sunt ista ἡ εἰκὼν, et τὸ εἴδωλον, et τὸ δείκηλον, et τὸ βρέτας, et τὸ κεράμβηλον. Ex his autem κεράμβηλον quidem expulsum est et jacet abjectum ; βρέτας autem et δείκηλον aliquando circumferuntur juxta metri necessitatem. Cæterorum vero duorum ἡ quidem εἰκὼν in honorem speciatim venit in hoc : «Ad imaginem Dei,» et similibus ; idolum vero gentibus a dæmonibus ductis ablegatum est : «Idola namque gentium, ait, argentum et aurum.»

B ρξγ'. Τὸ δὲ βρέτας γίνεται μὲν ἀπὸ τοῦ βροτὸς ὁ ἄνθρωπος, καὶ δηλοῖ βρότειον εἴδωλον ἤγουν ἀνθρώπινον, ἀνδριάντα δηλαδή. Ἔχει δὲ καταλήξεις καὶ αὐτὸ δύο, τὴν εἰς α;, ὡς γῆρας, καὶ ὕδας τὸ ὕδωρ, καὶ οὖδας τὸ ἔδαφος· καὶ τὴν εἰς ος, καθὰ καὶ τὰ ῥηθέντα. Ὡς γὰρ γῆρος λέγομεν ἐξ οὗ τὸ γηροτροφεῖν, καὶ παρὰ Σοφοκλεῖ ὁ γηροβοσκὸς, ἔτι δὲ καὶ ὖδος, οὗ δοτικὴ τῷ ὕδεῖ καὶ ὕδει, ὡς τείχεῖ τείχει· ὁμοίως καὶ ἔδος, ἔδεος ἔδους, ἔδεῖ ἔδει, οὕτως καὶ βρέτος, ἐξ οὗ πληθυντικῶς θεῶν βρέτη τὰ εἴδωλα. Ποιητικὴ δὲ λέξις τὸ βρέτας, καὶ πεζολόγοις ῥήτορσι· διὸ καὶ ὁ γλυκὺς κωμικὸς καταμωκώμενός που τῆς δισυλλάβου ταύτης λέξεως, βρετέτας ἔφη ἐν τρισὶν λέξεσιν. Εἰ δὲ τὸ βρέτας κεκωμῴδηται, τί ἄρα πείσεται τὸ κεράμβηλον; ὁμοίας μὲν ὂν καὶ αὐτὸ σημασίας,

164. Gratiam paracliti sancti Spiritus dicit hodiernam gratiosam dispensationem ac viam, juxta quam in hymnis benedicitur sancta Trinitas. Vide vero quod prorsus verbis fulgidus cum sit melodus, φωσφόρον (fulgidam) hic etiam ait prædictam Spiritus gratiam, propter ignem festivum. Βοᾷν autem a rectitudine metri non excessisset melodus aiens λέγειν vel λαλεῖν, sed prætulit augustius. Hæc enim ob sonum τοῦ λάμβδα leniora dulcioraque sunt : sed verbi βοᾷν emphasis dignitatem subjecto convenientem infert. Cæterum autem, sicut verbo τῷ σέβειν de Nabuchodonosor statua dicto, inseruit spiritualiter τὸ σεβασμιάζειν ; sic illa melodia, sonitu turbante, convenientius erga nos dictum

C τολμηθὲν δὲ οὕτω λεχθῆναι παρὰ τὸ κέρας καὶ τὴν ἀνὰ πρόθεσιν καὶ τὸν βηλὸν, ὅ ἐστι τὴν βάσιν τοῦ οὐρανοῦ, ἵνα ᾖ κεράμβηλον, οὗ τὸ κέρας ἤγουν ἡ δύναμις ἀνήκει ἐς αὐτὸν οὐρανόν. Συναλείψαι δὲ τὰ τοιαῦτα ἐν στενῷ, ταυτὰ πολυωνυμίας, λόγῳ ἐπὶ τοῖς παλαιοῖς, ἡ εἰκὼν, καὶ τὸ εἴδωλον, καὶ τὸ δείκηλον, καὶ τὸ βρέτας, καὶ τὸ κεράμβηλον· Τούτων δὲ τὸ μὲν κεράμβηλον ἐκκέκρουσται καὶ κεῖται ἀπορριφέν· τὸ δὲ βρέτας, καὶ τὸ δείκηλον περιφέρονταί ποτε διὰ χρείας μέτρου· τῶν δ' ἐπιλοίπων δύο ἡ μὲν εἰκὼν ὑπερτετίμηται ἐν τῷ κατ' εἰκόνα Θεοῦ καὶ τοῖς ὁμοίοις. Τὸ δὲ εἴδωλον τοῖς δαιμονοφορήτοις ἔθνεσιν ἀπονενέμηνται· τὰ γὰρ εἰδωλά φησι τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον.

D ρξδ'. Χάριν δὲ τοῦ παρακλήτου ἁγίου Πνεύματος λέγει τὴν σήμερον χαροποιὸν οἰκονομίαν καὶ μέθεδον, καθ' ἣν ὑμνολογικῶς εὐλογεῖται ἡ ἁγία Τριάς. Ὅρα δὲ ὅτι πάνυ φωτολόγος ὢν ὁ μελῳδὸς, φωσφόρον κἀνταῦθα τὴν εἰρημένην τοῦ Πνεύματος χάριν φησὶ, διὰ τὸ ἑορταστικὸν πῦρ. Τὸ δὲ βοᾷν οὐκ ἂν ἐσφάλη τῆς κατὰ μέτρον ὀρθότητος ὁ μελῳδὸς λέγειν εἰπών, ἢ λαλεῖν, προέκρινε δὲ τὸ σεμνότερον· λειότερα μὲν γὰρ ἐκεῖνα διὰ τὸν τοῦ λάμβδα ἦχον, καὶ γλυκύτερα. Ὁ δὲ τοῦ βοᾷν στομφασμὸς σεμνότητα ποιεῖ τῇ νῦν προθέσει πρέπουσαν· ἄλλως δὲ ὥσπερ τῷ σέβειν ῥηθέντι ἐπὶ τῆς τοῦ Ναβουχοδονόσορ εἰκόνος, ἐντέθεικε τὸ σεβασμιάζειν πνευματικῶς, οὕτω τοῦ μέλους ἐκείνου ὀροῦντος, ἐφ' ἡμῶν εἴρηται σεμνότε-

ρον τὸ βοᾷν· ὡς χρεὼν ὂν οὕτως ᾄδειν τῷ Θεῷ, κατὰ τὸ, ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπε.

ρξε'. Τὸ δὲ Ἰσοσθενὴς καὶ ἄναρχος κλητικῶς νοούμενον, Ἀττικὸς ἂν εἴποι ἀνὴρ ἀντὶ τοῦ Ὦ Ἰσοσθενὲς καὶ ἄναρχε· Ἀθηναῖοι γὰρ ταυτίζουσι τὴν ὀρθὴν καὶ τὴν κλητικήν, τὰ εἰς ἐκφώνησιν· καὶ ἡ εὐλογητὸς δὲ Τριὰς, τῆς αὐτῆς διαλέκτου ἐστὶ, καθὰ καὶ τὸ ἡ γενναῖος, καὶ τὰ τοιαῦτα· τὸ γὰρ κοινὸν ἡ εὐλογητή. Οὕτω δὲ καὶ τὸ κατάρχον ἐν ἱεραῖς ἀκολουθίαις τρισάγιον κατὰ κλητικὴν ἔννοιαν ἐκφωνεῖται καὶ ἀληθῶς παρακλητικήν, εἰ καὶ ἄλλως κατ' εὐθείαν πτῶσιν ἐκπεφώνηται. Δηλοῖ δὲ ὅτι ὥσπερ ἡ δύναμις καὶ τὰ κατ' αὐτὴν, ἔτι δὲ καὶ ἰσχὺς καὶ τὸ κράτος, οὕτως καὶ τὸ σθένος ᾠκείωται τῷ Θεῷ· διὸ καὶ Ἰσοσθενῆ τὴν ἁγίαν ἔφη Τριάδα· δυνατὸς γὰρ ὁ Θεὸς, καὶ δυνάστης, καὶ ἰσχυρὸς, καὶ κραταιὸς, καὶ σθεναρὸς, καὶ πάντα τοιαῦτα, καθ' ὑπέρθεσιν ἀνυπέρβλητον· τῆς κατὰ τὴν ἑβδόμην δὲ ᾠδὴν χοροποιΐας ἴδιον τὸ εὐλογητὸς εἶ. Διὸ τετράκις αὐτῷ ἐσφράγισεν ὁ μελῳδὸς ἐνταῦθα τὰ τέσσαρα μέλη αὐτοῦ, τὸν εἱρμὸν καὶ τὰ τρία τροπάρια, ἐπῳδοῦ δίκην ἐπαγαγὼν αὐτὸ δὶς μὲν Ἀττικῶς, δὶς δὲ κοινότερον.

Τροπάριον πρῶτον τῆς ἑβδόμης ᾠδῆς.

XVIII. Φωνὴν προφητόφθεγκτον ἠγνοηκότες,
Ἔφασκον οἰνότευκτον ἄφρονες μέθην,
Ῥήσεις ξενηκούσθησαν ὡς ἀποστόλων·
Οἱ εὐσεβεῖς δὲ σοὶ βοῶμεν ἐνθέως,
Νεουργὲ τοῦ σύμπαντος, εὐλογητὸς εἶ.

ρξς'. Τοὺς περιτετυχηκότας τῇ τοῦ ἁγιωτάτου Πνεύματος ἐνδημίᾳ τότε λαοὺς, καὶ μὴ ἐπιπνοίᾳ τοῦ Θεοῦ τῶν γνώσεων, ἐπιγνόντας τὴν ἐκείνου θειοτάτην δύναμιν, μηδὲ ἐμβαθύναντας διορατικῶς ὅπως χορηγοῦντος τοῦ Θεοῦ διαφόροις γλώσσαις τὰ ἐκείνου ἐλάλουν οἱ ἀπόστολοι ἐναρμονίως ἐν διαφορᾷ κρουμάτων, ἅπερ ἐνήργει ἐν ταῖς ἐκείνων γλώσσαις τὸ ἅγιον Πνεῦμα ὡς οἷα καὶ πλῆκτρον δεξιόν. Τοὺς τοίνυν τοιούτους λαοὺς παραδειγματίζων ὁ μελῳδὸς ὡς μὴ ἀποδεχόμενος ἐκείνους, ἄφρονάς τε ἀποκαλεῖ ὡς ἀλογίᾳ κατόχους, καὶ συνθέναι μὴ ἔχοντας οἷα καὶ ὅσα δύναται ὁ Θεὸς, καὶ ὁποῖα λαλεῖ ἐκεῖνος καὶ ποιεῖ διὰ τῶν θεραπόντων αὐτοῦ· καὶ μέμφεται ὅτι ἔλεγεν εἶναι μεθύειν τοὺς ἀποστόλους, ἐπὰν ῥήσεις ἐκείνων ξέναι, ὅ ἐστι ξενίζουσαι, καὶ ξένως ἤτοι παραδόξως ἀπηχούμεναι διὰ τὸ ἑτερόγλωσσον καὶ οὕτως ἀλλόγνωτον, ἠκούσθησαν· Ἐποίουν δὲ, ἢ μᾶλλον ἔπασχον τὴν ἀφροσύνην ταύτην οἱ εἰρημένοι, ὡς ἠγνοηκότες τὴν προδηλωθεῖσαν τοῦ προφήτου Ἰωὴλ φωνήν· καὶ ὡς ἡ ξενίζουσα τῶν γλωσσῶν ἐκείνη ἐναλλαγὴ τὴν τῆς Ἑλληνικῆς θρησκείας ὑπεδήλου ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν, οὐκέτι ἀπὸ Θρᾳκῶν εἶναι ῥητῆσομένην, ἀλλ' ἐκ τοῦ Σωτῆρος Χριστοῦ, ὃν σεβόμεθα οἱ χριστιανοί· ὃς καὶ πρὸ τῶν ἁγίων παθῶν αὐτοῦ ὑπέφηνε τῇ ξένῃ μεταμορφώσει τὸ αὐτὸ μυστήριον· ἀλλοίωσιν δηλῶν τὴν ἐν τῷ παντὶ, καὶ σκότους μὲν παγκοσμίου, τοῦ κατὰ τὴν πλάνην, ἀπέλασιν· φωτὸς δὲ ὀρθοδοξίας ἔκλαμψιν· ἀλλ' οὕτω μέν φησιν ἄφρονες ἐκεῖνοι, μή που δὲ καὶ εἰς τὸ πᾶν ἀσεβεῖς. Ἡμεῖς δὲ οἱ ἀντιδιῃρημένοι

est τὸ βοᾷν; quasi necesse sit ita canere Deo, juxta istud; Clamavit voce magna, et dixit.

165. Voces autem Ἰσοσθενὴς et ἄναρχος vocative sumptas, atticus homo sic diceret pro: Ὦ Ἰσοσθενὲς et ἄναρχε: Athenienses enim nominativum et vocativum in pronuntiatu similiter habent. Εὐλογητὸς autem Trinitas ejusdem est dialecti; sicut et ἡ γενναῖος et similia: communiter enim dicitur ἡ εὐλογητή. Sic autem etiam in capite sacrarum litaniarum τρισάγιον juxta vocativum sensum et vere deprecatorium pronuntiatur; licet alias pronuntiari consuevit juxta rectum casum. Patet autem quod quemadmodum potentia ipsiusque consectaria, necnon virtus et imperium, sic etiam σθένος robur appropriatur Deo: ideoque sanctam Trinitatem ait Ἰσοσθενῆ. Patens enim est Deus, et dynastes, et fortis et robustus, et validus, cæteraque similia, in supremo gradu. Chorici vero cantus proprium est in septimo carmine istud: εὐλογητὸς εἶ: ideo quater obsignavit ipso melodus hic quatuor melodias suas, nexum et tres strophas, epodi more producens illud, bis quidem attice, bis autem communiter.

Troparium primum odæ septimæ.

Vocem a propheta dictam qui ignorarunt,
Dicebant stulti, factam a vino ebrietatem.
Loquelæ peregrinæ auditæ sunt, ut apostolorum.
Pii autem tibi clamamus divinitus
Novifice universi, benedictus es.

166. Populos tunc forte præsentes ad sanctissimi Spiritus incolatum, nec, Dei scientiarum inspiratione, divinisssimam ejus potentiam agnoscentes, neque perspicaciter intuentes quomodo Deo duce, variis linguis ipsius verba loquerentur apostoli concinne in diversitate sonorum, quos in ipsorum linguis Spiritus sanctus velut dexterum plectrum producebat; hos igitur ejusmodi populos stigmate notans melodus tanquam non approbans illos, insipientes vocat tanquam amentia correptos nec intelligere valentes quæ qualiaque possit Deus, et qualia loquatur et agat ille per suos servos; et vituperat quod dicerent ebrios esse vino apostolos, postquam ipsorum verba extranea, id est, mire prolata, ξένως aut extraordinarie sonantia, propter loquendi facultatem alienis et sic incognitis linguis, audita sunt. Agebant seu potius patiebantur hujusmodi stultitiam prædicti, nescientes ante manifestatam Joelis prophetæ vocem; nec advertentes quod novitate percellens ista linguarum commutatio græcæ religionis (θρησκείας) mutationem in melius indicaret, non jam a Thracis venire dicendam, sed a Salvatore Christo, quem veneramur Christiani, quique ante sacram ipsius passionem extranea transformatione idem mysterium subindicavit: mutationem significans in omnibus, et quidem tenebrarum mundi, quæ spectant ad errores, expulsionem, luminis autem orthodoxæ fidei refulgentiam. Attamen, si veluti melodus ait, taliter erant imprudentes isti, non erant in omnibus impii. Nos

autem qui cum illis ex adverso positi sumus ut prudentes et pii, tibi non simpliciter, sed divino motu clamamus : Benedictus es, o restaurator universorum, sive mundi renovator. Convenientissime enim illum qui spiritum rectum ad utilitatem mundi in visceribus apostolorum innovavit, vel, ut aliter dicam, mundum iniquitatibus antiquatum, renovavit, universi dicit renovatorem : cum enim æquum est καινὸν et νέον dicere, esset ὁ ἐγκαινιστὴς, et ὁ ἀναχαινίσας, quidam καινουργὸς et ideo νεουργός.

167. Et ista quidem non superflue ponantur pro simplicioribus. Hujus autem prædictæ melodiæ artifex forsitan urbane etiam hic, quodam modo, posset hoc audire de se. At est antiquus melodus, qui, velut aliquis diceret, sibi complacet in pulchris, dictiones quidem simplices et ita neglectas, ad terram deponit et ad se non omnino sumit ; compositas autem alias eligens, et ornans et multum amans. Etenim in præcedentibus cum dixerit χρυσότευκτον simulacrum, auditoremque ferme non intellexerit gravatum, triplicat quod sibi charum est, hic φωνὴν προφητόφθεγκτον aiens vocem Joelis, et ebrietatem οἰνότευκτον, et sermones ξενηκούσθησαν, quod quidem superius interpretatum est. Et aliquis urbane diceret quemdam avarum in cogitationibus esse melodum illum, magisque gaudere compositis tanquam de negotiis multum afferentibus lucrum. Istis enim majus est lucrum quam expeditis, et dictio per compositionem aggerata, tanquam pinguior non composita divitiorque, amanti talia, judicatur. Verbum autem *ignorantes*, indicat quidem populos istos fuisse propheticorum verborum ignaros ; significat autem alias forsan et alteram ignorantiam, illam quæ venerat ex oblivione, vel ex attentionis defectu ad Joelis verba : præteriti namque temporis usus subindicat jampridem illos ignaros fuisse : ideoque vere imprudentes erant illi qui tunc animum dissipabant, ubi dissipatum colligere decebat.

168. Ebrietatem ex vino provenientem ad distinctionem alterius dixit ; siquidem animo quidam ebrius est tunc cum etiam insanire dicitur, et qui patitur amoris furorem, sic ebrius est. Evidens autem est quod qui magna perpetravit, ebrius est gaudio, secundum istud : Talis factorum magnitudine est ebrius. Si quis autem fervens autumnus gravem somnum dormienti suggesserit, ipso tanquam ebrium illum facit ; experientia multi noverunt. Quod autem hordearea præparatio vinum simulans, quosdam ex vulgo afficit ebrietate, nullus ignorat ; et hoc etiam usu receperunt illi, saltem in hoc semibarbari vocare οὐλοβίνας : οὐλὰς quidem intelligere poetice dantes hordea ; βίνουμ vero, latine *vinum*. Unde quoque *διβινον* Latini dicunt aliquem lapillum, tanquam vino coloratum. Scribit etiam Parabates heroicos quosdam versus ad hujus vini laudem. Vide autem ut proverbialem sapientiæ calicem, quem ipsa miscebat vere pru-

ἐκείνοις ὡς ἔμφρονες καὶ εὐσεβεῖς, βοῶμέν σοι οὐχ ἁπλῶς, ἀλλὰ ἐνθέως τὸ Εὐλογητὸς εἶ, ὦ νεουργὲ τοῦ σύμπαντος, ἤγουν τοῦ κόσμου. Πάνυ γὰρ προσφυῶς τὸν ἐγκαινίσαντα τοῖς ἀποστολικοῖς ἐγκάτοις εὐθὺς πνεῦμα ἐπ' ὠφελείᾳ τοῦ κόσμου, καὶ ἄλλως δὲ φάναι πεπαλαιωμένον ἀνομίαις· τὸν κόσμον ἀνακαινίσαντα νεουργὸν ἔφη τοῦ σύμπαντος. Ἐπεὶ γὰρ ἴσον καινὸν καὶ νέον εἰπεῖν, εἴη ἂν ὁ ἐγκαινιστὴς, καὶ ὁ ἀνακαινίσας καινουργός τις καὶ δι' αὐτὸν νεουργός.

ρξζ'. Καὶ ταῦτα μὲν οὐκ ἐν παρέργῳ οὕτω τεθείσθω τοῖς ἁπλουστέροις· ὁ δὲ τοῦ προειρημένου μέλους τεχνίτης, ἔχοι ἂν ἀκοῦσαί ποθεν ἀστείως κἀνταῦθα παραποιητικῶς τὸ ἔστι δ' ὁ πάλαι μελῳδὸς, ὁ καθά τις ἂν εἴποι, φίλαυτος ἐν καλοῖς, καὶ τὰς μὲν ἁπλᾶς, καὶ οὕτως ἀπερίττους λέξεις, πεδοῖ καθίζων καὶ οὐ πάνυ πρὸς ἑαυτῷ ποιούμενος· τὰς δὲ συνθέτους, ἄλλως ἐξαίρων καὶ τημελῶν οἷα καὶ ὑπερφιλῶν· χρυσότευκτον γὰρ βρέτας ἐν τοῖς πρὸ τούτων εἰπὼν καὶ τὸν ἀκροατὴν τάχα που συνιδὼν οὐ βαρυνόμενον, τριπλάζει τὸ αὐτῷ φιλητὸν, ἐνταῦθα φωνὴν προφητόφθεγκτον εἰπὼν τὴν τοῦ Ἰωὴλ, καὶ μέθην οἰνότευκτον καὶ ῥήσεις ξενηκούσθησαν, ὅπερ ἐξήγηται ἀνωτέρω· καὶ τίς ἀστεΐσηται φιλοχερδῆ τινα τοῖς ἐννοίαις ὄντα τὸν μελῳδὸν τοῦτον, χαίρειν ταῖς συνθέτοις ἐπὶ μᾶλλον ὅσα καὶ ἐμπόροις πολιφόρτοις; ἐκείνοις τε γὰρ πλεῖον τὸ κέρδος ἢπερ τοῖς εὐζώνοις, καὶ λέξις ἐστοιβασμένη κατὰ σύνθεσιν, παχυτέρα τις οἷον καὶ ὀλβιωτέρα τῆς ἀσυνθέτου τῷ φιλοτοιαύτῳ λελόγισται· καὶ τὸ δὲ ἠγνοηκότες, ἐμφαίνει μὲν καὶ ἀμαθεῖς προφητικῶν ῥήσεων εἶναι τοὺς λαοὺς ἐκείνους. Δηλοῖ δὲ ἄλλως καὶ ἑτεροίαν ἄγνοιαν ἴσως, τὴν ἐκ τοῦ ἢ λαθέσθαι ἢ μὴ ἐπιστῆσαι τηνικαῦτα τῇ ῥήσει τοῦ Ἰωήλ. Χρόνου δὲ ὂν παρακειμένου ὑποδηλοῖ τότε ὥρας αὐτίκα ἠγνοηκέναι αὐτούς· διὸ καὶ ἄφρονες ἀληθῶς οἱ τὸν νοῦν σκεδάσαντες τηνικαῦτα ὅτε καὶ ἐσκορπισμένον ἐκεῖνον ὄντα, ἔδει συναγαγεῖν.

ρξη'. Οἰνότευκτον δὲ μέθην ἔφη πρὸς διαστολὴν ἑτέρας· εἴ γε καὶ θυμῷ μεθύει τις ὅτε καὶ μαίνεσθαι λέγεται· καὶ πάσχων δέ τις ἐρωμανίαν μεθύει οὕτω· Δῆλον δ' ὅτι καὶ μεγαλουργῶν τις, μεθύει τῇ χαρᾷ, κατὰ τὸ μεθύει τῷ μεγέθει τῶν πεπραγμένων ὁ δεῖνα· εἰ δὲ καί τις ὀπώρα κάρον ἐμποιοῦσα τῷ χορευσαμένῳ αὐτῆς μεθύσκεσθαι οἷον ἐκεῖνον ποιεῖ, πεῖρᾳ οἴδασιν οἱ πολλοί. Ὡς δὲ καὶ σκεύασμα κρίθιον οἰνῶδες, μεθυστικῶς διατίθεταί τινας ἐθνικοὺς, οὐδεὶς ἀγνοεῖ. Ὅ καὶ παρέλαβον οἱ τοῦτό γε ἡμιβάρβαροι οὐλοβίνας λέγειν· οὐλὰς μὲν διδόντες τὰς κριθὰς νοεῖν ποιητικῶς· βίνουμ δὲ Λατινιστὶ τὸν οἶνον· ὅθεν καὶ διβινὸν Ῥωμαῖοι λιθάριόν τι λέγουσιν, ὡς οἰνόχροον. Καὶ γράφει ὁ Παραβάτης ἐπαινετὰ ἡρῷα ὀλίγα εἰς τοιοῦτον οἶνον. Ὅρα δὲ ὡς τὸν παρ' ἡμιακὸν κρατῆρα τῆς σοφίας ὃν αὐτὴ ἐκίρνα τοῖς ἐμφρόνως ὄντως ἀποστόλοις μεθ' ὑψηλοῦ κηρύγματος τοῦ ἄνωθεν, οὗ σύμβολον καὶ ἡ βιαία πνοὴ, καὶ τὴν ἐμφόρησιν τοῦ οἴνου ὃν ἐκείνη τοῖς ἀποστό-

λοις κεκέρασε, μέθην ἱκανοὶ ἐνόμιζον κριτικοὶ καὶ ἄφρονες μενοῦντες παράνομοι, ἐξολοθρευθῆναι αὐτοὶ ἄξιοι κατὰ τὴν Δαυϊτικὴν ἀπόφασιν· ἢ γὰρ οὐ τοιοῦτοι ὅσοι μὴ τῷ ἐκ Σιὼν, ὡς ἐῤῥέθη, ἐξελθόντι νόμῳ προσεσχήκασιν; ὃν ὁ γνοὺς διάνοιαν ἔχει ὀρθὴν κατὰ τὸν παροιμιαστὴν, καὶ τούτῳ τῷ τρόπῳ ζῇ πολὺν χρόνον προστιθεμένης αὐτῷ ζωῆς πολυετοῦς διὰ τοῦ κυρίου τῶν γνώσεων, τοῦ ἀποδεχομένου τὸν πορευόμενον ἐν τῷ νόμῳ αὐτοῦ.

A dentibus apostolis, cum excelso præconio, desuper veniente, cujus quoque symbolum erat vehemens flatus, infusionemque vini, quod illa miscuerat apostolis, ebrietatem idonei putabant judices, qui manebant insipientes et iniqui, digni qui juxta Davidicam sententiam ipsi funditus perderentur. Nonne enim tales erant, qui legem ex Sion, ut dictum est, venientem, in votis non habuerunt? Quam qui novit, juxta Parœmiasten, rectam habet cogitationem; istoque modo vivit tempore multo, proposita ipsi longorum annorum vita per Dominum scientiarum, qui recipit in ipsius lege ambulantem.

ρξθ'. Ἰστέον δὲ καὶ ὅτι ἄφρονες οὐ τοὺς ἁπλῶς ἔφη ὁ μελῳδὸς, ἀλλὰ τοὺς ἀπίστους· καθὰ δοκεῖ ἑρμηνεύειν ὁ τὴν τότε τοῦ Πνεύματος ἐνέργειαν εἰπὼν μέθην τοῖς ἀπίστοις λογίζεσθαι· καὶ αὐτὸ δὲ οὗτος ὁ μελῳδὸς ἐπαγαγὼν ἀντιθετικῷ σχήματι τὸ - Οἱ εὐσεβεῖς δὲ σοὶ βοῶμεν· - ἀσεβεῖς νοεῖν ἀφῆσι τοὺς ἀνομοίους ἡμῖν καὶ διὰ ἀπιστίαν ἄφρονες· καὶ εἶχε μὲν ἂν καὶ αὐτὸς εἰπεῖν, Ἔφασκον οἰνότευκτον ἄπιστοι μέθην. Προέκρινε δὲ οὕτω φράσαι εἰς πικρότερον ὀνειδισμὸν, χειρόνως ἐκείνους μεθύειν ἐμφαίνων ἢπερ τοὺς ἀπίστους· ἐκ μέθης μὲν γὰρ ταχὺ ἀνανήφει τις. Οὐχ οὕτω δὲ καὶ ἐξ ἀπιστίας, δι' ἣν εἰ καὶ ἄλλως παρηγγέλμεθα μὴ μωρὸν ἀποκαλεῖν τὸν ἀδελφὸν, ἀλλ' ἐπεὶ ὁ ἄπιστος οὐκ ἔστιν ἡμῖν ἀδελφὸς, ὀρθῶς ἂν καλοίημεν αὐτὸν καὶ ῥακὰ, καὶ μωρὸν, καὶ ἄφρονα, καὶ ὅσα τοιαῦτα. Ἔτι ἰστέον καὶ ὅτι τὸ οἰνότευκτον φυλάσσει τὴν εὐ δίφθογγον ἀπὸ τοῦ τεύχω ἐνεστῶτος, καθὰ καὶ τὸ τεῦχος· ἄλλαι δὲ λέξεις τοῦ τοιούτου ἐξωρμημέναι θέματος ἢ τὸ υ μόνον τὸ ἐξ ἐκείνου φυλάσσουσιν, ὡς τὸ τυκτὸν κακὸν, καὶ τὸ εὔτυκτον, καὶ τὸ τυκίζειν παρὰ τῷ κωμικῷ ἐν Ὄρνισι, καὶ ἡ τύχη, καὶ τὸ τυκάνιον· ἢ μόνον τὸ ε, ὡς ἡ τέχνη καὶ τέκτων, ἤδη δὲ καὶ τὸ τέκω καὶ τὸ τέκνον.

169. Sciendum autem quod insipientes ait melodus non eos qui tales sunt simpliciter, sed infideles; sicut videtur interpretari qui dicit tunc Spiritus efficaciam infidelibus ebrietatem fuisse reputatam. Idem quoque suggerit ille melodus sub antitheti forma, subjungens: Nos autem pii tibi clamamus: B impios intelligere nobis relinquit dispares, et propter incredulitatem insipientes. Poterat quidem etiam ipse dicere: Aiebant vino factam ebrietatem infideles: prætulit autem sic loqui in amarius convicium, illos deterius inebriari significans quam infideles. Etenim ex ebrietate quidem aliquis mentis sanitatem recepit; non autem sic ex infidelitate, propter quam, licet aliunde jussi sumus non fatuum appellare fratrem, quoniam tamen infidelis, non est nobis frater, recte vocamus eum et raca, et fatuum, et insipientem, et quæcunque similia. Adhuc autem sciendum quod vox οἰνότευκτον servat diphthongum eu ex verbi præsenti tempore τεύχω, sicut et τὸ τεῦχος: alias vero dictiones ex eadem exortæ radice, vel τὸ υ tantum servant, veluti τυκτὸν malum, et τὸ εὔτυκτον, et, apud comicum in Avibus, τὸ τυκίζειν, et ἡ τύχη, et τὸ τυκάνιον vel solum τὸ ε, sicut ἡ τέχνη, et τέκτων, necnon τὸ τέκω et τὸ τέκνον.

ρο'. Τοῦ δὲ ξενηκούσθησαν ὁμοιότης ἐν τοῖς ἑξῆς εὑρεθήσεταί τις εἰς τὸ πατραχουσθέν. Τὸ δὲ ὡς ἀποστόλων ἀναστρεπτέον, ἵνα ᾖ τρόπος ἀναστροφῆς· λέγει γὰρ ὁ μελῳδὸς ὅτι ἔλεγον οἱ ἄφρονες ὅπερ ἔλεγον, ὡς ἠκούσθησαν αἱ ξενίζουσαι ῥήσεις τῶν ἀποστόλων, ἤγουν ἐπειδὴ ἠκούσθησαν. Τὸ δὲ ἐνθέως βοᾷν διαστολὴν ἔχει παντοίας ἄλλης βοῆς· ἔστι δὲ βοὴ ἔνθεος ἡ κατὰ τὸ ἅγιον Εὐαγγέλιον ἀναφωνοῦσα φωνῇ μεγάλῃ καὶ λαλοῦσα τὰ τῷ Θεῷ ἀρέσκοντα, ὡς καὶ προδεδήλωται. Ἦν δὲ γνωστόν τι καὶ τοῖς Ἕλλησι τὸ ἐνθέως βοᾷν, ὃ καὶ ἐνθεάζειν ἐκεῖνοι καὶ βακχεύειν ἔλεγον. Εὐλογητὸς δὲ κυριώτατα μόνος ὁ ἐν Τριάδι Θεὸς, ὃν εὐλογοῦσι καὶ ὑμνοῦσι πάντα τὰ ἔργα αὐτοῦ· τῶν ἄλλων δὲ ἁπάντων οὔτινι προσαρμόττει οὕτως ἡ τοιαύτη λέξις, ὅτι μηδὲ κοσμοποιὸς ἄλλος ἢ μόνος Θεός.

170. Hujus autem verbi ξενηκούσθησαν aliqua reperietur in sequentibus similitudo circa τὸ πατραχουσθέν. Hoc vero ὡς ἀποστόλων invertendum est, ut sit inversionis tropus. Dicit enim melodus quod dicerent insipientes quod dicebant, cum auditæ sunt extraneæ voces apostolorum, sive postquam auditæ fuerunt. Hoc autem ἐνθέως βοᾷν differentiam habet ab alio quocunque clamore. Est autem divinus clamor ille qui juxta sanctum Evangelium magna voce profertur et quæ Deo placent loquitur, sicuti monstratum est. Erat autem quodammodo Græcis notum ἐνθέως βοᾷν, quod etiam illi ἐνθεάζειν et βακχεύειν dicebant. Benedicendus autem proprie solus in Trinitate Deus, quem benedicunt hymnisque celebrant omnia opera ejus. Aliorum autem quorumcunque nemini sic competit hujusmodi dictio, quoniam non est alius auctor mundi nisi solus Deus.

Τροπάριον δεύτερον τῆς ἑβδόμης ᾠδῆς.

ΧΙΧ. Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὅπα
Ἔνθους Ἰωὴλ τοῦ θεαρχικωτάτου,
Οἷς ἐκχεῶ, φήσαντος, οἷά περ Λόγου

Troparium secundum odæ septimæ.

Vaticinantem pertonuit videns vocem
Deo plenus Joel divinissimi principatus:
Quibus effundam, aiebat, tanquam Verbum,

De Spiritu meo, una clamabunt : O natura
Triplici splendore lucens, benedicta es.

171. Non prælucet quidem hujus strophæ perspicuitas : est autem alias accessibilis ob sententiæ uniformitatem et velocitatem. Exponit enim breviter unam sententiam a Deo prophetæ suggestam circa Spiritus sancti descensum, et ait quod Joel, intuens ut propheta, motus inspiratione, fulminavit, id est, clare elocutus est propheticam vocem, sive divinam vocem ejus qui, sicut dictum est, excellenter est θεαρχικώτατος, Deus ac pater; ejus qui dixit et prænuntiavit istud : Homines, quibus de Spiritu meo dederim, conclamabunt, sive voce concorde clamabunt juxta divinam cognitionem, hoc ipsum sane : Tu, o Deus, ter lucidissima essentia, benedictus es, ut antea scriptum est. Et quidem est hoc simplicius. Si vero juxta exemplaria quædam scribitur : Tibi clamabunt; adaptabitur etiam a præferentibus eam æqualiter hujusmodi scriptura ; sed, puto, non facile. Si quis autem, prædictam immutare volens sententiam, ita construxerit : Fulminavit propheta vocem divinissime potentis Verbi, sive Filii, qui dixit, οἷάπερ sive ὡσανεὶ articulato verbo, hoc et hoc, hominum more, attentionem fortassis et ipse inveniet.

172. Interea tamen juxta præordinatam strophæ scripturam hic etiam vide congeriem verbi, τρισσοφεγγόφωτος, non volente melodo discedere quodammodo de *longis dictionibus*, quas amat sicut Libanus longas cedros, et aliquis alter quercuum congregationes excelsas, aut cupressos magnas. Eviscerari mallet quam hujusmodi solvere congestas dictiones, et simplicius eas dispergere ; sic igitur, optime, scribe, quæque vis dicens fac etiam quæ nobis salutaria sunt ; divitem, inquam, doxologiam sanctæ Trinitatis, quam ille qui revera benedictus est Deus accipit. Vox autem φέγγος, etsi solari lumini ponatur æquivalens, multis tamen φάους ἐγγύς esse videtur. Dicimus ergo fulguris φέγγος ; ex hoc autem etiam φθόγγος de sermone qui sententias velut in tenebris absconditas illuminat, ut sit quoque φθέγγεσθαι hoc φάει ἐγγίζειν. Dicta vero θέσπις, divina vox interpretata, semisono redundat sicut φερέσβιον et θεσπέσιον, et similia. Reipsa namque θέσπις est pro ὑπὸ Θεοῦ ἔπεσθαι a Deo venire seu theologice dici. Tale quoque est ὁ θεσπέσιος λόγος. Res tamen aliter est θεσπέσιος, tanquam in nos a Deo lapsa. Ex hac autem etymologia venit etiam apud antiquos trisyllaba vox θέσπιος (puer) in oraculo, sive divinus juvenis. Est autem etiam proprium nomen ὁ Θέσπις, tragicus poeta. Simili redundantia gaudet et ὁ θεσμὸς, qui deberet esse θεμὸς juxta θέμιν, a qua venit etiam ἐθέμωσε.

173. Verbum autem κατεβρόντησε magnifice dictum est. Non enim solum significat quod clare, sicut dictum est, et perspicue locutus est propheta, sed etiam quod desuper ipsi demon-

A Τοῦ Πνεύματός μου, συμβοήσουσι· Φύσις
Ἡ τρισσοφεγγόφωτος, εὐλογητὸς εἶ.

ροα'. Οὐ προλάμπει μὲν οὐδὲ τοῦ παρόντος τροπαρίου σαφήνεια· ἔστι δὲ ἄλλως εὐπρόσιτον δῆθεν αὐτὸ διὰ τὸ κατ' ἔννοιαν μονοειδὲς καὶ γοργόν. Ἐκτίθεται γὰρ ἐν βραχεῖ ἔννοιαν μίαν προφητικὴν θεόθεν περὶ τῆς καθόδου τοῦ ἁγίου Πνεύματος, λέγον ὅτι ὁ Ἰωὴλ ὁ βλέπων οἷα προφήτης, ἔνθους γενόμενος, κατεβρόντησεν, ἤγουν τρανῶς ἐξεῖπεν, ὅπα θέσπιν, ἤγουν θείαν φωνὴν τοῦ ὡς καὶ προεῤῥέθη θεαρχικωτάτου κατ' ἐξαίρετον Θεοῦ καὶ Πατρός· φήσαντος καὶ προειπόντος, « Οἱ ἄνθρωποι οἷς ἐκχεῶ τοῦ Πνεύματός μου, » ἐκεῖνοι συμβοήσουσιν, ἤγουν βοῇ συμφώνῳ κεκράξονται κατὰ θείαν ἐπίγνωσιν, αὐτὸ δὴ τοῦτο τό· Σὺ, ὦ Θεὸς, ἡ τρισσοφεγγόφωτος
B φύσις, εὐλογητὸς εἷς ὡς προγέγραπται. Καὶ τοῦτο μὲν οὕτως ἁπλούστερον. Εἰ δὲ γράφεται κατά τινα τῶν ἀντιγράφων, σοὶ βοήσουσι, συμβεβασθήσεται μὲν ἴσως καὶ ἡ τοιαύτη γραφὴ πρὸς τῶν αἱρουμένων αὐτήν· οὐκ ἂν δὲ εὐκόλως, οἶμαι. Εἰ δέ τις τὴν ῥηθεῖσαν ἔννοιαν ἐθελήσας ἀλλοιῶσαι, συντάξει ὅτι κατεβρόντησεν ὁ προφήτης ὅπα τοῦ θεαρχικωτάτου Λόγου, ἤγουν τοῦ Υἱοῦ φήσαντος, οἷάπερ, ἤγουν ὡσανεὶ ἐνάρθρῳ λόγῳ εἰπόντος τὸ καὶ τὸ ἀνθρωπικώτερον, εὑρήσει προσοχήν ποθεν καὶ αὐτός.

ροβ'. Τῷ τέως μέντοι κατὰ τὴν ἀνατεταγμένην τοῦ τροπαρίου γραφὴν ὅρα κἀνταῦθα τὴν στοιβὴν τοῦ τρισσοφεγγόφωτος, οὐκ ἐθέλοντος τοῦ μελῳδοῦ
C ἀπαλλάττεσθαι ὥσπερ οὐδὲ τῆς μακρολεξίας, ἣν φιλεῖ καθὰ καὶ ὁ Λίβανος τὰς μακρὰς κέδρους· καί τις ἄλλος δρυμὼν αἰγείρους μακεδνὰς, ἢ κυπαρίσσους μηκεδανάς· καὶ ἂν ἔλοιτο καταχορδευθῆναι αὐτὸς, ἢ τοιαύτας διαλῦσαι σεσωρευμένας λέξεις, καὶ διασκεδάσαι αὐτὰς εἰς ἁπλότητα, καὶ γράφε οὕτως ὦ ἄριστε, καὶ λέγων ἅπερ ἐθέλεις ποίει καὶ τὰ ἡμῖν σωτήρια· τὴν δαψιλῆ φημι δοξολογίαν τῆς ἁγίας Τριάδος, ἣν ὁ ὄντως εὐλογητὸς Θεὸς ἀποδέχεται· τὸ δὲ φέγγος εἰ καὶ εἰς ἴσον τέθειται ἡλιακῷ φωτὶ, ἀλλὰ πολλοῖς φάους ἐγγὺς εἶναι δοκεῖ. Φέγγος οὖν φαμεν ἀστραπῆς, ἐξ αὐτοῦ δὲ καὶ φθόγγος, ἐπὶ λόγου φωτίζοντος τὰ ὡς ἐν σκότῳ κρυφαῖα νοήματα, ἵνα ᾖ καὶ φθέγγεσθαι τὸ φάει ἐγγίζειν· ἡ δὲ ῥηθεῖσα θέσπις, φωνὴ θεία ἑρμηνευομένη, κατὰ τὸ φερέσβιον
D πλεονάζει τῷ ἡμιφώνῳ, καθὰ καὶ τὸ θεσπέσιον, καὶ τὰ τοιαῦτα. Τὸ γὰρ ἐντελὲς θέσπις ἐστὶ, διὰ τὸ ὑπὸ Θεοῦ ἕπεσθαι, ἤγουν λέγεσθαι θεολογικώτερον. Ὅμοιον δὲ καὶ ὁ θεσπέσιος λόγος· πρᾶγμα μέντοι ἄλλως θεσπέσιον, ὡς ἀπὸ Θεοῦ πεσὸν εἰς ἡμᾶς· ἐκ δὲ τοιαύτης παραγωγῆς καὶ ὁ παρὰ τοῖς παλαιοῖς τρισυλλάβως θέσπιος κοῦρος ἐν χρησμῷ, ἤτοι θεῖος νέος· ἔστι δὲ καὶ κύριον ὄνομα ὁ Θέσπις τραγῳδίας ποιητὴς ἐκεῖνος· ὁμοίου δὲ πλεονασμοῦ καὶ ὁ θεσμὸς, θεμὸς ὀφείλων εἶναι κατὰ τὴν θέμιν, ἀφ' ἧς καὶ τὸ ἐθέμωσε.

ρογ'. Τὸ δὲ κατεβρόντησε σεμνῶς εἴρηται· οὐ μόνον γὰρ δηλοῖ τὸ τρανῶς, ὡς ἐῤῥέθη, καὶ τορῶς ἐλάλησεν ὁ προφήτης, ἀλλὰ καὶ ὅτι ἄνωθεν ἐκφανθὲν αὐτῷ Θεοῦ θέλημα ἐξεφώνησεν· ὃ δὴ νόημα βροντὴν

εἶπεν ἐξηχηθεῖσαν οἷον οὐρανόθεν καὶ ἀκουσθεῖσαν μόνῳ τῷ προφήτῃ κάτω. Ἀλλὰ τοῦτο μὲν σεμνότητός ἐστι τροπικῆς. Ὁ δὲ προφητικὸς νοῦς οὐκ ἂν ἀνέμενεν ἱλυσπούμενος κάτω, δέξασθαι τὴν ἐκ τῶν ἄνω θείαν βροντὴν, ἀλλὰ τῷ Θεῷ καὶ αὐτὸς ἐγγίσας, ἤκουσεν ὅπερ ἐπεὶ ἐνετάλθη μὴ ἐπικρύψαι, ἐξήγγειλέ τε ἄλλως καὶ ἐγγράφως παρέδοτο. Ἔστι δὲ νοῆσαι, καὶ ὅτι ὡς τὸ προηγησάμενον τροπάριον ἐξεφωνήθη τοῦτο δεξιῶς, ὀφηλότερον μέντοι· τὴν μὲν γὰρ ἐκεῖ συμφωνίαν σύμβόησιν ἐνταῦθα εἶπε· τὸ δὲ, καὶ ἐθρόησεν, ἐβρόντησεν ἔφη· τὸ δὲ ὀργάνων μέλος ὅπα τοῦ θεαρχικωτάτου· τὸ δὲ σέβειν καὶ τὸ σεβασμιάζειν διὰ τοῦ θέσπιν ἐνέφηνε· ταυτὸν γὰρ ὅπα σεπτὴν εἰπεῖν καὶ θέσπιν. Ὁ βλέπων δὲ προφητικὸν ἐπίθετον, οὐ μόνον τῷ Ἰωὴλ καὶ τῷ Σαμουὴλ ἐπιπρέπον, ἀλλὰ καὶ τοῖς κατ' αὐτοὺς ὅλοις, ὡς θεοπτικωτάτοις, καὶ ὄντως τὸν ὄντα καὶ τὰ ὄντα βλέπουσι, καὶ οὕτω πρὸς ἀλήθειαν θεωρητικοῖς.

A stratam Dei voluntatem enuntiavit. Cogitatum hoc porro tonitru dixit, utpote quod e cœlo resonuerat et soli prophetæ deorsum erat auditum. Hoc tamen est figuratæ magnificentiæ. Mens enim prophetæ non poterat permanere super terram repens, ad accipiendum ex altissimis divinum tonitru : sed ipsa Deo facta propior, audivit quod postquam jussa est non abscondere, nuntiavit et etiam scripto tradidit. Est autem observandum, quod, sicut præcedens strophe, hæc solerter, excelsius tamen, declarata est. Illic enim symphoniam, hic conclamationem dixit. Hoc autem ἐθρόησεν, ait ἐβρόντησεν ; organorum melodiam, vocem divine potentissimi; σέβειν et σεβασμιάζειν per vocem θέσπιν expressit ; idem enim est dicere ὅπα σεπτὴν et θέσπιν. Videntis autem propheticum est epitheton, non solum Joelī et Samueli competens, sed et cæteris illorum similibus, tanquam θεόπτικωτάτοις, et reipsa illum qui est et ea quæ sunt videntibus, et ita secundum veritatem speculantibus.

B

ροθ'. Ἔνθους δὲ ἀντὶ ὡσανεὶ ἔνθεος· εἴπομεν δὲ τὸ ὡσανεὶ πρὸς ἀκρίβειαν· σεμνότερον γὰρ τὸ ἔνθεος τοῦ ἔνθους· ἔνθεος μὲν γὰρ ὁ ἔνδον ἑαυτοῦ Θεὸν ἔχων, καὶ δι' ἐκείνου ἢ ἄλλως ἐνεργῶν ἢ λαλῶν· τοιοῦτόν τι πάλαι τὸ κατὰ τὰς βάκχας, ἃς ἔφη τις ἐνθέους γυναῖκας. Ὅμοιον καὶ τὸ κατὰ τὰς ἀποφοιβαζούσας πνεύματι Πύθωνος· ἔνθεος δὲ καὶ ὁ κατὰ τὰς μαντικὰς Σιβύλλας ἐννεὰς ἐλέγετο· καὶ ῥῆμα ἐκ τῆς τοιαύτης λέξεως ὑψηλὸν τὸ ἐνθεάζειν. Ὅτε δὲ ὁ ἔνθεος κατὰ συναίρεσιν ἔνθους λεχθείη, οὐκέτι σημασίαν ὁμοίαν ἔχει, ἀλλ' οἷον μετουσιαστικῶς καὶ μετοχικῶς τῷ ἐνθουσιῶντι μέτεστι τοῦ ἐνθέου· ἑρμηττικός τις γὰρ μετὰ καὶ χαρᾶς ὁ ἔνθους ἐστὶ καὶ δοκεῖ, διὰ τὸ χαίρειν τοῖς ὑποκειμένοις, ἀκάθεκτος εἶναι εἰ; τὸ ἢ πανηγυρίζειν ἢ ἄλλο τι πράττειν ἡδύ· καὶ δηλοῖ τὸ λεγόμενον ὑφ' ἡδονῆς ἔνθους· καὶ τὸ ἐξ αὐτοῦ ῥῆμα τὸ ἐνθουσιᾷν οὐ ταυτὸν ὂν τῷ ἐνθεάζειν. Ὁ δὲ μετρικὸς οὗτος μελῳδὸς, ἀναγκαίως διὰ τὴν ἀκολουθίαν τοῦ ἔνθεος· Ἑλλήνων δὲ λέξις ὁ ἔνθεος, ὧν οἱ θεοὶ, Δαυιτικῶς εἰπεῖν, τὰ δαιμόνια· διὸ καὶ τοὺς δαιμονοφορήτους ἐκεῖνοι ἐνθέους ἔλεγον. Οἱ μέντοι ἀγαθοὶ Χριστιανοὶ μετέλαβον αὐτὴν εἰς Θεοῦ ἀρέσκειαν.

174. Ἔνθους autem est quasi pro ἔνθεος. Dicimus vero *quasi* ad accurationem : augustius enim est verbum ἔνθεος quam ἔνθους. Ἔνθεος enim quidem est ille qui intra se Deum habet, et per ipsum vel agit vel loquitur. Tale quid fuit olim relative ad Bacchas quas aliquis dixit ἐνθέους mulieres. Simile quoque fuit erga repletas spiritu Pithonis, oracula dantes. Verbum etiam ex hac dictione venit excelsum τὸ ἐνθεάζειν. Cum autem ὁ ἔνθεος per contractionem ἔνθους dictus est, non jam similem habet significationem, sed tanquam participatione ac derivatione ὁ ἐνθουσιῶν cum τῷ ἐνθέῳ partem habet. Aliquis enim irruens cum gaudio ὁ ἔνθους est ; et, cum subjectis gaudet, videtur contineri non posse, sive laudandum sive quid aliud jucundi faciendum habeat. Et dictum significat ὑφ' ἡδονῆς ἔνθους ; necnon ex ipso verbum ἐνθουσιᾷν, quod non idem est ac ἐνθεάζειν. Metricus autem ille melodus necessario dixit consequenter τῷ ἔνθεος. Græcorum est ista vox ὁ ἔνθεος, quorum dii, juxta Davidica verba, sunt dæmonja. Idcoque illi a dæmonibus inspiratos ἐνθέους alebant. Boni tamen Christiani hanc dictionem ad Dei placitum receperunt.

C

ροι'. Τὸ δὲ ἐχχεῦ λέξιν ταύτην ἐξ ὑγροῦ ληφθεῖσαν αἰνιττομένην τὸ ἅγιον βάπτισμα, δι' οὗ ἐξαλείφεται καὶ ἀπάγεται ὡς βαπτικοῦ ἁγιωτάτου ὕδατος, καὶ παρασύρεται πᾶν ἀνόμημα, οὗ καὶ ὁ Δαβὶδ κατεύχεται, διεσάφησεν ἤδη ὁ μελῳδὸς διὰ δρόσου καὶ λουτροῦ, καὶ λουτηρίου, καὶ ὀμβροβλυτήσεως, καὶ ἑτέρων λέξεων· τὸ δὲ οἷάπερ λόγον πρός τε ἀναπλήρωσιν κεῖται τοῦ στίχου, καὶ πρὸς σαφήνειαν τῆς προηγησαμένης λέξεως, ἥτις ἦν τὸ φήσαντος· ἣν ἑρμηνεύων ἐπάγει τὸ οἷάπερ λόγον. Ὡς γὰρ ὁ Μωϋσῆς ἐν τῷ, Εἶπεν ὁ Θεὸς, Γενηθήτω τόδε, εἶχεν, ἑρμηνευτικῶς εἰπεῖν, εἶπερ ἤθελεν, ὅτι εἶπεν ὁ Θεὸς ὡς οἷα δὴ λόγου ἀνθρωπικοῦ, Γενηθήτω τάδε, οὕτω καὶ ὁ μελῳδὸς εἶπε τὸ φήσαντος, οἷάπερ λόγον ἐγγράμματον, φάμενος ὡσανεὶ λόγον τὴν θεόθεν τῷ

D

175. Illam autem dictionem ἐχχεῦ, ex liquido sumptam, sacrum baptisma subindicantem, per quod abluitur, et abducitur, et extergitur, tanquam aqua sanctissima purificante, omnis iniquitas, contra quam David deprecatur, jam elucidavit melodus per rorem et lavacrum, et lavationem, et imbris fluentum, cæteraque dictiones. Hoc autem οἷάπερ λόγον ponitur et ad versus impletionem, et ad præcedentis elucidationem dictionis, quæ est φήσαντος, et quam interpretans adjicit τὸ οἷάπερ λόγον. Sicut enim Moyses in hoc : Dixit Deus : Fiat istud, poterat, si voluisset, tanquam interpretando dicere : Dixit Deus, quasi per humanum sermonem : Hæc fiant ; sic et melodus dixit τὸ φήσαντος, οἷάπερ λόγον ἐγγράμματον, aiens quasi sermonem hanc

a Deo prophetæ factam inspirationem et revelationem. Si vero scribitur ad dativum casum, servatur sic etiam eadem sententia, ut dicat : Elocuto Deo tanquam λόγῳ sermone enuntiativo. Superius autem significatum est quod etiam λόγου scribitur ad genitivum casum.

Troparium tertium odæ septimæ.

Tertia quidem nacta est horarum gratiam,
Ut demonstraret, tres substantias
Adorare in simplicitate potestatis :
Sed in una nunc dierum domina,
Filius, Pater, et Spiritus, benedictus es.

176. Cum Spiritus sanctissimus, ut accipimus, hora tertia super apostolos descendit, idcirco tempore isto, divinissimam cæremoniam adimplemus in spem firmam desiderabilis Spiritus adventus. Ex illa sententia, mysterioque secundum illam symbolice expresso stropha præsens exposita est. Et quidem illius sententia clare breviterque est directa. Dicit enim quod hora tertia Spiritus prodigium habuit ; ut symbolice tres sanctæ Trinitatis personas subindicet, quas tertia hora adumbravit. Hodie vero non celebramus in ænigmate, nec subindicantes, sed aperte benedicentes Filium, Patrem et Spiritum, sanctam Trinitatem, unum Deum. Talis quidem est proposita sententia, quam progrediens sermo magis planam necessario faciet. Scriptura vero strophes, etsi non habet ex initio τρίτη per unum τ, cum accentu penultimo, sed τριττὴ per duplicem τ, cum accentu ultimo, nec tonum habet, neque juxta τὸ σύμφωνον μέλος nexus, neque juxta τὸ θέσπιν κατεβρόντησεν ὅπα, sed juxta τὸ φωνὴν προφητόφθεγκτον, ideo melius scribitur τρίτη cum accentu penultimo per unum τ. Qui vero contradicere voluerit, scribat et dicat quoque τριττὴ, sicut ἡ φωνή.

177. Hoc autem εὐμοίρησεν, cujus Atticum est, ut prædictum fuit, augmentum, ex omnium confesso præter communem syntaxim hic assumptum est. Nemo enim Græce loquendo scriberet εὐμοίρησε τὴν χάριν, sed τῆς χάριτος. Attamen melodus metro angustatus, pro trisyllaba voce χάριτος adhibuit χάριν, excipiens verbum εὐμοίρησε pro simplici ἔλαχεν et ἔσχεν. Hujusmodi vero dictio non hanc sortem (μοῖραν) quæ fato juxta Græcos assignatur, sed illam quæ dicitur μερὶς, amplectitur. Ideo recte τὸ εὐμοίρησεν in τὸ ἔλαχεν interpretatur : nam εὐμοιρεῖν est bene habere de μοίρᾳ, sive de μερίδι, id est, λάχει : hæc enim synonyma sunt. Hoc autem τρίτη ὡρῶν diurnarum sane, melodi placito sic pluraliter positum est : poterat enim dicere juxta nominativum casum ὥρα, ut esset : τρίτη ὥρα vel τριττὴ invenit et obtinuit sanctissimam hanc Spiritus gratiam, ut, inquit, theologice speculantibus subindicaret, sive repræsentationem quasi specularem cogitationemque juxta consilium introductorium daret, quod adorentur tres personæ unius Dei in simplicitate substantiæ, id est, unitate essentiæ, sicut demonstrabitur. At il-

προφήτῃ δοθεῖσαν ἐπίπνοιαν καὶ ἀποκάλυψιν. Εἰ δὲ γράφεται λόγῳ κατὰ πτῶσιν δοτικὴν, σώζεται καὶ οὕτως ἡ αὐτὴ ἔννοια, ἵνα λέγῃ, φήσαντος τοῦ Θεοῦ ὡς οἷα καὶ λόγῳ προφορικῷ· ἀνωτέρω δὲ παρεσημάνθη ὅτι καὶ λόγου γράφεται κατὰ πτῶσιν γενικήν.

Τροπάριον τρίτον τῆς ἑβδόμης ᾠδῆς.

XX. Τρίτη μὲν εὐμοίρησεν ὡρῶν τὴν χάριν,
Ὅπως ὑπεμφήνειε τρεῖς ὑποστάσεις
Σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας·
Ἀλλ' ἐν μιᾷ νῦν ἡμερῶν τῇ κυρίᾳ
Υἱὸς, Πατὴρ, καὶ Πνεῦμα, εὐλογητὸς εἶ.

ρος'. Τοῦ ἁγιωτάτου Πνεύματος περὶ τὴν τρίτην ὥραν καταπεμφθέντος τοῖς ἁγίοις μαθηταῖς, ὡς παρελάβομεν, διὸ καιρῷ τοιούτῳ καὶ ἡμεῖς τὴν θειοτάτην ἁγιστείαν ἐπιτελοῦμεν ἐπὶ σταθερᾷ ἐλπίδι τοιαύτης ἀξιεράστου πνευματικῆς ἐπιλύσεως· ἐκ τῆς τοιαύτης ἐννοίας, καὶ τοῦ κατ' αὐτὴν συμβολογραφουμένου μυστηρίου τὸ παρὸν τροπάριον ἐκτίθειται· καὶ ἡ μὲν ἔννοια τούτου ἐστὶ καὶ σαφῶς εὐθυνομένη καὶ βραχυλογικῶς. Λέγει γὰρ ὅτι τρίτη ὥρα τὸ πνευματικὸν θαυμάσιον ἔσχεν· ἵνα συμβολικῶς ὑποφήνῃ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος, ἃς ἡ τρίτη ὥρα ἠνίξατο. Σήμερον δὲ οὐκ ἐν αἰνίγματι πανηγυρίζομεν, οὐδὲ ὑπεμφαίνοντες, ἀλλὰ ἐμφανῶς εὐλογοῦντες Υἱὸν, Πατέρα, καὶ Πνεῦμα, τὴν ἁγίαν Τριάδα, τὸν ἕνα Θεόν. Καὶ τοιαύτη μὲν ἡ προκειμένη ἔννοια, ἣν προϊὼν ὁ λόγος διασαφήσει ἀναγκαίως πλατύτερον· ἡ δὲ γραφὴ τοῦ τροπαρίου, εἴπερ οὐκ ἔχει ἐξ ἀρχῆς τρίτη βαρυτόνως δι' ἑνὸς ταῦ, ἀλλὰ τριττὴ ὀξυτόνως ἐν διπλότητι τοῦ ταῦ, οὔτε πρὸς τὸ σύμφωνον μέλος τοῦ εἱρμοῦ τονοῦται, οὔτε πρὸς τὸ θέσπιν κατεβρόντησεν ὅπα, ἀλλὰ πρὸς τὸ φωνὴν προφητόφθεγκτον· διὸ νικᾷ γράφεσθαι τρίτη βαρυτόνως δι' ἑνὸς ταῦ· ὁ δὲ θέλων ἐνίστασθαι γραφέτω καὶ λεγέτω καὶ τριττὴ, ὡς ἡ φωνή.

ροζ'. Τὸ δὲ εὐμοίρησεν, οὗ Ἀττικὸν, ὡς προείρηται, τὸ ἀναύξητον, ὁμολογουμένως παρὰ τὴν κοινὴν σύνταξιν ἐνταῦθα εἴληπται· οὐδεὶς γὰρ Ἑλληνίζων γράψοι ἂν εὐμοίρησε τὴν χάριν, ἀλλὰ τῆς χάριτος· καὶ ὅμως ὁ μελῳδὸς ὑπὸ τοῦ μέτρου στενούμενος, ἀντὶ τρισυλλάβου χάριτος χάριν παρέλαβεν, ἐκλαβόμενος τὸ εὐμοίρησεν ἀντὶ τοῦ ἔλαχεν ἁπλῶς· καὶ ἔσχεν. Οὐ μοῖραν δὲ ἡ τοιαύτη λέξις περιέχει τὴν καθ' Ἕλληνας εἱμαρμένην, ἀλλὰ τὴν λεγομένην μερίδα· διὸ καλῶς τὸ εὐμοίρησεν εἰς τὸ ἔλαχεν μεταλαμβάνεται. Εὐμοιρεῖν γὰρ τὸ εὖ ἔχειν μοίρας, ἤγουν μερίδος, τουτέστι λάχους· συνώνυμα γὰρ καὶ ταῦτα. Τὸ δὲ τρίτη ὡρῶν ἡμερινῶν δηλαδὴ, θελήσει καὶ αὐτὸ τοῦ μελῳδοῦ οὕτως ἐτέθη πληθυντικῶς· ἠδύνατο γὰρ ὥρα κατ' εὐθείαν πτῶσιν εἰπεῖν, ἵνα ᾖ ὅτι τρίτη ὥρα ἡ τριττὴ εὗρε καὶ ἔλαχε τὴν ἁγιωτάτην ἐκείνην χάριν τοῦ Πνεύματος, ὅπως, φησὶν, ὑπεμφήνῃ τοῖς θεολογικῶς ἐπιβάλλουσιν, ἤγουν ἐμφασιν δώσει ὡς οἷον ἀνοπτρικὴν καὶ ὑπόνοιαν κατὰ ἐναγωγὴν εἰσαγωγικὴν, σέβειν τρεῖς ὑποστάσεις τοῦ ἑνὸς Θεοῦ ἐν ἁπλότητι ἐξουσίας, ὅ ἐστι μονάδι οὐσίας, ὡς δηλωθήσεται. Ἀλλὰ τοῦτο μὲν τότε πρῶτον ἐν τῇ Σιὼν· ἐν δὲ τῇ καθ' ἡμᾶς σήμερον ἑορταστικῇ

τοῦ θαύματος ἐκείνου ἀθροίσει ἐν μιᾷ ἡμερῶν κυρίᾳ οὐκ ἐμφαντικῶς καὶ ἐνοπτρικῶς νοοῦμεν τὴν τρισυπόστατον θεότητα. Ἀλλὰ καταλαβόμενοι ἐκεῖνο τὸ τρίωρον κατ' ἔμφασιν αἴνιγμα πρὸς ἀκριβεστάτην καὶ ἀκραιφνεστάτην καὶ οὕτως ἐμφανεστάτην ἀλήθειαν· καὶ ὁρᾷν ὀφθαλμοφανῶς δοκοῦντες σὲ τὸν ἐν τρισὶ προσώποις ἕνα Θεὸν, τὸν Υἱὸν, καὶ Πατέρα, καὶ Πνεῦμα, λέγομεν καὶ βοῶμεν καὶ ψάλλομέν σοι τὸ, Εὐλογητὸς εἶ.

A lud quidem tum primum in Sion factum est. In hac autem nostra congregatione, quæ fit in una dierum Dominica, ad celebrandum hoc prodigium non tanquam in repræsentatione et in speculo divinitatem in tribus personis, cogitamus ; sed hoc trium horarum repræsentativum ænigma juxta purissimam, accuratissimam et ita manifestissimam veritatem intelleximus ; et existimantes visibiliter intueri te in tribus personis unum Deum Filium, et Patrem, et Spiritum, dicimus et clamamus et psallimus tibi : Benedictus es.

ρογ'. Καὶ ὅρα τὸ ἐν μιᾷ ἡμερῶν συνηγοροῦν τῷ τρίτῃ ὡρῶν, ὡς ἀναγέγραπται· εἰ μή τις τὸ ἡμερῶν τῇ κυρίᾳ συντάξει κολλήσας, καθότι ἡ παρ' ἡμῖν τοιαύτη ἑορταστικὴ κυρία ἐστὶ καὶ αὐτὴ τῶν ἑφεξῆς ἡμερῶν δι' ὧν ἀπαρτίζεται ἡ ἑβδομάς. Τὴν δὲ χάριν εἰπὼν μετὰ ἄρθρου, κατ' ἐξαίρετον ἐδήλωσε τὴν τοῦ ἁγίου Πνεύματος ἐν σχήματι ἐξοχῆς· ἣν χάριν ὁ ἔχων πέπλησται τῶν κρειττόνων, καὶ οὕτως αὐτάρκως ἔχει, κἂν μυρία θλίβηται, ὡς τοῦ Θεοῦ παντοίως ἐπισκεπτομένου αὐτόν· καὶ τοῦτο δηλοῖ ὁ ἐκεῖθεν ἐφ' οἷς ἐδέετο μαθὼν τὸ, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ δὲ ἁπλότης ἐνταῦθα οὐ τὴν συνήθη δηλοῖ, καθ' ἣν ἁπλοῦς τις πεπλάσθαι φησὶν, ἀλλὰ τὸ μονῆρες καὶ ἀσύνθετον καὶ ἀποίκιλον τῆς ἁγίας Τριαδικῆς ἐξουσίας. Ἡ δὲ ἐξουσία ἐν τούτοις οὐκ ἐπὶ δυνάμεως ἁπλῶς κυριολεκτεῖται, ὡς εἰθίσμεθα, ἀλλὰ μᾶλιστα οὐσίαν δηλοῖ ἐξοχωτάτην ὑπερούσιον, ἥπερ ἐστὶν ὁ Θεὸς, τῆς ἐξ προθέσεως καὶ νῦν ἐπιτατικὴν δηλούσης ὑπεροχὴν, ὡς καὶ ἐν τῷ, ἐξώγκωται, καὶ ἐν τῷ Ἐκδικος ὁ ἄγαν δίκαιος, καὶ ἐν τοῖς ὁμοίοις, περὶ ὧν προγέγραπται. Τὸ δὲ ἐν μιᾷ πρὸς τὸ τρίτῃ ἀφορᾷ, ἵνα νοῶμεν ὡς τότε μὲν αἱ τρεῖς ὧραι τὸ τρισυπόστατον ὑπεσήμαινον τῆς θεότητος, νῦν δὲ παρ' ἡμῖν ἐν μιᾷ Κυριακῇ τὸ ἁπλοῦν καὶ ἑνιαῖον τῆς εἰρημένης ἐξουσίας δηλοῦται.

178. Et vide locutionem, in una dierum congregarit, dictione τρίτῃ ὡρῶν fuisse delineatam ; nisi quis τὸ ἡμερῶν τῇ κυρίᾳ syntaxi conjungat, quatenus apud nos dies hujusmodi festiva κυρία ἐστὶ (domina est) ipsa subsequentium dierum, quibus hebdomada componitur. Cum autem τὴν χάριν cum articulo dixerit, eximie gratiam Spiritus in supremo gradu significavit ; quam gratiam habens melioribus repletur, et sic, licet mille tribulationes sustineat, tanquam Deo omnimodo eum visitante satis habet. Et hoc demonstrat ille qui exinde, ubi deerant multa, didicit : Sufficit tibi gratia mea. Hic autem simplicitas non hanc significat communem, juxta quam aliquis simplex dicitur esse fictus, sed sanctæ Trinitatis substantiæ unitatem, absque compositione et varietate. In his autem ἡ ἐξουσία non simpliciter juxta morem de potentia proprie dicitur, sed potius substantiam indicat præstantissimam et supersubstantialem, quæ Deus est, proposita particula ἐξ etiam nunc ordinativam significante superiorem dignitatem, sicut in hoc : ἐξώγκωται, et in hoc : Ἐκδικος (qui nimis justus) et in similibus, de quibus ante scriptum est. Hoc autem, ἐν μιᾷ, ad hoc τρίτῃ, respicit, ut intelligamus tunc quidem tribus horis innuî Divinitatis trinitatem, nunc vero apud nos ἐν μιᾷ Κυριακῇ (una dierum Dominica) simplicitatem et unitatem dictæ præcellentis substantiæ demonstrari.

ρογ'. Ἐν δὲ τῷ, Υἱὸς, Πατὴρ, καὶ Πνεῦμα εὐλογητὸς εἶ, νοητέον μὲν Ἀττικῶς, Ὦ Υἱὲ, ὦ Πάτερ, ὦ Πνεῦμα· συννοητέον δὲ καὶ ὅτι τὸ, Εὐλογητὸς εἶ, ἐπηνέχθη ἑνικῶς τοῖς τρισὶν, ὡς εἶπερ εἶπεν, Εὐλογητοί ἐστε, πρὸς δήλωσιν τοῦ κατ' οὐσίαν ἑνιαίου αὐτῶν. Μίαν γὰρ τριπρόσωπον φύσιν καὶ ὁ τοιοῦτος δηλοῖ σχηματισμός. Μὴ θαυμαστέον δὲ εἰ προτέτακται Υἱὸς ἐνταῦθα τοῦ Πατρὸς διὰ τὴν ἀκολουθίαν τῆς ἀκροστιχίδος. Εἰ γὰρ καὶ εἰώθαμεν εὐαγγελικῶς Πατέρα λέγειν, εἶτα Υἱὸν, καὶ τρίτον τὸ Πνεῦμα, κατὰ τὸ, Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ὅμως κωλύει οὐδὲν κατὰ τὰς τῶν Πατέρων παραδόσεις καὶ τὸν Υἱὸν προτάσσειν καὶ τὸ ἅγιον Πνεῦμα ὀρθότητι ἐννοιακῇ, διὰ τὸ τῆς ἁγίας Τριάδος ἐφ' ἅπασιν ὁμότιμον, καὶ οὐδέ τι φθόνου ἐπισυρόμενον οὐδὲ ἐν ταῖς τοιαύταις κατ' ὄνομα προταγαῖς· ὃ μήτε ὑπονοεῖν, μήτε λέγειν ἀνδρὶ χριστιανῷ γένοιτο, εὖ εἰδότι μὴ ὅτι γε τοῦ Θεοῦ, ἀλλὰ καὶ παντὸς ἀγαθοῦ ἀνδρὸς ἐξόριστον εἶναι τὸ πάθος τοῦ φθόνου.

179. In hoc autem : Filius, Pater, et Spiritus, Υἱὸς, Πατὴρ, καὶ Πνεῦμα, εὐλογητὸς εἶ, Attice quidem cogitandum est ὦ Υἱὲ, ὦ Πάτερ, ὦ Πνεῦμα : simul autem est intelligendum quod id : εὐλογητὸς εἶ, ad tres singulariter prolatum est, quasi dixerit : εὐλογητοί ἐστε, benedicti estis, ad ostendendam eorum substantiæ unitatem : unam enim in tribus personis naturam talis forma demonstrat. Non vero mirandum si Filius hic prior Patre ponatur, ob acrostichidis sequelam : si enim secundum evangelium consuevimus dicere Patrem, deinde Filium et tertio Spiritum, juxta istud : Baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti, nihil tamen obstat juxta Patrum traditiones, quin, salva recta fide, prius ordine ponatur Filius et Spiritus sanctus, quia quod ad sanctam Trinitatem attinet ejusdem est dignitatis in omnibus, et ex his nominum præpositionibus nihil invidiosi consequitur quod neque suspicari, neque dicere contingat homini christiano, bene scienti quod non solum a Deo, sed ab omni homine probo procul abest invidiæ passio.

Hirmus odæ octavæ.

Solvit vincula, et rorat flammam
Terno lumine principatus forma.
Laudant pueri, laudate vero solum
Salvatorem, et conditorem omnium, et benefa-
Creata universa creatura. [ctorem.

180. Iste nexus e prodigio puerorum regalissimæ sanctæ Trinitati numero parium per sequelam octavi carminis clarissime continuatus, separatim quidem non meminit celebrati sancti Spiritus; sed in divina Trinitatis potestate sub memoriam et ipsum comprehendit, dicens : quod typus ille antiquus, qui secundum alium quidem melodum olim pingebat et præfigurabat Domini matrem; secundum autem hodiernæ festivitatis epicum poetam τὴν θεαρχίαν, a qua voce derivatum est prascriptum θεαρχικώτατον, subindicat etiam terlucidus, ὁ τρισσοφεγγής; ita ut iterum melodus charo lumine splendens hic etiam divina celebret; ille proinde typus supremæ divinæque potestatis quæ mundo salutaria postremum administravit, puerorum vincula solvit (non enim soluti, sed compedibi missi sunt in fornacem); et circumdantem ipsos flammam irroravit. Ilæc enim : λύει et δροσίζει, pro : ἔλυσε et ἐδρόσισε, consueta rhetorum regula, posita sunt. Postquam autem sic prorsus vivide prodigium illud melodus expressit, absque conjunctione per modum admirationis, adjicit quod hymnum canunt pueri illi primum; non enim adhuc tunc et alii; benedicit autem communiter Deum facta creatura, sive omnia opera ejus; hunc enim ut talem ipsi confitentur animæ perditores dæmones, veluti sanctum tradit Evangelium; ita ut cum pueris illis concinant omnes in mundo, sicut noverunt, et hymni consortium habeant. Et sic quidem nihil aperte videtur continere de festo præsens ille nexus octavi carminis; alias tamen innuit ænigmate sicut festivitas amat, et per verbum δροσίζει et per τὸ φέγγος, quod continetur in τρισσοφεγγεῖ θεαρχίᾳ; et per trium sanctorum puerorum prodigium, et per hoc, quod in igne, posteriores igneas linguas symbolice figurante, desuper et isti facti sunt sapientes, et philosophiam velut ignitam emiserunt, novis linguis et ipsi πυρπνόως ardenter cantantes, quæ sapientes musici non in carminibus imitarentur, necnon per trinam hanc prædictam *lucem*, eo quod præsens festivitas etiam habuit *luciferum* ignem, qui tales linguas manifestavit; perque humidum sicque liquidum et fluidum rorem, quo sibilantem concipimus septimi carminis Spiritum, id est : *Effundam de Spiritu meo super omnem carnem*. Si vero quoque verbum διασυρίζειν, ut dictum est, proloquantur, ad hodiernum vehementem flatum facile referemus, tale verbum διασυρίζειν exornantes, ex eo quod hodiernam apostolorum continentiam subindicat, et tamen ad illa præterita spiritaliter extendatur, quando regales fistulæ psaltoriaque inflabantur. Et ita quidem ista constituta sunt.

A

B

C

D

Εἱρμὸς ᾠδῆς ὀγδόης.

XXI. Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα
Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος.
Ὑμνοῦσι παῖδες, εὐλογεῖ δέ τε τὸν μόνον
Σωτῆρα καὶ παντουργὸν, ὡς εὐεργέτην,
Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

ρπ΄. Ὁ εἱρμὸς οὗτος ἐκ τῆς κατὰ τοὺς ἑσπερίους τῇ βασιλικωτάτῃ ἁγίᾳ Τριάδι παῖδας θαυματουργίας γοργότατα συνειρμένος διὰ τὴν τῆς ὀγδόης ᾠδῆς ἀκολουθίαν καταμόνας μὲν οὐ μέμνηται τοῦ ἑορταζομένου ἁγίου Πνεύματος· τῇ δὲ Τριαδικῇ θεαρχίᾳ συμπεριλαμβάνει εἰς μνήμην καὶ αὐτό, λέγων ὅτι Ὁ τύπος ὁ πάλαι ποτὲ κατὰ μὲν ἕτερον μελῳδὸν τυπῶν καὶ προεικονίζων τὴν τοῦ Κυρίου μητέρα, κατὰ δὲ τὸν ἐποποιὸν τῆς σήμερον ἑορτῆς, καὶ τὴν θεαρχίαν ὑποδηλῶν ἀφ' ἧς παρῆκται τὸ προγραφὲν θεαρχικώτατον ὁ τρισσοφεγγὴς, ὅ ἐστι κάνταῦθα τρίφωτος, ἵνα καὶ πάλιν ὁ μελῳδὸς φωτὶ λαμπόμενος φιλτῳ μέλπῃ τὰ θεῖα. Ἐκεῖνος τοίνυν ὁ τύπος τῆς ὕστερον διοικονομησαμένης θεαρχίας τὰ τῷ κόσμῳ σωτήρια ἔλυσε τὰ τῶν παίδων δεσμά· οὐ γὰρ ἄνετοι, ἀλλὰ πεδῆται εἰς τὴν πυρὰν ἐνεβλήθησαν, καὶ τὴν περισχοῦσαν αὐτοὺς φλόγα ἐδρόσισε. Τὸ γὰρ λύει καὶ δροσίζει ἀντὶ τοῦ ἔλυσε καὶ ἐδρόσισε τέθειται συνήθει νόμῳ ῥητορικῷ. Οὕτω δὲ πάνυ γοργῶς ὁ μελῳδὸς τὸ θαῦμα ἐκεῖνο φράσας ἐπάγει ἀσυνδέτως θαυμαστικῷ σχήματι, ὅτι ὑμνοῦσι παῖδες ἐκεῖνοι πρώτως. Οὐ δήπου γὰρ τότε καὶ ἄλλοι· εὐλογεῖ δὲ κοινῶς τὸν Θεὸν καὶ ἡ δημιουργηθεῖσα κτίσις, ἤγουν πάντα τὰ ἔργα αὐτοῦ· ὃν καὶ αὐτοὶ ὁμολογοῦσι τοιοῦτον οἱ ψυχόλεθροι δαίμονες, καθὰ τὸ ἅγιον παραδίδωσιν Εὐαγγέλιον· ὡς τοῖς παισὶν ἐκείνοις καὶ τοὺς τοῦ κόσμου συμμέλπειν ὅλους, ὡς οἴδαμεν, καὶ τοῦ ὕμνου συνεπιλαμβάνεσθαι· καὶ οὕτω μὲν οὐδέν τι πέφηνε περιέχων ἐναργῶς ἑορταστικὸν ὁ προκείμενος εἱρμὸς τῆς ὀγδόης ᾠδῆς· ἄλλως μέντοι αἰνίττεται ὡς ἡ ἑορτὴ φιλεῖ διά τε τοῦ δροσίζει, καὶ διὰ τοῦ φέγγους, ὅπερ ἔγκειται τῇ τρισσοφεγγεῖ θεαρχίᾳ, καὶ διὰ τοῦ κατὰ τοὺς ἁγίους τρεῖς παῖδας θαύματος· καὶ διὰ τούτου μὲν ὅτι ἐν πυρὶ συμβολογραφοῦνται τὰς ὕστερον πυρίνας γλώσσας, καὶ ἐκεῖνοι ἐσοφίσθησαν ἄνωθεν, καὶ ἀνεβάλοντο φιλοσοφίαν οἷον ἐμπύριον, καιναῖς γλώσσαις μέλποντες καὶ αὐτοὶ πυρπνόως, ἅπερ οὐδ' ἂν σοφοὶ μουσικοὶ ἐνευκαιροῦντες ᾄσμασι· διὰ δὲ τοῦ εἰρημένου Τριαδικοῦ φέγγους, ὅτι καὶ ἡ νῦν ἑορτὴ πῦρ φεγγοβόλον ἔσχεν, ὃ τοιαύτας γλώσσας ἀνέφηνε· διὰ δὲ τῆς ὑγρᾶς καὶ οὕτω χυτῆς καὶ ῥυτῆς δρόσου, ᾗ καὶ τὸ διασυρίζον Πνεῦμα συνενδυομούμεθα τῆς ἑβδόμης ᾠδῆς τὸ, Ἐκχεῶ τοῦ Πνεύματός μου καὶ ἐπὶ πᾶσαν σάρκα. Εἰ δὲ καὶ τὸ ὡς ἐμφάθη διασυρίζειν προλογισόμεθα, πρὸς τὸ σήμερον βίαιον Πνεῦμα ἠρέμα συμβιβάσομεν ἐκεῖνο, σεμνύνοντες τὸ τοιοῦτον διασυρίζειν, καὶ ἐκ τοῦ τὴν σήμερον ἀποστολικὴν ἐμμέλειαν αἰνίττεσθαι, καὶ πρὸς τὰ τότε ἀποτείνεσθαι πνευματικῶς μέντοι, ὅτε καὶ σύριγγες ἐνηργοῦντο βασιλικαὶ καὶ ψαλτήρια. Καὶ οὕτω μὲν καὶ ταῦτα καθέσταται.

ρπα'. Τὸν δὲ Θεὸν Σωτῆρά τε λέγει ὁ εἰρμὸς οὐ μόνον κοινῶς, ἀλλὰ καὶ ἰδίᾳ ἐκ τοῦ κατὰ τοὺς ἁγίους παῖδας θαύματος· καὶ πανεργὸν δὲ, ὡς ἐντεῦθεν ὀφειλέτας εἶναι τοὺς περὶ σύμπασαν κτίσιν τοῦ αὐτὸν ὑμνεῖν ὡς καὶ εὐεργετικώτατον· τοιοῦτο γὰρ ὑπερβαλλόντως ὁ καὶ κοινὸς Σωτὴρ καὶ Δημιουργός. Τὸ δὲ λύειν δεσμὰ, ὃ καὶ διαλύειν λέγεται, ὅτι διάφορόν ἐστι πρὸς τὸ ῥήσσειν ἐφάνη ἐν τῷ Ἐρρηξε πέδας γαστρός. Βίαιον μὲν γὰρ τὸ ῥήσσειν, γαληνὸν δὲ τὸ λύειν, καὶ μᾶλλον ἐνταῦθα λόγου· τάχα γὰρ τὰ δεσμὰ τῶν ἁγίων παίδων οὐδὲ ἁπλῶς ἔλυσεν ἡ καμινὰία φλὸξ ἐκείνη σιδηρᾶ ὄντα· μενοῦνγε τήξασα εἰς τὸ πρώην ἀνέλυσε μέταλλον, οὐ φλεγομένων τῶν παίδων, ἀλλὰ δροσιζομένων παραδόξως τῇ φλογί· καὶ ἔστιν εἰκάσαι προσφυῶς ὅτι καθὰ τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, τοιούτῳ τρόπῳ καὶ τὰ δεσμὰ τῶν ἁγίων ἐκείνων παίδων ἀπερρύη ἐν τῷ πυρί· ἀκονητὶ διεκπεσόντα ὡς οὐδὲ εἴπερ ὑποδήματα ἐλύθη αὐτοῖς ἐκ ποδῶν. Ὅτι δὲ τὸ διαλύειν διαφέρει τοῦ λύειν, δῆλον ἐκ τοῦ συναλλακτικῶς διαλύεσθαι, καὶ ἐκ τοῦ ἁλλως δὲ φυσικῶς κατὰ τὸ, Διαλύεται πᾶς ἄνθρωπος. Φανερὸν δὲ ὅτι γένος λύσεώς τε καὶ ῥήξεως τῶν ἀντιδιῃρημένων ἡ ἁπλῶς λύσις. Διὸ ἡ μὲν ῥῆξις καὶ λύσις τις λέγοι ἂν ἀναγκαίως, ἡ δὲ λύσις τὸ γένος, οὐκ ἐξ ἀνάγκης ῥῆξις, οὐδὲ ἡ λύσις τὸ εἶδος· τοῦ δὲ εἶναι γενικὴν λέξιν τὴν λύσιν, δεῖγμα ἡ τοῦ δεσμεῖν καὶ λύειν ἀντίθεσις. Οὐ γὰρ παρελάβομεν δεσμεῖν καὶ ῥήσσειν, ἀλλὰ Πάντα ὅσα ἂν λύσητε κάτω ἢ δήσητε, λελυμένα ἢ δεδεμένα ἔσται ἄνω. Πολλάκις μέντοι ὡς πολυώνυμα τὸ λύειν καὶ τὸ ῥήσσειν ταυτίζονται. Ῥήγνυται γοῦν καταπέτασμα, καὶ λύεται κρήδεμνα πόλεως· ἔτι δὲ ῥήγνυται ᾅδου δεσμὰ, καὶ καταλύεται σταυρῷ θάνατος. Εἰσὶ δέ τινες λύσεις ὧν προϋπάρχει δεσμὸς, αἷς οὐκ ἔστι προσαρμόσαι ῥῆξιν, οἷον τῇ τοῦ, Ἐξ ὁδοῦ κατελύοντο εἰς ἀνάπαυλαν· καὶ τοῦ, Λύοντο χρέος ἢ πλόκαμον, ἢ λυομένου αἰχμαλώτου, ἢ ἐπελύοντο χρησμόν· καὶ ὁ εἰπὼν δὲ ὅτι οὐδέν τι τέλη λύσει ἀντὶ τοῦ λυσιτελεῖ, οὐκ ἔχει ἀντιθεῖναι τῇ λύσει ταύτῃ ῥῆξίν τινα. Λύονται δὲ οὕτω καὶ αἰνίγματα καὶ ζητήματα· ὁμοίῳ δὲ λόγῳ καὶ πηδῶν δεσμά· εἰπεῖν γὰρ αὐτὰ ῥαγῆναι, ὀκνήσει τις. Φέρεται δὲ διαφορὰ ἐνσωμάτου λύσεως καὶ ῥήξεως, καθότι τὰ μὴ δυνάμενα λύεσθαι ῥήσσονται· τὰ δεσμὰ δὲ μεταπέπλασται ἀπὸ γένους ἄρρενος εἰς οὐδέτερον κατὰ τοὺς παλαιούς. Ὡς γὰρ ὁ ζυγὸς τὸ ζυγὸν ὀξυτόνως, καὶ ὁ σταθμὸς τὸ σταθμὸν, οὕτω καὶ ὁ δεσμὸς τὸ δεσμὸν, ὅθεν τὰ δεσμά.

181. Deum autem Salvatorem ait nexus non solum communiter, sed speciatim propter sanctorum puerorum miraculum; et omnium factorem, ut exinde debeant omnes qui totam componunt creationem, filium tanquam beneficentissimum hymnis celebrare. Taliter enim est superabundanter communis Salvator et Creator. Hoc autem : λύειν δεσμὰ, quod etiam dicitur διαλύειν, a verbo ῥήσσειν differre monstratum est in hoc : Ἐρρηξε πέδας γαστρός : violentum enim quidem est τὸ ῥήσσειν, tranquillum autem τὸ λύειν, et præsertim ibi sermonis : forte enim sanctorum puerorum vincula, cum essent ferrea, nec simpliciter solvit fornacis flamma ; imo vero liquefactum in primum statum resolvit metallum, non adustis pueris, sed flamma mirabiliter irrigatis. Et est apte conjiciendum quod sicut fluit cera a facie ignis, ita sanctorum quoque puerorum vincula profluxerunt in igne. Quod autem διαλύειν et λύειν inter se differant, patet ex hoc : συναλλακτικῶς διαλύεσθαι, et ex ejusdem verbi physiologico usu in hoc : διαλύεται omnis homo. Manifestum est autem quod genus λύσεως et ῥήξεως oppositorum, est simplex solutio λύσις. Ideo ῥῆξις etiam quædam λύσις solutio necessario sonat; λύσις autem, genus, non est necessario ῥῆξις neque λύσις species. Quod vero vox generis sit λύσις, argumentum est τοῦ δεσμεῖν et λύειν antitheta : non enim traditione recepimus δεσμεῖν et ῥήσσειν, sed : quæcunque solveritis (λύσητε) infra, vel ligaveritis(δήσητε), soluta vel ligata sursum erunt : sæpe tamen ut polyonyma verba λύειν et ῥήσσειν assimilantur : ῥήγνυται proinde aulæum, et λύεται urbis pinnarum decus. Adhuc autem ῥήγνυται inferni vincula, et καταλύεται cruce mors. Sunt autem quædam λύσεις, quas præcesserunt vincula et quibus non est adaptare ῥῆξιν, qualis hæc : Ex itinere solvebantur in requiem ; et illæ : λύοντο debitum vel cincinnus ; vel λυομένου αἰχμαλώτου (soluto captivo), vel ἐπελύοντο χρησμὸν (solvebant oraculum) et qui dixit quod οὐδέν τι τέλη λύσει pro : λυσιτελεῖ, non habet huic solutioni tertiæ ῥῆξιν supponere. Sic autem etiam solvuntur ænigmata et quæsita, similiter vero quoque pedum vincula : hæc namque dicere rumpi (ῥαγῆναι) aliquis non audeat. Videtur autem differre corporalis λύσις ac ῥῆξις, quatenus ea quæ solvi nequeunt rumpuntur. Vincula vero commutata sunt Græce ex masculino genere in neutrum juxta veteres. Sicut enim ὁ ζυγὸς, τὸ ζυγὸν cum acuto tono ; et ὁ σταθμὸς το σταθμὸν, sic etiam ὁ δεσμὸς τὸ δεσμὸν, unde τὰ δεσμά.

ρπβ'. Τὸ δὲ δροσίζει τὴν φλόγα ἱκανῶς ἐρρητόρευται τοῖς πάλαι ἁγίοις· ἀκόλουθον δὲ τῇ συμβουλογραφίᾳ τῆς κατὰ τοὺς ἁγίους τρεῖς παῖδας ἱστορίας, οὓς ἡκάμενος ὅσα καὶ ζωογόνος ἀὴρ οὐ κατέκαυσεν· ἀλλὰ ζωογόνον θάλψασα περιεσώσατο μόνον τὸ φωσφόρον αὐτῆς καὶ φαεινὸν ἀποσυλῆσαι κατὰ νοῦν ἡμᾶς καὶ ἐκμάξασθαι· οὐ μὲν τὸ καυστικὸν συνεπινοῆσαι καὶ καταναλίσκον καὶ παμφάγον, ἀλλὰ τῷ αἰσθητῷ πυρὶ ἀφεῖναι αὐτά. Διὸ οὐδὲ εἶπεν ὡς

182. Hoc autem : δροσίζει τὴν φλόγα, valde rhetoricati sunt veteres sancti, sed consequenter ad symbolicum sensum historiæ trium sanctorum puerorum quos missus quasi vivificus aer non combussit, dum ipsa calefaciens vivificat tantum remansit ut quod in ipsa luciferum et lucidum erat, nos juxta mentem auferremus et exprimeremus ; nec quidem adhuc cogitaremus aliquid causticum, consumens et devorans, sed istæ sensibili igni relinqueremus. Ideo

non dixit : Solvit vincula irroratque flammam ὁ πυρσοειδὴς τῆς θεαρχίας τύπος, vel aliud quid simile, sed ὁ τρισσοφεγγὴς, pulchre componens et ibi dictionem istam, ut est sibi charum : φέγγος enim non urit, sed illuminat. Observandum est autem in talibus, quod si typus ille ter lucidæ potestatis divinæ hæc portentose fecit, quanta miraculose possit operari typo figurata Θεαρχία, cujus typus talia valet. Quoniam autem ipse typus mysterio pariter incarnationis aptatur relate ad augustissimam Virginem Matrem, quæ quidem recepit divinitatis ignem, nec tamen fuit consumpta, cogitandum est etiam de præfigurata sancta Deipara, qualis est nobis et qualis erit perpetuum in salutem, passionum flammas exstinguens, et omne vinculum compedemque ac cæteram constrictionem lethiferam animæ solvens.

A λύει δεσμὰ καὶ δροσίζει φλόγα ὁ πυρσοειδὴς τῆς θεαρχίας τύπος, ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ ὁ τρισσοφεγγὴς· συνθεὶς καλῶς κἀνταῦθα τὴν λέξιν, ὡς φίλον αὐτῷ· φέγγος γὰρ οὐ καίει, ἀλλὰ φωτίζει· ἐπιστῆσαι δὲ χρὴ ἐν τούτοις ὡς κἂν τύπος ἐκεῖνος τῆς τρισσοφεγγοῦς θεαρχίας τοιαῦτα ἐθαυματούργησεν, ἡλίκα ἔχει τερατουργεῖν ἡ τυπουμένη θεαρχία, ἧς ὁ τύπος τοιαῦτα ἰσχύει. Ἐπεὶ δὲ αὐτὸ τύπωμα καὶ τῷ μυστηρίῳ τῆς ἐνσάρκου οἰκονομίας ἁρμόττεται τῷ κατὰ τὴν πάναγνον Μητροπάρθενον, δεξαμένην μὲν τὸ τῆς θεότητος πῦρ, οὐ μὴν καταφλεχθεῖσαν, συννοητέον καὶ τὴν προτετυπωμένην ἁγίαν Θεοτόκον, ὁποία καὶ ἔστιν ἡμῖν καὶ ἔσται δ' αἰῶνος εἰς σωτηρίαν, φλόγας τε παθημάτων ἀποσβεννῦσα, καὶ κλοιὸν πάντα, καὶ ποδοκάκην, καὶ λοιπὸν B σφιγμὸν ψυχόλεθρον λύουσα.

185. Hoc vero : Omnis creatura a Deo condita benedicit illum qui solus est Salvator, et reliqua, interpretatio est locutionis : Benedictus Deus, non a talibus scilicet et talibus, sed ab omni creatura, sive ab omnibus operibus Domini, sicut nona psallit ode, multum vivide disponens eorum partes, ubi sunt ipsius sacerdotes et servi, familiares amici sancti apostoli sacerdotaliter ipsi ministrantes, et ita facti liturgici spiritus, prævia visione noti magno David, qui spiritus speculatur angelos Dei et flammam ignis ipsi ministrantes : quæ certe conveniunt intelligentibus recta. Prævia autem eorum indicia erant, ex melodo sanctorum puerorum, secundum nonam oden, choro, fulgura et nubes, quæ canebant illi camino clusi, prævidentes symbolicum hodie celebratum flatum et ignicoloram visionem linguarum, quarum symbolum erant nubes, opportune spirituum matres, et flammifera fulgura.

ρπγ'. Τὸ δέ· Ἡ σύμπασα κτίσις ἡ δημιουργηθεῖσα εὐλογεῖ τὸν μόνον Σωτῆρα καὶ ἐξῆς, ἑρμηνεία ἐστὶ τοῦ, Εὐλογητὸς ὁ Θεὸς, οὐχ ὑπὸ τῶνδε ἢ τῶνδε δηλαδὴ, ἀλλ' ὑπὸ πάσης κτίσεως, ἤγουν ὑπὸ πάντων τῶν τοῦ Κυρίου ἔργων, ὡς ἡ ὀγδόη ψάλλει ᾠδή· ὧν τὰ κατὰ μέρος αὐτὴ διασκευάζει πάνυ γοργῶς· ἐν οἷς οἱ αὐτοῦ ἱερεῖς καὶ δοῦλοι, καὶ οἰκειακοὶ φίλοι ἅγιοι ἀπόστολοι, λειτουργοῦντες αὐτῷ ἱερατικῶς, καὶ οὕτω λειτουργικὰ ὄντες πνεύματα, γινωσκόμενα προφητικῶς καὶ τῷ μεγάλῳ Δαβὶδ, ὃς πνεύματα θεωρεῖ τοὺς τοῦ Θεοῦ ἀγγέλους, καὶ φλόγα πυρὸς τοὺς λειτουργοῦντας αὐτῷ. Ἃ δὴ ἐπιπρέπει τοῖς C νοοῦσιν ὀρθά· προμήνυμα δὲ τούτων ἐκ τῆς κατὰ τὴν ὀγδόην ᾠδὴν ἐμμελοῦς τῶν ἁγίων παίδων χορείας, καὶ ἀστραπαὶ καὶ νεφέλαι, ἃς ἐκεῖνοι καμινευόμενοι ἐψαλλον, προορώμενοι τὴν ἄρτι πανηγυριζομένην συμβολικὴν πνοὴν καὶ τὴν πυρσοειδῆ θέαν τῶν γλωσσῶν, ὧν σύμβολον νεφέλαι μητέρες πνευμάτων ἐν καιρῷ, καὶ φλογωποὶ ἀστραπαί.

186. Hæc sunt odes nonæ ; quibus conjungendæ sunt ibi celebratæ lux et tenebræ ; per quas significatur quod apostolici viri aliquando quoque Mosaico more obscurantur, ut prima ode canonis docuit, et iterum resplendent, ut ipse copiose tradidit. Opportunum autem est nobis hic dicere id quod in apostolis æthereum est ac spirituale, aeris elevatione subindicari : juxta quam sublimi volatu tanquam aquilæ surgentes illi, in prædictum augustissimæ Deiparæ tabernaculum requieverunt. Dictum vero Τὸν μόνον Σωτῆρα, multum securate scriptum est : sicut enim unus est Deus qui Deus deorum est, unusque Dominus qui dominorum est Dominus, sic etiam unus est Salvator qui salvatorum Salvator est. Reliqui vero ex ipse per communicationem sunt salvatores, si tantum est quod salvent. Dat autem mihi sic dicendi rationem, qui tradidit non esse confidendum in principibus, in filiis hominum in quibus non est salus. Quod autem ex Græcorum spinis hanc salutarem rosam collegerimus, ante scriptum est. Attici namque primi Jovem excellenter salvatorem inscripserunt.

ρπδ'. Ταῦτα δὴ τῆς ὀγδόης ᾠδῆς· οἷς κολλητέον καὶ τὸ μελῳδούμενον ἐκεῖ φῶς καὶ σκότος· ἐπεί τοι καὶ γνόφῳ μὲν σύστοιχον τὸ σκοτῶδες, ἀστραπῇ δὲ ἀρετὴ τὸ φῶς· δι' ὧν θηλοῦται ὡς οἱ ἀποστολικοὶ ἄνδρες καὶ γνοφοῦνται ποτε Μωσαϊκῶς, ὡς ἡ πρώτη ᾠδὴ τοῦ κανόνος ἐδίδαξε, καὶ φωσφοροῦσιν αὖθις ὡς αὐτὸς πλατέως παρέδοτο. Εὔκαιρον δὲ ἡμῖν εἰπεῖν ἐνταῦθα καὶ ὅτι τὸ συμβολικῶς πνευματικὸν, καὶ αἰθέριον τῶν ἀποστόλων, καὶ ἡ ἀερία συγκρότησις ἔπαρσις· ἣν ἐκεῖνοι μετάρσιοι πετόμενοι ὡσεὶ καὶ ἀετοὶ, ἐπὶ τὸ τῆς πανάγνου σκήνωμα προκείμενον Θεομήτορος ἀνέπαυσαν. Τὸ δὲ, Τὸν μόνον Σωτῆρα, πάνυ συντετηρημένως γέγραπται. Ὡς γὰρ μόνος Θεὸς ὁ τῶν θεῶν Θεὸς, καὶ Κύριος ὁ τῶν κυρίων Κύριος, οὕτω καὶ Σωτὴρ μόνος ὁ τῶν σωτήρων Σωτήρ· οἱ γὰρ λοιποὶ ἐξ αὐτοῦ σωτῆρες κατὰ μετάδοσιν, εἰ τέως καὶ σώζουσι. Δίδωσι δέ μοι τοῦτο λέγειν ὁ παραδοὺς μὴ πεποιθέναι ἐπ' ἄρχοντας ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία· ὡς δὲ ἐξ Ἑλληνικῶν ἀκανθῶν καὶ τὸ σωτήριον τοῦτο ῥόδον ἀπολέλεκται, προγέγραπται· Ἀττικοὶ γὰρ πρῶτοι κατ' ἐξαίρετον Δία σωτῆρα ἐπεγράφοντο.

ρπε'. Ὁ δὲ παντουργὸς παρὰ μὲν τοῖς ὕστερον

ἁγία λέξις ἐστὶν ὁμολογουμένως· μόνος γὰρ παντουργὸς ὁ Θεὸς παρ' ἡμῖν εὐσεβῶς. Οἱ δὲ καθ' Ἕλληνας τῆς αὐτῆς εἶχον σημασίας τὸν παντουργὸν, ὡς καὶ προδεδήλωται, τὸν καὶ ἐφ' οἷς οὐ χρὴ περιεργότατον καὶ οὕτω κακοεργόν· οὐ παντὶ ἔργῳ τῷ κατ' ἄνθρωπον ἐναρέτως ἐπιβάλλοντα, ἐγχειροῦντα δὲ καὶ οἷς οὐκ ἐχρῆν· ὃ δὴ καὶ τῶν τις παλαιτάτων σοφῶν κατηγορηθεὶς ἐβλάβη ὡς διαστρέφων τοὺς μαθητευομένους ἐν τῷ ἀναγινώσκειν αὐτοῖς τὸ, Ἔργον δ' οὐδὲν ὄνειδος, οὐ πρὸς ὀρθὸν, λόγον ὡς ὁ κατήγορος ἔφη· ἀλλ' ὅτι ἔργον οὐδὲν ὄνειδός ἐστιν, ἤγουν οὐδὲ μία ἐργασία πρὸς ὀνειδισμοῦ γένοιτ' ἂν τῷ ἀποπληροῦντι αὐτήν· ὃς δὴ λόγος ἄτοπος ἐξεφαίνετο, εἰ παιδεύοι μὴ ὀνειδισμόν τινα ἔχειν τὰ ἐφάμαρτα ἔργα, ἐπαινετὸν δὲ εἶναι καὶ τὸν ἅπαντα ἐργαζόμενον καὶ οὕτω παντουργόν· διὸ εἰς ἀπόβλητον ἀπερρίπτειτο τοῖς τότε ὁ παντουργός· ὕστερον μέντοι τοῦ ἔργου ἀποκριθέντος εἰς ἑρμηνείαν πράξεως ἀγαθῆς, καὶ ἰδιάσαντος εἰς ἐπαινετὸν καὶ πρέπον βίῳ πολιτικῷ, καὶ ἐργάτου λεγομένου τοῦ εὐεργοῦ καὶ ἐνεργοῦς ἐπὶ καλῷ, προλιπὼν ἡμᾶς ὁ παντουργὸς ἀπὸ χθονὸς εὐρυοδείης εἰς Ὄλυμπον ἀναβέβηκε, τῷ Θεῷ εἰς ἐπωνυμίαν οἰκειωσάμενος, καὶ τὸν πανοῦργον καταλέλοιπεν εἰλεῖσθαι περὶ ἡμᾶς· οὕτω καὶ θαυματουργὸς πάλαι μέν ποτε ὁ παιγνίαν τὴν ὄψιν ἀποπλανῶν ὁποῖα τὰ περιᾳδόμενα Σωκράτους εἶναι, καὶ ἄλλα δέ τινα ὧν κατέπαιξεν Ὠριγένης ἀπελέγξας αὐτά, θαύματα μωροῖς ἐκεῖνα κατὰ τὸν οὕτω φάμενον· ὕστερον μέντοι ὁ θαυματουργὸς θειοτάτη λέξις ἐστὶ, Θεοῦ θαυμαστοῦντος τὴν ἐκεῖθεν τοιαύτην χάριν ἔχοντα.

ρπς'. Ὁ δὲ εὐεργέτης καὶ βασιλέως ἀγαθοῦ, Πτολεμαῖος δὲ ἦν ἐκεῖνος, ἐπώνυμον ἐκεχρίθη γενέσθαι, διὰ τὸ ἐνθέως ἀγαθὸν τοῦ εὐεργετεῖν, εἴ τι μεμνήμεθα, βασιλέως παλαιοῦ φαμένου ὅτι Σήμερον οὐκ ἐβασίλευσα, οὐ γὰρ εὐηργέτησα· καὶ αὖ πάλιν ἑτέρου μὴ τοιούτου, περὶ οὗ σοφός τις ἐρωτηθεὶς ἐν τῷ τοῦ ἀρχείου ἐξιέναι, τί ὁ βασιλεὺς ποιεῖ, Πτωχούς, ἔφη· σκώπτων ἐκεῖνος τὸν ἄρχοντα ὡς μὴ εὐεργετικόν. Καὶ τῷ ὄντι βασιλεὺς φειδόμενος θησαυρῶν καὶ δι' αὐτὸ χρυσοφυλακῶν μύρμηξ ἂν εἴη χρυσωρυχῶν, ὃς ἐνθυμεῖσθω καὶ τοὺς ἱστορουμένους μύας εἰς οὐδὲν δέον φιλεῖν τὸν χρυσόν. Οὕτω δὲ καὶ πᾶς πλούσιος τῇ γῇ πιστεύων τὰ χρήματα ἢ τοίχοις παραβύων εἰς νοῦν λαμβανέτω μὴ ἂν πρεπόντως ταφήσεσθαι, εἴπερ αὐτὸς θάπτει τὰ μὴ ἄξια κατακρύψεως, ἀλλὰ διαδόσεως τῆς πρὸς τοὺς ἀδελφούς. Ὁ δ' αὐτὸς ἐννοείσθω καὶ ὅτι ἅμα χρήματα ἐκρύβησεν, καὶ ὁ Θεὸς τοὺς οἰκτιρμοὺς αὐτοῦ συνέστειλε, λέγων οἱονεὶ ὅτι, Δὸς, ὦ πλούσιε, καὶ δώσω, εὐεργέτησον, καὶ εὐεργετήσω, καὶ οὕτως ἔσομαί σοι οὐκ ἀποδότης καὶ βραβευτὴς χάριτος, ἀλλὰ δώσω σοι ὀφειλετικῶς ἄξιον ἀνταπόδομα. Ὅρα δὲ ὅτι τὸ εὐεργετεῖν, ὅ ἐστιν εὐποιεῖν, εἴτουν εὖ ποιεῖν, ἡ μετάδοσις ἐξιδιώσατο ἀποκληρωτικῶς κατ' ἐξαίρετον διὰ τὸ θεομίμητον· εἰς ὃ μαρτυρεῖ ὁ γνωματευσάμενος τὸν εὐεργετοῦντα μιμητὴν εἶναι τοῦ Θεοῦ.

ρπζ'. Τὸ δὲ δημιουργεῖν, εἴπερ ὁ πάντων ποιητὴς καὶ Θεὸς ἀνέχεται ἀνατίθεσθαι εἰς ἐπωνυμίαν αὐτῷ

A omnium confesso, sacra dictio est : solus enim Deus apud nos pie dicitur παντουργός. Auctores autem Græci, sicut præmonstratum est, ejusdem significationis habebant τὸν παντούργον, illum qui valde operarius est in quibus non oportet, et sic malefactor est ; qui non omni se dat operi humano laudabiliter, sed manum ingerit ubi non oportet ; de quo unus ex antiquissimis sapientibus accusatus punitus fuit ut pervertens discipulos ipsis persuadendo quod « nullum opus probrum est. » Non ad rectam rationem, ut accusator dixit, sed quod nullum opus probrum est, seu nulla actio probro esse potest, adimplenti illam : qui sane sermo videbatur absurdus, si doceret nullum probrum habere peccatoria

B opera, laudabilem vero esse cuncta operantem et ita παντουργόν. Ideo contemptui tradatur hominibus hujus ævi ὁ παντουργός. Posterius tamen, opere in interpretationem actionis bonæ æstimato, proprieque pertinente ad id quod laudatur et competit homini politico, et operario dicto illo qui bene viriliterque agit in bono, derelinquens nos ὁ παντουργὸς ἀπὸ χθονὸς εὐρυοδείης in Olympum ascendit, in cognomen Deo propriatus, et τὸν παντουργόν circa nos versari reliquit. Sic etiam olim θαυματουργός ille quidem erat qui jocosa specie seductorie fingebat, qualia sunt quæ celebrantur esse Socratis et alia quædam de quibus confutatis risit Origenes : hæc autem juxta nomen erant miranda stultis. Posterius tamen ὁ θαυματουργός divinissima vox facta est, Deo mirum

C faciente illum qui talem exinde gratiam habet.

186. Vox autem ὁ εὐεργέτης boni regis, et hic quidem erat Ptolemæus, cognomen fieri judicata est, eo quod divinitus bonum est benefacere, si meminerimus veteris illius regis, aientis : Hodie non regnavi ; non enim benefeci; et alterius haud similis, de quo sapiens quidam in palatii exitu interrogatus quid rex faceret, Pauperes, inquit, considerans iste principem ut non beneficum. Et revera princeps thesauris parcens, et ideo auricustos, formica quædam esset infodiens aurum ; hic in mentem revocet traditos memoriæ mures in nullam utilitatem aurum diligentes. Sic autem etiam omnis dives terræ fidens divitias aut muris inserens,

D mente concipiat se non forte decenter esse tumulandum, etsi tumulet ipse res absconsione non dignas, sed potius erga fratres largitione. Ipse vero quoque recogitet quod, ubi thesauros abscondit, simul et Deus misericordiam conclusit in eum, quodammodo dicens : Da, dives, et dabo, benefac et benefaciam ; et sic ero tibi non gratiæ largitor et redditor, sed tibi debitam dignamque retributionem dabo. Vide ergo quod τὸ εὐεργετεῖν, id est benefacere, sibi tanquam hæreditatem excellenter appropriat ob imitationem Dei bonorum communicatio : quod testatur sententia illius qui dixit, beneficium imitatorem esse Dei.

187. Hoc autem δημιουργεῖν, si quidem omnium factor et Deus consentit accipere sibi cognomen

a nobis, maxima est gratia. Quid enim est ad illum hujusmodi dictio: Quomodo δημιουργός est hic universi mundi creator? δημιουργόν norunt antiqui illum qui publica agit, qui civilia operatur, qui, ut ita dicam, laboriosæ multitudinis est homo. Et tamen ille qui propter nos peccatum et maledictio vocatus est et sustinuit, sustinet, sicut videam ipsi tanquam pauperi quosdam obolos porrigentem, sic et nos ipsum cognominantes juxta quamdam omnino bonitatem, ex qua partiaria licet et particulari, transit ad aliquid excelsius is qui mente transcendit. Sic etiam gubernator, qui mundum dirigit, et plastes, qui summe sapiens est et artifex, vocari gaudet. Vox σύμπασα nihil eorum quæ sunt in mundo, neque mortale, neque immortale sine Deo esse demonstrat; κτίσις autem a Dei opificio subtrahit malitiam: peccatum enim ipse secundum nullam hujs sententiæ significationem creavit aut fecit. Simul autem seipsum increatum esse solum ostendit.

Troparium primum odæ octavæ.

Memoriam Christus verborum quibus mortales
Quæ a Patre audivit, apostolis dixit,
Spiritus præparat linguarum ignearum spectaculo
Insidens, benedictum, assimilata:
Alienata vero laudat te creatio.

188. Scimus Salvatorem Christum præveniendo promisisse discipulis: Cum Paraclitus venerit, docebit vos omnem veritatem et suggeret vobis quæcunque dixi. Novimus etiam quod nihil est apud Patrem, quod non sit etiam apud Filium; et quæ audivit a Patre, discipulis nota fecit. Tales igitur sententias componens melodus ait quod Christus τεύχει, id est, parat et facit sibi consubstantialem et supremum dominum, Spiritum sanctum, μνήμην, id est, memoriale recordationemque τῶν βροτοσσώων ἐπῶν, salutarium, sermonum, quos πατραμουσθείς, sive a Patre audiens, tanquam exhinc illos accipiens, sicut et ex ipso et Spiritu sancto, apostolis dixit, sicut doctor illos tradens. In memoriam igitur revocavit ipsis Spiritus sanctus juxta dictam promissionem, et apud eos mansit sedens benedictus, id est, insidens et, sicut post Davidicam dedicationem, modo stabili et immutabili in loco constitutus. Quomodo vero discipulis venit Spiritus sanctus in recordationem, ad instar, ut aliquis diceret, memorantis et recordationem suggerentis? In visione γλωσσοπυρσεύτῳ, sive in specie flammearum ignearumve linguarum. Hoc autem facto, hisque ab ista die exorsis omnes docere et baptizare idololatras gentes, vindicata tibi, Christe, tandem creatura tibi per idololatricum errorem quondam aliena, μέλπει, id est, cum melodia te celebrat: μέλπειν enim non est simpliciter laudare, sed, uti demonstratum est, cum cantu, secundum etymologiam ἕπεσθαι μέλει.

189. Quod memoriam ibi recordationem dicat, evidens est: doctrina namque prævia, oblivione postea ut par est insecuta, supervenit recordatio,

παρ' ἡμῶν, μεγίστη χάρις. Τί γὰρ πρὸς αὐτὸν ἡ τοιαύτη λέξις; πῶς δὲ δημιουργὸς ὁ τοῦ κόσμου σύμπαντος ποιητής; δημιουργὸν οἴδασιν οἱ παλαιοὶ τὸν τὰ δήμια ἐργαζόμενον τὸν πολιτικὸν, χειρώνακτα, τὸν, ὡς αὐτὸς εἰπεῖν, τῆς χειρομάχου πληθύος ἄνθρωπον. Καὶ ὅμως ὁ δι' ἡμᾶς ἁμαρτία καὶ κατάρα ὀνομασθεὶς καὶ ἀνασχόμενος, ἀνέχεται καθὰ χήρᾳ; οἷα καὶ πάντα αὐτῷ πορίζούσης ὀβολούς τινας, οὕτω καὶ ἡμῶν ἐπονομαζόντων αὐτὸν κατά τινα ὅλως χρηστότητα, ἐξ ἧς μερικῆς οὔσης καὶ ἰδιωτιζούσης, μεταχωρεῖ πρὸς τὸ ὑψηλότερον ὁ τὸν νοῦν διαβατικός· οὕτω καὶ κυβερνήτης ὁ τὸν κόσμον παραγεγὼν χαίρει ἀκούων, καὶ πλάστης ὁ καὶ παντεχνήμων καὶ πάνσοφος. Τὸ δὲ σύμπασα οὐδέν τι τῶν ἐν τῷ κόσμῳ δίχα Θεοῦ γενέσθαι παραδηλοῖ, οὔτε θνητὸν, οὔτε ἀθάνατον· τὸ δὲ κτίσις ὑπεξάγει τῆς κατὰ Θεὸν δημιουργίας τὴν κακίαν· ἁμαρτίαν γὰρ αὐτὸς κατ' οὐδὲν σημαινόμενον ἐννοίας τοιαύτης ἔκτισεν, εἴτουν ἐποίησεν· ἅμα δὲ καὶ ἄκτιστον αὐτὸν εἶναι μόνον παραδηλοῖ.

Τροπάριον πρῶτον τῆς ὀγδόης φδῆς.

XXII. Μνήμην ὁ Χριστὸς τῶν βροτοσσώων ἐπῶν,
Ἃ πατρακουσθεὶς τοῖς ἀποστόλοις ἔφη,
Τὸ Πνεῦμα τεύχει γλωσσοπυρσεύτῳ θέᾳ,
Ἔφιζον, εὐλογητόν· οἰκειουμένη,
Ἠλλοτριωμένη δὲ μέλπει σε κτίσις.

ρπη'. Οἴδαμεν φθάσαι τοῖς μαθηταῖς ὑποσχετικῶς τὸν Σωτῆρα Χριστὸν ὅτι, Ὁ Παράκλητος ἐλθὼν διδάξει ὑμᾶς πάντα, καὶ ὑπομνήσει ἃ εἶπον ὑμῖν· ὡσαύτως; οἴδαμεν καὶ ὅτι οὐδέν τι παρὰ τῷ Πατρί ἐστιν ὃ μὴ καὶ παρὰ Υἱῷ· καὶ ὅτι ἃ παρὰ τοῦ Πατρὸς ἤκουσεν, ἐγνώρισε τοῖς μαθηταῖς. Τὰς τοιαύτας οὖν ἐννοίας; ἐνταῦθα συνάψας ὁ μελῳδὸς, φησὶν, ὅτι ὁ Χριστὸς τεύχει, ὅ ἐστι κατασκευάζει καὶ ποιεῖ τὸ ὁμοούσιον, καὶ συναδέσποτον ἅγιον Πνεῦμα, μνήμην δ ἐστι μνημόσυνον, καὶ ἀνάμνησιν τῶν βροτοσσώων ἐπῶν, ἤγουν τῶν σωτηρίων λογίων, ἃ πατρακουσθεὶς, ἤγουν πατρόθεν ἀκούσας, ὡς ἐκεῖθεν αὐτὰ λαβὼν, καθὰ καὶ ἐξ ἑαυτοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τοῖς ἀποστόλοις ἔφη, παραδοὺς ἐκεῖνα διδασκαλικῶς· καὶ τοίνυν ἀνέμνησεν αὐτοὺς; τὸ ἅγιον Πνεῦμα κατὰ τὴν εἰρημένην ἐπαγγελίαν, καὶ παρέμεινεν αὐτοῖς ἐφίζον εὐλογητὸν, ὅ ἐστιν ἐπικαθήμενον καὶ ὡς οἷον μετὰ ἐγκαινισμὸν Δαυιτικὸν ἐνιδρυθὲν εἰς ἀμετάθετον καὶ ἀμετάστατον. Πῶς δὲ ἐπῆλθε τοῖς μαθηταῖς τὸ ἅγιον Πνεῦμα εἰς ἀνάμνησιν, δίκην ὡσανεὶ, εἴποι τις μνήμονος, ἤγουν ὑπομιμνήσκοντος; Ἐν θέᾳ γλωσσοπυρσεύτῳ, ἤγουν ἐν εἴδει πυρσῶν γλωσσῶν ἤτοι πυρίνων. Τούτου δὲ οὕτω γενομένου, καὶ τῶν ἀπὸ τῆς ἄρτι ἀρξαμένων καὶ μαθητευσάντων πάντα τὰ εἰδωλολατροῦντα ἔθνη καὶ βαπτισάντων, οἰκειουμένη σοι, ὦ Χριστὲ, τοῦ λοιποῦ ἡ κτίσις ἡ ἠλλοτριωμένη πρώην ἀπὸ σοῦ διὰ τὴν εἰδωλικὴν πλάνην, μέλπει σε, ὅ ἐστιν ὑμνεῖ σε μετὰ μέλους· μέλπειν γὰρ οὐχ ἁπλῶς τὸ ἐπαινεῖν, ἀλλ' ὡς καὶ προδεδήλωται, τὸ μετὰ ᾄσματος, παρὰ τὸ ἕπεσθαι μέλει.

ρπθ'. Ὅτι δὲ μνήμην ἐνταῦθα τὴν ἀνάμνησιν λέγει, δῆλον· διδασκαλίας γὰρ προϋπαρξάσης, εἶτα λήθης ὡς εἰκὸς ἐγγενομένης, ἐπεισέρχεται ἀνάμνη-

σις, ἀναπόλησις οὖσα μνήμης ἐκείνης, καὶ μνήμη μὲν καὶ αὐτὴ λεγομένη, κυριώτερον δὲ ἀνάμνησις. Τὸ δὲ, βροτοσσώων ἐπῶν, δηλοῖ μὲν τοὺς τῶν βροτῶν σωστικοὺς λόγους τοῦ Θεοῦ· παραλήγεται δὲ τῷ μεγάλῳ ω, ὡς ἀπὸ τοῦ σώω τὸ σώζω. οὗ παράγωγον τὸ σωέσκω καὶ σώεσκον, ὡς τὸ ζώω, ζωέσκω καὶ ζώεσκον. Εἰ δὲ καὶ διὰ τοῦ ο μικροῦ γράφει τις αὐτὴν παραλήγουσαν, οὐ σφαλήσεται. Εἰ γὰρ σόος ὁ ὑγιὴς παρ' Ὁμήρῳ ἀπὸ τοῦ σέω τὸ ὁρμῶ, καὶ ἐκεῖθεν λαοσσόος θηλυκῶς ἡ σωστικὴ τοῦ λαοῦ, δύναται εἶναι καὶ λαοσσόα ἔπη τὰ θεῖα, δι' ὧν ὑγιῶς ἔχει ἀρεταίνων ὁ ἄνθρωπος. Εἰ δέ τις ἐρεῖ λαοσσόον εἶναι Ὁμηρικῶς τὴν σόουσαν, ἤγουν κινοῦσαν τὸν λαὸν εἰς πόλεμον, ᾧ δὴ ὅμοιον καὶ τὸ δορυσσόος, καλῶς μὲν λέγει καὶ ἐκεῖνος, οὐκ ἀνατρέπει δὲ τὸ παρ' ἡμῶν ῥηθὲν, ἀσφάλτως γὰρ εἴρηται. Τάχα δὲ καὶ κατὰ τοιοῦτον σημαινόμενον βροτοσσόα ἔπη τὰ τοῦ Θεοῦ λέγονται, οἷα σέοντα ἤτοι σέβοντα, καὶ παρακινοῦντα τὸν ἄνθρωπον εἰς ἀγαθοπραξίαν· ἀληθῶς γὰρ δίχα δ.δασκαλίας θείας καὶ ἐπιπνοίας τῆς ἐκ Θεοῦ καὶ συνάρτεως ἀκινητίζει τὰ εἰς ἀγαθουργίαν ὁ ἄνθρωπος· ποιητικῶς δὲ τὸ βροτοσσόων διπλάζει τὸ σ· καθὰ καὶ τὸ δορυσσόος, καὶ λαοσσόος.

ρι'. Τὸ δὲ ἐπῶν εὔτονον μὲν ἦν ἐὰν εἶπε λόγων κατὰ τὴν ἀκολουθίαν τοῦ εἱρμοῦ· ὅτι δὲ ἡ προδεδηλωμένη τοῦ κανόνος ἀκροστιχὶς ἀπαιτεῖ τὸν ἐνταῦθα δεύτερον στίχον τοῦ τροπαρίου μὴ ἄλλοθεν ἄρξασθαι, ἀλλ' ἀπὸ τοῦ ἄλφα, μεταλαβὼν ὁ μελῳδὸς τὸ ἐπῶν οὐδέτερον πληθυντικὸν, ἐπάγει, Ἃ παρακουσθεὶς ἔφη, τουτέστι τὰ ἔπη. Τὸ δὲ παρακουσθεὶς ὁμοιάζον τῇ προφορᾷ πρὸς τὸ ξενηκούσθησαν, προπαρεσημάνθη· καὶ ἔστι καὶ αὐτὸ χαρτὸν τῷ μελῳδῷ· προπαραλήγεται δὲ τὸ ἄλφα ὡς ἀναύξητον· ὃ δὴ πείσεται καὶ τὸ ξενηκούσθησαν ἐν τῷ ξεναακουσθεὶς, εἴ ποτέ τις αὐτὸ εἴπῃ. Τὸ δὲ τεύχει ὡς ποιητικώτερον ἐπιλέγεται· ἄλλως γὰρ καὶ τὸ πέμπει οὐκ ἀπροσφυὲς ἦν ἐνταῦθα, ὡς καὶ προδεδήλωται. Ἡ δὲ γλωσσοπύρσευτος θέα οὐκ ἀφίησι τὸν συνετὸν ἀκροατὴν οὐδὲ ὑπολαβεῖν μὴ ὅτι γε νοῆσαι, ὅτι τὸ ἅγιον Πνεῦμα εἰς πνεῦμα βίαιον καὶ γλώσσας πυρσὰς, ἤγουν πυρίνας μεταβεβλημένον, ἐπῆλθε τοῖς μαθηταῖς· ἀλλὰ τοῖς ὡς ἐξῆν βλέπουσιν ἐθεάθη οὕτως. Πῶς οὕτως; Σωματοειδῶς, ὥς φασιν οἱ ἅγιοι, ὅπερ ἐστὶν ἐν εἴδει πυρὸς, καὶ ὡς ἐν εἴδει γλωσσῶν· δι' ὧν ἡ αὐτοσοφία τὴν δοθησομένην τοῖς ἀποστόλοις σοφωτάτην λεκτικὴν ἐδήλωσε, διὰ τὸ μὴ δυνατὸν εἶναι ἄλλως τοὺς θεατὰς κατ' ὄψιν σαρκίνην ἀντιλαβέσθαι τοῦ ἀοράτου φωτὸς καὶ πυρὸς τοῦ ἁγίου Πνεύματος.

ριά'. Δύναται δὲ ἡ θέα ἐνταῦθα πρὸς τῇ καὶ κατ' αἴσθησιν ὄψει καὶ θεωρίαν δηλοῦν φιλόσοφον· ᾗ ἐνεδάθυνον, ὡς εἰκὸς, οἱ σοφοὶ τὰ πνευματικά· θεωρία γάρ τις πάντως καὶ τὸ νοῆσαι ὡς αἱ πυρσαὶ γλῶσσαι τὰς ἀποστολικὰς αἰνίττονται, λαλοῦσαι καινὰ φωναῖς ἀλλογενέσι, καὶ δηλοῦσαι οὕτω; ἐγκαινισμὸν οὐ νήσων, οὐδὲ χώρας τῆσδε ἢ ἐκείνης, ἀλλὰ πάσης οἰκουμένης, καὶ ὅτι οὐκ ἐκ τῆς χαμαιγαίου σοφίας, ἀλλ'

A quæ quodammodo memoriam illam remandit, dicta quidem et ipsa memoria, proprius tamen recordatio. Hoc autem βροτοσσώων ἐπῶν significat quidem Dei sermones mortalium servatores. Penultimum autem habet longum ω, tanquam a verbo σώω pro σώζω, cujus derivatio est τὸ σωέσκω et σώεσκον, sicut τὸ ζώω ζωέσκω et ζώεσκον. Si quis vero per brevem o scribat istam penultimam, nullum incurret periculum: si enim σόος apud Homerum a σέω irruo pro ὁ ὑγιὴς habetur, et exinde λαοσσόα feminine dicitur populi servatrix, possunt etiam esse λαοσσόα verba divina, per quæ sanus efficitur virtute præditus homo. Si quis autem dicat apud Homerum esse λαοσσόον eam quæ est σόουσα, sive populum movens ad bellum, non secus
B ac verbum δορυσσόος pulchre quidem et ille dicit, sed a nobis dictum non evertit: tuto namque dictum est; sed forte juxta talem significationem Dei verba βροτοσσόα dicuntur, tanquam σέοντα sive σέβοντα moventiaque hominem ad bene agendum: semotis enim divina doctrina et inspiratione quæ ex Deo est et unione non ad bonum agendum movetur homo. Poetico more autem τὸ βροτοσσώων σ duplicat, sicut et δορυσσόος et λαοσσόος.

190. Hoc autem ἐπῶν bene quidem esset teusum, si dixisset λόγων juxta nexus sequelam; quoniam autem præmonstrata canonis acrostichis hic reposcit secundum strophæ versum non aliter incipi, quam per α, sumpto verbo ἐπῶν ad plurale
C neutrum adjicit melodus: Ἃ πατρακουσθεὶς ἔφη, id est τὰ ἔπη (verba). Hoc vero πατρακουσθεὶς ad τὸ ξενηκούσθησαν enuntiatione simile prius expositum est: et est hoc ipsum melodo jucundum. Alpha vero propter augmenti remotionem habetur antepenultima: quod sane pateretur etiam τὸ ξενηκούσθησαν in τῷ ξεναακουσθεὶς, si quando quis hoc diceret. Hoc autem τεύχει ut magis poeticum eligitur: aliter enim verbum πέμπει non esset hic incommodum, uti prius demonstratum est. Ἡ γλωσσοπύρσευτος autem visio non sinit intelligentem auditorem nec suspicari, nec a fortiori cogitare quod Spiritus sanctus in spiritum vehementem et linguas rufas sive igneas transmutatus super discipulos venit: attamen videntibus, ut licebat, sic visus
D est. Quomodo sic? Corporali specie, ut aiunt sancti, id est sub ignis imagine, et sub linguarum specie; per quas ipsamet sapientia dandam apostolis sapientissimam eloquentiam manifestavit, eo quod possibile non est aliter spectatores in carnalibus oculis invisibile lumen et ignem Spiritus sancti apprehendere,

191. Potest auem hic ἡ θέα præter sensibilem visum etiam speculationem philosophicam significare, in quam penetrarunt, ut par est, spiritualibus sapientes. Quædam enim prorsus est theoria cogitare quod igneæ linguæ linguas apostolicas ænigmatice prodant, nova linguis alienis loquentes, et sic ostendentes renovationem non insularum neque regionis hujus aut illius, sed orbis universi, et quod non ex

sapienta terrestri, sed desuper, ea quæ nunc dicuntur et quæ spiritualiter in posterum sunt dicenda, Dei homines linguis exprimunt. Diceret etiam sapiens iste melodus quod sicut visæ sub ignis specie linguæ, non absque aeria spiratione apparuerunt, sic neque apostolorum linguæ sine divina motione per Spiritum sanctum activæ fuerunt.

A ἄνωθεν τά τε νῦν λαλούμενα, καὶ τὰ ὕστερον πνευματικῶς λαληθησόμενα οἱ τοῦ Θεοῦ ἄνθρωποι γλωττηματίζονται. Εἶποι ἂν ὁ σοφὸς οὗτος μελῳδός, καὶ ὅτι ὥσπερ αἱ ὁραθεῖσαι πυροειδεῖς γλῶσσαι οὐ δίχα πνοῆς ἀερίας ἐφάνησαν, οὕτως οὐδὲ αἱ γλῶσσαι τῶν ἀποστόλων ἐνήργησαν μὴ θεοκινήτως διὰ τοῦ ἁγίου Πνεύματος.

492. Hoc autem ἐφίζον velut thronos Spiritus sancti subindicat apostolos; quibus tanquam spirituferis insidens ille similes istos facit divinissimis circa Deum thronis uni supercœlestium sacrorum ordinum, ut didicimus. Et hic etiam dictio τοῦ ἐφίζειν emphatice significat ingredi Spiritum sanctum in apostolos tanquam in propriam domum nuper dedicatam, ut antea dictum est; et tanquam rectum et firmum permanere, sive juxta locutionem magis evangelicam, mansionem apud illos facere, et tanquam supersedere, in unumquemque eorum firmiter requiescentem et in finem sessurum super sedem istam gloriæ regni ejus. Si autem hic dici potest quod etiam velut in currus in apostolos ἐφίζειν pronuntiatus est Spiritus sanctus, recogitandum quod non τὸ ἐφίζειν, sed τὸ ἐπιβαίνειν hujusmodi sententiæ convenit, tanquam: Conscendisti, Domine, equites apostolos tuos, etc., ut connectit alter melodus.

ρκβ'. Τὸ δὲ ἐφίζον καὶ ὡς θρόνους ὑπεμφαίνει τοῦ ἁγίου Πνεύματος τοὺς μαθητάς· οἷς οἷα πνευματοφόροις ἐκεῖνο ἐπικαθήμενον, ἀντιμίμους αὐτοὺς ποιεῖ τοῖς θειοτάτοις περὶ Θεὸν θρόνοις τῷ ἑνὶ τῶν ὑπερουρανίων ἁγίων ταγμάτων, ὡς ἐμάθομεν· καὶ ἔστιν ἐνταῦθα ἡ λέξις τοῦ ἐφίζειν ἐμφατικὴ τοῦ εἰσελθεῖν τὸ ἅγιον Πνεῦμα, ὡς εἰς οἶκον ἴδιον τοὺς ἀποστόλους προσφάτως ἐγκαινισθέντα, καθὰ προγέγραπται· καὶ ὡς εὐθὲς καὶ εὐσταθὲς παραμεῖναι, εἰπεῖν δὲ μάλιστα εὐαγγελικῶς, μονὴν παρ' αὐτοῖς ποιήσασθαι, καὶ οἷον ἐπικαθεσθῆναι, εἰς ἕνα ἕκαστον ἐκείνων ἐπαναπαυσάμενον ἑδραίως, καὶ μέλλον εἰς τέλος καθῆσθαι ὡς ἐπὶ θρόνου τούτου δόξης τῆς βασιλείας αὐτοῦ. Εἰ δὲ ἔστιν εἰπεῖν ἐνταῦθα ὅτι καὶ ὡς ἐπὶ ἁρμάτων τῶν ἁγίων ἀποστόλων ἐφίζειν ἐῤῥέθη τὸ ἅγιον Πνεῦμα, ἐνθυμητέον ὅτι οὐ τὸ ἐφίζειν ἀλλὰ τὸ ἐπιβαίνειν τῇ τοιαύτῃ ἁρμόττει ἐννοίᾳ, ὡς τὸ, Ἐπέβης ἐφίππους τοὺς ἀποστόλους σου, Κύριε, καὶ ἐξῆς, ὡς εἱρμοποιεῖ ἕτερος μελῳδός.

B

193. Ἅγιον autem εὐλογητόν hic commode positum est ad mentem hujus octavi carminis; cujus præloquium: Benedicite Dominum, hæc et ista, pervenit ad illud: Benedicite, spiritus justorum, quibus sane gaudet Spiritus sanctus: suaviter autem post: insidentem, ponitur hoc: benedictum. Non enim sicut mundanum pondus gravat Spiritus sanctus insidens, ubi sibi placuerit, sed de consessu benedicitur; quoniam bonum est sanctæ Trinitatis jugum et onus ejus leve. Ideo bonus Christianus precatur ut ad se veniat et insideat Spiritus sanctus, et acquiescentem benedicit, et superlaudat et superexaltat, cognoscens taliter posse se propinquitatem ad Deum habere; sancti namque pueri benedictum et superlaudabilem et superexaltatum psallentes Dominum, quod est, quod fuit, et quod in æternum erit, exprimebant. Οἰκειουμένη vero creatura juxta communem dialectum dicta est: quos enim diligimus, propinquos facimus, et isti nobis propinqui et familiares dicuntur. In hoc sensu reperiebantur apud Persas intimi sermonis principes, ut Amaseus geographus refert, et istud seu sermonis intimi (οἰκείου λόγου) denominatio usque nunc in lingua ecclesiastica servatur.

ρκγ'. Τὸ δὲ εὐλογητὸν ἐπίτηδες ἐνταῦθα τεθῆναι πρὸς ἐνθύμιον ὀγδόης ταύτης ᾠδῆς· ἧς προκατάρχον τὸ, Εὐλογεῖτε τὸν Κύριον τάδε καὶ τάδε, καθήκει καὶ εἰς τὸ, Εὐλογεῖτε πνεύματα δικαίων, δηλαδὴ ὁποίοις χαίρει τὸ ἅγιον Πνεῦμα· γλυκέως δὲ μετὰ τὸ ἐφίζον κεῖται τὸ εὐλογητόν. Οὐ γὰρ κατὰ βριθοσύνην κοσμικὴν βαρύνει τὸ ἅγιον Πνεῦμα ἐφίζον, ὅπου ἂν εὐδοκήσῃ, ἀλλὰ εὐλογεῖται τῆς ἰδρύσεως· ἐπεὶ καὶ χρηστὸς ὁ τῆς ἁγίας Τριάδος ζυγὸς, καὶ ἐλαφρὸν τὸ φορτίον αὐτῆς· διὸ καὶ εὔχεται ὁ καλὸς Χριστιανὸς ἐλθεῖν ἐπ' αὐτὸν καὶ ἐφιζῆσαι τὸ ἅγιον Πνεῦμα, καὶ ὑπακοῦσαν ὑπερευλογεῖ, καὶ ὑπερυμνεῖ αὐτὸ καὶ ὑπερυψοῖ, γινώσκων δύνασθαι οὕτως οἰκειοῦσθαι πρὸς τὸν Θεόν. Οἱ γὰρ ψάλαντες ἅγιοι παῖδες εὐλογημένον καὶ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἶναι τὸν Κύριον τὸ ὂν αὐτὸ εἶπον, τὸ καὶ γενόμενον, καὶ εἰς αἰῶνας γενησόμενον· οἰκειουμένη δὲ κτίσις κατὰ κοινὴν διάλεκτον πέφρασται· οὓς γὰρ φιλοῦμεν, οἰκειούμεθα, καὶ οἰκεῖοι λέγονται ἡμῖν ἐκεῖνοι καὶ οἰκειακοί. Τοιαύτης δὲ ἐννοίας καὶ οἱ παρὰ Πέρσαις τοῦ οἰκείου λόγου βασιλικοὶ, ὡς ὁ Ἀμασεὺς γεωγράφος ἱστορεῖ, καὶ φυλάσσεται τοῦτο, ἦγουν ἡ τοῦ οἰκείου λόγου κλῆσις μέχρι καὶ νῦν ἐκκλησιαστικῶς.

C

D

194. Vox autem ἠλλοτριωμένη expresse dicta est. Alienos enim sacra Scriptura dicit impios, et illos qui recta fide non sunt ad Deum. Tales sunt alieni filii, quos audimus a semitis suis claudicasse, peccatoresque qui ab utero alienati sunt. Cæterum autem alienos dicere extraneos commune est: ad sensum vero sententiæ proprium, alienatam dixit creaturam in tempore plusquam perfecto; propin-

ρκδ'. Ἡ δὲ ἠλλοτριωμένη γραφικῶς ἐῤῥέθη· ἀλλοτρίους γὰρ ἡ ἁγία Γραφὴ τοὺς ἀθέους λέγει, καὶ μὴ ὀρθοὺς τὴν εἰς Θεὸν πίστιν· τοιοῦτοι γοῦν οἱ ἀλλότριοι υἱοὶ, οὓς χωλαίνειν ἀκούομεν ἀπὸ τῶν τρίβων αὐτῶν, καὶ οἱ ἀπαλλοτριωθέντες ἐκ μήτρας ἁμαρτωλοί· ἀλλοτρίους δὲ ἄλλως τοὺς ξένους λέγειν κοινόν ἐστι· πρὸς ἀκρίβειαν δὲ ἐννοίας ἠλλοτριωμένην ἔφη κτίσιν κατὰ χρόνον ὑπερσυντελικόν· οἰκειουμένην

δὲ κατὰ ἐνεστῶτα· ἠλλοτριώθη μὲν γὰρ ἀφ' ἱκανοῦ ἀφεστηκυῖα τοῦ Θεοῦ ἡ κτίσις· οἰκειοῦται δὲ μετὰ τὴν κοσμοσωτήριον ἐνανθρώπησιν. Ἔσται δὲ καιρὸς ὅτε παντελῶς ὠκειωμένη τῷ Θεῷ κληθήσεται· καί γε Θεοῦ χάριτι καὶ ἔστιν ὁ τοιοῦτος καιρὸς κατὰ τὴν μελῳδίαν τοῦ, Κάμπτει τὰ πάντα τῷ Παρακλήτῳ γόνυ· τὸ δὲ, Μέλπει σε εἶχεν ἄλλως εἰπεῖν καὶ Μέλπει σοι ὁ μελῳδός· ἀρέσαν δὲ αὐτῷ ἀψόγως εἵλετο συντάξαι οὕτως. Τὸ δὲ κτίσις γοργότητος λόγῳ δείκνυσι καὶ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τὰ στοιχεῖα καὶ τἄλλα πάντα μέλπειν τὸν Κύριον κατὰ τὴν ἀναφώνησιν τοῦ παγκοίνου μέλους τῆς ὀγδόης ᾠδῆς· μέρη γὰρ καὶ ἐκεῖνα τῆς κτίσεως· ὡς εἶναι λοιπὸν ἀνοήτους καὶ ἀθέους τοὺς ἐκείνοις ὡς θεοῖς προσανέχοντας.

A quam autem facism in præsenti. A longo namque tempore fuerat alienata procul a Deo creatura; propinqua vero facta est post salutarem mundo incarnationem. Tempus autem erit cum omnino Deo proxima propriaque vocabitur; et tamen Dei gratia est etiam tale tempus juxta melodiam dicti: Paraleto curvant omnia genu. Hoc vero μέλπει σε poterat aliter dicere μέλπει σοι melodus; sed illam sibi placentem syntaxim irreprehensibiliter elegit. Vox autem κτίσις citissime significat et solem et lunam et elementa, aliaque cuncta, melode celebrare Dominum juxta conclamationem melodiæ communis octavi carminis: partes enim sunt ista creationis; ita ut de cætero stulti sint et impii qui talibus ut diis addicuntur.

Τροπάριον δεύτερον τῆς ὀγδόης ᾠδῆς.

XXIII. Σωτηριωδῶς αὐτοδεσπότως ἰὼν
Φῶς αὐτολαμπὲς, καὶ παρεκτικὸν φάους
Ὑπάρχον ἦκες ἐμφορεῦν ἀποστόλους
Τιμῆεν ὡς ἅημα τοῖς σοῖς οἰκέταις
Λελιπαρημένον τε Πνεῦμα προσνέμεις.

B

Troparium secundum odæ octavæ.

Salutari ratione sua potestate iens
Lux a te splendida, et datrix luminis
Exsistens, venisti ut impleres apostolos,
Honoratum tanquam halitum tuis servis,
Illustremque Spiritum distribuis.

ρλε'. Ἁπλοϊκώτερον καὶ σαφέστερον πρὸς τὸν Σωτῆρα Χριστὸν ὁ μελῳδὸς διηγηματικὸν λόγον ποιούμενος, αὐτὸ τοῦτο καὶ μόνον φράζει ἐν τῷ παρόντι τροπαρίῳ, ὅτι πὶ Ἐσωτηρίᾳ κοινῇ τὸ ἅγιον Πνεῦμα τοῖς σοῖς ἀποστόλοις ἔστειλας· λέγει οὖν ὅτι σωτηριωδῶς, Ὦ δηλαδὴ Σῶτερ, ἦκας, ἤγουν ἀφῆκας καὶ ἔπεμψας φῶς αὐτολαμπὲς ὑπάρχον, καὶ παρεκτικὸν φάους, οὐ κελευσθὲν δουλικῶς, ἀλλὰ αὐτοδεσπότως ἐλθόν· φῶς ἐκ φωτὸς προῖὸν, καὶ αὐτὸ οὐκ ἀμυδρὸν λόγῳ φειδοῦς ἤ τινος ἄλλου πάθους ὅπερ ἅπαντα τῆς θείκῆς ἀπῴκισται φύσεως, ἀλλὰ ἐμφορεῦν τοὺς ἀποστόλους. Ἔπεμψας δὲ, φησὶν, αὐτὸ, οὐχ ὡς μηδένα τῶν ἁπάντων αἰσθέσθαι, ὃ δὴ ἐπὶ τοῖς σοῖ; ἁγίοις ποιεῖς ὡς ἑκάστοτε, ἀλλ' ἵνα γνωστὸν λαοῖς γενόμενον μαρτυρῆται καὶ πρὸ τῶν ἐπακολουθούντων σημείων πιστεύηται. Καθὰ γὰρ τιμῆεν ἅημα, ἤγουν πνεῦμα, τοῖς αὐτοῖς σοῖς οἰκέταις ἀποστόλοις αὐτὸ ἐξάκουστον μετὰ βιαίας πνοῆς ἀφῆκας, καὶ τοῦτο ποιήσας λελιπαρημένον Πνεῦμα προσνέμεις καὶ τοῖς ἀποστόλοις μὲν καὶ τῷ κόσμῳ δὲ δηλονότι παντὶ ὁπόσοι τοῦ τοιούτου καλοῦ ὁλοψύχως ἐφίενται οἰκέται σου ὄντες· ὥστε τὸ, τοῖς σοῖς οἰκέταις, τρισὶν ἁρμόττει προσιέναι τόποις· τιμῆέν τε γὰρ τοῖς σοῖς οἰκέταις ὀρθῶς λέγεται, καὶ λελιπαρημένον τοῖς αὐτοῖς, καὶ προσνέμεται δὲ αὐτοῖς.

C

196. Est autem Spiritus λελιπαρημένος, sive advocatus, ut ipse nobis Paraclitus donetur; λιπαρεῖν enim est supplicare; sive permanens incola atque ut paulo ante dictum est, insidens: λιπαρεῖν enim est etiam permanere et persistere, ex τῷ λίαν παρεῖναι. Unde ἱκεσία λιπαρὴς est oratio longa, diuturna, permanens. Et sic quidem exponitur dicta strophe juxta præscriptam sententiam. Si vero ἦκας scribatur ἥκας per ε juxta quædam exemplaria pro ἦλθες, non potest omnino præsens intelligi strophe tanquam ad Filium de Spiritu sancto juxta expositionem dicta, sed ad ipsum Spiritum sanctum

ρλς'. Ἔστι δὲ Πνεῦμα λελιπαρημένον ἢ τὸ παρακληθὲν ὥστε δοθῆναι καὶ αὐτὸ παράκλητον ἡμῖν· λιπαρεῖν γὰρ τὸ δυσωπεῖν· ἢ τὸ παράμονον, καὶ ὡς πρὸ ὀλίγων ἐρρέθη, ἐφίζον· λιπαρεῖν γὰρ καὶ τὸ προσμένειν, καὶ ἐγκαρτερεῖν, παρὰ τὸ λίαν παρεῖναι· ὅθεν καὶ λιπαρὴς ἱκεσία ἡ πολύωρος, ἡ πολυχρόνιος, ἡ διηνεκὴς· κλινομένη λιπαροῦς, καὶ ἔχουσα οὐδέτερον τὸ λιπαρές. Καὶ οὕτω μὲν διατέθειται τὸ ῥηθὲν τροπάριον κατὰ προτιτλωθεῖσαν ἔννοιαν. Εἰ δὲ τὸ « ἦκας » γράφεται ἥκες διὰ τοῦ ε κατά τινα τῶν ἀντιγράφων ἀντὶ τοῦ ἦλθες, οὐκ ἔστιν ὅλως νοῆσαι τὸ ῥηθὲν τροπάριον πρὸς τὸν Υἱὸν λεχθὲν περὶ

D

directa : ubi de cætero non est expressa Salvatoris Christi mentio in strophe, deprecatorie illuc in communi introducimus in eam. Dicit igitur melodus ex hac secunda scriptura τοῦ ἥκες : Salutariter tu, o sancte Spiritus, ex temetipso libere lens, etc., venisti tanquam quoddam flamen implens apostolos ; et distribuis, pro distribuisti, eis Spiritum non alium ac te, sed a te, et Filio, et Patre ; gratiam istam spiritualem infusam in eos, ut ante scriptum est. Si vero optative scribatur νέμοις, hoc etiam utrique sententiæ convenit.

τοῦ ἁγιοῦ Πνεύματος κατὰ τὴν ἐξήγησιν, ἀλλὰ πρὸς αὐτὸ δὴ τὸ ἅγιον Πνεῦμα· ὅπου γε καὶ ἄλλως μὴ ἐκπεφωνημένου τοῦ Σωτῆρος Χριστοῦ ἐν τῷ τροπαρίῳ, αἰτηματικῶς ἀπὸ κοινοῦ ἐκεῖνον εἰσάγομεν ἐπ' αὐτό. Φησὶ γοῦν ὁ μελῳδὸς τὴν δευτέραν γραφὴν τὴν τοῦ ἧκες. Σωτηριωδῶς σὺ, ὦ ἅγιον Πνεῦμα, αὐτοδεσπότως ἰὼν καὶ ἐξῆς, ἦλθες ὡς οἷα πνοή τις ἐμφορουῦσα τοὺς ἀποστόλους· καὶ νέμεις, ἀντὶ τοῦ ἔνειμας αὐτοῖς, Πνεῦμα οὐχ ἕτερον παρὰ σὲ, ἀλλὰ τὸ ἀπὸ σοῦ καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Πατρός· χάριν ταύτην πνευματικὴν ἐκχυθεῖσαν ἐπ' αὐτοὺς, ὡς προγέγραπται. Εἰ δὲ καὶ εὐκτικῶς γράφει νέμοις, ἁρμόττει ἀμφοτέραις ταῖς ἐννοίαις καὶ αὐτό.

197. Quod autem αὐτοδέσποτος sit Spiritus sanctus, præcedenter dixit melodus. Simili vero prorsus modo αὐτολαμπής est : non enim ex alio incensus lucet : non solum non accipit aliunde lucere, sed etiam mirifice volentes ex corde illuminat. Pulchre vero τὸ αὐτοδεσπότως hic cum τῷ σωτηριωδῶς conjunxit, significans ex psalmistæ paraphrasi quosdam esse dominatores seu principes in quibus non est salus, et ideo non in eis esse confidendum. Dominus igitur est omnipotens, ex seipso potentiam habens, omnium dominator ; verus imperator salutariter simul et ex ipso potenter faciens quod solus agit, Deus Spiritus sanctus, Filius et Pater; est, juxta sacrum poetam, τὸ ὑπάρχον convenit ; quod non solum significat quod est, sed etiam quod fuit ab initio, quodque futurum est in sæcula : tale quippe est juxta veterum accuratiores τὸ ὑπάρχον. Aiunt igitur : talis ὑπῆρξεν εἰρήνης vel ὑπάρχει μάχης (initium pacis sumpsit, vel suscepit certamen ?, quod etiam ἄρχειν et κατάρχειν dicitur, ita ut dicere : Hoc aliquid tale ὑπάρχει, idem sic ac : Tale est ; sed aliquid majus tamen significat, et iste sensus hic prorsus obvius est : dicit enim τὸ ὑπάρχον, ut dictum est, Pneuma, hæc hodie venire discipulos implens.

198. Verbum autem ἧκες per ε, a radice venit ἥκω, cujus tertia persona est ἧκεν pro ἦλθε. Verbi vero ἧκας quod etiam in primo ἀκροστιχίδος disticho facere visum est ; præsens quidem est ἵημι ex quo ἀφίημι et ἐφίημι ; ipsum vero non præteritum sed aoristus esse judicatur, et ex ipso provenisse ἡκάμην : unde juxta, προηκάμην pro verbis : προέπεμψα, προέδωκα, sic etiam προσηκάμην pro : προσεδεξάμην, cujus radix est προσίημι. Verbum autem ἐμφορῶν, ex quo, paulo post, os propheticum πνευματέμφορον, divina quædam hic videtur esse dictio secundum τὸ ἔνθεον : qui enim Spiritu sancto repletur (ἐμφορούμενος) simul etiam est divine inspiratus (ἔνθεος), tanquam intra se φορῶν sive φέρων (portans) Deum qui cuncta replet, et reipsa divinitatem secum gerens (θεοφόρον). Scito vero quod verbum φορεῖν quod non est multum in usu, cum aliis et aliis præpositionibus, diversam præstat significationem : hoc patet ex verbo εἰσφορεῖν, quod significat introducere et importare ; et ex verbo ἐκφορεῖν sive ejicere : unde quoque

ρλη'. Τὸ δὲ ἧκες διὰ τοῦ ε ἀπὸ τοῦ θέματος ὁρμᾶται τοῦ ἥκω, οὗ τρίτον τὸ ἧκεν ἀντὶ τοῦ ἦλθε· τοῦ δέ γε ἧκας, ὃ καὶ ἐν τῷ πρώτῳ ἐλεγείῳ τῆς ἀκροστιχίδος πέφηνε κεῖσθαι, ὁ μὲν ἐνεστὼς ἵημι, ἐξ οὗ τὸ ἀφίημι, καὶ ἐφίημι· αὐτὸ δὲ οὐ παρακείμενος ἀλλὰ ἀόριστος εὐαρεστεῖται εἶναι, καὶ ἀπ' αὐτοῦ κεκινῆσθαι τὸ ἡκάμην· ὅθεν κατὰ τὸ προηκάμην ἀντὶ τοῦ προέπεμψα προέδωκα· οὕτω καὶ προσηκάμην ἀντὶ τοῦ προσεδεξάμην, οὗ τὸ θέμα προσίημι· τὸ δὲ ἐμφοροῦν ἐξ οὗ μετ' ὀλίγα στόμα πνευματέμφορον τὸ προφητικὸν, θεία τις ἐνταῦθα φαίνεται εἶναι λέξις κατὰ τὸ ἔνθεον. Ὁ γὰρ ἐμφορούμενος ἁγίου Πνεύματος ἅμα καὶ ἔνθεός ἐστιν ὡς ἔνδον ἑαυτοῦ φορῶν ἤτοι φέρων τὸν τὰ πάντα πληροῦντα Θεὸν, καὶ αὐτόχρημα θεοφόρον. Ἴσθι δὲ ὅτι τὸ φορεῖν οὐ χρῆσις πολλὴ παρὰ πολλοῖς, μετὰ προθέσεων ἄλλων καὶ ἄλλων, ἀλλοίας ἀποτελεῖ σημασίας· ὡς δῆλον ἐκ τοῦ εἰσφορεῖν, ὃ δηλοῖ τὸ εἰσάγειν καὶ εἰσκομίζειν, καὶ τοῦ ἐκφορεῖν ἤτοι ἐκβάλλειν· ὅθεν καὶ ἔκφορον μυστήριον, καὶ τοῦ συμφορεῖν· συνεφόρησε γὰρ φαμὲν κατηγορίας καὶ φλυαρίας πολλάς· καὶ τοῦ ἐπι-

φορεῖν ἤτοι ἐπιβάλλειν, καὶ τοῦ προφορεῖσθαι ἅ ἐστι διάζεσθαι· καὶ τοῦ διεφόρησε, διαφορεῖται γοῦν ἔγκατα ζώου ἐχχεόμενα τῆς κοιλίας. Εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα, ἐν οἷς καὶ τὸ ἀνωφορεῖσθαι, καὶ τὸ περιφορεῖν, ὅθεν καὶ ὁ περιφόρητος. Πρωτόθετον δὲ πάλαι ποτὲ τὸ ἐκφορεῖν ἐπὶ νηὸς πληρουμένης, ᾧ ἀντίκειται τὸ ἐμφορεῖν. Εἰ δὲ ταυτὸν ἐμφορεῖν εἰπεῖν καὶ ἐμπιπλᾷν κατὰ τὸ, Ἐπλήσθη Πνεύματος ἁγίου, εἴτουν ἐνεφορήθη, καὶ ἦν καὶ τὸ μέτρον δεκτικὸν τούτου· ἀλλὰ προετιμήσατο καλῶς ὁ μελῳδὸς τὸ ἐμφορῆσαι ἢπερ τὸ ἐμπιπλῶν.

A venit ἔκφορον mysterium; et ex συμφορεῖν: dicimus enim: συνεφόρησε congessit accusationes et nugas multas; et ex ἐπιφορεῖν, quod est injicere et ex προφορεῖσθαι, sive ordiri: et ex διεφόρησε, διαφορεῖται enim (dismerguntur) animalis viscera ex ventre effusa. Sunt etiam hujusmodi alia, in quibus τὸ ἀνωφορεῖσθαι et τὸ περιφορεῖν unde ὁ περιφόρητος hoc illuc versatus. Primitiva autem erat olim forma ἐκφορεῖν de navi impleta, cui opponitur ἐμφορεῖν. Si vero idem est dicere: ἐμφορεῖν et ἐμπιπλᾷν, juxta istud: ἐπλήσθη repletus est Spiritu sancto, sive ἐνεφορήθη; et versa vice utrumrecipere poterat, attamen pulchre melodus τὸ ἐμφορῆσαι τῷ ἐμπιπλῶν prætulit.

ρι΄. Σκοπητέον δὲ μήποτε τό· Ἐμφορῆσαι τοὺς ἀποστόλους ἅγιμα τιμῆεν, παρεῖλκυσται ἀπὸ ἐξωτερικοῦ ἔπους τοῦ, Ἔπρησε δ' ἄνεμος ἱστίον μέσον, ἑταῖρος ἐκεῖνος ὀνομασθεὶς καὶ δι' αὐτὸ τίμιος· καὶ εἴη ἂν οὕτως ὁ μελῳδὸς λέγων ὅτι ἐνεφόρησεν, ἤγουν ἔπρησε, τουτέστιν ἐπλήρωσεν οἷα φίλον τίμιον πνεῦμα ὅσα καὶ τινα ἱστία πλευστικὰ τοὺς ἀποστόλους, ἵνα οὕτω πλησίστιοι ἐξπυρίας ταύτης πνοῆς φερόμενοι, τὰς ἐθνικὰς θαλάσσας περιέρχοιντο· νήσους τε προφητικῶς ἐγκαινίζοντες τῷ Θεῷ, καὶ τοῖς ἐν ταῖς χέρσοις παρακομίζοντες ἐμπορίας τρόπον τὰ εἰς σωτηρίαν ἐνδέοντα. Ἅημα δὲ τὸ πνεῦμα, ὡς ἀπὸ τοῦ ἅημι ἀήσω, ἐξ οὗ καὶ παρατατικός· Μῆνα δ' ἔληκτον ἄει νότος· οὗ σημασία μὲν τὸ ἔπνεε· κίνησις δὲ κατὰ τὸ ἐτίθειν, ἐτίθεις, ἐτίθει· ἔστι δὲ καὶ μετοχὴ τοῦ ἅημι, ἅεὶς ἅέντος, ὡς τιθεὶς τιθέντος· οὗ γενικὴ πληθυντικὴ ἑάντων, ὡς τό· Ἀνέμων μένος ὑγρὸν ἑάντων· ἐκεῖθεν δὲ ἀήτης ὁ ἄνεμος· ὡς δὲ ἐκ τοῦ ἅημι τὸ ἅημα, οὕτως ἐκ τοῦ τίθημι ἐπίθημα, τὸ πῶμα τῆς χηλοῦ· καὶ ἀνάθημα καὶ σύνθημα.

199. Videndum autem ne forte dictio: Repleti apostoli venerandum flamen, eruta sit ex hoc externo dicto: Ἔπρησε δ' ἄνεμος ἱστίον μέσον, inflavit ventus medium velum, amicus iste dictus et ideo pretiosus seu venerandus. Et sic melodus diceret: ἐνεφόρησε sive ἔπρησε, id est, repletus, uti venerandum amicumque flamen; tanquam quædam navalia vela, apostolos, ut ita repleti per faustam hanc spirationem lati, ethnica maria circumirent; insulas prophetico modo dedicantes Deo, et ad illos qui terram solidam habitant, veluti negotiando, ea quæ ad salutem necessaria sunt, importantes. Spiritus autem est ἅημα, velut ab ἅημι ἀήσω, ex quo imperfectum: Μῆνα δ' ἔληκτον ἄει νότος, interminato mensé spirabat notus; cujus significatio quidem est ut ἔπνεε: motio vero fit juxta τὸ ἐτίθειν, ἐτίθεις, ἐτίθει. Est autem etiam participium τοῦ ἅημι, ἅεὶς ἅέντος, sicut τιθεὶς τιθέντος; cujus pluralis genitivus est ἑάντων, ut in hoc: Ἀνέμων μένος ὑγρὸν ἑάντων, ventorum motus variabilis spirantium. Exinde quoque venit ἀήτης ὁ ἄνεμος. Sicut autem ex τῷ ἅημι τὸ ἅημα, sic ex τῷ τίθημι ἐπίθημα, operculum capsulæ; et ἀνάθημα et σύνθημα.

σ΄. Τιμῆεν δὲ τὸ εἰρημένον ἅημα, ἤγουν ἡ βιαία πνοή, διὰ τὸ ἅγιον Πνεῦμα, ᾧ ἐκείνη ὡς οἷον παρηκολούθησεν· οὐκ ἀπεικὸς δὲ τὸν ἀκούσαντά που νέφος θυόεν τὸ οἱονεὶ τεθυμιαμένον τοιοῦτον ὑπονοῆσαί τι καὶ οὕτω τίμιον καὶ τὸ νῦν ῥηθὲν ἀέριον· καὶ ἄλλως δὲ τὸ τιμῆεν συντεχθὲν τοῖς οἰκέταις ἄλλως ἂν ἔχοι· τίμιον γὰρ ἦν τοῖς ἀποστόλοις, ὡς αὐτίκα εἰρήσεται, τοῖς καὶ μόνοις ἐπεγνωκόσι τὴν ἐν τῷ συμβόλῳ θειοτάτην σοφίαν, καὶ διακρίναι τὸν ἦχον τῆς βιαίας, πνοῆς· ταυτὸν δ' εἰπεῖν τοῦ βιαίου ἅήματος, μήνυμα εἶναι τῆς τοῦ ἁγιωτάτου Πνεύματος ἐπελεύσεως. Εἰ δὲ τὸ τοιοῦτον πνεῦμα οὐκ ἔφριξαν, ἀλλὰ ἐτίμησαν χαίροντες, ὡς εἰκὸς, οἵους νομίσομεν τοὺς πιστοὺς οἰκέτας τούτους εἶναι τὰ εἰς χαρὰν ἐφ' οἷς ἐνήργουν ὕστερον ἐμφορηθέντες τοῦ ἁγίου Πνεύματος; Εἰ δὲ κατεστάχθησαν ἤδη εἰς φίλους τῷ δεσπότῃ Χριστῷ, καθὰ ἐκεῖνος εὐαγγελικῶς διέθετο, ἀλλ' οὐκ ἂν ἐκφεύξονται τὸ μὴ δοῦλοι εἶναι φύσει, ναὶ δὲ καὶ δουλέκδουλοι.

200. Venerandum autem est prædictum flamen sive spiratio fortis, ob Spiritum sanctum, cui quodammodo comiti prævia fuit. Non autem contra verisimilitudinem est eum qui quapiam audivit nubem odoriferam sive suffitam, tale suspicari aliquid et ita pretiosum, præsenter dictum aerium. Alias autem τὸ τιμῆεν conjunctum cum τοῖς οἰκέταις, aliter haberetur: pretiosum enim erat apostolis, ut continuo dicetur, qui soli divinissimam sapientiam agnoverant in symbolo vonumque vehementis flatus vel quod idem est, fortis ἅήματος dijudicaverant indicium esse sanctissimi Spiritus advenientis. Si vero talem spiritum non reformidaverunt, sed honoraverunt lætantes, ut est verissimile, quales putabimus fideles istos familiares esse in gaudio, super his, quæ postea fortiter operabantur Spiritu sancto repleti? Si autem jam ordinati sunt amici Christo Domino, sicut iste disposuit in Evangelio, non tamen cessaverunt esse natura servi, quin imo servorum filii.

σα΄. Ἱστέον δὲ ὅτι τε ὅθεν τὸ ἅημα, ἐκεῖθεν καὶ ὁ ἄνεμος· ἀεμός τις ὢν καὶ πλεονασμῷ τοῦ νῦ, ἄνεμος· καὶ ὅτι χρῆσις ἁήματος καὶ ἐπὶ τῷ εἰπόντι

201. Sciendum autem quod unde venit ἅημα, unde quoque ἄνεμος qui velut ἀεμός quidam, additione ν, fit ἄνεμος et quod ἁήματος usus etiam est

in locutione : ἅημα πνευμάτων et quod ἄημα dicere praetulit melodus τὴν πνοὴν, quam πνεῦμα, veritus ne concursus ex homonymia fieret, eo quod continuo dicere deberet λελιπαρημένον πνεῦμα spiritualem Dei gratiam, sanctis apostolis dispertitam et quod praedictam vehementem spirationem hic evidenter honestavit τιμήεσσαν dicens ad ostendendum ibi τὸ βίαιον non esse vituperationis dictum ; et quod τιμῆεν ἅημα spiritualibus domesticis dixit ad locutionis accurationem : fidelibus enim Spiritus sancti domesticis venerandum ex confesso istud flamen erat, sed non omnibus quotquot aderant : qui enim spiritualem energiam apostolorum divinitus inspiratorum ebrietatem judicabant, non ut fideles servi istud honorabant flamen, cui quoque linguarum ignis mixtus erat, ut venerando quidem Spiritus sancti flamine, id quod exinde refrigerans ac vivificans est, pateret ; ignis autem specie, id quod aptum est omnem peccandi materiam ac dispositionem consumere ; linguarum vero forma, docendi peritia divinitus inspiratorum, quando Spiritus insidens et requiescens super apostolos, illos edocet.

202. Vide vero quoque quod τὸ σοῖς οἰκέταις potens melodus prius ponere in hoc : ἀμφορεῦν ἀποστόλους ; valebat enim dicere ἀμφορεῦν σοὺς οἰκέτας meliorem hic adoptavit ordinem, apostolos quidem splendoris ac luminis proximitate honoris causa, dignitus, domesticos autem flaminis reverentia : quiddam enim servile est quod agitur reverentia, non apostolicum. Manifestum est autem quod ad αὐτοδέσποτον spectat hoc : τοὺς σοὺς οἰκέτας : domesticorum enim dominus est ὁ δεσπότης dominus, qualescunque dicat quis illos, sive servos, sive liberos ; οἰκέτης enim et οἰκεύς apud antiquos unus de alio mutuo dicebantur. Videtur autem liberior οἰκέτης (familiaris) ad idem significationis venire cum οἰκειακῷ domestico. De verbo λελιπαρημένῳ, sicut dictum est, intellecto velut stabiliter manente, testimonium est illud : Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem saeculi. Sciendum est autem quod hujus strophae juxta possibile, a nobis sedulo expositae quintus versus in quo jacet τὸ λελιπαρημένον Πνεῦμα, velut summarius aliquis epilogus, complectitur longe prolatam in quatuor versibus sententiam, sive quoad hoc : ἦκες φῶς pro ἦλθες ; sive quoad istud : ἦκας φῶς pro ἔπεμψας. Hanc quidem scripturam, ubi verbum ἦκας scribitur per α, sic resumit : dicebat illa diffusius, quod, Misisti, Salvator, hujusmodi Spiritum apostolis.

203. Finalis autem versus, eadem cogitatione resumpta, repetitione dicit quod etiam una cum dicto lumine « tribuis ac dispertiris, Salvator, Spiritum sanctum, ut dictum est, λελιπαρημένον : » tanquam idem sit illud dicere lumen, et istum Spiritum. Et sic quidem hanc primam scripturam, in qua jacet ἦκας, quintus versiculus in repetitionem brevem recollegit. Secundam vero scripturam sic

ἅημα πνευμάτων· καὶ ὅτι προέκρινεν ὁ μελῳδὸς ἅημα εἰπεῖν τὴν πνοὴν ἢπερ πνεῦμα, εὐλαβούμενος τὴν ἐξ ὁμωνυμίας συνέμπτωσιν διὰ τὸ προσεχῶς μέλλειν εἰπεῖν λελιπαρημένον πνεῦμα τὴν πνευματικὴν θείαν χάριν τὴν διανεμηθεῖσαν τοῖς ἁγίοις ἀποστόλοις· καὶ ὅτι τὴν προειρημένην βιαίαν πνοὴν σαφῶς ἐνταῦθα ἐσέμνυνε τιμήεσσαν εἰπὼν πρὸς ἔνδειξιν τοῦ μηδὲ ἐκεῖ τὸ βίαιον ἐπὶ ψόγῳ ῥηθῆναι, καὶ ὅτι τιμῆεν ἅημα τοῖς πνευματικοῖς οἰκέταις ἔφη πρὸς ἀκρίβειαν φράσεως· τοῖς γὰρ τοῦ ἁγίου Πνεύματος πιστοῖς οἰκέταις τιμῆεν αὐτὸ ἦν ὁμολογουμένως, οὐ μὴν καὶ τοῖς ὅλοις ὅσοι παρῆσαν· εἰ γὰρ τὴν πνευματικὴν ἐνέργειαν τῶν θεοπνεύστων ἀποστόλων μέθην κρίναντες οὐκ ἂν ἐτίμων δουλικῶς ἐκεῖνο τὸ ἅημα, ᾧ καὶ πῦρ τὸ κατὰ τὰς γλώσσας συναναμέμικτο, ἵνα τῷ μὲν τιμηέντι ἁήματι τοῦ ἁγίου Πνεύματος τὸ ἐκεῖθεν ἀναψύχον ἐμφαίνοιτο καὶ ζωογόνον, τῷ δὲ πυρόεντι τὸ καὶ ἀναλωτικὸν πάσης ἁμαρτητικῆς ὕλης καὶ διαθέσεως, τῷ δὲ γλωσσοειδεῖ τὸ διδασκαλικὸν τῶν ἐμπνεομένων θεϊκῶς ὅτε τὸ Πνεῦμα ἐφίζον καὶ ἐπαναπαυόμενον τοῖς ἀποστολικοῖς, σοφίζει αὐτούς.

αβ'. Ὅρα δὲ καὶ ὅτι τὸ, σοῖς οἰκέταις, δυνάμενος ὁ μελῳδὸς θεῖναι προτέρως ἐν τῷ, ἐμφορεῦν ἀποστόλους,· εἶχε γὰρ εἰπεῖν ἐμφορεῦν σοὺς οἰκέτας, ἐταμιεύσατο ἐνταῦθα ὡς μᾶλλον ἐχρῆν· τοὺς μὲν ἀποστόλους δικαιώσας τῇ παραθέσει τῆς λάμψεως, καὶ τοῦ φέους, λόγῳ σεμνότητος, τοὺς δὲ οἰκέτας τῇ τιμῇ τοῦ ἁήματος· δουλικὸν γάρ τι τιμῆς ἔργον, οὐ μὴν ἀποστολικόν. Δῆλον δὲ καὶ ὅτι πρὸς τὸ αὐτοδέσποτον ἀφορᾷ τὸ, τοὺς σοὺς οἰκέτας· οἰκετῶν γὰρ δεσπότης ὁ δεσπότης, ὁποίους ἂν τούτους εἴποι τις· εἴτε δούλους εἴτε ἐλευθέρους· οἰκέτης γὰρ καὶ οἰκεὺς παρὰ τοῖς παλαιοῖς ἐπ' ἀμφοτέρων ἐλέγοντο· δοκεῖ δὲ ὁ ἐλεύθερος οἰκέτης εἰς ταυτὸν σημασίας ἥκειν τῷ οἰκειακῷ· περὶ δὲ τοῦ λελιπαρημένου ὡς εἴρηται νοουμένου καὶ τοῦ μονίμως παρόντος μαρτυρία ἐστὶ τό· Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἰστέον δὲ ὅτι ὁ πέμπτος στίχος τοῦ ὡς δυνατὸν ἡμῖν προσεχῶς ἐξηγημένου τροπαρίου ἐν ᾧ κεῖται τὸ λελιπαρημένον Πνεῦμα, περιέχει ὡς οἷα καί τις ἐπινομὶς κεφαλαιωδῶς τὴν μακρολογικῶς προενεχθεῖσαν τετράστιχον ἔννοιαν, τήν τε κατὰ τὸ, ἦκας φῶς, ἀντὶ τοῦ ἔπεμψας, καὶ τὴν κατὰ τὸ, ἦκες φῶς, ἀντὶ τοῦ ἦλθες· καὶ τὴν μὲν πρώτην γραφὴν τὴν κατὰ τὸ ἦκας διὰ τοῦ ἄλφα συντέμνει οὕτως· Ἔλεγεν ἐκείνη διεξοδικώτερον, ὅτι, Ἔπεμψας, ὦ Σῶτερ, Πνεῦμα τοιόνδε τοῖς ἀποστόλοις.

σγ'. Ὁ δὲ τελευταῖος στίχος τὸ αὐτὸ νόημα στρογγύλως λέγει ταυτολογικῶς ὅτι καὶ αὐτίκα τῷ εἰρημένῳ φωτὶ συννέμεις καὶ συμμερίζεις τὸ, ὡς ἐρρέθη, λελιπαρημένον ἅγιον Πνεῦμα· ὡς ταυτὸν ὂν φῶς ἐκεῖνο εἰπεῖν, καὶ Πνεῦμα τοῦτο· καὶ οὕτω μὲν τὴν πρώτην γραφὴν τὴν ἐν τῷ ἦκας συνέστρεψε τὸ πέμπτον ἔπος εἰς κομιδῇ βραχύ· τὴν δὲ ἑτέραν οὕτω διοικονομεῖται βραχυλογικῶς· Ὦ αὐτοδέσποτον καὶ

αὐτολαμπὲς φῶς καὶ φωτὸς μεταδοτικὸν, ἀρχέγονον ἤτοι προάναρχον, ἦλθες τοῖς ἀποστόλοις ἄρτι· καὶ τοῦτο μὲν τὸ ἐν τοῖς τέσσαρσι στίχοις δεύτερον πλατὺ νόημα· ὁ δὲ πέμπτος ἅμα καὶ σφίγξας ἐκεῖνο, καὶ διασαφήσας λέγει ὅτι καὶ νέμεις ἤγουν χαρίζῃ Πνεῦμα παράκλητον, ἤγουν σὲ αὐτὸ καὶ τὴν ἀπὸ σοῦ ἐμφοιτήσασαν θειοτάτην χάριν· καὶ οὐχ ἁπλῶς νέμεις, ἀλλὰ κατ' ἐπιβολήν τινα περισσείας λόγῳ· τοιοῦτον γάρ τι τὸ προσνέμεις· καλοὶ μὲν γὰρ καὶ πρὸ τούτου ἀπόστολοι, ἐκ τῆς σήμερον δὲ καὶ εἰς τὸ ἑξῆς μέχρι τέλους καλλίονες ἔσονται καὶ ἀγαστότεροι, διὰ τὸ ἐνδύσασθαι δύναμιν ὑψόθεν ἐκ τοῦ δυνάστου καὶ Θεοῦ Σαβαὼθ, ἤγουν Κυρίου δυνάμεων πολλῶν· ὥστε τὴν ἐν τοῖς τέσσαρσιν ἕπεσιν κατὰ διττὴν γραφὴν τοῦ ἦκας καὶ ἧκες περιειλημμένην θεολογίαν, ἰδίᾳ ὁ πέμπτος ἔχει στίχος ἀπολαβών· ᾧ δύναμιν τοῦ μελῳδοῦ νοερὰν πολλὴν καὶ ἐν τῷ φράζειν ἐνδείκνυται.

A summatim repetit : O summe Domine, lumen ex temetipso fulgens, ac lucem communicans, primarium sive principale, apostolis hodie venisti. Et hæc quidem est in quatuor versibus expressa prolixe secunda sententia. Quintus autem versus illam simul stringens et elucidans, ait : Tribuis sive gratificaris Spiritum paracletum, seu teipsum, et a te digressam divinissimam gratiam. Et non simpliciter tribuis, sed, abundantiæ causa, cum quadam additione : tale enim aliquid est verbum προσνέμεις. Boni scilicet erant jam prius apostoli ; ex hac vero die et deinceps et usque in finem, meliores et mirabiliores erunt, eo quod induti sunt virtute ex alto, a Domino Deoque Sabaoth, id est, multarum potentiarum Domino. Ita ut involutam in quatuor versibus, juxta dupliçem scripturam ἦκας et ἧκες, theologiam, quintus versus, propriam sibi faciens, amplectatur : quod potentiam multam poetæ, tum in cogitando, tum in eloquendo, ostendit.

Τροπάριον τρίτον τῆς ὀγδόης ᾠδῆς.

XXIV. Ἦσε προφητῶν πνευματέμφορον στόμα
Σὴν σωματωδῶς, ὦ Μέδων, ἐνδημίαν·
Καὶ Πνεῦμα κόλπων πατρικῶν προηγμένον,
Ἀκτιστοσυμπλαστουργοσύνθρονον σέθεν
Ἰεὶς ἐνανθρωπήσεως πιστοῖς σέλας.

σδ'. Ἀποίκιλον γὰρ τὸ τρίτον τοῦτο τροπάριον, διπλόην μέντοι ἔχον καὶ αὐτὸ πλείονα τοῦ προσεχῶς εἰρημένου· λέγει γὰρ ἤ ὅτι, ὦ μέδων, ὅ ἐστι βασιλεῦ Σῶτερ Χριστὲ, ἦσεν ὅ ἐστιν ἔλεξεν, ὡς ἐκ τοῦ ᾄδω ᾄσω, τὴν σὴν σωματωδῶς ἐνδημίαν τὸ στόμα τῶν προφητῶν, τὸ ὡς ἐν τῷ πρὸ τούτου τροπαρίῳ εἴρηται πνευματέμφορον· ἢ καὶ ἄλλως τὸ στόμα τῶν πνευματοφόρων προφητῶν· ὁμοίως δὲ ἐμελῴδησε τὴν αὐτὴν ἐνδημίαν σου, καὶ τὸ ἅγιον Πνεῦμα προηγημένον τῶν πατρικῶν σου κόλπων, οὐχὶ αὐτὸ ᾄδον, ἀλλ' ἐνεργοῦν ἐν τοῖς προφητεύουσι καὶ οὕτως ᾄδουσι· καὶ, ὡς οἱ ἅγιοι Πατέρες φασὶ, λαλοῦν διὰ τῶν προφητῶν τὰ καθολικῶς καὶ ἀποστολικῶς ἐκκλησιαστικά· καὶ ἔστιν ὁ τρίτος στίχος ἐνταῦθα διασαφητικὸς τοῦ πρώτου ἐπὶ τῇ αὐτῇ ἐννοίᾳ· λέγων ὅτι Οὐχ ἁπλῶς τὰ κατὰ σὲ, ὦ παμβασιλεῦ, τὸ τῶν προφητῶν στόμα ἐλάλησε πληρωθὲν ἁγίου Πνεύματος τότε τοῦ νῦν συμβολογραφέντος διὰ τῆς φερομένης βιαίας πνοῆς, καὶ δι' αὐτὸ κληθὲν πνευματοφόρον ἢ πνευματέμφορον· ἀλλ' αὐτὸ τὸ ἅγιον Πνεῦμα τὴν λαλιὰν ἡρμόσατο ἐκείνου τοῦ στόματος· οἱονεὶ ἐγκελευόμενον ἑκάστῳ τῶν προφητῶν, Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό· καὶ Ἄνοιξον τὸ στόμα σου, καὶ ἑλκύσεις με· ὥσπερ μέλλει καὶ ἐν τοῖς μαθηταῖς ποιεῖν, ὧν πολλοὶ καὶ προφητεύουσι. Καὶ ἄλλως δὲ λέγοι ἂν τὸ τροπάριον, ὅτι ὦ Μέδων Σῶτερ, ὥσπερ σὲ μέλλοντα σαρκωθῆναι ἦσεν ἤγουν προκατήγγειλε τὸ προφητικὸν στόμα ἀριδήλως, οὕτως καὶ τὴν ἑορταζομένην παρουσίαν τοῦ ἁγίου σου Πνεύματος.

Troparium tertium octavæ octavæ.

Cecinit prophetarum Spiritu plenum os
Tuum corporaliter, o Domine, adventum,
Et Spiritum sinibus paternis productum
Increatum, confactorem, consessorem tuum,
Quem misisti incarnationis fidelibus colendum.

204. Simplex illa tertia strophe sicut præcedens, sensum tamen magis duplicatum habet. Dicit enim : Ὦ Μέδων, id est, rex salvator Christe! Cecinit sive dixit, tanquam ex ᾄδω ᾄσω, tuam inter nos corporalem præsentiam os prophetarum ; quod, ut dictum est in præcedenti strophe, erat πνευματέμφορον, Spiritu plenum. Vel aliter, os plenorum Spiritu prophetarum. Similiter autem cecinit eamdem incolatum tuum Spiritus sanctus qui de Patris tui sinu procedit, non ipse canens, sed virtutem prophetantibus et ita canentibus infundens, et, sicut aiunt sancti Patres, quæ sunt Ecclesiæ catholicæ et apostolicæ loquens per prophetas. Et est tertius versus super eamdem sententiam, primi explanatorius, dicens : Non tantum quæ ad te spectant, o Rex omnipotens, locutum est os prophetarum, tunc repletum Spiritu sancto qui nunc symbolice figuratur per latam vehementem spirationem, et ideo vocatum πνευματοφόρον vel πνευματέμφορον, quasi *spirituferum ;* sed etiam ipse Spiritus sanctus ejus oris loquelam adaptabat, tanquam jussum fuisset unicuique prophetarum : Dilata os tuum et implebo illud; et : Aperi os tuum et attrahes me : quemadmodum in discipulis etiam facturus est, quorum multi quoque prophetabunt. Aliter autem aliquis strophem dicere posset : O Rex Salvator, sicut te velut incarnandum cecinit seu præsuntiavit conspicue propheticum os, sic etiam celebratam tui sanctissimi Spiritus præsentiam.

σε'. Ὁ δὲ πέμπτος ἐνταῦθα στίχος ἔχων οὕτως — Ἰεὶς ἐνανθρωπήσεως πιστοῖς σέλας — συντάσσεται μὲν τῷ δευτέρῳ στίχῳ ἀποδιδόμενος πρὸς τὸ, ὦ μέδων, καὶ συγκροτῶν τὴν δευτέραν ἔννοιαν· καταλή-

205. Quintus autem hic versus, qui sic habet : Ἰεὶς ἐνανθρωπήσεως πιστοῖς σέλας, ordinatur quidem ad secundum versum, respiciens ad hoc : Ὦ μέδων, et secundam sententiam resumens. De-

sinit autem ad σέλας, sive lumen Incarnationis et hodiernæ festivitatis commune bonum : lumen autem dico, non istud quod secundum stellam est et ideo juxta linguarum ignem, sed lumen gratiæ juxta quam sanctissima Virgo, Ave, gratia plena, sibi dicere audivit. Tanquam solem vero speculatus poeta Regem Christum, dictum protulit versum ; extollens ineffabilem hunc ex Virgine partum, eo quod non solum tunc temporis suam misericordiam erga mundum miram effecit, sed etiam nunc misericordiam exercet, illuminans nos Christiane, et usque in finem bonum istud extendet. Et quidem talia sunt in hoc versu quinto comprehensa, qui clarius sic exponitur : O Rex, ut dictum est, qui elicis et mittis seu misisti Spiritum tuum sanctum, incarnationis tuæ jubar, illustrans utique manifestansque ac revelans incomprehensibilem incarnationem tuam ; o Rex igitur Christe, celebraverunt et prophetæ tuam inter nos inhabitationem, sed ante eos Spiritus sanctus inspirans eos et suggerens velut oribus divinitus loquentibus quæ nobis salutaria sunt.

206. Hoc autem de quinto versu sic observato, quartus qui præcedit et cujus est textus : Ἀκτιστοσυμπλαστουργοσύνθρονον σέθεν, non est ambigendi locus quin extollat valde Spiritum sanctum, eo quod eadem cum Patre participat, utpote cum illo increatum, et creatorem, et throni consessorem, ut confessum est. Videretur autem curavisse poeta, talem fasciculum dictionum, ut sibi placet, astruens, jam hujusmodi dilectioni suæ valedicere : jamjam enim non ita conspicue componet in sequentibus. Neglectus, ut ita dicam, et inordinatus est hujusmodi versus, duobus tantum roboratus acutis tonis, et sic præter harmoniam dispositus ; et hæc spectant ad duas præcedentes strophas et ad nexum, aliunde tonis apte constitutos. Talia vero omnino sunt carmina ad instar tabulæ extensa, quale est istud apud quemdam : ἡ ψευδοσεμνοκομπομυθοπλαστία.

207. Hoc autem, ἦσε, melodam vocem, acrostichis quidem necessario præstitit ; diceret autem aliquis quod a propheticissimo poeta David, velut a parte dignissima, amanter inhæret etiam aliis prophetis poeta, tanquam ipsis etiam concinentibus, et ita lyricos quoque cogitat eos propter David, qui desuper, quod est in principio Verbum sic advocans : Inclina cœlos et descende, etiam Filium hominis evangelice prævidit, ipsumque dixit a Patre fuisse roboratum, et nobis visum ut electum ejus, et ipsius iter in gentibus omnibus esse notum, spectatasque esse semitas ejus utique in terra ; de Spiritu autem sancto passim theologice locutus est, ut in psalmo quinquagesimo, videns etiam ipse factus, secundum Joelem. Sciendum autem est quod ἦσε non solum æquum est verbo ἤμελψεν, at etiam τῷ εἶπεῖν. Ex verbo enim ἔπω formatum est εἶπεν, ex quo etiam ἔπος et ἔννεπε, voces quoque poeticæ.

γει δὲ εἰς σέλας ἤτοι φῶς κοινὸν τῆς τε ἐνανθρωπήσεως καὶ τῆς νῦν ἑορτῆς· φῶς δέ φημι οὐ τὸ κατὰ τὸν ἀστέρα ἐκεῖ, καὶ ὧδε τὸ κατὰ τὸ πῦρ τῶν γλωσσῶν, ἀλλὰ τὸ τῆς χάριτος καθ' ἣν καὶ ἡ παναγιωτάτη Παρθένος τὸ, Χαῖρε, κεχαριτωμένη, ἤκουσε· ὡς ἥλιον δὲ θεωρήσας ὁ μελῳδὸς τὸν βασιλέα Χριστὸν, προήνεγκε τὸν εἰρημένον στίχον· σεμνύνων τὸν ἄῤῥητον ἐκεῖνον ἐκ Παρθένου τόκον, οἷς οὐ τότε μόνον ἐθαυμάστωσε τὸ κατὰ κόσμον ἔλεος αὐτοῦ, ἀλλὰ καὶ μέχρι νῦν ἐλεεῖ φωτίζων ἡμᾶς Χριστιανικῶς· καὶ εἰς τέλος δὲ τὸ αὐτὸ ἀγαθὸν παρατενεῖ· καὶ τοιαῦτα μὲν τοῦ πέμπτου ἔπους· ὃ σαφέστερον οὕτως ἑρμηνευθήσεται· Ὦ Μέδων, ὡς εἴρηται, ὁ ἰεὶς καὶ πέμπων ἤτοι πέμψας τὸ ἅγιόν σου Πνεῦμα, σέλας τῆς ἀῤῥήτου σαρκώσεώς σου, τὸ ἐκφαντορικὸν καὶ διασαφητικὸν δηλαδὴ, καὶ ἀνακαλυπτικὸν τῆς ἀκατανοήτου ἐνανθρωπήσεώς σου· ὦ τοίνυν Μέδων Χριστὲ, ὕμνησαν καὶ οἱ προφῆται τὴν σὴν εἰς ἡμᾶς ἐνδημίαν· πρὸ δὲ αὐτῶν, τὸ αὐτοὺς ἐμφορεῖν ἅγιον Πνεῦμα, καὶ ἐμπνέον ὡς αὐτοῖς θεοφθόγγοις τὰ ἡμῖν σωτήρια.

σς'. Οὕτω δὲ καὶ τούτου ἐπὶ τῷ πέμπτῳ στίχῳ τεθεωρημένου, ὃ πρὸ αὐτοῦ τέταρτος οὗ ὕφος· τὸ ἀκτιστοσυμπλαστουργοσύνθρονον σέθεν, οὐκ ἔστιν ἀμφιβολεῖν ὅτι σεμνύνει λίαν πάνυ τὸ ἅγιον Πνεῦμα, οἷς ἐπικοινωνεῖ τῶν αὐτῶν τῷ Πατρὶ, ἄκτιστόν τε ὂν καὶ ἐκεῖνον καὶ συμπλαστουργὸν ἐκείνῳ, καὶ σύνθρονον καθὰ ὁμολόγηται· δόξοι δὲ ἂν φιλοτιμήσασθαι ὁ μελῳδὸς θέμενος ἐνταῦθα φάκελλον τοῦτον λέξεων καθὰ φιλεῖ αὐτὸ, ἤδη συντάσσεσθαι τῷ τοιούτῳ φιλήματι αὐτοῦ· ῥῆμα γὰρ οὐχ οὕτως ἐμφανῶς συνθήσει ἐν τοῖς ἑξῆς· ἀμελὲς δὲ, ὡς οὕτως εἰπεῖν, καὶ ἄῤῥυθμον τὸ τοιοῦτόν ἐστιν ἔπος, δυσὶ μόναις ῥωννύμενον ὀξείαις, καὶ οὕτω πρὸς ἐμμέλειαν ἁρμοττόμενον· καὶ ταῦτα τῶν πρὸ αὐτοῦ δύο τροπαρίων καὶ τοῦ εἱρμοῦ ἄλλως διοικουμένων τοῖς τόνοις ἐμμελῶς· τοιαῦτα δὲ πάντως τὰ πινακηδὸν ἀποτεινόμενα ἔπη, ὁποῖον παρά τινι καὶ ἡ ψευδοσεμνοκομπομυθοπλαστία.

σζ'. Τὸ δὲ ἦσε τὴν μελῳδικὴν λέξιν ἡ ἀκροστιχὶς μὲν ἀναγκαίως ἐπορίσατο· εἴποι δὲ ἄν τις, ὅτι ἀπὸ τοῦ προφητικωτάτου μελῳδοῦ τοῦ Δαβὶδ, ὡς ἐκ μέρους ἀξιολογωτάτου, φιλητικῶς ἔχει καὶ τοῖς ἄλλοις προφήταις ὁ μελῳδὸς οἷα καὶ αὐτοῖς ᾄδουσι, καὶ οὕτως ᾄσματικοὺς καὶ ἐκείνους νοεῖ διὰ τὸν Δαβὶδ, ὃς ὑψόθεν τὸν ἐν ἀρχῇ ὄντα λόγον κατακαλέσας ἐν τῷ — Κλῖνον τοὺς οὐρανοὺς καὶ κατάβηθι — καὶ Υἱὸν ἀνθρώπου αὐτὸν προεθεώρησεν εὐαγγελικῶς, καὶ κραταιωθῆναι εἶπεν αὐτὸν τῷ Πατρὶ, καὶ θεαθῆναι ἡμῖν ὡς ἐκλεκτὸν αὐτοῦ, καὶ γνωσθῆναι τὴν ὁδὸν αὐτοῦ ἐν πᾶσιν ἔθνεσι, καὶ θεωρηθῆναι τὰς πορείας αὐτοῦ ἐν γῇ δηλαδή· καὶ περὶ τοῦ Πνεύματος ἐὰ ἐθεολόγησε πολλαχοῦ ὡς καὶ ἐν τῷ πεντηκοστῷ ψαλμῷ, βλέπων ὧν καὶ αὐτὸς κατὰ τὸν Ἰωήλ. Ἰστέον δὲ ὡς τὸ ἦσεν οὐ μόνον ἴσον ἐστὶ τῷ ἔμελψεν, ἀλλὰ καὶ τῷ εἶπεν· ἐκ τοῦ ἔπω γὰρ κεκίνηται τὸ εἶπεν, ἐξ οὗ καὶ τὸ ἔπος, καὶ τὸ ἔννεπε, λέξεις καὶ αὐταὶ ποιητικαί.

σή'. Τοὺς δὲ πνευματεμφόρους καὶ πνευματοφόρους, φαμὲν, ὡς δῆλον ἐκ τοῦ — Πνευματοφόροις μαθηταῖς νῦν συγχορεύσωμεν — οὗ ἀναλογία κατὰ τὸ σημειοφόρος καὶ τροπαιοφόρος· ὧν τοῦ μὲν ἀνάλυσις ἱερὰ τὸ σῆμα θεότητος φέρον, τοῦ δὲ ἑτέρου ἐξωτερικὴ τὸ — Εἰσῆλθε Τραϊανὸς, ἐπὶ τῶν ὤμων φέρων τὰ τρόπαια — τὸ δὲ στόμα τῶν προφητῶν καθολικόν τι ὂν ὡς προσηγορικὸν, ἀντὶ πληθυντικοῦ εἴληπται· καὶ λέγει ὅτι Ἔλεξαν οἱ πνευματέμφοροι προφῆται, Σῶτερ, τὴν παρουσίαν σου. Ἰστέον δὲ ὡς ἐκ τῶν ἔξω εἰσωδιάσθη τοῖς ἁγίοις· καὶ ὁ πνευματέμφορος· πνεῦμα γὰρ ὑπόγαιον ἐν Δελφοῖς ἀνέρπον διὰ τοῦ μαντικοῦ τρίποδος, ᾧ ἐπεκάθητο ἡ Πυθία προφῆτις, ἐνεφορεῖτο ἐκείνου καὶ οὕτω καινῶς ἐνθεάζουσα ἐξελάλει χρησμούς.

σθ'. Τὸ δὲ σωματωδῶς ἀντὶ τοῦ σαρκικῶς· οὐ προσλογιστέον γὰρ ἐνταῦθα τὸ τῆς λέξεως μετουσιαστικὸν, ὡς ἐντεῦθεν δῆθεν μὴ ταυτὸν εἶναι σωματωδῶς εἰπεῖν καὶ σωματικῶς· ἀλλὰ τῇ τοῦ μέτρου εἴκειν κάνταῦθα βίᾳ δοτέον τῷ μελικῷ· τὸ δὲ, ὦ μέδων, μετοχή ἐστιν, οὐ μὴν μετοχικὸν κατὰ τὸ ὁ λέων τοῦ λέοντος, καὶ δράκων, καὶ ὁ θεράπων, καὶ ὁ οὐκ ἀλέγων τοῦ οὐκ ἀλέγοντος. καὶ ὁ εὐελθὼν τοῦ εὐελθόντος· διὸ καὶ φυλάσσει τὸ ω τῆς εὐθείας ἐν τῇ κλητικῇ· εἰ δὲ καὶ κύριον ὄνομα εὑρηταί τις Μέδων, οὐδὲν ἡμῖν τοῦτο πρὸς τὸ παρόν· γίνεται δὲ ὁ κατ' ἄνθρωπον Μέδων, ἐκ τοῦ μήδω τὸ βουλεύομαι συστολῇ τοῦ η εἰς ε· βουλευτικὸν γὰρ πάντως καὶ βουλευτὴν καὶ τὸν βασιλέα ὅτι μάλιστα εἶναι χρεών.

σι'. Ἡ δὲ ἐνδημία οὐ δῆμον ἕνα δηλοῖ ὡς ἐπὶ κοσμικοῦ μέδοντος γίνεται, ἀλλὰ δήμους ἐννόμους ὅσοι τὸν κόσμον ἀπαρτίζουσιν, οὗ μέδων ὁ παμβασιλεὺς Θεός. Εἰ δὲ δῆμόν φαμεν τὸν Χριστιανικὸν λαὸν, οὗ βασιλεύει ὁ Θεὸς, καινὸν οὐδέν· οὐ γὰρ δημοκρατίαν ἐντεῦθεν ἐξ ἀνάγκης εἰσάγομεν, ἧς ὁ παντάναξ μόναρχος ἄπεστιν, ἀλλὰ τὸ αὐτεξούσιον δηλοῦμεν· οὗ καλῶς φυλαττομένου ἐν ἡμῖν, οὐδέν τι πολυπραγμονούμεθα ὑπὸ τοῦ βασιλέως Θεοῦ, ἀλλὰ φίλτατοι αὐτῷ ἐγκρινόμεθα· καὶ οὕτω βασιλεία καὶ δῆμος ἐν ἡμῖν πρὸς μακαρισμὸν διεκφαίνεται, κρατοῦντος ἄριστα ἡμῶν τοῦ λογιστικοῦ, ὅτε τῇ ἀντιλήψει τῆς ἀρχικωτάτης ἁγίας Τριάδος, καὶ τὰς τρεῖς περισώζομεν ἐπαινετὰς ἀρχὰς, τήν τε βασιλικὴν, καὶ δι' αὐτῆς τὴν ἐν ἀριστοκρατίᾳ, καθ' ἣν καὶ ὁ ἀδελφικὸς δῆμος ἐμφρόνως ἐξορθοῦται εἰς ἀγαθόν· ὃ μόνοις ἄρτι σκιαγραφεῖται, ὡς ἐγχωρεῖ τοῖς πάλαι μέν ποτε κατ' Εὐπρώπην Ἐνετοῖς, νῦν δὲ Οὐενέτοις εἴτουν Βενέτοις, ὧν ἡ χώρα Οὐενετία, εἰς Βενετίαν τετριμμένη κοινῶς, παρ' οἷς τὸ μὲν μοναρχικὸν σώζεται, διὰ τοῦ ἐν αὐτοῖς ὑπερκαθημένου Δουκός· διὰ δὲ τῶν κονσούλων, οἵπερ εἰσὶν ἐπίλεκτοι σύμβουλοι, τὸ ἀριστοκρατικόν· οἱ δὲ παρ' αὐτοὺς καὶ μετ' αὐτοὺς, τὸ δημοτικὸν συμπληροῦσι φῦλον· καὶ τριπλόκῳ σχοινίῳ τούτῳ εὐχρήστῳ διαπεπλεγμένῳ εἰς ἄῤῥηκτον, τὴν κατ' αὐτοὺς κληροδοσίαν συνέχουσι.

208. Τοὺς πνευματεμφόρους dicimus etiam πνευματοφόρους, ut patet ex hoc : Πνευματοφόροις discipulis nunc assentiamur; cujus analogia est cum σημειοφόρος et τροπαιοφόρος, quorum analysis sacra, quod ad primum attinet, est signum deitatis ferens; et, quoad secundum, profana, sic habetur : Intravit Trajanus, super humeros ferens tropæa. Os autem prophetarum, quod est aliquid universale tanquam prolationis instrumentum, pluralis loco sumptum est. Et dicit : Locuti sunt πνευματέμφοροι prophetæ, Salvator, tuam præsentiam. Sciendum autem quod ex exteris inter sanctos venit etiam ὁ πνευματέμφορος. In Delphis enim subterraneus spiritus per vaticinum tripodem sursum repens, ubi sedebat Pythia prophetissa, implebat illam, et ita recenter inspirata oracula dabat.

209. Istud autem σωματωδῶς est pro σαρκικῶς. Non enim hic præmittendum est dictionis derivationem, tanquam exinde sane non idem esset σωματωδῶς et σωματικῶς dicere; sed concedendum hic poetæ metri necessitati acquiescere. Hoc autem, ὦ μέδων, participium est, non tamen cum vi participii juxta illud.: ὁ λέων τοῦ λέοντος, et ὁ δράκων, et ὁ θεράπων, et ὁ οὐκ ἀλέγων τοῦ οὐκ ἀλέγοντος, et ὁ εὐελθὼν τοῦ εὐελθόντος. Ideo servat ω nominativi in vocativo. Si vero nomen proprium etiam inveniatur Μέδων, nihil nostri refert ad præsens. Qui vero secundum hominem est Μέδων, sic dicitur ex μήδω, delibero, contractione litteræ η in ε : consiliosum enim et consiliatorem esse quam maxime regem oportet.

210. Ἡ vero ἐνδημία non unum populum indicat, ut de mundano rege fit, sed populos (δήμους) subjectos legi quotquot partiuntur mundum, cujus est dominator supremus rex, Deus. Si vero dicimus rempublicam (δῆμον) Christianum populum, (ὃν) super quem regnat Deus, nihil mirum : non enim exinde necessario democratiam introducimus, a qua summus abest monarcha, sed liberam significamus potestatem; qua fideliter in nobis custodita, minime negotiis fatigabimur sub rege Deo, sed ipsi dilectissimi judicabimur. Et sic in nobis regia democraticaque potestas ostenditur ad beatitudinem, optime dominante nobis ratione, quando receptione principalissimæ sanctæ Trinitatis, et tres conservamus laudabiles potestates, et regiam, et per hanc illam quæ sistit in aristocratia, juxta quam fraternus etiam popularis status prudenter dirigitur ad bonum : quod solis nunc, ut licet, adumbratur populis, olim dictis, secundum Europam, Enetis, hodie vero Venetis sive Benetis, quorum est regio Venetia, communiter in Benetiam usu mutata, apud quos regimen monarchicum quidem servatur per ducem super alios constitutum; aristocraticum autem per consules, qui sunt electi consiliarii; popularem vero tribum complent qui sunt apud illos et post illos. Et hoc triplici funiculo in infractum plexo hæreditatem sibi sortitam continent.

214. Hoc autem : κόλπων πατρικῶν, periphrasis est patris : abundantius quidem est dictum, similiter tamen interpretatum : æquum enim est dicere Spiritum ex sinu Patris procedentem. Qui vero curiosius inspicere voluerit hujus Patris sinus, e quibus ad accurationem perfectam Filius quidem exit, Spiritus autem procedit, illos leviter et hæsitans, manibus impositis, palpabit. Ex ineffabili namque sinu metaphorice dicitur Spiritus sanctus processisse, sicut e suo corde Verbum bonum idem absque principio Pater eructavit. Sinum autem maris de ipso metaphorice loqui audemus, quando bonorum ex ipso profluentium, misericordiæ, sapientiæ et cæterorum, ut possumus, immensitatem consideramus, naviculam humanam in hoc immensum pelagus immittentes.

A σια'. Τὸ δὲ κόλπων πατρικῶν περίφρασίς ἐστι τοῦ πατρός· περιττότερον μὲν ἐκείνου φρασθέν, ὡσαύτως δὲ ἑρμηνευόμενον· ὅμοιον γὰρ Πνεῦμα εἰπεῖν κόλπων ἐκ Πατρὸς προηγμένον. Ὁ δὲ περιεργοζόμενος κόλπους Πατρὸς τούτου ὧν ὁ μὲν Υἱὸς πρόεισι, τὸ δὲ Πνεῦμα ἐκπορεύεται πρὸς ἀκρίβειαν ἐντελῆ, τότε τοὺς τοιούτους κόλπους ψηλαφήσει τὼ χεῖρε καθεὶς ἐπ' αὐτούς· ἀῤῥήτου γὰρ κόλπου μεταφορικῶς προῆχθαι τὸ ἅγιον Πνεῦμα λέγεται, ὡς καὶ ἐκ τῆς αὐτοῦ καρδίας λόγον ἀγαθὸν ὁ αὐτὸς ἀναρχος Πατὴρ ἐξηρεύξατο· κόλπον δὲ θαλάσσης ἐπ' αὐτοῦ μετανεγκεῖν τροπικῶς ἐγχειροῦμεν, ὅτε τὸ ἄπειρον τῶν ἀγαθοχυσιῶν αὐτοῦ, καὶ τοῦ ἐλέους, καὶ τῆς σοφίας, καὶ ὅσα τοιαῦτα, ὡς δυνατὸν σκεπτόμεθα, ἐπαφιέντες ἁπλέτῳ πελάγει τούτῳ ἀλιάδα τὴν κατ' ἄνθρωπον.

B

215. In aliis quidem carminibus præcedentibus venerabilis quem traeimus lyricus, alias interponebat sententias et historias, ex antiquissimis sacris et præcipuis carminibus, juxta quæ strophas expositas concinuit : sed nonam hanc odam, augustissimæ Deiparæ sacratam, implevit, ut licebat, sententiis ad eam pertinentibus. Et hic quidem nexus pure speciatimque, consueta sequela, celebrat eam. Strophæ vero quæ sequitur

σιβ'. Ὅρα δὲ ὅτι, ἀντὶ τοῦ ἐκπορευόμενον, προηγμένον εἶπεν ἀσφαλῶς. Ἐπεὶ οὖν εἰς ἴσον τούτοις ἔρχεται καὶ τὸ προβεβλημένον, ληπτέον ὅτι ὥσπερ ἐκπορεύειν ὁ Πατὴρ τὸ Πνεῦμα λέγεται, οὕτω καὶ προάγειν καὶ προβάλλειν· ἐν δὲ τῷ τετάρτῳ στίχῳ ἐν ᾧ ἡ δεδηλωμένη σύνθεσις ἐπίτηδες ἡ κατὰ τὴν ὑφὴν, καλῶς καὶ τεχνικῶς ἐξώσθη διὰ τῆς συνθέσεως τὸ τελικὸν ἀμετάβολον ἐκ τοῦ ἄκτιστον καὶ συμπλαστουργὸν, ἵνα μὴ σὺν τῇ κακομετρίᾳ καὶ ὁ ἀναγνώστης πονῆται προσπταίων τὴν γλῶτταν τῇ τῶν τοιούτων ἀμεταβόλων ἐπαλληλίᾳ. Τὸ δὲ σέθεν ποιητικόν ἐστιν, ὥσπερ καὶ τὸ σέο τὸ πρωτότυπον αὐτοῦ· λαμβάνονται δὲ ἄμφω ἀντὶ τοῦ σοῦ· οὕτω

C

216. Sumitur utrumque pro σοῦ. Similiter ex pronomine soluto ἐμοῦ fit ἐμέο, et exinde ἐμέθεν; et ex οὗ ἕο atque ἕθεν pro αὐτοῦ. Ἴεις autem ex verbo paulo ante dicto ἴημι venit, cujus imperfectum est ἵην et participium ἰείς ἰέντος, quod cum præpositione ἀπὸ dicitur ἀφιεὶς ἀφιέντος. Ex sole autem, velut in arcum curvato secundum veteres, sumptum est : ἶέναι σέλας, emittere lumen ad instar ἰοῦ cujusdam sive jaculi. Quod enim desuper ille radiet in terram, hoc sagittarum jactui urbane illi assimilabant; unde quoque ἰήϊον in quatuor syllabis allegorice vocabant eam. Vocibus autem ἐνανθρωπήσεως et τοῦ ἐνανθρωπεῖν non est de salutifera Christi Salvatoris œconomia vividiorem proprioremque dictionem invenire.

καὶ ἐκ τῆς ἐμοῦ ἀντωνυμίας διαλελυμένης τὸ ἐμέο γίνεται, καὶ ἐκεῖθεν τὸ ἐμέθεν, καὶ ἐκ τοῦ οὗ τὸ ἕο, καὶ ἕθεν ἀντὶ τοῦ αὐτοῦ. Τὸ δὲ ἰεὶς ἐκ τοῦ πρὸ ὀλίγων ῥηθέντος ἴημι γίνεται, οὗ παρατατικὸς ἵην, καὶ ἡ μετοχὴ ἰεὶς ἰέντος, ὃ μετὰ τῆς ἀπὸ προθέσεως ἀφιεὶς ἀφιέντος λέγεται· ἐξ ἡλίου δὲ ὡς οἷα τοξότου κατὰ τοὺς παλαιοὺς εἴληπται τὸ ἶέναι σέλας ἰοῦ τινος δίκην ὅ ἐστιν ὀϊστοῦ· τὸ γὰρ ἀκτινοβολεῖν ἄνωθεν ἐκεῖνον εἰς γῆν, τοξείᾳ εἴκαζον ἐκεῖνοι ἀστειζόμενοι. Ὅθεν καὶ ἰήϊον ἀλληγορικῶς ἐν τέσσαρσι συλλαβαῖς ἐκάλουν αὐτόν· τῆς δὲ ἐνανθρωπήσεως καὶ τοῦ ἐνανθρωπεῖν οὐκ ἔστιν ἐπὶ τῆς κοσμοσωτηρίου οἰκονομίας ἐναργεστέραν καὶ κυριωτέραν λέξιν εὑρέσθαι.

D

Hirmus odæ nonæ.

Salve, Regina, matrivirginalis gloria,
Omne enim bene volubile, bene loquens os
Rhetorica arte non potest te laudare digne.
Caligat autem mens omnis ad tuum partum
Cognoscendum, unde te cum desiderio glorificamus.

Ἑιρμὸς ὠδῆς ἐννάτης.

XXV. Χαίροις, ἄνασσα, μητροπάρθενον κλέος,
Ἅπαν γὰρ εὐδύνητον, εὔλαλον στόμα
Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως·
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σον τὸν τόκον
Νοεῖν· ὅθεν σε σὺν πόθῳ δοξάζομεν.

σιγ'. Ἐν μὲν ταῖς πρὸ ταύτης μολπαῖς ὁ ἀνὰ χεῖρας ἡμῖν τίμιος ἐποποιὸς ἄλλως παρενετίθει ἐννοίας καὶ ἱστορίας ἐκ τῶν παλαιτάτων ἁγίων κορυφαίων ᾠδῶν, πρὸς ἃς ἔμελψε τὰ ἐκτεθειμένα τροπάρια· τὴν δὲ ἐνάτην ταύτην ᾠδὴν, ὡσιωμένην τῇ πανάγνῳ Θεομήτορι, ἐμέστωσεν ὡς ἐξὴν ἐννοίαις ταῖς εἰς ἐκείνην· καὶ ὁ μὲν εἱρμὸς ἀκράτως καὶ καταμόνας ἐκείνην εὐφημεῖ ἀκολουθίᾳ συνήθει· τῷ δὲ μετ' ἐκεῖνον τροπαρίῳ παραμίγνυσι πρὸς τῷ τέλει

βραχύ τι πνευματικὸν, πρὸς ὄνομα μόνον μνησθεὶς τοῦ ἑορταζομένου Θεοῦ· τὸ δέ γε λοιπὸν τροπάριον ἐξ ὀρθοῦ ἐστι τριαδικόν· ἀνακόλουθον οὖν τοῦτο τῇ ἁρμονίᾳ τῶν ἄλλων κανόνων ἐν οἷς τὰ τριαδικὰ τῶν θεοτοκίων πρόκεινται.

σιδ'. Ἔννοια δὲ τὸν ἐνταῦθα εἱρμὸν ἀπαρτίζει τοιαύτη· Χαίροις, ὦ Ἄνασσα, μητροπάρθενον κλέος, ὅπερ ἐστὶ περιφραστικῶς μὲν, μῆτερ καὶ παρθένε, ἁλλως δὲ, κλέος μητέρων τε καὶ παρθένων· τῶν μὲν διὰ τὸν γεννηθέντα Θεὸν ἀνωδύνως καὶ ἀλύπως διὰ τὸ δίχα ὠδίνων καὶ τῶν ἐντεῦθεν ὀδυνῶν τεκεῖν· καθότι καὶ ἄνευ ἡδονῆς συνέλαβε τὸν αὐτὸν Θεὸν, καὶ ἄνευ θελήματος σαρκικοῦ, ὧν οὐδὲν ταῖς ἄλλαις μητράσιν ἐνθεωρεῖται· καὶ οὕτω μὲν ἡ ὑπὲρ φύσιν τεκοῦσα, μητέρων κλέος τῶν καὶ ἐν λύπαις τικτουσῶν τέκνα καὶ τὴν λοιπὴν ἐπισυρομένων ἐμπάθειαν, ὁπόση φυσικῶς ταῖς τοιαύταις παρομαρτεῖ· παρθένων δὲ κλέος ἡ αὐτὴ διὰ τὸ προτιμηθῆναι καὶ ὑπερτεθῆναι τοῦ ἄλλως μητρικοῦ αὐχήματος τὸ παρθενικόν· στάχυς τε γὰρ ἀρχέγονος ἐκεῖνος ὁ ἄσπαρτος καὶ γῆ ἀνήροτος, ἡ ἐκθρεψαμένη ἐκεῖνον, ἐς λίαν πάνυ πλέον θαυμάζονται τῶν ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας καὶ γενέσεως, καὶ γῆ αὕτη ἀστιβὴς, καὶ ἀπάτητος, καὶ εἰς τὸ πᾶν ἀγεώργητος τὰ ἐς φύσιν· εἰ καὶ ἄλλως ἐξ ἀρετῆς εἰς ὑποδοχὴν Θεοῦ ἦν εὔθετος· καὶ ζωῆς δὲ στάχυς ὁ ἐξ αὐτῆς, δι' οὗπερ ἡμῖν ὁ οὐράνιος ἄρτος καὶ ἐφάνη καὶ ἐδόθη, καὶ παραμένει ζῶν καὶ ζωοποιὸς, οὐκ ἔστι κλέος ὅπερ οὐκ ἂν ὑπερβαίνοιεν.

σιε'. Ἔτι δὲ κλέος μητέρων καὶ παρθένων ἡ αὐτὴ μήτρανδρος ἡ κατ' ἐξαίρετον ἀειπάρθενος καὶ ἀειχόρη, ἐπεὶ ἂν σώας ἔχωσι φρένας καὶ πρὸς ἐκείνην μετροῦσαι ὡς δυνατὸν παρεξάγωσιν ἑαυτάς· αἱ μὲν θυμούμεναι ὡς ἠξίωνται μητέρες εἶναι, καὶ αὐταὶ πράγματος τούτου καὶ ὀνόματος ἐπιτυγχάνουσαι καλοῦ καὶ ἀγαθοῦ· αἱ δὲ παρθενίας ἔχουσαι κτῆμα ὅπερ ὁ Θεὸς ἀγαπήσας ᾠκειώσατο, εὔκλειαν ἑαυταῖς ἐντεῦθεν περιποιοῦνται θαυμαστήν. Χαίροις οὖν, ὦ Βασίλεια, κλέος ὧν εἴπομεν γυναικῶν. Διὰ τί δὲ χαίροις ἄν; Τοῦτο δὴ τὸ τοῦ Γαβριὴλ ἦν ὅτε ἀγαλλιῶν προσφώνημα· διότι πᾶν ἐγκώμιον ὑπεραναβέβηκας διὰ τὸ ὑπερβάλλον τῆς ἀρετῆς, καθ' ἣν καὶ τῶν οὐρανίων ταγμάτων ὑπέρκεισαι· ἅπαν γὰρ στόμα βρότειον εὐδίνητον, ἦγουν εὔστροφον καὶ εὔλαλον, οὐχ ἁπλῶς, ἀλλὰ καὶ ῥητρεῦον, ἤτοι ῥητορεῦον, οὐκ ἔχει ἀξίως μέλπειν σε· τοῦτο δὲ γίνεται παρὰ τὸν χορηγὸν τῆς ῥητορείας νοῦν. Ἐπεὶ γὰρ ἅπας νοῦς ἐλαττωθεὶς νοεῖν σου τὸν τόκον, πῶς ἂν τὸ στόμα ῥητορεύειν ἐπ' αὐτῷ δύναιτο; Διὸ ἀμηχανοῦντες πλατυλογεῖν μόνον τὸ Δόξα σοι, ἀναβοῶμεν, οὐ πρὸς ἀφοσίωσιν καὶ μόνην, ἣν καὶ προσποίητον ἐν πολλοῖς εἴδαμεν γίνεσθαι, ἀλλὰ σὺν πόθῳ πρέποντι.

σις'. Ἰστέον δὲ ὅτι στόμα μὲν εἰπεῖν εὔλαλον κυριολεκτικόν ἐστιν· εὐδίνητον δὲ αὐτὸ φάναι οὐ κυριολεκτεῖται· ἀλλὰ ὡς ἀπὸ μέρους τῆς γλώσσης δινουμένης ὅτε λαλοῦμεν εὐδίνητον καὶ τὸ στόμα

istum, ad finem, aliquid breve de Spiritu commiscuit, solo nomine celebrati Dei memoriam ponens. Cætera vero strophe recte de Trinitate est. Hoc igitur non cohæret cum harmonia aliorum canonum, in quibus quæ de Trinitate sunt, ea quæ a Deo exeunt antegrediuntur.

214. Hunc autem præsentem nexum talis sententia partitur : Salve, Regina, μητροπάρθενον κλέος, quod est per circumlocutionem, mater et virgo, cæterumque matrum ac virginum decus; aliarum quidem propter illum quem genuit Deum suaviter et læte, eo quod absque partus angustiis et mœroribus exinde peperit; quatenus eumdem Deum sine voluptate sineque voluntate carnali concepit; quod in allis matribus nullo modo reperitur; atque ita quidem, cum supra naturam peperit, decus est matrum, quæ filios in mœroribus pariunt, cæterosque turbidos secum trahunt affectus, qui natura comites hujusmodi matribus adsunt. Virginum autem decus eadem est, eo quod prætulit ac præposuit maternæ gloriationi virgineam. Spicus enim ille primigenius sine semine, terraque non arata quæ nutrivit illum, multo magis quam illi qui naturalem generationem consequuntur, mirationem movent. Et ista terra non calcata, non trita, non omnino culta, licet ex virtute Deo recipiendo bene disposita, vitæque spicus ex ea surgens, per quem nobis panis cœlestis visus et datus est, permanetque vivens et vivificans, non est decus quod superare nequeant.

215. Adhuc autem matrum ac virginum est decus eadem mater excellenter semper virgo semperque puella, dummodo sanas habeant mentes, et secundum illam, ut est possibile, sese mensurantes perambulent; aliæ quidem recordantes quod meruerunt esse matres, hujus officii nominisque pulchri ac boni factæ participes; aliæ vero virginitatis sortitæ thesaurum, quem Deus, ipsius amore captus, proprium sibi fecit, miram exinde gloriam sibi acquirunt. Salve ergo, Regina, mulierum quas diximus, decus. Cur autem hoc salve tibi? ut quid hoc gaudeas? Hac certe fuit olim exsultans Gabrielis salutatio, quoniam super omnem laudem es exaltata propter excellentiam virtutis, juxta quam cœlestes ordines transgressa es : omne namque os humanum volubile, sive promptum, et loquax, non simpliciter, sed disertum et fecundum, non te digne celebrare potest : hoc autem mentem eloquentiæ ducem superat. Cum enim omnis mens stupet et hæsitat cogitare tuum partum, quomodo super illum os eloquens esse poterit? Ideo non valentes te laudare multum, solum hoc : Tibi gloria, clamamus, non ad solam absolutionem officii, quam simulatam in multis esse novimus, sed cum desiderio convenienti.

216. Sciendum autem quod os quidem εὔλαλον dicere, propria dictio est : illud autem εὐδίνητον pronuntiare, non proprie dicitur : sed velut ex parte linguæ quæ movetur quando loquimur, os etiam mobile

fertur vel εὐδίνητον. Εὐδίνητος autem ea est lingua quæ convenienter est ad volutandum. Talis est quæ non, ut urbane loquar, est gracilis κατ' ἔλλειψιν seu derelictione : hæc enim ad motum egeret vecte, alia vero ligamine vel alio retinaculo. Potest autem εὐδίνητον dici στόμα, rursum, quod clare aeuteque loquitur, atque, ut ita dicam, εὔτορον est, in eo quod lingua bene volvitur, et labia concinne moventur. Et venit hujusmodi verbum a δίνω, id est, τόρω, seu τέρνω, ex quo etiam τορεύειν et τορεία, quæ fit apud Latinos cavatura, quam cælant cavatores. Τοῦ δίνου autem, qui etiam apud veteres rotationem cœlestem significat, derivatio est δίνη, de sustollendis aquis dicta, quales multæ sunt per repulsum in mari et in fluviis. Ab hujusmodi δίνη venit etiam locutio ἀργυροδίνας ποτάμους, fluvii fluctus argenteos volventes.

λέγεται. Εὐδίνητος δὲ γλῶσσα ἡ συμμέτρως ἔχουσα τοῦ δονεῖσθαι· τοιαύτη δὲ ἡ μήτε, Ἀττικῶς εἰπεῖν, λίσπη κατ' ἔλλειψιν· ἡ μὲν γὰρ μοχλοῦ ἂν δέοιτο κινήσεσθαι, ἡ δὲ γλωττοπέδης ἢ ἑτεροίας ἀποχῆς· δύναται δὲ εὐδίνητον λέγεσθαι στόμα, καὶ τὸ φθεγγόμενον τορῶς καὶ σαφῶς, καὶ ὡς εἰπεῖν εὔτορον ἐν τῷ καὶ τὴν γλῶσσαν εὖ στρέφεσθαι, καὶ τὰ χείλη ἐναρμονίως κινεῖσθαι· καὶ γίνεται τὸ τοιοῦτον ἀπὸ τοῦ δίνου ὅ ἐστι τόρου τοῦ καὶ τόρνου, ἐξ οὗ καὶ τορεύειν, καὶ τορεία ἡ καὶ καβατοῦρα παρὰ Ῥωμαίοις, ἣν διαχειρίζονται οἱ καβάτωρες· τοῦ δὲ δίνου, ὃς καὶ τὴν οὐράνιον στροφὴν σημαίνει ἐπὶ τοῖς παλαιοῖς, παράγωγον ἡ δίνη λεγομένη ἐπὶ ὑδάτων συστροφῆς, ὁποῖαι πολλαὶ κατ' ἀντίκρουσιν καὶ ἐν θαλάσσῃ καὶ ἐν ποταμοῖς γίνονται· ἀπὸ δὲ τῆς τοιαύτης δίνης καὶ οἱ ἀργυροδίνας ποταμοί.

217. Hoc autem εὔλαλον simpliciter ut commune quidem, etiam pulchre cogitatur : melius est vero cogitare tale os, illud quod Christianum est et bene loquitur velut orthodoxum. Talia namque concinunt Deiparam, etsi non juxta dignitatem hoc facere queant; non tamen illa, quæ quidem bene versata sunt et diserta, sed non recte sciunt, unum in Trinitate Deum et dilectissimi Filii descensum apud nos, et ex virgine, ipsi conveniente, generationem. Syncopæ vero τοῦ ῥητρεύειν conformis est illa respiciens ad ῥῆτρας ἐξέφηνεν, ut dictum est, illitteratos. Verbum autem μέλπειν σε cum accusativo hic construitur, eo quod sumitur pro ὑμνεῖν, et sic ἐπαινεῖν. Ἀξίως vero securitatis causa præpositum est. Quis enim non Deiparæ laudes in carmine celebrat ? Attamen etsi omnes hoc facere studemus, juxta dignitatem attingere quod convenit, non possumus, licet aliunde dignius eam celebremus quam cæteros sanctos, quia dignum et justum est ita fieri. Ut autem aliter breviusque idem dicam, conantur quidem multi, cunctique gestiunt laudabilissimam ac beatissimam celebrare : ad hoc autem quod dignum est pertingere nemo valet nec valebit.

σιζ'. Τὸ δὲ εὔλαλον καὶ ἁπλοϊκῶς μὲν κοινότερον, καλῶς νοεῖται· κάλλιον δὲ νοῆσαι στόμα τοιοῦτον, τὸ Χριστιανικὸν καὶ εὖ λαλοῦν ὡς ὀρθόδοξον· τὰ γὰρ τοιαῦτα μέλπουσι τὴν Θεοτόκον, εἰ καὶ μὴ πρὸς ἀξίαν τοῦτο ποιεῖν δύνανται· οὐ μὴν τὰ ἁπλῶς μὲν εὔστροφα καὶ ῥητορικά, μὴ εἰδότα δὲ ὀρθῶς τὸν ἐν Τριάδι ἕνα Θεὸν καὶ τὴν τοῦ ἁγιωτάτου Υἱοῦ κάθοδον ἐφ' ἡμᾶς, καὶ ἐκ παρθένου πρεπούσης αὐτῷ γέννησιν. Τῇ δὲ τοῦ ῥητρεύειν συγκοπῇ σύστοιχος καὶ ἡ κατὰ τὸ ῥῆτρας ἐξέφηνεν, ὡς ἐρρέθη, τοὺς ἀγραμμάτους. Τὸ δὲ μέλπειν σε μετὰ αἰτιατικῆς κάνταῦθα τέτακται διὰ τὸ λαμβάνεσθαι ἀντὶ τοῦ ὑμνεῖν, καὶ οὕτως ἐπαινεῖν. Τὸ δὲ ἀξίως ἀσφαλείας χάριν προτέθειται. Τίς γὰρ οὐ μέλπει τῇ Θεοτόκῳ τὰ εἰς ἔπαινον; Πλὴν εἰ καὶ πάντες ἐπιβάλλομεν οὕτω ποιεῖν, ἀλλὰ πρὸς ἀξίαν ἐπιτυγχάνειν τοῦ δέοντος οὐ δυνάμεθα, εἰ καὶ ἄλλως ἀξίως αὐτὴν μέλπομεν ἢπερ τοὺς ἄλλους ἁγίους, διὰ τὸ ἄξιον καὶ δίκαιον εἶναι οὕτω γίνεσθαι· καὶ ἑτέρως δὲ τὸ αὐτὸ φράσαι γοργότερον σθένουσι μὲν πολλοί, πάντες τε ἐπιβάλλουσι μέλπειν τὴν πανύμνητον καὶ παμμακάριστον· τοῦ πρὸς ἀξίαν δὲ οὐδεὶς ἐφικέσθαι, οὔτε δύναται οὔτε δυνήσεται.

218. Hoc vero ἱλιγγιᾷν non significat vorticis desiderium ad instar τοῦ μαθητιᾷν et τυραννιᾷν et similium ; sed passio cum sit corporalis et quidem aliter menti non conveniat, metaphorice tamen ad animam et mentem et cogitationem transfertur. Quod autem corporalis passio sit vertigo, non est ambigendum, siquidem plerumque supervenit et illis qui frequenter volvuntur, unde quoque nomen habet, venit enim a τῷ εἱλεῖσθαι, ὁ ἱλιγγος, et eis qui ab excelso præruptoque loco in profunditatem magnam despiciunt ; quibus etiam genua metu commoventur et flectuntur, non solum quando visio præsenter agit, sed etiam quando post experientiam celsitudinem atque profunditatem recordantur. Ex necessitate vero τὸ ἱλιγγιᾷν hic ponitur, sicut et in sequenti strophe ὄδειν pro ὑμνεῖν; quia talium versuum initia, vi acrostichidis, unum quidem iota, alterum autem ypsilon requirunt.

σιη'. Τὸ δὲ ἱλιγγιᾷν οὐ δηλοῖ ὄρεξιν ἱλίγγου πρὸς ἀναλογίαν τοῦ μαθητιᾷν καὶ τυραννιᾷν καὶ τῶν ὁμοίων, ἀλλὰ πάθος ὂν σωματικὸν, ἄλλως μὲν οὐ προσφύεται τῷ νῷ, τροπικῶς δὲ μεταφέρεται καὶ εἰς ψυχὴν καὶ εἰς νοῦν καὶ εἰς διάνοιαν· ὅτι δὲ σωματικὸν πάθος ὁ ἱλιγγος, οὐκ ἂν εἴη ἀμφιβαλεῖν· ἐπιγινόμενος αὐτὸς ὡς μάλιστα τοῖς τε συχνὰ εἱλουμένοις, ὅθεν καὶ τοὔνομα ἔχει· παρὰ τὸ εἱλεῖσθαι γὰρ ὁ ἱλιγγος, καὶ τοῖς ἀφ' ὑψηλοῦ καὶ κρημνώδους τόπου εἰς βάθος; πολὺ καταβλέπουσιν· οἷς φόβῳ καὶ τὰ γόνατα κατασείονται, οὐ μόνον ὅτε ἡ θέα ἐνεργεῖται, ἀλλὰ καὶ ὅτε μετὰ τὴν πεῖραν τὸ ὕψος ἐκεῖνο καὶ τὸ βάθος; ἀναπολήσουσιν· ἀναγκαστικῶς δὲ καὶ τὸ ἱλιγγιᾷν κάνταῦθα κεῖται, καθὰ καὶ ἐν τῷ ἐφεξῆς τροπαρίῳ τὸ ὄδειν ἀντὶ τοῦ ὑμνεῖν· διότι αἱ τῶν τοιούτων στίχων καταρχαὶ, τῇ μὲν τὸ ἰῶτα, ἡ δὲ τὸ υ ἀπαιτοῦσιν.

σιθ'. Ἰστέον δὲ ὡς οἱ λοιποὶ σοφοὶ δεξιῶς καὶ εὐμεθόδως καὶ, τὸ ὅλον εἰπεῖν, διδασκαλικῶς ὑποδεικνύντες τοῖς φοιτηταῖς, τὸν κατὰ σῶμα Ἴλιγγον γίνεσθαι κατὰ συστροφὴν ὑγροῦ, τοῦ μὲν περὶ τὴν κεφαλὴν ὡς οἷον λιμνάζοντος, τοῦ δὲ ἀναδιδομένου ὡς εἰς ἐπιβολήν, τὰς ἀνωτέρω ῥηθείσας δίνας τῶν ὑδάτων οὐκ ἔγραψαν μέν, ἄλλως δὲ ἀγράφως παρέδοσαν, Ἴλιγγας ἑρμηνεύοντες ἰδιωτικῶς λέγεσθαι τύπῳ θηλυκῷ, πρὸς δήλωσιν τοῦ καὶ τὸν Ἴλιγγον κατά τινα τοιαύτην εἰλεῖσθαι δίνησιν· καὶ κατὰ σπουδὴν μὲν οὐδεὶς μὴ χυδαΐζειν προθέμενος τοιαύτην λέξιν ἐρεῖ· σοφὸς δέ τις οὐ πρὸ πάνυ μακροῦ, ᾧ καὶ ἡμεῖς ἐφοιτήσαμέν ποτε, ἀστειζόμενος ἐπί τινι ῥήτορι ἀγλευκεῖ τότε καιροῦ, σκηπτοῦχον τὸν Περικλέα φαμένῳ ἐγγράφως διὰ τὸν σκηπτὸν, ὃς ἐμπεσὼν τῇ ἐκείνου οἰκίᾳ, χιλίας ἀπεκάλυψε πανοπλίας, ὧν ἕνεκεν τυραννίδα μελετᾷν ἐκεῖνος ἐπεκλήθη· διὰ τοῦ τοιούτου Ἴλιγγου ἔπαιξεν εἰς τὸν Σφάλτὸν σκηπτοῦχον· οὗτος ἀνέπλει διὰ τοῦ Βυζαντίου πορθμοῦ, λουσόμενος εἴ που εὑρήσει γλυκέα θερμά· καὶ ὡς εἶδε περὶ τοὺς αἰγιαλοὺς εἱλουμένας δίνας, ὁποῖαι μυρίαι περὶ τοὺς τοιούτους δινοῦνται στρεφόμεναι, δάκτυλον ἀπευθύνας ὡς ἐπιστρέψαι τοὺς ἀκροατὰς πρὸς τὴν καθ' ὕδατος ἐκείνην εἴλησιν, εἶπεν ὡς· Εἴπερ ὁ δεῖνα παρῆν ἐνταῦθα, Ἰλιγγιᾷν εἶπεν ἂν τουτὶ τὸ ὕδωρ. Ἀλλὰ τοῦτο μὲν ὡς οἷον ἡδυσμά τι πανηγυρικῆς ἐννοίας παρεντεθείσθω τῇ ᾠδῇ ταύτῃ, κατὰ συγγνώμην ἀγαπητικὴν τὴν ἐν Θεῷ· ἐπεὶ τοι καὶ οἱ τὰ θεῖα ἑορτάζοντες ἐν σεμνοτάταις ἐννοίαις, κόπου περιεληλυθότος αὐτοὺς, ὡς καὶ ὀκλάζειν καθιζήσαντες ἐπὶ βραχὺ, καὶ οὕτω παραμυθησάμενοι τὸν κόπον ἐν τῷ καὶ ἀλλοῖα μέλη παρεισκριθῆναι, ὧν οὐκ ὀλίγα καὶ ἡ σεμνὴ θυμέλη παρενοσφίσατο, αὖθις ἐξαναστάντες, τῆς ἀρχῆθεν σπουδῆς γίνονται, ὁποία τις ἐνταῦθα καὶ ἡμῖν πρόκειται.

219. Sciendum autem quod cæteri sapientes A solerter et compendiose, et, ut totum dicam, didascalice subindicantes discipulis corporis vertiginem fieri per volutationem humidi, alius quidem circa caput veluti stagnantis, alius autem sicut ad irruptionem assurgentis, superius dictas aquarum volutationes non scripserunt quidem, sed alias sine scripto tradiderunt, Ἴλιγγας (vortices), explicantes idiotice dici genere feminino, ad ostendendum τὸν Ἴλιγγον (vertiginem) juxta quamdam hujusmodi volutationem versari, et sedulus quidem nemo, vulgare loqui non præferens, hujusmodi dictionem usurpabit. Sapiens autem quidam, non longum tempus abest, cui nos etiam fuimus assidui, urbane loquens de quodam rhetore insipido B hujus temporis, σκηπτοῦχον locuto per scriptum Periclem, ob τὸν σκηπτὸν (fulmen), quod lapsum in ipsius domum mille revelavit universas armaturas, quarum causa tyrannidem affectare dictus est, per hujusmodi Ἴλιγγον, hunc Deceptorem σκηπτοῦχον irrisit. Hic e portu recedebat per Byzantinum fretum, ad se lavandum, sicubi dulces inveniret aquas calidas; et cum vidisset ad littora volutos vortices, quales apud ista mille volutati gyrantur, digito significans ut auditores verteret ad talem aquæ gyrantem motum, ait: Si talis ille quidam hic adesset, Ἰλιγγιᾷν, vertigine laborare, diceret hanc aquam. Sed hoc quidem veluti condimentum aliquod panegyricæ sententiæ interponatur huic odæ, cum charitatis in Deo C venia, siquidem et illi qui divina sententiis majestate plenis celebrant, labore circumveniente illos, ut paulisper in genua succumbere cogat, postquam ita laborem demulserunt quædam interponendo diversa carmina, quorum non pauca subripuit honesta scena, rursum assurgentes primitivam resumunt diligentiam, qualis hic etiam nobis proponitur.

σκ'. Τὸ δὲ, νοῦς ἅπας Ἰλιγγιᾷ τὸν τόκον σου νοεῖν, οὐκ ἂν ἀπεικότως λέγοιτο συμπεριλαμβάνειν καὶ τοὺς περὶ Θεὸν νόας, οὓς καὶ ἡ ἀκατανόητος ἐνανθρώπησις τοῦ Σωτῆρος Χριστοῦ λαθεῖν παραδέδοται· οὐκ ἂν γὰρ οὐδὲ ἐκεῖνοι προκύπτειν εἰς τὸ βάθος τοῦ μυστηρίου δύνανται. Ὁ Θεὸς πάντως ὁ τὴν ἀρχὴν κρυβεὶς αὐτοὺς, ἀνεκάλυψεν ἑαυτὸν ἐκείνοις· ὁ καὶ τοὺς ὀφθαλμοὺς ἀποκαλύψας αἰτησαμένῳ τῷ D προπάτορι προφήτῃ καὶ μελῳδῷ, ἐφ' ᾧ κατανοῆσασθαι τὰ ἐκείνου θαυμάσια. Ἰστέον δὲ καὶ ὅτι οὐ λέγει ὁ μελῳδὸς μηδένα νοῦν δυνηθῆναι ἂν τὸν τοῦ Σωτῆρος νοεῖν τόκον, ἀλλὰ Ἰλιγγιᾷν εἰς τὴν ἐκείνου φησὶ κατανόησιν· οὐκ ἐξ ἀνάγκης γὰρ ὁ Ἴλιγγος ἀπάγει τοῦ ἀνθρώπου τὸ νοεῖν. Εἰ δὲ καὶ δώσομεν τῷ Ἰλίγγῳ τοιαύτην ἰσχὺν ἐφ' ἡμῶν ὡς ποιεῖν αὐτὸν ἀπρακτεῖν παντὸς νοῦν ἀνθρώπου εἰς τὴν κατανόησιν τοῦ κατὰ τὸν Σωτῆρα Χριστὸν τοκετοῦ, ἀλλ' οὐδ' οὕτως ἀληθεύει ὁ λέξων μηδόλως κατανενοῆσθαι τὸν εἰρημένον ὑπὲρ φύσιν τόκον· πάνυ γὰρ αὐτὸν οἱ ἅγιοι Πατέρες ἐξεπτολόγησαν· καὶ μάλιστα ἐν οἷς τὴν αἰτίαν αὐτοῦ ἐξέθεντο τὴν ἐπὶ σωτηρίᾳ ἡμῶν.

220. Hoc autem: νοῦς ἅπας Ἰλιγγιᾷ τὸν τόκον σου νοεῖν, non immerito dicetur etiam comprehendere spiritus circa Deum stantes, quos etiam ineffabilis Salvatoris Christi incarnatio latere tradita est: nec enim quidem isti mysterii profunditatem penetrare possunt. Deus qui prorsus initio absconditus ipsis erat, semetipsum illis revelavit; qui etiam detexit oculos roganti progenitori prophetæ et poetæ, ut meditaretur illius mirabilia. Sciendum autem quod poeta non dicit nullam mentem posse Salvatoris cogitare partum, sed ad hujusmodi cogitatum vertigine capi. Non enim ex necessitate vertigo tollit ab homine cogitandi facultatem. Licet vero talem demus vertigini virtutem in nos, ut ipsa prorsus inertem faciat hominis mentem ad concipiendam Salvatoris Christi generationem humanam, non tamen sic vera loquitur qui dicit minime comprehendi dictum supra naturam partum. Multum enim illum sancti Patres minute discusserunt; et præsertim in hoc quod ipsius causam in salutem nostram exposuerunt.

221. Si vero modum illius pertingentes maxime A mirandum, ut ex immaculata virgine seminis experte, remuerunt per totum τὸ quomodo scrutari, non est hoc ignorantia neque cogitandi privatio, sed prædicta vertigo; quam oculorum tenebrationem dicunt interpretes. Qui enim didicerunt et noverunt melius quam nos quod in hominis puri generatione non materia spermatica humida efficit illum fœtum, qui primo quidem, juxta magnum David, non est elaboratus, postea vero bene articulatus est, et promittit ultimum hominem, sed quod juxta locutionem ipsorum, spermatica ratio intellectualis et invisibilis fœtus formationem perficit; quid dum adhuc etiam magis mysteriosum ac divinum scrutati, quomodo dicerentur non attendisse modo divinæ incarnationis illi ab ipso Deo incitati, divinis initiati, et ita super hominem sapientes facti? Hic autem officiosius observandum quomodo vertigine laboret omnis spiritus considerando ineffabilem Filii Dei partum ex virgine. Et interea præsumendum quod ex verbo εἱλεῖσθαι et ex hujusmodi vortice quadamque volutatione, dicta est vox γλιγγος vertigo. Postea præcidendum quod mens humana, postquam vertit et tanquam in semetipsam gyravit, multaque et longa curavit, multaque sollicite peregit, an forte ex hac volutatione posset idem vel aliquid simile invenire, in cogitationem reversa, necnon accuratam adepta comprehensionem quod nihil aliquid tale fuit aut unquam futurum est, exinde vertiginem subit intelligentem soporemque prudentem; et sic retenta a tali studio, remittit ab inquisitione, et glorificat omnipotentem Filium et illam quæ præter opinionem eum genuit.

222. Hoc autem: cum amore glorificamus, tanquam aliquid extraordinarium melodus adscripsit. Qui enim ex toto corde glorificant Deum ipsiusque sanctissimam Matrem atque sanctos, juxta quemdam mirum stuporem hoc faciunt, continuo clamantes ex more: Gloria. Non autem idem est, procul dubio, stupor et amor, nec simul ex necessitate cunctis stupentibus supervenit illa desiderare per quæ fit stupor. Multi namque sola miratione perculsi, constiterunt nihil inde desiderantes, et aliquando multum odio tenentes. Nos autem, inquit, o summa Regina, te cum amore glorificamus; tanquam amor mirationem vinceret, ipsiusque locum occuparet; vel potius uterque maneret simul apud nos, eodemque modo nobiscum exsisteret ac concordiam haberet: una quippe desiderio mirationeque capimur. Ideo te cum amore glorificamus. In his autem τὸ ὅθεν causativum est, ut sensus quinti versus talis sit: Quoniam omnis eloquentia a te superatur, augustissima Deipara, et omnis mens vertigine laborat tuum cogitando partum, idcirco nos glorificamus te, non multiloquio sicque operi supra virtutem addicti, sed vel hoc ipsum: Gloria tibi, vel aliud quid venerabile, vel saltem hoc angelicæ salutationis: Ave, seu salve, cantantes.

ρκα'. Εἰ δὲ τὸν τρόπον ἐκεῖνου περιεργαζόμενοι τὸν παραλυξίτατον τὸν ἐκ παρθένου ἀφθόρου καὶ ἀσπόρου, ἀπεμήναντο ἐπιζητεῖν διὰ τέλους τὸ πῶς, οὐκ ἔστιν ἄγνοια τοῦτο εἴτουν στέρησις τοῦ νοεῖν, ἀλλὰ γλιγγος ὁ προρρηθείς· ὃν σκοτωδίνην φασὶν οἱ ἑρμηνεύοντες· οἱ γὰρ μαθόντες καὶ εἰδότες κάλλιον ἢπερ ἡμεῖς, ὡς καὶ ἐν τῇ γενέσει τῇ κατ' ἄνθρωπον τὸν ἁπλῶς, οὐ τὸ ὑλαῖον σπερματικὸν ὑγρὸν ἀπεργάζεται τὸ τοῦ ἐμβρύου, πρῶτα μὲν ἀκατέργαστον, κατὰ τὸν μέγαν Δαβὶδ, εἶτα εὐδιάρθρωτον, ὃ ἐπαγγέλλεται τὸν ὕστερον ἄνθρωπον· ἀλλὰ ὁ, κατ' ἐκείνους εἰπεῖν, σπερματικὸς λόγος ὁ νοητὸς καὶ ἀόρατος τὴν ἐμβρυοπλαστίαν ἐκτελεῖ· καὶ μυστικώτερον ἔτι ἐμβαθύναντες καὶ θειότερον, πῶς λεχθεῖεν ἂν μὴ ἐπιβαλεῖν τῷ τρόπῳ τῆς θείας ἐνανθρωπήσεως ὑπ' αὐτοῦ Θεοῦ ἐναγόμενοι καὶ τὰ θεῖα μυούμενοι καὶ οὕτως ὑπὲρ ἄνθρωπον σοφιζόμενοι; Ἐνταῦθα δὲ θεωρητέον πραγματικώτερον, πῶς γλιγγιᾷ νοῦς ἅπας νοεῖν τὸν ἐκ Παρθένου ἄῤῥητον τόκον τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ τίως προληπτέον ὡς ἐκ τοῦ εἱλεῖσθαι καὶ τοιαύτης δίνης καὶ στροφῆς τινος, εἴρηται ὁ γλιγγος· μεθ' ὃ ἐπιτμητέον ὅτι ὁ ἀνθρώπινος νοῦς συστρέψας, καὶ οἷον εἰς ἑαυτὸν εἰληθείς, καὶ πολλὰ καὶ μακρὰ μελετήσας, καὶ πολλὰ περιμνήσας εἶπου τοιαύτης εἰλήσεως δυνηθεὶς ἐξευρεῖν ἢ ταυτὸν ἢ ἀλλὰ ὅμοιόν τι, ἐπανακάμψας εἰς νόησιν καὶ κατάληψιν ἀκριβῆ τὴν τοῦ μηδέν τι ἄλλο τοιοῦτον ἢ γενέσθαι ποτὲ ἢ γενήσεσθαι ἄν, πάσχει ἐκεῖθεν γλιγγον ἔννουν καὶ χάρον ἔμφρονα· καὶ ἀνεθεὶς τοῦ οὕτω σπουδάζειν, παρίεται τῆς ζητήσεως, καὶ δοξάζει τὸν ἀπειροδύναμον Κύριον, καὶ τὴν παραδόξως τεκοῦσαν αὐτόν.

σκβ'. Τὸ δὲ, σὺν πόθῳ δοξάζομεν, ὡς παράδοξόν τι ὁ μελῳδὸς παρεσημήνατο· οἱ γὰρ ὁλοψύχως δοξάζοντες τὸν Θεὸν, καὶ τὴν ἁγιωτάτην αὐτοῦ μητέρα καὶ τοὺς ἁγίους αὐτοῦ, κατά τινα περαστίαν ἔκπληξιν τοῦτο ποιοῦσιν, ἀναβοώμενοι αὐτίκα καὶ τὸ Δόξα κατὰ τὸ σύνηθες· οὔτε δὲ ταυτὸν ἀνεπιῤῥήτως τῇ ἐκπλήξει ὁ πόθος, οὔτε συμπάρεστιν ἐξ ἀνάγκης ἅπασι τοῖς ἐκπληττομένοις τὸ καὶ ποθεῖν ἐκεῖνα δι' ὧν ἡ ἔκπληξις γίνεται· πολλοὶ γὰρ ἐκπλαγέντες μόνον, ἐπαύσαντο μηδέν τε ποθήσαντες· ἔστι δὲ οὓς καὶ μισήσαντες λίαν πάνυ. Ἡμεῖς δὲ, φησὶν, ὦ παντάνασσα, σὺν πόθῳ δοξάζομέν σε· ὡς τοῦ πόθου τὴν ἔκπληξιν ἐκνικήσαντος, καὶ ἀντεισαχθέντος ἐκείνου, μάλιστα μὲν οὖν σὺν ἐκείνῳ μένοντος παρ' ἡμῖν καὶ συζυγοῦντος ἐν τῷ συνδυάζεσθαι· ἅμα γὰρ καὶ ποθοῦμεν, καὶ ἐκπληττόμεθα· διὸ καὶ σὺν πόθῳ σε δοξάζομεν· ἐν τούτοις δὲ τὸ ὅθεν αἰτιολογικόν ἐστιν, ἵνα ὁ νοῦς τοῦ πέμπτου ἔπους εἴη τοιοῦτος· Ἐπειδὴ ἅπασα ῥητορεία ἡττᾶταί σου, ὦ πάναγνε Θεοτόκε, καὶ νοῦς δὲ ἅπας γλιγγιᾷ τὸν τόκον σου νοεῖν, διὰ τοῦτο ἡμεῖς δοξάζομέν σε, οὐ πολυλογοῦντες, καὶ οὕτως ἐγχειροῦντες τοῖς ὑπὲρ δύναμιν, ἀλλὰ ἢ αὐτὸ τοῦτο ἀναφθεγγόμενοι τὸ, Δόξα σοι, ἢ ἄλλο τι γεραρὸν, ἢ ἀλλὰ αὐτὸ τὸ Χαίροις ἢ Χαῖρε, τὸ ἀγγελικὸν προσφώνημα.

Τροπάριον πρῶτον τῆς ἐννάτης ᾠδῆς.

XXVI. Ὕδειν ἔοικε τὴν φυσίζωον κόρην·
Μόνη γὰρ ἐν δίνῃσι κεκρύφει Λόγον,
Νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν,
Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος
Πατρὸς πέπομφε τὴν χάριν τοῦ Πνεύματος.

σκγ'. Εἰς τὴν πανύμνητον Θεοτόκον ἅπονεῦον καὶ τὸ παρὸν τροπάριον, ὡς ἐῤῥέθη ἐν τοῖ; περὶ τοῦ εἱρμοῦ, ἐπικρίνει δέον εἶναι ὑμνεῖσθαι αὐτὴν ὡς μόνην ἐκ πασῶν τῶν γενεῶν ἐμφορηθεῖσαν Θεοῦ, καὶ ἀγαπηθεῖσαν αὐτῷ· καὶ ἔνθεσν καὶ θεοδόχον οὐ κατὰ διαγωγὴν ἀνάρετον, ἢ κατὰ τὸν πρεσβότατον καὶ ἀγιώτατον Συμεὼν, ἀλλὰ ὡς ἀληθῶς ἐν γαστρὶ δεξαμένην ἐκεῖνον, ὃ ἐστι κυοφορήσασαν· ἔοικε γὰρ, φησὶν, ἦγουν πρέπει, οὐδεμία γὰρ τῶν ἄλλων σημασιῶν τοῦ ἔοικεν ἁρμοστέα ἐνταῦθα, ὕδειν ἤτοι ᾄδειν καὶ ὑμνεῖν ὡς καὶ προεγράφη, τὴν φυσίζωον κόρην, ἤγουν τὴν μητροπάρθενον, ὡς μετ' ὀλίγα εἰρήσεται· μόνη γὰρ κεκρύφει ἤγουν ἔκρυψεν ἐν ταῖ;, ὡς ὁ προηγησάμενος τὴν ἐξήγησιν λέγει, λαγόσιν αὐτῆς, ἃς δίνας, φησὶν, ὀνομάζει ὁ ποιητὴς, λόγον τὸν κυρίως, τὸν ἐνυπόστατον, τὸν τῷ Πατρὶ συγκαθήμενον, τὸν ἀλθαίνοντα ἤτοι θεραπεύοντα, καὶ ἰατρεύοντα τὴν καὶ νοσήσασαν τῶν ἀνθρώπων φύσιν καὶ νοσοῦσαν καὶ οὐδὲν παυσαμένην νοσεῖν, ἕως τὰς ἁμαρτητικὰς καχεξίας κακῶς ποιοῦσα, προσίεται καὶ εἰσοικίζεται.

σκδ'. Ἔνθα σημείωσαι ὡς ἐπεὶ ἐν τῷ μόναις ἐν δίνῃσι κεκρύφει Λόγον, οὐκ ἐδήλωσεν ὡς Λόγον ἔφη τὸν Υἱὸν τοῦ Θεοῦ, ἐπήγαγε μὲν σαφηνείας χάριν τὸ αὐτὸν ἀλθαίνειν θεραπευτικῶς ἡμᾶς νοσοῦντας, οἷα ψυχῶν καὶ σωμάτων ἰατρόν. Ἐπεὶ δὲ καὶ ἄλλως λόγοις θείοις ἴῶνται ἄνθρωποι, διὰ τοῦτο, πρὸς πλείω καὶ εἰλικρινεστάτην σαφήνειαν, ἐπάγει καὶ ταῦτα· Ὃς ἦγουν ὁ ῥηθεὶς Λόγος ἱδρυμένος νῦν ἐν δεξιοῖς κλισμοῖς ὅ ἐστι θρόνοις μεγαλωσύνης τοῦ Πατρὸς, κατὰ τὸ, Ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ, πέπομφε τὴν χάριν τοῦ Πνεύματος, οὗ τὴν ἑορτὴν σήμερον ἄγομεν. Καὶ τὸ μὲν ὁλικὸν ἀγαθὸν τῆς τροπικῆς ἐννοίας. τοιοῦτον· τῶν δὲ κατὰ λέξιν τὸ μὲν ὕδειν ἦν μὲν εἰπεῖν κοινότερον ὑμνεῖν ἁλυμάντως τῇ ἀκροστιχίδι· ὁ δὲ παροξύτονος μελῳδικὸς τόνος τοῦ, Χαίροις, Ἄνασσα, τὸ ὑμνεῖν ἀπαγαγὼν, τὸ ὕδειν ἀντεισήγαγεν· ὅπερ ἀπὸ τοῦ ᾄδειν παρῆχθαι κατά τινα γλῶσσαν φασὶν οἱ παλαιοὶ δωρικώτερον.

σκε'. Ἡ δὲ φυσίζωος κόρη, οὕτως ἂν συνθήσει τὴν ὡς ἐῤῥέθη μητροπάρθενον· τοῦ μὲν φῦσαι ὅ ἐστι γεννῆσαι, τῇ μητρὶ ἁρμοττομένου· τῇ; δὲ κόρης εἰς ταυτὸν ἰούσης τῇ παρθένῳ· πάντως δὲ ἡ φύσασα ἐν τῷ μένειν τοιαύτη κόρη, τὴν μητροπάρθενον σημαίνει· τὸ δὲ φυσίζωος ὁ μὲν Ἑλληνικὸς γλυκὺς ποιητὴς γῆ; ἐπίθετον οἶδε, λεγομένης οὕτω ἡ παρὰ τὸ φύειν ζειὰς, ἵνα ᾖ φυσίζωος γῆ ὡς ἀπὸ μέρους τῶν ζειῶν ἤτοι πάνσπερμος; ὅθεν ἡ πανσπερμία παράγεται· ἢ ἄλλως φυσίζωος ἡ φύσουσα τὰ πρὸς ζωήν· γράφεται δὲ παρ' ἐκείνῳ τῷ ποιητῇ διὰ τοῦ ο μικροῦ ἡ παραλήγουσα τῆς παρ' αὐτῷ φυσιζόου,

Troparium primum odæ nonæ.

Cantare decet naturam vivificantem puellam :
Sola enim in profundis occultavit Verbum,
Ægrotanti medens mortalium naturæ;
Quod dextris sedibus nunc sedens
Patris, misit gratiam Spiritus.

223. Ad laudabilissimam Deiparam respiciens et ista strophe, sicut in his quæ spectant ad nexum fuit dictum, oportere decernit illam celebrare veluti solam ex omnibus generationibus Deo repletam ipsique dilectissimam ; et a Deo afflatam ac visitatam non secundum vitam virtute prædilam, nec secundum venerabilem sanctissimumque senem Simeonem, sed vehit eam quæ suscepit illum in ventre vel in utero tulit. Ἔοικε, decet enim, inquit, sive convenit, nulla siquidem ex aliis siguificationibus τοῦ ἔοικεν hic aptatur, ὕδειν sive ᾄδειν, carmine celebrare hymnisque, sicut dictum est, exaltare, φυσίζωον κόρην, sive virginem matrem, ut paulo post docetur : sola nuippe κεκρύφει sive ἔκρυψεν, abscondit, sicut dux interpretationis dicit, in illibus suis, quæ δίνας (vortices) vocat poeta, illum qui proprie est Verbum, consubstantialem ac consessorem Patri, τὸν ἀλθαίνοντα, sive qui curat ac sanat ægrotatam et ægrotantem, et nunquam ab ægrotatione cessaturam hominum naturam, dum peccatorias dispositiones male habens, accipitur et in novam habitationem eligitur.

224. Hic observandum quod, quoniam in locutione : μόναις ἐν δίνῃσι κεκρύφει Λόγον, non clare significavit se dicere Verbum Filium Dei, adjecit quidem evidentiæ causa illum curate nos ægrotantes sanare, tanquam animarum ac corporum medicum ; quoniam autem aliunde divinis verbis sanantur homines, ideo propter majorem nitidioremque evidentiam adjecit et ista : Qui dictus Verbum, nunc constitutus in dexteris χλισμοῖς (sedilibus) seu thronis magnitudinis Patris, secundum hoc : Sedit ad dexteram Dei, misit gratiam Spiritus, cujus hodie festum celebramus. Et quidem tale est universum tropicæ sententiæ bonum. Quoad autem dictionem, verbum quidem ὕδειν communius fuisset dicendum ὑμνεῖν acrostichide salva ; sed melodus tonus super penultimam dicti, Χαίροις, ἄνασσα, removens verbum ὑμνεῖν, τὸ ὕδειν in ejus locum adduxit ; quod a verbo ᾄδειν esse derivatum juxta quamdam doricam linguam aiunt veteres.

225. Ἡ δὲ φυσίζωος κόρη, sic componet, ut dictum est, virginem matrem : hoc quidem φῦσαι, quod est genuisse, matri aptatur; istud autem κόρη ad idem redit ac virgo. Prorsus autem illa quæ genuit, talis virgo permanens, virginem matrem significat. Hoc autem φυσίζωος, Græcus ille suavis poeta quidem epithetum terræ novit, quæ sic dicitur, vel quia generat zeas (φύει ζειάς), ut sit terra, tanquam ex parte ζειῶν, φυσίζωος, sive πάνσπερμος; unde πανσπερμία derivatur; vel aliter φυσίζωος, quæ res ad vitam (ζωὴν) necessarias generat. Scribitur autem apud hunc poetam

per o breve penultima vocis φυσιζόου juxta dactyli dispositionem; et ex hujus ordinatione brevis scripturæ ratio quærenda est. Et ita quidem est illa Græca φυσίζοος. Deipara vero φυσίζωος significatur esse mater vitæ, quæ ante omnia est, et quæ in omnibus participatur Dei, cujus in nomine, sicut scriptum est, vitam habemus.

226. Somnus autem dominicus φυσίζωος, in carmine beatissimi melodi Marci positus, magnam poscit miratiouem, non habens, puto, in universo mundo, vel aliud simile verbum conjuge, vel alias comparari potens, et in æquilibrium poni divini, jucundi, suavis et divinitus afflati successus. Mihi certe recordanti nunc illum φυσίζωον somnum supervenit requiescere et tanquam dormire voluptate captus; pectusque sentiebam impetu latum ad exeundum pectoribus ut apud dominum istum Marcum essemus, vel illum ad nos alliciendo, vel saltem apud illum manendo. Jaceat ille somnus φυσίζωος, et repositum corpus, cui cogitatio illius inhæret, jam satis curati ab his qui secundum istum vitæ cupidi sunt, φιλόζωοι, ut ita dicam, et ideo pulchritudinis amantes, statim autem honesti quoque expertes homines.

227. In universum autem est κόρη quælibet virgo, vel a κορῶ, quod est exorno; naturaliter enim in ornamenti curam est prona hujusmodi puella; ut ostendit ille qui reprehendit hominem aurum gestantem in hoc: Ad bellum venit aurum gestans ut puella; vel tanquam pura, a κορῶ, id est, purifico, ex quo venit νεωκόρος, ille qui templum purificat et dicitur etiam σηκοκόρος propter eamdem rationem. Aliunde vero puella quoque talis dicitur ad respectum cum illa quæ vocatur oculi pupilla nobisque dilectissima est: dilecta nempe cuncta puella virgo est et his qui genuerunt et his qui se gerunt ut amatores; et custodia judicatur digna, aliquatenus apud nos in thalamo servata puella, sicut intra palpebras ista pupilla: hæ, quæ frequenter clauduntur et aperiuntur, proprie per ascensionem ac demissionem pupillas custodiunt adversus insidias exterorum corporum, quæ tremenda sunt, sive percutientia, sive aliter lædentia, cum introducuntur: sic etiam pupillas virgines servat thalamus intra portas occludentes eas ut difficile conspiciantur. Ideo sanctissimæ pupillæ procum, sanctum Joseph, aliquis vivide simul ac suaviter celebravit, ipsum custodire virginem, ut pupillam oculi, concinens.

228. Hoc autem, μόνη γὰρ ἐντὸς κεκρύφει Λόγον, intelligi potest veluti pro: illa una; sed potius pro, seclusa a conjuge, sive viro; ut secundum istud: solius unigenitor unigeniti Filii Pater, sicut ante scriptum est, accommodetur ibi etiam hoc: solius unigenitrix unigeniti Filii mater. Hoc vero: ἐν δίνῃσι, si quis non juxta dictam veterem interpretationem in femininо genere scribat, sed potius, ἐν δίνοισιν, quod idem est ac viscera sive intestina, lonice poeticum est, sicut antea τὸ ἐν γλώσσῃσιν aut γλώσσαις; et inferius: κλισμοῖσιν aut κλισμοῖς.

κατὰ δακτύλου ἀκηρτισμένον· καὶ τὴν αἰτίαν τῆς τοιαύτης μικρογραφίας ζητητέον ἐν τοῖς ἐκείνου· καὶ οὕτω μὲν ἡ Ἑλληνικὴ ἐκείνη ἔχει φυσίζοος· ἡ δὲ φυσίζωος θεοτόκος ζωῆς μήτηρ δηλοῦται εἶναι τῆς πρὸ πάντων, καὶ μεταδοτικῶς ἐν πᾶσι τοῦ Θεοῦ, οὗ ἐν τῷ ὀνόματι, καθὰ γέγραπται, ζωὴν ἔχομεν.

σκς'. Ὁ δὲ φυσίζωος ὕπνος ὁ κοριακὸς, ὁ κείμενος ἐν ᾄσματι τοῦ μακαριωτάτου μελῳδοῦ Μάρκου, θαῦμα ἐθέλει πολὺ, οὐκ ἔχων ἐκεῖνος ἐν ὅλῳ, οἶμαι, τῷ κόσμῳ ἢ συζυγοῦν ἄλλο ῥῆμα τοιοῦτον ἢ ἄλλως ἀντιπαρατεθῆναι δυνάμενον, καὶ ταλαντευθῆναι εἰς ἀντίσταθμον ἐπιτυχίας θείας καὶ ἀστείας, καὶ γλυκείας, καὶ ἐνθεαστικῆς· ἔμοιγ' οὖν ἐντεθυμημένῳ ἄρτι τὸν φυσίζωον ἐκεῖνον ὕπνον, ἐπῆλθεν ἀνεῖσθαι καὶ ὡς οἷον ὑπνοῦν ὑφ' ἡδονῆς· καὶ τὸ στῆθος ἠσθόμην ὁρμώμενον ἐκθρώσκειν στηθέων ὡς πρὸς τῷ κυρίῳ ἐκείνῳ Μάρκῳ γενέσθαι, καὶ ἢ ἀφελκύσασθαι αὐτὸν πρὸς ἡμᾶς, ἢ ἁλλὰ παρ' ἐκείνῳ μεῖναι· καὶ κεῖσθω ὕπνος ἐκεῖνος ὁ φυσίζωος, καὶ τὸ λεκτικὸν σῶμα, ᾧ ἡ κατ' ἐκεῖνον ἔννοια ἔγκειται, ἱκανῶς ἤδη τημεληθέντα ὑπὸ τῶν κατ' αὐτὸν φιλοζώων, ὡς οὕτως εἰπεῖν, καὶ δι' αὐτὸ φιλοκάλων, αὐτίκα δὲ καὶ ἀπειροκάλων ἀνδρῶν.

σκζ'. Κόρη δὲ καθόλου πᾶσα παρθένος, ἢ παρὰ τὸ κορῶ τὸ καλλωπίζω· ἐπιῤῥεπὴς γὰρ φύσει ἐς ἐπιμέλειαν καλλωπισμοῦ ἡ τοιαύτη κόρη, ὡς δηλοῖ καὶ ὁ ψέγων ἄνδρα χρυσοφόρον ἐν τῷ – Ἦλθεν εἰς πόλεμον χρυσὸν ἔχων ἠΰτε κούρη· – ἢ ὡς καθαρὰ παρὰ τοῦ κορῶ τὸ καθαίρω, ἐξ οὗ καὶ νεωκόρος ὁ τὸν ναὸν καθαίρων· ὁ δ' αὐτὸς καὶ σηκοκόρος διὰ τὸν αὐτὸν λόγον· καὶ ἄλλως δὲ κόρη ἡ τοιαύτη κατὰ ἀναφορὰν τὴν πρὸς κόρην ὀφθαλμοῦ, τὴν φιλτάτην ἡμῖν· φίλη γὰρ καὶ πᾶσα παρθένος κόρη τοῖς τε γεννησαμένοις, καὶ τοῖς περὶ ἔρωτας· καὶ φυλακὴς δὲ ἀξιοῦται, καθὰ καὶ παρ' ἡμῖν ἡ κόρη, θαλαμευομένη ἐκείνη ὥσπερ καὶ αὕτη ἐντὸς τῶν βλεφάρων· ἅπερ συχνὰ κλειόμενα καὶ ἀνοιγόμενα κυρίως τῇ ἀναβάσει καὶ καταβάσει τὰς κόρας συντηροῦσιν ἀνεπιβουλεύτους τοῖς ἔξωθεν φοβεροῖς, ἢ πληκτικοῖς, ἢ ἄλλως λυμαινομένοις ἐν τῷ παρεισδύεσθαι· καθὰ συντηρεῖ καὶ τὰς κόρας παρθένους ἡ θαλάμευσις ἔσω θυρῶν ἐγκλειουσῶν αὐτὰς εἰς δυσόρατον· ὁ δὲ θαυμασίως τὸν τῆς ἁγιωτάτης κόρης μνηστῆρα τὸν ἅγιον Ἰωσὴφ, ἐμελῴδέ τις γοργῶς ἅμα καὶ γλυκέως, φυλάξαι τὴν παρθένον ὡς κόρην ὀφθαλμοῦ.

σκη'. Τὸ δὲ - μόνη γὰρ ἐντὸς κεκρύφει λόγον - νοεῖτο μὲν ἂν καὶ ἀντὶ τοῦ μία αὐτὴ, μάλιστα δὲ ἀντὶ τοῦ μεμονωμένη τοῦ συζυγοῦντος, ὅς ἐστιν ἀνήρ· ἵνα κατὰ τὸ, μόνου μονογεννήτορ μονογενοῦς Υἱοῦ Πάτερ, ὡς καὶ προγέγραπται, προσαρμόσῃ καὶ ὧδε τὸ, μόνου μονογεννήτρια μονογενοῦς Υἱοῦ μήτηρ· τὸ δὲ, ἐν δίνῃσι, εἴ τις οὐ κατὰ τὴν εἰρημένην παλαιὰν ἐξήγησιν ἐν γένει γράψει θηλυκῷ, ἀλλὰ μᾶλλον ἐνδίνοισιν, ὃ ταυτόν ἐστι τῷ σπλάγχνοισιν ἢ ἐγκάτοισι, ποιητικόν ἐστιν ἰωνικῶς· καθὰ περὶ αὐτοῦ τὸ, ἐν γλώσσῃσιν ἦγον γλώσσαις, καὶ κατωτέρω τὸ κλι-

σμοῖσιν ἤγουν κλισμοῖς· οὐδετέρου δὲ γένους τὸ ἐν- A
δίνοισιν, οὗ εὐθεῖα τὸ ἔνδινον, τοῦ ἐνδίνου· ἔνδινα δὲ τινὲς μὲν τὰ ἔντερα εἶπον, ὡς οἷον ἔνδον ἶνας, διὰ τὸ κατ' αὐτὰ νευρώδες· οἱ δὲ ἀκριβέστεροι ἁπλῶς τὰ ἐντόσθια, ὧν καὶ ἡ νηδὺς καὶ ἡ γαστὴρ καὶ ἡ μήτρα· ἡ δὲ χρῆσις τῆς λέξεως ταύτης ἐπὶ τῷ ἐν Ἕλλησι σοφῷ ποιητῇ ἐν τῷ - ὃς δὲ ψαύσει ἐνδίνων-ἤγουν ὅστις ἀκοντίσας ψαύσει τῶν ἐγκάτων, διελάσας ἕως ἐκεῖ τὸ δόρυ.

σκθ'. Τὸ δὲ κεκρύφει Ἀττικῶς ἐγράφη μετὰ μιᾶς αὐξήσεως, ὡς εἴ τις εἶποι τετύφει· τὸ δὲ κοινῶς ἐντελὲς ἐκεκρύφει καθὰ καὶ ἐτετύφει· εἰ δὲ ἐκ τοῦ τοιούτου κεκρύφει ὁ κεκρύφαλος γίνεται γυναικεῖος κόσμος, οὐδὲν αὐτὸ πρὸς τὰ παρόντα. Ἀλθαίνειν δὲ λέγεται τὸ θεραπεύειν, ἀφ' οὗ καὶ ἡ παναλθὴς B
τὸ καλὸν φάρμακον· γίνεται δὲ παρὰ τὸ ἄλλεσθαι. Τοῖς μὲν γὰρ νοσοῦσι τηκόμενον τὸ σῶμα συμπίπτει· τὰ δὲ τῶν ὑγιαινόντων ἐξάλλεται οἷον αὐξόμενα καὶ ἐξαιρόμενα ζωογόνῳ πνεύματι φυσικῷ· διὸ ἀστείως οἱ παλαιοὶ σοφοὶ, καθὰ καὶ προείρηται, τὴν φύσιν παρὰ τὸ φυσᾷν ἀξιοῦσι παρῆχθαι· ὅτι δὲ τὸ ἀλθαίνειν καὶ ἄλθεσθαι λέγεται, δῆθεν καὶ ἄλθαία τὸ φυτὸν, καὶ κύριον δὲ ὄνομα, δηλοῖ καὶ ὁ γράψας τὸ, ἄλθητος δὲ χείρ. Χρὴ δὲ παρασημήνασθαι νῦν ὅτι ἀλθαίνει τὴν βροτείαν φύσιν ὁ Κύριος, καὶ ἄλλως μὲν, μάλιστα δὲ εἴπερ αὐτὴ θεραπεύεσθαι σπεύδει, ὅτε καὶ παναλθὲς αὐτῇ φάρμακον ἐκεῖνό ἐστιν.

σλ'. Ἰστέον δὲ ὅτι κρύψαι τὴν παρθένον εἰπὼν C
ἐν δίνοισι Λόγον, διερμηνεύει ἐνταῦθα τίνα φησὶ Λόγον· οὔτε γοῦν λόγον τὸν κοινῶς προαγόμενον ἢ ἄλλον τινὰ ὅμοιον αὐτῷ εἰπεῖν ἔστιν, ὡς οὐδὲ ἐν τῷ, Πνεῦμα ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις, κοινόν τι νοεῖται πνεῦμα, οὐδὲ μὴν τὸν κατὰ γένεσιν σπερματικὸν, ὃν οἱ φυσικοὶ κατέλαβον, ἀλλὰ τὸν τοῦ Πατρὸς Θεοῦ τὸν ὑπερούσιον· οὗ ἔργον καὶ τὸ νοσοῦσαν ἀλθαίνειν τὴν φύσιν ἡμῶν· ἀλθαίνειν δὲ, προσφυῶς αὐτῷ· προσφυὲς δὲ ἐκείνῳ, τὸ καθὼς ἀκούει, οὕτω καὶ ἰατρεύειν· ἀκούει δὲ τουτέστιν ὀνομάζεται Λόγος· οὐκοῦν λόγῳ καὶ ἰατρεύει· ὡς ἐθάρρησεν ὁ φάμενος τὸ - Εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ νοσῶν· - καὶ ὡς ἐπειράθη ὁ παράλυτος, καὶ ὡς ἀνέστη κληθεὶς ὁ Λάζαρος· ἰᾶται δὲ ὁ Σωτὴρ πάγκοινος ἰατρὸς οὐ τούσδε ἢ ἐκείνους, ἀλλὰ τὴν ἀνθρωπίνην ὅλην φύσιν· D
εἰς δὲ τὸ, Καθὼς ἀκούει οὕτω καὶ ἰατρεύει, ἐνθυμητέον τὸ, Καθὼς ἀκούω, κρίνω, καὶ ἐξῆς. Ἀκούω δὲ δίκαιος, δικαίως ἄρα κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστί· δῆλον δὲ ὡς τὸ ἀλθαίνειν τὴν τῶν βροτῶν φύσιν πρὸς διαστολὴν ἐρρέθη τῶν μερικῶς θεραπευόντων.

σλα'. Περὶ δὲ θρόνου θείου δεξιοῦ ἀρκούντως ἐφιλοσόφησαν οἱ ἅγιοι· ἐξ ὧν καὶ αὐτῶν ἔχομεν φιλητὰ μὲν εὐαγγελικῶς τὰ δεξιὰ εἶναι, ἀνάπαλιν δὲ τὰ ἀριστερά· ὅθεν λαιός τις καὶ ἐπαρίστερος ἐσκωπται· εἰ δὲ ἀποδεκτέα εἶναι μᾶλλον τὰ δεξιὰ, χρήσιμον ἐκ τῶν παλαιῶν, καὶ τὸ, Ἐπλήγη τ' ἐπιδέξια, ἤγουν τὰ καίρια μέρη τοῦ σώματος· καὶ τὸ - Ἐπίπονοί γε οἱ δεξιοί.- Εἰ δέ τι χρὴ ἐνταῦθα καὶ χεῖρα ἐκείνην

Neutralis vero generis est τὸ ἐνδίνοισιν, cujus nominativus est ἔνδινον, genit. ἐνδίνου. Ἔνδινα vero quidam τὰ ἔντερα dixerunt, tanquam ἔνδον ἶνας, eo quod nervosa sunt; accuratiores autem simpliciter τὰ ἐντόσθια, quorum sunt venter, uterus et matrix. Hujus autem dictionis usus habetur apud poetam in Græcis sapientem in hoc: ὃς δὲ ψαύσει ἐνδίνων, sive quicunque jaculans attigerit viscera, hucusque lanceam infigens.

229. Hoc autem κεκρύφει Attice scriptum est cum uno augmento, tanquam si quis diceret τετύφει: forma vero communis integra est ἐκεκρυφει sicut ἐτετύφει. Quod si vero ex hujusmodi κεκρύφει. venit κεκρύφαλος, muliebre ornamentum, nihil ad præsens hoc attinet. Curare vero dicitur ἀλθαίνειν, a quo venit ἡ παναλθὴς, id est, bonum medicamentum. Derivatur autem ex ἄλλεσθαι: ægrotantibus enim tanquam maceratum concidit corpus; quæ vero sanorum sunt exsiliunt tanquam accreta physicoque spiritu vivifico elata. Ideo festive sapientes antiqui, sicut dictum est, τὴν φύσιν a verbo φυσᾷν (inflare) derivatam existimant. Quod autem τὸ ἀλθαίνειν etiam ἄλθεσθαι dicitur, unde est ἀλθαία, genus plantarum, et proprium nomen, ostendit ille qui scripsit: ἄλθητος δὲ χείρ. Nunc autem est præterea notandum quod ἀλθαίνει (sanat) mortalem naturam Dominus, etiam alias, sed maxime cum ipsa, quando medicamen istud optimum ipsi datur, sanari festinat.

230. Sciendum autem quod virginem in visceribus Verbum abscondisse dicens, interpretatur quod ibi Verbum dicat. Non dicendum est igitur esse verbum commune vel aliud ipsi simile, tanquam in hoc: Spiritum innova in visceribus, non aliquis communis spiritus intelligitur; nec etiam illud generationis spermaticum, quod physici cogitaverunt, sed Verbum Dei Patris supersubstantiale; cujus opus est ægrotam sanare naturam nostram, et sanare prout ipsi naturale est. Naturale autem est ei, sicut audit, sic et sanare; audit autem, id est nominatur Verbum: igitur verbo quoque medetur, sicut fidenter tenuit ille qui dixit: Dic verbum, et sanabitur ægrotans; et sicut expertus est paralyticus, et sicut surrexit vocatus Lazarus. Sanat autem Salvator, medicus omnibus communis, non hos vel illos, sed humanam naturam totam. Relate vero ad hoc: Sicut audit, sic sanat; recogitandum est istud: Sicut audio, judico, etc. Audio vero justus; juste proinde judico, et judicium meum justum est. Evidens autem est quod curare mortalium naturam ad distinctionem eorum qui partim medentur fuit dictum.

231. De divino autem dextero throno sufficienter disseruerunt sancti; ex quibus ipsis etiam tenemus dilecta quidem secundum Evangelium esse dextera, e contrario autem esse sinistra: unde lævus quidam etiam ἐπαρίστερος jocose dictus est. An autem magis acceptabilia sint dextera, prodesse potest id antiquorum: Ad dexteram perculsus est, sive præcipuis in partibus corporis; et istud; Laboriosi

sunt dexteri. Si vero quoque hic oportet considerare dexteram manum illam misericordem, cujus opes nesciet sinistra, non est solum dicendum quod jam ab alio sapiente scite cum symbolo dictum est : Utraque manu misericordiam fac et exhauri divitias : non enim ita sciet tua sinistra quod dextera tua facit ; sed etiam : Eleemosyna donetur sola dextera, operaria, virili, symbolice divinam operationem exprimente, ab ipsa natura, sicut speculantur physici sapientes, honorata, naturaliter ad operandum commode disposita, et, quod vividius est, illa quæ ad recipiendum bene probatur. Sinistram autem sinas omittere quæ sunt ad eleemosynam, cui opus est diligentia, festinatione multa, concitatione sive contentione, atque, ut omne opportune dicam, dexteritate, quibus orbatur sinistra, nata quidem et ipsa fieri dextera, sero autem forsitan hujusmodi prosperans in bono, ut ambidexterum perficiat hominem : tardescit enim segnis læva, impediique dexteram a bono, et in aliis actionibus quibus non apte viret, et in eleemosynæ actu quem cum pompa et ostentatione pharisaice splendescere gestit.

232. Omnipo vero non in bonum veteribus sinistrum habebatur. Quod malum augurium reputarint læva, quid oportet dicere ? Manu vero manum sinistram tangere, abominandum erat : amabatur autem maxime dextera. In pactis sicut in juramentis dexteram dexteris fiducialiter jungebant ; et usque ad hodiernum diem fidentes homines sibi mutuo dexteras porrigunt. Bene vero operans natura, quæ dexteræ quoque scribendi functionem assignavit, paucas sinistras honestare solet hujusmodi bono. Bonum est mercatoriis navibus dexter paries inclinatus ; et hunc seligit proverbium volentibus salvari. Magnum autem dexteritatis est etiam decus, quod orientales mundi partes dexteras esse statuunt sapientes. Si vero laudibus oportet superexaltare dexteram, vide mihi dexteræ Excelsi mutationem, et dexteræ Dei virum, quem in regia potestate confirmavit sibi, dexteramque manum Domini, quæ glorificata est in virtute, quæ vulneravit inimicos, quæque, ad abundantiam gloriæ suæ, contrivit adversarios.

235. Si vero quoque repugnantes Domini dexteræ cogitemus, a quibus se custodiri magnus David precatur, ipsosque sinistros penamus, ut consecutio poscit, quis a sinistris esse vellet aut ordinem et constitutionem ita sinistram laudare ? Fidem autem et ipsa faciet apostolica piscatio, non esse fructum a sinistris, siquidem apostoli, cum a dexteris jussu Domini, laxavissent rete, copiosa captura mirationeque multa repleti sunt. Si vero exornata læva, fucata et cerussata bonis verbis, quibus ἀριστερὰ sinistra quidem ex ἀρίστῳ vocata est ; ex parvicula autem sū nominata est εὐώνυμος, ad solem extollatur, recogitandum est uvam fellis, et botrum amaritudinis, et sepulcrum dealbatum, et gustus dulcamaros, et baratrum floribus circumfusa ; talia ἐλεήμονα δεξιὰν σκέψασθαι, ἧς τὸ ἔργον οὐκ ἐπιγνώσεται ἡ ἀριστερά, οὐ μόνον ἔστιν εἰπεῖν τὸ φθάσαν εὐφυῶς ἤδη παρ' ἄλλου σοφοῦ ῥηθῆναι συμβολικῶς, ὅτι Ἀμφοτέραις ἐλέει καὶ ἐξάντλει τὸν πλοῦτον· οὕτω γὰρ οὐκ ἂν ἀριστερά σου ἐπιγνοίη ὅ τι ποτὲ ἡ δεξιά σου ποιεῖ· ἀλλὰ καὶ ὅτι Μόνῃ τῇ δεξιᾷ μεταδιδόσθω ἡ ἐλεημοσύνη, τῇ ἐργατικῇ, τῇ ἀνδρικῇ, τῇ συμβολογραφούσῃ θείαν πρᾶξιν, τῇ ὑπὸ τῆς φύσεως αὐτῆς τετιμημένῃ, ὡς θεωροῦσιν οἱ φυσικοὶ σοφοὶ, τῇ πεφυκυίᾳ δρᾶν εὐμαρῶς, καὶ θερμότερον, τῇ καὶ δεκτικῇ, εὐαποδέκτῳ· τὴν δὲ λαιὸν ἄφες ἀπρακτεῖν τά γε εἰς ἐλεημοσύνην, ἧ χρεία σπουδῆς καὶ συντομίας πολλῆς καὶ συντονίας εἴτουν συντάσεως, καὶ, τὸ πᾶν καιρίως εἰπεῖν, δεξιώτητος, ὧν ἀποστέρεται ἡ λαιὰ, πεφυκυῖα μὲν δεξιὰ γίνεσθαι καὶ αὐτὴ, ὀψὲ δέ ποτε τοιοῦτον εὐπραγοῦσα καλὸν, ὡς ἀμφιδέξιον ἀποτελεῖν τὸν ἄνθρωπον· νωθρεύεται γὰρ ὀκνοῦσα ἡ ἀριστερὰ, καὶ ἀποκωλύει τὴν δεξιὰν τοῦ καλοῦ ἔν τε ἄλλαις πράξεσι καθ' ἃς ἀφυῶς ἐνεργεῖ, καὶ ὅτε δὲ τὴν ἐλεημοσύνην ἐκφαίνει θριαμβεύουσα καὶ φιλενδεικτεῖν ποιοῦσα φαρισαϊκῶς.

σλβ'. Ὅλως δὲ οὐ πρὸς ἀγαθοῦ τοῖς παλαιοῖς τὸ ἀριστερὸν ἐτίθετο· καὶ ὡς μὲν δυσοιώνιστα ἐνομίζοντο τὰ λαιὰ, τί χρὴ καὶ λέγειν; Χειρὶ δὲ χειρὸς ἅψασθαι ἀριστερᾶς, ἀπώμοτον ἦν· ἐφιλεῖτο δὲ μάλιστα ἡ δεξιά· καὶ οἱ δεξιούμενοι ἐν συνθήκαις ὅσα καὶ ὅρκοις ἐπεποίθεσαν ταῖς δεξιαῖς· καὶ μέχρι καὶ ἐσάρτι πιστούμενοι ἄνθρωποι, δεξιὰς ἀλλήλοις ἐμβάλλουσιν· εὖ δὲ ποιοῦσα ἡ φύσις καὶ τὸ γράφειν ἀποκληρώσασα τῇ δεξιᾷ, ὀλίγας ἀριστερὰς τοιούτῳ καλῷ ἀποσεμνύνειν ἐθίλει· καλὸν δὲ πλοίοις ἐμπορικοῖς τοῖχος ὁ δεξιός· καὶ ἡ παροιμία τὸν τοιοῦτον ἐπιλέγεται τοῖς ἐθέλουσιν σώζεσθαι. Μέγα δὲ φιλοτίμημα δεξιότητος, καὶ ὅτι τὰ τοῦ κόσμου ἀνατολικὰ δεξιὰ τίθενται εἶναι οἱ σοφοί· εἰ δὲ ὑπερυψῶσαι τὴν δεξιὰν χρὴ ἐπαινετικῶς, θεώρει μοι δεξιᾶς Ὑψίστου ἀλλοίωσιν, καὶ ἄνδρα δεξιᾶς Θεοῦ ὃν ἐκεῖνος βασιλικῶς ἐκραταίωσεν ἑαυτῷ· καὶ δεξιὰν χεῖρα Κυρίου δεδοξασμένην ἐν ἰσχύϊ καὶ θραύουσαν ἐχθρούς καὶ τῷ πλήθει τῆς δόξης αὐτοῦ συντρίβουσαν τοὺς ὑπεναντίους.

σλγ'. Εἰ δὲ καὶ τοὺς ἀνθεστηκότας τῇ τοῦ Κυρίου δεξιᾷ ἐννοησόμεθα, ἐξ ὧν φυλαχθῆναι ὑπ' αὐτοῦ ὁ μέγας Δαβὶδ εὔχεται, καὶ ἀριστεροὺς αὐτοὺς θώμεθα ὡς ἡ τῶν πρός τι ἀπαιτεῖ ἀκολουθία, τίς ἂν ἕλοιτο ἀριστερὸς εἶναι, ἢ τάξιν καὶ θέσιν οὕτως ἀριστερὰν ἐπαινεῖν ; Πιστώσεται δὲ καὶ ἀποστολικὴ ἄγρα τὸ ἐν τοῖς ἀριστεροῖς ἀκάρπωτον, οἳ ἐν δεξιοῖς δεσποτικῇ κελεύσει χαλάσαντες, ἄγρας τε δαψιλοῦς καὶ θαύματος πολλοῦ ἐπλήσθησαν. Εἰ δὲ κομμωτικῶς ἐσταλμένη πεφυκιωμένη τε ἡ λαιὰ, καὶ ἐψιμυθιωμένη ἀγαθοῖς ῥήμασιν οἷς ἀριστερὰ μὲν ἐκ τοῦ ἀρίστου ἐκλήθη· ἐκ δὲ τοῦ εὖ ὠνομάσθη εὐώνυμος, ἀνατείνεται εἰς ἔξαρμα, ἐνθυμητέον σταφυλὴν χολῆς, καὶ βότρυν πικρίας, καὶ τάφον κεκονιαμένον, καὶ γεύσεις γλυκυπίκρους, καὶ βάραθρα περιηνθισμένα·

καὶ παραβλητέον τοῖς τοιούτοις τὰς ἀγαθωνύμους A
τὴν ἀριστερὰν, καὶ τὴν ἐκεῖθεν εὐώνυμον. Ὀκνῶ
γὰρ καὶ ἑτερολας παραθεῖναι λέξεις, ὧν τοὔνομα
μὲν ἡδὺ, τὸ πρᾶγμα πικρὸν, καὶ ἡ προγραφὴ μὲν
ζωὴ, θάνατος δὲ τὰ ἐντός· ὧν μία καὶ τὸ κατὰ κοι-
νὴν συνήθειαν ἔλεος τοῦ Θεοῦ παρὰ τοῖς πολλοῖς·
οἳ τὴν θεόθεν ὀργὴν διὰ χαλάζης, καὶ ὅσα δὲ τοιαῦτα,
Θεοῦ φασιν ἔλεος, εὐφημότερον· οἴδασι δὲ καὶ τρά-
χηλοι ἀνθρώπων ὑγρότητα πικραίνουσαν ἀλγήμασι
κατά τι πάθος, ὃ καλοῦσι γλυκύ· καὶ οἶδα μὲν τὴν
Σολομώντειον σοφίαν ἀγαθὰ φέρουσαν, ἀλλὰ μὲν ἐν
τῇ δεξιᾷ μεγάλα ἐκεῖνα, ἑτεροῖα δέ τινα ἐν τῇ
ἀριστερᾷ· ὀκνῶν δὲ πολυπραγμονεῖν ἐπὶ πλέον τὸ
τοιοῦτον κεφάλαιον, καθιστῶ ἕως ὧδε τὸ φιλοδέξιον
σκέμμα, γινόμενος τῶν ἐφεξῆς ἑορταστικῶν μελῶν. B

σλδ'. Καὶ δὴ λέγω ὡς ὁ κλισμὸς, ὃν θρόνον εἴπο-
μεν, εἰς ἀνάκλιντρον μᾶλλον κυριολεκτικῶς ἑρμη-
νεύεται, ὃ γίνεται ἐκ τοῦ ἀνακλίνειν. Εἰ δὲ γενό-
μενος ὁ κλισμὸς ἐκ τοῦ κλίνω, διὰ τοῦ σ προφέρε-
ται, νοητέον ὡς οὕτω καὶ ἐκ τοῦ μολύνω γίνεται
μολυσμός. Ὅρα δὲ ὅτι ἐπικρίνας ὁ μελῳδὸς εἰπεῖν
ἐν καταρχῇ τοῦ τροπαρίου ποιητικώτερον ὕδειν τὸ
ὑμνεῖν, διέγνω χρῆναι καὶ ἄλλας παρασπεῖραι λέξεις
ἐν αὐτῷ ποιητικάς· οὐκοῦν ἐπήγαγε τοιοῦτον ὄνομα
σεμνὸν τὴν φυσίζωον, καὶ τὰ ἔνδινα, καὶ τὸ ἀλθαί-
νειν. Ἰδοὺ δὲ καὶ τοὺς κλισμούς· εὖ εἰδὼς αὐτὸς
ὅπως ἐνδέχεται διαχειρίζεσθαι τὰ μελικὰ ὡς κοινοῖς
μὲν ἀναπληροῦν τὰ κοινὰ, τοῖς δὲ μὴ τοιούτοις τὰ
καθήκοντα. C

σλε'. Ἱδρυμένος δὲ καὶ ἐνταῦθα ἀντὶ τοῦ ἁπλῶς
καθήμενος· καὶ μετήνεκται ἡ λέξις ἐκ τῶν καθ'
ἡμᾶς εἰς τὸν Θεόν· προσαχθεῖσα ὑπ' ἐκείνου καθὼς
καὶ τὰ ἄλλα ὅσα ἐκ τῶν ἡμετέρων προσήχθησαν
αὐτῷ· ἵνα καὶ ἐντεῦθεν ἠθικῶς παιδευώμεθα ἐξι-
διοῦσθαι καὶ ἡμᾶς τὰ ἐκείνου θεομιμήτως καὶ φιλο-
θέως, καθάπερ ἐκεῖνος τὰ ἡμέτερα· εἰπεῖν δὲ
μᾶλλον ἀκριβῶς, εἴπερ ἄλλοθί που ἱερὰ λέξις τὸ
ἱδρύσθαι, καθὰ καὶ προδεδήλωται, ὧδε μάλιστα
τοιαύτη ἐστὶ κατ' ἐπίτασιν ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ.
Τὸ δὲ νῦν οὐκ ἀφετέον συντετάχθαι τῷ ἱδρυμένος,
ἀλλὰ μεθελκυστέον εἰς τὸ πέπομφεν, ἵνα ᾖ ὅτι Νῦν
πέπομφεν ὁ Σωτὴρ Χριστὸς τὴν χάριν τοῦ Πνεύμα-
τος, οὐκ ἰδιάζων χωρὶς, ἀλλὰ συνεδριάζων τῷ Πατρί·
πάντως δὲ νῦν πέμψας, ὅτε καὶ ἑορτάζομεν, καὶ πρὸ
τούτου ἀεὶ ὡσαύτως· ἔπεμπε τὴν αὐτὴν χάριν τοῖς
ἀξίοις αὐτῆς· καὶ οὐδὲ εἰς τὸ ἑξῆς παύσεταί ποτε
οὕτω ποιῶν, ἵνα προσαρμόσῃ καὶ τῇ τοιαύτῃ θείᾳ
δωρεᾷ τὸ νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.

σλς'. Τὸ δὲ πέπομφε χαρακτῆρα ἔχει διπλοῦν
ὁριστικοῦ παρακειμένου, ἐνεργητικοῦ τε δηλαδὴ καὶ
μέσου· ἐνεργητικοῦ μὲν διὰ τὸ φῖ τὸ ἐκ τοῦ πέμπω
πέμψω. Εἰ γὰρ, φασὶν, ὁ μέλλων διὰ τοῦ ψῖ, ὁ παρα-
κείμενος διὰ τοῦ φῖ· μέσου δὲ διὰ τὸ ο' τὸ μικρὸν, ᾧ
παραλήγεται μέσος παρακείμενος ο ἔχων διαύλλαβον
μέλλοντα παραληγόμενον τῷ ε· εἰ γὰρ ἐν δισυλλάβῳ,
φασὶ, μέλλοντι τὸ ε εὑρεθῇ, εἰς ο αὐτὸ τρέπει ὁ
μέσος παρακείμενος· οἷον σπερῶ ἔσπορα· κατὰ

basque conferendum est bonas sinistræ famas et dictionem exinde εὐώνυμον. Omitto enim cæteras comparare dictiones, quarum nomen est quidem dulce, res autem amara, et programma quidem vita, mors autem interiora : quarum una quidem est juxta communem morem Dei misericordia apud multos, qui divinam iram in grandine, et quæcunque cætera hujusmodi, Dei misericordiam pie dicunt. Sciunt autem etiam hominum colla humiditatem exasperare dolores ad quamdam attinentes passionem, quam dulcem vocant. Scio quoque Salomonis sapientiam bona ferentem, sed alia quidem in dextera magna, diversa vero quædam in sinistra. Nolens autem hujusmodi caput diutius explorare, hucusque sisto dexteræ amicam inquisitionem, et ad sequentes festivitatis melodias redeo.

234. Jam vero dico quod ὁ κλισμὸς, quem thronum diximus, in ἀνάκλιντρον (torum reclinatorium) magis proprie exponitur, quod venit a verbo ἀνακλίνειν. Si vero veniens ὁ κλισμὸς a verbo κλίνω, cum σ profertur, cogitandum est quod similiter ex μολύνω fit μολυσμός. Vide autem quod, si melodus in initio strophæ magis poetice dicere ὕδειν verbum ὑμνεῖν, selegit, scite judicavit oportere quoque alias dictiones in ea spargere poeticas : ideo introduxit hujusmodi venerandum nomen τὴν φυσίζωον, et τὰ ἔνδινα, et τὸ ἀλθαίνειν, necnon et τοὺς κλισμούς, bene sciens quomodo conveniat administrare melodia, ut communibus quidem impleantur communia, non autem talibus quæ diversa requirunt.

235. Ἱδρυμένος autem hic sumitur pro simpliciter sedente. Transfertur autem dictio ex nostris ad Deum, admissa ab illo, sicut et alia quæcunque ex nostris ipsi applicantur; ut exinde quoque moraliter discamus nobis appropriare quæ sunt illius per imitationem ac pietatem, sicut ille nostra sibi propria facit. Ut autem accuratius loquar, si quopiam alibi sacra dictio est τὸ ἱδρύσθαι, uti prænonstratum est, hic maxime cum intentione talis est erga Dei Filium. Adverbium autem νῦν non sinendum est ordinari cum verbo ἱδρυμένος, sed transferendum ad τὸ πέπομφεν; ut sensus sit : Nunc misit Spiritus gratiam Salvator Christus, non separatim agens, sed considens Patri. Prorsus autem nunc, quando festum agimus, missa gratia, semper etiam antea similiter eamdem gratiam merentibus misit; nec in futurum sic agens unquam cessabit, ut hujusmodi divinæ largitioni conveniat nunc et semper et in sæcula.

236. Verbum autem πέπομφε duplicem habet characterem indicativi perfecti; activi scilicet et medii : activi quidem per τὸ φῖ, quod est e verbo πέμπω πέμψω; si enim, inquiunt, futurum formatur per ψῖ, perfectum per φῖ; medii vero, per o breve, quod in penultima tenet medium perfectum habens disyllabum futurum cum penultima ε : si enim, aiunt, in disyllabo futuro littera ε inventa fuerit, ipsam in o vertet medium perfectum; veluti

σπερῶ ἔσπορα. Secundum igitur duas hujusmodi regulas, cum duo sint ex πέμπω, indicativi perfecta, quorum primum quidem, activum, est πέπεμφα per ε, medium autem πέπομφα per ο; perfectum igitur πέπομφα characterem habet duorum, activi quidem per φι, medii vero per ο breve. Tale autem est κέκλοφα ex præsente κλέπτω, cujus etiam, cum naturaliter duo sint perfecta, activum κέκλοφα, et medium κέκλοπα, activi quidem est τὸ φι, medii autem τὸ ο. His autem prorsus simile est etiam τέτροφεν. In alio autem ordine verborum habetur quoque εἰκὸς Ionice et Attice ἔοικεν, atque λέλογχε et ἐνήνοχε. Est autem alio modo media dicere talia perfecta, quia medium enuntiatione tenent inter activa proprie dicta, et media. Ἡ χάρις autem Spiritus ex τῷ χαίρειν derivatur, et ex τῇ χαρᾷ, qua gaudent spirituales, cum desideratum possident, et idcirco merentur a Deo secundum Evangelium audire : gaudete : sicut enim dicitur κιθάρα κίθαρις, sic etiam χαρὰ χάρις.

Troparium 2 odæ nonæ.

Quoscunque inspiravit deifiua gratia,
Splendentes, fulgurantes, permutati,
Externam permutationem, decentissimam,
Æquipotentem, indivisibilem cognoscentes, [camus.
Sapientem triplicis splendoris substantiam glorifi-

237. Strophe, præsens est mixtura theologiæ recordationisque Trinitatis hymni, in quem moraliter desinit ab altissimo incipiens : dicit enim : Quibuscunque spiravit a Deo fluens gratia, ad lucendum et fulgendum et ὀθνείαν sive extraneam mutationem et convenientissimam operandum, glorificamus, et omnino glorificare debemus sapientem trilucentem substantiam, Trinitatem scilicet, indivisibilem scientes illam, quatenus dissecari non omnino potest, ut ab invicem personæ separentur; sed in unum solum credantur et intelligantur et doceantur tres unius Deitatis personæ. In his autem potest verbum δοξάζομεν consulte cogitari : si vero non extendit penultimam, hoc Ionicæ indifferentiæ est. Quoad autem reipsa indivisibilem in tribus personis substantiam, et dictum de ipsa sensum, recogitandum est magnum sanctum qui dixit simul ac sciinduntur, etiam atomos coalescere, sive non esse sectos sectura dividente, qualem dicimus, qua fingeretur deitas in substantia trina, vel in trina deitate substantia. Et ita quidem recte ponitur hujusmodi sententia strophæ.

238. Sed ad melius adhuc attendendum est : honorabilem sui ipsius prædicationem ibi poeta exponit, in communione commode latitantem. Sermone namque laudans eos qui sanctam Trinitatem glorificant, in commune sese prorsus immiscet tanquam qui melode et magnificenter illam celebravit et ita glorificavit. Dicit ergo : Quibuscunque ex nobis inspiravit Spiritus gratia, ipsi prorsus, hujusmodi gratia lucentes, et extranee mutati, et æqualem sanctæ Trinitatis potentiam

A γοῦν τοὺς τοιούτους δύο κανόνας ὁριστικῶν παρακειμένων δύο γενομένων ἐκ τοῦ πέμπω· ὧν ὁ μὲν πρῶτος καὶ ἐνεργητικὸς πέπεμφα διὰ τοῦ ε, ὁ δὲ μέσος πέπομφα διὰ τοῦ ο· ἄρα ὁ πέπομφα παρακείμενος τὸν χαρακτῆρα ἔχει τῶν δύο, τὸν μὲν τοῦ ἐνεργητικοῦ διὰ τὸ φι, τὸν δὲ τοῦ μέσου διὰ τὸ ο μικρόν. Τοιοῦτον δὲ καὶ τὸ κέκλοφα ἐκ τοῦ κλέπτω ἐνεστῶτος, οὗ καὶ αὐτοῦ δύο φύσει παρακειμένων ὄντων τοῦ κέκλοφα ἐνεργητικοῦ καὶ μέσου τοῦ κέκλοπα, τοῦ ἐνεργητικοῦ μέν ἐστι τὸ φι, τοῦ μέσου δὲ τὸ ο· ὅμοιον δὲ τούτοις ἀπαραλλάκτως καὶ τὸ τέτροφεν· ἐν ἄλλῃ δὲ συζυγίᾳ ῥηματικῇ καὶ τὸ εἰκὸς Ἰωνικῶς, καὶ τὸ ἔοικεν Ἀττικῶς, καὶ τὸ λέλογχε, καὶ τὸ ἐνήνοχε· καὶ ἔστιν εἰπεῖν τρόπον ἄλλον μέσους τοὺς τοιούτους παρακειμένους, ὡς μεταξύ πως ὄντες B τῇ προφορᾷ, τῶν ἰδίως ἐνεργητικῶν λεγομένων, ἔτι δὲ καὶ τῶν μέσων. Ἡ χάρις δὲ τοῦ Πνεύματος ἐκ τοῦ χαίρειν παρῆκται, καὶ τῆς χαρᾶς ἣν χαίρουσιν οἱ πνευματικοὶ, τὸ ἐφετὸν ἔχοντες, καὶ δι' αὐτὸ ἠξιωμένοι θεόθεν εὐαγγελικῶς ἀκούειν τὸ, χαίρετε· ὡς γάρ φασι κιθάρα κίθαρις, οὕτω καὶ χαρὰ χάρις.

Τροπάριον δεύτερον τῆς ἐννάτης ᾠδῆς.

XXVII. Ὅσοις ἔπνευσεν ἡ θεόῤῥυτος χάρις,
Λάμποντες, ἀστράπτοντες, ἠλλοιωμένοι,
Ὀθνείαν ἀλλοίωσιν, εὐπρεπεστάτην,
Ἰσοσθενοῦσαν, τὴν ἄτμητον εἰδότες;
Σοφὴν τριφεγγον οὐσίαν δοξάζομεν.

σλζ'. Θεολογίας κρᾶμα τὸ παρὸν τροπάριον καὶ ὑπομνήσεως ὕμνου τριαδικοῦ, εἰς ὃν καταλήγει ἠθικῶς ἐκ τοῦ ὑψηλοτάτου ἀρξάμενον· λέγει γὰρ C ὅτι ὅσοις ἔπνευσεν ἡ θεόῤῥυτος χάρις ὡς λάμπειν καὶ ἀστράπτειν καὶ ἠλλοιῶσθαι ὀθνείαν ἤγουν ξένην ἀλλοίωσιν εὐπρεπεστάτην δοξάζομεν, καὶ δοξάζειν πάντως ὀφείλομεν τὴν σοφὴν τριφεγγον οὐσίαν, τὴν τριαδικὴν δηλαδὴ, ἄτμητον εἰδότες αὐτὴν κατὰ τὸ μὴ τέμνεσθαι διαμπὰξ ὡς καὶ χωρίζεσθαι ἀλλήλων· ἀλλὰ εἰς μόνον ὅσον πιστώσασθαι καὶ νοῆσαι, καὶ διδάξαι τὰ τρία πρόσωπα τῆς μιᾶς θεότητος· ἐν τούτοις δὲ δύναται τὸ δοξάζομεν καὶ συμβουλευτικῶς νοεῖσθαι· εἰ δὲ μὴ ἐκτείνει τὴν παραλήγουσαν, ἰωνικῆς τοῦτο ἀδιαφορίας ἐστίν. Εἰς δὲ τὴν ὄντως ἄτμητον τριπρόσωπον οὐσίαν, καὶ τὸν εἰρημένον ἐπ' αὐτῇ νοῦν, ἐνθυμητέον καὶ τὸν μέγαν ἅγιον ὃς ἔφη, ἅμα τῷ τεμεῖν, ἐπισυνάπτειν τὰ ἄτομα, ἤγουν τὰ μὴ D τεμνόμενα τομῇ διαιρετικῇ, ὁποίαν ἔφαμεν, δι' ἧς τριούσιος φαντάζοιτο ἂν θεότης ἡ οὐσία τρίθεος· καὶ οὕτω μὲν ὀρθῶς διάκειται ἡ τοιαύτη τοῦ τροπαρίου ἔννοια.

σλη'. Ἐπεβαλεῖν δὲ εἰσέτι κάλλιον· σεμνὴν περιαυτολογίαν ὁ μελῳδὸς ἐνταῦθα ἐκτίθησι λανθάνουσαν εὐμεθόδως διὰ κοινοποιήσεως. Σεμνολογῶν γὰρ τοὺς τὴν ἁγίαν Τριάδα δοξάζοντας, συνεισάγει πάντως ἐν τῷ κοινῷ καὶ ἑαυτὸν, ὡς ἐμμέτρως αὐτὴν καὶ μεγαλείως ὑμνολογήσαντα καὶ οὕτω δοξάσαντα. Λέγει οὖν ὅτι ὅσοις ἐξ ἡμῶν ἔπνευσεν ἁγίου Πνεύματος χάρις, αὐτοὶ πάντως λαμπρυνθέντες τῇ τοιαύτῃ χάριτι καὶ ξένως ἠλλοιωμένοι, καὶ τὸ τῆς ἁγίας Τριάδος ἰσοσθενὲς εἰδότες, ταυτὸν δ' εἰπεῖν,

ἐγνωκότες, ὡς ἐν τῷ εἱρμῷ τῆς τρίτης ᾠδῆς δεδήλωται· ἥτις ἁγία Τριὰς οὐχ ἁπλῶς οὐσία ἐστὶν, οὐδὲ ἁπλῶς τρίφεγγος, ἀλλὰ κατά τινα τριαξιν ἐπιθέτων, σοφὴ τρίφεγγος οὐσία· αὐτοὶ τοίνυν οὕτω λαμπροὶ ὄντες καὶ τὰ θεῖα σοφοὶ, δεόντως καὶ δοξάζομεν. Καλῶς δὲ ἄρα καὶ ἀποστολικῇ μεθόδῳ, ἐν Κυρίῳ καυχᾶται ὁ θεῖος οὗτος μελῳδὸς πεποιθὼς ἀληθεύειν· καί γε ἀληθεύει Θεοῦ χάριτι· οὐκ ἀπορητέον δὲ πῶς ὁ μελῳδὸς ἠρκέσθη, οὐσίαν εἰπὼν τὴν ὑπὲρ πᾶσαν οὐσίαν ἁγίαν Τριάδα· ἀλλ' ἐνθυμητέον ὅτι κἂν μὴ ὑπερούσιον ῥητῶς εἶπεν αὐτὴν, ἀλλὰ τρόπον ἄλλον τὴν αὐτὴν ἔννοιαν ὑπεκρούσατο ἀσφαλῶς· οὐσία γὰρ σοφὴ τρίφεγγος, ἡ ἁγιωτάτη μόνη καὶ ἀνωτέρω ἐρρέθη Τριάς.

A scientes, sive cognoscentes, ut in carminis tertii nexu monstratum est; quæ sancta Trinitas non simpliciter substantia est, nec simpliciter trilucens, sed juxta quamdam *triaxim* epithetorum, sapiens trilucida substantia; ipsi proinde sic fulgentes et in divinis sapientes facti, ut oportet, etiam glorificamus. Pulchre quidem igitur apostolica methodo, in Domino gloriatur divinus ille melodus, in veritate se esse confidens. Et certe gratia Dei vera loquitur. Non autem est ambigendum quomodo melodus contentus sit substantiam dicens, illam quæ super omnem substantiam est, sanctam Trinitatem; sed recogitandum quod etsi non verbis dixerit eam supersubstantialem, alio modo tamen eamdem sententiam tuto subindicavit : substantia namque sapiens, trilucida, sola, sanctissima Trinitas superius dicta est.

σλθ'. Ὅρα δὲ τὸ ἔπνευσεν, σεμνότερον ὂν τοῦ ἔφανε καὶ ἔλαμψε καὶ πάντων τῶν τοιούτων, καὶ οἰκειότερον τῷ ἑορταζομένῳ ἁγίῳ Πνεύματι· οὗ τὴν χάριν θεόῤῥυτον ἐξ ὑγρᾶς κάνταῦθα τροπῆς ἔφη ὡς καὶ ὀμβρουμένην ἄνωθεν ἐπὶ ἀναψυχῇ τῶν πιστῶν, καὶ πλύνουσαν ἁγίῳ τε βαπτίσματι καὶ λοιποῖς θείοις καθαρσίοις, καὶ ἀρδεύουσαν αὔλακας θείας, καὶ αὔξουσαν πνευματικὰ σπέρματα, καὶ κατακλύζουσαν ἁμαρτίας· καὶ ὅλως ἄνωθεν ἐκχεομένην προφητικῶς ἐπ' ἀγαθῷ τῶν τοῦ τοιούτου Πνεύματος ἀξίων ψυχῶν· τοιούτοις δὲ λόγοις χυτὴ ἂν εἴη ἄνωθεν μεταφόρικῶς ἡ θεία πνευματικὴ χάρις, καὶ ὀμβρητὴ καὶ ῥυτὴ, ἤδη δὲ ὑγρὸν πνέουσα πνευματικῶς, εἴ τι χρὴ καὶ οὕτω φράσαι ἀρχαϊκῶς, ὥστε προσφυῶς τὸ ἔπνευσεν ἐπὶ τῆς θεορῥύτου χάριτος εἶπεν ὁ μελῳδός· καὶ ἄλλως δὲ τὸ αὐτὸ σεμνύναι, ὥσπερ ἕρπει πρός τινα τὸ ἑρπτὸν, καὶ βαδίζει τὸ ποδωτὸν, καὶ ἐπιπετάννυται τὸ πτηνὸν, καὶ νήχεταί που τὸ νηκτὸν, οὕτω πάντως πνέει καὶ ἀερία πνοὴ, φυσικὴ μὲν αὕτη, συμβολογραφοῦσα δὲ ὡς οὐκ ἂν ἀντείπῃ τις τὸ ἅγιον Πνεῦμα, ὃ καὶ ἐκ τοῦ πνέειν καὶ τῆς κατ' αὐτὸ πνοῆς ὠνόμασται.

B 239. Vide autem verbum ἔπνευσεν, ut præstantius verbis ἔφανε et ἔλαμψε, et omnibus similibus, convenientiusque celebrato Spiritui sancto; cujus gratiam ex humiditatis figura fluentem a Deo dixit tanquam imbrem desuper manantem ac fideles refrigerantem, sanctoque baptismate ac cæteris divinis purificationibus lavantem, et divinos sulcos irrigantem, et spiritualibus seminibus incrementum dantem, atque culpas abluentem; uno verbo, juxta prophetica verba, effusum in bonum animarum hujusmodi Spiritus gratia dignarum. Talibus autem rationibus divina Spiritus gratia metaphorice dicetur desuper fusilis, utque imber fluens et decurrens, jamque spiritualiter humidum spirans, si oportet ita quoque prisco more loqui; ita ut naturaliter de gratia divinitus manante verbum ἔπνευσε dixerit melodus; sed ut aliter idem honestemus, quemadmodum ad aliqua repit repens, et graditur pedestre et volat pennatum, et natat natatile, sic prorsus spirat aeria spiratio, quæ quidem physica est, sed symbolice, sicut nemo contradicere potest, effingit Spiritum sanctum, qui ex spirare et ex ipsius derivata spiratione nomen habet.

C

σμ'. Πνοὴν δέ φημι ἐνταῦθα, οὔτε τὴν ἀπόγαιον ὁποῖα πολλὰ περὶ ἡμᾶς πνέουσιν ἀήματα, οὔτε τὴν ἐκ καπνώδους ἀτμοῦ, καὶ οὕτω ξηράν· ἀλλὰ τὴν ἀφ' ὕψους καὶ φύσει ἔνικμον καὶ ὑγράν· τοιαύτη γὰρ νῦν χρησιμεύει τῷ μελῳδῷ τροπικῶς, ἵνα δι' αὐτῆς φιλοσοφήσῃ θεολογικῶς· διὸ καὶ δυνάμενος εἰπεῖν ὅσοις ἔπνευσεν ἡ θεόδλυτον χάριν ἔφρασεν· γῆθεν γὰρ τὸ βρύον καὶ τὸ βλύον, εἰ καὶ γενικῶς ῥυτά εἰσι καὶ αὐτά. Προέκρινε δὲ τὸ θεόῤῥυτος χάρις, ἵ.α ἐκ τοῦ ἔπνευσε καὶ ἐκ τοῦ θεόῤῥυτος ὡς ἐκ πνευματώδους ἐνύγρου νέφους ὑψηλοῦ πορίσηται καὶ ἀστραπαίαν ἔννοιαν τὴν ἐν τοῖς πνευματικῶς ἀστράπτουσι πιστοῖς, καὶ νόημα λαμπηδόνος τὸ ἐν τοῖς λάμπουσι μαθηταῖς, κοινὸν ὑπάρχον αὐτὸ καὶ ἀστραπῆς λαμπούσης καὶ ὑγρότητος ὁμβρηρᾶς ἀποπλυνούσης καὶ λευκανούσης καὶ ποιούσης οὕτω λάμπειν· καὶ κείσθω καὶ ἡ τοιαύτη σκέψις ἐπὶ σεμνώματι τοῦ ἔπνευσε καὶ ἑξῆς· ἔνθα ἐννοίας παρέφρασεν ἃς φθάτας ἀπὸ τοιούτων μεταφορῶν ἐμελῴδησε, δεξιὰς ὧν οὕτω ποικίλλεσθαι μεταφοραῖς καὶ παρα-

240. Spirationem autem hic dico, non terrestrem, qualiter multa circa nos spirant flamina, nec illam ex exhalatione fumi simili surgentem et sic aridam : sed illam quæ venit ab alto naturaque humida atque madida est. Talis nunc enim tropice melodo deservit, ut per ipsam theologice philosophetur. Ideo D cum dicere posset : ὅσοις ἔπνευσεν aut ἔφρασε (suggesserit) θεόδλυτον gratiam : de terra namque sunt βρύον et βλύον, licet in genere sint ipsa (fluenta) ῥυτά; maluit tamen hoc : θεόῤῥυτος χάρις, ut ex verbo ἔπνευσεν et adjectivo θεόῤῥυτος, tanquam ex humido et excelso et spirituformi nebulo, deduceret fulguris sententiam, in fidelibus qui spiritaliter fulgurant, et splendoris cogitatum, in discipulis splendentibus, cum sit hoc commune fulguri lucenti et humiditati pluviosæ quæ lavat et dealbat et ita lucere facit. Et ita jaceat talis inquisitio de convenientia verbi ἔπνευσεν et sequentium. Ibi sententias circumlocutus est quas præcedenter absque circumlocutione cecinit; solers ita varietatem

inducere per metaphoras et paraphrases, quibus cogitationum repetitio diversam induit formam.

241. Sciendum autem quod conveniens dictio est ἡ χάρις; et aliqua modo ῥυτὴ est etiam ipsa sensim dicta, sine adjectivo θεόῤῥυτος, et quod est et quodammodo χυτή; siquidem ex χέω venit χαίρειν, unde quoque χάρις, quæ χαρᾷ per derivationem affinis est. Quædam enim effusio est ἡ χαρὰ (lætitia) et ἡ χάρις (gratia), quemadmodum σύγχυσις est quod ipsis opponitur. Ideo quoque parabola quædam convenienter huic sententiæ causam lacrymarum exquirit: partim quidem ab extrema voluptate, partim autem ab afflictione prorumpentes, spongiam in similitudinem adducunt; concludens humidum, hinc quidem explicata, ad satietatem ac αὐτόῤῥυτας (sponte fluentes) promittit sine pressura fusas; illinc autem necessario stricta: sic et anima tum arefacta per lætitiam, et sic per expansionem emittit lacrymas, tum vero afflicta, sive, quod idem est, pressa; evidens est enim quod idem sunt afflictio et pressura. Sciendum autem quod antiquorum divinis dictionibus consociantium gratiam, audacissimi divinam fecerunt illam, et in triadem ordinaverunt, tres rationabiles effingentes gratias, et augusta nomina eis imponentes. Quod autem honestissimum illius est, nemo nec aliorum sapientium, nec sanctorum Patrum, dedignatus est in Deum hujusmodi dictionem; sed omnes judicaverunt in ipsum illam adaptari. Licet igitur dicere gratiam, vel χαριτώνυμον, vel χαριτωμένην vel aliud quid simile, et negligere prorsus quod dictum est. Ideo ὁ χαρίσιος, sic placenta foret, sive homo, honestabatur hujusmodi dictione. Pulchram autem illam inveniens et ipse sapiens ille Joannes, multiplicavit, ut oportebat, ipsa, tanquam varietate florum, melodum peplum conspergens.

242. Liberalius tamen tanquam margaritas, dictiones, ut ita dicam, fulgidas, utpote proprias et accommodatas maxime sanctæ Trinitati, in variegatum texturæ decus, apposuit. Dictiones autem dico luminis, splendoris, facis, et derivatorum, præter dictiones torridi, ignis, fulguris, jubaris, nominique splendoris analogorum; ita ut exinde sit huic voce sonora melodo spiritualis psalmodia quasi tota lucida. Et propter hæc in elogium ei tribuendum est canonis, id est carminis expansionem, non solum lapidibus pretiosis conspersam in cogitatis de suavi gratia, sed etiam ex fulgidis margaritis, ut dictum est, clarissime fulgurantem.

243. Decus autem etiam est gratiæ tanquam ipsi cohærens, quod adoratio in spiritu et veritate, in spiritu et gratia dicitur adoratio; quodque canonica apostolorum signa sanctissimi Spiritus gratia signat; et quod ille qui in Domino gloriatur, hoc gratia Dei facere se dicens, contentus est; et quod ad idem redit, Dei donum et gratiam fari, et quod ad salutem pertinere dicitur Dei gratia misericordiaque ac humanitas; et quod hujus gratiæ participes

φράσεσι, δι' ὧν ἡ τῶν νοημάτων ταυτότης ἐξαλλάσσεται.

σμα'. Ἰστέον δὲ καὶ ὅτι σεμνὴ λέξις ἡ χάρις· καί πως ῥυτὴ καὶ αὐτὴ καθ' αὑτὴν μονήρης λεγομένη δίχα τοῦ θεόῤῥυτος καθότι καὶ χυτὴ τρόπον τινά· εἴπερ ἐκ τοῦ χέω γίνεται χαίρειν, ὅθεν καὶ ἡ χάρις ἡ τῇ χαρᾷ παρώνυμος· διάχυσις γάρ τις καὶ ἡ χαρὰ καὶ ἡ χάρις, καθὰ σύγχυσις τὸ ἐναντίον αὐταῖς· διὸ καί τις παραβολὴ προσφυῶς τῇ τοιαύτῃ ἐννοίᾳ αἰτιολογοῦσα τὸ δάκρυον· πῇ μὲν ὑφ' ἡδονῆς προῖὸν ἄκρας, πῇ δὲ ὑπὸ θλίψεως, τὸν σπόγγον προφέρει ἐς ὁμοιότητα, ὃς ὑγρὸν στέγων, πῇ μὲν ἀναπεπταμένος εἰς πλήσμιον αὐτόῤῥυτον ἐκεῖνο προάγει χεόμενον δίχα πιεσμοῦ, πῇ δὲ δι' ἔνδειαν σφιγγόμενος· ὡς καὶ ψυχή, πῇ μὲν ἡρεωμένη ἐν τῷ χαίρειν καὶ οὕτως ἀναπεπτάσθαι, προΐησι δάκρυον, πῇ δὲ θλιβομένη, ταυτὸν δὲ φάναι, πιεζομένη· δῆλον γὰρ ὡς ταυτίζεται ἡ θλῖψις καὶ ὁ πιεσμός. Ἰστέον δὲ ὅτι τῶν παλαιῶν θείαις λέξεσιν ἐνασσόντων τὴν χάριν, οἱ τολμηρότεροι καὶ ἀθεσπίσαν αὐτὴν, καὶ εἰς Τριάδα περιέστησαν, τρεῖς ἐλλόγως ἀναπλάσσοντες χάριτας, καὶ ὀνόματα σεμνὰ ἐπιτιθέντες αὐταῖς. Σεμνότατον δὲ αὐτῆς ἐκεῖνό ἐστιν, ὅτι οὐδεὶς οὔτε τῶν ἄλλων σοφῶν, οὔτε τῶν ἁγίων Πατέρων, ἀπηξίωσεν ἐπὶ Θεοῦ τὴν τοιαύτην λέξιν, ἀλλὰ πάντες ἐνέκριναν καὶ ἐπ' αὐτοῦ ταύτην ἁρμόττεσθαι· οὐκουν ἔστιν εἰπεῖν χάριν ἢ χαριτώνυμον ἢ κεχαριτωμένην ἢ ἄλλο τι τοιοῦτον, καὶ ἐξαθερίσαι ὅλως τὸ λεχθέν· διὸ καὶ ὁ χαρίσιος εἴτε πλακοῦς ἐκεῖνος εἴτε ἄνθρωπος ἐσεμνύνετο τῇ τοιαύτῃ λέξει· καλὴν δὲ αὐτὴν οὖσαν εὑρὼν καὶ ὁ σοφὸς Ἰωάννης οὗτος, ἐπλεόνασεν, ὡς ἐχρῆν, καταπάσας αὐτῇ τὸν μελῳδικὸν πέπλον ὅσα καὶ ποικίλματι ἀνθηρῷ.

σμβ'. Ἀφειδέστερον μέντοι ὅσα καὶ μαργάρους, τὰς ὡς οὕτως εἰπεῖν φωσφόρους λέξεις, οἷα οἰκειοτέρας καὶ προσφυεστέρας τῇ ἁγίᾳ Τριάδι, ἐνέθετο εἰς καλλίονα τοῦ ὕφους ποικιλμόν· λέγω δὴ τὰς τοῦ φωτὸς, καὶ τοῦ φέγγους, καὶ τοῦ φάους, καὶ τῶν ἐξ αὐτῶν, ὅσα γε τῶν τοῦ φρυκτοῦ, καὶ τοῦ πυρὸς, καὶ τῆς ἀστραπῆς, καὶ τοῦ σέλαος, καὶ τῶν κατὰ τὸ ὄνομα τῆς λάμψεως, ὡς ἐντεῦθεν ὁλόφωτον σχεδόν τι τὴν πνευματικὴν ψαλμῳδίαν εἶναι τῷ ὑψηλοφώνῳ μελῳδῷ· καὶ διὰ τὰ τοιαῦτα καὶ εἰς λογεῖον αὐτῷ ἐλλογεῖσθαι τὸ τοῦ κανόνος ἄπλωμα· οὐ λίθοις μόνον κατεστρωμένον τιμίοις τοῖς κατὰ τὴν γλυκεῖαν χάριν νοήμασιν, ἀλλὰ καὶ μαργάρων φαεινῶν ἐξαστράπτον, ὡς ἐῤῥέθη, φαεινότατα.

σμγ'. Σέμνωμα δὲ χάριτος καὶ σύνναον οἷον αὐτῇ καὶ τὸ τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ λατρείαν, ἐν πνεύματι καὶ χάριτι λέγεσθαι, καὶ ὅτι τὰς κανονικὰς ἀποστολικὰς σφραγῖδας, ἡ τοῦ παναγίου σημειοῖ Πνεύματος χάρις· καὶ ὅτι ὁ ἐν Κυρίῳ καυχώμενος, ἀρκεῖται εἰπὼν Θεοῦ χάριτι ποιεῖν αὐτό· καὶ ὅτι ἐς ταυτὸν ἥκει Θεοῦ δωρεὰν καὶ χάριν εἰπεῖν· καὶ ὅτι σωτηριῶδες, χάριν καὶ οἰκτιρμοὺς καὶ φιλανθρωπίαν συνεκφωνῆσαι Θεοῦ· καὶ ὅτι ὁ

μὲν ἔσω ταύτης καὶ μέτοχος, ἡδὺς ὅτι μάλα· ὁ δὲ τοῦ καλοῦ ἔκπτωτος τοῦδε, οὐδέν τι τοιοῦτος δοκεῖ· ὡς ὁ ἄχαρις καὶ ὁ ἀχαρίστερος δόρπος ἢ λόγος· καὶ τὸ ἀχαρίστατον ἦγουν ἀηδέστατον καὶ πάνυ ἄχαρι, καὶ μάλιστα ὁ ἐπάρατος ἀχάριστος. Ὅτι δὲ καὶ ἑτέραις ὑψηλαῖς ἐφίλησεν ὁ μελῳδὸς ἐγκροαίνειν λέξεσι λόγῳ ἐπιμονῆς, εὐχρήστοις καὶ ὑψηλαῖς εἰ καὶ μὴ κατὰ τὰς εἰρημένας λέξεις τὴν χάριν καὶ τὰς ἐκ τοῦ φωτὸς, καὶ τῶν κατ' αὐτὸ, ἡ περιοχὴ τοῦ κανόνος δηλοῖ τοῖς περιερχομένοις αὐτόν.

σμδ'. Ἀλλὰ γὰρ ἐς τοσοῦτον συμμέτρως τὴν χάριν περιεργασάμενοι, καὶ εὐξάμενοι τῷ Θεῷ μὴ ἀποστερεῖν ἡμᾶς αὐτῆς, λέγομεν καὶ ὅτι τὸ λάμποντες ἀστράπτοντες ἠλλοιωμένοι ἀσυνδέτως προαχθέντα, γοβγῶς καὶ γλυκέως πέφρασται· τῇ πνευματικῇ δὲ φωσφορίᾳ ὠκείωται πάντως καὶ τὸ λάμπειν καὶ τὸ ἀστράπτειν. Ἔστι δὲ τούτων τὸ μὲν ἐφετὸν φύσει, τὸ δ' οὐ τοιοῦτον· διὸ ἱλαρὸν μὲν ἡ λαμπρὰς, διὰ τὸ κατ' αὐτὴν γλυκὺ φῶς· φρικτὸν δὲ ὡς πυρόεν, ἡ ἀστραπή· ἅπερ καὶ ἐπὶ τοῦ Θεοῦ νοοῦντες ἡμεῖς, εἴπερ φρονοῦντες, καὶ φοβερὸν μὲν εἶναι τὸν Θεὸν λογιζόμενοι, καὶ οἷον μὴ ἐξευρήσειν τὸν ἀντιστησόμενον τῇ δικαίᾳ αὐτοῦ ὀργῇ, ἄλλως δὲ καὶ φιλανθρωπότατον αὐτὸν εἶναι συννοούμενοι, φυλαξώμεθα ἡμᾶς αὐτοὺς ὡς ἢ μὴ ἁμαρτάνειν ἀπαρακαλύπτως οὕτω καὶ ἀλογίστως ἐπὶ κληρονομίᾳ δαίμονος, ἢ ἀλλὰ καὶ ἡμαρτηκότες ταχὺ ἐπιστρέφεσθαι, τὴν καλὴν ἀλλοιωθέντες ἀλλοίωσιν, ἧς ἐνταῦθα ἐμνήσθη ὁ μελῳδὸς παρελκύσας αὐτὴν ἐκ τῶν τῆς ἑορτῆς.

σμε'. Ἔστι γὰρ νοῆσαι ἡμᾶς, ὅτι τὴν κατὰ νοῦν λάμψιν καὶ τὴν ἀστραπὴν καὶ τὴν εὔπρεπῆ ὀθνείαν ἀλλοίωσιν, ἣν παραγγέλλει ὁ σοφὸς οὗτος ἑποποιὸς, καὶ ἐπιμάρτυρεται ἡμῖν ὡς λατρευταῖς τῆς ἁγίας Τριάδος, τοῖς μαθηταῖς πρώτοις ἐνεθεώρησε. Τί γὰρ ἀπαίσιον ἢ ἀπόφημον ἢ ἀνακόλουθον τῇ ἑορτῇ, καὶ τοιαύτην χάριν ἄνωθεν πεμφθῆναι τοῖς θεοκήρυξιν, ἵνα τοῦ περιέχοντος λαμπομένου πυρσαῖς γλώσσαις καὶ τῇ ἐκεῖθεν φανότητι, καὶ τὰ μαθητικὰ πρόσωπα φωτὶ λάμποιντο, καὶ θείαν οὕτω, πλουτοῖεν ἀλλοίωσιν; οὐ γὰρ ἂν εἴποι τις πρέπειν τὸν μὲν ἐκεῖ ἀέρα λάμπεσθαι, κατενώπιον δὲ τοῦ Θεοῦ ἀποστόλων ζόφον εἶναι, ὡς νυκτὶ ἐοικέναι σφίσι τὰ ὑπώπια ὠχρῳ βεβαμμένα τῷ ἐκ φόβου καὶ συστολῆς, τοῦ πρὸς κάλλος ἐρεύθοντος αἵματος· ἢ Μωϋσῆς μὲν ὑπερεδοξάσθη τὸ πρόσωπον ἦν ὅτε ἐκ Θεοῦ καθὰ πρέπον, οἱ δὲ μαθηταὶ οὐκ ἦσαν ἄξιοι καλῷ τοιούτῳ ἐλλάμψασθαι; καὶ τυχεῖν ὁμαδικῶς ἀγαθοῦ ὁποίου ἐν τῷ Θαβὼρ ἐπειράθησαν τρεῖς ἐκεῖνοι ἐπίλεκτοι μαθηταὶ, οὓς καὶ αὐτοὺς ὁ νῦν ἀποστολικὸς περιέχει σύλλογος, χαίροντας πάντως ὅτι τὸ ἰδιάσαν πρὸ τοῦ πάθους καλὸν τὸ ἄῤῥητον ἐκεῖνο φῶς, ἐκοινώσαντο ἄρτι πάντες ἀδελφικῶς διὰ τοῦ ἁγίου Πνεύματος, ὡς αὐτὸ ἐπεμέτρησε.

σμς'. Διὸ ἔστι νοῆσαι καὶ εἰπεῖν ὀρθῶς, ὡς οἱ λάμποντες οὕτω καὶ ἀστράπτοντες διὰ τὸ θεόθεν λάμπεσθαι καὶ ἀστράπτεσθαι, καὶ πυρίναις δὲ γλώσσαις ψαυόμεναι θιγγανούσαις οἷον τῆς ἑκάστου

ceps, quam maxime jucundus est; qui vero boni illius est expers, nihil talis esse videtur; veluti ὁ ἄχαρις et ὁ ἀχαρίστερος δόρπος sive λόγος, et, id quod ingratissimum seu injucundissimum et prorsus insulsum est, et præsertim detestabilis, ingratus. Quod autem etiam aliis excelsis dictionibus amavit cum perseverantia poeta lyram percutere, et si non secundum has dictas locutiones, gratiam, cæterasque ex lumine et derivatis ortas, commodis et excelsis, hujus carminis argumentum ostendit percurrentibus illud.

214. At vero sic de gratia sufficienter habito sermone, Deum, ne nos orbet illa, deprecati, dicimus quod verba λάμποντες, ἀστράπτοντες, ἠλλοιωμένοι, sine conjunctione prolata vivide jucundeque dicta sunt. Spirituali vero lucidationi prorsus appropriantur τὸ λάμπειν et τὸ ἀστράπτειν. Ex his autem unum quidem natura est desiderabile, aliud vero minime ita: quoniam jucundum quidem est lucerna, propter dulcem ipsius lucem; tremendum autem veluti ignitum, fulgur. Quæ nos etiam de Deo cogitantes, dummodo prudentes simus reputantesque tremendum esse Deum ac talem qui non inveniat ipsius iræ justæ quemquam obstantem, alias autem illum esse benignissimum intelligentes, nos ipsos custodiamus, ne vel imprudenter ac irrationabiliter in dæmonis hæreditate fiamus peccantes, vel saltem etiam lapsi brevi convertamur hac pulchra transmutati mutatione, cujus hic meminit poeta ex his ad festum attinentibus illam deducens.

245. Nobis enim cogitandum quod hunc mentis splendorem ac fulgurationem convenientemque extraneam mutationem, quam sapiens ille cantor nuntiat, et nobis ut sanctæ Trinitatis cultoribus attribuit, in primis discipulis speculatus est. Quid enim sinistri vel infausti vel repugnantis festivitati quod talis gratia desuper etiam mitteretur Dei præconibus, ut, capite linguis igneis et exinde splendoribus fulgente, discipulorum vultus etiam lumine fulgerent, et sic divina mutatione ditarentur. Non enim quis dicere posset convenire illic quidem aera fulgere, sed coram Deo apostolorum tenebras esse, ita ut nocti similes ipsis essent facies, pallore ex metu et animi contractione, dum in pulchritudinem sanguis rubefacit tinctæ. Nunquid Moysis quidem vultus olim a Deo convenienter glorificatus est, discipuli vero digni non essent qui tali splendore fulgerent, parique jure bonum obtinerent, quale super Thabor experti sunt illi tres electi discipuli, quos et ipsos præsens apostolicus complectitur cœtus, omnino gaudentes quod speciatim concessum ante occasionem bonum illud ineffabile lumen, nunc omnes fraterne per Spiritum sanctum, ut illud supererogavit, in communi participent?

246. Idcirco recte cogitandum et dicendum, quod ita fulgentes ac fulgurantes, eo quod a Deo lucerent ac fulgurarent, igneisque tacti linguis tanquam uniuscujusque linguam attingentibus, et ita dulcem

cognitionis flammam, ut Dei angeli, accedentibus, convenientia sane concinerent, etsi circumstantes ethnici male comprehenderent illos et aliquo modo secundum illos e medio ignis Deum benedicentes ac hymnis celebrantes et populum idololatricum circumstantem obstupefacientes, sacros pueros, et ipsi agerent. Non igitur absimile nec dubium specie lucidissimos etiam apostolos fuisse, cum sub ignis specie desuper illis venit Spiritus illuminatio, ut interiori lumine lumen etiam vultus haberent; illaque tria ex æthere lucerent ipsis lumina, unum quidem ex igneis lingnis, aliud inhærens menti, et tertium quod ipsis faciem ad gloriam sanctæ Trinitatis splendescere fecit.

247. Hoc autem ita cum sit, potest aliquis locutionem: « Extranea convenientissima mutatione ipsos commutari, » ad hujusmodi splendorem ac fulgurationem urbane referre, dicereque quod ibi sacer poeta alludit ad veterem apud Græcos vultus immutationem, quæ supefveniebat heroicæ personæ, de qua factum est istud: Alius mihi, peregrine, recens vel antea visus es. Dicitur enim tunc heros vir et reliquis corporis et facie recenter fuisse mutatus. Erat etiam illius extranea mutatio, non quidem aliquatenus conveniens, sed aspectu deformissimum illum demonstrans ruga nempe circumdabat eum, et pellis sicut lignum arefacta erat, et oculi caligaverant, nisi pejus adhuc esset hæc mutatio.

248. Hic autem dicere posset poeta quod, dextera Dei mutante apostolos, sic mutati sunt ut alienus esset eis sicut et cuilibet alii personæ fulgurans iste splendor, sed convenientissimus, utpote blandus et alliciens ipsum intendentes. Non enim, ut in Thabor, lumine super solem coruscante, veluti fulgure, percellebantur, sed sicut tunc linguarum ignis urere non valebat, sic nec exinde lumen excæcare intuentes: in bonum enim hæc in festivitate facta est mutatio, non autem ad lædendum neque discipulos nec alium quemquam. Et ita quidem in exemplum apostolis per recordationem adductis sapiens melodus Joannes hunc splendorem in nos spiritualiter declinare vult per rectam sanctæ Trinitatis adorationem.

249. Hanc vero dictam mutationem poeta dixit ἀθνείαν, sive extraneam, ut dictum est, et extraordinariam, usus tropo qui dicitur apud antiquos metalepticus, sive juxta metalepsin, non hanc quam adhibent pedestres rhetores, sed illam quæ poetis est in usu. Sic supponatur dictio requirens interpretationem ad claritatem; et explicetur illa per dictionem homonymam sive ad minus δίσημον, id est duas habentem a se diversas significationes, quarum una quidem est maxime propria, sicut videtur, ad afferendam subjectæ dictioni claritatem; alia vero vi trahitur ad istam interpretationem, auditore coacto transferre suam mentem a naturali

A γλώσσης, καὶ οὕτω γνώσεως πραεῖαν φλόγα ἐμπυρευούσαι; ὡς Θεοῦ ἀγγέλοις, ἔμελπον ἂν τὰ εἰκότα, κἂν οἱ περιεστῶτες ἐθνικοὶ παρενόουν αὐτούς· καί πως κατὰ τοὺς ἐκ φλογὸς μέσης τὸν Θεὸν εὐλογοῦντας καὶ ὑμνοῦντας ἁγίους παῖδας ἐκείνως, καὶ τὸν πέριξ λαὸν τὸν εἰδωλολάτρην ἐκπλήττοντας, διετέθειντο καὶ αὐτοί; Οὔκουν ἀπεικὸς οὐδὲ ἀμφίλεκτον λαμπροτάτους εἶναι καὶ τὴν μορφὴν τοὺς ἀποστόλους ὅτε πυρσομόρφως αὐτοῖς ἦλθεν ἡ ἄνωθεν τοῦ Πνεύματος ἔλλαμψις, ἵνα φωτὶ τῷ ἐντὸς φῶς ἔχοιεν καὶ προσωπικόν· καὶ τρία ταῦτα φῶτα ἐναιθριάζοι αὐτοῖς τὸ ἐκ τῶν πυρίνων γλωσσῶν, καὶ τὸ κατὰ ψυχήν· καὶ τρίτον ὅπερ αὐτοῖς τὴν ὄψιν εἰς δόξαν τῆς ἁγίας Τριάδος ἠγλάϊζεν.

σμ΄. Εἰ δὲ τοῦθ' οὕτως ἔχει, δύναταί τις καὶ τὴ B ἀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην ἠλλοιῶσθαι αὐτοὺς συμβιβάσαι ἀστείως πρὸς τοιαύτην λάμψιν καὶ ἀστραπήν, καὶ εἰπεῖν ὅτι μυκτηρίζει ἐνταῦθα ὁ ἅγιος μελῳδὸς παλαιὰν ἐν Ἕλλησι κατ' ὄψιν ἀλλοίωσιν, ἐπιγινομένην ἡρωϊκῷ προσώπῳ περὶ οὗ πεποίηται τὸ - Ἀλλοῖός μοι ξεῖν' ἐφάνης νέον ἠὲ πάροιθεν· - λέγεται γάρ ποτε ἥρως ἀνὴρ ἀλλοιωθῆναι καινῶς τά τε ἄλλα τοῦ σώματος, καὶ τὸ πρόσωπον· καὶ ἦν ἡ ἀλλοίωσις ἀθνεία ἐκείνου, καὶ οὐδὲ βραχύ τι γοῦν εὐπρεπής, ἀλλὰ εἰδεχθέστατον ἐκεῖνον διαδεικνῦσα· ῥυτίς τε γὰρ ἐκεῖνον περιέστειλε, καὶ ὁ χροῦς ὡσεὶ καὶ κάρφος ἀπεξήραντο, καὶ οἱ ὀφθαλμοὶ ἐκνυζώθησαν, ὅτι μηδὲ ἦν ἡ ἀλλοίωσις ἐκείνη ἐκ τοῦ κρείττονος.

C σμη΄. Ἐνταῦθα δὲ εἴποι ἂν ὁ μελῳδὸς ὅτι τῆς δεξιᾶς τοῦ Θεοῦ ἀλλοιούσης τοὺς ἀποστόλους, οὕτως ἠλλοιώθησαν ὡς ἀθνείαν τε αὐτῶν καθὰ καὶ παντὸς ἄλλου προσώπου εἶναι τὴν ἀστραπαίαν ταύτην λάμψιν, ἀλλὰ καὶ εὐπρεπεστάτην οἷα καὶ ἐπαγωγὸν καὶ ἑφολκὸν τῶν ἐντρανιζόντων αὐτῇ. Οὐ γὰρ ὡς ἐν τῷ Θαβὼρ ὑπὲρ ἥλιον τοῦ φωτὸς ἐνεργοῦντος, ὑπερηυγάζοντο καταστραπτόμενοι, ἀλλὰ ὥσπερ τὸ τηνικαῦτα πῦρ τῶν γλωσσῶν οὐκ ἤθελε καίειν, οὕτως οὐδὲ τὸ ἐκεῖθεν φῶς ἐκτυφλοῦν τοὺς βλέποντας· ἐπ' ἀγαθῷ γὰρ ἐκαινουργήθη ταῦτα ἐν τῇ ἑορτῇ. οὐ μὴν ὥστε βλαβῆναι μὴ ὅτι γε τοὺς μαθητάς, ἀλλ' οὐδὲ ἕτερόν τινα· καὶ οὕτω μὲν εἰς παράδειγμα τοὺς ἀποστόλους ὑποστήσας διὰ ἀναμνήσεως ὁ σοφὸς μελικὸς Ἰωάννης, τὴν ἐκείνην λάμψιν ἐθέλει μετα- D κλῖναι νοητῶς εἰς ἡμᾶς, ἐν τῷ λατρεύειν τῇ ἁγίᾳ Τριάδι ὀρθῶς.

σμθ΄. Τὴν δὲ ῥηθεῖσαν ἀλλοίωσιν ὀθνείαν ὁ μελῳδὸς εἶπεν, ἤγουν ξένην, ὡς ἐῤῥέθη, καὶ παράδοξον, τρόπῳ τῷ παρὰ τοῖς παλαιοῖς λεγομένῳ μεταληπτικῷ, ἤγουν τῷ κατὰ μετάληψιν, οὐ τὴν παρὰ τοῖς πεζολόγοις ῥήτορσιν, ἀλλὰ τὴν παρὰ τοῖς ποιηταῖς γινομένην. Οὕτως ὑποκείσθω λέξις δεομένη ἑρμηνείας εἰς διασάφησιν, καὶ ἑρμηνευθήτω ἐκείνη διὰ λέξεως ὁμωνύμου, ἤγουν τὸ ἐλάχιστον, δισήμου, ὅ ἐστιν ἐχούσης δύο σημασίας ἑτεροιουμένας ἀλλήλων, ὧν ἡ μὲν μία οἰκειοτάτη, ὡς εἰκὸς αὐτόθεν ἐστὶ τῇ ὑποκειμένῃ εἰς διασάφησιν· ἡ δὲ ἑτέρα βιαίως ἕλκεται εἰς ἑρμηνείαν ἐκείνην, ἐξωθουμένου τοῦ ἀκροατοῦ μεταγαγεῖν τὸν αὐτοῦ νοῦν ἀπὸ τῆς

προσφυοῦς ἑρμηνείας εἰς τὴν ἄλλην τὴν ἐξ ὁμωνυμίας ἀντιπαρακειμένην, καὶ προσαρμόσαι αὐτὴν εἰς ἑρμηνείαν τῆς προκειμένης λέξεως· οἷον ἔστω δεομένη ἑρμηνείας λέξις ἡ γλήνη ἐν τῷ- Ἔρρε, κακὴ γλήνη· - καὶ ἑρμηνευτέον αὐτὴν διὰ τοῦ κόρη. Ἐπὶ οὖν κόρη μὲν καὶ ἡ κατὰ τὸν ὀφθαλμὸν, κόρη δὲ ὁμωνύμως κατὰ ἑτεροίαν σημασίαν καὶ τὸ νεαρὸν γυναικάριον, ὁ μὲν προσάψας τῇ γλήνῃ τὴν πρώτην κόρην τὴν κατ' ὄψιν, ἵνα λέγῃ ὅτι Ἔρρε, κακὴ θέα, ἤγουν Ἄνερ μὴ ἀξιοθέατε, οἰκείως ἡρμήνευσεν, εἴτουν προσφυῶς· ὁ δὲ μεταλαβὼν ἤγουν ἀλλάξας τὴν θέαν καὶ εἰπὼν μεταληπτικῶς, Ἔρρε, κακὸν κοράσιον, ἤγουν Ὦ γυναικία καὶ δειλότατε ἀνερ, οὐ καλῶς μὲν ἡρμήνευσε· δοκεῖ δὲ βιαίως ἀναγκάζεσθαι, ὡς οἷον ἐναπαιτήσει, ὅτι ἐπὶ γλήνην ἔφης τὴν κόρην· κόρη δὲ καὶ τὸ κοράσιον, κατάδεξαι εἰπεῖν ἑρμηνευτικῶς καὶ τὸ - Ἔρρε, κακὴ γλήνη, - ἀντὶ τοῦ φθάρηθι ὦ γυναικάνερ διὰ δειλίαν. Τοιούτῳ δή τινι λόγῳ καὶ ὁ μελῳδὸς ἐγγράψας τῇ ψυχῇ, ξένην ἀλλοίωσιν εἰπεῖν τὴν ἐκ τοῦ ἁγίου Πνεύματος, ἐν τῷ λαβεῖν ἴσως αὐτὸ ἐκ τοῦ - Ἀλλοΐός μοι, ξεῖν', ἐφάνης νέον ἠὲ πάροιθεν· - καὶ εἰδὼς ξένην λέγεσθαι οὐ μόνον τὴν ξενίζουσαν καὶ παράδοξον, ὅπερ ἀληθῶς ἁρμόττει ἐνταῦθα, ἀλλὰ τὴν ὀθνείαν ἤγουν ἀλλοτρίαν, ἀπητήθη ἀναγκαστικῶς ὑπὸ τῆς μετρικῆς ἀκροστιχίδος· ξενίζουσαν μὲν μὴ εἰπεῖν· ὀθνείαν δὲ ἐξ ἀνάγκης, διότι ἡ ξένη ἀλλοίωσις ὁμοτίμως ὥσπερ τὴν παράδοξον οὕτω καὶ τὴν ὀθνείαν ἐδήλου.

A interpretatione ad aliam, quæ ex homonymia est, diversam, et adaptare istam ad interpretationem subjectæ dictionis. In exemplum sit egens interpretatione dictio ἡ γλήνη in hoc : Abi, mala γλήνη; et interpretatio fiat per vocem κόρη. Cum igitur est quidem κόρη oculi pupilla, κόρη vero per homonymiam est etiam cum alia significatione juvenis mulier, ille quidem qui τῇ γλήνῃ adaptavit priorem κόρην ad oculum respicientem, ut dicat : abi, mala visio, sive homo visu indigne; proprie seu naturaliter interpretatus est. Ille vero qui, transferens sive commutans visionem, per metalepsim dixit : abi, κακὸν κοράσιον, seu o muliercula et ignavissime homo, non bene quidem interpretatus est; sed videtur vi cogi, tanquam petitione, cur ad B γλήνην dixisti τὴν κόρην? κόρη vero dicitur et τὸ κοράσιον, ostendere interpretatione te dixisse istud : ἔρρε, κακὴ γλήνη, pro hoc : pereas, homo muliercula propter ignaviam. Porro, simili quadam ratione, poeta, postquam in animo inscripserat ξένην mutationem dicere quæ fit ex Spiritu sancto, hoc forte sumens ex isto : Ἀλλοΐός μοι ξεῖν' ἐφάνης νέον ἠὲ πάροιθεν : Alius mihi, amice, nuper vel antea visus es; sciensque ξένην dici non solum extraneam visu et extraordinariam, quod hic vere convenit, sed τὴν ὀθνείαν, sive alienam, necessitate coactus est acrostichidis metro, ξενίζουσαν quidem non dicere, sed ὀθνείαν, quoniam ἡ ξένη ἀλλοίωσις pariter sicut extraordinariam, sic C etiam alienam significabat.

σν'. Καὶ τοίνυν ποιεῖ τοῦτο ἄκων· εὖ μὲν εἰδὼς παραποιεῖν τὸ τοῖς προκειμένοις ἀκόλουθον· ἀνατιθεὶς δὲ αὐτὸ γρίφου δίκην παρὰ εὐγνώμοσι κριτικοῖς· τῇ ἔστιν ὅτε κατ' ἀνάγκην διθυραμβώδει μεταχειρίσει τῆς ποιήσεως, ἀλλαξάμενος τῆς καθ' ἑρμηνείαν προσεχοῦς λέξεως τὴν πορρωτέρω, παραδοξίας χάριν καὶ γλαφυρότητος· δι' ἣν καὶ ἀλλοίας ἐν ἑτέροις παραδοξοφωνίας ἐμάθομεν· ὥστε ὀθνεία νῦν ἀλλοίωσις, ἡ ξένη καὶ παρηλλαγμένη, φραισθεῖσα οὕτω ποιητικῷ μεταληπτικῷ τρόπῳ δεδομένῳ τοῖς ἐποποιοῖς· καὶ ἄλλως δὲ διασαφῆσαι τὸ τοιοῦτον καινόσχημον, φαίνεται ἡ ὡς ἐρρέθη ὀθνεία ἤγουν ξένη ἀλλοίωσις, προῆχθαι κατά τι νόημα σοφιστικὸν μὲν, καὶ οὐχ ὑγιὲς, δοκοῦν δὲ D εἶναι συλλογιστικὸν τοιοῦτον τὸ ὀθνεῖον, ξένον δηλοῖ· ξένον δὲ τὸ παράδοξον· ὀθνεῖον ἄρα τὸ παράδοξον· καὶ ἐκεῖθεν ἀλλοίωσις ὀθνεία ἡ παράδοξος· οὕτω καὶ γλήνη ἡ κόρη· κόρη δὲ ἁπαλή τις γυνὴ, καὶ ἡ γλήνη ἄρα κόριον.

250. Et tamen facit hoc invitus; bene quidem sciens alienare quod subjectis est adjunctum; applicans autem illud ad modum ænigmatis coram benevolis criticis; tali modo quandoque ex necessitate in dithyrambica poeseos tractatione, dictionem interpretationi propinquam cum longinqua, mirationis et elegantiæ causa, mutans; ubi alias in aliis extraordinarias voces didicimus; ita ut ὀθνεία sit nunc mutatio, quæ extranea sive extraordinaria est, sic poetico metalepsis tropo lyricis concesso dicta. Ad aliter autem etiam explicandum novam hujusmodi formam, videtur ista, sicut dictum est, ὀθνεία sive extranea mutatio prolata fuisse juxta quoddam conceptum, sophisticum quidem et non sanum, sed visum hujusmodi syllogisticum : τὸ ὀθνεῖον, extraneum significat; extraneum autem est quod est extraordinarium : unde ὀθνεία est mutatio quæ extraordinaria est. Sic etiam : γλήνη ἡ κόρη; κόρη vero est quædam mulier tenella; ergo ἡ γλήνη est etiam puella.

σνα'. Τούτων δὲ ἀρκούντως οὕτω ῥηθέντων, εἴ τις ἀλλοίωσιν ὀθνείαν ἐνταῦθα λέγει τὴν ἐξ ὀρθοῦ ἀλλοτρίαν, οὐκ ἂν εὑρήσει ῥᾳδίως οὕτω καὶ ἀπραγμόνως ποθὲν προσοχήν. Πῶς γὰρ ἀλλοτρία ἡ ἐν ἁγίῳ Πνεύματι νῦν μεταβολὴ καὶ ἀλλοίωσις ἐκ τῆς παρὰ φύσιν κακίας καὶ ἁμαρτίας εἰς τὴν κατὰ φύσιν ἀναμαρτησίαν καὶ ἀρετὴν, εἴτε κατὰ τὸ κοινὸν σημαινόμενον τῆς εἰρημένης λέξεως, καθ' ἣν ὀθνεῖον λέγει τις καὶ ἀλλότριον, ἤγουν μὴ οἰκεῖον, εἴτε

251. His autem sufficienter ita dictis, si quis ἀλλοίωσιν ὀθνείαν hic dicit illam quæ ex recto est aliena, non ita facile commodeque sibi conciliabit attentionem · quomodo enim aliena esset præsens in Spiritu sancto mutatio atque transformatio ex malitia et culpa contra naturam, in justitiam et virtutem juxta naturam, sive secundum communem memoratæ voeis significationem, juxta quam ὀθνεῖον dicit etiam aliquis ἀλλότριον, seu non pro-

prium, sive secundum scriptionem qua ἀλλόφυλοι dicti sunt οἱ ἀλλότριοι? non est enim nobis impropria in bonum ex malo mutatio, nec a Deo alienat eos qui secundum ipsam mutantur : unde non est epithetum hujusmodi conversionis ἡ ὀθνεία sive ξένη tanquam ἀλλοτρία; et ita quidem subinvisum est ἀλλοτρίαν (alienam) τὴν ὀθνείαν (extraneam) interpretari.

252. Si quis autem dicat illius ævi sanctos spiritualiter mutatos fuisse ξένῃ ἀλλοιώσει, quæ ὀθνεία sive ἀλλοτρία erat usque ad ipsos, vel a qua prius ipsi alienati atque disjuncti fuerant, est quidem violenti quondam hæc expressio ; benevolis autem auditoribus accipietur ; ὁ ὀθνεῖος vero masculinum, ex quo ἡ ὀθνεία, e voce νόθος derivatur ; a qua sicut Κάδμος καδμεῖος, sic νόθος νοθεῖος, et litteræ transpositione ὀθνεῖος ; et forte hoc est quod etiam ibi fecit de ὀθνείᾳ mutatione ambiguitatem. Cum enim νόθος proprie quidem est filius qui non est germanus et legitimus generatori, prævenit autem illa dictio poni de rebus simpliciter extraneis et sic alienis ; deinde vero deducta sunt etiam verba ὁ ὀθνεῖος et cætera derivata, propriæ dictionis illius immutatio commutavit etiam concepta in quibus illæ voces spargebantur, et præsertim in dispositione poetica.

253. Laudandus porro poeta est quod, necessitatem habens in tertio versu jam tractati initium ab o brevi ponendi, talem in metri necessitate dictionem invenit. Considerandum est autem an forte non sit melius scribere mutationem ὀθνεῖον ab attico nominativo ἡ ὀθνεῖος. Dicere nempe τὴν ὀὐνείαν in communibus iambis non est consuetum ; tanquam spondæo, ex regula grammatica, evadente secundo pede, propter longam vocis finalem ἡ ὀθνεία. Sicut enim ex τοῦ θείου τὴν θείαν communiter extendimus, sic etiam ex τοῦ ὀὐνείου τὴν ὀθνείαν. Si vero forte poeta recordatus istud : τῇ μακρᾷ πέμπτῃ μακρὸν ὕμνον ἐξάδω, secundum hunc iambum mensus est quoque præsentem, non inutiliter hic contradicimus, sed in memoriam revocamus quod similiter fecit sanctus ille Joannes et in hoc : ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος. Nam verbi σφραγίζειν initialis est extensa, sicut vocis σφραγῖδος, ut non est ambigendum homini grammatico. Quod autem heroici multa quoque talia nomina feminina in alpha desinentia ex genitivis per longam terminatis contrahunt, non est contradicendum constanter, si quis expertus sit. Vocem vero εὐπρεπεστάτην pro καλὴν usurpavit melodus, bene quoque ibi locutus : si enim juxta quemdam dicentem, pulchra est mutatio dexteræ Excelsi, etiam convenientissima esset. Hoc autem demonstrat τὴν ὀθνείαν intelligendum esse non alienam, sed extraordinariam : talis enim est hæc mutatio, diceret aliquis, amplitudinem hic etiam ostendente præpositione. Communius tamen sicque notius est ἡ εὐπρεπεστάτη. Non ignotum est autem quod pulchritu-

A κατὰ τὸ γραφικὸν ἐν ᾧ ἀλλόφυλοι ἐρρέθησαν οἱ ἀλλότριοι ; οὔτε γὰρ ἀνοίκειος ἡμῖν ἡ ἐκ κακοῦ εἰς καλὸν μεταβολὴ, οὔτε τοῦ Θεοῦ ἀλλοτριοῖ τοὺς κατ' αὐτὴν ἀλλοιουμένους · ὥστε οὐδὲ ἔστιν ἐπίθετον ἀλλοιώσεως τοιαύτης ἡ ὀθνεία ἤγουν ξένη ὡς ἀλλοτρία · καὶ οὕτω μὲν ὑποδίσκολον τὸ ἑρμηνεῦσαι ἀλλοτρίαν τὴν ὀθνείαν.

συβ'. Εἰ δέ τις εἴποι τοὺς τότε ἁγίους ἠλλοιωμένους πνευματικῶς ξένην ἀλλοίωσιν, καὶ ὀθνείαν ἤτοι ἀλλοτρίαν μέχρι καὶ τότε αὐτῶν, ἤγουν ἧς πρὶν αὐτοὶ ἀπεξένωντο καὶ ἠλλοτρίωντο, ἔστι μὲν βιαστόν τι τουτὶ τὸ ὄνομα · προσθεχθήσεται δὲ ἀκροαταῖς εὐγνώμοσιν · ὁ ὀθνεῖος δὲ ἀρσενικὸν ἐξ οὗ ἡ ὀθνεία ἐκ τοῦ νόθος παρῆκται · ἀφ' οὗ ὥσπερ B Κάδμος καδμεῖος, οὕτω νόθος νοθεῖος, καὶ μεταθέσει στοιχείου ὀθνεῖος · καὶ τάχα τοῦτό ἐστι τὸ καὶ ἐνταῦθα πεποιηκὸς τὴν ἐπὶ τῇ ὀθνείᾳ ἀλλοίωσιν στρεβλολογίαν. Ἐπεὶ γὰρ νόθος μὲν κυρίως υἱὸς ὁ μὴ γνήσιος καὶ ἔννομος τῷ γεννησαμένῳ · ἔφθη δὲ ἡ λέξις τεθῆναι καὶ ἐπὶ τῶν ἁπλῶς ξένων καὶ οὕτως ἀλλοτρίων · ἐκεῖθεν δὲ κεκίνηται καὶ ὁ ὀθνεῖος καὶ τὰ ἐξ αὐτοῦ, ἡ τῆς κυριολεξίας ἐκείνης ἐκτροπὴ συνεξέστρεψε, καὶ τὰ νοήματα ἐν οἷς τοιαῦται λέξεις κατεσπάρησαν, καὶ κάλλιστα ἐν διαθέσει ποιητικῇ.

συγ'. Ἐπαινετέον δὴ τὸν μελῳδὸν ὅτι ἀνάγκην ἔχων ἐν τῷ τρίτῳ στίχῳ τοῦ προκειχειρισμένου ἀπὸ τοῦ ο' μικροῦ θέσθαι ἀρχὴν, ἐξεῦρε τοιαύτην λέξιν ἐν ἀνάγκῃ μετρικῇ. Σκοπητέον δὲ μήποτε κάλλιόν C ἐστι γράψαι ὀθνεῖον ἀλλοίωσιν, ἀπὸ εὐθείας Ἀττικῆς τῆς ἡ ὀθνεῖος · τὴν ὀθνείαν γὰρ εἰπεῖν οὐ σύνηθες ἐν ἰαμβείοις κοινοῖς · οἷα σπονδείου κανόνι γραμματικῷ ἀπεκβαίνοντος τοῦ δευτέρου ποδὸς, διὰ τὴν λήγουσαν τοῦ ἡ ὀθνεία. Ὡς γὰρ ἐκ τοῦ θείου τὴν θείαν ἐκτείνομεν κοινότερον, οὕτως καὶ ἐκ τοῦ ὀθνείου τὴν ὀθνείαν. Εἰ δὲ ἴσως ὁ μελῳδὸς ἐνθυμηθεὶς τὸ τῇ μακρᾷ πέμπτῃ μακρὸν ὕμνον ἐξάδω, πρὸς ἐκεῖνο τὸ ἰαμβεῖον ἐπόδισε καὶ τὸ παρὸν, οὐκ ἀντιπίπτομεν εἰς οὐδὲν δέον, ὑπομιμνήσκομεν δὲ ὡς ὅμοιον πεποίηκεν ὁ ἱερὸς Ἰωάννης οὗτος, καὶ ἐν τῷ ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος. Τοῦ γὰρ σφραγίζειν ἐκτείταται ἡ ἄρχουσα, καθὰ καὶ ἡ τῆς σφραγῖδος, ὡς οὐκ ἔστιν ἀμφιβαλεῖν ἄνδρα γραμματικόν. Ὅτι δὲ ἡρωΐζοντες πολλὰ καὶ τοιαῦτα θηλυκὰ ὀνόματα εἰς ἄλφα λήγοντα ἐκ μακροκαταλήκτων γενικῶν συστέλλουσιν, οὐκ ἔστιν ἀντειπεῖν σταθερῶς, εἴ τις πεπείραται. Τὸ δὲ εὐπρεπεστάτην ἀντὶ τοῦ καλὴν ἔλαβεν ὁ μελῳδὸς, εὖ καὶ ἐνταῦθα λαλῶν · εἰ γὰρ κατὰ τὸν εἰπόντα καλὴ ἀλλοίωσις ἡ τῆς δεξιᾶς τοῦ Ὑψίστου, καὶ εὐπρεπεστάτη ἂν εἴη · τοῦτο δὲ διασαφητικόν ἐστι τοῦ τὴν ὀθνείαν μὴ ἀλλοτρίαν χρῆναι δ' ὑπονοεῖσθαι, ἀλλὰ ξενίζουσαν · ἡ τοιαύτη γὰρ ἀλλοίωσις λέγοι τις ἂν, ἐπίτασιν κἀνταῦθα δηλούσης τῆς προθέσεως · κοινότερον μέν τοι καὶ οὕτω γνωριμώτερόν ἐστιν ἡ εὐπρεπεστάτη · οὐκ ἄδηλον δὲ ὅτι καλλονήν τινα σημαίνει καὶ τὸ πρέπον, καὶ ὁ εὐπρεπὴς, καὶ ὁ ἐκπρεπὴς, καὶ τὸ ἐπιπρέπειν, καὶ ἡ εὐπρέπεια · γίνεται δὲ ἀπὸ τοῦ

περιέπειν· τὰ γὰρ τοιαῦτα ὡς καλὰ περιέπονται.

dinem quamdam significat τὸ πρέπον, et ὁ εὐπρεπὴς, et ὁ ἐκπρεπὴς, et τὸ ἐπιπρέπειν, et ἡ εὐπρέπεια: venit autem a περιέπειν: talia namque sicut bona περιέπονται (curantur).

σνδ'. Σημείωσαι δὲ καὶ ὅτι ἐπιλογικῶς οἷον τὸ ὅλον θαῦμα τῆς ἅρτι ἑορτῆς ὁ μελῳδὸς ἐν τῷ παρόντι ἐκεφαλαιώσατο τροπαρίῳ. Τὸ μὲν γὰρ Ἔπνευσε διὰ τὴν βιαίαν ἐῤῥέθη πνοήν· ἡ δὲ θεόῤῥυτος χάρις διὰ τὸ ἐκχέω· ἔνθα ἐπίτασιν ἡ πρόθεσις δηλοῖ, ὡς δοκεῖ ἑρμηνεύειν ἕτερος μελῳδὸς εἰπὼν, Πλουσίως ἐξέχεας· ἐκ τοῦ Πνεύματος μὲν χέας, ὥς φησιν Ἰωήλ· ἄλλως δὲ ἐκχέας εἰς ἀμέτρητον· τὸ δὲ λάμποντες ἀστράπτοντες, κεφαλαίωσίς ἐστι τῆς ἀναμεμιγμένης τῇ πνοῇ καὶ ἐλλαμπούσης πυρώσεως· κἀθ' ἣν ἢ γλῶσσαι πυρσώδεις ἐλέγοντο ἂν αἱ τότε, ἢ πυρὰ ἐκεῖνα γλωσσοειδῆ· τὸ δὲ ἠλλοιωμένοι τὴν ἀποστολικὴν κεφαλαιοῖ μεταβολὴν εἰς θειοτέραν ἢπερ πρότερον· τὸ δὲ ὀθνείαν ἀνάμνησιν ποιεῖται τῆς ἐν ξέναις γλώσσαις λαλιᾶς· τὸ δὲ εὐπρεπεστάτην ἐνάγει τὸν ψάλλοντα μὴ ἐπ' ἀλλοτρίας νοεῖν τὴν ὀθνείαν ταύτην· ἐκείνη γὰρ εὐπρεπής. Τὸ δὲ σοφὴν οὐσίαν τοῦ σοφισθῆναι τοὺς ἀποστόλους τηνικαῦτα μνεία ἐστί· τὸ δὲ ἰσοσθενοῦσαν, προέγνωται ἐν τῷ Ἰσοσθενὲς πνεῦμα. Οὕτω δὲ προδεδήλωται καὶ περὶ τοῦ, Σοφὴ τρίφεγγος οὐσία καὶ ὡς ἡ τρίφεγγος καὶ τριφεγγὴς λέγεται. Ἡ δὲ, ὡς ἐῤῥέθη, ἄτμητος οὐσία παρακείμενον αὐτῇ ἔχουσα τὸ ἰσοσθενοῦσαν, ἐμφαίνει καὶ τὸ ὑπερλίαν κραταιὸν τῆς ἁγίας Τριάδος· ἡ γὰρ ἀτμήτως τεμνομένη τριφεγγὴς οὐσία, πανσθενεστάτη πάντως ἐστὶν, ὡς ἀρχὴ μεγίστη μηδέποτε μεριζομένη ἐφ' ἑαυτὴν καὶ οὕτω ἀκαταπόνητος. Τὸ δὲ εἰδότες δηλοῖ μὲν γνῶσιν τὴν οὐχ ἁπλῶς, ἀλλὰ θειοτάτην καὶ ἀληθεστάτην εἴτουν ἐπιστημονικήν, ὥς που καὶ παρεσημάνθη, καθὰ δῆλον καὶ ἐκ τοῦ· εἰδότες ὅτι ὁ Κύριός ἐστιν.

254. Notandum est autem quod velut epilogo totum hujus festivitatis prodigium melodus in præsenti strophe summatim resumpsit. Verbum enim Ἔπνευσε per βιαίαν πνοὴν dictum est: ἡ θεόῤῥυτος gratia per verbum ἐκχέω; ubi amplitudinem præpositio demonstrat, ut videtur alter melodus interpretari, dicens: Πλουσίως ἐξέχεας (ditissime fudisti) de Spiritu quidem fudisti, sicut ait Joel; alias autem in immensum effudisti. Hoc autem: lucentes fulgurantes, est summa illius spirationi mixtæ fulgentisque incensionis; secundum quam illæ linguæ dici poterant igniformes, et ignes illi linguarum formam exprimentes. Vox ἠλλοιωμένοι resumit apostolicam *transformationem in diviniorem quam antea*. Dictio ὀθνείαν in memoriam revocat in linguis extraneis locutionem; vox autem εὐπρεπεστάτην, inducit psallentem ut in alienam non reputet hanc ὀθνείαν: hoc enim est convenientissima. Σοφὴν autem οὐσίαν, quod tunc apostoli sapientia repleti sunt, est commemoratio: hoc vero ἰσοσθενοῦσαν, jam cognitum est in hoc: ἰσοσθενὲς πνεῦμα. Sic autem ante monstratum est de hoc: Σοφὴ τρίφεγγος οὐσία, et quomodo ἡ τριφεγγὴς et τριφεγγὴς dicitur. Hæc autem, ut dictum est, ἄτμητος οὐσία (indivisa substantia) quæ verbum ἰσοσθενοῦσαν appositum ipsa habet, summam sanctæ Trinitatis potestatem expandit: illa nempe substantia quæ sine divisione τριφεγγὴς distinguitur, omnipotentissima prorsus est, tanquam maximum principium, quod in seipsum numquam dividitur et sic est invincibile. Hoc autem εἰδότες significat quidem cognitionem non simplicem sed divinissimam verissimamque sive certissimam, ut alicubi monstratum est, sicut evidens est etiam ex hoc: εἰδότες quoniam Dominus est.

σνε'. Αἰσχύνει δὲ ἡμᾶς ψάλλοντας, εἴπερ ὁμολογοῦντες εἰδέναι τὴν ἁγιωτάτην Τριαδικὴν οὐσίαν, ἱποίαν ἐν τῷ παρόντι ὅλῳ κανόνι ἐμέλῳαμεν, εἶτα λυποῦμεν τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλαφρονοῦντες, καὶ σοφὸν ἐπιστάμενοι τὸν Θεὸν καὶ σοφίζοντα ἡμᾶς μεταδοτικῶς διὰ τὴν αὐτοῦ ἀγαθότητα, καθιστῶμεν ἑαυτοὺς ἀσόφους καὶ ἀσυνέτους καὶ ἄφρονας, ὡς ἀνεπιγνώμονες τοῦ καλοῦ· ἢ μᾶλλον ἐπιγνώμονες μὲν, ἀμεληταὶ δὲ, οἷς οὐδὲ μία χάρις, οὐδὲ εἰ δοξάζομεν τὸν Θεὸν, οὕτω φαῦλοι ὄντες, καὶ χείλεσι μὲν τιμῶντες καὶ ἐγγίζοντες, τῇ δὲ καρδίᾳ πόῤῥω ἀπέχοντες ἀπ' αὐτοῦ· καὶ δι' αὐτὸ τῆς μὲν καθὰ καὶ προεγράφη τριφεγγοῦς ἢ ἄλλως τριφέγγου οὐσίας ἀφοριζόμενοι, τῷ δὲ ἀπευκταίῳ αἰωνίῳ σκότῳ παραπεμπόμενοι, ὧν εἷς καὶ ἐγὼ αὐτὸς, ὁ διὰ τοσούτου μὲν φωτὸς ἄρτι ἐλθὼν, σκοταῖος δὲ ὢν ὅλος καὶ ταῖς ἐκεῖθεν προσήκων κολάσεσιν. Ἀλλὰ μὴ ἐμὲ, Κύριε, μὴ ἐμὲ, ἀλλὰ τὸν μὴ πεποιθότα ἐπὶ σὲ, καὶ μόνον, ἄφες ἐκπεσεῖν ἀπὸ σοῦ.

255. Pudet autem nos psallentes, siquidem noscere confitentes sanctissimam Trinitatem, qualem in toto præsenti carmine celebravimus, deinde constristamur Spiritum sanctum aliena cogitantes; sapientemque esse Deum communicantemque nobis bonitate sua sapientiam noscentes, nos ipsos reddimus insipientes, et amentes, et imprudentes, tanquam bonum ignoremus: vel potius, illius quidem sumus cognitores, sed non memores, eo quod non est ulla gratia, licet glorificemus Deum, ita facti viles, labiis quidem honorantes et propinquantes, sed ab illo cor procul habentes; et ideo ab hac, sicut dictum est, τριφεγγεῖ aut alias τριφέγγῳ substantia segregati, horribili vero tenebrarum sæculo relegati; quorum unus ego sum, qui per tantam quidem lucem nunc veni, totus autem tenebrosus sum, et exinde punitionibus obnoxius. Attamen non me, Domine, non me, sed in te non confidentem solum a te sinas excidere.

Ἤνυσα, ὦ φίλος, τὸ ἔργον ὡς ἐπέταξας· καὶ γένοιτο ἀρέσκον αὐτὸ φανῆναι, ἵνα μισθὸν ἄρκιον λήψομαι, τὴν σὴν ἁγίαν εὐχήν· ἣν καὶ εἴη ἐκπληρῶν ὁ Θεὸς, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

Finivi, dilecte, opus, ut jussisti: utinam hoc placens appareat, ut mercedem convenientem accipiam, tuas sanctas preces; quas adimpleat Deus, qui benedictus est in sæcula. Amen.

DESINENTE SÆCULO XII.

EUTHYMIUS
NEOPATRARUM METROPOLITA.

NOTITIA.

(Tafel De Thessalonica ejusque agro, p. 592.)

Euthymii Eustathiique amicitiam, quam permultarum epistolarum commercio eos fovisse ex Monodia infra edita discimus, præter nostram orationem maxime testantur duæ illi ab Eustathio datæ epistolæ. Reliqua hujus amicitiæ monumenta intercidisse videntur. Fuit autem Euthymius, ut Eustathius, Cpoli in litteris eruditus, deinde ad thronum Neopatrarum metropolitanum evectus, post medium, puto, sæculum duodecimum. Eustathio natu aliquanto majorem fuisse conjicio ex his quæ de eo affert Michael Lequienius in *Oriente Christiano*, vol. II, pag. 125, 126, ubi Novarum Patrarum metropolin exponit, simulque de nostro Euthymio scriptorumque ejus vestigiis agit. Quando diem obierit, nondum inveni. Putem tamen, hoc factum esse ultimis sæculi XII annis, brevi post Eustathium suum, cui honora oratione parentasse videmus.

Sedes ejus Thessalica, *Novæ Patræ*, quos conditores habuerit, non constat. Turcice nunc dicitur *Patradschik*, coll. Melet. geogr. ed. Gaz. vol. II, p. 438. Judice Leakio (*Travels in North. Gr.* Vol. II, pag. 19-25), Neo-Patræ respondent Ænianum metropoli, nomine *Hypata*, ad radices Œtæ montis, prope ad fluvium Spercheum (Helladam) superiorem. Apud scriptores medii ævi Græcos occurrit quoque simplici *Patrarum* nomine : fuit autem vel tum magnum ejus momentum. De urbe Hypata præter Leakium adi quoque Mannertum *Geogr.* vol. VII, pag. 629 ; quanquam doctus uterque memorabilem Heliodori locum omisit *Æthiop.* II, 34 (ed. Bipont.) : Οἱ μὲν Αἰνειᾶνες . . . Θετταλικῆς ἐστι μοίρας τὸ εὐγενέστατον, καὶ ἀκριβῶς Ἑλληνικὸν, ἀφ' Ἕλληνος τοῦ Δευκαλίωνος, τὸ μὲν ἄλλο τῷ Μαλιακῷ κόλπῳ παρατεινόμενον, μητρόπολιν δὲ σεμνυνόμενον Ὑπάταν, ὡς μὲν αὐτοὶ βούλονται, ἀπὸ τοῦ τῶν ἄλλων ὑπατεύειν καὶ ἄρχειν ὠνομασμένην· ὡς δὲ ἑτέροις δοκεῖ, διότιπερ ὑπὸ τῇ Οἴτῃ τῷ ὄρει κατῴκισται. Mihi Ὑπάτα simpliciter *montem* s. *collem* significare videtur, ut Κολωνὸς et alia urbium pagorumque nomina. Habet urbs situm satis editum, inter Œtam et Spercheum.

ΜΟΝΩΔΙΑ ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ
ΚΥΡΙΟΥ ΕΥΘΥΜΙΟΥ

ΑΝΑΓΝΩΣΘΕΙΣΑ ΕΠΙ ΤΩ ΤΑΦΩ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΥΡΙΟΥ ΕΥΣΤΑΘΙΟΥ ΜΕΤΑ ΤΙΝΑΣ ΗΜΕΡΑΣ ΤΗΣ ΑΥΤΟΥ ΤΕΛΕΥΤΗΣ.

MONODIA SAPIENTISSIMI
DOMINI EUTHYMII

PRONUNTIATA IN TUMULO SANCTISSIMI THESSALONICÆ DOMINI EUSTATHII POST NONNULLOS DIES AB EJUS MORTE.

1. Me forsan mirabitur quis modo loquentem quem oporteret, jacente amico, labia etiam præcludere, et totum exhalare spiritum. Sed quid pa-

α'. Ἐμὲ δὲ καὶ θαυμάσεταί τις ἄρτι φθεγγόμενον, ὃν ἔδει τοῦ συμπνόου κειμένου καὶ τὰ χείλη συγκαταμύσαι, καὶ πνοὴν ὅλην συγκατερύξασθαι.

Ἀλλὰ τί πάθω ; Ἐπόθουν ἰδεῖν τὸν ἐμὲ ποθοῦντα, καὶ ταῖς καθημεριναῖς ἐλπίσιν ἐβουκολούμεθα, ὁ μὲν τὸν ἀδελφὸν ὑποδέξασθαι καὶ φιλενδεικτῆσαι περὶ τὸν ξένιον, ἐγὼ δὲ τῷ φιλουμένῳ περιχυθῆναι καὶ ἀφοσιώσασθαί οἱ τὸν φίλιον. Ἀλλ' οἴμοι ! φθάνει τὸ τοῦ θανάτου ταχυπετὲς καὶ ὀξύδρομον. Καὶ κεῖται μὲν ὁ πεποθημένος ἄφαντος, ἀναυδος · ἐγὼ δὲ τάφον περιίσταμαι τοῦτον, ὃν οὐκ οἶδ' ὅπως καὶ προσιδεῖν ἐκαρτέρησα. Οὐδὲ γὰρ ἐπὶ τάφον ἠρχόμην, οὐδ' ἐπὶ πένθους ὑπόθεσιν, ἀλλ' ἐπὶ λειμῶνα Χαρίτων, ἐπὶ τερπνὴν ἀγαλλίασιν. Καὶ γοῦν μοι τὰ μὲν τῆς ζώσης προσλαλιᾶς ὁ χάρτης οὗτος ἀναπληροῖ, ὃς καὶ ἀπὸ τῆς τοῦ πάθους αἰθάλης μᾶλλον ἢ τοῦ συνήθους βάμματος μεμελάνωται. Καὶ φθέγγομαι μὲν, ἀλλ' οὐχ οἷα καὶ τὸν ἀδελφὸν ὑπακοῦσαι καὶ ἀντιδοῦναι φθέγμα προσήγορον, ἀλλ' οἷα τάφον μόνον περιλαλῆσαι, καὶ τοῖς παρεστῶσιν ἀνεγεῖραι κλαυθμόν. Εἰ δὲ καὶ τὴν ἀδελφικὴν ἑστίαν ἔδοξά πως καταλαβεῖν, ἀλλ' οὔτε μοι προσυπαντῶντα βλέψω τὸν ἀδελφὸν, οὔτε μὴν τὸν θυρωρὸν ὑπανοίγοντα · ἕστηκα δὲ μακρὸν κεκραγὼς, καὶ κρούων τὴν θύραν, καὶ οὐχ ὑπακούων οὐδείς.

β'. Ἀλλ', ὦ ἀρχιερέων θειότατε καὶ σοφώτατε, μή τί σου καὶ νῦν βιβλίον ἐν τῇ χειρὶ, καὶ τὸν νοῦν ἐκεῖσε τρέψας πρὸς τὸν φθόγγον ἀνηκουστεῖς, μηδὲ καὶ γράφων, ὅσα πρὸς καταρτισμὸν τοῦ ποιμνίου, ἢ βίους σκοτεινοὺς ἐρευνιφῶν καὶ ἀναπτύσσων, ὁπόσα κρύφια, ἢ βασιλεῦσι πλέκων ἐγκώμια, ἢ φίλοις ἐγχαράττων ἐπιστολὰς (ταῦτα δή σοι τὰ προσευχῆς καὶ μερίμνης ἀεὶ), ἀπέκλεισάς σου τὴν θύραν, ὡς μή σοι ἐπιταραχθῇ τὸ ἐμπόνημα ; Ἀλλ' ἐπὶ τοὺς ἀδικεῖς μὲν ἐμὲ, μάτην ἐπὶ σὲ τῷ δρόμῳ χρησάμενον, οὗ καὶ τὴν θέαν ἐκαραδόκεις, ᾧ καὶ τράπεζαν καὶ κλίνην ἠὑτρέπιζες, καὶ οὐχὶ τοὺς ὑποδεξομένους ἀνεπετάννυες, ἀλλὰ καὶ ψυχῆς αὐτῆς ὑπήνοιγες τὸ θυρίδιον · ἀδικεῖς δὲ καὶ τὴν σὴν ταύτην πόλιν, μὴ θρήνων ἐπαΐων τῶν πανοδύρτων οὓς ἐπιλείβει σου τῇ σορῷ παννύχιός τε καὶ πανημέριος · ὡς ἔγωγε ταύτην καὶ ἐλεῶ, τοσοῦτον κόσμον ἀποθεμένην, καὶ τηλίκον ὑποστᾶσαν δυστύχημα. Οὕτω καὶ ναῦν πολλάκις ἠλέησα τὸν κυβερνήτην ἀποβαλοῦσαν, οὕτω καὶ στρατιὰν τὸν στρατηγὸν ἀπολέσασαν · ἐπὶ δὲ σώματι καλῷ καὶ κοσμίῳ τὴν κεφαλὴν ἀποτμηθέντι καὶ ἐπεδάκρυσα.

γ'. Τῷ ὄντι δὲ νῦν, εἴπερ ἄλλοτέ ποτε, γέγονεν ἡ Θεσσαλονικέων πόλις αἰχμάλωτος, καὶ πολέμου δίχα καὶ Βαρβάρων ἐπιδρομῆς ἐσκυλήθη τῶν ἑαυτῆς κειμηλίων, ὅ τιπερ κράτιστον. Δοκεῖ μοι καὶ ὁ ἐν μάρτυσι μυροβλύτης, τὴν τοῦ ῥείθρου πλημμύραν ἀνακόψας ἐπὶ μικρὸν, τῆς οἰκείας πόλεως ἐπισημῆναι τὴν συμφοράν. Ὁ δὲ τὴν πόλιν περικλύζων δεύτερος ποταμὸς, οὗ τὸ ῥεῦμα τῶν λόγων καὶ τοῦ Νείλου καταράκτας ἀπέκρυψεν, ἐπαύσατο ῥέων, καὶ ὁ πολὺς ἐκεῖνος ῥοῖζος ἐσίγησεν. Καὶ νῦν οἱ χθὲς χανδὸν ἐκροφοῦντες, καὶ τῷ μελιχρῷ τοῦ νάματος γλυκαζόμενοι, αὐαλέοι σήμερον καὶ περικαεῖς τῷ πυρὶ τῆς δίψης καμινεύονται. Διψήσουσι δ' οἶμαι καὶ πολύ τι μέρος τῆς οἰκουμένης, ὅσοι τῶν τοῦ μάκαρος νεμάτων ἐγεύσαντο · οἱ μὲν ἐκ τοῦ σχεδὸν τῆς

A tior ? Desiderabam videre me desiderantem, et quotidiana spe deludebamur : ille quidem sperabat se fratrem susceplurum eique splendidum offerre hospitium ; ego autem me sodalem amatum suaviaturum, et erga illum amicitiæ functurum officiis. Sed heu ! interiit morte repentina velocique ereptus. Nunc quidem jacet desideratus, sine forma, sine voce ; ego vero isti tumulo adsto nec satis scio quo pacto eum aspicere sustinui. Ad tumulum enim nequaquam veni, nec ad mœroris materiam, sed ad hortum Gratiarum, ad hilarem festivitatem. Mihi ergo hæc charta vivam suppleat quæ magis doloris fuligine quam solito fuscata fuit atramento. Loquar quidem, sed non qualiter juvat cum fratre conversari, ut ab eo responsum accipiatur. Vox B autem mea solum personabit sepulchrum et circumstantibus excitabit gemitus, Si rursum fraternas ædes adire placuerit, mihi occurrentem non videbo fratrem nec mihi fores pandentem ; sed steti diu clamans et portam pulsans, nec audivit ullus.

2. Sed, o pontificum divinissime et sapientissime, numquid quia manu tenens librum inde mentem nutriebas, ad sonum non attendisti ; numquid quia scribebas ea quæ in grege pacem restituant, vel quia vitas obscuras scrutatus explicabas velut secretissima, vel imperatoribus texebas encomia aut amicis exarabas epistolas (his enim tuæ curæ, tua sollicitudo continua) tuam obserasti januam ne tui turbentur labores ? Et inde nec me C dignaris suscipere qui ad te velociter cucurri, cujus aspectum ardenter optabas, cui mensam et lectulum paraveras, cui non tantum detegebas recipiendos, sed ipsius etiam animæ portam aperiebas ; nec accipere dignaris ipsam tuam civitatem, flebilibus ejus non auditis gemitibus quos tota nocte totaque die edit in tuo sepulcro. Quantum ego ipse eam dolui quæ tanto spoliata ornatu tantam sustulit ærumnam. Sicut navis sæpe misertus sum gubernatore destitutæ, sicut exercitus duce orbati, ita in corpore pulchro et specioso caput ademptum deflevi.

5. Utique præsenti tempore, si unquam, captiva facta est Thessalonicensium civitas, et præter bellum, incursum Barbarorum suarum pretiosissima gemmarum fuit exuta. Videtur mihi ille inter martyres Myrostillans paululum suspenso fluxu prorsus odorifero, urbis significasse exitium. Posterior urbem irrigans fluvius, cujus sermonum fluento Nili ipsius cedunt cataractæ ; fluere desiit, et magnus ille fragor siluit. Et nunc qui heri pleno ore bibentes amne mellifluo delectabantur, sicci hodie et torridi sitis igne uruntur. Sitient etiam, me judice, multi telluris incolæ quotquot Beati nostri fluenta gustaverunt ; tum qui lingua aurea propius gaudebant, tum qui procul echo percipiebant. Non enim tonitru indignior sermonum illius

echo ita ut a finibus terræ ad fines percrebraret, et contradicere audentes timidos efficeret, necnon trepidos auribus manus inserentes et quasi stupore torpentes. Nec sonus fulgure obscurior ita ut ubique simul appareret et tot fulminaret quot circa audita non saperent; adeo ut quod de apostolis prolatum est: in omnem terram exivisse sonum eorum et in fines orbis terræ verba eorum, ego auderem egregio isti applicare lumini et vero Christi discipulo. Terram quidem non erat percurrens nec perlegens civitates, nec ab alia in alteram transiens prout mandaverat Dominus, nec fama aligera eum ubique circumferebat; habuit autem Thessalonica scribentem, urbes vero cæteræ, in quibus nonnulli litterarum alumni et humanitate politi, sermones ad se convocabant, qui erant vere pennati velociter ad vocantes transmigrantes. Igitur hæc quidem civitas doctorum Beati nostri scriptorum copia referta est, referta etiam civitatum regina quæ ejus sermones collegit. Si vero ad alias transieris, nullum litterarum participem invenies Eustathii Musæ ignarum. Apud me adhuc multi epistolarum fasces multa repleti sapientia et omnem malitiam ignominia afficientes, quibus ego cor sæpius scio exstinxisse æstuans et immodicam tristitiam ejecisse. Et omnino magistri mihi apparebat litterula. Nam non tantum in testimonium amoris exarabatur, sed etiam malis infamiam inurebat et bonos mirabatur. Alios quidem vehementius insectabatur, qui urbes lacerant et ecclesias scindunt; mundum vero deflebat in maligno positum quatenus iniquitatibus nostris perditum et inquinatum.

χρυσῆς ἀπολελαυκότες γλώττης, οἱ δὲ καὶ πόρρωθεν τοὺς ἤχους δεχόμενοι. Οὐδὲ γὰρ ἀτιμοτέρα βροντῆς ἡ τῶν ἐκείνου λόγων ἠχὼ, ὡς μὴ καὶ ἐκ περάτων διαθέειν εἰς πέρατα, καὶ τοὺς ἀντιλέγειν τολμῶντας δειλοὺς ἐργάζεσθαι, καὶ περιδεεῖς τοῖς ὠσὶ τὰς χεῖρας ἐπιτιθέντας, καὶ τὸ ἐμβρόντητον ὑποπτεύοντας. Οὐδὲ ὁ φθόγγος ἀστραπῆς ἀμαυρότερος, ὡς μὴ προφαίνειν ἁπανταχοῦ, ἐνίους δὲ καὶ πιμπρᾷν, ὅσοι περὶ τὴν ἀκοὴν οὐκ εὐγνώμονες· ὥστε καὶ, ὅπερ ἦν τοῖς ἀποστόλοις ἐξαίρετον, *εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα*, οὐκ ἂν ἐγὼ φοβηθησοίμην καὶ τῷ καλῷ συναρμόσαι τούτῳ φωστῆρι καὶ ἀληθῶς τοῦ Χριστοῦ μαθητῇ. Γῆν μὲν γὰρ οὐκ ἦν περιτρέχων, οὐδὲ τὰς πόλεις ἀναμετρῶν, καὶ ἀπὸ ταύτης πρὸς ἑτέραν μεταχωρῶν κατὰ τὸ τοῦ Κυρίου παράγγελμα· οὔτε μὴν φήμη πτερυσσομένη πανταχοῦ τοῦτον παρέπεμπε. Καὶ εἶχε μὲν Θεσσαλονικέων τὸν λογογραφοῦντα, αἱ δὲ λοιπαὶ τῶν πόλεων, ἐν αἷς καὶ λόγων τρόφιμοί τινες καὶ φιλόκαλοι, μετεκαλοῦντο τοὺς λόγους· καὶ ἦσαν ὄντως πτερόεντες, ταχέως πρὸς τοὺς καλοῦντας μεταφερόμενοι. Οὐκοῦν γέμει μὲν ἡ πόλις αὕτη τῶν σοφῶν τοῦ μάκαρος συγγραμμάτων, γέμει δὲ καὶ ἡ τῶν πόλεων βασιλὶς, ὅθεν τοὺς λόγους ἐδρέψατο. Εἰ δὲ καὶ πρὸς ἑτέρας βαδίσειας, οὐκ ἂν εὑρήσοις τοῦ λόγου μέτοχον τῆς Εὐσταθίου Μούσης ἀμύητον. Παρ' ἐμοὶ δὲ ἄρα καὶ φάκελλοι πολλοὶ τῶν ἐπιστολῶν, σοφίαν τε πολλὴν ἐμπεφορτισμένοι καὶ κακίαν ἅπασαν στηλιτεύοντες· ὑφ' ὧν ἐγὼ καὶ θυμὸν πολλάκις οἶδα σβέσας φλεγμαίνοντα, καὶ λύπης ἀμετρίαν ἀποσεισάμενος. Καὶ ὅλως διδασκάλου ἐφαίνετό μοι τὸ ἐπιστόλιον. Οὐδὲ γὰρ εἰς ἀγάπης δεῖγμα μόνον ἐχαράττετο, ἀλλὰ καὶ κακοὺς ἐλοιδόρει, καὶ ἀγαθοὺς ἀπεθαύμασε. Καὶ ἑτέρων μὲν ἐπετίμα ταῖς ἀπληστίαις, οἳ τὰς πόλεις καταλωβῶνται, καὶ τὰς ἐκκλησίας Θεοῦ λυμαίνονται· ἀπεκλαίετο δὲ καὶ κόσμον οὐκ ἐν καλῷ κείμενον, ἅτε δὴ ταῖς ἡμετέραις ἀνομίαις συναχρειούμενον καὶ συναμαυρούμενον.

4. Verum tantum eloquentiæ et sapientiæ dono speciosus iste pontifex ornabatur ut ejus lingua omnes tum musarum tum rhetoricæ amici caperentur, nec ceram auribus insererent ad instar navigantium juxta Sirenas, quo minus cantu detinerentur. Volebant autem statim post auditum obire, et in ipsa interire jucunditate. Morum lepor et urbanitas probaque agendi ratio cui omnium velut isti, necnon amabilitas gravitasque sermonum? Aliis quidem aliud laudatorum donum, et qui duobus gaudet hic nobis optimus valdeque mirandus. Eustathio autem prorsus omnia optima simul convenientia floreum perfecerunt paradisum omnibus virtutum formis refertum et concinnatum, fructibus maturis luxuriantem, ferentem etiam lignum scientiæ, muliere serpenteque exceptis. O novus hic paradisus in quo invidia quidem non erat, sed nec querela nec mendacium neque nuditas! Fructus etiam scientiæ nequaquam prohibebatur, verum multi de eo epulati sunt et saturati, jubente hortulano, nec a ligno vitæ fuerunt interdicti. Cæteras autem horti gratias quomodo explanarem dolore conclusus? O mens cœlestis! o cor fortissi-

δ'. Ἀλλὰ λόγου μὲν καὶ σοφίας οὕτως εἶχεν ὁ καλὸς οὗτος ἀρχιερεὺς, ὡς τῆς αὐτοῦ γλώττης πάντας ἐξηρτῆσθαι φιλομούσους ἅμα καὶ φιλορήτορας, καὶ μηδὲ κηροῦ δεῖσθαι ταῖς ἀκοαῖς κατὰ τοὺς τὰ Σειρήνια παραπλέοντας, ὡς μὴ ταῖς μελῳδίαις ἐναπομείνειεν. Ἤθελον δὲ τῇ ἀκροάσει καὶ ἐπαποθανεῖν, καὶ αὐτῇ συναποθανεῖν τῇ γλυκύτητι. Ἦθους δὲ κοσμιότης καὶ χρηστότης τρόπου καὶ προαίρεσις ἐθελόκαλος τίνι τῶν ἁπάντων ὡς τούτῳ καὶ φίλον χρῆμα καὶ σεμνολόγημα; Ἄλλῳ μὲν γὰρ ἄλλο τι τῶν ἐπαινουμένων κατόρθωμα· ὁ δὲ καὶ δυσὶν ἀρεταῖνων ἄριστος οὗτος παρ' ἡμῖν καὶ θαυμάσιος. Εὐσταθίῳ δὲ τῷ πάνυ πάνθ' ὁμοῦ τὰ κάλλιστα συνελθόντα εὐθαλῆ παράδεισον ἀπετέλεσαν, πάσαις μὲν ἀρετῶν ἰδέαις περιβριθῆ καὶ κατάκομον, καρποῖς ὡραίοις ἐνευθηνούμενον, φέροντα δὲ ἀλλὰ καὶ τὸ τῆς γνώσεως ξύλον, γυναικὸς δὲ δίχα καὶ ὄφεως. Ὦ καινὸς οὗτος παράδεισος, ἐν ᾧ φθόνος μὲν ἀπῆν, ψιθυρισμὸς δὲ οὐκ ἦν, οὐδὲ ἀπάτη καὶ γύμνωσις! Οὐ μὴν ἀλλ' οὐδὲ ὁ τῆς γνώσεως καρπὸς ἀπηγόρευτο, ἀλλ' ἐτρύγησαν μὲν οἱ πολλοὶ, καὶ εἰς κόρον ἐβρωματίσαντο, τοῦ φυτηκόμου κελεύοντος, καὶ οὐδὲ τοῦ ξύλου τῆς ζωῆς ἀπεκλείσθησαν. Τὴν δὲ λοιπὴν τοῦ

λειμῶνος χάριν πῶς ἂν ἀφηγησαίμην, ὑπὸ τοῦ πάθους ἀνακοπτόμενος; Ὦ νοῦς αἰθέριος! ὦ φρένες στερέμνιοι! ὦ φρονήσεως μέγεθος! ὦ χειλέων γλυκύτητες μέχρι καὶ μόνου προσρήματος! ὦ χεῖρες καλαὶ μὲν κατὰ τὰς πρὸς Θεὸν ἐκτάσεις, οἷς τῷ λαῷ τὸν Κύριον ἐξημέριζον, καλαὶ δὲ καὶ τὸν κρουνὸν τοῦ ἐλέους, ὃν πενομένοις ἐπήγαζον! Ὦ καλὰ πάντα καὶ πρὸς ἑαυτὰ καὶ πρὸς ἄλληλα, καὶ ὡς λύρα τις ἢ κιθάρα καλῶς πρὸς ἁρμονίαν μίαν ξυναρμοζόμενα! Ὦ γλυκεῖα προσλαλιὰ καὶ βλέμμα προσηνὲς καὶ μειλίχιον! Εἰ δ' ἔστιν οὗ καὶ πρὸς ἐνίους ὑπεδριμύσσετο, ἀλλὰ ἐνταῦθα τὸ ἀρχικὸν ὑπεραπολογεῖται τοῦδε τοῦ θαυμασίου, καὶ τὸ τέως ἔγκλημα τοῖς κατορθώμασι συνεισέρχεται. Ῥάβδῳ μὲν γὰρ οὐκ ἦν χρήσασθαι τὸν εἰς βακτηρίαν ταύτην ἐγχειρισθέντα καὶ τῶν ἐπιβουλευόντων ἐλάτειραν, λόγῳ δὲ καὶ βλέμματι πλῆξαι τὸν ἀτακτοῦντα, καὶ ἀπόνως ἀρτιῶσαι τὸν ὑποσχάζοντα. Τοῦτο δὲ ἀλλὰ καὶ ὁ Χριστὸς ἐποίει περὶ τοὺς ἀπαιδευτοῦντας ἀμφὶ τὸ ἱερόν. Οὐ μὴ πλέον ἦν ἐκεῖ τὸ φραγγέλιον, ὡς τότε, παντελῶς ἀνάλγητον καὶ ἀνεπιτίμητον, τοῖς δὲ ἀρχομένοις πάντως ἐπιβλαβὲς, καὶ οὐδὲ τοῖς ἄρχουσιν αἰνέσιμον. Ἦ γὰρ ἂν καὶ ὁ παρὰ τὸν νόμον παλαιὸς ἱερεὺς ἔμεινεν ἀκατάκριτος, παρανομοῦσι τοῖς υἱέσι μηδὲ βραχύ ποτε δριμυξάμενος; Ὦ ταπεινώσεως ὕψος κατὰ τοσούτου πλήθους τῶν ἀρετῶν, οἷς ὀπαδεῖ τὸ μεγάλαυχον! Οὔτε γὰρ τὸ περὶ τῆς σοφίας, οὔτε τὸ τῆς συνέσεως ὑπερβάλλον, τὸ τοῦ βίου φιλόσοφον, οὔτ' ἄλλο τι τῶν κατορθωμάτων οὐδὲν εἰς τὸ τύφου βάραθρον αὐτὸν ἀπεκρήμνισεν. Οὐ μὴν οὐδὲ ἐπὶ τῆς ἀξίας ὕψος, οὐδ' ὁ περίδοξος θρόνος, καὶ ὅσα τοῖς τὰ μεγάλα κληρουμένοις παρέπεται, κατοφρυῶσαι τοῦτον δεδυνάμωτο. Ἀλλ' ἦν ὑψηλὸς μὲν τοῖς ἔργοις, ταπεινὸς δὲ τῷ φρονήματι, καὶ μέγας μὲν ἐντὸς καὶ οἷον ἄν τις ἐκπλαγείη κατανοήσας, καὶ τοῖς τοῦ Λιβάνου δένδροις συγκαταλέξειεν· ἔξωθεν δὲ μικρός τε καὶ περιπέζιος, καὶ οἷος ἐξαπατῆσαι, καὶ εἰς περιφρόνησιν παρακινῆσαι τοὺς ἐντυγχάνοντας. Δορυφορία τε γὰρ ἀπῆν, καὶ ὀπαδοὶ καὶ κόλακες οὐ παρείποντο. Μόνον τὸ συνήθως προπορευόμενον φῶς καὶ ἡ λαμπὰς ἡ προάγουσα τὸν ἐν ἀρχιερεῦσι μέγαν ἐσέμνυνε, διδάσκαλος τῆς ἔνδον οἰκουρούσης λαμπρότητος, καὶ τοῦ φωτὸς τῶν ἔργων προάγγελος. Εἰ δὲ καὶ πλουτεῖν ἠγάπα, εἰ δὲ καὶ ὡροῦς χρημάτων ἐπεστοιβάσατο, ζητεῖ τὴν ἐξ ὑμῶν μαρτυρίαν, οἷς ἦν ἀεὶ καὶ σύνοικος καὶ συνόμιλος. Τί δέ; λημμάτων ἐπληροῦτο τὰς χεῖρας; Τί δέ; ξενίοις καὶ δώροις ἔχαιρεν, ὡς καὶ τὰ πνευματικὰ τοῖς βουλομένοις ἔστιν ὅτε καταχειρίζεσθαι, καὶ μολύνειν χεῖρας ἀθέσμοις λήμμασι; Καὶ τίς οὕτω ψευδοεπὴς καὶ θρασύστομος, ὡς ἐπιθαῤῥῆσαι τοιούτῳ ῥήματι, καὶ τὸν σπίλον ἐπιτρίψαι τῷ καθαρῷ, καὶ τὸ φῶς ὀνομάσαι σκότος, καὶ τὸν λυχνίτην καλέσαι κάχληκα; Χεῖρες γὰρ ἦσαν ἐκείνου λεῖαι μὲν ἀεὶ καὶ καθαραὶ μετὰ τῆς Ἰακὼβ ἁπλοτητος· μεταπλάσαι δὲ ταύτας εἰς τὸ ἀμφιλαφὲς οὐκ ἠνέσχετο, ὡς ἂν τὸ ἀληθὲς ἐπικρύπτοιτο. Φύσει γὰρ καὶ τὸ ἐπίκλοπον ἐμίσει, καὶ τὸ δόλιον ἀπεστρέφετο. Καὶ εἴ ποτέ τις αὐτῷ τοῖς τοιούτοις χαίρων ἐπεφώρατο, εἰς ἐχθρὸν ἐγένετό οἱ, καὶ μῖσος τοῦτον ἐμί-

mum! o intellectus magnitudo! o labiorum amœnitas etiam in solo verbo! o manus pulchræ ad Deum extentæ quæ Deum populo placabant; pulchræ etiam ex fonte misericordiæ qui inde scaturiebat indigentibus! O bona omnia tum in seipsis tum erga alia, et quasi lyra vel cithara in unam harmoniam coordinata! O dulcis loquela! o jucunde et suavis oculo! Qui si a nonnullis punctus fuerit, in hoc præsertim capite admiratione omnino dignus est, et accusatio in ejus gloriam vertitur. Nam uti virga non necesse erat ut adversarios everteret, sed verbo et aspectu protervum sternebat, et sine labore frangebat supplantatorem. Hoc et Christus faciebat circa delinquentes in templo. Nullam tunc proferebat vocem omnino acerbam vel contumeliosam, sive subjectis noxium, sive principibus irreverens. Sine judicio condemnatus exiit in lege senior ille sacerdotum (Helias), qui nec leviter quidem filios delinquentes vituperavit. O humilitatis altitudo in tanta virtutum copia quas subsequi solet arrogantia! Nec enim sapientia, nec excellens intellectus, nec vita philosopho congrua, nec quicquam aliud commodorum illum in superbiæ barathrum præcipitem egit. Neque dignitatis magnitudo, neque sedis nonor nec quæcunque alia præclara quibus sortiti stipantur eum inflare potuerunt. Sed erat excelsus operibus, conscientia autem humilis, interius quidem magnus ita ut quilibet intelligens obstupeat, et eum Libani lignis conferat; exterius vero parvus et abjectus ita ut occurrentes deluderet et ad contemplum incitaret. Quippe satellites aberant, necnon comites et adulatores nunquam sequebantur. Solitum autem solum præiens lumen et lampas antecedens illum inter pontifices magnum illustrabat, magistra internæ claritatis, et lucis operum prænuntia. Quod si ditescere amabat, si opum acervos congregabat, vestrum poscit testimonium inter quos semper vixit, semper conversatus est. Quid ergo? muneribus manus implevit? Quid ergo? Oblatis donisque delectabatur ita ut spiritualia volentibus pretio tradiderit et illicitis lucris manus polluerit? Sane quis adeo mendax et insolens ut taliter loqui audeat, et sordem munditiæ immittat, et lucem appellet tenebras, et facem vocet caliginem? Manus enim illius erant læves et puræ cum cupiditate Jacob. Eas in ancipiti extendere non patiebatur ut veritas cælaretur. Nam natura fraudem oderat et dolum aversabatur. Et si quis unquam ipsi talibus gaudens ostenderetur, huic in inimicum vertebatur, et perfecto odio oderat eum. Ipse enim in innocentia cordis in medio domus ambulabat, nec a juventute ambagibus et circuitibus fuit delectatus, nec januas divitum magis quam doctorum pulsavit. Sed quasi senem honorans veritatem quam cum Deo conferebat, facientes mendacium oderat et contra proximum secreto maledicentes et murmurantes insectabatur.

σει τέλειον. Αὐτὸς μὲν γὰρ ἐν ἀκακίᾳ καρδίας ἐν μέσῳ τῆς οἰκίας διεπορεύετο, ὅσῳ προόδοις τε καὶ περιόδοις οὐκ ἐνησμένιζεν ἐκ νεότητος, οὐδὲ θύρας πλουσίων μᾶλλον ἢ τῶν λογίων ἐξέτριβε. Πρεσβεύων δὲ ἀλλὰ καὶ τὴν ἀλήθειαν, καὶ ἄγων ἴσα Θεῷ, τοὺς ποιοῦντας παραβάσεις ἐμίσει, καὶ τοὺς λάθρα τοῦ πλησίον καταλαλοῦντας καὶ ψιθυρίζοντας ἐξεδίωκεν.

5. O quid tui prius deflebo, frater divinissime? A Quid tui lacrymabo posterius? Gravitatem et philosophiam, vel societatem atque charitatem? linguæ prudentiam, aut suavitatem et gratiam? pontificialem honorem, aut politicam conversationem? Omnia enim simul collecta quæ hominem adornant inter se optime coordinata temperasti et in compositionem perfecisti quam arte efformant omnis generis flores atque colores. O quantæ gratiæ! o quantus decor, quantæque virtutes! o vir etiam ante finem beatificatus, et post finem propter jacturam quidem defletus, sed propter virtutes celebratus! O juventus gloriosa! o senectus concinenda! Nam juvenem habuit eum litterarum civitas, Constantinopolis, et omnis juventus litteris dedita circa illum; Musarum velut templum erat; alia quædam Academia, Porticusve et Peripateticorum deambulatorium. Alios quidem introducebat in grammaticam, in metra atque poesim, tanta de illis scientia præditus ut nullo modo ab earum excogitatoribus superatus fuisset; alios vero linguam docebat, ad rhetoricam ductos, et alios aliis exercebat tum institutionibus tum doctrinis. Sed eo juventam transgresso, et in pontificiæ dignitatis altitudinem ascendente, quid necesse plura dicere? Unus in pontificibus, unus in sapientibus Thessalonicensis episcopus ab omnibus prædicabatur. Et nunc vita defunctum plorat totus doctorum chorus, et amplius istis sapientes ejus discipuli; plorat etiam ordo pontificum suo ornamento, suo decore C exutus, et amplius istis ego ejus annis æqualis et educationis socius necnon studiorum condiscipulus, qui omne juventutis tempus cum ipso in eadem domo conversatus transegi; et ut omnia in uno colligam, in unam ambo animam confirmati sumus et conglutinati.

ε'. Ὦ τί σου πρῶτον ἀποκλαύσομαι, θειότατε ἀδελφέ; Τί δέ σου δακρύσω δεύτερον; Τὸ ἐμβριθὲς καὶ φιλόσοφον, ἢ τὸ κοινωνικὸν καὶ φιλάλληλον; Τὸ σῶφρον τῆς γλώττης, ἢ τὸ γλυκύ τε καὶ χάριεν; Τὴν ἀρχιερατικὴν εὐκοσμίαν, ἢ τὴν πολιτικὴν ἐπιφάνειαν; Πάντα γὰρ ὁμοῦ συλλαβὼν, ὅσα τε ὄντως κοσμοῦσιν ἄνθρωπον, ἀλλήλοις ταῦτα καλῶς συνήρμοσάς τε καὶ συνεκέρασας, καὶ εἰς οἰκονομίαν ἐξετελέσθης, ἣν τεχνικῶς ἐμορφώσαντο παντοδαπὰ καὶ ἄνθη καὶ χρώματα. Ὦ τηλικούτων χαρίτων! ὦ τοσούτου κόσμου καὶ ἀρετῶν! ὦ ἄνθρωπος καὶ πρὸ τελευτῆς ὄντως μακαριζόμενος, καὶ μετὰ τελευτὴν διὰ μὲν τὴν ζημίαν θρηνούμενος, διὰ δὲ τὰς ἀρετὰς ἐξυμνούμενος! Ὦ νεότης περίδοξος! ὦ γῆρας ἀοίδιμον! Ἀκμάζοντα μὲν γὰρ εἶχέ τε ἡ τῶν λόγων πόλις, ἡ Κωνσταντίνου, καὶ ἡ φιλολόγος νεολαία πᾶσα περὶ αὐτὸν, καὶ ἦν μουσεῖον ἄντικρυς τὸ δωμάτιον, ἄλλη τις Ἀκαδημία καὶ Στοὰ καὶ Περίπατος. Καὶ οἷς μὲν ἐχορήγει γραμματικὴν καὶ μέτρα καὶ ποίησιν, τοσαύτην ἔχων τούτων τὴν ἐπιστήμην, ὡς μηδὲν τῶν ἀρξαμένων σφῶν εὑρέσεως ἀπολείπεσθαι· οἷς δὲ τὴν γλῶτταν ἠκόνει, ῥητορικῶς ἐξηγούμενος, καὶ ἄλλους ἄλλοις ἐνήσκει καὶ παιδεύμασι καὶ μαθήμασιν. Ὅθεν καὶ κλέος ἔσχεν εὐρὺ, τοῖς ἁπάντων κείμενος στόμασι. Παραμείψας δὲ τὸν νέον, καὶ εἰς τὸ τῆς ἀρχιερωσύνης ὕψος ἀναδραμὼν, τί δεῖ πολλὰ λέγειν; Εἷς ἐν ἀρχιερεῦσιν, εἷς ἐν σοφοῖς ὁ Θεσσαλονίκης παρὰ πᾶσιν ἀνεκηρύττετο. Καὶ νῦν μὲν ἀπολιπόντα τὸν βίον θρηνεῖ μὲν ὁ λογικὸς χορὸς ἅπας, καὶ τούτων πλέον οἱ σοφοὶ μαθηταί· θρηνεῖ δὲ καὶ ὁ τῶν ἀρχιερέων κατάλογος, ὃν εἶχε καύχημα καὶ κόσμον ἀποβαλών, καὶ τούτων πλέον ἐγὼ ὁ συνηλικιώτης καὶ σύντροφος, ὃς καὶ μαθημάτων συμμετέσχον αὐτῷ, καὶ τὸν πάντα τῆς νεότητος χρόνον συνηυλίσθην τε καὶ συνέζησα, καὶ ἵνα συνελὼν εἴπω, εἰς μίαν ἄμφω ψυχὴν συνεκράθημέν τε καὶ συνεδέθημεν.

6. Hæc manibus tuis libamus, o divum et mihi amicissimum caput. Hæc sunt quæ tibi lingua sodalis dilecta offert, quam olim loquentem amabas, nunc vero dolore ardentis ejus non misereris, nec ex sinu patriarchæ in quo portaris roscidam guttulam nobis emittis tristitiæ igne æstuantibus.

Accipe ergo hæc a nobis, pauca quidem ac spiritu anhelante composita. Quomodo enim equo quis insidens stylum exerceat? qui capite dolens et annis gravis amicum morte ereptum digne fleam? Nos quoque aliquando terræ creditos amici circumstabunt multi, sed nulla vox qualis tua fuit, nos celebrabit: et hoc quidem priori calamitati secundum additur infortunium.

ς'. Αὗταί σοι κειμένῳ παρ' ἡμῶν αἱ χοαὶ, θεία καὶ φιλτάτη μοι κεφαλή. Ταῦτά σοι τὰ τῆς φιλουμένης γλώττης καὶ ἡλικος ἐναγίσματα, ἣν πάλαι μὲν λαλοῦσαν ἠγάπας, νῦν δὲ τῷ πάθει φλεγομένην οὐκ ἐλεεῖς· οὐδὲ ἀπὸ τοῦ φέροντός σε κόλπου τοῦ πατριαρχικοῦ καὶ δροσόεσσαν ῥανίδα ἐπιπέμπεις ἡμῖν φλογιζομένοις τῷ τῆς λύπης πυρί.

Σοὶ μὲν οὖν ταῦτα παρ' ἡμῖν, ὀλίγα μὲν καὶ τῷ τοῦ δρόμου ἄσθματι μικροῦ συμπνιγόμενα· πῶς γὰρ καὶ ἐφ' ἵππου βαίνων τις καὶ λογογραφήσειεν; πῶς δὲ καὶ δρόμῳ κεφαλὴν τεινόμενος, καὶ γῆρᾳ καμπτόμενος, πρὸς ἀξίαν θρηνήσει τὸν φίλον κείμενον; ἡμᾶς δὲ μετὰ σὲ κειμένους φίλοι μὲν ἴσως πολλοὶ περιστήσονται, γλῶσσα δὲ πάντως οὐ περιλαλήσει τὸν τύμβον, οἵαν τὴν σὴν ἐγνωρίσαμεν. Καὶ ἔσται μοι καὶ τοῦτο μετὰ τὴν νῦν συμφορὰν δυστύχημα δεύτερον.

ANNO CONTROVERSO.

ANTONIUS MELISSA

NOTITIA.

(Ex Bibliotheca Græca Fabricii, tom. VIII.)

Post Joannem Damascenum Antonius, qui a studio colligendi *Melissa* sive *Apis* dictus est, locos communes sententiarum e sacris, ecclesiasticis et externis scriptoribus, sub titulis CLXXVI digessit duobus libris. Prodierunt primum Græce cum Theophilo contra Autolycum et Tatiano contra gentes, locisque communibus S. Maximi, de quibus supra dixi, curante *Conrado Gesnero*, qui Latinam quoque versionem ad voluminis calcem subjunxit, Tiguri 1546, fol. Versio Antonii Melissæ partim eidem Gesnero, partim *Joanni Ribitto* Sabaudo debetur. Eamdem habeo excusam separatim, Antwerpiæ 1560, in-12. De aliis editionibus quibus Antonii collectanea Maximo vel etiam Stobæo admista feruntur, in Maximo et Stobæo jam dixi. In præsenti tantum monebo de ætate hujus Antonii rem non esse plane exploratam, neque exinde quod Theophylactum laudat, statim eum cum Clariss. Caveo ad medium sæculum duodecimum rejiciendum esse duxerim. Theophylactus enim qui ab Antonio citatur non est Theophylactus Bulgarorum archiepiscopus, sed Theophylactus Simocatta, sæculi septimi scriptor, qui claruit ultimis Heraclii imp. temporibus. Antonium Melissam, Joannis Damasceni discipulum appellari video a Paulo Colomesio p. 136 Observationum sacrarum, nescio an proprie hoc ita volente intellectum, an tantum eum ita appellante ideo, quod scribendi genus idem post Damascenum imitatus fuit.

EDITORIS PATROLOGIÆ MONITUM.

Fr. Combefisius tom. II Operum S. Maximi, ubi ad ejusdem locos communes præfatur, valde Gesnero medico succenset quod is Maximi et Antonii opus sine distinctione congesserit. Addit se, post frustra quæsitam Antonii peculiarem editionem Antverpiensem anni 1560, *a Joanne Ribitto curatam, ad codicem ms. recurrisse cujus ope Maximo sua asseruerit, aliena sustulerit. Restabat igitur ut in hac nova Antonii editione eos locos Antonio redderemus quos ipsi Combefisius, eos omittens, reliquerat. At cum in manus nostras venerit Joannis Ribitti editio quæ genuinum Antonii textum, sed Latine tantum, continet, nobis eam lucem attulit quam Combefisius sibi deesse dolebat, et jam nihil aliud pensi habuimus quam Græca ex editione Gesneri expressa Latinis juxtaponere.* EDIT.

ANTONII MONACHI

COGNOMENTO *MELISSÆ*

SENTENTIÆ SIVE LOCI COMMUNES

EX SACRIS ET PROFANIS AUCTORIBUS COLLECTI.

ΛΟΓΟΣ Α'.

Περὶ πίστεως καὶ εὐσεβείας εἰς Θεὸν, καὶ ὅτι παντὸς ἀγαθοῦ ὑπερέχουσιν, ὁπηνίκα μάλιστα διὰ τῶν ἔργων ἀναλάμπουσιν.

Ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Θεῷ. Καὶ Ἄβελ ἤνεγκε

A

SERMO I [*al.* CLX].

De fide et pietate in Deum, et quod omnibus bonis antecellant, quando maxime per bona opera resplendent.

1 Gen. IV. Et factum est post dies, obtulit Cain de fructibus terræ sacrificium Domino. Et Abel obtu-

lit et ipse de primogenitis ovium suarum et de adipibus earum. Et respexit Deus ad Abel et ad munera ejus. Ad Cain autem et ad sacrificia ejus non attendit.

Gen. v. Et placuit Enoch Deo, et non inveniebatur, quia transtulit illum Deus.

Gen. vi. Noe invenit gratiam coram Domino Deo.

Ibid. Et fecit Noe omnia, quæcunque præcepit ei Deus, sic fecit.

Ibid. Noe homo justus, perfectus exsistens in generatione sua. Deo placuit Noe.

Gen. xvii. Dixit Dominus Deus ad Abraham : Ego sum Dominus Deus tuus, complace coram me, et esto irreprehensibilis.

Gen. xv. Credidit Abraham Deo, et reputatum est illi ad justitiam.

Exod. xx. Ego sum Dominus Deus tuus, qui eduxi te de terra Ægypti, de domo servitutis. Non erunt tibi dii alii præter me. Non facies tibi idolum, neque ullius simulacrum, quæcunque in cœlo sursum, et quæcunque in terra deorsum, et quæcunque in aquis sub terra. Non adorabis ea, neque servies eis.

Deuter. x. Dominum Deum tuum timebis, et illi soli servies, et illi adhærebis, et in nomine ejus jurabis. Ipse gloriatio tua, ipse Deus tuus.

Ibid. Et nunc, Israel, quid Dominus Deus tuus petit a te nisi ut timeas eum, ut ambules in omnibus viis ejus, et diligas eum, et servias Domino Deo tuo, ex toto corde tuo, et ex tota anima tua ?

Job. xxviii. Ecce pietas est sapientia.

Psal. xxxii. Rectum est verbum Domini, et omnia opera ejus in fide.

Psal. c. Oculi mei ad fideles terræ, ut sedeant ipsi mecum.

Salomon. Exhibitam et certam fidem annuntiat justus.

Prov. i. Pietas in Deum initium sensus vel sapientiæ.

Prov. xv. Desideria piorum delectant animas.

Osee, vi. Misericordiam volo et non sacrificium, et notitiam Dei magis quam holocausta.

Isa. xxvi. Via piorum recta et parata est.

Pii prudenter consuluerunt, et consilium illud manet.

Jerem. v. Si est qui faciat judicium et quærit fidem, propitius illi ero, dicit Dominus.

Sap. i. Diligite justitiam, qui judicatis terram ; sentite de Domino in bonitate, et in simplicitate cordis quærite illum : apparet enim iis, qui illi non diffidunt.

Eccli. xliv. Omnium potentissima est pietas.

Eccli. xxiii. Thesaurus nunquam periturus timor Domini.

Crede Deo, et recuperabit te.

Eccle. ii. Donum Domini permanet cum piis.

καὶ αὐτὸς, ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν· καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχεν.

Ἐνὼχ εὐηρέστησε τῷ Θεῷ, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός.

Νῶε εὗρε χάριν ἐνώπιον Κυρίου τοῦ Θεοῦ.

Καὶ ἐποίησε Νῶε πάντα ὅσα εἶπεν αὐτῷ Κύριος ὁ Θεὸς, οὕτως ἐποίησε.

Νῶε ἄνθρωπος δίκαιος ὢν, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ. Τῷ Θεῷ εὐηρέστησε Νῶε.

Εἶπεν Κύριος ὁ Θεὸς τῷ Ἀβραὰμ, « Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, εὐαρέστει ἐναντίον μου, καὶ γίνου ἄμεμπτος. »

Ἐπίστευσεν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

« Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ τῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. »

Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτὸν λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Αὐτὸς καύχημά σου, καὶ αὐτὸς Θεός σου.

Καὶ νῦν, Ἰσραὴλ, τί Κύριος ὁ Θεός σου ἀπαιτεῖ παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι αὐτὸν, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾷν αὐτὸν, καὶ λατρεύειν Κυρίῳ τῷ Θεῷ ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου ;

Ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία.

Εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει.

Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ.

Ἐπιδεικνυμένην πίστιν ἀπαγγελεῖ δίκαιος.

Εὐσέβεια εἰς Θεὸν ἀρχὴ αἰσθήσεως.

Ἐπιθυμίαι εὐσεβῶν ἡδύνουσι ψυχάς.

Ἔλεον θέλω, καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα.

Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο καὶ παρεσκευασμένη.

Οἱ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μενεῖ.

« Εἰ ἔστι ποιῶν πίστιν, πλεως ἔσομαι αὐτῷ, » λέγει Κύριος.

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καρδίας, καὶ ἐκζητήσατε αὐτόν. Ἐμφανίζεται γὰρ τοῖς μὴ ἀπιστοῦσιν αὐτόν.

Παντὸς δυνατωτέρα ἐστὶν ἡ εὐσέβεια.

Θησαυρὸς ἀδιάπτωτος ἡ θεοσέβεια.

Πίστευσον τῷ Θεῷ, καὶ ἀντιλήψεταί σου.

Δόσις Κυρίου παραμένει εὐσεβέσιν.

Δι:ήγησις εὐσεβοῦς διὰ παντὸς σοφία.

Ἐν στόματι εὐσεβῶν πληθυνθήσεται ἄνθρωπος.

Ἄνθρωπος εὐσεβὴς ἐν σοφίᾳ μένει, ὡς ὁ ἥλιος.

Πίστις εἰς τὸν αἰῶνα σταθήσεται.

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται.

Ἀποκριθεὶς δὲ Πέτρος εἶπε τῷ Ἰησοῦ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔστιι ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· « Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τοῦ θρόνου δόξης αὐτοῦ, τότε καὶ ὑμεῖς καθίσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρομήσει. »

Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται.

« Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. »

« Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. »

Ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ. Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

Ἐν Χριστῷ Ἰησοῦ οὔτε περιτομή τί ἐστιν, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.

Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων.

Χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι. Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται.

Χάριτί ἐστε σεσωσμένοι.

Γύμναζε σεαυτὸν πρὸς εὐσέβειαν. Ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης.

Ἡ πίστις ἐὰν μὴ ἔχῃ ἔργα, νεκρά ἐστι καθ' ἑαυτήν.

Σπουδάσατε διὰ τῶν καλῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιήσασθαι. Οὕτως γὰρ ἡμῖν πλουσίως ἐπιχορηγηθήσεται ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὥσπερ οἱ βλέποντες τὸ φῶς ἐντός εἰσι τοῦ φωτὸς, καὶ τῆς λαμπρότητος αὐτοῦ μετέχουσιν· οὕτως οἱ βλέποντες τὸν Θεὸν ἐντὸς γίνονται τοῦ Θεοῦ, μετέχοντες αὐτοῦ τῆς λαμπρότητος. Ζωῆς οὖν μεθέξουσιν οἱ ὁρῶντες Θεόν.

Πίστις ἡγείσθω τῶν περὶ Θεοῦ λόγων· πίστις, καὶ μὴ ἀπόδειξις· πίστις ἡ ὑπὲρ τὰς λογικὰς μεθόδους,

A *Eccli.* XXVII. Pii oratio mera est sapientia.

In ore piorum multiplicabitur laus.

Eccli. XXVII. Homo pius in sapientia permanet ut sol.

Eccli. XL. Fides in sæculum stabit.

Matth. XVII. Amen dico vobis, si habueritis fidem ut granum sinapis, dicetis monti huic: Transi hinc, et transibit.

Matth. XIX. Tunc respondens Petrus, dixit ad Jesum: Ecce nos reliquimus omnia, et secuti sumus te: quid ergo erit nobis? Jesus autem dixit illis: Amen dico vobis, quod vos, qui secuti estis me, in regeneratione, cum sederit Filius hominis in sede majestatis suæ, sedebitis et vos super sedes duodecim, judicantes duodecim tribus Israel. Et B omnis qui reliquerit domos, aut fratres, aut sorores, aut patrem, aut matrem, aut filios, aut agros propter nomen meum, centuplum accipiet, et vitæ æternæ sortietur hæreditatem.

Joan. III. Sic Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in eum, in tenebris non maneat.

Joan. XIV. Qui credit in me, opera quæ ego facio, et ipse faciet, et majora his faciet.

Joan. XX. Beati qui non viderunt, et crediderunt.

Rom. X. Si confessus fueris ore tuo Dominum Jesum Christum, et credideris in corde tuo, quod Deus illum excitavit a mortuis, salvaberis. Corde C enim creditur ad justitiam, ore autem fit confessio ad salutem.

Galat. V. In Christo Jesu nec circumcisio est nec præputium, sed fides per charitatem operans.

Hebr. XI. Est autem fides rerum sperandarum substantia, et argumentum eorum, quæ non videntur.

Ibid. Sine fide fieri non potest, ut quis illi placeat. Nam qui accedit ad Deum, hunc credere oportet, quod Deus sit, et quod remunerator sit quærentibus 3 ipsum.

Ephes. II. Gratia estis servati.

I Tim. IV. Exerce temetipsum ad pietatem. Nam corporalis exercitatio paululum habet utilitatis: at pietas ad omnia utilis est, ut quæ promissiones habeat vitæ præsentis et futuræ. D

Jacob. II. Fides, si facta non habuerit, mortua est per se.

II Petr. I. Operam date, ut vocationem et electionem vestram firmam efficiatis. Siquidem ad hunc modum abunde subministrabitur vobis introitus in æternum regnum Domini nostri Jesu Christi.

Irenæi. Quemadmodum qui lumen intuentur, intra lumen sunt ac ejus splendore fruuntur; sic qui Deum vident, intra Deum exsistunt, splendoris ipsius participes. Vitæ ergo participes erunt, qui Deum vident.

Basilii. Fides eorum, quæ de Deo dicuntur, dux sit; fides, et non demonstratio; fides, quæ omnem

rationis methodum superans mentem ad consensum et approbationem trahit. Fides, inquam, non geometrica aliqua necessitate, sed Spiritus effectu et operatione animis innascens.

Theologiæ mysterium ßdei nihil sollicite inquirentis assensionem requirit. Deum enim esse omnino credendum est; quid verò ille sit, nequaquam inquirere aut disputare convenit. Denique si fides earum rerum, quæ sperantur, substantia est, et argumentum eorum quæ non apparent, ne contenderis ea nunc videre, quæ procul dissita sunt, neque in dubium vocaris ea quæ sperantur, eo quod ipsa cognitione nondum assequi queas.

Fides est assensus de iis quæ auditu percepit, nihil ambigens, cum certa persuasione veritatis earum rerum, quæ Dei gratia prædicatæ sunt. Hujus exemplum aut specimen exhibuit Abraham, qui juxta Scripturæ testimonium non dubitavit per incredulitatem, sed fide confirmatus est, Deo gloriam tribuens, et certa animi fiducia persuasus, quod quæ promisit Deus, eadem et præstare possit.

Greg. Thaumaturgi. Præcipuam pietatis curam habere convenit, quam non immerito virtutum parentem nominant. Hæc enim omnium virtutum principium et finis est.

Ut Deum et causam omnia continentem efficientemque cognoscamus, tum visu tum naturæ lege docemur : illo nimirum, dum res visibiles et solidas spectat ; hac vero, dum ex visu cognitis et ordine dispositis summum ducem et opificem considerat.

Tecto pulsa et sub dio agens fides, & sumptuosa impietate præstantior est, et tres in nomine Domini congregati, multis divinitatem negantibus antecellunt.

Nihil coram Deo æque magnificum est, atque sermo purus, et veritatis dogmatibus perfecta anima.

Sola pietas stabile et firmum bonum est. Quod enim acquisitu impossibile est, idem propter invidiam incredibile etiam judicatur. Atqui profanæ mentes nullam rem, quæ bona et honesta est, fide dignam existimant.

Chrysost. Hoc fidei maxime proprium est, rationes eorum quæ fiunt non inquirere, sed obtemperare præscriptis.

Pium et fidelem virum tam firmo et constanti erga Dei promissiones animo præditum esse oportet, ut licet sibi ipsis contraria esse videantur quæ fiunt, ne sic tamen vel animo turbari possit, vel de eventu desperet. Fidelem Abraham itaque inspicito, qualem nimirum promissionem ipse acceperit, et quænam ipse facere coactus sit.

Fides virtutum mater, corona et perfectio est.

Athanasii. Melius est dubitationem obortam silentio reprimere et credere, quam propter dubitationem diffidere.

Greg. Omne quod creatum est, extra divinam naturam aut essentiam esse judicare edocti sumus :

A τὴν ψυχὴν εἰς συγκατάθεσιν ἕλκουσα· πίστις οὐχὶ γεωμετρικαῖς ἀνάγκαις, ἀλλὰ ταῖς τοῦ Πνεύματος ἐνεργείαις ἐγγινομένη.

Τὸ τῆς θεολογίας μυστήριον τὴν ἐκ τῆς ἀβασανίστου πίστεως ἐπιζητεῖ συγκατάθεσιν. Πιστεῦσαι γὰρ δεῖ ὅτι ἔστι Θεὸς, οὐχὶ ζητῆσαι καὶ λογομαχῆσαι τὸ, τί ἐστι. Καὶ ὅλως εἰ ἡ πίστις ἐστὶν ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων, μὴ φιλονείκει ἰδεῖν ἤδη τὰ μακρὰν ἀπῳκισμένα, μήτε τὰ ἐλπιζόμενα ἀμφίβολα κατάστησῃς, διὰ τὸ μήπω αὐτῶν δύνασθαι κατὰ τὴν γνῶσιν ἐφάπτεσθαι.

Πίστις ἐστὶ συγκατάθεσις ἀδιάκριτος τῶν ἀκουσθέντων ἐν πληροφορίᾳ τῆς ἀληθείας, τῶν κηρυχθέντων Θεοῦ χάριτι, ἥντινα ἐπεδείξατο Ἀβραὰμ, μαρτυρηθεὶς, ὅτι οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται Θεὸς, δυνατός ἐστι καὶ ποιῆσαι.

Εὐσεβείας ἐπὶ πᾶσι φροντιστέον, ἣν μητέρα φασὶ τῶν ἀρετῶν, ὀρθῶς λέγοντες. Αὕτη γάρ ἐστιν ἀρχὴ καὶ τελευτὴ πασῶν τῶν ἀρετῶν.

Τὸ εἰδέναι Θεὸν καὶ τὴν πάντων συνεκτικήν τε καὶ ποιητικὴν αἰτίαν, καὶ ὄψις διδάσκαλος, καὶ ὁ φυσικὸς νόμος· ἡ μὲν τοῖς ὁρωμένοις προσβάλλουσα καὶ πεπηγόσιν, ὁ δὲ δι' αὐτῶν τῶν ὁρωμένων καὶ τεταγμένων τὸν ἀρχηγὸν τοῦτον συλλογιζόμενος.

Κρεῖσσον ὑπαίθριος πίστις πολυτελοῦς ἀσεβείας, καὶ τρεῖς συνηγμένοι ἐν ὀνόματι Κυρίου πολλῶν ἀρνουμένων θεότητα.

Οὐδὲν οὕτω τῷ Θεῷ μεγαλοπρεπὲς, ὡς λόγος κεκαθαρμένος, καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασιν.

Μόνον ἀμετάπτωτον ἀγαθὸν καὶ παραμένον ἡ εὐσέβεια. Τὸ γὰρ οὐκ ἐφικτὸν οὐδὲ πιστὸν, πῶς διὰ τὸν φθόνον; ψυχαῖς γὰρ βεβήλαις οὐδὲν τῶν καλῶν ἀξιόπιστον.

Τοῦτο μάλιστα πίστεως, μὴ ζητεῖν εὐθύνας τῶν πραττομένων, ἀλλὰ πείθεσθαι τοῖς ἐπιτταττομένοις.

Τὸν εὐσεβῆ καὶ πιστὸν ἄνδρα οὕτω βεβαίως διακεῖσθαι χρὴ πρὸς τὰς ἐπαγγελίας τοῦ Θεοῦ, ὥστε κἂν ἐναντία αὐτοῖς φαίνηται τὰ γινόμενα, μηδὲ οὕτως ταράττεσθαι, μηδὲ ἀπογινώσκειν τὴν ἔκβασιν. Ὅρα γοῦν, ὁ πιστὸς Ἀβραὰμ τίνα μὲν ὑπόσχεσιν ἐδέξατο, τίνα δὲ πράττειν ἠναγκάζετο.

Πίστις μήτηρ καὶ στεφάνη καὶ συμπεραίωσις τῶν ἀρετῶν ὑπάρχει.

Βέλτιον ἀποροῦντας σιωπᾷν καὶ πιστεύειν, ἢ ἀπιστεῖν διὰ τὸ ἀπορεῖν.

Ἤδη τὸ κτιστὸν ἔξω τῆς θείας φύσεως εἶναι νοεῖν ἐπαιδεύθημεν· μόνην δὲ τὴν ἄκτιστον φύσιν λα-

τρεύειν καὶ σέβεσθαι, ἧς χαρακτὴρ ἐστι καὶ γνώ- A
ρισμα τὸ μήτε ἄρχεσθαι τοῦ εἶναί ποτε, μήτε παύεσθαι.

Πίστις μόνη κρατεῖ τὸν ἀκράτητον· πίστις μόνη κατανοεῖ τὸν ἀθέατον· πίστις μόνη προσπελάζει τῷ ἀπροσπελάστῳ, ὅσον ἐγχωρεῖ καὶ ὅσον ἐνδέχεται.

Ἐπειδὴ ἀνεπίβατός ἐστι λογισμοῖς ἀνθρωπίνοις τῆς ὑπερκειμένης φύσεως ἡ κατάληψις, τούτου χάριν ἡ πίστις ἀντὶ λογισμῶν γίνεται, τοῖς ὑπὲρ λόγον καὶ κατάληψιν ἑαυτὴν ὑπερτείνουσα.

Τὸ πίστει παραδεκτὸν, ἀπολυπραγμόνητον εἶναι χρή. Τὸ γάρ τοι βασανιζόμενον πῶς ἔτι πεπίστευται;

Ἡ μὲν πίστις σύντομός ἐστιν, ὡς εἰπεῖν, τῶν κατεπειγόντων γνῶσις. Ἡ γνῶσις δὲ, ἀπόδειξις τῶν B
διὰ πίστεως παρειλημμένων ἰσχυρὰ καὶ βεβαία.

Οὐχ ὁ παντὶ πιστεύων πιστὸς λέγεται· ἀλλ' ὁ Θεῷ πιστεύων, αὐτὸς μόνος πιστὸς καὶ ἔστι καὶ λέγεται.

Ἡ ἀληθὴς ἱεραρχία τίς ἂν εἴη, πλὴν ψυχῆς θεοφιλοῦς εὐσέβεια; ἧς τὸ εὐχάριστον ἀθανατίζεται παρὰ τῷ Θεῷ, συνδιαιωνίζον ἡλίῳ, καὶ σελήνῃ, καὶ τῷ παντὶ κόσμῳ.

Ἀρχὴ ἀρίστη πάντων μὲν ὁ Θεὸς, ἀρετῶν δὲ εὐσέβεια.

Ὥσπερ φασὶν ἐν ἰατρικῇ, τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁπόσῳ ἂν θρέψῃς, μᾶλλον βλάψεις, ὕλην ὑποβαλὼν τῇ κακοχυμίᾳ· οὕτως καὶ ψυχὴν μοχθηροῖς δόγμασι προκατειλημμένην, ὁπόσῳ ἂν διδάξῃς, C
μᾶλλον βλάψεις, μείζονας ἀρχὰς αὐτῇ τῆς ψευδοδοξίας παρέχων.

eam vero solummodo naturam, quæ increata est, colere et venerari didicimus, cujus nota et indicium est, nec unquam cœpisse, nec unquam deficere.

Sola fides comprehendit incomprehensibilem. Sola fides invisibilem percipit. Sola fides inaccessum accedit, quoad ejus fieri potest et licet.

Quandoquidem supernæ naturæ comprehensio humanis rationibus longe est superior, idcirco fides rationum locum explet, super ea quæ rationem et intellectum superant, semetipsam extendens.

Clementis. Quod fide perceptum est, a curiosa inquisitione alienum sit oportet. Quod enim ad amussim studiose exploratum est, quomodo fide perceptum aut creditum esse dicetur?

Fides brevis et compendiosa, ut ita dicam, rerum necessariarum est cognitio. At cognitio constans et firma est eorum, quæ per fidem accepta sunt, demonstratio.

Severini. Non qui cuivis credit fidelis dicitur, sed qui Deo credit, hic solus fidelis est et dicitur.

Philonis. Vera hierarchia quænam alia, quam animæ Deo dilectæ pietas, fuerit? cujus gratitudo apud Deum immortalis est, perenne ævum cum sole, luna et toto mundo extendens.

Aristotelis. Omnium quidem principium optimum Deus est, virtutum vero pietas.

Quemadmodum in medicina fieri dicunt, ut corpora non pura quo magis nutriveris, eo magis lædas, materiam nimirum corruptis humoribus suggerens; sic pravis opinionibus præoccupatam animam, quo plus docueris, eo magis lædes, majores subinde male et perperam sentiendi occasiones suppeditans.

ΛΟΓΟΣ Β'.

Περὶ τῶν παραβεβηκότων τὴν εὐσέβειαν καὶ πίστιν, καὶ εἰς Θεὸν ἀσεβούντων.

Ἰδὼν ὁ λαὸς ὅτι κεχρόνικε Μωϋσῆς καταβῆναι ἐκ τοῦ ὄρους, συνέστη ἐπὶ Ἀαρὼν, καὶ λέγει αὐτῷ· Ἀνάστηθι καὶ ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. Ὁ γὰρ Μωϋσῆς οὗτος ὁ ἄνθρωπος ὃς ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. Καὶ λέγει αὐτοῖς Ἀαρών· Περιέλεσθε τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν ὑμῶν, καὶ θυγατέρων ὑμῶν, καὶ ἐνέγκατε πρὸς μέ. Καὶ περιείλοντο πᾶς ὁ λαὸς τὰ ἐνώτια τὰ χρυσᾶ, καὶ ἤ- D
νεγκαν πρὸς Ἀαρών· καὶ ἐποίησεν αὐτὰ μόσχον χωνευτὸν, καὶ εἶπεν· Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου.

Διὰ τὴν ἀσέβειαν τῶν ἐθνῶν τούτων Κύριος ἐξολοθρεύσει αὐτοὺς πρὸ προσώπου σου· οὐ διὰ τὴν ὁσιότητα τῆς καρδίας σου εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀνομίαν τῶν ἐθνῶν τούτων, Κύριος ἐξολοθρεύσει αὐτοὺς πρὸ προσώπου σου.

Εἶπεν Κύριος τοῖς υἱοῖς Ἰσραὴλ, « Ὑμεῖς ἐγκατελίκατέ με, καὶ ἐδουλεύσατε θεοῖς ἑτέροις διὰ τοῦτο οὐ προσθήσω τοῦ σῶσαι ὑμᾶς. Βαδίζετε καὶ βοᾶτε πρὸς τοὺς θεοὺς οὓς ἐξελέξασθε ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς ἐν καιρῷ θλίψεως. »

SERMO II [*al.* CLXI].

De illis qui pietatem ac fidem prævaricantur, et in Deum sunt impii.

Exod. XXXII. Videns populus, quod tardavit Moyses descendere de monte, congregatus est ad Aaronem, et dicit ei: Surge, et fac nobis deos, qui præcedant nos. Nam Moyses hic homo, qui eduxit nos de terra Ægypti, non scimus quid factum est illi. Et dicit illis Aaron: Tollite inaures aureas, quæ in auribus mulierum vestrarum et filiarum vestrarum, et afferte ad me. Et abstulerunt omnis populus inaures aureas, et attulerunt ad Aaron; et fecit eas vitulum conflatilem. Et dixerunt: Isti dii tui, Israel, qui eduxerunt te de terra Ægypti.

Deut. IX. Propter impietatem gentium harum exscindet eos Dominus ante faciem tuam. Non propter sanctimoniam cordis tui tu ingredieris, ut possideas terram earum, sed propter iniquitatem gentium harum Dominus exscindet eos ante faciem tuam.

Judic. X. Et dixit Dominus ad filios Israel: Vos reliquistis me et coluistis deos alienos. Idcirco non addam, ut liberem vos. Ite et clamate ad deos quos elegistis vobis, et ipsi liberent vos in tempore afflictionis.

Job xx. Gaudium impiorum ruina indecens, lætitia autem iniquorum perditio. Si ascenderint in cœlum ejus dona, et sacrificium ejus nubes attigerit, et visus fuerit jam firmatus esse, tunc in universum peribit, et qui cognoverant ipsum, dicent : Ubi est ?

Ibid. xl. Facies impiorum ignominia implebuntur.

Ibid. xxi. Lumen impiorum exstinguetur.

Ibid. xv. Omnis vita impii curis transigitur : et cum visus fuerit jam in pace agere, veniet ei subversio.

Ibid. xi. Spes impii perit.

Ibid. xxi. Impiorum lucerna exstinguetur, superveniet autem illis subversio, et erunt sicut paleæ vento agitatæ.

Ibid. xi. Oculi impiorum tabescent. Nam spes eorum perditio.

6 *Psal.* xvii. Filii alieni mentiti sunt mihi. Filii alieni inveterati sunt, et claudicaverunt a semitis suis.

Ibid. xxxvi. Inimici Domini mox ut honorificati et exaltati fuerint, deficientes quemadmodum fumus defecerunt.

Ibid. Vidi impium superexaltatum et elevatum sicut cedros Libani. Et transivi, et ecce non erat, et quæsivi eum, et non est inventus locus ejus.

Ibid. lxxii. Qui elongant se a te, peribunt. Perdidisti omnes, qui fornicantur abs te.

Prov. iv. Viæ impiorum tenebrosæ, et non sciunt in quo offendunt.

Ibid. xi. Facilis et jucunda fit impiorum perditio.

Vitam impiorum subvertet Dominus.

Ibid. x. Fructus impiorum perditio.

Ibid. ii. Opera injusta facit impius.

Ibid. ii. Viæ impiorum de terra peribunt.

Ibid. ii. Persecutio impiorum ad mortem.

Ibid. xvi. Impius servatur in diem malum.

Ibid. xxviii. Fugit impius nemine persequente.

Animæ impii nemo miserebitur mortalium.

Prov. xviii. Cum venerit impius in profundum malorum, contemnit.

Ibid. xii. Viscera impiorum misereri nesciunt.

Osee. Maledictio Domini in domibus impiorum. Anni impiorum pauci erunt.

Osee. vii. Væ eis, quoniam resilierunt a me. Miseri sunt, quoniam impii fuerunt in me. Ego autem redemi eos, et ipsi locuti sunt contra me mendacia.

Habac. i. Infirmabuntur impii, et auferam impios a facie terræ, dicit Dominus.

Isa. i. Audi, cœlum, et terra, auribus percipe verba oris mei, quoniam Dominus locutus est : Filios genui, etc.

A Εὐφροσύνη ἀσεβῶν πτῶμα ἐξαίσιον · χαρμονὴ δὲ παρανόμων ἀπώλεια. Ἐὰν ἀναβῇ αὐτοῦ εἰς οὐρανὸν τὰ δῶρα, ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται, καὶ δοκῇ ἤδη κατεστηρίχθαι, τότε εἰς τέλος ἀπολεῖται. Οἱ δὲ ἰδόντες αὐτὸν ἐροῦσι, Ποῦ ἐστιν ;

Πρόσωπα ἀσεβῶν ἀτιμίας ἐμπλησθήσονται.

Φῶς ἀσεβῶν σβεσθήσεται.

Πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι. Ὅταν δοκῇ εἰρηνεύειν, ἥξει αὐτῷ ἡ καταστροφή.

Ἐλπὶς ἀσεβοῦς ἀπολεῖται.

Ἀσεβῶν λύχνος σβεσθήσεται. Ἐλεύσεται δὲ αὐτοῖς ἡ καταστροφὴ, καὶ ἔσονται ὥσπερ ἄχυρα ὑπὸ B ἀνέμου.

Ὀφθαλμοὶ ἀσεβῶν ταχήσονται. Ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια.

Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

Οἱ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν · καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται. Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ C σοῦ.

Αἱ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναὶ, καὶ οὐκ οἴδασι πῶς προσκόπτουσιν.

Πρόχειρος γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια.

Ζωὴν ἀσεβῶν ἀναστρέψει Κύριος.

Καρποὶ ἀσεβῶν ἀπώλεια.

Ἀσεβὴς ποιεῖ ἔργα ἄδικα.

Ὁδοὶ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται.

Ὁ διωγμὸς ἀσεβῶν εἰς θάνατον.

Φυλάσσεται ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν.

Φεύγει ἀσεβὴς μηδενὸς διώκοντος.

Ψυχὴ ἀσεβοῦς οὐκ ἐλεηθήσεται ὑπ' οὐδενὸς τῶν ἀνθρώπων.

D Ἀσεβὴς ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ.

Τὰ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα.

Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν. Ἔτη ἀσεβῶν ὀλίγα.

Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ · δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ δὲ ἐλυτρωσάμην αὐτούς · αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ.

Ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀσεβεῖς ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος.

Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, τὰ ῥήματα τοῦ στόματός μου, ὅτι Κύριος ἐλάλησεν, « Υἱοὺς ἐγέννησα. »

Οὐκ ἐγὼ παρῃτησάμην αὐτούς, ἀλλ' αὐτοὶ παρῃ- A τήσαντο με. Διὰ τοῦτο ἐγκατέλιπον τὸν οἶκόν μου.

Ἐντελοῦμαι τῇ οἰκουμένῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν.

Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος.

Τί εὗρον οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν ἀπ' ἐμοῦ μακρὰν, καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν;

Ὑμεῖς οἱ ἐγκαταλείποντές με, καὶ ἑτοιμάζοντες τῇ τύχῃ τράπεζαν, καὶ κιρνῶντες τῷ δαίμονι κέρασμα. Ἐγὼ ἀνταποδώσω ὑμᾶς εἰς μάχαιραν· πάντες σφαγῇ πεσεῖσθε, ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐκ ἠκούσατε· καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον μου, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. B

Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος· ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐκ ἠδύναντο ὕδωρ συνέχειν.

Παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε, καὶ γνῶθι καὶ ἴδε, ὅτι πικρόν σοι τὸ καταλιπεῖν σέ με, λέγει Κύριος ὁ Θεός σου.

Εἶπεν Κύριος πρὸς μὲ, Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου ἐλεηθῆναι αὐτούς· ὅτι οὐκ εἰσακούσομαί σου. Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἰερουσαλήμ; Οἱ υἱοὶ αὐτῶν συλλέξουσι ξύλα, οἱ πα- C τέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι στέαρ, τοῦ ποιῆσαι χανῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ σπεῖσαι σπονδὰς ἀλλοτρίας. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ὀργὴ θυμοῦ μου ἐκχεῖται ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς ἀνθρώπους τούτους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πᾶν ξύλον τοῦ ἀγροῦ αὐτῶν, καὶ ἐπὶ πάντα τὰ γεννήματα τῆς γῆς, καὶ ἐκκαυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων. »

Υἱὲ ἀνθρώπου, ἑώρακας τί οὗτοι ποιοῦσιν; ἀνομίας μεγάλας ποιοῦσιν ὧδε, τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἁγίων μου· καὶ ἔτι ὄψει ἀνομίας μείζονας.

Τάδε λέγει Ἀδωναῒ Κύριος· « Ἀνθ' ὧν ἐπελάθου μου, καὶ ἀπέρριψάς με ὀπίσω σου, καὶ σὺ λάβε D τὴν ἀσέβειάν σου καὶ τὴν πονηρίαν σου. »

Ἐν ἴσῳ μισητὰ τῷ Θεῷ, καὶ ὁ ἀσεβῶν, καὶ ἡ ἀσέβεια αὐτοῦ. Τὸ πραχθὲν σὺν τῷ δράσαντι ἐξολοθρευθήσεται.

Ἐλπὶς ἀσεβοῦς ὡς φερόμενος χοῦς ὑπὸ ἀνέμου.

Τοῖς ἀσεβέσι μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη.

Ἀρνούμενοί σε εἰδέναι ἀσεβεῖς, ἐν ἰσχύϊ βραχίονός σου ἐμαστιγώθησαν.

Ἐκδίκησις ἀσεβῶν πῦρ καὶ σκώληξ.

Οὐαὶ ὑμῖν, ἄνδρες ἀσεβεῖς, οἵτινες ἐγκατελίπατε νόμον Θεοῦ. Ἐὰν γὰρ πληθύνητε, εἰς ἀπώλειαν,

Non ego repudiavi illos, sed ipsi me repudiaverunt. Idcirco dereliqui domum meam.

Mandabo super terram mala, et impiis peccata ipsorum.

Tollatur impius, ne videat gloriam Domini.

Isa. LVII. Non est pax impiis, dicit Dominus.

Jerem. II. Quod invenerunt patres vestri in me delictum, quod recesserunt procul a me, et ambulaverunt post vanitates, et vani facti sunt?

Isa. LXV. Vos derelinquentes me et obliti montis sancti mei, et parantes fortunæ mensam, et implentes dæmoni potionem. Ego tradam vos in gladium : omnes in cæde cadetis, quia vocavi vos, et non audistis ; locutus sum, et contempsistis : et fecistis malum in conspectu meo, et quæ non volebam elegistis.

Jerem. II. Obstupuit cœlum super hoc, et inhorruit supra modum vehementer, dicit Dominus, quia duo mala fecit populus meus. Me dereliquerunt fontem aquæ viventis, et foderunt 7 sibi lacus contritos, qui non potuerunt aquam continere.

Ibid. Castigabit te defectio tua, et malitia tua arguet te : et scito et vide, quia amarum tibi relinquere te me, dicit Dominus tuus.

Jerem. VII. Dixit Dominus ad me : Ne oraveris pro populo isto, ne preceris ut ipsi misericordiam consequantur, quoniam non exaudiam te. Annon vides quid ipsi faciunt in civitatibus Juda, et in plateis Jerusalem? Filii colligunt ligna, et patres eorum succendunt ignem, et mulieres ipsorum subigunt similaginem, ut faciant placentas militiæ cœli et libent libamina aliena, ut ad iracundiam provocarent me. Nunquid me ipsi ad iracundiam provocant? dicit Dominus, Nonne semetipsos, ut confundantur facies eorum? Propterea hæc dicit Dominus : Ecce ira furoris mei effunditur super locum istum, et super homines, et super jumenta, super omne lignum agri ipsorum, et super omnes fruges terræ, et succendetur, et non erit qui exstinguat.

Ezech. VIII. Fili hominis, vidisti quid isti faciunt? iniquitates magnas, quas domus Israel faciunt hic, ut abstineant a sanctuario meo : et adhuc videbis iniquitates majores.

Hæc dicit Adonai Dominus : Eo quod mei oblitus es, et abjecisti me post te, etiam tu accipe impietatem tuam et malitiam tuam.

Sap. XIV. Ex æquo Deo invisa et exosa sunt, tam impius quam impietas ejus. Nam et opus cum eo qui fecit illud excidetur.

Ibid. V. Spes impii qualis a vento sublata lanugo est.

Ibid. XIX. Impios sæva indignatio usque ad extremum persecuta est.

Sap. XVI. Qui te novisse negaverunt impii, in fortitudine brachii tui flagellati sunt.

Eccli. VII. Vindicta impii, ignis et vermis.

Eccli. XIV. Væ vobis, viri impii, qui deseruistis legem Dei; licet enim multiplicemini, peribitis :

et si nascimini, in maledictionem id fiet: et si obieritis, in maledictionem divisi eritis.

Eccli. XXII. Luctus mortui septem dies, stulti autem et impii omnes dies vitæ illius.

Eccli. XXXIV. Oblationes impiorum non probat Altissimus.

Matth. X. Quicunque negaverit me coram hominibus, negabo et ego illum coram Patre meo, qui in cœlis est.

Hebr. VI. Fieri non potest, ut qui semel fuerint illuminati, gustaverintque donum cœleste, et participes facti fuerint Spiritus sancti, gustaverintque bonum Dei verbum ac virtutes futuri sæculi, si prolabantur, denuo renoventur per pœnitentiam, ab integro crucifigentes sibimetipsis Filium Dei, et ludibrio exponentes. Siquidem terra, quæ imbrem sæpius in se venientem combiberit, et progenuerit herbam accommodam eis, opera quorum et colitur, recipit benedictionem a Deo. At quæ produxerit spinas et tribulos, reproba est et maledictioni confinis, cujus exitus huc tendit, ut exuratur.

Basilii. Impietas proprie dicitur, quod in Deum commissum est peccatum.

Fieri non potest, ut a justa via exorbitent, quorum animi Dei oblivione non laboraverint.

Nullus eorum qui falsas et pravas a Deo opiniones conceperunt, suas in psalmodiis laudes Deo acceptas fore existimet.

Dei ignorantia, animæ mors est.

Theologi. Si namque Deus medius assumptus vel interpositus, ea quæ hominibus sibi mutuo intercedunt, conventa confirmat, quam periculosum erit, si ea transgressi fuisse deprehendemur, quæ cum ipso nobis inita sunt, præsertim cum nulla sit regeneratio vel reformatio, nec aliqua antiquæ conditionis restitutio.

Qui diversum quam nos sentiunt, eos ceu veritatis lucm assumamus, et curemus quoad potest fieri; eos vero, qui incurabiles sunt aversemur, ne prius ipsorum contagio ipsi inficiamur, quam nostræ illi sanitatis per nos participes fiant.

Malorum inventrix est impietas, et ad aggrediendum longe audacissima.

Greg. Nyssen. Primam Deo pœnam debet homo, quod a creatore suo descivit, et ad adversarium ejusdem transfugit, fugitivus et desertor Domini naturalis factus: alteram vero, quod miseram et infelicem peccati servitutem pro libero sui juris arbitrio ceu permutans accepit, præstabilius nimirum esse ducens perniciosæ et exitialis potentiæ tyrannidem pati quam Deo servire.

Theophili. Atqui terrenus aliquis rex esse creditur, licet non omnium oculis conspicuus sit. Per leges enim ipsius, statuta denique, potestatem et virtutem atque imagines percipitur. Tu vero Deum ex suis operibus et virtutibus intelligere non vis.

Serapionis Nunquam aliqua hæresis Ecclesiam superavit, sed furit quidem semper, aliquousque vitem progressa statim dissolvitur.

καὶ ἐὰν γεννηθῆτε, εἰς κατάραν γεννηθήσεσθε, καὶ ἐὰν ἀποθάνητε, εἰς κατάραν μεριεθήσεσθε.

Πένθος νεκροῦ ἑπτὰ ἡμέραι, τοῦ δὲ μωροῦ καὶ ἀσεβοῦς πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ.

Οὐκ εὐδοκεῖ ὁ Ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν.

Ὅστις ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ παραδειγματίζοντας. Γῆ γὰρ ἡ ποιοῦσα τὸν ἐπ' αὐτῇ πολλάκις ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον, ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ Θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν.

Ἀσέβεια κυρίως λέγεται ἡ εἰς Θεὸν ἁμαρτία.

Ἀμήχανον ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ, μὴ λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας.

Μηδεὶς οἰέσθω τῶν ἐσφαλμένας περὶ Θεοῦ ἐχόντων τὰς ὑπολήψεις, ὅτι δεκταί εἰσιν αὐτοῦ αἱ ἐν ψαλμῷ διαινέσεις.

Θεοῦ ἄγνοια θάνατός ἐστι ψυχῆς.

Εἰ γὰρ τὰς πρὸς ἀνθρώπους συνθήκας ἐμπεδοῖ Θεὸς, μέσος παραλῃφθείς, πόσος κίνδυνος ὢν πρὸς αὐτὸν ἐθέμεθα συνθηκῶν, τούτων παραβάτας εὑρίσκεσθαι, καὶ ταῦτα οὐκ οὔσης δευτέρας ἀναγεννήσεως, οὐδὲ ἀναπλάσεως, οὐδὲ εἰς τὸ ἀρχαῖον ἀποκαταστάσεως.

Τοὺς ἑτέρως φρονοῦντας ὡς λύμην τῆς ἀληθείας, ἕως μὲν ἂν ᾖ δυνατὸν, προσλαμβανώμεθα καὶ θεραπεύσωμεν, μὴ τῆς νόσου μεταλάβωμεν πρὶν μεταδοῦναι τῆς ἑαυτῶν ὑγείας.

Εὑρέτις κακῶν ἀσέβεια, καὶ λίαν τολμηρὸν εἰς ἐγχείρησιν.

Πρώτην ὤφλησε τιμωρίαν ὁ ἄνθρωπος τῷ Θεῷ, ὅτι ἀπέστησεν ἑαυτὸν τοῦ ποιήσαντος, καὶ πρὸς τὸν ἐναντίον ἀπηυτομόλησε, δραπέτης τοῦ κατὰ φύσιν δεσπότου καὶ ἀποστάτης γενόμενος· δευτέραν δὲ, ὅτι τὴν πονηρὰν τῆς ἁμαρτίας δουλείαν, ἀντὶ τῆς αὐτεξουσίου ἐλευθερίας ἠλλάξατο, καὶ προετίμησε τοῦ δουλεύειν Θεῷ τὸ τυραννεῖσθαι ἀπὸ τῆς καταφθειρούσης δυνάμεως.

Εἶτα βασιλεὺς μὲν ἐπίγειος πιστεύεται εἶναι, καίπερ μὴ πᾶσι βλεπόμενος· διὰ δὲ νόμου καὶ διατάξεων αὐτοῦ, καὶ ἐξουσιῶν, καὶ δυνάμεων, καὶ εἰκόνων, νοεῖται. Τὸν δὲ Θεὸν οὐ βούλῃ σὺ νοῆσαι δι' ἔργων καὶ δυνάμεων.

Οὐδέποτε αἵρεσις τὴν Ἐκκλησίαν ἐνίκησεν, ἀλλ' ἀεὶ μαίνεται, καὶ κατ' ὀλίγον προελθοῦσα εὐθέως λύεται.

Ὥσπερ ὀφθαλμὸς ταραγμένος, οὕτω καὶ ἡ ψυχὴ τοῖς παρὰ φύσιν θολωθεῖσα δόγμασιν, οὐχ οἷά τε τὸ ρῶς τῆς ἀληθείας εἰδέναι.

ΛΟΓΟΣ Γ'.

Περὶ ἀγάπης καὶ πάλιν φόβου πρὸς τὸν Θεόν.

Ἐκάλεσεν ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ τὸν Ἀβραάμ, καὶ εἶπεν αὐτῷ· « Ἀβραὰμ Ἀβραάμ. » Ὁ δὲ εἶπεν· « Ἰδοὺ ἐγώ. » Καὶ εἶπεν· « Μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μήτε ποιήσῃς αὐτῷ μηθέν. Νῦν γὰρ ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεὸν, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σοῦ τοῦ ἀγαπητοῦ δι' ἐμέ.

Ὁ Θεὸς ὁ φυλάττων τὴν διαθήκην αὐτοῦ καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, εἰς χιλίας γενεάς.

Καὶ νῦν, Ἰσραὴλ, τί Κύριός σου ἀπαιτεῖ παρὰ σοῦ ἀλλ' ἢ φοβεῖσθαι αὐτὸν, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ ἀγαπᾷν αὐτὸν καὶ λατρεύειν Κυρίῳ τῷ Θεῷ σου;

Ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐξ ὅλης τῆς διανοίας σου, ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου.

Καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου.

Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτὸν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς.

Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.

Ἀρχὴ σοφίας φόβος Κυρίου.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτοῦ εἰσακούσεται, καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Κύριος δώσει σοφίαν, καὶ ὁδὸν εὐλαβουμένων αὐτὸς διαφυλάξει.

Φόβος Κυρίου μισεῖ κακίαν, ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηρῶν.

Φόβος Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

Φόβος Κυρίου σοφία καὶ παιδεία.

Φοβοῦ τὸν Θεὸν, υἱὲ, καὶ βασιλέα, καὶ μηδὲ ἑτέρῳ αὐτῶν ἀπειθήσεις.

Τέλος λόγου τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε, ὅτι τοῦτου πᾶς ἄνθρωπος.

Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου, ἥλιος δικαιοσύνης, καὶ ἐν ταῖς πτέρυξιν αὐτοῦ, ἴασις.

Σώσει Κύριος τοὺς φοβουμένους τὸ ὄνομα αὐτοῦ.

Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

Κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος.

Quemadmodum oculus perturbatur, sic etiam anima opinionibus, quæ naturam excedunt, turbata, veritatis lucem videre non potest.

SERMO III [*al.* CLXIII].

De dilectione et timore Dei.

Gen. XXII. Vocavit angelus Domini Abrahamum cœlitus, et dixit: Abraham, Abraham. Ille vero ait: Ecce ego. Et dixit: Ne inferas manum tuam puero, nec feceris illi quidquam. Nunc enim cognovi quod tu timeas Deum, et non pepercisti filio tuo dilecto propter me.

Deut. VII. Deus custodiens pactum et misericordiam suam diligentibus eum, et custodientibus mandata ejus, in mille generationes.

Ibid. X. Et nunc, Israel, quidnam Dominus Deus tuus petit a te, quam ut timeas eum et incedas in omnibus viis ejus, diligas ipsam, et servias Domino Deo tuo?

Ibid. Diliges Dominum Deum tuum, ex tota mente tua, et ex tota anima tua, et ex omnibus viribus tuis.

Psal. V. Gloriabuntur in te, qui nomen tuum diligunt.

Ibid. XXIV. Firmamentum vel robur est Dominus eorum qui timent ipsum, et testamentum suum manifestabit illis.

Ibid. XXXIII. Angelus Domini in circuitu eorum, qui timent ipsum, castrametatur, et liberabit eos.

Ibid. CX. Initium sapientiæ timor Domini.

Ibid. CXI. Beatus vir, qui timet Dominum, præceptis ejus multum delectabitur. Potens in terra erit semen ejus.

Psal. CXLIV. Voluntatem timentium se faciet, et deprecationem eorum exaudiet, et servabit eos.

Ibid. Custodit Dominus omnes, qui diligunt ipsum, et omnes peccatores disperdet.

Ibid. Dominus dat sapientiam, et viam eorum, qui reverentur eum, custodiet.

Ibid. VIII. Timor Domini odit malitiam, et contumeliam, et superbiam, et vias malorum.

Ibid. XIV. Timor Domini fons est vitæ, et a laqueo mortis declinare facit.

Ibid. XV. Timor Domini sapientia est et disciplina.

Ibid. XXIV. Time Deum, o fili, et regem, ac neutri ipsorum sis inobediens.

Omnem sermonis summam audi. Deum time, et præcepta ipsius custodi. Ipsius enim est omnis homo.

Malach. IV. Exorietur vobis, qui timetis nomen meum, Sol justitiæ, et in alis ipsius salus.

Mich. Salvabit Dominus eos qui timent nomen ipsius.

Habac. II. Dominus in templo sancto suo, revereatur a facie ejus omnis terra.

Isa. VIII. Dominum ipsum sanctificate, et ipse erit timor tuus.

Isa. xxvi. Propter timorem tuum, Domine, in A utero concepimus.

Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν.

Jerem. xxxii. Erunt mihi in populum, et ego ero eis in Deum, et dabo eis cor aliud et viam aliam, ut timeant me omnibus 10 diebus, in bonum tam ipsis quam filiis ipsorum post illos.

Ἔσονταί μοι εἰς λαὸν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ δώσω αὐτοῖς καρδίαν ἑτέραν καὶ ὁδὸν ἑτέραν, φοβηθῆναί με πάσας τὰς ἡμέρας εἰς ἀγαθὸν αὐτοῖς τε καὶ τοῖς τέκνοις αὐτῶν μετ' αὐτούς.

Eccli. i. Initium sapientiæ, timere Dominum.

Ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Κύριον.

Ibid. Corona sapientiæ timor Domini, germinans pacem et sanitatem salutis.

Στέφανος σοφίας φόβος Κυρίου, ἀναθάλλων εἰρήνην καὶ ὑγείαν ἰάσεως.

Ibid. Plenitudo sapientiæ timere Dominum, et inebriat eos fructibus suis.

Πλησμονὴ σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ μεθύσκει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς.

Ibid. ii. Qui timetis Dominum, sperate in bona, et in lætitiam sempiternam ac misericordiam.

Οἱ φοβούμενοι τὸν Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰώνιον καὶ ἔλεος.

Ibid. xxiii. Nihil est melius timore Domini, et nihil dulcius quam attendere præceptis ipsius.

Οὐδὲν κρεῖττον φόβου Κυρίου, καὶ οὐδὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου.

Ibid. i. Dilectio Dei gloriosa est sapientia, et B largietur eam diligentibus ipsum.

Ἀγάπησις Κυρίου ἔνδοξος σοφία, καὶ χορηγήσει αὐτὴν τοῖς ἀγαπῶσιν αὐτόν.

Ibid. xiii. Dilige Dominum, et invoca illum in salutem tuam.

Ἀγάπα τὸν Κύριον, καὶ ἐπικαλοῦ εἰς σωτηρίαν σου.

Joan. xiv. Qui me diligit, diligetur a Patre meo, et ego diligam ipsum, et aperiam ei meipsum.

Ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

Ibid. Si quis diliget me, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et mansionem apud illum faciemus.

Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Matth. x. Ne metuatis vobis ab his qui occidunt corpus, animam autem non possunt occidere.

Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

Rom. viii. His, qui diligunt Deum, omnia simul adjumento sunt in bonum.

Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν.

I Cor. viii. Qui Deum diligit, hic cognitus est ab C illo.

Εἴ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ.

I Joan. iv. Deus est charitas, et qui manet in charitate, in Deo manet, et Deus manet in eo.

Ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ μένει.

Basilii. Timor Domini animæ purificatio est, juxta prophetæ orationem, qui dicit : « Timor Domini quævis animæ vitia et defectus superat. »

Φόβος Κυρίου καθάρσιον ψυχῆς κατὰ τὴν εὐχὴν τοῦ προφήτου λέγοντος, « Φόβος Κυρίου παντοίων ἐλαττωμάτων τῆς ψυχῆς περιγίνεται. »

Necessarium debitum, amor Dei, a nobis postulatur. Hoc enim si careat anima, malum sustinet præ omnibus aliis eum primis intolerabile.

Ἀναγκαῖον ὄφλημα τὴν εἰς Θεὸν ἀγάπην ἀπαιτούμεθα, ὃ τῇ ἐλλειπούσῃ ψυχῇ πάντων κακῶν ἐστιν ἀφόρητον.

Quicunque amorem erga Deum servant, his ipse quoque sui communionem largitur. Dei autem communio vita et lux est, et eorum quæ ab ipso proficiscuntur bonorum fruitio.

Ὅσα τὴν πρὸς Θεὸν τηροῦσι φιλίαν, τούτοις τὴν ἰδίαν παρέχει κοινωνίαν. Κοινωνία δὲ Θεοῦ ζωὴ καὶ φῶς, καὶ ἀπόλαυσις τῶν παρ' αὐτοῦ ἀγαθῶν.

Deus non omnium Deus est, sed eorum, qui per charitatem in ipsius quasi familiam recepti et ipsi D conjuncti sunt.

Οὐ πάντων Θεὸς ὁ Θεὸς, ἀλλὰ τῶν οἰκειωθέντων αὐτῷ διὰ τῆς ἀγάπης.

Theologi. Timor Domini sapientiæ initium, et ceu prima fetus illius fascia est. Et sapientia ubi timore devicto ad dilectionem progressa est, nos Dei amicos et filios pro servis efficit.

Ἀρχὴ σοφίας φόβος Κυρίου οἷόν τι πρῶτον σπάργανον. Καὶ σοφία τὸν φόβον ὑπερβᾶσα, καὶ εἰς τὴν ἀγάπην ἀναβιβάσασα, Θεοῦ φίλους ἡμᾶς καὶ υἱοὺς ἀντὶ δούλων ἐργάζεται.

Nequaquam nos a Numinis contemplatione exersos in timorem desinere oportet. Istiusmodi enim contemplatio effrenis forsitan præcipites quoque nos impelleret. Sed ubi a timore initio facto primis rudimentis instructi et purgati, imo (ut ita dicam) attenuati fuerimus, in sublime nos attolli convenit.

Οὐκ ἀπὸ θεωρίας ἀρξαμένους εἰς φόβον χρὴ καταλήγειν (θεωρία γὰρ ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνῶν ὦσειεν), ἀλλὰ φόβῳ στοιχειουμένους καὶ καθαιρομένους, καὶ (ἵν' οὕτως εἴπω) λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι.

11 *Coloss.* iii, 14. Charitas perfectionis vinculum est.

Ἀγάπη ἐστὶ σύνδεσμος τελειώσεως.

Δημιουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη.

ΛΟΓΟΣ Δ'.

Περὶ τῶν μὴ φοβουμένων τὸν Θεὸν, μηδὲ ἀγαπώντων αὐτόν.

Εἶπεν Φαραὼ πρὸς Μωϋσῆν· Τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ, ὥστε ἐξαποστεῖλαί με τοὺς υἱοὺς Ἰσραήλ; οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστελῶ.

Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ· βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ.

Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.

Οἱ δὲ ἐχθροὶ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι, ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον.

Φόβος Κυρίου εἰς ζωὴν ἀνδρὶ, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις, οἷς οὐκ ἐπισκοπεῖται γνῶσις.

Υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ. Καὶ εἰ Πατὴρ εἰμι, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι, ποῦ ἔστιν ὁ φόβος μου; λέγει Κύριος παντοκράτωρ.

Ἐμὲ οὐ φοβηθήσεσθε; λέγει Κύριος· ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ, αἰώνιον πρόσταγμα, καὶ οὐχ ὑπερβήσεται αὐτὸ, καὶ ταραχθήσεται, καὶ οὐ δυνήσεται· καὶ ἠχήσουσι τὰ κύματα αὐτοῦ, καὶ οὐχ ὑπερβήσεται αὐτό; τῷ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος; καὶ ἀπειθὴς· καὶ ἐξέκλιναν, καὶ ἀπῆλθον, καὶ οὐκ εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν, Φοβηθῶμεν δὴ Κύριον τὸν Θεὸν ἡμῶν, τὸν διδόντα ἡμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, κατὰ καιρὸν πληρώσεως, πρόσταγμα θερισμοῦ.

Τὸ ἁμαρτάνειν ἡμῖν κατὰ ἀπουσίαν τοῦ θείου φόβου ἐγγίνεται.

Ὅσον ἀφίστατο τῆς ζωῆς ὁ Ἀδὰμ, τοσοῦτον ἤγγιζε τῷ θανάτῳ. Ζωὴ γὰρ ὁ Θεός· στέρησις δὲ ζωῆς ὁ θάνατος. Ὥστε τὸν θάνατον ὁ Ἀδὰμ διὰ τῆς ἀναχωρήσεως τῆς ἀπὸ Θεοῦ ἑαυτῷ κατεσκεύασεν.

ΛΟΓΟΣ Ε'.

Περὶ ἐλπίδος εἰς Θεὸν, ὅτι χρὴ εἰς Θεὸν ἐλπίζειν, καὶ μὴ εἰς τὰς τῶν ἀνθρώπων προστασίας.

Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά.

Τῇ ἐλπίδι ἐσώθημεν. Ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; Εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα.

Κατέχωμεν τῆς ἐλπίδος τὴν ὁμολογίαν ἀκλινῆ. Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.

Εἶπεν Δαβὶδ πρὸς τὸν ἀλλόφυλον· Σὺ ἔρχῃ πρὸς μὲ ἐν ῥομφαίᾳ καὶ ἐν ἀσπίδι· ἐγὼ δὲ προσάγω πρὸς σὲ ἐν ὀνόματι Κυρίου Σαβαώθ.

Ὁ πεποιθὼς ἐπὶ Κύριον σωθήσεται.

A *Chrysostomi.* Omnis virtutis opifex vel architectrix est charitas.

SERMO IV [*al.* CLXIV.]

De illis qui Deum nec timent nec diligunt.

Exod. v. Dixit Pharao ad Moysen: Quis est cujus vocem ipse audiam, ut dimittam filios Israel? Non novi Dominum, et Israel non dimittam.

Psal. Non est Deus coram ipso. Viæ ipsius inquinatæ sunt omni tempore.

Ibid. xxxvi. Non est timor Dei coram oculis ipsius.

Inimici Domini mox ut honorificati et exaltati fuerint, deficientes quemadmodum fumus defecerunt.

B

Prov. xix. Timor Domini vitam operatur homini. Non timens vero habitabit in locis, ubi non consideratur cognitio.

Malach. i. Filius patrem sui, et servus domini honorem provehit. Si Pater sum ego, ubi est gloria mea? Et si Dominus sum ego, ubi est timor meus? dicit Dominus omnipotens.

Jerem. v. Nunquid me non timebitis? dicit Dominus, aut a facie mea non formidabitis, qui arenam terminum mari constitui, præceptum sempiternum et quod non transgredietur? Turbabitur quidem, sed non poterit. Sonabunt fluctus ejus, sed non transgredientur illud. At populo huic factum est cor inobediens et incredulum vel intractabile. Declinaverunt et abierunt, et non dixerunt in corde suo: Timeamus, quæso, Dominum Deum nostrum, qui dat nobis pluviam matutinam et serotinam, secundum tempus plenitudinis præcepti messis, etc.

C

Basilii. Quod peccare solemus nos, propter timoris Dei absentiam contingit.

Quantum a vita discessit Adam, in tantum morti appropinquavit. Vita enim Deus est, vitæ vero privatio mors, adeo ut Adam ea defectione qua descivit a Deo, sibi ipsi mortem comparaverit.

SERMO V [*al.* CLXV].

De spe in Deum, et quod spes in Deum non in humana præsidia collocari debeat.

D

Matth. vi. Respicite ad volatilia cœli, quia nec serunt neque metunt, neque convehunt in horrea, et Pater vester cœlestis alit illa.

Rom. viii. Spe servati sumus. Porro spes si videatur, non est spes. Quod enim quis cernit, cur idem speret? Si vero quod non videmus, speramus, id per patientiam exspectamus.

Hebr. x. Teneamus confessionem spei non vacillantem. Fidelis enim vel verax est, qui promisit.

12 *I Reg.* xvii. Et dixit David ad alienigenam vel Philistæum: Tu venis ad me in gladio, et in hasta et in clypeo. Ego autem venio ad te in nomine Domini exercituum.

Job. Qui Domino confidit, salvabitur.

Psal. xxxi. Sperantem in Dominum circumdabit misericordia.

Τὸν ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει.

Ibid. xxxvi. Spera in Domino, et fac bonitatem.

Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα.

Ibid. Revela ad Dominum viam tuam, et spera in eo, et ipse faciet.

Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπὶ αὐτὸν, καὶ αὐτὸς ποιήσει.

Ibid. xxxix. Beatus vir, cujus spes est nomen Domini, et non respexit in vanitates et insanias falsas.

Μακάριος ἀνὴρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἔβλεψεν εἰς ματαιότητα καὶ μανίας ψευδεῖς.

Ibid. cxvii. Bonum est confidere in Domino, quam confidere in homine. Bonum est sperare in Domino, quam sperare in principibus.

Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσιν.

Psal. cxxiv. Qui confidunt Domino, ut mons Sion.

Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών.

Qui Dŏmino confidit, sua ipsius sanctimonia justus est.

Ὁ πεποιθὼς ἐπὶ Κύριον τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος.

Confide Domino in toto corde tuo.

Ἴσθι πεποιθὼς ἐπὶ Κύριον ὅλῃ καρδίᾳ σου.

Sap. iii. Qui Domino confidunt, intelligent veritatem, et fideles in dilectione adhærebunt illi.

Οἱ πεποιθότες ἐπὶ Κύριον συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ.

Isa. xii. Ecce Deus meus, Salvator meus Dominus, confidam illi, et salvabor per ipsum.

Ἰδοὺ ὁ Θεός μου, σωτήρ μου, Κύριος, πεποιθὼς ἔσομαι ἐπ' αὐτὸν, καὶ σωθήσομαι δι' αὐτοῦ.

Jerem. xvii. Benedictus homo, qui confidit in Domino, et erit Dominus spes ejus: et erit quasi lignum rectum vel abundans juxta aquas.

Εὐλογημένος ἄνθρωπος ὅστις πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ, καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατα.

Eccli. ii. Inspicite in antiquas generationes et scitote: Quis speravit in Dominum et confusus est? aut quis permansit in timore ipsius et neglexit eum?

Ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεὰς, καὶ ἴδετε. Τίς ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινεν τῷ φόβῳ αὐτοῦ, καὶ ὑπερεῖδεν αὐτόν;

Persuadeamus hoc nobis ipsis, fratres, ut in tempore tentationis non ad humanas spes recurramus et nobis ipsis venemur auxilia, quin potius in lacrymis et gemitibus, et laboriosa ac indefessa oratione et vigiliis assiduis Deum deprecemur. Sic enim auxilium ex afflictione percipit, qui humanum auxilium ut vanum et inane contemnit.

Πείσωμεν ἑαυτοὺς, ἀδελφοὶ, ἐν καιρῷ πειρασμοῦ, μὴ πρὸς ἀνθρωπίνας ἐλπίδας ἀποτρέχειν, καὶ ἑαυτοῖς τὰς βοηθείας θηρᾶσθαι, ἀλλ' ἐν δάκρυσι καὶ στεναγμοῖς, καὶ φιλοπόνῳ προσευχῇ, καὶ ἀγρυπνίᾳ εὐτόνῳ, τὰς δεήσεις πρὸς Θεὸν ποιεῖσθαι. Οὕτως γὰρ λαμβάνει βοήθειαν ἐκ θλίψεως ὁ τῆς ἀνθρωπίνης βοηθείας ὡς ματαίας καταφρονῶν.

Laudo eum, qui spes vigilantium somnia esse dixit.

Ἐπαινῶ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι γρηγορούντων ἐνύπνια.

Theologi. Voluptatem quidem cura, tristitiam vero spes melior reprimat.

Ἐπικαπτέτω σοι μέριμνα μὲν ἡδονὴν, λύπην δὲ ἡ κρειττων ἐλπίς.

Maximum infortunatis subsidium est vicissitudinis spes, et melior status ob oculos positus.

Μεγίστη τοῖς ἀτυχοῦσιν ἐπικουρία μεταβολῆς ἐλπὶς, καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον.

Tandem submersa est navis, quæ multos ad portus feliciter appulit. Multi ex maxima tempestate ad portum evaserunt.

Πολλοῖς πρὸς ὅρμοις εὔπλουν ἔδυ σκάφος. Πολλοὶ προσωρμίσθησαν ἐκ τρικυμίας.

Chrysostomi. Impossibile est, ut a fine aut scopo suo aberret, qui tota mente in Deum sperat, et omnia sua pro virili agit.

Ἀμήχανον τοῦ τέλους ἐκπεσεῖν τὸν ὅλῃ διανοίᾳ ἐπὶ τὸν Θεὸν ἐλπίζοντα, καὶ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέροντα.

Cum nulla usquam humani auxilii spes nobis affulget, ne desperemus nec despondeamus animum, sed fidei anchoram arripiamus, et instrumentum spei jaciamus, non quidem in mari, sed in cœlum, et tempestatum procellis agitata 13 navis ab omni periculo liberabitur.

Ὅταν μηδαμόθεν ἀνθρωπίνης βοηθείας ἐλπὶς ἡμῖν ὑπάρχῃ, μὴ ἀπογνῶμεν, μὴ ἀτονήσωμεν· ἀλλὰ τὴν ἄγκυραν τῆς πίστεως ἁρπάσωμεν, ῥίψωμεν τὸ ἐργαλεῖον τῆς ἐλπίδος, μὴ εἰς θάλασσαν, ἀλλ' εἰς οὐρανὸν, καὶ τὸ χειμαζόμενον σκάφος τῶν κινδύνων ἀπαλλαγήσεται.

Afflictio flos est bonorum quæ exspectantur. Propter fructum ergo flos quoque nobis carpendus est.

Τῶν προσδοκωμένων ἀγαθῶν ἡ θλῖψις ἄνθος ἐστί. Διὰ οὖν τὸν καρπὸν καὶ τὸ ἄνθος δρεψώμεθα.

Nihil perinde animam nutrit et vegetat, atque spes læta et bonorum exspectatio.

Οὐδὲν οὕτως τρέφει ψυχὴν, ὡς ἐλπὶς ἀγαθὴ, καὶ τὸ χρηστὰ προσδοκᾷν.

Ἐλπίς ἐστι προπάθειά τις, χαρὰ πρὸ χαρᾶς, ἀγαθῶν οὖσα προσδοκία.

Ἐλπίδα ὁ Θεὸς τῷ γένει τῶν ἀνθρώπων ἐγκατέσπειρεν, ἵνα ἔχοντες συμφυὲς παραμύθιον, ἐπελαφρύνωνται τὰς ἀνίας οἱ μὴ ἀνίατα δράσαντες.

Τὸ ἀπροσδόκητον κακὸν θορυβεῖ πάντως ἐπελθόν· τὸ δὲ προσδοκηθὲν, εὑτρεπῆ πρὸς τὴν πεῖραν εὑρὸν τὸν λογισμὸν, κουφότερον ποιεῖ τὸ δεινόν.

Τὸ ἐλπισθὲν ἀγαθὸν εἰς τοὐναντίον περιπεσὸν, ἀπαραμύθητον ἔχει τὸ πάθος.

Κινδύνων ἐλπὶς ἄνευ κινδύνων τίθησι τὸν ἐλπίζοντα, τῷ προησφαλίσθαι τῶν δυσχερῶν τῇ δοκήσει τὰ πράγματα.

Οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἐλπὶς χωρὶς πόνου, γεννᾷ τι χρήσιμον.

Τὰ γὰρ ἡδέα, κἂν μήπω παρῇ, τέρπει ταῖς ἐλπίσιν.

ΛΟΓΟΣ ϛ'.

Περὶ τῶν πεποιθότων ἐπὶ πλούτῳ καὶ ἀνθρώποις, καὶ μὴ εἰς Θεὸν τὴν ἐλπίδα καὶ πεποίθησιν ἐχόντων.

Εἶπεν Ἀνανίας ὁ προφήτης πρὸς Ἀσὰ βασιλέα Ἰούδα· Ἐν τῷ πεποιθέναι σε ἐπὶ βασιλέα Συρίας, καὶ μὴ πεποιθέναι σε ἐπὶ Κύριον τὸν Θεόν σου, διὰ τοῦτο ἐσώθη ἡ δύναμις τῆς Συρίας ἐκ τῆς χειρός σου.

Αἰσχύνην ὀφλήσουσιν οἱ ἐπὶ πόλεσι καὶ χρήμασι πεποιθότες.

Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι.

Ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται, καὶ ἐροῦσιν· Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ὁ πεποιθὼς ἐπὶ πλούτῳ, οὗτος πεσεῖται.

Εἶπεν Ἐφραΐμ· Πεπλούτηκα, εὗρον ἀναψυχὴν ἐμαυτῷ. Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ.

Ἐξωλοθρεύθησαν πάντες οἱ ἐπερειδόμενοι ἀργυρίῳ.

Ἐξεδίκησας μετὰ δυνάμεώς σου τοὺς ἀρχηγοὺς τῶν ἁμαρτωλῶν, τοὺς πεποιθότας ἐπὶ τῇ αὐθαδείᾳ αὐτῶν.

Οὐαὶ ὁ λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ· Τίς με κατάξει ἐπὶ τὴν γῆν;

Ματαία ἡ ἰσχὺς ἡμῶν ἐγενήθη, καὶ οὐκ ἐβούλεσθε ἀκούειν, ἀλλ' εἴπατε· Ἐφ' ἵππων φευξόμεθα.

Ἐπὶ τίνι πέποιθας, ὅτι ἀπειθεῖς μοι; Ἰδοὺ πεποιθὼς ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην ταύτην.

Philonis. Spes prævia quædam mentis est affectio, gaudium ante gaudium, ut quæ bonorum sit exspectatio.

Spem Deus humano insevit generi, ut congenitum sibi solatium habentes doloribus levarentur, illi nimirum qui nulla incurabilia patravissent facinora.

Nili. Malum insperatum omnino perturbat cum ingruit: quod vero exspectabatur, compositam et præparatam ad periculum mentem inveniens, calamitatem leniorem reddit.

Bonum speratum si secus et in contrarium cadens nos fallat, affectum vix ullo mitigandum solatio gignit.

Dionis. Periculorum spes tutum a periculis exsperantem efficit, eo quod propter malorum exspectationem res suas præmuniverit.

Socratis. Nec mulier absque viro, nec spes absque labore quidquam parit utile.

Leucippi. Quæ enim jucunda sunt, licet nondum adsint præsentia, spe tamen delectant.

SERMO VI [*al.* CLXVI].

De iis qui divitiis et hominibus fidunt, nec in Deo spem et fiduciam omnem sitam habent.

II Paral. XVI. Et dixit Ananias propheta ad Asam regem Juda: Quoniam confisus es tu in rege Syriæ, et non confisus es Domino Deo tuo, propter hoc salvatus est exercitus Syriæ de manu tua.

Job. Ignominiam sibi contrahent, qui in civitatibus confidunt et divitiis.

Psal. XLVIII. Qui confidunt in virtute sua, et in multitudine divitiarum suarum gloriantur.

Psal. LI. Videbunt justi et timebunt, et super eum ridebunt, et dicent: Ecce homo, qui non posuit Deum adjutorem suum, sed speravit in multitudine divitiarum suarum et confortatus est in vanitate sua.

Psal CXLV. Nolite confidere in principibus, in filiis hominum, quibus non est salus.

Proverb. XI. Qui confidit in divitiis suis, hic corruet.

Oseæ XII. Dixit Ephraim: Dives effectus sum, inveni requiem mihi. Omnes labores ejus non invenientur ei.

Sophon. I. Disperierunt omnes, qui confisi aut sufflulti sunt argento.

Habac. Punivisti cum potentia tua principes peccatorum, eos, inquam, qui 14 confidunt in contumacia sua.

Ibid. Væ dicenti in corde suo: Quis me detrahet in terram?

Isa. XXX. Fortitudo vestra vana facta est, et non voluistis audire, sed dixistis: Super equos fugiemus.

Ibid. XXXVI. Cui confisus, es quia mihi es inobediens? Ecce confidis virgæ arundineæ, confractæ huic.

Isa. XXXI. Væ descendentibus in Ægyptum, qui equis confidunt et curribus. Quia Dominus inducet manum suam super eos, et laborabunt auxiliantes, et qui auxilio adjuti sunt, concident, et simul omnes peribunt.

Jerem. XVII. Maledictus homo, qui spem habet in homine et confirmabit carnem brachii sui super ipsum, et a Domino recesserit cor ejus.

Eccli. V. Ne sequaris animam tuam et fortitudinem tuam, nec dixeris : Quis me suo subjiciet imperio? Nam Dominus vindicans vindicabit.

Ibid. Ne læteris in opibus tuis, et ne dixeris : Sufficit mihi, etc.

Basilii. Qui in seipsum sperat, et periculis obnoxius est et exsecrationi, quæ dicit : Maledictus homo qui spem reponit in homine, et carnem brachii sui fulciet, et a Domino cor suum amovebit. Qui sermo his verbis : Qui spem reponit in homine et carnem brachii sui fulciet, fiduciam in sese collocare prohibet : utrumque autem eorum defectionem a Domino nominat. Nam erit tanquam myrtus silvestris in deserto, et non videbit bona.

Nili. Qui super quatuor ingreditur, impurus est. Ingreditur autem super quatuor, qui manibus innititur, et omnem in iis habet fiduciam.

SERMO VII [*al.* I].

De virtute.

Matth. VII. Arcta est via, quæ deducit ad vitam.

Rom. XII. Ne vincaris a malo, sed vince bono malum.

Solomon. Ne te seducant impii, nec in viam ipsorum abeas.

Sirach. Ne feceris quæ mala sunt, et mala te non apprehendent.

Basilii. Divitiis nobilior virtus.

Sola possessionum virtus auferri nequit.

Virtutis exercitium tum possidenti pretiosum est peculium, tum incidentibus aliis jucundissimum spectaculum.

Ut ignem ultro lucis splendor, et unguentum suavis odor sequitur : ita bona opera utilitas necessario comitari consuevit.

Hoc est virtus, declinatio videlicet mali, et operatio boni.

Principium ad recuperationem bonorum, 15 est a malis recessus. Declina enim, inquit, a malo, et fac bonum.

Rara et acquisitu difficilis est virtutis possessio, etiamsi multa ad hanc provocent et invitent.

Virtutem laudando Deum laudabo, a quo virtus hominibus data est.

Virtus mercenaria non est, ut virtus esse pergat, solam honestatem respiciens.

Celebres non modo præclarum et honestum aliquod factum reddit, sed et malitia exsuperans improbam sibi famam contrahit.

Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον, ἐφ' ἵπποις πεποιθότες καὶ ἅρμασιν. Ὁ γὰρ Κύριος ἐκτείνει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ πεσοῦνται οἱ βοηθούμενοι, καὶ ἅμα πάντες ἀπολοῦνται.

Ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίξει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστελεῖ καρδίαν αὐτοῦ.

Μὴ ἐξακολούθει τῇ ψυχῇ σου καὶ τῇ ἰσχύϊ σου, καὶ μὴ εἴπῃς· Τίς με δυναστεύσει; ὁ γὰρ Κύριος ἐκδικῶν ἐκδικήσει.

Μὴ ἐπίχαιρε ἐπὶ τοῖς χρήμασί σου, καὶ μὴ εἴπῃς, Αὐτάρκη μοί ἐστιν.

Ὁ ἐλπίζων εἰς ἑαυτὸν κινδύνοις ἔχει ὑποπίπτειν καὶ τῇ κενάρᾳ τῇ λεγούσῃ· Ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίξει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστελεῖ καρδίαν, αὐτοῦ τοῦ λόγου, διὰ μὲν τοῦ, Ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίξει σάρκα βραχίονος αὐτοῦ, τὸ ἐφ' ἑαυτοῦ ποιεῖσθαι ἀπαγορεύσαντος, ἑκάτερον δὲ αὐτῶν ἀποστασίαν ἀπὸ Κυρίου ὀνομάζοντος, ὅτι ἔσται ὡς ἡ ἀγριομυρίκη ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ὄψεται τὰ ἀγαθά.

Ὃς πορεύεται ἐπὶ τεσσάρων, ἀκάθαρτος. Ἐπὶ τεσσάρων δὲ πορεύεται ὁ ταῖς χερσὶν ἐπερειδόμενος, καὶ πᾶσαν ἐπ' αὐταῖς ἔχων τὴν πεποίθησιν.

ΛΟΓΟΣ Ζ'.

Περὶ ἀρετῆς.

Στενὴ ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν.

Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν.

Μὴ ποίει κακὰ, καὶ οὐ μή σε λήψει κακά.

Τιμιώτερον ἀρετὴ ἢ πλοῦτος.

Μόνη κτημάτων ἡ ἀρετὴ ἀναφαίρετον.

Ἀρετῆς ἄσκησις τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιστον δὲ θέαμα τοῖς ἐντυγχάνουσιν.

Ὥσπερ γὰρ τῷ πυρὶ αὐτομάτως ἕπεται τὸ φωτίζειν, καὶ τῷ μύρῳ τὸ εὐωδεῖν· οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον.

Τοῦτό ἐστιν ἀρετὴ, ἔκκλισις ἀπὸ κακοῦ, καὶ ποίησις ἀγαθοῦ.

Ἀρχὴ πρὸς τὴν ἀνάληψιν τῶν καλῶν ἡ ἀναχώρησις τῶν κακῶν. Ἔκκλινον γὰρ, φησὶν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.

Σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον.

Ἀρετὴν ἐπαινῶν, Θεὸν ἐπαινέσομαι, παρ' οὗ τοῖς ἀνθρώποις ἡ ἀρετή.

Ἄμισθος ἡ ἀρετὴ, ἵνα καὶ ἀρετὴ μείνῃ, πρὸς τὸ καλὸν μόνον βλέπουσα.

Ποιεῖ γὰρ περιβοήτους οὐ δεξιὰ πρᾶξις μόνον, ἀλλὰ καὶ κακία νικῶσα πονηρὰν εὐδοκίμησιν.

Πέφυκεν ἀρετὴ καταιδεῖν τε καὶ καταπλήττειν καὶ τοὺς ἄχαν δυσμενεστάτους. A

Οὐκ ἔστι τὸν ἀρετῆς ἐπιμελούμενον μὴ πολλοὺς ἔχειν ἐχθρούς· ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸν ἐνάρετον. Διὰ γὰρ τῶν τοιούτων λαμπρότερος ἔσται μειζόνως.

Πολλοὶ πολλάκις αὐτὰς τὰς ἀρετὰς, διὰ τοὺς πόνους φεύγοντες, διὰ τὴν ἐξ αὐτῶν εὐφημίαν αἱροῦνται πονεῖν.

Θεῷ τοίνυν οὐ τὸ ἠναγκασμένον φίλον, ἀλλὰ τὸ ἐξ ἀρετῆς κατορθούμενον· ἀρετὴ δὲ ἐκ προαιρέσεως, καὶ οὐκ ἀνάγκης γίνεται.

Οὐχ ὁ τόπος τὴν ἀρετὴν, ἀλλ' ἡ ἀρετὴ πέφυκε τὸν τόπον σεμνύνειν.

Ἡ τοῦ κακοῦ στάσις ἀρχὴ τῆς κατ' ἀρετὴν ἐστιν ὁρμῆς. B

Ἀδέσποτον ἡ ἀρετὴ, καὶ ἑκούσιον, καὶ ἀνάγκης πάσης ἐλεύθερον.

Ὥσπερ τὸ τῆς ζωῆς τέλος ἀρχὴ θανάτου ἐστὶν, οὕτως καὶ τοῦ κατ' ἀρετὴν δρόμου ἡ στάσις ἀρχὴ τοῦ κατὰ κακίαν γίνεται δρόμου.

Ἡ τοῦ πονηροῦ ἀλλοτρίωσις τῆς πρὸς τὸ ἀγαθὸν οἰκειώσεως ἀφορμὴ γίνεται.

Τὸ ἔξω τῶν κακῶν γενέσθαι ἐντός ἐστι τῶν ἀγαθῶν καταστῆναι.

Δυσπίστευκτον μὲν εἶναι τὴν ἀρετὴν, μυρίοις ἱδρῶσι καὶ πόνοις, σπουδῇ καὶ κτιμάτῳ μόγις κατορθουμένην, παρὰ τῆς θείας Γραφῆς ἐδιδάχθημεν.

Κακίας ἔξοδος ἀρετῆς εἴσοδον ἐργάζεται, ὡς καὶ C τοὐναντίον ὑπεκστάντος ἀγαθοῦ, τὸ ἐφεδρεῦον κακὸν ἐπεισέρχεται.

Ἀρεταὶ μόναι τὰ τῶν ἀνθρώπων πράγματα κυβερνᾷν ἐπίστανται.

Ἡ θεωρία τῆς ἀρετῆς παγκάλη, καὶ ἡ πρᾶξις καὶ ἡ χρῆσις περιμάχητος.

Χαῖρε τὴν ἀρετὴν ἡνίκα πράττεις· ἀλλὰ μὴ ἐπαίρου, μή ποτε τὸ ναυάγιον ἐν τῷ λιμένι γένηται.

Χρὴ τὴν ἀρετὴν μὴ χωλεύειν καθ' ἕτερον, ἀλλ' ἔργῳ καὶ λόγῳ ὀρθὴν καὶ ἀπηρτισμένην κατ' ἀμφότερα εἶναι.

Οὐκ ἔνι ἐκ τοῦ παραχρῆμα λαμβάνειν τὰς ἀρετάς. Σμικροῖς γὰρ τὰ μέγιστα πῶς ἄν τις ἕλοιτο πόνοισιν; D

Βραχεῖα ἡ ἀρετὴ, καὶ ὀρθὸς οἶμος ἐπ' αὐτὴν, καὶ οὐκ ἄν τις ἕλοιτο ταύτην δίχα πόνου μακροῦ.

Μισθὸς ἀρετῆς ἔπαινος.

Οἱ πονηροὶ τῶν ἀνθρώπων, κἂν χρηστότητά τινα ἐπαγγέλλωνται, διὰ τὸν τρόπον οὐ πιστεύονται.

Ἀνδριάντα μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.

Οὕτως ζῆν προαιροῦ, ὡς μήτε ὑπὸ τῶν δυνατωτέρων καταφρονεῖσθαι μήτε τοῖς καταδεεστέροις φοβερὸς εἶναι.

Εὖ σοι τὸ μέλλον ἕξει, ἂν τὸ παρὸν εὖ τιθῇς.

Virtutis natura est, ut reverentia et auctoritate sua vel infensissimos moveat et terreat.

Chrysost. Fieri nequit, quin qui virtutis studiosus est, quam plures hostes sentiat. Sed nihil hoc virtuti deditum movet : sic enim longe clarior evadet.

Multi sæpe cum virtutem propter labores fugiant, propter gloriosam quæ ex virtutibus provenit famam laborare volunt.

Deo, non quod necessitate fit, gratum est, sed quod virtutis studio recte geritur. Virtus autem in voluntaria electione, non necessitate consistit.

Virtutem non locus, sed locum virtus illustrare potest.

Vitii cursus inhibitus, principium est ejus, qui ad virtutem fit, motus.

Virtus dominium non exspectat, sed voluntaria est, et ab omni necessitate libera.

Quemadmodum vitæ finis mortis initium est, sic si cursus virtutis sistatur, initium fit ejus, qui ad vitia tendit, cursus.

Mali abalienatio, familiaritatis cum bono occasionem et ansam præbet.

Ex malis evadere, est intra bona consistere.

Virtutem infinitis sudoribus et laboribus vix acquiri, studio ac fatigatione vix recte administrari posse, ex sacris Litteris didicimus.

Philonis. Improbitatis exitus virtutis introitum efficit, quemadmodum et vice versa, si virtus vel bonum recesserit, malo accessus patet.

Solæ virtutes hominum negotia gubernare noverunt.

Virtutis contemplatio longe pulcherrima est, ejusdem vero usus et actio digna sunt, de quibus summo contendatur studio.

Nili. Gaude cum virtutis opus edis, sed ne extollaris, ne forte naufragium in portu facias.

Cyrilli. Virtutem non oportet claudicare a parte altera, sed tam dictis quam factis rectam et integram utrinque esse.

Virtutes illico assequi impossibile est. **16** Quomodo enim quam minimis laboribus res longe maximas aliquis assequi queat ?

Aspera virtus est, et acclivis ad ipsam via, nec eam quis absque longo labore sibi comparaverit.

Synesii. Virtutis merces laus est.

Malis hominibus, licet boni aliquid polliceantur, propter mores tamen fides non habetur.

Plutarchi. Statuam quidem figura, virum vero ipsa actio ornat.

Ita vivere instituas, ut neque a potentioribus contemnaris, neque inferioribus metuendus sis.

Isocratis. Bene tibi futura evenient, si præsentia bene disposueris.

Demonactis. Virtutis potius imagines tibi velis monumenta relinquere, quam corporis.

Tantum ad virtutem adjicies, quantum voluptatibus ademeris.

Turpe est in aliis probare virtutes, intra se etiam habere vitia.

Biantis. Tarde aggredere agenda, aggressus autem constanter age.

A Βούλου τὰς τῆς ἀρετῆς εἰκόνας; ὑπομνήματα μᾶλλον ἢ τοῦ σώματος καταλιπεῖν.

Τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσων ἂν ὑφέλῃς τῶν ἡδονῶν.

Αἰσχρὸν μὲν ἐν ἄλλοις ἀποδέχεσθαι τὰς ἀρετάς, ἐν ἑαυτοῖς δὲ ἔχειν τὰς κακίας.

Βραδέως ἐγχείρει τοῖς πραττομένοις, ἐγχειρήσας δὲ, πρᾶττε βεβαίως.

Euripidis (1). Tempus non delet reliquias bonorum virorum; sed virtus etiam in mortuis refulget.

Theognidis. Multi divites sunt mali, boni autem pauperes. Sed nos cum illis non permutabimus virtute divitias : nam illa semper stabilis est.

Pecunias autem hominum alias alius habet.

Aristot. Dei quidem est agere quæ vult : hominis autem ea quæ convenit animo præsumere.

Procopii rhetoris. Boni indecorum aliquid facientes, peccare volentibus exemplum fiunt.

Viri virtutes non principio, sed fine actionum indicantur.

Maxime bonum peculium est cujusque propria virtus.

Neque convivium sine concordia, neque divitiæ sine virtute delectant.

Donum aliud virtute majus divinitus dari non potest.

Unica virtus est semper fugere indecorum et absurdum.

Deum optime coles, cum mentem Deo similem effeceris per virtutem. Sola enim virtus animum ad C id quod ei cognatum est trahit.

Malim virtutis testimonium, quam abundantiam opum mihi exhiberi. Illud enim bonæ mentis, hoc autem fortunæ affluentis encomium videbitur : *Hæc sententia in Græco exemplari non recte ascribitur Theognidi.*

B Θεοῦ μὲν ἔστι πράττειν ἃ βούλεται· ἀνθρώπου δὲ τὰ δέοντα προθυμεῖσθαι.

Οἱ ἀγαθοὶ, μὴ τὸ προσῆκον ποιοῦντες, παράδειγμα πρόκεινται τοῖς πλημμελεῖν βουλομένοις.

Ἀνδρὸς ἀρετὴν οὐκ ἀρχόμεναι δηλοῦσιν αἱ πράξεις, ἀλλὰ τελευτῶσαι μηνύουσιν.

Μέγιστον ἀγαθὸν κτῆμά ἐστιν ἑκάστου ἡ οἰκεία ἀρετή.

Οὔτε συμπόσιον ἄνευ ὁμονοίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.

Δῶρον ἄλλο μεῖζον ἀρετῆς οὐκ ἔστι παρὰ Θεοῦ λαβεῖν.

Μία ἐστὶν ἀρετὴ, τὸ ἄτοπον φεύγειν ἀεί.

Τιμήσεις τὸν Θεὸν ἄριστα, ὅταν τῷ Θεῷ τὴν διάνοιαν ὁμοιώσῃς δι' ἀρετῆς. Μόνη γὰρ ἀρετὴ τὴν ψυχὴν ἕλκει πρὸς τὸ συγγενές.

Βουλοίμην δ' ἂν περὶ ἀρετῆς μαρτυρηθῆναι μᾶλλον ἢ περὶ πλούτου δαψιλείας. Τὸ μὲν γὰρ ψυχῆς ἀγαθῆς, τὸ δὲ τύχης περιουσιαζούσης ἐγκώμιον δόξει.

17 SERMO VIII [*al.* XXIII].

De sapientia, et intellectu, et prudentia.

Matth. x. Estote prudentes instar serpentium, et simplices ut columbæ.

I Cor. xiv. Non mentem, sed malitiam infantes esse debetis : animis autem perfecti este.

Prov. iii. Beatus homo qui invenit sapientiam, et mortalis qui vidit prudentiam : præstat enim ipsam acquirere, quam auri et argenti thesauros; pretiosior est magni pretii gemmis; facile agnoscitur omnibus adeuntibus eam; nihil autem tam pretiosum est, quod ipsius pretium adæquet. Diuturnitas enim et anni vitæ in dextera ejus; in læva autem, opes et gloria. Ex ore ejus justitia progreditur; legem et misericordiam in lingua fert. Viæ ejus viæ sunt pulchræ, et omnes semitæ ipsius in pace.

Prov. xv. Vir prudens directus ingreditur.

Prov. iv. Acquire sapientiam, et intellectum tibi compara; ne obliviscaris, ut capiti tuo coronam det gratiarum.

(1) Græca desunt.

ΛΟΓΟΣ Η'.

Περὶ σοφίας, καὶ συνέσεως, καὶ φρονήσεως.

Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

Μὴ παιδία γίνεσθε ταῖς φρεσὶν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς D ὃς εἶδε φρόνησιν. Κρεῖττον γὰρ αὐτῆς ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. Εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ. Πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς· ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ· αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαὶ, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ.

Ἀνὴρ φρόνιμος κατευθύνων πορεύεται.

Κτῆσαι σοφίαν, καὶ κτῆσαι σύνεσιν. Μὴ ἐπιλάθῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων.

Μετὰ σοφῶν συμβουλεύου, καὶ μετὰ συνετῶν ἔστω ὁ διαλογισμός σου.

Σοφία ἐστὶν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτοις αἰτίων.

Διπλοῦν ἐστι τὸ τῆς φρονήσεως ὄνομα. Ἡ μὲν γάρ τίς ἐστι φυλακὴ τοῦ οἰκείου συμφέροντος, οἷα ἡ τοῦ ὄφεως τὴν κεφαλὴν ἑαυτοῦ συντηροῦντος· ἡ δέ τις ἔοικεν εἶναι κακαντρέχεια τρόπων, ὀξέως τὸ ἴδιον λυσιτελὲς ἐξευρίσκουσα, καὶ συναρπάζουσα τοὺς ἀκεραιοτέρους· ὁποία ἦν ἡ τοῦ οἰκονόμου τῆς ἀδικίας. Ἡ δὲ ἀληθὴς φρόνησις διάγνωσίς ἐστι τῶν τε ποιητέων καὶ οὐ ποιητέων· ἣ ὁ κατακολουθῶν οὐδέποτε τῷ ὀλέθρῳ τῆς κακίας περιπαρήσεται. Ὁ τοίνυν νοῶν λόγους φρονήσεως οἵδε τίνες μὲν σοφισματώδεις, τίνες δὲ οἱ κατὰ τὸν βίον πρακτέοι, καὶ τὰ βέλτιστα ἡμῖν ὑποτιθέμενοι· καὶ ὡς δόκιμος τραπεζίτης, τὸ μὲν καλὸν καθέξει, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀφέξεται.

Ὁ γὰρ τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακὸν, τό τε τῆς περιστερᾶς ἀκέραιον περὶ τὸ καλὸν ἀναμίξας, οὔτε τὸ φρόνιμον ἀάσει κακοῦργον γενέσθαι, οὔτε τὸ ἁπλοῦν ἀνόητον.

Ἔφησέ τίς που τῶν φιλοχρύσων τάδε·
Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον·
Ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες.
Πρὸς ὃν τις ἀντέφησε τῶν φιλοφρόνων·
Ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς τύχης.

Φρόνησις τῶν ἄλλων ἀρετῶν ἀρχή.

Μόνος ὁ σοφὸς ἐλεύθερός τε καὶ ἄρχων, κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας.

Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ.

Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν αὐτοῦ φρόνησιν ἄσκει. Μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρωπίνῳ σώματι.

Τοσούτῳ διαφέρειν ὁ Σόλων τὴν φρόνησιν ἔλεγε τῶν ἀρετῶν, ὅσῳ ὁρᾶσιν τῶν ἄλλων αἰσθήσεων.

Οὔτε ἵππον χωρὶς χαλινοῦ, οὔτε πλοῦτον δίχα φρονήσεως δυνατὸν κρατεῖσθαι.

Τόπων μεταβολαὶ οὔτε φρόνησιν διδάσκουσιν, οὔτε ἀφροσύνην ἀφαιροῦσιν.

Οὐ γὰρ οἱ πλατεῖς,
Οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι.
Ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
Μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
Μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.

Ἴσον ἐκεῖνο παρ' ἐμοὶ κέκριται, φρονέειν τε εὖ, καὶ τῷ λέγοντι χρηστὰ πείθεσθαι.

ΛΟΓΟΣ Θ'.

Περὶ ἀφροσύνης, ἄφρονος, καὶ ἀνοήτου, καὶ ἀπαιδεύτου, καὶ μωροῦ.

Πᾶ, ὁ ἀκούων μου τοὺς λόγους, καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ.

Eccli. IX. Cum sapientibus consulta, et cum prudentibus sit colloquium tuum.

Basilii. Sapientia est scientia de divinis et humanis rebus, earumque causis.

Ἐὰν ἀεὶ τὸ σήμερον παρατρέχων ἐπιτηρῇς τὸ εἰς αὔριον, ταῖς κατὰ μικρὸν ἀναβολαῖς ὑπὸ τοῦ πονηροῦ κλεπτόμενος, ὥσπερ ἐκείνου τρόπος (Ἐμοὶ δὸς τὸ παρὸν, Θεῷ δὲ τὸ μέλλον· ἐμοὶ τὴν νεότητα, Θεῷ δὲ τὸ γῆρας· ἐμοὶ τὰς ἡδονὰς, ἐκείνῳ τὴν ἀχρηστίαν)· ὅσος ὁ περὶ σὲ κίνδυνος, ὅσα τὰ παρελπίδια συμπτώματα! ἢ πόλεμος παρανάλωσεν, ἢ σεισμὸς συνέχωσεν, ἢ θάλασσα ὑπεδέξατο, ἢ θηρίον ἥρπασεν, ἢ νόσος ἀπώλεσεν, ἢ ῥιγὶς παραδραμοῦσα, τὸ φαυλότατον, (τί γὰρ τοῦ ἀποθανεῖν ἄνθρωπον εὐκολώτερον, κἂν μέγα φρονῇ τῇ εἰκόνι;) ἢ ποταμὸς πλεονάσας, ἢ ἄνεμος χρημνίσας, ἢ ἵππος συναρπάσας, ἢ φάρμακον ἐκ προνοίας ἐπιβουλεῦσαν, τυχὸν δὲ καὶ ἀντὶ σωτηρίου φανὲν δηλητήριον.

Οὐκ ἔστι τοῖς ἀπελθοῦσιν ἐν ᾅδῃ ἐξομολόγησις καὶ διόρθωσις. Συνέκλεισε γὰρ ὁ Θεὸς ἐνταῦθα μὲν βίον καὶ πρᾶξιν, ἐκεῖ δὲ τὴν τῶν πεπραγμένων ἐξέτασιν.

Σῶμα μὲν εὐεκτεῖ καμνούσης ψυχῆς· ψυχὴ δὲ θάλλει καὶ ἄνω βλέπει, τῶν ἡδονῶν ὑπερβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι.

Ἁμαρτία ταπεινώσεως μήτηρ, ἐπιστροφῆς δὲ ταπείνωσις.

Μόνου Θεοῦ τὸ παντελῶς ἀπταιστον καὶ ἀνάλωτον πάθεσι.

Ἐὰν ᾖς ἀσθενὴς ἐν τοῖς πάθεσι, φύλαξον σεαυτὸν μὴ ἐᾶσαί τινά σοι εἰπεῖν τὰ πάθη τῶν λογισμῶν αὐτοῦ ὡς πιστῷ. Ἀπώλεια γάρ ἐστι τῇ ψυχῇ σου τοῦτο τὸ ἔργον· καὶ ὁ πόλεμος ἐκεῖνος διπλοῦς γίνεταί σοι, διότι οὐκ ἔστι τῶν μέτρων σου.

Τοιοῦτον ἡ ἁμαρτία, πρὶν ἢ μὲν ἀπαρτισθῆναι μεθύειν ποιεῖν τὸν ἁλόντα· ἐπειδὰν δὲ πληρωθῇ καὶ ἀπαρτισθῇ, τότε τὰ μὲν τῆς ἡδονῆς ταύτης ὑπεξ-

ἵσταται καὶ σβέννυται· γυμνὸς δ' ἔστηκε λοιπὸν ὁ κατήγορος τοῦ συνειδότος, δημίου τάξιν ἐπέχων, καὶ καταξαίνων τὸν πεπλημμεληκότα, καὶ τὴν ἐσχάτην ἀπαιτῶν δίκην, καὶ μολίβδου παντὸς βαρύτερον ἐπικείμενος.

Ἁμαρτία ἕως μὲν ἐργασθῇ, παρέχει τινὰ ἡδονήν· ὅταν δὲ τελεσθῇ, τότε ἡ μικρὰ ἡδονὴ ὑπεξίσταται, ἐπεισέρχεται δὲ ἀθυμία.

Οὐδὲν δυσωδέστερον ψυχῆς ἐμπαθοῦς. Κυνὶ ἔοικεν ἡ ἡδονή, ἄνθρωπε· ἐὰν διώξῃς, φεύγει· ἐὰν ἐκθρέψῃς, παραμένει. Φεῦγε τὴν τέρψιν διὰ τὴν θλῖψιν, μὴ τοῖς σοῖς μέλεσι κατὰ σοῦ βέλεσι χρήσηται ὁ διάβολος.

Οὐχ οὕτω τοὺς ἁμαρτάνοντας ὡς τοὺς μετὰ τὴν ἁμαρτίαν μὴ συστελλομένους ἀποστρέφεσθαι εἴωθεν ὁ Θεός.

Οὐ τὸ πεσεῖν χαλεπὸν, ἀλλὰ τὸ πεσόντα κεῖσθαι, καὶ μὴ ἀνίστασθαι.

Ἀπόστηθι τῆς πονηρίας, παῦσαι τῆς κακίας, ἐπιλαβοῦ τῆς ἀρετῆς, καὶ ὑπόσχου μηκέτι αὐτὰ ποιεῖν· καὶ ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν. Ἐγὼ διαμαρτύρομαι καὶ ἐγγυῶμαι, ὅτι τῶν ἁμαρτανομένων ὑμῶν ἕκαστος, ἂν ἀποστὰς τῶν προτέρων κακῶν, ὑπόσχηται τῷ Θεῷ μετὰ ἀληθείας, μηκέτι αὐτῶν ἅψασθαι, οὐδὲν ἕτερον ὁ Θεὸς ζητεῖ πρὸς ἀπολογίαν μείζονα. Φιλάνθρωπος γάρ ἐστι καὶ ἐλεήμων, καὶ καθάπερ ἡ ὠδίνουσα ἐπιθυμεῖ τεκεῖν, οὕτω καὶ αὐτὸς ἐπιθυμεῖ τὸν ἔλεον ἐκχεῖν τὸν ἑαυτοῦ.

Οὐδὲν οὕτως τὸν Θεὸν ἵλεων ποιεῖ, ὡς τὸ τὰ οἰκεῖα ὁμολογεῖν ἁμαρτήματα.

Οὐδὲν οὕτω βαρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτίας φύσις. Οὐδὲν οὕτω κάματον ἡμῖν παρέχει, ὡς τὸ τῆς πονηρίας εἶδος, καὶ τὰ πλημμελήματα. Διὰ τοῦτο ὁ Χριστὸς τοῖς ἐν ἁμαρτίαις ζῶσιν ἔλεγε· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. »

Ἐπὶ ἑνὸς οὐ θέλομεν ἀσχημονῆσαι ἐνταῦθα, ἐπὶ δὲ μυριάδων ἐκεῖ τοσούτων τί ποιήσομεν;

Ἐννόησον οἷον ἔσται τὸ τοῦ Θεοῦ δικαστήριον· ἀναλόγισαι τὰ ἡμαρτημένα σοι πάντα. Κἂν γὰρ αὐτὸς ἐπιλάθῃ τῶν πεπλημμεληκότων, ὁ Θεὸς οὐδέποτε ἐπιλάθεται· ἀλλὰ πάντα πρὸ τῶν ὀφθαλμῶν στήσει τῶν σῶν, ἂν μὴ προλαβὼν αὐτὰ καταλύσῃς νῦν διὰ μετανοίας καὶ ἐξομολογήσεως.

Ὁ μὲν ἀρκῶν καὶ ἑτέρους διορθῶσαι μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι τὴν θεραπείαν, καὶ ποιείτω βελτίους· ὁ δὲ ἀτονώτερος ὢν φευγέτω τοὺς πονηροὺς, ὥστε μὴ τὴν παρ' ἐκείνων δέχεσθαι λύμην.

Δύναται πολλάκις μία κερδηθεῖσα ψυχὴ μυρίων ὄγκον ἁμαρτημάτων ἀφανίσαι, καὶ γενέσθαι ἡμῖν ἀντίψυχον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

Οὐκ ἔστι ψυχῆς ἀντάξιος οὐδὲ ὁ κόσμος ἅπας· ὥστε κἂν μυρία δῷς χρήματα πένησιν, οὐδὲν τοιοῦτον ἐργάσῃ, οἷον μίαν ψυχὴν ἐπιστρέφων.

Οὐδὲν ἐν ἀνθρώποις καλὸν κακότητος ἄμικτον. Εἴθε δὲ μὴ τὰ λυγρὰ πλείονα μοῖραν εἶχε!

A quidem voluptas recedit ac exstinguitur : nudus autem remanet accusator conscientiæ, carnificis locum tenens, et pecatorem exercians, et maximam pœnam exigens, denique quovis plumbo gravius incumbens.

Peccatum dum adhuc est in opere, nonnihil voluptatis exeitat ; cum autem impletum fuerit, modica voluptas illa discedit, et in locum ejus subit tristitia.

Nihil tam putidum est, quam anima affectibus obnoxia. Voluptas cani similis est ; si persequaris, fugit : si nutrias, manet. Fuge voluptatem propter comitem ejus afflictionem, ne diabolus utatur membris tuis adversus te tanquam telis.

B Deus non tam aversari solet peccatores, quam illos qui post peccata non contrahuntur animo, nec tristantur.

Cadere non tam malum est, quam jacere lapsum, et non refugere.

Discede ab improbitate, relinque malitiam, arripe virtutem, et pollicere innovationem vitæ : hoc tibi pro defensione sufficiet. Ego sane assero et promitto quod si unusquisque de nobis peccantibus, relictis prioribus malis, Deo polliceatur se **31** non rediturum ad ea, nihil aliud ad plenioremsatisfactionem Deus requisiturus sit. Amore enim et misericordia prosequitur homines, et quemadmodum parturiens mulier desiderat parere, sic et ipse cupit misericordiam suam effundere.

C Nihil adeo Deum reddit propitium, quam ut quisque sua peccata confiteatur.

Nihil tam grave et onerosum est, quam peccati natura. Nihil tantum negotii nobis facessit, quantum improbitas et peccata. Quamobrem Christus ad illos qui in peccatis vivunt, dixit : « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos. »

In humanis rebus cavet sibi quisque ut ne coram uno quidem delinquat : quid autem fiet olim coram infinita multitudine ?

Cogita quale futurum sit Dei judicium : expende omnia peccata tua. Nam licet ipse delictorum obliviscaris, Deus nunquam obliviscetur ; sed omnia tuis oculis objicientur, nisi nunc præveniens ea D dissolvas pœnitudine et confessione.

Qui etiam alios emendare potis est, conversetur illis de quorum salute spes fuerit, ac ipsos meliores reddat. Infirmior autem fugiat improbos, ne lue ipsorum inficiatur.

Anima una lucrifacta sæpe criminum infinitorum molem abolere potest, et animæ nostræ redemptio fieri in die judicii.

Ne mundus quidem universus animæ pretium æquaret ; quare, licet pecuniam absque numero pauperibus largiare, nihil tantum efficies, quantum unius animæ conversione.

Greg. Nyssen. Nihil boni inter homines expers est malitiæ. Utinam vero mala non obtinerent majorem partem !

Mira facilitate iter ad malitiam, et natura proclivis in deteriora fertur.

Voluptas homines ut plurimum sine ullo negotio capit, et magna promptitudo est naturæ ad hunc affectum, a durioribus studiis ad voluptatis teneritudinem facile prolabentis.

Cyrilli. Nemo non in multis delinquit. Natura enim hac ægritudine laborat ut facile in peccatum labatur, jam inde post primos hujus affectionis sucteres.

Athanasii. Quod ab initio male procedit nunquam bene indicatur aut finit, cum totum sit malum.

Clementis. Timeamus, non morbum externum, sed peccata morbi causam, et morbum animæ, non corporis.

32 Omnem voluptatem cupiditas inchoat. Est autem cupiditas tristitia quædam et cura, propter defectum aliquid desideratus.

Philonis. Etsi lenis quidam motus videtur esse voluptas, revera tamen asper invenitur, et est.

Omne jucundum fuge, violenter enim allicit.

Joan. Climacis. Dæmones aut pecoure nos impellunt, aut nisi peccaverimus ipsi, judicare tamen peccantes : ut primum posteriore inquiment.

Animi vibices si publicentur, non fient deteriores, sed sanabuntur. Nihil enim tam roborat dæmones et cogitationes adversum nos, quam si taciti et sine confessione corde nutriantur.

Marci. Peccatum iguis est ardens, qui vel imminuetur vel inflammabitur pro materie addita subtractæve modo.

Seniorum. Qui cunctatur et differt cogitationes suas confiteri, præter id quod nihil inde juvatur, re ipsa confirmat quod nescio quid secreti ab inimico sibi revelatum sit, et metuat ipsum offendere et amorem ejus amittere, si spiritualibus viris rem aperiat.

Theotimi. Peccatum videtur esse quidem obex, benevolentiam Dei in nos extendi prohibens.

Josephi. In parvis aut magnis peccare, æquipollet ; similiter enim utroque modo lex contemnitur.

Plutarchi. Nec ignis tunica, nec turpo delictum tempore celari potest.

Pythagoræ. Peccata tua non verbis tegere, sed reprehensionibus curare tentandum est.

Aristotelis. Non multum ab impeccabili discedit qui peccatum ut decet fatetur.

Didymi. Auget malitiam qui non ipse tantum peccat, sed insuper aliis patrocinatur.

Multiplex et fecundissimum est malum in animis hominum ; bonum vero angustum et rarum.

SERMO XVII [*al.* CLXXIX].

De pœnitentia et confessione.

Matth. v. Beati qui lugent, quoniam ipsi consolationem accipient.

Πολλὴ πρὸς τὴν κακίαν ἐστὶν ἡ εὐκολία, καὶ ὀξύρροπος ἐπὶ τὸ χεῖρον ἡ φύσις.

Εὐάλωτόν ἐστιν ὡς τὰ πολλὰ δι' ἡδονῆς τὸ ἀνθρώπινον, καὶ πολλὴ πρὸς τὸ πάθος τοῦτο τῆς φύσεως ἡ εὐκολία, ἐκ τῶν τραχυτέρων ἐπιτηδευμάτων πρὸς τὸ τῆς ἡδονῆς λεῖον ἑτοίμως καταπιπτούσης.

Πολλὰ πταίομεν ἅπαντες. Νοσεῖ γὰρ ἡ φύσις τὸ εἰς ἁμαρτίαν εὔκολον διὰ τῶν ἐξ ἀρχῆς εἰσοικισαμένων τὸ πάθος.

Τὸ τὴν ἀρχὴν ἔχον κακὴν ἐν οὐδενὶ καλῶς ποτε κριθείη, ὅλον ὂν φαῦλον.

Φοβηθῶμεν οὐχὶ νόσον τὴν ἔξωθεν, ἀλλ' ἁμαρτήματα δι' ἃ ἡ νόσος, καὶ νόσον ψυχῆς, οὐχὶ σώματος.

Πάσης ἡδονῆς ἐπιθυμία κατέρχει. Ἐπιθυμία δέ ἐστι λύπη τις καὶ φροντὶς, δι' ἔνδειαν ὀρεγομένη τινός.

Δοκεῖ μὲν λεία τις εἶναι κίνησις ἡ ἡδονή· τὸ δὲ ἀληθὲς τραχεῖα εὑρίσκεται καὶ ἔστιν.

Φεῦγε πᾶν τὸ ἡδὺ, ὅτι βιαίως παρακαλεῖ.

Ἡ ἁμαρτῆσαι ἡμᾶς οἱ δαίμονες προτρέπονται, ἢ μὴ ἁμαρτήσαντας, τοὺς ἁμαρτάνοντας κρίνειν· ἵνα διὰ τοῦ δευτέρου τὸ πρῶτον μολύνωσιν.

Μώλωπες θριαμβευόμενοι οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον, ἀλλ' ἰαθήσονται. Οὐδὲν γὰρ οὕτω τοῖς δαίμοσι καὶ τοῖς λογισμοῖς ἰσχὺν καθ' ἡμῶν δίδωσιν ὡς τὸ τοὺς ἀνεξαγορεύτους ἐν τῇ καρδίᾳ σιτίζεσθαι.

Πῦρ ἐστι καιόμενον ἡ ἁμαρτία· ὅσῳ ἂν περικλῇς τὴν ὕλην, τοσούτῳ ἂν περιέσται, καὶ καθ' ὃ ἂν ἐπιθῇς, τοσοῦτον καυθήσεται.

Διαμέλλων καὶ ἀναδυόμενος ἐξαγορεῦσαί σου τοὺς λογισμοὺς, πρὸς τῷ μηδὲν ὠφελῆσαι, ἔργῳ βεβαιοῖς ὡς μυστήριον ἐξεκάλυψέ σοι ὁ ἐχθρός· καὶ δέδοικας προσκροῦσαι καὶ ἐκπεσεῖν τῆς ἀγάπης αὐτοῦ, εἴ γε τοῦτο πνευματικοῖς ἀνδράσι ἀποκαλύψειας.

Ἔοικεν ἡ ἁμαρτία παρακωλύματι, κωλύοντι τὴν εὔνοιαν τοῦ Θεοῦ ἐν ἡμῖν γενέσθαι.

Τὸ ἐπὶ μικροῖς ἢ μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστι. Δι' ἑκατέρου γὰρ ὁ νόμος ὁμοίως ὑπερηφανεύεται.

Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν, οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ.

Τὰ ἁμαρτήματά σου πειρῶ μὴ λόγοις ἐπικαλύπτειν, ἀλλὰ θεραπεύειν ἐλέγχοις.

Οὐ πόρρω τοῦ ἀναμαρτήτου καθίστησιν ἑαυτὸν ὁ τὸ ἁμαρτηθὲν ἐπιεικῶς ὁμολογήσας.

Ἐπίτασις κακίας τὸ μὴ μόνον ἑαυτὸν ἁμαρτάνειν, ἀλλὰ καὶ συνηγορεῖν ἄλλοις.

Πολύχουν μὲν καὶ πολυφορώτατον ἐν ἀνθρώπων ψυχαῖς τὸ κακὸν, ἐσταλμένον δὲ καὶ σπάνιον τὸ ἀγαθόν.

ΛΟΓΟΣ ΙΖ'.

Περὶ μετανοίας καὶ ἐξομολογήσεως.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Πορευθέντες δὲ μάθετε τί ἐστιν· Ἔλεον θέλω καὶ οὐ θυσίαν. Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

Χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Καθὼς παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἁμαρτίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτως παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμὸν τῷ Θεῷ.

Ἐξομολογεῖσθε ἀλλήλοις τὰς ἁμαρτίας ὑμῶν.

Πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

Ἐάν τις ἀποπλανηθῇ ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Εἶπε Δαυὶδ πρὸς Νάθαν τὸν προφήτην· « Ἡμάρτηκα τῷ Κυρίῳ· » καὶ εἶπε Νάθαν πρὸς Δαυίδ· « Καὶ Κύριος ἀφείλατο τὸ ἁμάρτημά σου, καὶ οὐ μὴ ἀποθάνῃς. »

Ἐὰν ἀνομόν τί ἐστιν ἐν τῇ χειρί σου, πόρρω αὐτὸ ποίησον ἀπὸ σοῦ. Οὕτως ἀναλάμψει τὸ πρόσωπόν σου ὥσπερ ὕδωρ καθαρόν.

Ἐὰν ὦσι χίλιοι θανατηφόροι ἄγγελοι, εἷς ἐξ αὐτῶν οὐ μὴ τρώσῃ αὐτὸν, ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς Κύριον.

Εἶπα, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἄφηκας τὴν ἀσέβειαν τῆς καρδίας μου.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει.

Ἑπτάκις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται.

Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ.

Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ὑμῶν, « Ἐπιστράφητε πρός με ἐξ ὅλης καρδίας ὑμῶν ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ καὶ κοπετῷ· καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστὶ, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. »

« Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, » λέγει Κύριος παντοκράτωρ.

Οὐαὶ οἱ ἑπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως, τὰς ἀνομίας αὐτῶν.

Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν. Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε

Ibid. XI. Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos.

Ibid. IX. Sani non egent medico, sed male affecti. Ite et discite quid sit : Misericordiam volo, et non sacrificium. Non enim veni ut vocarem justos, sed peccatores ad pœnitentiam.

Luc. XV. Dico vobis quod ita gaudium erit in cœlo super uno peccatore resipiscente, magis quam super nonaginta novem justis, qui non indigent pœnitentia.

33 *Ibid.* Gaudium erit coram angelis Dei super uno peccatore resipiscente.

Rom. VI. Quemadmodum præbuistis membra vestra serva immunditiæ et iniquitati ad aliam atque aliam iniquitatem : sic et nunc præbete membra vestra serva justitiæ ad sanctificationem.

Jac. V. Confitemini invicem alius alii peccata vestra.

Fidelis est et justus ut remittat nobis peccata nostra, et purificet nos ab omni iniquitate.

Ibid. Si quis inter vos erraverit a veritate, et converterit quis eum, sciat quod qui converti fecerit peccatorem ab errore viæ suæ, salvam faciet animam a morte, et operiet multitudinem peccatorum.

II Reg. II. Dixit David ad Nathan prophetam : Peccavi Domino, et respondit Nathan : Et Dominus amovit peccatum tuum, et non morieris.

Si quid iniquum est in manu tua, procul id amolire abs te : sic relucebit facies tua instar aquæ limpidæ.

Si fuerint mille angeli lethiferi, nullus eorum vulnerabit eum, si ex animo instituat ad Dominum converti.

Psal. XXXI. Dixi, Confitebor adversus me iniquitatem meam Domino : et tu remisisti impietatem cordis mei.

Psal. XCIV. Præveniamus faciem ejus in confessione.

Prov. XXIV. Septies cadet justus et resurget.

Ibid. XVIII. Justus sui accusator est in primo sermone.

Joel II. Et nunc dicit Dominus Deus vester : Convertimini ad me ex toto corde vestro, in jejunio et fletu et planctu : et scindite corda vestra, non vestimenta vestra, et convertimini ad Dominum Deum vestrum, quoniam benefícus et misericors est, longanimis et multæ bonitatis, et pœnitentia ducitur super malo (quod scilicet inflixit vobis, vel inflicturus fuerat).

Malachiæ. Convertimini ad me, et ego ad vos convertar, inquit Dominus omnipotens.

Isa. V. Væ qui attrahitis peccata ipsorum tanquam longo funiculo, et veluti loro bubulo iniquitates ipsorum.

Ibid. I. Lavamini, mundi estote, auferte nequitias ab animabus vestris coram oculis meis. Cessate a nequitiis vestris, discite bonum facere ; quærite judicium, liberate injuria oppressum. Judicate pu-

pillo, et justificate viduam, et venite et disceptemus, dicit Dominus. Et si fuerint peccata vestra sicut rubeum, quasi nivem dealbabo; si autem fuerint sicut coccinum, veluti lanam dealbabo. Et si volueritis, et exaudieritis me, bona terræ comedetis; si autem non volueritis, neque audieritis 34 me, gladius vos devorabit; nam os Domini locutum est ita.

Cum conversus lugebis, tunc salvus fies.

Isa. XLIII. Ego sum, ego sum, qui deleo peccata tua, et non recordabor eorum. Tu vero memoriam mihi reduc, judicabimur simul. Narra tu primum iniquitates tuas, ut justificeris.

Sirach. IV. Non erubescas confiteri peccata tua. Ne te pudeat animæ tuæ. Est enim pudor peccatum trahens secum; est item pudor gloriæ gratiæque conciliator. Ne cedas ulli faciei (id est, truculentiæ aut blanditiis) quod animæ tuæ damno fiat, nec in tuam perniciem erubescas.

Ne differas converti ad Dominum, neque diem ex die ducas. Repente enim veniet ira Domini, et tempore ultionis peribis.

Male affecti sumus a peccatis, sanitatem recuperemus beneficio pœnitentiæ.

Basilii. Diligens esto circa teipsum, ut pro delicti portione curationis quoque remedium adhibeas. Magnum et difficile quod admisisti, omnino tibi opus est confessione, lacrymis plurimis, vigiliis intensis, assiduo jejunio : sin leve et tolerabile peccatum fuerit, par ei pœnitentia fiat.

Nullus improbæ vitæ homo desperet de seipso, sciens quod, sicut agricultura plantarum qualitates immutat, sic animæ cultus, per virtutem adhibitus, omne genus ægritudinis superare potest.

Deus enim peccatoris mortem non vult, sed potius ut convertatur et salvus fiat. Noli teipsum negligere tanquam in profundam malitiam dejectum. Tempus est patientiæ, tempus longanimitatis, tempus curationis, tempus emendationis. Lapsus es, resurge : peccasti, desiste. Ne insiste viam peccatorum, sed resilito : cum enim te averteris, et luxeris, tum servaberis. Labores enim sanitas sequitur, et salus sudores.

Non ex mora temporis, sed animi affectione pœnitentia æstimatur.

Necessarium est peccata illis confiteri, quibus administratio mysteriorum Dei concredita fuerit. Sic enim etiam antiqui, pœnitentiam agentes, sanctis fecisse reperiuntur. Scribitur enim in Evangelio, quod Joanni Baptistæ peccata sua confessi sint; et in Actis, quod apostolis, a quibus etiam omnes baptizabantur.

Theologi. Nullo cultu tam gaudet Deus, quam afflictione animi peccatorum, et pro lacrymis benignum amorem retribuit.

A ἀδικουμένων, κρίνατε ὀρφανῷ, καὶ οἰκαιώσατε χήραν· καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. Καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

Ὅταν ἐπιστραφεὶς στενάξῃς, τότε σωθήσῃ.

Ἐγώ εἰμι, ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ. Σὺ δὲ μνήσθητι καὶ κριθῶμεν. Λέγε δὲ σὺ πρῶτον τὰς ἀνομίας σου, ἵνα δικαιωθῇς.

Μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίας σου.

Περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς. Ἔστι γὰρ B αἰσχύνη ἐπάγουσα ἁμαρτίαν, καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. Καὶ μὴ λάβῃς πρόσωπον κατὰ ψυχῆς σου, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου.

Μὴ ἀναμείνῃς ἐπιστρέψαι πρὸς Κύριον, καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας. Ἐξαπίνης γὰρ ἐλεύσεται ὀργὴ Κυρίου, καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ.

Ἐκακώθημεν διὰ τὰς ἁμαρτίας, ἰαθῶμεν διὰ τῆς μετανοίας.

Πρόσεχε σεαυτῷ, ἵνα κατὰ ἀναλογίαν τοῦ πλημμελήματος καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν καταδέξῃ. Μέγα καὶ χαλεπὸν τὸ ἁμάρτημα, πολλῆ σοι χρεία τῆς ἐξομολογήσεως, δακρύων πλείστων, συντόνου τῆς ἀγρυπνίας, ἀδιαλείπτου νηστείας. Κοῦφον C καὶ φορητὸν τὸ ἁμάρτημα, ἐξισαζέσθω καὶ ἡ μετάνοια.

Μηδεὶς ἐν κακίᾳ διάξας ἑαυτὸν ἀπογινωσκέτω, εἰδὼς, ὅτι γεωργία μὲν τὰς ποιότητας τῶν φυτῶν μεταβάλλει· ἡ δὲ κατ' ἀρετὴν τῆς ψυχῆς ἐπιμέλεια δυνατή ἐστι παντοδαπῶν ἀῤῥωστημάτων ἐπικρατῆσαι.

Οὐ θέλει γὰρ ὁ Θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ σωθῆναι. Μὴ ὡς εἰς βάθος κακῶν καταφρονήσῃς. Καιρὸς ἀνοχῆς ἐστι, καιρὸς μακροθυμίας, καιρὸς ἰάσεως, καιρὸς διορθώσεως. Ὠλίσθησας, ἔξεγείρου· ἥμαρτες, ἡσύχασον. Μὴ στῇς ἐν ὁδῷ ἁμαρτωλῶν, ἀλλ' ἀποπήδησον· ὅταν γὰρ ἀποστραφῇς καὶ στενάξῃς, τότε σωθήσῃ. Ἔστι γὰρ D ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία.

Οὐ χρόνου ποσότητι, διαθέσει δὲ ψυχῆς ἡ μετάνοια κρίνεται.

Ἀναγκαῖον τοῖς πεπιστευμένοις τὴν οἰκονομίαν τῶν μυστηρίων τοῦ Θεοῦ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα. Οὕτω γὰρ καὶ οἱ πάλαι μετανοοῦντες ἐπὶ τῶν ἁγίων εὑρίσκονται πεποιηκότες. Γέγραπται γὰρ ἐν μὲν τῷ Εὐαγγελίῳ, ὅτι τῷ Βαπτιστῇ Ἰωάννῃ ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν, ἐν δὲ ταῖς Πράξεσι, τοῖς ἀποστόλοις, ὑφ' ὧν καὶ ἐβαπτίζοντο ἅπαντες.

Οὐδενὶ ἄλλῳ ὡς κακοπαθείᾳ Θεὸς θεραπεύεται, καὶ δάκρυσι τὸ φιλάνθρωπον ἀντιδίδοται.

Δέον εὐμεταχινήτους μὲν εἶναι πρὸς τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, ἀκινήτους δὲ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ βελτίονος.

Τὸ μὴ ἁμαρτάνειν ἀνεπαισθήτως, ἀλλ' ἐπιγινώσκειν καὶ συνορᾷν τὸ πλημμεληθὲν, οὐκ ἔστι μικρόν· ἀλλ' ὁδός τίς ἐστι καὶ ἀρχὴ, πρὸς διόρθωσιν ἄγουσα καὶ τὴν ἐπὶ τὰ κρείττω μεταβολήν.

Ἕως ἐστὶ καιρὸς, προφθάσωμεν τὸ τοῦ Θεοῦ πρόσωπον ἐν ἐξομολογήσει, ἵνα ἥμερον αὐτὸν ἴδωμεν τότε καὶ γαληνὸν, ἵνα τὰς ἀπειληφόρους ἐκείνας δυνάμεις διαφύγωμεν.

Οὐ δεινὸν τὸ πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι καὶ ἀμελῆσαι τοῦ τραύματος.

Μὴ τοίνυν ἀπογίνωσκε, μηδὲ ἀφίστασο τῆς εὐχῆς, ἀλλὰ πρόσελθε ἁμαρτωλὸς ὤν, ἵνα δοξάσῃς σου τὸν Δεσπότην, ἵνα δῷς αὐτῷ τὴν οἰκείαν φιλανθρωπίαν ἐν τῇ συγχωρήσει τῶν σῶν ἁμαρτημάτων ἐπιδείξασθαι· ὡς ἐὰν φοβηθῇς προσελθεῖν, ἐνεπόδισας αὐτοῦ τῇ ἀγαθότητι, διεκώλυσας αὐτὸν τῆς χρηστότητος αὐτοῦ, τό γε ἐπὶ σοὶ ἦκον.

Ἡ ἁμαρτία ὁμολογουμένη ἐλάττων γίνεται· μὴ ὁμολογουμένη δὲ, χείρων.

Μέγα ἀγαθὸν τὸ ἐπιγινώσκειν τὰ ἁμαρτήματα, καὶ μεμνήσκεσθαι αὐτῶν διηνεκῶς. Οὐδὲν οὕτως θεραπεύει πλημμέλειαν, ὡς μνήμη διηνεκῶς· οὐδὲν οὕτως ὀκνηρὸν ἄνθρωπον ποιεῖ πρὸς κακίαν. Ἂν ἔχῃς τὰ ἁμαρτήματα διηνεκῶς ἐν τῇ μνήμῃ, οὐδέποτε τῷ πλησίον μνησικακήσεις, οὐδέποτε ὀργισθήσῃ, οὐδέποτε λοιδορήσεις, οὐ φρονήσεις μέγα, οὐ περιπεσεῖ πάλιν τοῖς αὐτοῖς. Ἐὰν γὰρ νῦν ᾖς αὐτῶν μεμνημένος, καὶ συνεχῶς αὐτὰ προφέρῃς τῷ Θεῷ, καὶ ὑπὲρ αὐτῶν δέῃ, ταχέως ἐξαλείψεις αὐτά. Ἐὰν δὲ νῦν ἐπιλάθῃ, τότε αὐτῶν ἀναμνησθήσῃ καὶ ἄκων ἐπὶ τῆς οἰκουμένης ἁπάσης εἰς μέσον φερομένων αὐτῶν, καὶ φίλων, καὶ ἐχθρῶν, καὶ ἀγγέλων. Οὐ γὰρ δὴ πρὸς Δαυὶδ ἔλεγε μόνον, « Ἃ σὺ ἐποίησας ἐν κρυφῇ, ἐγὼ ποιήσω πᾶσι κατάδηλον, » ἀλλὰ καὶ πρὸς πάντας ἡμᾶς. Ἐλέγξω γάρ σε, φησὶν, ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς τιθείς σου ἁμαρτήματα.

Ὥσπερ γὰρ ὁ τὴν θύραν εἰσελθὼν ἔνδον ἐστὶν, οὕτως ὁ τὰ οἰκεῖα λογιζόμενος κακὰ καὶ ἐπὶ τὴν θεραπείαν αὐτῶν πάντως ἥξει. Ἂν δὲ λέγῃ, Ἁμαρτωλός εἰμι, μὴ ἀναλογίζεται δὲ αὐτὰ κατ' εἶδος, καὶ λέγει, ὅτι Τόδε καὶ τόδε ἥμαρτον, οὐδέποτε παύσεται, ἀεὶ μὲν ὁμολογῶν, φροντίζων δὲ οὐδέποτε τῆς διορθώσεως. Τὴν ἀρχὴν οὖν καταβαλλώμεθα, καὶ πάντα εὔκολα ἔσται καὶ ῥᾷστα. Ἀρξώμεθα τοίνυν, παρακαλῶ, ὁ μὲν ἀπὸ τοῦ τὰς εὐχὰς ἐπιτεῖναι, ὁ δὲ ἀπὸ τοῦ δακρύειν συνεχῶς, ὁ δὲ ἀπὸ τοῦ κατηφεῖν (οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ οὕτω μικρὸν ἀνόνητον· Εἶδον γάρ, φησὶν, ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνὸς, καὶ ἰατάμην τὰς ὁδοὺς αὐτοῦ), ὁ δὲ ἀπὸ τοῦ ἐλεημοσύνην ποιεῖν, ὁ δὲ ἀπὸ τοῦ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα, ὁ δὲ ἀπὸ τοῦ μὴ μνησικακεῖν, μηδὲ ἀμύνεσθαι.

Οὐκ ἔστι προτροπή τις τοιαύτη πρὸς ἀρετὴν, οἷον ἁμαρτημάτων ἀνάμνησις.

Ὁδοὶ μετανοίας πέντε· πρώτη ἡ κατάγνωσις τῶν

A deteriori ad melius facile mutari, vice versa autem constantes esse oportet.

35 Non peccare insensibiliter, sed agnoscere et videre delictum suum, non parva res est, imo via quædam et principium ducens ad emendationem et resipiscentiam.

Chrysost. Dum tempus nos sinit, præveniamus Dei faciem confessione, ut mitem et placidum ipsum tunc videamus, et minaces illas potestates effugiamus.

Non tam noxium est certando vulnerari, quam vulnus inflictum negligere et desperare.

Ne desperes igitur, nec a precibus desistas, sed peccator cum sis, accede ut glorifices Dominum tuum, et occasionem ei præbeas declarandi nativam benignitatem suam in scelerum tuorum remissione : nam si dubites accedere, bonitatem ipsius impedivisti, et benignitatem quantum in te est prohibuisti.

Peccatum si confiteare, minues; secus augebis.

Magnum bonum est agnoscere peccata, et assidue ipsorum meminisse. Nihil tam curat peccatum, quam assidua memoria, nec aliud adeo tardum ad malitiam reddit hominem. Si peccata subinde in memoria volvas, nunquam recordaberis injuriarum quas proximus tuus tibi fecerit, nunquam irasceris, nunquam conviciaberis, non altum sapies, non denuo in eosdem errores incides. Nam si nunc eorum memineris, et assidue coram Deo ipsa commemores, et veniam ores, statim abolebuntur. Si vero nunc eorum obliviscaris, in futuro sæculo vel invitus recordaberis eorum coram universo orbe, amicis simul et inimicis et angelis in medium ea proferentibus. Non enim ad solum Davidem dixit Deus : Quæ tu fecisti in occulto, ego omnibus manifesta faciam, sed etiam ad nos omnes. Redarguam enim te (inquit) omnium oculis peccata tua proponens.

Quemadmodum per januam ingressus aliquis intus existit; sic ille qui secum sua mala reputat, ad curam eorum indubie perveniet. Si vero dicat, Peccator sum, non autem sigillatim peccata recenset, dicendo, Hoc et illud peccavi, nunquam quiesset, dum semper confitetur, nunquam vero emendationis curam habet. Principium igitur recte instituamus, et omnia levia fient et facillima. Incipiamus ergo ita ut alius orationem augeat, alius subinde lacrymetur, alius vultu demisso tristetur (nam ne hoc quidem, utcunque parvum, inutile fuerit. Vidi enim (inquit) tristatum et ambulantem cum mœstitia, et sanavi vias ejus), alius eleemosynam faciat, alius **36** peccata proximis condonet, alius denique ab oblivione malorum et injuriarum deposito ultionis affectu incipiat.

Nihil adeo virtutem promovet, quam recordatio peccatorum.

Viæ pœnitudinis sunt quinque : prima, agnitio

et increpatio peccatorum ; secunda, proximis suos errores condonare; tertia quæ fit per orationem ; quarta, per eleemosynam ; quinta, per humilitatem animi.

Clementis. Optimum quidem, non peccare ; sed hoc etiam bonum est si peccatores in viam redeant pœnitentiæ beneficio : quemadmodum et continua sanitas optima est, bonum tamen est amissam quoque post morbum recuperare.

Vera pœnitentia est, non amplius eisdem affectibus obnoxium deprehendi, sed funditus ab anima evellere ista peccata, quorum causa aliquis se morte dignum judicaverit.

Pœnitentia tunc omne peccatum abolet, cum aliquo in anima errore oborto moram non admittit, neque ad ullum temporis spatium affectionem transmittit. Sic enim nullum criminis vestigium in nobis relinqui potest, cum in primo ingressu revelatur, instar plantæ adhuc teneræ antequam radicetur.

Quemadmodum cancri facile capiuntur insidiis, eo quod alias antrorsum, alias retrorsum incedant : sic etiam anima, nunc risui et delicils, mox luctui dedita, nihil proficere potest.

Qui nunc luget, nunc deliciatur et ridet, similis est homini panem adversus canem, lapidis instar, projicienti, qui gestu quidem fugat canem, facto autem remanere hortatur.

Marci. Pœnitentiæ opus in tribus hisce virtutibus absolvi judico : purgatione cogitationum, oratione assidua, et ingruentium afflictionum patientia. Qui in istis aliquandiu moratur, tandem ad animi tranquillitatem perveniet.

Philonis. Nihil prorsus erroris committere proprium est Dei, et forte etiam hominis divini : ab errore autem ad inculpabilem vitam redire, prudentis est et utilia plane non ignorantis.

Peccantes non statim ulciscitur Deus, sed tempus eis permittit ad pœnitentiam et remedium ac emendationem erroris.

Theodorici. Ampla vulnera æque amplis remediis indigent : et qui difficili morbo laborat, majorem curam desiderat : et qui magnis peccatis obnoxius est, majore benignitate opus habet.

37 *Epicharmi.* Sapientem decet providentia, non pœnitentia.

Evagrii. Planta quæ subinde transfertur, non fructificat.

Aristot. Aristoteles dicebat per omnem vitam trium se pœnituisse, primo quod mulieri secretum aliquid commisisset, secundo quod navigasset quo pedibus ire licuisset, tertio quod unum diem intestatus mansisset.

SERMO XVIII [*al.* CLXXX].

De illis qui cito mutantur in deteriorem statum et de pœnitentia.

Luc. IX. Nullus qui manu superinjecta aratro

ἡμαρτημένων· δευτέρα τὸ ἀφεῖναι τοῖς πλησίον τὰ ἁμαρτήματα· τρίτη ἡ ἀπὸ τῆς εὐχῆς γινομένη· τετάρτη ἡ ἀπὸ τῆς ἐλεημοσύνης· πέμπτη ἡ ἀπὸ τῆς ταπεινοφροσύνης.

Καλὸν μὲν τὸ μὴ ἁμαρτάνειν· ἀγαθὸν δὲ καὶ τὸ ἁμαρτάνοντας ἐπανάγεσθαι διὰ μετανοίας· ὥσπερ ἄριστον τὸ ὑγιαίνειν ἀεὶ, ἀγαθὸν δὲ καὶ τὸ ἀνασῴζεσθαι μετὰ τὴν νόσον.

Ἡ ἀληθινὴ μετάνοια τὸ μηκέτι τοῖς αὐτοῖς ἐνοχὸν εὑρεθῆναι· ἀλλ' ὁρᾶν ἐκριζῶσαι τῆς ψυχῆς, ἐφ' οἷς ἑαυτοῦ κατέγνω θάνατον ἁμαρτήμασιν.

Μετάνοια τότε ἁμαρτήματος παντὸς γίνεται ἀπαλειπτική, ὅταν ἐπὶ τῷ γενομένῳ ψυχῆς σφάλματι ἀναβολὴν μὴ δέξηται, μηδὲ παραπέμψῃ τὸ πάθος εἰς χρονικὸν διάστημα· οὕτω γὰρ οὐχ ἕξει καταλεῖψαι ἴχνος ἐν ἡμῖν τὸ κακὸν, ἅτε ἅμα τῷ ἐπιβῆναι ἀποσπασθὲν, δίκην φυτοῦ ἀρτισυστάτου.

Ὥσπερ οἱ λεγόμενοι καρκῖνοι εὐεπιχείρητοι τυγχάνουσιν, διὰ τὸ ποτὲ μὲν πρόσω βαίνειν, ποτὲ δὲ ὀπισθεν· οὕτως καὶ ψυχὴ, ποτὲ μὲν γελῶσα, ποτὲ δὲ πενθοῦσα, ποτὲ δὲ τρυφῶσα, οὐδὲν ὠφελῆσαι δύναται.

Ὁ ποτὲ μὲν πενθῶν, ποτὲ δὲ τρυφῶν καὶ γελοιάζων, ὁμοιός ἐστι τῷ μετὰ ἄρτου τὸν κύνα τῆς φιληδονίας λιθάζοντι, ὃς τῷ μὲν σχήματι τοῦτον διώκει, τῷ δὲ πράγματι παρεδρεύειν τοῦτον προτρέπει.

Λογίζομαι τὸ τῆς μετανοίας ἔργον ἐν ταῖς τρισὶ ταύταις ἀρεταῖς ἐξυφαίνεσθαι· ἐν τῷ λογισμοὺς καθαίρειν, καὶ ἀδιαλείπτως προσεύχεσθαι, καὶ τὰς ἐπερχομένας θλίψεις ὑποφέρειν· ἐν τούτοις ὁ ἐγχρονίζων εἰς ἀπάθειαν ἔρχεται.

Τὸ μὲν μηδὲν συνόλως ἁμαρτάνειν ἴδιον Θεοῦ, τάχα δὲ καὶ θείου ἀνδρός· τὸ δὲ ἁμαρτάνοντα μεταβάλλειν πρὸς ἀνυπαίτιον ζωὴν φρονίμου καὶ τὸ συμφέρον ἅπαν οὐκ ἀγνοήσαντος.

Τοῖς ἁμαρτάνουσιν οὐκ εὐθὺς ἐπέξεισιν ὁ Θεὸς, ἀλλὰ δίδωσι χρόνον εἰς μετάνοιαν, καὶ τὴν τοῦ σφάλματος ἴασίν τε καὶ ἐπανόρθωσιν.

Τὰ μεγάλα τῶν τραυμάτων ἰσομέτρων δεῖται φαρμάκων· καὶ ὁ χαλεπῇ νόσῳ περιπεσὼν πλείονος χρῄζει κηδεμονίας· καὶ ὁ μεγάλα πλημμελήσας πλείονος δεῖται φιλανθρωπίας.

Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν χρὴ τὸν σοφὸν ἄνδρα.

Φυτὸν μεταφερόμενον συνεχῶς καρπὸν οὐ φαίνει.

Ἀριστοτέλης ἔφη ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας· μίαν μὲν ἐπὶ τῷ γυναικὶ πιστεῦσαι λόγον ἀπόῤῥητον, ἑτέραν δὲ, πλεύσας ὅπου δυνατὸν πεζεῦσαι, τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἄδιάθετος ἔμεινεν.

ΛΟΓΟΣ ΙΗ'.

Περὶ τῶν ταχέως μεταβαλλομένων, καὶ περὶ μετανοίας.

Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον

καὶ βλέπων εις τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Κρεῖττόν ἐστι μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνόντα ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτῷ ἁγίας ἐντολῆς.

Ἐκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν, μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἴδιον ἔμετον, καὶ μισητὸς γίνηται· οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν.

Ἐν τῷ ἀποστρέφειν δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῆσαι ἀδικίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ οὐ μὴ μνησθῶσιν· ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. Ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ ἐν ᾗ εὕρω αὐτὸν, κρινῶ αὐτὸν, λέγει Κύριος· καὶ ἐν ᾗ ἂν ἡμέρᾳ ἐπιστρέψῃ ὁ ἄνομος ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ, καὶ ποιήσῃ δικαιοσύνην, οὐ μὴ μνησθῶ ἔτι πάντα τὰ παραπτώματα αὐτοῦ.

Δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ· καὶ ἀνομία ἀσεβοῦς οὐ κακώσει αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστραφῇ ἀπὸ τῆς ἀνομίας αὐτοῦ. Ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ.

Ὁ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως.

Ὁ ἐπὶ τοῖς πρώτοις ἁμαρτήμασι παιδευθείς, καὶ τῆς ἀφέσεως καταξιωθείς, ἐὰν πάλιν ἁμάρτῃ, χεῖρον τοῦ προτέρου κατασκευάζει ἑαυτῷ τὸ κρῖμα τῆς ὀργῆς.

Πολλοὶ ἐπιστρέψαντες ἀπὸ πονηρῶν ἔργων, οἱονεὶ τὰς μνήμας τῶν παλαιῶν ἔργων παρακατέχοντες, δι' αὐτῶν πολλάκις ἀνανεοῦνται τὴν ἡσυχάζουσαν ἁμαρτίαν.

Ἄνθρωποι ταῖς νεφέλαις ἐοίκασι, πρὸς τὰς τῶν πνευμάτων μεταβολὰς ἄλλοτε κατ' ἄλλο μέρος τοῦ ἀέρος ἐμφερομέναις.

ΛΟΓΟΣ ΙΘ'.

Περὶ τῶν εἰς μετάνοιαν μὴ ἐπιστρεφόντων.

Παρῆσαν δέ τινες αὐτῷ τῷ καιρῷ, ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλᾶτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· « Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλότεροι παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; Οὐχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ὡσαύτως ἀπολεῖσθε. Ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτὼ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ, καὶ ἀπώλεσεν αὐτούς· δοκεῖτε ὅτι ὀφειλέται ἐγένοντο παρὰ πάντας ἀνθρώπους τοὺς κατοικοῦντας Ἱερουσαλήμ; Οὐχὶ, λέγω ὑμῖν· ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ἀπολεῖσθε.

Ὅταν δὲ λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος.

Οἱ ἐν ἁμαρτίαις γενόμενοι, καὶ μὴ μετανοήσαντες, οὐ μόνον οὐκ εἰσακούσονται προσευχόμενοι, ἀλλὰ

retrorsum vertit oculos, idoneus est ad regnum Dei.

Apost. Præstat non agnovisse viam justitiæ, quam post agnitionem illius a sancta doctrina sibi tradita resilire.

Hebr. x. Nam si volentes peccaverimus post acceptam cognitionem veritatis, non ultra pro peccatis reliqua est hostia, sed formidabilis quædam exspectatio judicii, et ignis vehementia, qui devoraturus est adversarios.

Prov. xxvii. Quemadmodum canis reversus ad proprium vomitum abominabilis fit, sic insipiens qui ex malitia sua redit ad peccatum suum.

Ezech. xviii. Cum justus avertitur a justitia sua et injustitiam admittit, omnes justitiæ ejus a memoria cadent, morietur in peccato suo. Unumquemque in via sua, in qua invenero ipsum, judicabo, inquit Dominus, et quocunque die iniquus ab omnibus iniquitatibus suis se converterit, et fecerit justitiam, non amplius omnium delictorum ejus recordabor.

Ibid. xxxiii. Justitia justi non liberabit eum quo tempore aberraverit : et iniquitas impii non nocebit ei, quo die conversus fuerit ab iniquitate sua. Unumquemque vestrum in viis suis judicabo, o domus Israel.

Basilii. Qui postquam in bonis operibus profecit, iterum ad antiquam consuetudinem redit, non solum perdit bonorum operum mercedem, sed insuper graviore damnatione multatur.

Castigatus aliquis propter prima peccata, et veniam assecutus si denuo peccet, gravius priore judicium iræ sibi accersit.

Multi a malis operibus conversi, sed adhuc veterum facinorum apud se memoriam servantes, ejus culpa non raro quietum peccatum renovant.

Homines nebulis similes sunt, quæ juxta mutationes flatuum nunc huc nunc illuc feruntur.

SERMO XIX [*al.* CLXXXI].

De illis qui ad pœnitentiam non convertuntur.

Luc. xii. Aderant autem quidam eodem in tempore nuntiantes illi de Galilæis, 38 quorum sanguinem Pilatus miscuerat cum sacrificiis ipsorum. Et respondens Jesus, dixit illis : Putatis quod hi Galilæi præ cunctis Galilæis peccatores fuerint, quia talia passi sunt ? Non, dico vobis, imo nisi resipueritis, omnes similiter peribitis. Aut illi decem et octo, supra quos cecidit turris in Siloa, et occidit eos, putatis quod debitores fuerint ultra cunctos homines habitantes Hierosolymis? Non, dico vobis, imo nisi resipueritis, omnes similiter peribitis.

Apost. Cum autem dixerint pacem et securitatem, tum repentinus eis imminet interitus.

Qui intricati peccatis non agunt pœnitentiam, illi non solum orantes non exaudientur, sed insu-

per exasperabunt Deum, improbitatis ipsorum memoriam ei excitantes.

David. Nisi convertamini, gladium suum vibrabit.

Prov. XVIII. Impius, multitudine peccatorum obrutus, negligit : ingruit autem ei dedecus et infamia.

Qui sibi in operibus suis non medetur, frater est lædentis seipsum.

Qui tegit impietatem suam, non fruetur prosperitate.

Jerem. VIII. Hæc dicit Dominus : num cadens non resurgit, aut aversus non se convertit? Indurarunt facies suas plus quam lapidea duritie, et noluerunt converti.

Isa. Ecce ego litigo tecum, te dicente : Non peccavi; quia prorsus neglexisti emendare vias tuas.

Neminem suæ malitiæ pœnitet : Nemo est qui dicat, Quid feci?

Eccli. V. Ne dicas, Peccavi et quid mihi accidit triste? nam Dominus patiens est.

S. Basil. Occultatio vitii mortem accersit ægrotanti.

Si quid pulchri et honesti est peccatum, serves id perpetuo : sin auctori suo noxium, quid immoraris rebus perniciosis? Nemo cupidus evomendæ bilis pravo et luxurioso victu eam sibi augere studet.

Purgare convenit corpus a molestis, non autem morbum augere supra vires corporis. Vide ne, dum malorum molem tibi accumulas, spe liberationis futuræ interim fretus, peccatum quidem exaggeres, a remissione autem aberres.

Vide, homo, ne quando sera et inutilis malorum consiliorum pœnitentia tibi obveniat.

Chrysost. Non tam grave est labi, quam jacere lapsum et non resurgere.

Cum semel anima gustavit peccatum, idque sine sensu doloris, magnum inde augmentum ægritudini accedit.

Justini. Vix denuo erigitur animus ad bona
39 illa a quibus delapsus est : et ægre detrahitur ab illis malis, quibus assuetus fuerit.

Subjici et concedere affectibus, extrema servitus est, quemadmodum imperare ipsis, unica libertas.

Cum optimum sit non peccare, secundi ordinis bonum est, ad justitiam redire. Qui vero multo tempore peccans in luxuria permanet, infelicissimus habeatur oportet.

Dionysii. Non fieri potest ut veniam consequantur illi, quos peccatorum non pœnitet.

SERMO XX (*al.* CLVI).

De futuro judicio.

Matth. XVI. Filius hominis venturus est in gloria Patris sui, et tunc reddet unicuique secundum opera ejus.

καὶ τὸν Θεὸν παροξύνουσιν, ὑπομιμνήσκοντες αὐτὸν τῆς ἑαυτῶν μοχθηρίας.

Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει.

Ὅταν ἔλθῃ ὁ ἀσεβὴς εἰς πλῆθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος.

Ὁ μὴ ἰώμενος ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν.

Ὁ ἐπικαλύπτων ἀσέβειαν αὐτοῦ οὐκ εὐοδωθήσεται.

Τάδε λέγει Κύριος· « Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; Ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι. »

Ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σὲ, ἐν τῷ λέγειν σε, Οὐχ ἥμαρτον· ὅτι κατεφρόνησας σφόδρα τοῦ ἐντρέπεσθαι τὰς ὁδούς σου.

Οὐκ ἔστιν ἄνθρωπος μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ, λέγων, Τί ἐποίησα;

Μὴ εἴπῃς, Ἥμαρτον, καὶ τί μοι ἐγένετο; Ὁ γὰρ Κύριος μακρόθυμός ἐστι.

Τὸ κρύπτειν ἁμαρτίαν συγκατασκευάζει ἐπὶ τῷ νοσοῦντι τὸν θάνατον.

Εἰ μὲν καλὸν ἁμαρτία, φύλασσε ταύτην εἰς τέλος· εἰ δὲ βλαβερὰ τῷ ποιοῦντι, τί ἐπιμένεις τοῖς ὀλεθρίοις; Οὐδεὶς χολὴν ἐμέσαι ζητῶν, ἐκ πονηρᾶς καὶ ἀκολάστου διαίτης πολυπλασίονα ταύτην ἑαυτῷ συναθροίζει.

Καθαίρειν προσήκει τῶν λυπούντων τὸ σῶμα, οὐχὶ κατασκευάζειν τὴν νόσον μείζονα τῆς δυνάμεως. Ὅρα μὴ ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως πλῆθος κακῶν ἑαυτῷ συλλεξάμενος, τὴν μὲν ἁμαρτίαν ἀφῇς, τῆς δὲ συγχωρήσεως ἀποτύχῃς.

Ὅρα, ἄνθρωπε, μή ποτέ σοι μεταμελήσῃ τῶν κακῶν βουλευμάτων, ὅτε ὄφελος τῆς μεταμελείας οὐδέν.

Οὐ τὸ πεσεῖν χαλεπὸν, ἀλλὰ τὸ πεσόντα κεῖσθαι καὶ μὴ ἀνίστασθαι.

Ψυχὴ ἅπαξ ἁμαρτίας γευσαμένη, καὶ ἀναλγήτως διατεθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην.

Δυσαναβίβαστος ἡ ψυχὴ ἐπὶ ταῦτα ἀφ' ὧν ὠλίσθησε καλῶν, δυσεκβίβαστός τε τούτων, ὧν συνεθίσθη κακῶν.

Τὸ ὑποπεσεῖν καὶ παραχωρῆσαι τοῖς πάθεσιν ἐσχάτη δουλεία· ὥσπερ τὸ κρατεῖν τούτων ἐλευθερία μόνη.

Μεγίστου ὄντος ἀγαθοῦ τὸ μὴ ἁμαρτάνειν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. Ὅστις δὲ πολὺν χρόνον ἀδικῶν ἀκόλαστος μένει, τοῦτον δεῖν νομίζειν τὸν ἀτυχέστατον.

Συγγνωσθῆναι οὐ μετανοοῦντας ἐφ' οἷς ἥμαρτον, ἀδύνατον.

ΛΟΓΟΣ Κ'.

Περὶ μελλούσης κρίσεως.

Μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ὥσπερ συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ καίεται, A οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ ἐμβαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ibid. XIII. Quemadmodum colliguntur zizania et igni comburuntur, sic erit in consummatione sæculi hujus. Mittet Filius hominis angelos suos, et colligent e regno illius omnia offendicula, et eos qui patrant iniquitatem, ac mittent illos in caminum ignis : ibi erit ploratus stridorque dentium.

Τότε ἐρεῖ ὁ βασιλεὺς καὶ τοῖς ἐξ εὐωνύμων· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. »

Ibid. XXV. Tunc dicet Rex etiam illis qui ad sinistram sunt : « Discedite a me, maledicti, in ignem æternum, diabolo et angelis ejus paratum : esurivi enim et non dedistis mihi cibum. »

Σύμπαν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν, ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν, ἐὰν πονηρόν.

Eccli. XII. Deus in judicium adducet omne opus, cum omni occulta re, sive quid bonum, sive malum fuerit. B

Ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται. Ἡ γὰρ ἡμέρα δηλώσει, ὅ τι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει.

Cujusque opus manifestum fiet. Dies enim declarabit quod in igne revelatur, et cujusque opus quale sit ignis probabit.

Ἐξαναστήσεται Κύριος, καὶ ἀνταποδώσει πᾶσι, καὶ τὸ ἀνταπόδομα αὐτοῦ εἰς κεφαλὰς αὐτῶν ἀνταποδώσει

Surget Dominus, et reddet omnibus, et retributionem suam in capita ipsorum retribuet.

Ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται μετὰ θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς.

Isa. XIII. Ecce dies Domini venit cum ira et furore, ut totum orbem habitabilem desertum faciat, et peccatores de eo perdat.

Ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Ibid. LXVI. Nam vermis eorum non morietur, et ignis eorum non exstinguetur, et erunt ante conspectum omnis carnis.

Ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν· καὶ καταβήσονται εἰς αὐτὸν οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι, καὶ οἱ λιμοὶ τῆς γῆς, καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτοῖς, καὶ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται. C

Ibid. V. Inferi ingluviem suam dilatant, et ore suo sine fine debiscunt, ut descendant in eos homines gloriosi, magni et opulenti, et pestes terræ et qui in his lætantur ; oculi vero superbi humiliabuntur.

Τοὺς τῆς ἁμαρτίας καμάτους τὸ τῆς γεέννης ἐπίπονον καὶ σκυθρωπὸν ἀναμένει.

S. Basilii. Peccati labores dolore et tristitia plenum gehennæ supplicium exspectat.

Ἕκαστος τῆς οἰκείας ἐργασίας ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως τοὺς καρποὺς ἐπιγνώσεται.

Quisque suorum operum in die retributionis fructus agnoscet.

Κατὰ γὰρ τὸν Ὡσηὲ, κυκλώσει ἕκαστον τὰ διαβούλια αὐτοῦ. Ὀψόμεθα γὰρ ἅμα πάντα οἱονεὶ παρεστῶτα ἡμῖν τὰ ἔργα, καὶ φαινόμενα ἀντιπρόσωπα τῇ διανοίᾳ ἡμῶν, μετὰ τῶν ἰδίων τύπων, ὡς ἕκαστον πέπραχται, ἢ ὡς λέλεκται. Οὐ μὴν χρόνους γε προσήκει νομίζειν καταναλωθήσεσθαι, εἰς τὸ ἕκαστον ἰδεῖν ἑαυτὸν μετὰ τῶν ἑαυτοῦ πράξεων, καὶ τὸν κριτὴν, καὶ τὰ ἀκόλουθα τῷ θείῳ δικαστηρίῳ, ἀφάτῳ δυνάμει ἐν ῥοπῇ καιροῦ φανταστουμένου τοῦ νοῦ, καὶ πάντα ἀναζωγραφοῦντος ἑαυτῷ, καὶ οἱονεὶ ἐν κατόπτρῳ, τῷ ἡγεμονικῷ ἐνορῶντος τοὺς τύπους τῶν πεπραγμένων. D

Circumdabunt unumquemque, secundum Osee prophetam, consilia et cogitationes ejus. Videbimus enim omnia pariter, tanquam assistentia nobis opera, et animi oculis per formas proprias objecta intuebimur, ita ut singula facta dictave sunt. Non tamen convenit existimare quod aliqua temporis futura sit mora, ut quisque seipsum cum 40 actionibus suis, et judicem, et quæ sequuntur divinum judicium, videat : mens enim inenarrabili quadam vi uno momento imaginabitur, et omnia sibi veluti picta proponet, imo tanquam in speculo formas actionum in principe facultate animæ conspiciet.

Οἱ τὰ φαῦλα πράξαντες εἰς ὀνειδισμὸν καὶ αἰσχύνην ἀναστήσονται, ἐνορῶντες ἐν ἑαυτοῖς τὸ αἶσχος καὶ τοὺς τύπους τῶν ἡμαρτημένων. Καὶ τάχα φοβερωτέρα τοῦ σκότους καὶ τοῦ πυρὸς τοῦ αἰωνίου ἡ αἰσχύνη ἐστὶν, ἣ μέλλουσι διαιωνίζειν οἱ ἁμαρτωλοὶ, ἀεὶ ἐν ὀφθαλμοῖς ἔχοντες τὰ ἴχνη τῆς ἐν σαρκὶ ἁμαρτίας, οἱονεί τινος βαφῆς ἀνεκπλύτου.

Qui malis operibus inquinati fuerint, ad ignominiam et confusionem resurgent, cernentes in seipsis turpitudinem et formas peccatorum. Et forte gravior quam tenebræ et ignis æternus hic pudor erit, qui semper inhærebit peccatoribus, ut nunquam non ob oculos habeant vestigia sceleratæ vitæ, tanquam ineluibilis alicujus tincturæ.

Ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι καὶ καθαρισθῆναι, ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κρίσεως καιρὸς, οὐ καθάρσεως.

Theolog. Præstat in præsentia castigari et purgari, quam in examen futurum transmitti, ubi tempus erit judicii, non purgationis.

Chrysost. Solium summum honorem æternamque perennem consequentur illic a judice. Nam si criminum, et factorum, et cogitationum pœnas daturi sumus, multo magis remuneratio fiet ex quo compensabuntur.

Qui sæpius offendentes pœnam non luunt, metuere ac timere sibi debent. Augebitur enim ipsis gravitas pœnæ.

Si vitam quævis morte tristiorem degant, qui nunquam solis non intuentur, quid illos pati credendum est qui luce divina privati sunt?

Non modo justorum, sed etiam peccatorum corruptionis expertia corpora resurgent. Sed istud honoris supplicium et pœnam impiorum sibi ac auget. Immortalia enim futura resurgent, ut nunquam uri desinant. Quippe cum ignis ille sit inextinguibilis, talia sibi corpora desiderat quæ nunquam absumantur.

Cogitemus quantum sit mali in conflagratione perpetua, in tenebris, luctu infinito et dentium stridore, nemine exaudiente. Nam si apud nos quispiam ex ingenue educatis carceri inclusus, solum fœtorem, tenebras loci, et vincula cum homicidis communia, rem quavis morte acerbiorem putat: perpende quid sit comburi cum totius orbis homicidis, nec videntem alios nec aliis conspicuum, sed in tanta multitudine solum se existimantem. Siquidem opacæ illæ tenebræ ne proximos quidem dignoscere permittunt: verum ita quisque afficietur, tanquam solus supplicium luens. Quod si tenebræ etiam per se animos nostros angunt et turbant, quid fiet ubi tenebris tanti dolores et incendia accedunt? Nam eos qui fecerint iniqua, nemo suppliciis illic futuris eripiet, non parentes, non fratres. Fratrem enim non liberabit quisquam, utcunque magnæ fiduciæ fuerit, **41** et multum valuerit apud Deum. Ipse enim est qui reddit unicuique secundum opera sua: et ex operibus nostris vel salutem vel supplicium consequi licet.

Terribile est, inquit, incidere in manus Dei vivi. Scriptum est enim: « Mihi vindicta, ego retribuam, et rursum: « Dominus judicabit populum suum; » et alibi: « Super peccatores incumbet ira ejus. »

Gravissima pœnarum pudor est, quam in judicio quoque futuram didicimus: quoniam pii resurgent ad vitam æternam, impii vero ad pudorem et opprobrium æternum.

Bonis quidem operibus ornatos nemo arcere poterit a fruitione felicitatis futuræ, sed cœlestibus bonis fruentur: illi vero qui boni quidpiam omiserunt, licet nullius admissi criminis rei sint, cum impiis in ignem gehennæ deducentur. Etenim non facere bonum, hoc ipsum est facere malum. Dic age mihi, si quem servum haberes, neque furem, nec injurium, neque contradicentem tibi, et insuper tum ebrietati, tum quibuslibet aliis vitiis

[illegible] τὸν θρόνον, καὶ τιμὴν αἰώνιον, καὶ [illegible] ἐκεῖ [illegible] Εἰ γὰρ ἁμαρτημάτων καὶ [illegible] καὶ ἐνθυμημάτων τινόντων μέλλομεν [illegible], πολλῷ μᾶλλον τὰ κατορθώματα καὶ μισθὸν [illegible].

Οἱ πολλὰ πταίοντες καὶ μὴ κολαζόμενοι φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν. Αὔξεται γὰρ αὐτοῖς τὸ τῆς τιμωρίας.

Εἰ γὰρ οἱ τὸ φῶς τὸ ἡλιακὸν μὴ θεώμενοι παντὸς θανάτου πικρότερον διαγόμενοι ζωὴν [illegible] τούς τοῦ φωτὸς ἀπεστερημένους ἐκείνου;

Οὐ μόνον τῶν δικαίων, ἀλλὰ καὶ τῶν ἁμαρτωλῶν ἄφθαρτα τὰ σώματα ἀνίστανται. Ἀλλ' ἡ περὶ [illegible] τοῖς ἁμαρτωλοῖς ἐργάζεται κολάσεως καὶ τιμωρίας γίνεται. Ἄφθαρτα γὰρ ἀνίστανται, ἵνα διὰ παντὸς καίηται. Ἐπειδὴ γὰρ τὸ πῦρ ἄσβεστόν ἐστιν ἐκεῖνο, τοιούτων αὐτῷ δεῖ σωμάτων, μηδέποτε δαπανωμένων.

Ἐννοήσωμεν οὖν, ὅσον ἐστὶ κακὸν καταπίμπρασθαι διὰ παντὸς, καὶ ἐν σκότῳ εἶναι, καὶ μυρία οἰμώζειν, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μηδὲ ἀκούεσθαι. Εἰ γὰρ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν εὐγενῶς ἐντεθραμμένων, τὴν δυσωδίαν μόνον, καὶ τὸ ἐν σκότῳ καθῆσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι, παντὸς θανάτου χαλεπώτερον εἶναί φησιν· ἐννόησον τί ἐστιν, ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων κατακαιώμεθα, μήτε ὁρῶντες μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. Τὸ γὰρ σκότος τὸ ἀλαμπὲς οὐκ ἀφήσει ἡμᾶς οὐδὲ τοὺς πλησίον διαγινώσκειν, ἀλλ' ὡς μόνος τοῦτο πάσχων οὕτως ἕκαστος διακείσεται. Εἰ δὲ σκότος θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ, τί ἔσται ἄρα, ὅταν μετὰ τοῦ σκότους καὶ ὀδύναι τοσαῦται ὦσι, καὶ ἐμπρησμοί; τοὺς γὰρ ἄδικα πράξαντας τῶν ἐκεῖ οὐδεὶς ἐξαιρήσεται, οὐ πατὴρ, οὐ μήτηρ, οὐκ ἀδελφός. Ἀδελφὸν γὰρ οὐ λυτρώσεται ἄνθρωπος, κἂν πολλὴν παῤῥησίαν ἔχῃ, κἂν μεγάλα ἰσχύῃ πρὸς τὸν Θεόν. Αὐτὸς γάρ ἐστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ἀπὸ τῶν ἔργων καὶ σωθῆναι ἔνι, καὶ κολασθῆναι ἡμᾶς.

Φοβερὸν, φησὶν, τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Γέγραπται γὰρ, « Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω· » καὶ πάλιν· « Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ· » καὶ πάλιν· « Ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. »

Βαρυτάτη κολάσεων ἡ αἰσχύνη, ἣν καὶ περὶ τῆς κρίσεως μεμαθήκαμεν, ὅτι οὗτοι ἀναστήσονται εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον.

Οἱ μὲν τὰ ἀγαθὰ πράξαντες τῶν ἐκεῖ οὐδεὶς ἐξαιρήσεται ἀγαθῶν, ἀλλὰ τῶν ἐν τοῖς οὐρανοῖς ἀπολαύσονται καλῶν· οἱ δὲ ἐγκληθῆναι μὲν μηδὲν ἔχοντες κακὸν, ἐλλελοιπότες δέ τι τῶν ἀγαθῶν, μετὰ τῶν τὰ κακὰ ἐργασαμένων εἰς τὸ τῆς γεέννης ἀπαχθήσονται πῦρ. Τὸ γὰρ μὴ ποιῆσαι ἀγαθὰ, τοῦτό ἐστι τὸ ποιῆσαι κακόν. Εἰπὲ γάρ μοι, εἴ τινα οἰκέτην ἔχοις μήτε κλέπτοντα, μήτε ὑβρίζοντα, μήτε ἀντιλέγοντα, ἀλλὰ καὶ μέθης κρατοῦντα καὶ τῶν ἄλλων

ἁπάντων, καθήμενον δὲ διὰ παντὸς ἀργὸν, καὶ οὐδὲν τῶν ὀφειλόντων παρὰ οἰκέτου δεσπότῃ πληροῦσθαι ποιοῦντα, οὐ μαστιγώσεις; οὐ στρεβλώσεις αὐτόν; εἰπέ μοι.

Ἄξιόν σοι τῆς σπορᾶς τὸ θέρος. Πικρίαν ἔσπειρας, δρέπου τὰ δράγματα· τὸ ἀνηλεὲς ἐτίμησας, ἔχε ὅπερ ἠγάπησας· ἔφυγες τὸν ἕλεον, φεύξεταί σε ἔλεος· ἐδελύξω πτωχὸν, βδελύξεταί σε ὁ δι' ἡμᾶς πτωχεύσας.

Οἱ ἄνθρωποι πέρας τιμωριῶν νομίζουσι τὸν θάνατον· ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόλις οὗτός ἐστιν ἀρχή.

Ἐγειρόμεθα τοίνυν, αἰώνια μὲν ἔχοντες τὰ σώματα, οὐ πάντες δὲ ὅμοια. Ἀλλ' εἰ μέν τίς ἐστι δίκαιος, λαμβάνει σῶμα πνευματικὸν, ἵνα δύνηται μετὰ ἀγγέλων ἀναστρέφεσθαι ἀξίως· εἰ δέ τις ἁμαρτωλός ἐστι, λαμβάνει σῶμα ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν, ἵνα ἐν πυρὶ αἰωνίῳ καιόμενος, μηδέποτε καταναλωθῇ. Καὶ δικαίως ἀμφοτέροις τοῖς τάγμασιν ὁ Θεὸς παρέχει τοῦτο. Οὐ γὰρ χωρὶς σώματος ἡμῖν πέπρακταί τι.

Ἆδου τινὸς ἀνοίγονται πύλαι βαθεῖαι, καὶ ποταμοὶ πυρὸς ὁμοῦ καὶ Στυγὸς ἀποῤῥῶγες ἀναχεράνυνται, καὶ σκότος ἐμπίπλαται πολυφάντασον εἰδώλων, χαλεπὰς μὲν ὄψεις, οἰκτρὰς δὲ φωνὰς ἐπιφερόντων. Δικασταὶ δὲ, καὶ κολασταὶ, καὶ χάσματα, καὶ μυχοὶ μυρίων κακῶν γέμοντες.

ΛΟΓΟΣ ΚΑ'.

Περὶ ἀληθείας καὶ μαρτυρίας πιστῆς.

Prov. X. Qui nititur mendaciis, ventos pascet, et aves alatas persequetur.

Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους. Ὁ δ' αὐτὸς διώξεται ὄρνεα πτερωτά.

Prov. XII. Labia mendacia Dominus abominatur.

Βδέλυγμα Κυρίῳ χεῖλη ψευδῆ.

Vanum et mendacem sermonem procul a me remove.

Μάταιον λόγον καὶ ψευδῆ μακρὰν ποίησον ἀπ' ἐμοῦ.

Lingua mendax odit veritatem.

Γλῶσσα ψευδὴς μισεῖ ἀλήθειαν.

Prov. XIV. Excitat mendacia testis iniquus, et discordiam fratribus immittit.

Ἐκκαίει ψευδῆ μάρτυς ἄδικος, καὶ ἐπιπέμπει χρίσεις ἀνὰ μέσον ἀδελφῶν.

Ibid. XIX. Testis falsus non erit impunitus.

Μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται.

Ibid. XXI. Testis falsus peribit; testis iniquus deceptor est.

Μάρτυς ψευδὴς ἀπολεῖται. Ὁ μάρτυς ἀδίκων ὄλιος.

Zachar. Ne diligatis falsum juramentum, quoniam Hæc omnia odi, inquit Dominus omnipotens.

Ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε, δεῖσε, Ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ.

Jerem. Veritatem non loquentur. Linguâ eorum didicit loqui mendacium.

Ἀλήθειαν οὐ μὴ λαλήσωσι· μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψεῦδος.

Basilii. Improbitatis extremus finis est mendacium. Lapsus a veritate privatio visus est in mente et obcæcatio.

Ἔσχατος ὅρος τῆς πονηρίας ἐστὶ τὸ ψεῦδος· τῆς ἀληθείας ἀπόπτωσις ἀορασία ἐστὶ διανοίας καὶ τύφλωσις.

Τὸ μὲν ἀληθὲς ἓν, τὸ δὲ ψεῦδος πολυσχιδές.

Εὐάλωτον ἡ πονηρία, καὶ πάντοθεν ἑαυτῇ περιπίπτουσα.

Ἡ ἀλήθεια τὴν γῆν κατέλιπεν. Οἱ συκοφάνται τὸ ψεῦδος πιπράσκουσιν, ἀλλήλους ψευδόμενοι τοὺς ὅρκους ἀνάλωσαν, εἰς τὸ ὀμνύειν καὶ μόνον τὸν Θεὸν ἐπιστάμενοι.

Τὸ ψεῦδος ἐν πρώτοις λεχθὲν, πλείονα πίστιν ἔχει παρὰ τὴν ἐν δευτέρῳ λόγῳ δεικνυμένην ἀλήθειαν.

Τὸ μὴ ἑαυτὸν μαρτυρεῖν ἱκανὸν, τῆς δὲ ἀφ' ἑτέρου χρῄζον συνηγορίας ἀβέβαιον εἰς πίστιν.

Ψεῦδός ἐστι φαντασία τις περὶ τὸ μὴ ὂν ἐγγινομένη τῇ διανοίᾳ, ὡς ὑφεστῶτος τοῦ μὴ ὑπάρχοντος.

Τὸ ψεῦδος ὅταν θέλῃ πιστευθῆναι, ἐὰν μὴ πήξῃ θεμέλιον δοκούσης ἀληθείας, οὐ πιστεύεται.

Καλὸν γάρ ποτε καὶ τὸ ψεῦδος, ὅταν ὠφελοῦν τοὺς λέγοντας, μηδὲν καταβλάπτῃ τοὺς ἀκούοντας.

ΛΟΓΟΣ ΚΓ'.

Περὶ ἀδελφῶν, καὶ φιλαδελφίας, καὶ μισαδελφίας.

Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους.

Ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν;

Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. Αὐτοὶ γὰρ θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους.

Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν.

Ἰδοὺ δὴ εἰ καλὸν ἢ εἰ τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ἀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ὥσπερ εὖ τεθεμελιωμένον βασίλειον.

Ἀδελφοὶ ἐν ἀνάγκαις ἀλλήλοις χρήσιμοι ἔστωσαν· εἰς τοῦτο γὰρ γεννῶνται.

Ἀδελφοὶ καὶ βοήθεια ἐν καιρῷ θλίψεως· καὶ ὑπὲρ ἀμφότερα ἐλεημοσύνη ῥύσεται.

Μὴ μισήσῃς σου τὸν ἀδελφὸν (καὶ ταῦτα ὀφειλὴν ὑπὲρ οὗ Χριστὸς ἀπέθανε, καὶ οὓς ἀδελφὸς ἐγένετο, Θεὸς ὢν καὶ Δεσπότης.

Οὐκ ἔστιν ἀντίκτησις οὐδεμία ἀδελφοῦ, ὥσπερ οὐδὲ χειρὸς ἀφαιρεθείσης.

Οἱ ἀδελφοὺς παρέντες, καὶ ἄλλους φίλους ζητοῦντες, παραπλήσιοί εἰσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

Theologi. Verum quidem unum est, mendacium autem multiplex.

Chrysost. Facile capitur improbitas, et undique per seipsam implicatur.

Veritas terram reliquit. Calumniatores vendunt mendacium, decipiendo se invicem juramenta consumunt, non aliter quam jurando solum Dei memores.

Isidori Pelusiotæ. Mendacium ab initio dictum magis persuadet, quam posteriori sermone indicata veritas.

Philonis. Non potest firmam fidem facere, cujus testimonium per se non est sufficiens, sed alieno patrocinio indiget.

Mendacium est imaginatio quædam circa non ens in animo oborta, tanquam subsistat id quod non est.

Severiani. Mendacium quando fidem facere voluerit, nisi veritatis apparentis fundamentum fixerit, non persuadebit.

Chariclis. Bonum est aliquando mendacium quoque, cum ita juvat mentientes, ut audientes non lædat.

SERMO XXIII [*al.* CXXXVI].

De fratribus, et amore ac odio in fratres.

Joan. XIII. In hoc omnes cognoscent quod mei discipuli estis, si diligatis vos invicem.

I Joan. IV. Si quis Deum se diligere dixerit, et fratrem suum odio habet, mendax est. Nam qui fratrem suum, quem vidit, non diligit: Deum quem non vidit, quomodo diligere potest?

I Thess. IV. De amore fraterno non opus habetis ut scribatur vobis. Vos ipsi enim a Deo docti estis, ut nos invicem diligatis.

I Joan. III. Quisquis odit fratrem suum, homicida est.

Psal. CXXXII. Ecce quid melius aut jucundius est, quam fratres simul habitare?

Prov. XVIII. Frater adjutus a fratre est tanquam civitas munita et excelsa, et æquipollet bene fundato palatio (1).

Fratres in necessitatibus sibi subveniant: ad hoc enim procreantur.

Sirach. XL. Fratres et auxilium tempore afflictionis; præ utrisque autem misericordia liberabit.

Theologi. Ne oderis fratrem tuum, pro quo mortuus est Christus, idque gratis: et cum Deus ac Dominus esset, frater tuus factus est.

Plutarchi. Nulla est fratris recuperatio, ut neque manus ablatæ.

Socratis. Qui fratribus relictis alios amicos quærunt, consimiles sunt illis, qui res suum deserunt et alienum colunt.

(1) *Longe alius sensus est apud Hebræos.*

SERMO XXIV [*al.* CXXXV].

De amicis et amore fraterno.

Joan. XIII. In hoc omnes cognoscent quod mei discipuli estis, si diligatis vos invicem.

I Cor. XIII. Si linguis hominum loquar et angelorum, charitatem autem non habeam, factus sum æs resonans aut cymbalum tinniens.

Galat. V. Universa lex in hac una completur, quæ proximum ut seipsum diligere præcipit.

Sirach. Quisquis fratrem pauperem odit, alienus est ab amicitia.

Basilii. Improborum et imperitorum nemo est amicus. Nam honestas amicitiæ non cadit in pravam affectionem. Siquidem nihil turpe et indecens ad amicitiæ concinnitatem redigi potest. Quippe malum non bono tantum, sed ipsum etiam sibi adversatur.

Amicorum dicta, licet injuria, toleranda sunt.

Minus suspecta esse debent vulnera quæ amicus inflixit, quam simulata inimicorum oscula.

Theologi. Nihil est quod mereatur pro fideli amico permutari, nec potest satis ponderari decus ejus. Amicus fidelis validum munimentum est: et qui invenerit ipsum, invenit thesaurum.

Boni semper præferendi sunt non bonis. Malis autem conversans, omnino malus evades.

Amicitia tum patiendo, tum audiendo 45 nihil non tolerabit.

Discordia propter pietatem melior est, quam concordia alieni vitio obnoxia.

Chrysost. Qui inimicos regis familiares habet, non potest amicus esse regis.

Febris non tantum inurit corporis naturam, quantum animos amantium se disjunctio.

Præstat solem nobis exstingui, quam privari amicis; multi enim solem videntes in tenebris sunt: qui autem amicorum copiam habent, in afflictione esse non possunt. Nihil enim, nihil amicitia jucundius accidere potest. Nam quid non faceret sincerus amicus? Quantum voluptatis, quantum utilitatis, quantum denique securitatis ille non afferret? Infinitos licet thesauros narres, nihil omnium tamen sinceri amici pretium æquaverit.

Valde amari cupere ex valde amando nascitur.

Animum sæpius excitat, non solum memoria illorum quos amamus, sed vestis etiam eorum visa, aut littera quam pinxerit exoptata manus, aut aliud quidpiam factum obvium, quo illi utebantur.

Profecta ab illis qui amantur, licet exigua, desideranti videntur magna.

Quamvis gladium strinxeris adversus amicum, non tamen desperes. Patet enim reditus ad ipsum, si os aperueris: noli desperare, licebit enim reconciliari, si abeit exprobratio et arcanorum detectio.

ΛΟΓΟΣ ΚΔ'.

Περὶ φίλων καὶ φιλαδελφίας.

Ἐν τούτῳ εἴσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους.

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον.

Πᾶς ὁ νόμος ἐν ἑνὶ μόνῳ πεπλήρωται, ἐν τῷ, « Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. »

Πᾶς ὁ ἀδελφὸν πτωχὸν μισῶν τῆς φιλίας μακράν ἐστιν.

Οὐδεὶς πονηρῶν καὶ ἀμαθῶν φίλος. Οὐδὲ γὰρ πέπτει τὸ τῆς φιλίας καλὸν εἰς μοχθηρὰν διάθεσιν. Διότι οὐδὲν αἰσχρὸν καὶ ἀνάρμοστον εἰς συμφωνίαν δύναται χωρῆσαι φιλίας. Τὸ γὰρ κακὸν οὐ τῷ ἀγαθῷ ἐναντίον ἐστὶ μόνον, ἀλλὰ καὶ αὐτῷ ἑαυτῷ.

Τὰ παρὰ φίλων λεγόμενα, κἂν ὕβρις ᾖ, φορητά.

Ἀξιοπιστότερα τραύματα φίλου ἢ ἀκούσια φιλήματα τοῦ ἐχθροῦ.

Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν, οὐδέ τις σταθμὸς τῆς καλλονῆς αὐτοῦ. Φίλος πιστὸς σκέπη κραταιά· καὶ ὁ εὑρὼν αὐτὸν εὗρεν θησαυρόν.

Ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν. Κακοῖς δ' ὁμιλῶν, καὶ κακὸς πάντως ἔσῃ.

Πάντα εἶσαι φιλία, καὶ πάσχουσα καὶ ἀκούουσα.

Κρείσσων ἐμπαθοῦς ὁμονοίας ἡ ὑπὲρ εὐσεβείας διάστασις.

Ὁ τοῖς ἐχθροῖς τοῦ βασιλέως συμφιλιάζων οὐ δύναται φίλος τοῦ βασιλέως εἶναι.

Οὐχ οὕτως πυρετὸς καταναλίσκειν εἴωθε σώματος φύσιν, ὡς τὰς ψυχὰς τὸ χεχωρίσθαι τῶν φιλουμένων.

Βέλτιον ἡμῖν σβεσθῆναι τὸν ἥλιον ἢ φίλων ἀποστερηθῆναι. Πολλοὶ γὰρ τὸν ἥλιον ὁρῶντες, ἐν σκότῳ εἰσί. Φίλων δὲ εὐπορούντες, οὐδ' ἂν ἐν θλίψει γένοιντο. Οὐδὲν γὰρ, οὐδὲν τῆς ἀγάπης γλυκύτερον γένοιτο ἄν. Τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος; πόσην μὲν οὐκ ἂν ἐμποιήσειεν ἡδονήν; πόσην δὲ ὠφέλειαν; πόσην ἀσφάλειαν; κἂν μυρίους θησαυροὺς εἴποις, οὐδὲν ἀντάξιον γνησίου φίλου εὕροις.

Τὸ σφόδρα φιλεῖσθαι ἐθέλειν ἀπὸ τοῦ σφόδρα φιλεῖν γίνεται.

Διανίστησιν ὡς τὰ πολλὰ τὴν ψυχὴν οὐ μόνον ἡ μνήμη τῶν φιλουμένων, ἀλλὰ καὶ ἱμάτιον αὐτῶν ὀφθὲν, καὶ γράμμα τῆς ποθουμένης χειρὸς, ἢ ἄλλο τι, ὅπερ ἐκεῖνοι ἐχρῶντο, ἐπὶ χεῖρας ἐλθόν.

Τὰ παρὰ τῶν φιλουμένων, κἂν μικρὰ τυγχάνῃ, μεγάλα τῷ ποθοῦντι φαίνεται.

Ἐπὶ φίλον ἐὰν καὶ σπάσῃς ῥομφαίαν, μὴ ἀπελπίσῃς· ἔστι γὰρ ἐπάνοδος ἐπὶ φίλον, ἐὰν ἀνοίξῃς στόμα· μὴ ἀπογνῷς· ἔστι γὰρ διαλλαγὴ, ἄνευ ὀνειδισμοῦ καὶ μυστηρίων ἀποκαλύψεως.

Οἱ μεγάλοι κίνδυνοι καὶ τοὺς τῆς φιλίας λύουσι νόμους.

Magna pericula dissolvunt etiam amicitiæ leges. A

Τὸ μὲν ἀγαπᾷν τοὺς μισοῦντας ἀρετῆς καὶ θεῖον· τὸ δὲ τοὺς ἀγαπῶντας, ἀνθρώπινον καὶ κοινόν· τὸ δὲ μισεῖν καὶ τοὺς ἀγαπῶντας; οὐδὲ θηρίων εἶμαι.

Photii patriarchæ. Diligere illos qui nos habent odio, divina quædam virtus est : amantes autem redamare, humanum et vulgare est : ipsos vero odisse diligentes, ne belluis quidem convenire videtur.

Φίλον ἡγητέον τὸν βοηθεῖν καὶ ἀντωφελεῖν ἐθέλοντα, κἂν μὴ δύνηται.

Philonis. Amicus ducendus est, qui auxilium et operam mutuam, si re ipsa non potest, voluntate saltem præstat.

Ἐν μὲν τοῖς ἄλλοις τὸ μέτρον ἄριστον· ἐν δὲ τῇ ἀγάπῃ ὁ τὸ πλεῖον ἔχων θεοφιλέστερος.

Firmi. In cæteris quidem rebus laudatur mediocritas : in amore vero qui plurimum habuerit, is Deo charior fit.

Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρίνομεν.

Plutarchi. Equi bonitatem in bello, amici vero fidem in calamitate judicamus.

Σκεύη μὲν τὰ καινὰ κρείττονα, φιλία δὲ ἡ παλαιοτέρα. B

Vasa quidem meliora sunt nova : sed amicitia præstat quo vetustior.

Πολλοὶ φίλους αἱροῦνται οὐ τοὺς ἀρίστους, ἀλλὰ τοὺς πλουτοῦντας.

Amicos multi non optimos, sed divites eligunt.

Ἡ ἀληθινὴ φιλία τρία ζητεῖ μάλιστα· τὴν ἀρετὴν, ὡς καλὸν, καὶ τὴν συνήθειαν, ὡς ἡδὺ, καὶ τὴν χρείαν, ὡς ἀναγκαῖον.

Vera amicitia tria præcipue requirit : virtutem, ut honestum ; familiaritatem, ut jucundum ; et utilitatem, ut necessarium.

Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

Isocratis. Tarde quidem ineas amicitiam, initam vero constanter serves. Æque enim turpe est amicum non habere, ac in amicitia inconstantem esse.

Δοκίμαζε τοὺς φίλους ἐκ τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας. Τὸ μὲν γὰρ χρυσίον ἐν πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις γινώσκομεν.

Amicos probabis ex calamitate in vita et communicatione periculorum. Aurum enim igne probamus, amicos in adversa fortuna cognoscimus.

Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δόξῃς μηδὲ τῶν παρόντων ὀλιγωρεῖν. C

Absentium amicorum apud præsentes mentionem facito, ut etiam præsentes non videaris negligere.

Διὰ μὲν γὰρ τῶν ὀφθαλμῶν μόλις ὁρᾷν ἔστι τὰ ἐμπροσθὼν, διὰ δὲ τῶν φίλων καὶ τὰ ἐπὶ γῆς πέρα θεάσασθαι.

Dionis. Oculis quidem vix ea videre licet quæ ante pedes sunt : per amicos autem etiam longius remota conspiciuntur.

Διὰ μὲν τῶν ὤτων οὐκ ἄν τις ἀκούσαι καὶ τὰ σφόδρα ἐγγύθεν· διὰ δὲ τῶν φίλων οὐδενὸς τῶν ἀναγκαίων ὁποιδήποτε ἀνήκοός ἐστι.

Chrysost. Auribus quidem vix ea hauriuntur quæ proxima sunt : per amicos omnia ubivis necessaria audire datur.

Ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέρει μετὰ φίλων ἢ μόνος εὐτυχίαν τὴν μεγίστην.

Facilius quis cum amicis gravissimam calamitatem fert, quam solus vel maximam prosperitatem.

Τίς ἐπιτήδειος πρὸς φιλίαν; Ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος.

Aristot. Quis idoneus est amicitiæ ? Qui plurimas injurias ferre potest.

Ὥσπερ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ φιλία τοῖς τῶν χρωμένων ἤθεσι.

Demosthenis. Sicut vinum attemperatur ingeniis bibentium, ita et amicitia pro moribus utentium variat.

Φίλον γνήσιον ἐν κακοῖς μὴ φοβοῦ. D

Socratis. Amicum sincerum in rebus adversis ne timeas.

Τὸν σπουδαῖον φίλον πρὸς μὲν τὰς εὐφροσύνας κληθέντα δεῖ παρεῖναι· πρὸς δὲ τὰς περιστάσεις αὐτόκλητον δεῖ συμπαρεῖναι.

Democriti. Probum amicum gaudiis quidem vocatum adesse decet, adversis autem casibus sua sponte.

Οἱ ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδείας, καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν, ὧν μὲν συναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες.

Veri amici tum suaves amicitias fruitione communi, tum calamitates leviores participatione sua reddunt.

Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,
Ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι.

Euripidis. Hoc scio et plane expertus sum, quod omnes amici fiant divitibus.

Φίλον ἐκεῖνον νόμιζε, ὅστις αὐτὸν σὲ, ἀλλὰ μὴ τὰ περὶ σὲ ἀγαπᾷ.

Amicum existimes qui teipsum diligit, non tua.

Βέλτιον πολλὰ χρήματα ἀπολέσαντα, ἕνα φίλον κτήσασθαι, ἢ ἕνα φίλον ἀπολέσαντα, πολλὰ χρήματα κτήσασθαι.

Moschionis. Satius est multis pecuniis amissis unum amicum comparare, quam amico uno amisso multas adipisci pecunias.

Pecuniæ non debent pro amico haberi, sed amicus pro pecuniis.

Theognidis. Multi ad pocula chari fiunt amici, in rebus autem seriis pauciores.

Menandri. Aurum quidem probari solet igne; amici vero benevolentia tempore judicatur.

Verus amicus est, qui calamitatum quoque particeps fuerit cum amicis.

Equi usum aspera via prodit, et amicum benevolum calamitates discernunt.

Epicteti. In prosperitate facillime reperias amicum : adversante autem fortuna difficillime.

Adversorum casuum necessitas amicos probat, arguit inimicos.

Amicis præsentibus beneficia, absentibus bona verba conferre oportet.

A nemine amari se cogitet, qui neminem amat.

Et medicum et amicum deligere oportet, non qui jucundior, sed qui sit utilior.

Sexti. Amicum non diligas utilitatis gratia. Nam talis amicitia brevis et instabilis est.

Pittaci. Erga amicos esto constans, erga inimicos cautus.

47 *Nicoclis.* Primum judicare, deinde amare convenit, non vice versa.

Libanii. Si fueris sordidus, non habebis optimum amicum.

Cum amicis feliciter agentibus gaudendum est, et afflictis condolendum.

Omnibus esto comis, familiares autem habeas optimos.

Fidelis amici loco istum habeas, quem non compotatio, sed temporis calamitas probat, et qui nihil tibi indulget nisi profuturum.

Solonis. Amicus secundum Deum veracibus verbis mel et lac profundit.

Raro ad amicum ingreditor, ne tui satur te oderit.

Nunquam desideres amicum tibi comparare, qui neque in corpus nec in animam tuam beneficus esse queat.

Idem fuerit, ex aureo poculo remedium bibere, et ab amico benevolo consilium capere.

SERMO XXV [*al.* CXXXVII].

De amicis improbis.

Prov. III. Ne moliaris in tuum amicum mala, prope habitantem et confidentem in te.

Ne deseras amicum veterem : novus enim non par est ei. Vinum novum, amicus novus, inveteratum autem cum gaudio bibes.

Amicus est in tempore suo (*alias*, particeps mensæ) et non permanebit afflictionis tempore. Dum res tibi secundæ sunt, erit sicut tu : et cum humiliatus fueris, erit tibi contrarius.

Ibid. Separare ab inimicis tuis, et ab amicis tuis tibi cave.

A Οὐ τὰ χρήματα φίλοι, ἀλλ' οἱ φίλοι χρήματα.

Πολλοὶ παρ' κρητῆρι φίλοι γίνονται ἑταῖροι,
Ἐν δὲ σπουδαίῳ πράγματι παυρότεροι.
Χρυσὸς μὲν οἵδε δοκιμάζεσθαι πυρί,
Ἡ πρὸς φίλους δ' εὔνοια καιρῷ κρίνεται.

Φίλος ἀληθὴς ὁ κοινωνῶν καὶ ἐν ταῖς συμφοραῖς τοῖς φίλοις.

Ὄνου χρείαν ἐλέγχει τραχύτης ὁδοῦ, καὶ φίλον εὔνουν αἱ συμφοραὶ διακρίνουσιν.

Ἐν εὐτυχίᾳ φίλον εὑρεῖν εὐπορώτατον· ἐν δὲ δυστυχίᾳ πάντων ἀπορώτατον.

Ἡ τῶν περιστάσεων ἀνάγκη τοὺς μὲν φίλους δοκιμάζει, τοὺς δὲ ἐχθροὺς ἐλέγχει.

Παρόντας μὲν τοὺς φίλους δεῖ εὖ ποιεῖν, ἀπόντας
B δὲ εὐλογεῖν.

Ὑπ' οὐδενὸς φιλεῖσθαι δοκείτω τις, μηδένα φιλῶν.

Καὶ ἰατρὸν καὶ φίλον οὐ τὸν ἥδιον, ἀλλὰ τὸν ὠφελιμώτατον ἐκλέγεσθαι χρή.

Φίλον μὴ αἱροῦ διὰ τὴν ὠφέλειαν· τοιαύτη γὰρ φιλία βραχεῖα καὶ ἀβέβαιος.

Περὶ μὲν τοὺς φίλους ἴσθι βέβαιος, περὶ δὲ τοὺς ἐχθροὺς ἀσφαλής.

Δεῖ κρίναντας φιλεῖν, οὐ φιλήσαντας κρίνειν.

Ὑπαρὸς ὑπάρχων, οὐχ ἕξεις ἄριστον φίλον.

Συγχαίρειν χρὴ τοῖς φίλοις καλῶς πράττουσιν;
C ὡς καὶ συναλγεῖν λυπουμένοις.

Ἡδέως ἔχε πρὸς ἅπαντας, πλὴν χρῶ τοῖς βελτίστοις.

Πιστοῦ φίλου νόμιζε μηδὲν' ἄξιον,
Ὃν οὐ κρατὴρ ἔδειξε, καιροῦ δὲ ζάλη.
Ὃς οὐ χάριζε ἢ μόνον τὸ συμφέρον.

Ὁ κατὰ Θεὸν φίλος ῥέει μέλι καὶ γάλα τοῖς ἀληθέσι λόγοις.

Σπάνιον εἴσαγε σὸν πόδα πρὸς τὸν φίλον, ἵνα μὴ σου πλησθεὶς, μισήσῃ σε.

Μηδέποτε ὀρεχθῇς κτήσασθαι φίλον τὸν μήτε ψυχὴν μήτε σῶμά σου εὖ ποιῆσαι δυνάμενον.

Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον, καὶ παρὰ
D φίλου εὐγνώμονος συμβουλίαν λαμβάνειν, ταυτόν ἐστιν.

ΛΟΓΟΣ ΚΕ'.

Περὶ φίλων μοχθηρῶν.

Μὴ τέκταινε ἐπὶ τὸν φίλον καὶ παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί.

Μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον. Ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἴσος αὐτῷ. Οἶνος νέος φίλος νέος· ἂν δὲ παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν.

Ἔστι φίλος ἐν καιρῷ αὐτῷ (*al.* κοινωνὸς τραπεζῶν), καὶ οὐ μὴ παραμείνῃ ἐν καιρῷ θλίψεως· καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσται ὡς σύ· καὶ ἐὰν ταπεινωθῇς, ἔσται κατὰ σοῦ.

Ἀπὸ τῶν ἐχθρῶν σου διαχωρίσθητι, καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε.

Ἔστι φίλος ὀνόματι φίλος.

Εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ (1) κτῆσαι αὐτόν, καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ.

Ὁ ὀνειδίζων φίλον αὐτοῦ διαλύσει φιλίαν.

Οἱ ἀκόλαστοι τὴν γνώμην μέχρι μὲν ἐν τῷ στόματι αὐτῶν τὰ σιτία τυγχάνει, εὐφημοῦσι, κολακεύουσιν, ὑπερθαυμάζουσιν· ὀλίγον δὲ τῆς τραπέζης ὑπερταθείσης, ὥσπερ τισὶ λίθοις, τοῖς λόγοις, ταῖς βλασφημίαις βάλλουσιν, ὃν πρὸ βραχέος ἴσα Θεῷ διὰ τὴν ἡδονὴν προσεκύνουν.

Φεύγειν δεῖ τὴν φιλίαν, ὧν ἀμφίβολος ἡ διάθεσις.

Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις. Ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

Τὸ φιλεῖν ἀκαίρως ἴσον ἐστὶ τῷ μισεῖν.

Τὸ μὴ δύνασθαι βοηθεῖν τοῖς φίλοις ἀπορίας, τὸ δὲ μὴ βούλεσθαι κακίας τεκμήριον.

Ἄφροσι μὴ χρῶ φίλοις, ἐπεὶ κληθήσῃ καὶ σὺ παντελῶς ἄφρων.

Ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων. Τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται· τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσὶ, καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι.

Μυστήριον ἐν φιλίᾳ ἀκούσας, ὕστερον ἐχθρὸς γενόμενος μὴ ἐκφάνῃς. Ἀδικεῖς γὰρ οὐ τὸν ἐχθρὸν, ἀλλὰ τὴν φιλίαν.

Μὴ κτῆσαι φίλον, ᾧ μὴ πάντα πιστεύεις.

Αἱ ἐκ φίλων εἰς φίλους γενόμεναι λύπαι δυσθεράπευτοι λίαν τυγχάνουσι, καὶ μείζως τῶν ἐχθρῶν ἔχουσι τὰς ἐπηρείας.

Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ, καὶ οὐ φοβηθήσῃ αὐτὸν ἐχθρὸν γενόμενον.

Ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου. Ἔλπιζε δ' αὐτὸν πάλιν εἶναί σου φίλον.

Ἡδίων πολλάκις φιλία μετὰ τὴν τῆς ἔχθρας ὑπόθεσιν, αὖθις εἰς καταλλαγὴν ἐλθοῦσα.

Φεύγειν δεῖ κακῶν φιλίας, καὶ ἀγαθῶν ἔχθρας.

ΛΟΓΟΣ ΚϚ'.

Περὶ ἀγάπης, καὶ εἰρήνης, καὶ ὁμονοίας, καὶ εἰρηνοποιῶν.

Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν.

Ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός.

Οἱ θέλοντες τὴν εἰρήνην εὐφρανθήσονται.

Καλύπτουσιν ἔχθραν χεῖλη δίκαια.

Ὁ ἐλέγχων μετὰ παῤῥησίας εἰρηνοποιεῖ.

Θυμὸν ἀνδρὸς πραΰνει θεράπων σιγηρός.

Ὃς κρύπτει ἀδίκημα ζητεῖ φιλίαν.

Πάντας τοὺς μὴ φιλονεικοῦντας καλύψει φιλία.

A *Ibid.* XXXVII. Amicus est nomine amicus.

Ibid. VI. Si quæris amicum, in rebus adversis eum tibi pares, et non statim credideris ei (1).

Ibid. XXII. Qui exprobrat amico suo, dissolvet amicitiam.

Basilii. Quorum intemperans animus est, illi dum cibos ore tenent, grata verba loquuntur, adulantur, et immodice admirantur : mensa vero aliquantisper dilata, verbis convicia tanquam lapides in illum effundunt, quem paulo ante instar Dei propter voluptatem adorabant.

Plutarchi. Fugienda est amicitia illorum quorum animus incertus et dubius est.

Isocratis. Nullum tibi amicum sumas, priusquam inquisiveris, quomodo se cum prioribus amicis B gesserit. Exspectabis enim talem erga te quoque futurum, qualis fuit erga illos.

Socratis. Amor intempestivus similis est odio.

Democriti. Amicis subvenire non posse, inopiæ, non velle autem, malitiæ signum est.

48 *Menandri.* Stultos in amicitiam ne recipias, alioqui tu etiam plane stultus vocaberis.

Demonactis. Pauciora mala contingunt hominibus ab inimicis, quam amicis. Inimicos enim cum metuant, ab eis cavent : amicis vero aperti sunt, unde periculis exponuntur, et insidiis ipsorum facile capiuntur,

Arcanum in amicitia auditum, inimicus postea factus, ne efferas : læderes enim non tam ipsum amicum quam amicitiam. C

Ne pares amicum, cui non ausis per omnia credere.

Libanii. Amicorum inter se offensiones ægerrime conciliantur, et majoribus contumeliis aguntur quam hostium.

Secretum tuum amico ne indicaveris, et non metues ipsum inimicum tibi factum.

Philistionis. Ne propter iram effutias arcana amici. Quin speres ipsum denuo amicum tibi fore.

Sæpe jucundior fit amicitia, quæ deposita simultate ad concordiam rediit.

Fugiendæ sunt malorum amicitiæ, et bonorum inimicitiæ.

SERMO XXVI (*al.* LVI).

De charitate, seu dilectione, pace, concordia et pacificis. D

Psalm. XXXIV. Quære pacem, et eam persequere.

Psalm. XXXVI. Est derelictio homini pacifico.

Psalm. CXIX. Cum iis qui pacem oderunt, eram pacificus.

Solomon. Cupientes pacem lætitia afficientur.

Occultant inimicitiam labia justa.

Libere reprehendens pacem conciliat.

Iram viri mitigat famulus taciturnus.

Qui celat injuriam, quærit amicitiam.

Omnes non contentiosos teget amicitia.

(1) ἐν πειρασμῷ *alii exponunt, experimento probatum.*

Responsum submissum iram avertit.

Melius est frustum panis cum lætitia in pace, quam domus multis bonis plena et iniquis victimis cum contentione.

Melius est accipi hospitem oleribus amice et gratiose, quam si apponerentur vituli cum inimicitia.

Zach. VIII. Veritatem et pacem diligite, dicit Dominus.

Isa. XXVI. Pacem, Domine Deus, da nobis, cum omnia nobis dederis.

Eccli. Multi pacifici sint tibi.

Matth. V. Dixit Dominus, Diligite inimicos vestros, benedicite iis qui exsecrantur vos, benefacite iis qui vos oderunt, et orate pro iis qui vos offendunt et persequuntur, ut sitis filii Patris vestri qui est in cœlis : quia solem suum exoriri facit super improbos et probos, et pluviam demittit super justos et injustos.

Beati pacifici, quoniam ipsi filii Dei vocabuntur.

48 *Joan.* XIV. Pacem relinquo vobis, pacem meam do vobis.

Matth. X. In quamcunque domum ingressi fueritis, primum dicite : Pax huic domui ; et si fuerit illic filius pacis, requiescet super illum pax vestra; sin secus, ad vos se reflectet.

Luc. VI. Dixit Dominus : Si diligitis eos qui vos diligunt, quæ vobis est gratia? Nam et peccatores eos a quibus diliguntur, diligunt. Et si benefeceritis his qui vobis benefaciunt, quæ vobis est gratia? Siquidem et peccatores hoc faciunt. Et si mutuum dederitis his a quibus speratis vos recepturos, quæ gratia est vobis? Nam et peccatores peccatoribus dant mutuum, ut recipiant paria. Quin imo diligite inimicos vestros, et benefacite, et mutuum date, nihil inde sperantes; et erit merces vestra multa, et eritis filii Altissimi, quia ipse benignus est erga ingratos ac malos. Estote ergo misericordes, sicut et Pater vester misericors est.

Joan. XV. Dixit Dominus : Præceptum novum do vobis, ut diligatis vos invicem, sicut ego vos dilexi, ut et vos diligatis vos invicem. In hoc enim cognoscent omnes quod mei discipuli sitis, si charitatem habeatis inter vos.

Ibid. XV. Hoc est præceptum meum, ut vos mutuo diligatis; majorem hac charitatem nemo habet, quam ut ponat aliquis vitam suam pro suis amicis.

Rom. XII. Quoad a vobis fieri potest, cum omnibus hominibus pacem habete.

Hebr. XII. Pacem persequimini cum omnibus, et sanctimoniam, sine qua nemo Deum visurus est.

Rom. XIII. Nemini quidquam debete, nisi ut mutuo alii alios diligatis. Qui enim alterum diligit, legem complevit; nam illud : Non committes adulterium, non furaberis, non falsum dices testimo-

A Ἀπόκρισις ὑποκύπτουσα ἀποστρέφει θυμόν.

Κρεῖσσον ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης·

Κρεῖσσον ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν χάριν, ἢ παράθεσις μόσχων μετὰ ἔχθρας.

Τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπᾶτε, λέγει Κύριος.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· Πάντα γὰρ ἀπέδωκας ἡμῖν.

Οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί.

Εἶπεν ὁ Κύριος, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε B τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων, ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν, τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν.

Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε, Εἰρήνη τῷ οἴκῳ τούτῳ· καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· ἐὰν δὲ μή γε, ἐφ' ὑμᾶς ἐπανακάμψει.

Εἶπεν ὁ Κύριος· Ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί ; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. Καὶ ἐὰν C ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί ; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί ; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ τοῦ Ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

Εἶπεν ὁ Κύριος· Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.

Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

Ὅσον δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε.

Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους. Ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκεν. Τὸ γάρ, Οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐν-

σολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. Πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Πᾶς ὁ νόμος ἐν ἑνὶ μόνῳ πεπλήρωται, ἐν τῷ· Ἀγαπήσεις τὸν πλησίον ὡς σεαυτόν.

Ἐπὶ πᾶσι τὴν ἀγάπην διώκετε, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος.

Ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς. Ἡ γὰρ ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν.

Αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους.

Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ὁ Χριστὸς B τὴν ψυχὴν αὐτοῦ ἔθηκεν ὑπὲρ ἡμῶν· καὶ ἡμεῖς τοίνυν ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν θεῖναι τὰς ψυχάς.

Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν.

Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ. Ἐν τούτῳ γνωσόμεθα, ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν.

Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστιν· καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν.

Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ ἐν ἡμῖν τετελειωμένη ἐστίν. C

Ἐάν τις εἴπῃ, ὅτι Ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν;

Οὐδέν ἐστιν ἄμεινον εἰρήνης, ἐν ᾗ πᾶς ὁ πόλεμος καταλύεται.

Ὅσον ἐστὶ τὸ τῆς εἰρήνης καλὸν, τί χρὴ λέγειν πρὸς ἄνδρας υἱοὺς τῆς εἰρήνης; οὐδὲν γὰρ οὕτως ἴδιον Χριστιανοῦ, ὡς τὸ εἰρηνοποιεῖν. Διότι καὶ τὸν ἐπ' αὐτῷ μισθὸν μέγιστον ἡμῖν ὁ Κύριός ἐπηγγείλατο.

Κυρώσατε τὴν ἀγάπην, ἧς ἄνευ ἀτελῆ εἶναι πάσης ἐντολῆς ἐργασίαν αὐτὸς ὁ Κύριος ἡμῖν διωρίσατο. D

Οὐ πάντων Θεὸς ὁ Θεὸς, ἀλλὰ τῶν οἰκειωθέντων αὐτῷ διὰ τῆς ἀγάπης.

Τῆς ἀγάπης ἐξαίρετα δύο· τὸ λυπεῖσθαι μὲν καὶ ἀγωνιᾷν, ἐφ' οἷς βλάπτεται ὁ ἀγαπώμενος· χαίρειν δὲ καὶ ἀγωνίζεσθαι ὑπὲρ τῆς ὠφελείας αὐτοῦ.

Τί τὸ μέτρον τῆς πρὸς Θεὸν ἀγάπης; Τὸ ὑπὲρ δύναμιν ἀεὶ τὴν ψυχὴν ἐπεκτείνεσθαι πρὸς τὸ τοῦ Θεοῦ θέλημα, καὶ κατὰ σκοπὸν καὶ ἐπιθυμίαν τῆς αὐτοῦ δόξης.

Οὐδὲν οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἀνεἰδιδομένη διάθεσις.

Φιλάνθρωπον ἡ ἀγάπη, μᾶλλον δὲ αὐτοφιλανθρωπία.

Οὐχ ἱκανὸν ἡ διάθεσις, εἰ μὴ καὶ διὰ τῶν πραnium. non concupisces, et si quod præterea est aliud mandatum, in hoc sermone summatim comprehenditur, qui est : Diligito proximum tuum tanquam teipsum.

Dilectio proximum malo non afficit; expletio igitur legis est dilectio.

Galat. v. Tota lex in uno solo completa est, in illo videlicet : Proximum tanquam teipsum diligito.

Coloss. III. Super omnia autem hæc charitate induti sitis, quæ est vinculum perfectionis.

I Petr. I. Diligite vos invicem vehementer, ex puro corde. Charitas enim tegit multitudinem peccatorum.

I Joan. III. Hoc illud est, quod audivistis ab initio præceptum, ut nos invicem diligamus.

Per hoc cognovimus charitatem, quoniam Christus animam suam pro nobis posuit et nos debemus pro fratribus animas ponere.

Ibid. II. Qui diligit fratrem suum, in luce manet et offendiculum in eo non est.

Ibid. III. Filioli mei, ne diligamus verbo neque lingua, sed opere et veritate. Per hoc cognoscimus quod ex veritate sumus.

Ibid. IV. Charissimi, diligamus nos invicem, quia charitas ex Deo est. Et omnis qui diligit, ex Deo natus est, et cognoscit Deum; quoniam Deus charitas est.

Ibid. Deum nemo vidit unquam. Si diligamus nos invicem, Deus in nobis manet, et charitas ejus est perfecta in nobis.

Si quis dicat se Deum diligere, et fratrem suum oderit, mendax est. Qui enim fratrem suum non diligit quem videt, quo tandem modo diligere potest Deum quem non videt?

S. Ignat. Nihil est pace melius, qua omne bellum dirimitur.

Basilii. Quam sit res honesta pax, quid necesse est commemorare apud filios pacis? nihil est tam proprium Christiani, quam pacem conciliare et pacificum esse; itaque Dominus mercedem maximam nobis propter illam promisit.

Ratam facite charitatem, qua remota nullum mandatum perfici posse Dominus ipse affirmavit.

49 Deus non omnium Deus est, sed illorum quos ei charitas conciliaverit.

Charitatis duo sunt peculiaria : alterum, tristari et angi dispendio ejus qui diligitur : alterum, gaudere successu ejus et pro eo certare.

Quis modus est dilectionis erga Deum? Hic est, ut anima semper nitatur etiam supra vires suas ad voluntatem Dei, et juxta scopum ac desiderium gloriæ ipsius agat.

Theologi. Nihil tam firmum ad charitatem, quam mutua affectio.

Humana est charitas, vel potius ipsa humanitas sive benignitas.

Non satis est animi affectio, nisi et re ipsa de-

claretur : opus enim affectionis argumentum et probatio est.

Deo proximi rerumque divinarum participes esse censentur, qui pacis commoda amplectuntur, et e contrario seditionem oderunt et moleste ferunt.

Laudabilius est bellum, quam pax ea quæ nos a Deo disjungit et separat.

Præstat honeste vinci, quam periculose contra fas vincere.

Nemo existimet me in ea esse sententia, ut dicam omnem pacem esse amplectendam : novi enim ut seditionem quamdam optimam, sic nocentissimam concordiam : sed eam quæ honesta sit, et ob rem honestam suscipiatur, quæque Deo nos copulet, probandam esse censeo.

Plurimum valet ad concordiam, alienis affici malis, et ad concilium capiendum, concordia.

Optima et præstantissima res est concordia et consensio mutua.

Ut enim cum irascimur, et contendimus, et confligimus invicem, diabolus gaudet et regnat : sic nobis in pace viventibus et iram regentibus, mœrore contrahitur et abjectus redditur; quippe qui sit pacis hostis, et concordiæ immicus, et invidentiæ pater.

Coloss. III. Charitas est vinculum perfectionis.

Charitas colligat, et unum ex tribus, aut manet in suo statu, aut inde mota sistitur, aut si abierit revertitur : quemadmodum stirpes, si manibus violenter retrahas, et iterum dimittas, ad seipsas recurrunt.

50 *S. Chrysost.*; al. *Theologi.* Opifex omnium virtutum est charitas.

Rom. XIII. Charitatis natura satietatem nescit, sed dum semper fruitur dilectis, magis magisque inflammatur, et hoc insinuans alumnus charitatis Paulus dicebat : Nemini quidquam debetis præter mutuum amorem. Hoc enim debitum semper quidem expenditur, nunquam vero persolvitur. In hoc genere debere, bonum est et laudabile. Nam circa pecunias eos laudamus, qui nihil debent; circa dilectionem vero eos qui nunquam non debent beatos judicamus. Et quod illic ingratitudini, hic gratitudini tribuitur.

Photii patriarchæ. Diligere illos qui nos oderunt, virtutis opus est et divinum; diligentes diligere, humanum et vulgare; cæterum odisse etiam diligentes, ne belluis quidem convenit.

Firmi. In cæteris rebus laudatur modus : in dilectione vero, qui majorem partem habet, gratior est Deo.

S. Greg. Nyss. Caput bene sentientium pax est. (*Vel*, caput et summa prudentiæ pax est.)

Ut valetudine recuperata morbus evanescit, et lumine illato tenebræ recedunt; sic pace oborta dissolvuntur omnes perturbationes quæ ab adversario productæ erant.

Pax est dissidentium concordia et consensio.

γμάτων χωρήσαιμεν · Ἔργον γὰρ ἀπόδειξις διαθέσεως.

Θεοῦ καὶ τῶν θείων ἐγγὺς, ὅσοι τὸ τῆς εἰρήνης καλὸν ἀσπαζόμενοί φαίνονται, καὶ τῷ ἐναντίῳ τῇ στάσει ἀπεχθάνονται καὶ δυσχεραίνουσιν.

Κρεῖσσον ἐπαινετὸς πόλεμος εἰρήνης χωριζούσης Θεοῦ.

Κρεῖσσον ἡττᾶσθαι καλῶς, ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως.

Μηδεὶς οἰέσθω με λέγειν, ὅτι πᾶσαν εἰρήνην ἀγαπητέον· οἶδα γὰρ ὥσπερ στάσιν τινὰ βελτίστην, οὕτω καὶ βλαβερωτάτην ὁμόνοιαν · ἀλλὰ τήν τε καλὴν καὶ ἐπὶ καλῷ, καὶ Θεῷ συνάπτουσαν.

Μέγιστον εἰς ὁμόνοιαν τὸ συμπάσχειν, εἰς δὲ συμβουλὴν ἡ ὁμόνοια.

Ἄριστον ἡ ὁμόνοια καὶ τὸ συμφρονεῖν ἀλλήλοις.

Ὥσπερ γὰρ, ὀργιζομένων ἡμῶν καὶ πυκτευόντων, καὶ πρὸς ἀλλήλους συγκρουσμένων, χαίρει τε καὶ τέθηλεν ὁ διάβολος · οὕτως εἰρηνευόντων καὶ κρατούντων ὀργῆς, συστέλλεται πάλιν καὶ ταπεινοῦται, ἅτε ἐχθρὸς εἰρήνης ὤν, καὶ πολέμιος ὁμονοίας, καὶ βασκανίας πατήρ.

Ἀγάπη ἐστὶ σύνδεσμος τελειώσεως.

Ἡ ἀγάπη συνδεῖ · καὶ τριῶν τὸ ἓν, ἢ οὖσα μένει, ἢ κινηθεῖσα καθίσταται, ἢ ἀπελθοῦσα ἐπάνεισι · καθάπερ τῶν φυτῶν ἃ βίᾳ χερσὶ μετασπώμενα, εἶτα ἀφιέμενα, πρὸς ἑαυτὰ πάλιν ἀνατρέχει.

Δημιουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη.

Ἡ τῆς ἀγάπης φύσις κόρον οὐκ οἶδεν, ἀλλ' ἀεὶ τῶν ἀγαπωμένων ἀπολαύουσα πρὸς μείζονα αἴρεται φλόγα, καὶ τοῦτο ὁ ταύτης τρόφιμος Παῦλος ὑπηῶν ἔλεγεν · Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους. Τοῦτο γὰρ ὄφλημα ἀεὶ μὲν καταβάλλεται, οὐδέποτε δὲ ἀποδίδοται. Ἐνταῦθα τὸ διηνεκῶς ὀφλεῖν καλὸν καὶ ἐπαίνων ἄξιον. Ἐπὶ μὲν γὰρ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν· ἐπὶ δὲ τῆς ἀγάπης τοὺς διηνεκῶς ὀφείλοντας μακαρίζομεν. Καὶ ὅπερ ἀγνωμοσύνης ἐκεῖ, τοῦτο ἐνταῦθα εὐγνωμοσύνης.

Τὸ μὲν ἀγαπᾷν τοὺς μισοῦντας, ἀρετῆς καὶ θεῖον· τὸ δὲ τοὺς ἀγαπῶντας ἀνθρώπινον καὶ κοινόν · τὸ δὲ μισεῖν καὶ τοὺς ἀγαπῶντας οὐδὲ θηρίων ἴδιον.

Ἐν μὲν τοῖς ἄλλοις τὸ μέτρον ἄριστον · ἐν δὲ τῇ ἀγάπῃ ὁ τὸ πλεῖον ἔχων θεοφιλέστερος.

Τὸ κεφάλαιον τῶν εὐφρονούντων ἡ εἰρήνη ἐστίν.

Ὥσπερ ὑγείας ἐπιλαβούσης ἡ νόσος ἐξαφανίζεται, καὶ φωτὸς φανέντος οὐχ ὑπολείπεται σκότος· οὕτως καὶ τῆς εἰρήνης λύεται πάντα τὰ ἐκ τοῦ ἐναντίου συνιστάμενα πάθη.

Εἰρήνη ἐστὶν ἡ τῶν διεστηκότων ὁμοφωνία.

Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος.

Τὸ τῆς ἀγάπης ἀγαθὸν πολὺν καταλογον τῶν ἀντικειμένων κακῶν τῆς ψυχῆς ἀπελαύνει.

Πᾶσα ἡ τῶν κακῶν ἀγέλη τῇ ἀγαπητικῇ σχέσει ἐξαφανίζεται.

Πολλαχῶς ἀγάπη νοεῖται, διὰ πραΰτητος, διὰ χρηστότητος, διὰ ὑπομονῆς, διὰ ἀφθονίας καὶ ἀζηλίας, διὰ ἀμνησικακίας· ἀμέριστός ἐστιν ἐν πᾶσιν, ἀδιάκριτος, κοινωνική.

Τὸ ἀγαπᾷν τοὺς ἐχθροὺς οὐκ ἀγαπᾷν τὸ κακὸν λέγει, οὐδὲ ἀσέβειαν, ἢ μοιχείαν, ἢ κλοπήν· ἀλλὰ τὸν κλέπτην καὶ τὸν μοιχὸν; οὗ καθὸ ἁμαρτάνει, καὶ αἰσχρᾷ ἐνεργείᾳ μολύνει τὴν τοῦ ἀνθρώπου προσηγορίαν, καθὸ δὲ ἄνθρωπός ἐστι καὶ ἔργον Θεοῦ. Ἀμέλει τὸ ἁμαρτάνειν ἐνέργειά ἐστι, καὶ οὐκ οὐσία· διὸ οὐδὲ ἔργον Θεοῦ.

Εἰρήνη, κἂν ᾖ σφόδρα; ἐπιζήμιος λυσιτελεστέρα πολέμου.

Εἰρήνη ἐξ ἡγεμονίας ὀρθῆς φύεται.

Τὸ μέγιστον ἀγαθὸν εἰρήνη, ὃ μηδεὶς ἱκανὸς ἀνθρώπων παρασχεῖν, ἐπεὶ θεῖον τοῦτὸ δῶρον.

Κράτης μὲν οὖν λέγεται ὁ Θηβαῖος; τοῖς στασιάζουσιν οἴκοις ἐπιφοιτῶν, λόγοις εἰρήνης διαχρίνειν τὰς ἔριδας.

Τὸ νικᾷν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη καὶ ἀρίστη· τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ αἴσχιστόν τε καὶ κάκιστον.

Λάμαχος ἐπετίμα τινὰ τῶν λοχαγῶν ἁμαρτήσαντα· τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν· Οὐκ ἔστιν, εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

ΛΟΓΟΣ ΚΖ'.

Περὶ ἐλεημοσύνης καὶ εὐποιΐας εἰς πτωχούς.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.

Ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με.

Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει.

A Bellum honestum pace turpi magis expetendum.

Dilectionis virtus magnum malorum ipsi contrariorum numerum ex animo depellere et fugare solet:

Omnis malorum turba charitatis affectione exterminatur.

Clementis. Multis modis charitas intelligitur et sentitur, clementia, suavitate, patientia, invidentiæ et æmulationis vacuitate, et injuriarum oblivione; individua est in omnibus, inseparabilis, ad impertiendum propensa.

Amare inimicos non jubet malum amari, neque impietatem, aut adulterium aut furtum; sed et perjurum et adulterum, non quia peccet et illa turpi B actione hominis nomen sponte contaminet, sed quia homo sit et Dei opus. Peccatum certe actio est, non substantia, ideoque ne opus quidem Dei est.

Philonis. Pax vel cum magno damno conjuncta utilior bello.

Pax ex recta præfectorum administratione nascitur.

Pax maximum bonum est; quod nullus omnino mortalium præstare potest, siquidem divinum hoc donum est.

Cratetis. Crates Thebanus fertur familias dissidentes adiisse et pacificis verbis lites diremisse.

Democriti. Seipsum vincere omnium victoriarum prima et pulcherrima; vinci autem a C seipso et turpissimum et pessimum est.

Lamachi. Lamachus cum quemdam manipuli ductorem objurgaret peccantem, illeque respondisset, se in reliquum tempus non peccaturum: Non licet, inquit, in bello bis peccare.

SERMO XXVII [*al.* LVII].

De eleemosyna et beneficentia in pauperes.

Matth. v. Beati misericordes, quoniam et ipsi misericordiam consequentur.

Estote similes Patri vestro cœlesti, quoniam solem suum oriri facit super bonos et malos, et pluit super justos ac injustos.

Operam date ne eleemosynam vestram coram D hominibus largiamini, ut spectemini ab ipsis; sin minus, mercedem non 51 habetis apud Patrem vestrum cœlestem.

Ibid. x. Quicunque dederit ad bibendum uni ex minimis istis calicem aquæ frigidæ in nomine discipuli, amen dico vobis, non perdet mercedem suam.

Ibid. xxv. Tunc dicet rex his qui a dextris sibi erunt: Venite, benedicti Patris mei, possidete regnum paratum vobis ab exordio mundi. Esurivi enim, et dedistis mihi edere; sitivi, et dedistis mihi bibere.

Luc. xii. Vendite quæ possidetis, et date eleemosynam. Parate vobis sacculos, qui non veter

rascunt, thesaurum non deficientem in cœlis, quo fur non accedit, neque tinea corrumpit. Ubi enim thesaurus vester est, ibi et cor vestrum erit.

μενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς ὅπου κλέπτης οὐδὲν ἰσχύει, οὐδὲ σὴς ἀφανίζει. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

Luc. XIV. Dicebat autem et ei, qui se invitaverat : Cum facis prandium aut cœnam, noli vocare amicos tuos, neque fratres tuos, neque cognates tuos, etc.

Ἔλεγεν ὁ Κύριος τῷ κεκληκότι αὐτόν· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, οὐδὲ συγγενεῖς σου.

Ibid. XVI. Facite vobis amicos ex mammona injusto, ut cum defeceritis, recipiant vos in æterna tabernacula.

Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

Act. XX. Beatius est dare quam accipere.

Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν.

Luc. III. Qui duas tunicas habet, communicet non habenti ; et qui habet cibos, similiter faciat.

Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω.

Rom. XII. Qui impertit, id faciat in simplicitate ; qui præest, in diligentia, qui miseretur, in hilaritate.

Ὁ μεταδιδοὺς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι.

I Cor. IX. Qui sementem facit parce, is parce messurus est. Et qui sementem facit libenter ac benigne largiendo copiose messurus est. Unusquisque secundum propositum cordis, non ex molestia aut necessitate : nam hilarem datorem diligit Deus.

Ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ θερίσει· ἕκαστος καθὼς προαιρεῖται ἡ καρδία, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης. Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

Hebr. XIII. Beneficentiæ et communicationis ne obliviscamini : talibus enim victimis placemus Deo.

Τῆς εὐποιΐας καὶ τῆς κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

I Joan. III. Qui bene facit ex Deo est.

Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστι.

Deut. XV. Pauper non deerit in terra ; quare præcipio tibi, ut large aperias manus tuas fratri tuo pauperi, et indigenti in regione tua.

Οὐ μὴ ἐκλίπῃ ἐνδεὴς ἀπὸ τῆς γῆς· διατοῦτο ἐγώ σοι ἐντέλλομαι τὸ ῥῆμα τοῦτο λέγων· Ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητι, τῷ ἐπιδεομένῳ, τῷ ἐπὶ τῆς γῆς.

Job XXIX. Oculus eram cæcorum, pes claudorum, ignis invalidorum.

Ὀφθαλμὸς ἤμην τυφλῶν, ποὺς δὲ χωλῶν, ἐγὼ ἤμην πῦρ ἀδυνάτων.

Psal. CXI. Dissipavit, dedit pauperibus.

Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι.

Prov. II. Eleemosyna et fides non relinquant te ; suspende eas a collo tuo, et invenies gratiam.

Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ, καὶ εὑρήσεις χάριν.

Ibid. III *et* XIII. Ne parcas benefacere pauperi, quando in potestate tua fuerit, unde juves eum. Ne dixeris, Alias redi, et dabo cras, cum habes quod largiaris. Nescis enim quid postridie fiat.

Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς, Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα.

Ibid. XVI. Divitiæ propriæ redimere possunt animam hominis.

Λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος.

Beneficentia et fide expiantur peccata.

Ἐλεημοσύναις καὶ πίστει ἀποκαθαίρονται ἁμαρτίαι.

I Cor. IX. Hilarem datorem diligit Deus.

Ἱλαρὸν δότην ἀγαπᾷ ὁ Θεός.

Sirach. XXXV. In omni dato hilari sis vultu.

Ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου.

52 *Prov.* XVIII. Donum hominis dilatat eum, et confirmat eum coram magnatibus.

Δόμα ἀνθρώπου ἐμπλατύνει αὐτὸν, καὶ παρὰ βασιλεῦσι καθιζάνει αὐτόν.

Isa. LVIII. Frange esurienti panem tuum, et pauperes sine tecto induc in domum tuam. Nudum si videris, vestito : et domesticos generis tui ne despicias. Tunc erumpet tanquam aurora lux tua, et incolumitas tua germinabit. Justitia anteibit faciem tuam, et gloria Domini circumdabit te. Te clamantem exaudiet Dominus, et adhuc loquenti respondebit : En adsum.

Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. Ἐὰν ἴδῃς γυμνὸν, περίβαλε· καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. Τότε ῥαγήσεται πρωΐμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχέως ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε· τότε βοήσει, καὶ ὁ Θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου, ἐρεῖ, Ἰδοὺ πάρειμι.

Et paulo post : Si porrigas esurienti panem tuum ex animo, et hominem afflictum satiaveris, orietur

Ἐὰν δῷς πεινῶντι τὸν ἄρτον σου ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ

ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία, καὶ ἔσται ὁ Θεὸς μετὰ σοῦ διὰ πάντα· καὶ ἐμπλησθήσῃ καθὰ ἐπιθυμήσει ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσεται, καὶ ἔσῃ ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ ὕδατος, ἧ μὴ ἐξέλιπεν ὕδωρ.

Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων.

Πῦρ φλογιζόμενον κατασβέσει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσκεται ἁμαρτίας.

Κλῖνον πτωχῷ ἀλύπως τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ ἐν πραΰτητι εἰρηνικά.

Δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλαβοῦ τοῦ ἁμαρτωλοῦ. Εὖ ποίησον ταπεινόν, καὶ μὴ δῷς ἀσεβεῖ.

Σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καὶ αὕτη σε ἐξελεῖται ἐκ πάσης κολάσεως, καὶ ὑπὲρ δόρυ ἀλκῆς κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ.

Ὁ ποιῶν ἔλεον ἐν καιρῷ θλίψεως, ὡς νεφέλη ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

Κρεῖσσον ποιεῖν ἐλεημοσύνην, ἢ θησαυρίζειν χρυσίον. Ἐλεημοσύνη γὰρ ἐκ θανάτου ῥύεται, καὶ καθαρίζει ἀπὸ ἁμαρτίας.

Οἱ ποιοῦντες ἐλεημοσύνην ἐμπλησθήσονται ζωῆς.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπὸ σοῦ ὁ Θεός.

Κρεῖττόν μυρίων παίδων πατέρα προσαγορεύεσθαι, ἢ μυρίους στατῆρας ἔχειν ἐν βαλαντίῳ. Τὰ μὲν γὰρ χρήματα καταλείψεις ἐνταῦθα καὶ μὴ βουλόμενος· τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν Δεσπότην. Ὅταν δῆμος ὅλος ἐπὶ σοῦ κοινοῦ κριτοῦ περισταίνες σε τροφέα καὶ εὐεργέτην, καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα, Θεὸς ἔσται ὁ ἀποδεχόμενος, ἄγγελοι εὐφημοῦντες, οἱ ἀπὸ κτίσεως ἄνθρωποι μακαρίζοντες· δόξα αἰώνιος, στέφανοι δικαιοσύνης, βασιλεία οὐρανῶν, ἄθλά σοι ἔσται.

Σκορπιζόμενος ὁ πλοῦτος καθ' ὃν ὁ Κύριος ὑποτίθεται τρόπον, πέφυκε παραμένειν· συνεχόμενος δέ, ἀλλοτριοῦσθαι. Ἐὰν φυλάσσῃ, οὐκ ἔχεις· ἐὰν δὲ σκορπίσῃς, οὐκ ἀπολέσεις. Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν.

Καλὸν ἐνέδυμα ἡ εὐσέβεια. Ἅπαντας περιβαλόμενος ἄπελθε· οἰκεῖον κόσμον τὸν πλοῦτόν σου ποίησον, ἔχε αὐτὸν μετὰ σεαυτοῦ· πείσθητι καλῶς συμβούλῳ τῷ ἀγαπήσαντί σε Χριστῷ, τῷ δι' ἡμᾶς πτωχεύσαντι, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν.

Ἔλεός ἐστι πάθος, ἐπὶ τοὺς παρ' ἀξίαν τεταπεινωμένους παρὰ τῶν συμπαθῶς διατιθεμένων γινόμενον.

Οὐδενὶ τῶν πάντων οὕτως ὡς ἐλέῳ Θεὸς θεραπεύεται, ὅτι μηδὲ οἰκειότερον ἄλλο τούτου Θεῷ, οὗ Ἔλεος καὶ ἀλήθεια προπορεύεται.

Δὸς τι Θεῷ χαριστήριον, ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων· ὅτι μὴ βλέπεις εἰς ἀλλοτρίας χεῖρας, ἀλλ' εἰς τὰς σὰς ἕτεροι. Πλούτησον, μὴ περιουσίᾳ μόνον, ἀλλὰ καὶ εὐσεβείᾳ. Μὴ μόνον τὸ χρυσίον, ἀλλὰ καὶ τὴν

A in tenebris lux tua, et fiet caligo tua sicut meridies, et Deus perpetuo tecum erit : saturaberis ex animi sententia, et ossa tua saginabuntur, ac similis evades horto irriguo, et fonti cui non deest aqua.

Dan. IV. Peccata tua redime eleemosynis, et iniquitates tuas commiseratione pauperum.

Eccli. III. Aqua restinguit inflammatum ignem, et eleemosyna expiat peccata.

Facilis esto ad audiendum pauperem, et cum mansuetudine placida verba ei responde.

Ibid. XII. Largire pio, et peccatori ne succurras. Benefacias afflicto, sed nihil eroges in impium.

Ibid. XXIX. Include eleemosynam cellis tuis, et ipsa te ab omni afflictione liberabit : et contra B hostem tutius te defendet quam valida hasta.

Ibid. XXXV. Misericors afflictionis tempore similis est pluviosæ nubi in magna siccitate.

Tobiæ XII. Satius est misericordiam exercere, quam aurum congerere ; aliquidem a morte liberat misericordia, et expurgat a scelere.

Qui misericordiam præstant, satiabuntur vita.

Ne avertas faciem tuam ab ullo paupere, et Deus quoque faciem suam a te non avertet.

Basilii. Melius est innumeræ prolis patrem vocari, quam stateres innumeros habere in loculis. Pecunias enim hic vel invitus relinques ; gloriam vero bonorum operum deferes ad Dominum ; et cum totus C populus apud communem judicem te circumdantes appellaverint suum alterem, benefactorem, et omnibus benignitati propriis nominibus, Deus erit qui te suscipiet, angeli collaudabunt, et homines a condito mundo beatum te prædicabunt : ibi æterna gloria, corona justitiæ, et regnum cœleste, præmium tuum erit.

Si divitiæ spargantur eo modo quem Deus præscribit, remanere solent : sin retineantur, alienari. Si custodias, non habes : si vero dissipes, non perdes. « Dissipavit, dedit pauperibus (*Psal.* III). »

Pulcherrimum ornatus est pietas. Cum omnes vestieris, discede ; para tibi ex divitiis tuis ornatum proprium, ut opes tuas tecum habeas, obsequitor optimo consultori Christo, qui te dilexit, qui propter D nos pauper fuit, ut nos ex ejus paupertate ditaremur.

Misericordia est affectus, qui fit cum aliquis animo commoveter erga afflictos indigne.

Theologi. Deus misericordia maxime omnium colitur, nec alius quisquam, Deo familiarior, quam ille quem misericordia et veritas antecedunt.

Gratitudinis aliquod specimen Deo exhibeas, quod te fecerit unum illorum qui beneficia præstare possunt, non autem qui opus habent accipere : et quod non inspiciendæ tibi alienæ manus, sed aliis tuæ. Dives esto, non solum opibus, sed

etiam pietate. Ne solum auri, sed insuper virtutis possessione alios antecellas, exhibendo te probiorem et benigniorem. Deus esto calamitosis, Dei misericordiam imitando : nihil enim beneficentiæ divinius in hominem cadit. Misericordiam tuam ne nox quidem intercipiat; ne dixeris, Alias redi, et in crastinum dabo, ne quid forte accidat inter propositum tuum et beneficium, unde impediatur.

Nudum si videris, vestito, honorans immortale tuum indumentum, quod est Christus. Nam quotquot in Christo baptizati sumus, Christum induimus.

Benefici estote et liberales, non ex superfluis rebus, sed etiam usui vestro commodis. Etenim Deum magis delectat ipsa largitio, quam ejus copia vel magnitudo.

Pulcherrime hoc et benignissime Deus facit, quod non ex pretio rei datæ, sed offerentis facultate et animo, donum æstimat.

Benignus esse ne differas, sed nunc esto : nec ideo quia pretii summa te destituit, totam relinquas liberalitatem; sed partem re ipsa præstes, partem animi promptitudine aut proposito in posterum.

Bonum est aliquid tineis et invidiæ subtrahere.
Christo debitor esse malis, quam omnia possidere,
Qui etiam pro panis frusto regnum donat.
Christum tegis, nutrisque, pauperem nutriens.
Relictis omnibus Christum tibi solum compara.
Distributor enim es alienæ pecuniæ.
Quod si non vis omnia, plura tamen largire.
At si ne hæc quidem, superfluis tamen erogandis esto pius.

Pauper accessit, et nihil consecutus abivit.
Metuo, Christe, ne et ego manu tua cadam.
Nam quod quis non dedit, accipere etiam non spernet.

Ne inquiras sollicite, quis largitione dignus aut indignus sit. Multo melius enim est propter dignos indignis quoque porrigere, quam dignos fraudare præ metu et suspicione indignorum.

Præstat conferre quemque quod facultatis est suæ, quam prorsus deficere.

Magnum calamitoso remedium est misericordia ex animo collata : et genuina condolescentia multo leviorem reddit calamitatem.

Pauperias non impedit eleemosynam : idque testatur vidua illa, quæ quadrantem elargita, cæteris etiam qui multa erogaverant prælata est (*Marc.* XII).

Magna vis est eleemosynæ. Siquidem nutritores suos multa cum fiducia in regnum cœlorum introducit. Nota est enim janitoribus cœli qui thesauri fores custodiunt : neque nota solum, sed etiam venerabilis : et a quibuscunque se honoratam cognoverit, illos confidenter introducet. Nam si Deum in terram deduxit, et hominem fieri persuasit, multo magis hominem in cœlum adducere poterit.

A ἀρετὴν γενοῦ τοῦ πλησίον τιμιώτερος, ἐκ τοῦ φανῆναι χρηστότερος. Γενοῦ τῷ ἀτυχοῦντι θεὸς, τὸν ἔλεον Θεοῦ μιμούμενος· οὐδὲν γὰρ οὕτως ἐς τὸ εὖ ποιεῖν ἄνθρωπος ἔχει Θεοῦ. Μὴ διακοψάτω σου μηδὲ νὺξ τὸν ἔλεον· μὴ εἴπῃς, Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, μή τι μέσον γένηται τῆς ὁρμῆς καὶ τῆς εὐεργεσίας.

Ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, τιμῶν τὸ σὸν ἔνδυμα τῆς ἀφθαρσίας, Χριστὸς δὲ τοῦτό ἐστιν· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνεδυσάμεθα.

Ἔστω τὸ ἀγαθὸν ὑμῶν ἐκ γῆς χρείας, μὴ τοῦ περισσεύματος. Ἢ μᾶλλον καρποφορίᾳ Θεὸς εὐφραίνεται ἢ πλήθει τῆς εἰσφορᾶς καὶ μεγέθει τῆς ἐπι-
B δόσεως.

Τὸ κάλλιστον καὶ φιλανθρωπότατον, ὅτι μὴ τῇ ἀξίᾳ τοῦ διδομένου, τῇ δὲ δυνάμει καὶ τῇ διαθέσει τοῦ καρποφοροῦντος μετρεῖ Θεὸς τὴν ἐπίδοσιν.

Μὴ ἀναμείνῃς γενέσθαι χρηστὸς, ἀλλ' ἤδη γενοῦ· μηδ' ὅτι τῆς ἀξίας λείπει, τὸ πᾶν ἀλλίπῃς· ἀλλὰ τὸ μὲν εἰσένεγκε, τὸ δὲ προθυμήθητι.

Καλόν τι ἀπὸ σητῶν ἁρπάσαι καὶ τοῦ φθόνου.
Χριστὸν χρεώστει μᾶλλον, ἢ τὰ πάντ' ἔχειν,
Ὃς καὶ βασιλείαν κλάσματος χαρίζεται.
Χριστὸν σκέπεις τρέφεις τε τὸν πτωχὸν τρέφων.
Πρόου τὰ πάντα, καὶ Χριστὸν κτῆσαι μόνον.
C Εἰ γὰρ μεριστὴς χρημάτων ἀλλοτρίων.
Εἰ δ' οὐ θέλῃς τὰ πάντα, δὸς τὰ πλείονα·
Εἰ δ' οὐδὲ τοῦτο, τοῖς χαρισσοῖς εὐσέβει.

Πένης προσῆλθεν, εἶτ' ἀπῆλθε μὴ τυχών.
Φέδοικα, Χριστὲ, μὴ κἀγὼ τῆς σῆς χερὸς πέσω.
Ὃ γάρ τις οὐκ ἔδωκε, μηδ' ἐλπιζέτω λαβεῖν.

Μὴ δοκιμασίαν ζήτει τοῦ διδομένου ὅστις ἄξιος καὶ ὅστις οὔ. Πολλῷ γὰρ βέλτιον διὰ τοὺς ἀξίους ὀρέγειν καὶ τοῖς ἀναξίοις, ἢ τοὺς ἀξίους ἀποστερεῖν δέει τῶν ἀναξίων.

Κρεῖσσον τὸ κατὰ δύναμιν εἰσενεγκεῖν, ἢ τὸ πᾶν ἐλλιπεῖν.

D Μέγα τῷ ἀτυχοῦντι φάρμακον ἔλεος ἀπὸ ψυχῆς εἰσφερόμενος· καὶ τὸ συναλγεῖν γνησίως πολὺ τὸ κρυφίζει τῆς συμφορᾶς.

Οὐκ ἔστι κώλυμα πρὸς ἐλεημοσύνην πενία· καὶ μάρτυς ἡ χήρα ἡ τὰ δύο λεπτὰ βαλοῦσα, καὶ τοὺς τὰ πολλὰ καταθέντας ὑπερακοντίσασα.

Μεγάλη ἡ τῆς ἐλεημοσύνης ἰσχύς. Μετὰ πολλῆς γὰρ εἰσάγει τῆς παῤῥησίας τοὺς αὐτῆς τροφίμους εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Γνωρίμη γάρ ἐστι τοῖς ἐν τῷ οὐρανῷ πυλωροῖς, τοῖς τὰς θύρας κατέχουσι τοῦ νυμφῶνος· οὐ μόνον δὲ γνωρίμη, ἀλλὰ καὶ αἰδέσιμος, καὶ οὓς ἂν ἐπιγνῷ τετιμηκότας αὐτὴν, μετὰ πολλῆς εἰσάξει τῆς παῤῥησίας. Εἰ γὰρ τὸν Θεὸν εἰς τὴν γῆν κατήγαγε, καὶ ἔπεισεν ἄνθρωπον γενέσθαι, πολλῷ μᾶλλον ἄνθρωπον εἰς τὸν οὐρανὸν ἀναγαγεῖν δυνήσεται.

Ἡμεῖς ἐσμεν κύριοι τοῦ τὸν Θεὸν ἐλεῆσαι ἡμᾶς, αὐτὸς ἡμῖν τοῦτο ἐχαρίσατο· ἐὰν ἄξια ἐλέους προσάγωμεν, ἐὰν ἄξια φιλανθρωπίας τῆς παρ' αὐτοῦ, ἐλεήσει ἡμᾶς ὁ Θεός· ἐὰν δὲ ἑαυτοὺς μὴ ἐλεῶμεν, τίς ἡμῶν φείσεται; Ἐλέησον τὸν πλησίον, καὶ ἐλεηθήσῃ παρ' αὐτοῦ τοῦ Θεοῦ. Μείζων ἡ ἐλεημοσύνη ἐστὶν ἡ εἰς τοὺς ἁμαρτωλοὺς ἢ εἰς τοὺς δικαίους. Ἐλεημοσύνη γὰρ τοῦτό ἐστι, οὐ τὸ τοὺς κατορθωκότας, ἀλλὰ τὸ τοὺς πεπλημμεληκότας ἐλεεῖν.

Οὐχ οὕτως ἐπαίνων ἄξιος ὁ μέγαν ὑποδεχόμενος, ὡς ὁ τὸν οἰκτρὸν καὶ ταλαίπωρον, Καὶ ὁ μὲν τὸν θαυμαστὸν καὶ περιφανῆ θεραπεύων πολλάκις καὶ πρὸς ἀνθρώπων ἐπίδειξιν τοῦτο ἐποίησε· ὁ δὲ τὸν ἀπεριόπτως καὶ ἀπεγνωσμένον διὰ μόνην τὴν ἐντολὴν τοῦ Θεοῦ τοῦτο ἐργάζεται.

Ἐλεημοσύνη πάσης ἀπηλλαγμένη ἀδικίας ἐστίν· αὕτη πάντα ποιεῖ καθαρά. Τοῦτο καὶ νηστείας βέλτιον καὶ χαμευνίας, καίτοι γε ἐκεῖνα μοχθηρότερα καὶ ἐπιπονώτερα, ἀλλ' αὕτη καρδαλεωτέρα χρωτίζει ψυχὴν, λεπτύνει, καλὴν καὶ ὡραίαν ποιεῖ.

Ἀμήχανον, κἂν μυρία κατορθώσωμεν ἀγαθὰ τῆς ἐλεημοσύνης χωρὶς, ἐπιβῆναι τῶν τῆς βασιλείας προθύρων.

Ἐκεῖνα μόνα κερδήσομεν, ὅσα ἂν ἐκεῖ προπέμψωμεν· ἐκεῖνα μόνα ἐστὶν ἡμέτερα, ὅσα τῆς ψυχῆς ἐστὶ κατορθώματα, ἐλεημοσύνη καὶ φιλανθρωπία. Οὐ γὰρ δυνατὸν χρήματα λαβόντα ἀπελθεῖν· μᾶλλον δὲ καὶ προπέμψωμεν αὐτὰ, ὥστε ἑτοιμάσαι ἡμῖν σκηνὴν ἐν ταῖς αἰωνίαις μοναῖς.

Ἐλεημοσύνης χωρὶς ἄκαρπος ἡ ψυχή. Πάντα ἀκάθαρτα ταύτης χωρὶς, πάντα ἀνόνητα. Τοῦτό ἐστιν ᾧ ἐξισοῦσθαι δυνάμεθα τῷ Θεῷ, τὸ ἐλεεῖν καὶ οἰκτείρειν. Ὅταν οὖν τοῦτο μὴ ἔχωμεν, τοῦ παντὸς ἀπεστερήμεθα. Οὐκ εἶπεν, Ἐὰν νηστεύσητε, ὅμοιοι ἐστε τῷ Πατρὶ ὑμῶν. Οὐκ εἶπεν, Ἐὰν παρθενεύσητε. Ἀλλὰ τί; « Γίνεσθε οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Ἔλεον γὰρ, φησὶ, θέλω, καὶ οὐ θυσίαν. »

Ὧν βουλόμεθα τυχεῖν παρὰ τοῦ Θεοῦ, τούτων πρότερον μεταδιδόναι τοῖς πλησίον ὀφείλομεν. Ἂν δὲ τοὺς πλησίον τούτων ἀποστερῶμεν, πῶς τυχεῖν αὐτῶν βουλόμεθα; « Μακάριοι, φησὶν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. » Ἀνέλεος δὲ ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεος.

Ἔκτεινόν σου τὰς χεῖρας μὴ εἰς τὸν οὐρανὸν, ἀλλ' εἰς τὰς τῶν πενήτων χεῖρας. Ἐὰν εἰς τὰς τῶν πενήτων χεῖρας ἐκτείνῃς τὴν χεῖρα, αὐτῆς ἥψω τῆς κορυφῆς τοῦ οὐρανοῦ· ὁ γὰρ ἐκεῖ καθήμενος λαμβάνει τὴν ἐλεημοσύνην. Ἂν δὲ ἀκάρπους ἀνατείνῃς, οὐδὲν ὤνησας· οὐ γὰρ ἐν τῇ ἐκτάσει τῶν χειρῶν, οὐδὲ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τοῖς ἔργοις τὸ ἐπακούεσθαί ἐστιν. Ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, « Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πλη-

Penes nos situm est ut Deus misereatur nostri, ipse nobis hanc gratiam condonavit. Nempe si offerimus ei quæ misericordia et benignitate ejus indigna non sint, miserebitur nostri : si vero nos nulla nostri misericordia tangimus, quis nobis parcet? Miserere proximi, et misericordiam a Deo consequeris. Major est quæ peccatoribus exhibetur misericordia quam quæ justis. Hoc enim misericordia est, non illorum qui recte egerunt, sed qui deliquerunt, misereri.

Non ita laudandus est qui magnum aliquem suscipit, ut quam miserum et ærumnosum. Et qui colit hominem præstantem et clarum, sæpe ad ostentationem coram hominibus id facit : qui vero abjectum et desperatum curat, propter solum Dei præceptum id agit.

Misericordia expers est omnis sceleris : omnia mundit pura. Hæc et jejunio et cubitu super humo, quamvis molestioribus magisque acerbis melior est utpote utilior; hæc animam colorat, subtilem, pulchram et formosam efficit.

Ad regni vestibula accedere nequaquam licet, quamvis innumera, sed absque 55 misericordia, peregerimus bona.

Illa sola lucrabimur, quæ præmiserimus illuc : illa sola nostra sunt, quæ bona opera animæ dicuntur, misericordia et benignitas. Non enim licet acceptis pecuniis abire : agedum igitur eas præmittamus, ut paremus nobis tabernaculum in æternis habitationibus.

Anima sine misericordia sterilis est. Sine hac omnia impura sunt, omnia inutilia. Hoc illud est, quo Deo similes nos evadere licet, misereri, inquam, et condolere. Hoc nisi habeamus, privati sumus omnibus. Christus non dixit : Si jejunetis, similes eritis Patri vestro, neque Si castitatem tueamini. Quid igitur ? « Estote misericordes sicut Pater vester cœlestis. Misericordiam enim, inquit, volo, et non sacrificium. »

Quæ a Deo consequi cupimus, ea prius communicare debemus proximis. At si proximos fraudemus eis, quomodo nos eadem consecuturos speremus ? « Beati, inquit, misericordes, quoniam ipsi misericordiam consequentur. » Inmisericors autem judicium illi continget qui misericordiam non exercuerit.

Extende manus tuas, non in cœlum, sed in manus pauperum. Si manum in pauperis manus tetenderis, ipsum cœli verticem attigisti; nam qui illic sedet, eleemosynam accipit. Si vero vacuas extenderis, nihil profecisti. Non enim in extensione manuum, neque in verborum multitudine, sed in ipsis operibus situm est ut exaudiaris. Audi enim prophetam dicentem : « Cum extenderitis manus vestras, avertam oculos meos a vobis : et si copiosi fueritis in deprecando, non exaudiam vos. Quin

potius judicate pupillo et afflicto, et causam viduæ promovete, et discite quod bonum est facere. »

Nisi essent pauperes, non tam multa peccata abolerentur. Pauperes nobis vulnerum nostrorum medici sunt: remedia nobis porrigunt manus suas. Non adeo medicus extendens manus et imponens pharmaca sanationem efficit, quam pauper manus extendens, et quæ porrigimus accipiens, abstersio est malorum nostrorum. Expendi argentum, simul etiam peccata foras abierunt; tales etiam sacerdotes erant, de quibus scriptum est: « Peccata populi mei comedunt. »

Cæcus misericordiam consecutus in regnum cœlorum ducere novit: et quamvis ad parietes offendens, et incidens in foveas, ducem se præstat ascensionis in cœlum.

Quid frustra laboras, o dives, res pauperum in thesauris tuis recondens? Cur indignaris petentibus illis tanquam 56 de tuo expendas? Bona paterna petunt, non tua, quæ tibi commissa sunt ipsorum gratia, non tecum nata. Da quæ accepisti, et usum eorum tibi concessum in lucro ponas. Satis est tibi quod dare, non accipere destinatus sis.

Nihil ita gratum est Deo, quam eleemosyna. Quare sacerdotes antiquo ritu inungebantur oleo, sicut et prophetæ; divinæ namque charitatis symbolum credebatur oleum. Qui quidem oleo ungebantur, quia Deum miseret hominum. A misericordia enim sacerdotii initium. Igitur reges quoque oleo unguebantur. « Omnium enim (inquit) misereri debes, cum possis omnia. » Nempe hoc ipsum, misereri dico, proprium est principatui. Cogita quod mundus per misericordiam constitutus sit, et imitare Dominum. Misericordia hominis in proximum suum, Domini autem in omnes homines extenditur.

Nihil tam similes Deo reddit, quam ad veniam improbis ac injuriosis dandam paratum esse.

Greg. Nyss. Misericordia est voluntaria tristitia ex alienis malis producta.

Clementis. Facile posset Deus neminem facere pauperem, sed ita beneficentiæ ansam adimeret, nec amplius vellet aliquis condolere. Nunc vero alii aliorum gratia vel divites vel egeni sunt, ut locus et materia beneficentiæ suppetat.

Philonis. Talem te famulis tuis præbe, qualem tibi Deum optas. Audiemur enim a Deo, sicut nos audimus, et aspiciemur ab ipso ut nos aspicimus. Afferamus igitur misericordiam pro misericordia, ut pro simili simile adipiscamur.

Democr. Hospitibus et egenis impertire de rebus tuis. Nam qui non dat indigenti, nec ipse accipiet cum indigebit.

Pittacus injuriam passus a quodam cum illum puniendi potestatem haberet, dimisit, inquiens: Venia melior est vindicta: hæc enim belluini est ingenii, illa mansueti.

Philistionis. Ex percepto dolore condolere discas; nam et tibi alius qui doluit, condolebit.

Θύνητε τὴν δέησιν, οὐκ εἰσακοόσομαι. Κρίνατε δὶ μᾶλλον ὀρφανῷ καὶ ταπεινῷ, καὶ δικαιώσατε χήραν, καὶ μάθετε καλὸν ποιεῖν. »

Εἰ μὴ πένητες ἦσαν, οὐκ ἂν τὸ πολὺ τῶν ἁμαρτημάτων ὑπετέμνετο. Ἰατροὶ τῶν τραυμάτων εἰσὶ τῶν ἡμετέρων οἱ πένητες· φάρμακα ἡμῖν παρέχουσι τὰς αὐτῶν χεῖρας. Οὐχ οὕτως, ἰατρὸς χεῖρας ἐκτείνων καὶ φάρμακα ἐπιτιθεὶς, τὴν ἰατρείαν παρέχει, ὡς πένης, χεῖρα ἐκτείνων καὶ τὰ παρ' ἡμῶν λαμβάνων, ἐκμαγεῖον τῶν ἡμετέρων ἐστὶ κακῶν. Ἔδωκα τὸ ἀργύριον, συνεξῆλθε καὶ ἁμαρτήματα. Τοιοῦτοι καὶ οἱ ἱερεῖς, περὶ ὧν γέγραπται, « Ἁμαρτίας λαοῦ μου φάγονται, »

Τυφλὸς οἶδεν ἐλεούμενος εἰς οὐρανῶν βασιλείαν χειραγωγεῖν, καὶ τοίχοις προσκρούων, καὶ βόθροις ἐνολισθαίνων, οὗτος ὁδοποιὸς γίνεται τῆς εἰς οὐρανὸν ἀναβάσεως.

Τί ματαιοπονεῖς, ὦ πλούσιε, τὰ τῶν πενήτων ἐν τοῖς σοῖς θησαυροῖς ἀποκρύπτων; Τί αἰτούμενος παρ' αὐτῶν ἀγαναικτεῖς ὡς οἰκοθεν ἀναλίσκων; Τὰ πατρῷα θέλουσιν, οὐ τὰ σὰ, τὰ ἐγχειρισθέντα σοι δι' αὐτοὺς, οὐ μετὰ σοῦ γεννηθέντα. Ἄλλα ἔλαβες δῶρα, καὶ τὴν χρῆσιν κέρδανον. Ἀρκεῖ σοι ὅτι δίδοναι, οὐ λαμβάνειν ἐτάχθης.

Οὐδὲν οὕτως εὐφραίνει τὸν Θεὸν, ὡς ἐλεημοσύνη. Διὸ οἱ ἱερεῖς κατὰ τὸ παλαιὸν ἔλαιον ἐχρίοντο, καὶ οἱ βασιλεῖς, καὶ οἱ προφῆται. Ἦς γὰρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον τὸ ἔλαιον. Ἐπειδὴ ὁ Θεὸς ἐλεεῖ τοὺς ἀνθρώπους καὶ φιλανθρωπεύεται, διὰ τοῦτο ἐλαίῳ ἐχρίοντο. Καὶ γὰρ τὴν ἱερωσύνην ἀπὸ ἐλέους ἐποίησεν. Καὶ οἱ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. « Ἐλεήσεις γὰρ, φησὶ, πάντας, ὅτι πάντα δύνασαι. » Τοῦτο γὰρ ἀρχῆς ἴδιον, τὸ ἐλεεῖν. Ἐνόησον ὅτι δι' ἔλεον ὁ κόσμος συνεστάθη, καὶ μίμησαι τὸν Δεσπότην. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα.

Οὐδὲν οὕτως ὁμοιοῖ τῷ Θεῷ, ὡς τὸ τοῖς πονηροῖς καὶ τοῖς ἀδικοῦσιν εἶναι συγγνωμονικόν.

Ἔλεός ἐστιν ἀκούσιος λύπη ἀλλοτρίοις κακοῖς συνισταμένη.

Δυνατὸς ἦν ὁ Θεὸς ποιῆσαι μηδένα πένητα· ἀλλὰ τὸ εὖ ποιεῖν περιγρεῖτο, συμπάσχειν οὐδεὶς ἠξίου. Νῦν δὲ ἀλλήλων ἕνεκα καὶ εὐπορούμεν καὶ ἀπορούμεν, ἵνα τόπος γενώμεθα τῇ εὐποιΐᾳ.

Τοιοῦτος γίνου περὶ τοὺς σοὺς οἰκέτας, οἷον εὔχῃ σοι τὸν Θεὸν γενέσθαι. Ὡς γὰρ ἀκούομεν, ἀκουσθησόμεθα ὑπὸ τοῦ Θεοῦ· καὶ ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπ' αὐτοῦ. Προσενέγκωμεν οὖν τοῦ ἐλέου τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

Ξένοις μεταδίδου, καὶ τοῖς δεομένοις, ἐκ τῶν ὄντων. Ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδὲ αὐτὸς λήψεται δεόμενος.

Πιττακὸς ἀδικηθεὶς ὑπό τινος, καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν, εἰπών· Συγγνώμη τιμωρίας ἄμεινον. Τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.

Ἐκ τοῦ παθεῖν γίνωσκε τὸ συμπαθεῖν. Καὶ σὺ γὰρ ἄλλος συμπαθήσεται παθών.

ΛΟΓΟΣ ΚΗ'.

Περὶ φειδωλῶν καὶ ἀμεταδότων, καὶ ἐλεημοσύνην μὴ ποιούντων.

Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον, καὶ τὸ ἄνηθον, καὶ τὸν κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον. Ταῦτα δὲ ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.

Εἰδότι καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

Ἡ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος.

Τὰ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα.

Ἔστιν ἀῤῥωστία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον, πλοῦτον φυλασσόμενον παρ' αὐτοῦ εἰς κακίαν αὐτοῦ· καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος ἐν περισπασμῷ πονηρῶν.

Ἔστι πλουτῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐτοῦ· καὶ καταλείψει αὐτὰ ἑτέροις καὶ ἀποθανεῖται.

Ὁ συνάγων ἀπὸ ψυχῆς αὐτοῦ συνάγει ἄλλοις· καὶ ἐν τοῖς ἀγαθοῖς αὐτου τρυφήσουσι πολλοί.

Θ πονηρὸς ἑαυτῷ τίνι ἀγαθὸς ἔσται; Τέκνον, καθ' ὅσον ἔχεις, εὖ ποίει σαυτῷ.

Ἄκουε, ἄνθρωπε, Σολομῶντος· μὴ εἴπῃς, Ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν. Οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Ὦ ποίων παραγγελμάτων ὑπερορᾷς, καὶ κατηφὴς εἶ καὶ δυσάντευκτος, ἐκκλίνων τὰς ἀπαντήσεις, μή πού τι καὶ μικρὸν ἀναγκασθῇς τῶν χειρῶν ἐκβαλεῖν! Μίαν οἶδας φωνὴν, Οὐκ ἔχων οὐδὲ δώσω, πένης γάρ εἰμι. Πένης εἶ τῷ ὄντι παντὸς ἀγαθοῦ, πένης πίστεως εἰς Θεὸν, πένης εἶ φιλανθρωπίας, πένης ἐλπίδος. Συμμεριστὰς ποίησον τῶν σητῶν τοὺς ἀδελφούς σου· πλεονεξίας εἶδος χαλεπώτατον, μηδὲ τῶν φθειρομένων μεταδοῦναι τοῖς ἐνδεέσιν.

Οὐκ ἠλέησας, οὐκ ἐλεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν, ἀποκλεισθήσῃ τῆς βασιλείας· οὐκ ἔδωκας ἄρτον τῷ πεινῶντι, οὐ λήψῃ τὴν αἰώνιον ζωήν.

Δεῖξον, ἄνθρωπε, τὰ ἔργα, καὶ ἀπαίτει τοὺς μισθούς. Οὐδεὶς μετὰ τὸ λυθῆναι τὴν πανήγυριν πραγματεύεται, οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπανελθὼν στεφανοῦται· οὐ τοίνυν μετὰ τὴν τελευτὴν εὐσεβεῖ.

Ἄξιόν σοι τῆς σπορᾶς τὸ θέρος. Πικρίαν ἔσπειρας; δρέπου τὰ δράγματα. Τὸ ἀνηλεὲς ἐτίμησας; ἔχε ὅπερ ἠγάπησας. Ἔφυγες τὸν ἔλεον; φεύξεταί σε ὁ ἔλεος. Ἐδδελύξω πτωχόν; βδελύξεταί σε ὁ δι' ἡμᾶς πτωχεύσας.

ΛΟΓΟΣ ΚΘ'.

Περὶ εὐεργεσίας καὶ χάριτος, καὶ ἀχαριστίας.

Εἶπεν ὁ Κύριος, Ὅταν ποιήσῃς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσουσι, καὶ γένηταί σοι ἀνταπόδομα. Ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, ἀναπήρους, χωλοὺς, τυφλοὺς, καὶ μακά-

SERMO XXVIII [*al.* LIX].

De parcis et illiberalibus, et eleemosynam non facientibus.

Matth. XXIII. Væ vobis, Scribæ et Pharisæi hypocritæ, quoniam decimatis mentham, anethum, et cyminum, et quæ graviora sunt in lege negligitis, judicium scilicet et misericordiam : oportebat autem hæc facere, et illa non omittere.

Jac. IV. Qui sciens bonum facere non facit, peccat.

Salomonis. Iniminericors judicium experietur qui misericordiam non fecit.

Prov. XII. Impiorum viscera misereri nesciunt.

Eccle. V. Vitium est quod vidi sub sole, divitias custodiri in malum domini sui : et illæ peribunt malorum perversitate.

57 *Sirach.* Est aliquis dives per curam et anxietatem suam, et relinquet opes aliis, ac morietur.

Qui colligit animam suam defraudans, colligit aliis : et in bonis ipsius multi deliciabuntur.

Malus sibi ipsi, cuinam erit bonus? Fili, quoad potes, benefac tibi ipsi.

Basilii. Audi, o homo, Salomonem : ne dicas ; Revertere alias, et cras tibi dabo, cum possis beneficium præstare ; nescis enim quid crastinus dies pariat. O quæ præcepta contemnis, et tristitiam ac gravitatem præ te fers, declinans obvios, ne quid etiam modicum expendere cogaris! Unam hanc vocem nosti, Cum nihil habeam, nihil dabo ; pauper enim sum. Atqui vere pauper es et inops omnis boni, inops fidei erga Deum, inops benignitatis, inops spei. Quin impertiris fratribus tuis ea quæ aliter a tincis erodentur? Pessimum istud avaritiæ genus est, ne corruptioni quidem obnoxia indigentibus communicare.

Misertus non es, misericordiam non consequeris ; non aperuisti domum, excluderis regno ; non dedisti panem esurienti, non accipies æternam vitam.

Ostende, o homo, opera, et pete mercedem. Nemo, solutis jam nundinis, negotiatur, neque post certamina reversus coronatur. Ne igitur post mortem demum pius esse velis.

Messis tibi sementi respondebit. Amaritiem sevisti, carpe manipulos. Immisericordiam coluisti, habeas quod dilexisti : fugisti misericordiam, eadem te quoque fugiet : abominatus es pauperem, abominabitur te qui nostri gratia pauper fuit.

SERMO XXIX [*al.* LVIII.]

De beneficentia et gratia et ingratitudine.

Luc. XIV. Dixit Dominus, Cum facis prandium aut cœnam, noli vocare amicos tuos, neque fratres tuos, neque cognatos tuos, neque vicinos tuos divites, ne quando et ipsi te vicissim invitent, ac rependatur tibi beneficium. Imo cum facis convivium, voca pauperes, debiles, claudos, cæcos, et beatus eris,

quia non possunt rependere tibi ; rependetur enim tibi in resurrectione justorum.

Luc. VI. Sicut vultis ut faciant vobis homines, vos etiam eis similiter facite.

Apost. Qui bene facit, ex Deo est : qui vero male facit, Deum non vidit.

Cuivis instituenti bonum Deus cooperatur in bonum.

Salomonis. Prudentiæ est etiam scire cujus sit gratia.

Sermo bonus melior est munere, bonus sermo superat donum.

58 *Eccli.* XXIX. Labia justorum cognoscunt gratiæ.

Gratiam hominis tanquam oculi pupillam conserva.

S. Basilii. Ingratus animus videtur in ablatione demum bonorum beneficium præteritum agnoscere.

Bonorum operum gratiæ revertuntur ad largitores.

Benefactores quidem etiam feræ naturali instinctu amant; quid vero tantum boni amicus in nos confert, quantum inimici comparantes nobis benedictionem Domini, qui dixit : « Beati estis cum probra jecerint in vos, et persecuti fuerint, et dixerint omne malum verbum contra vos, mentientes propter me. Gaudete et exsultate, quoniam merces vestra multa est in cœlis? »

Theolog. Dum navigas secundis ventis, manum porrige naufrago, et dum bene habitus ac dives es, male affectum juvato.

Petitionis magnitudinem determinari convenit pro modo illius a quo petitur. Tam enim absurdum est magna a parvo petere, quam parva a magno. Hoc enim vile, illud importunum habetur.

Homo nihil tam Dei habet quam benefacere : quamvis hic in magnis rebus, ilic in parvis benefaciat, uterque nimirum pro sua facultate.

Benefaciendo Deum imitari te puta.

S. Chrysost. Multos videmus, post accepta beneficia, auctores beneficiorum veluti mancipia contemnere, et frontem adversus ipsos contrahere.

Benefici simus erga illos qui non sentiunt se beneficiis affici, ne vos vicissim aut laudantes aut aliter remunerantes mercedem nobis imminuant ; nam cum nihil ab hominibus acceperimus, tunc majora accipiemus a Deo.

Sæpe sufficit vel ipsa voluntas magnum aliquod bonum faciendi.

Non benefacit qui benefacit, sed beneficium ipse accipit potius quam dat. Majora enim accipit quam largiatur; quoniam Deo mutuum dat, non hominibus ; auget opes, non minuit. Minuit autem si nihil demat, si nihil elargiatur.

Greg. Nyss. Qui bonum sibi in voluntate tantum proposuit, impeditur autem imbecillitate quo-

ριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. Ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.

Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ δὲ κακοποιῶν οὐχ ἑώρακε τὸν Θεόν.

Παντὶ τῷ προαιρουμένῳ τὸ ἀγαθὸν συνεργεῖ ὁ Θεὸς εἰς ἀγαθόν.

Φρονήσεως καὶ τὸ εἰδέναι τίνος ἡ χάρις.

Κρείσσων λόγος ἀγαθὸς ἢ δόσις· ἀγαθὸς λόγος ὑπὲρ δόμα.

Χεῖλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας.

Χάριν ἀνθρώπου ὡς κόρην ὀφθαλμοῦ συντήρησον.

Αἱ ἀχάριστοι ψυχαὶ ἐοίκασιν ἐν τῇ ἀπαλλοτριώσει τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι.

Τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν.

Εὐεργέτας μὲν καὶ τὰ θηρία φυσικῶς ἀγαπᾷ· τί δὲ τοσοῦτον εὐεργετεῖ ὁ φίλος, ὅσον οἱ ἐχθροὶ προξενοῦντες ἡμῖν τὸν μακαρισμὸν τοῦ Κυρίου εἰπόντος· « Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς ; »

Ἕως πλεῖς ἐξ οὐρίας, τῷ ναυαγοῦντι δὸς χεῖρα· ἕως εὐεκτεῖς καὶ πλουτεῖς, τῷ κακοπαθοῦντι βοήθησον.

Συμμετρεῖσθαι δεῖ τῷ αἰτουμένῳ τὴν αἴτησιν. Ὁμοίως γὰρ ἄτοπον παρὰ μικροῦ μεγάλα ζητεῖν, καὶ παρὰ μεγάλου μικρά· τὸ μὲν γὰρ ἄκαιρον, τὸ δὲ μικρολόγον.

Οὐδὲν οὕτως ὡς τὸ εὖ ποιεῖν ἄνθρωπος ἔχει Θεοῦ, κἂν ὁ μὲν μείζω, ὁ δὲ ἐλάττω εὐεργετῇ, ἑκάτερος, οἶμαι, κατὰ τὴν ἑαυτοῦ δύναμιν.

Εὐεργετῶν νόμιζε μιμεῖσθαι Θεόν.

Ὁρῶμεν πολλοὺς τῶν ἀνθρώπων μετὰ τὰς εὐεργεσίας, καθάπερ ἀνδραπόδων, οὕτως ὑπερορῶντας τῶν εὐεργετησάντων καὶ τὰς ὀφρῦς ἀνασπῶντας κατ' αὐτῶν.

Εὐεργετῶμεν τοὺς μηδὲ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μὴ ἀντιδόντες ἡμῖν τὸν ἔπαινον, ἢ ὅ τι δήποτε, ἐλαττώσωσιν ἡμῖν τὸν μισθόν. Ὅταν γὰρ μηδὲν παρὰ ἀνθρώπων λάβωμεν, τότε μείζονα παρὰ Θεοῦ ληψόμεθα.

Ἀρκεῖ πολλαχοῦ καὶ προαίρεσις μέγα ποιῆσαι ἀγαθόν.

Οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ' εὖ πάσχει αὐτός, εὐεργετεῖται μᾶλλον, οὐκ εὐεργετεῖ. Μείζονα γὰρ λαμβάνει, ἢ δίδωσι. Θεῷ γὰρ δανείζει, οὐκ ἀνθρώποις· αὔξει τὸν πλοῦτον, οὐ μειοῖ· μειοῖ δέ, ἐὰν μὴ ἐλαττώσῃ, ἐὰν μὴ δῷ.

Ὁ θελήσας τὸ ἀγαθὸν μόνον, κωλυθεὶς δὲ πρὸς τὸ καλὸν τῷ μὴ δύνασθαι, κατ' οὐδὲν ἐλαττοῦται

τῆς ψυχῆς διαθέσει τοῦ διὰ τῶν ἔργων τὴν γνώμην δείξαντος.

Τὸν εὐεργετοῦντά σε εἰς ψυχήν, ὡς ὑπηρέτην Θεοῦ μετὰ Θεὸν τίμα.

Οἱ δαπανῶντες εἰς ἀναξίους, δι' ὧν ἐχρῆν θεραπεύεσθαι τοὺς ἀξίους, τρισὶν ἀτόποις ἐνόχους ἑαυτοὺς ἀποφαίνουσιν· ἐζημίωσαν ἑαυτούς, ἐνύβρισαν τοὺς χρηστούς, τοὺς φαύλους ἐνίσχυσαν, ὕλην ἁμαρτιῶν χορηγήσαντες.

Ἀχάριστον εὐεργετεῖν, καὶ νεκρὸν μυρίζειν, ἐν ἴσῳ κεῖται.

Ὄφιν τρέφειν, καὶ πονηρὸν εὐεργετεῖν, ταυτόν ἐστιν. Οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

Ἀνακρέων ὁ μελοποιὸς, λαβὼν τάλαντον χρυσίου παρὰ Πολυκράτους τοῦ τυράννου, ἀπέλυσεν, εἰπών· Μισῶ δωρεὰν, ἥτις ἀναγκάζει ἀγρυπνεῖν.

Δημοσθένης ἐρωτηθεὶς τί ἄνθρωπος ἔχει ὅμοιον Θεῷ, ἔφη· Τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

Μικραὶ χάριτες ἐν καιρῷ μέγισταί εἰσι τοῖς λαμβάνουσι ταύτας ἐν περιστάσει.

Μικρὰ δίδόναι βούλου μᾶλλον, ἢ μεγάλα ἐγγυᾶν. Ὅ τε γὰρ κίνδυνος ἄπεστι, καὶ ὁ λαβὼν ἔργων, οὐ λόγου χρείαν ἔχει.

Ὅπτινι τὴν χάριν καταθῇ, θᾶττον τὴν χάριν δίδου. Ἡ γὰρ βραδυτὴς λυμαίνεται τὴν δόσιν.

Δυνάμενος χαρίζεσθαι, μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.

Ὁ πλουσίῳ χορηγῶν οὐδὲν διαφέρει τοῦ εἰς θάλασσαν ὕδωρ ἐκχέοντος.

Οὐδὲν ἐν τῷ βίῳ τάχιστα γηράσκει ὡς χάρις.

Ἡ χάρις πρὸς εὐγνώμονας οὐδέποτε θνήσκει.

Μὴ φεῦγε μικρὰ χαρίζεσθαι. Δόξεις γὰρ καὶ πρὸς τὰ μεγάλα τοιοῦτος εἶναι.

Μὴ ὀνειδίσῃς τῷ φίλῳ σου χάριτας· ἴσῃ γὰρ ὡς οὐ δεδωκώς.

Οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδὲ εἰ συνέβη τι αὐτοῖς παρὰ τοῦ Θεοῦ χρηστὸν, μνημονεύουσιν.

Μὴ αἴτει μεγάλα, ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

Μὴ παρὰ πάντων τὰ διδόμενα δέχεσθαι χρή· οὐ γὰρ θεμιτὸν ἀρετὴν ὑπὸ κακίας τρέφεσθαι.

Τοὺς ἀγαθοὺς εὖ ποίει. Καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη.

Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος· ἐν τῷ διδόναι γὰρ λαμβάνεται, καὶ ἐν τῷ σκορπίζειν συνάγεται.

Λαβών τι παρά τινος, εὐθὺς ἀπόδος, ἵνα πάλιν λάβῃς.

Χρήματα περίζειν μὲν οὐκ ἀχρεῖον· ἐξ ἀδικίας δὲ παντὸς κάκιον.

Ὕμνους τῷ Θεῷ, ἐπαίνους δὲ τοῖς ἀνθρώποις παρέχειν δεῖ.

Εὔνοια καὶ χάρις πειθόντων ἐστὶν, οὐ βιαζομένων.

A minus effectum det, nihil inferior est animi sui habitu, quam qui re ipsa propositum suum declaravit.

Qui animæ tuæ beneficium præstat, veluti ministrum Dei post Deum honora.

Photii patriarch. Qui largiuntur indignis ea quæ dignis conferri debebant, tria committunt absurda: nam et ipsi jacturam faciunt, et in bonos contumeliosi sunt, et malos fortes reddunt materia vitiorum suppeditata.

59 *Plutarch.* Ingrato benefacere, et ungere mortuum, eadem sunt.

Serpentem alere, et malo benefacere, idem est. Neuter ad benevolentiam beneficio trahitur.

Anacreon. Anacreon lyricus cum auri talentum a B Polycrate tyranno accepisset, aliis id distribuit, inquiens: Odi munus quod vigilare cogit.

Demosth. Demosthenes interrogatus quid homo simile Deo haberet, dixit: Benefacere et vera dicere.

Democ. Parva beneficia tempestiva maxima sunt accipientibus ea in discrimine.

Parva potius largire, quam magna promitte. Hoc enim periculo vacat, et qui accipit, re, non verbis indiget.

Si cui benefacturus es, statim facito.

Tarditas enim vitiosum reddit munus.

Si benefacere potes, ne cuncteris, sed largire, sciens quod res non sunt stabiles.

Socratis. Qui diviti largitur, nihil ab illo differt, C qui aquam in mare profundit.

Nihil in vita celerius beneficio senescit.

Catonis. Beneficium apud gratos nunquam moritur.

Epicuri. Ne recuses in parvis gratificari: videberis enim in magnis quoque ejusmodi esse.

Sexti. Ne exprobres amico tuo beneficia; sic enim eris tanquam non dederis.

Demosth. Qui temporis rationem non habent, nec arripiunt occasionem, quamvis aliquid boni divinitus eis obtigerit non meminerunt.

Ne petas magna, ne alterum e duobus accidat, ut vel compos redditus voti molestus sis aliis, vel non compos, ipse molestiam sentias.

Cratetis. Non ab omnibus quæ dantur accipienda D sunt. Non decet enim virtutem ab improbitate nutriri.

Isocrat. Benefacito bonis. Pulcher enim thesaurus est apud virum bonum debita gratia.

Theopidæ. Opes non absumuntur beneficentia: dando enim accipitur, et spargendo colligitur.

Cum quid ab aliquo accepisti, mox redde, ut iterum accipias.

Non inutile quidem est pecunias acquirere: per injustitiam vero, longe pessimum.

Hymnos Deo, hominibus laudes exhibere oportet.

Benevolentia et gratia persuadentium est, non cogentium.

SERMO XXX [*al.* XXXIII].

De inopia et paucarum rerum indigentia.

60 *Matth.* VI. Dixit Dominus : Ne solliciti sitis vitæ vestræ quid comedatis, neque corpori vestro quid induatis ; sed quærite regnum Dei et justitiam ejus, et hæc omnia adjicientur vobis.

Act. XX. Argentum aut aurum aut vestimentum nullius desideravi ; ipsi scitis, quod necessitatibus meis, et his qui mecum sunt suppeditaverunt manus hæ.

Hebr. XIII. Sint mores alieni ab avaritia, contenti iis quæ adsunt. Siquidem ipse dixit ; Non te desero, neque derelinquo.

Philipp. IV. Nam ego didici in quibus sum, in his contentus esse. Novi et humilis esse, novi et excellere ; ubique et in omnibus institutus sum, et saturari et esurire, et abundare et penuriam pati. Omnia possum per Christum qui me corroborat.

Psal. XXXVI. Modicum satius est justo, quam magnæ peccatorum divitiæ.

Psal. LXI. Divitiæ si affluant, cor ne apponite.

Prov. XXI. Vir indigens, amat sobrietatem. Qui vinum et oleum amat, non ditescet (1).

Melius est pauca accipere cum justitia, quam multæ possessiones cum injustitia.

Melius est convivium cum oleribus ad amicitiam, quam appositio vitulorum cum inimiticia.

Prov. XVII. Melior est buccella cum voluptate in pace, quam domus plena multis bonis et injustis pecoribus cum contentione.

Ibid. XXX. Divitias et paupertatem ne mihi des, Domine, sed necessaria et quæ sufficiant mihi largire, ne saturatus fiam vanus, et dicam : Quis me videt ? aut pauper factus furtum committam, et jurem per nomen Dei mei.

Ibid. XXV. Invento melle quod satis est comede, ne forte repletus evomas.

Sirach. Præstat pugillus plenus cum quiete, duobus pugillis cum labore.

Homini sapienti sufficit exiguum.

Vita frugalitatem sequentis jucunda erit.

Somnus sanitatis in ventre moderato.

S. Basilii. Magnanimi sitis. Parietes vero seu parvi seu magni eumdem usum exhibent.

Unus est scopus vestis, ut sufficiens tegumentum sit ad hiemem et æstatem.

Sumptus supra quam necessitas et usus postulant, luxus est.

Theol. Præstat exigua portio cum securitate, manna cum debilitate.

Greg. Nyss. Inopia tibi sit obsonium, et quod satietas non adjicitur satietati, nec appetitus hebetatur crapula.

Qui diem dedit, dabit etiam quæ ad diem necessaria sunt.

Rerum necessariarum usus et possessio non

(1) Aliter legitur apud Hebræos.

ΛΟΓΟΣ Λ'.

Περὶ ἀκτημοσύνης καὶ ὀλιγοδείας.

Εἶπεν ὁ Κύριος· Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε· μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. Ζητεῖτε δὲ τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται.

Ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενος τοῖς παροῦσιν. Αὐτὸς γὰρ εἶπεν, « Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω. »

Ἐγὼ ἔμαθον ἐν οἷς εἰμι, αὐτάρκης εἶναι. Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾷν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.

Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.

Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

Ἀνὴρ ἐνδεὴς ἀγαπᾷ σωφροσύνην. Φιλῶν οἶνον καὶ ἔλαιον οὐ πλουτήσει.

Κρεῖσσον ὀλίγη λῆψις μετὰ δικαιοσύνης ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας.

Κρεῖσσον ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν, ἢ παράθεσις μόσχων μετὰ ἔχθρας.

Κρεῖσσον ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης.

Πλοῦτον καὶ πενίαν μή μοι δῷς, Κύριε· σύνταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη, ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω, Τίς με ὁρᾷ ; ἢ πενηθεὶς κλέψω, καὶ ὁμόσω τὸ ὄνομα τοῦ Θεοῦ μου.

Μέλι εὑρὼν φάγε τὸ ἱκανὸν, μή ποτε πλησθεὶς ἐξεμέσῃς.

Κρεῖσσον πλήρωμα δρακὸς μετ' ἀναπαύσεως, ὑπὲρ πλήρωμα δύο δρακῶν ἐν μόχθῳ.

Ὦς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον.

Ζωὴ αὐταρκείας ἐργάτου γλυκανθήσεται.

Ὕπνος ὑγείας ἐπὶ ἐντέρῳ μετρίῳ.

Μεγάλην ἔχετε τὴν ψυχήν. Τοῖχοι δὲ καὶ μικροὶ καὶ μείζους τὴν αὐτὴν χρείαν παρέχονται.

Σκοπὸς ἐσθῆτος εἷς, κάλυμμα εἶναι σαρκὸς, πρὸς χειμῶνα καὶ θέρος αὐταρκές.

Παράχρησίς ἐστιν ἡ ὑπὲρ τὴν χρείαν δαπάνη.

Κρεῖσσον μικρὰ μερὶς μετὰ ἀσφαλείας, ἢ μεγάλη μετὰ σαθρότητος.

Ὄψον σοι γενέσθω ἡ ἔνδεια, καὶ τὸ μὴ ἐπιβάλλειν κόρῳ τὸν πόρον, μηδὲ ἀμβλύνειν τῇ κραιπάλῃ τὴν ὄρεξιν.

Ὁ τὴν ἡμέραν διδοὺς, καὶ τὰ εἰς τὴν ἡμέραν σοι δώσει.

Ἡ τῶν ἀναγκαίων κτῆσις καὶ χρῆσις οὐ τὴν

ποιότητα βλαβερὰν ἔχει, ἀλλὰ τὴν παρὰ τὸ μέτρον ποσότητα.

Ἀγαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία.

Ὁ σπουδαῖος ὀλιγοδεὴς, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος· τὸ μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητὸν, τὸ δὲ μὴ πολυδεὲς διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας.

Ἡ αὐτάρκεια, πηγὴν ἔχουσα σωφροσύνης, μέτρον ἐστὶ τῶν ἀναγκαίων καὶ χρησίμων πρὸς τὸν βίον.

Ἀσκητέον ὀλίγων δεηθῆναι· τοῦτο γὰρ ἐγγυτάτω Θεοῦ, τὸ δὲ ἐναντίον μακροτάτω.

A qualitatem habet noxiam, sed ipsam præter modum quantitatem.

Paucitas cibi necessarium bonum est.

Philonis. Virtutis studiosus paucis indiget, in confinio mortalis et immortalis naturæ situs : indigentia quidem laborans propter mortale corpus, non multis autem indigens, propter animum immortalitatis cupidum.

Frugalitas, ex temperantia ceu fonte scaturiens, rerum ad vitam necessariarum et utilium mensura est.

Exerceri oportet ut paucis egeamus : hoc enim Deo proximos reddit, contrarium ab eodem remotissimos.

ΛΟΓΟΣ ΛΑ'.

Περὶ πλούτου, καὶ πλουσίων εὖ καὶ προσηκόντως βιούντων.

Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ τῷ Θεῷ, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν.

Οἱ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου, καὶ ἐπιθυμίας ἀνονήτους καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν.

Πλοῦτος προστίθησι φίλους πολλούς.

Πλούσιοι πτωχῶν ἄρξουσιν.

Ἀγαθὸς πλοῦτος, ᾧ μὴ ἔστιν ἁμαρτία.

Κρεῖσσων πτωχὸς δίκαιος ἢ πλούσιος ψεύστης.

Μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος, καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη.

Πλούσιος σκευόμενος στηρίζεται ὑπὸ φίλων.

Ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, καὶ ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον.

Ῥευστὴ ἡ φύσις τοῦ πλούτου, χειμάρρου ὀξύτερον τοὺς ἔχοντας παρατρέχει, ἄλλοτε ἄλλον πέφυκε παραμείβεσθαι.

Δύνασαι μᾶλλον ὕδωρ τῇ χειρὶ περιλαβὼν κατασχεῖν, ἢ πλοῦτον διαρκῶς συντηρῆσαι.

Ὁ καλὸς, κατὰ τὸν ὀρθὸν λόγον τὰ παρόντα μεταχειριζόμενος, οἰκονόμος ἐστὶ τῶν παρὰ Θεοῦ· ἐπαινεῖσθαι καὶ ἀγαπᾶσθαι ὁ τοιοῦτος δίκαιός ἐστι διὰ τὸ φιλάδελφον καὶ κοινωνικὸν τοῦ τρόπου.

Ὁ μὲν δίκαιος οὔτε παρόντα ἀποστρέφεται τὸν πλοῦτον, οὔτε μὴ παρόντα ἐπιζητεῖ. Οὐ γὰρ ἀπολαυστικός ἐστι τῶν διδομένων, ἀλλ' οἰκονόμος. Οὐδεὶς δὲ τῶν νοῦν ἐχόντων ἐπιτρέχει τῇ ἀσχολίᾳ τῆς τῶν ἀλλοτρίων διανομῆς, ἐὰν μὴ πρὸς τὴν τῶν πολλῶν ἀποβλέπῃ δόξαν, οἳ θαυμάζουσι καὶ ζηλοῦσι τοὺς ἐν ἐξουσίᾳ τινὶ καθεστῶτας.

Ὡς ἀπόλοιτο πλοῦτος, εἰ μὴ βοηθεῖ πένησιν !

B

De divitiis et divitibus, qui bene ac decenter vivunt.

Matth. XIX. Facilius est camelum per foramen acus transire, quam divitem in regnum Dei.

I Tim. VI. Divitibus in hoc sæculo præcipe ne altum sapiant, neque spem in opes instabiles reponant, sed in Deum qui nobis omnia porrigit ad fruendum abunde.

I Tim. VI. Qui ditescere volunt, incidunt in tentationem et laqueum diaboli, et cupiditates inutiles ac noxias, quæ demergunt homines in perniciem et interitum.

Prov. XIX. Divitiæ multos amicos addunt.

C

Ibid. XXII. Divites imperabunt pauperibus.

Bonæ divitiæ, quæ sine peccato sunt.

Ibid. XIX. Melior est pauper justus, quam dives mendax.

Eccli. XXXI. Beatus dives qui inventus est inculpabilis, et qui aurum non affectavit!

Ibid. XIII. Dives concussus fulcitur ab amicis.

Ibid. XXXI. Vigiliæ divitiarum tabefaciunt corpus, et sollicitudo earum amolitur somnum.

Basilii. Fluxa divitiarum natura torrente celerius possidentes prætermeat, et alias alium præterlabi solet.

Aquam citius manu comprehensam tenueris, quam divitias satis servaveris.

Qui bene et recta ratione præsentia administrat, D œconomus est rerum divinitus datarum, et laudari ac diligi meretur propter ingenium ad fraternum amorem et communicationem proclive.

Justus quidem neque præsentes divitias aversatur, nec absentes requirit ; non enim sibi tantum fruitur rebus quas Deus dederit, sed dispensator earum est. Nullus vero mente præditus sponte festinat ad negotium aliena dispensandi, nisi gloriam popularem respiciat ; admiratur enim vulgus et felices judicat illos qui aliqua potestate præcellunt.

62 *Theologi.* Utinam pereant divitiæ, nisi pauperibus subveniant !

(1) Aliter legitur apud Hebræos.

Quid enim opus est multa reponere latronibus et furibus, et mutationibus temporum, quæ alias in alios transferunt et ventilant instabilem opulentiam, non autem recondere in apothecas munitas, et omnibus insidiis validiores?

Chrysost. Pauper non tam desiderat necessaria, quam superflua dives: nec rursus tantam vim aut facultatem habet pauper ad exercendam improbitatem quantam dives.

Si quis cupiditate superior vincitur a pecuniis, ne cupiditatem quidem sæpe vincit, sed a natura accepit ut parum ei molesta sit hæc. Non enim omnes similiter luxuriosi sunt.

Radix omnium malorum est pecuniæ studium. Desiderium enim divitiarum est, perjurium, furtum, rapina, scortatio, invidia, cædes, odium fratrum, bellum, avaritia, simulatio, adulatio.

Greg. Nyss. Honeste possidere pauca multo præstabilius est quam improbe multa possidere.

Nulla lucrandi satietas unquam oboritur, sed quod subinde accipitur materia et fomentum majoris desiderii fit.

Clementis. Optimæ sunt opes inopia cupiditatum.

Philonis. Divitiarum decus non in loculis situm est, sed in auxilio egentibus exhibendo.

Nili. Ne velis ditescere ea causa ut liberalis sis in pauperes. Deus enim jubet justum misereri ex iis quæ habet.

Plutarchi. Ut vestes talares corpora, sic opes immodicæ animas impediunt.

Equus generosus non ex apparatu pretioso judicatur, sed qui natura sit egregius: neque vir honestus qui magni pretii possidet opes, sed qui generoso animo sit.

Democriti. Assidua inest cunctis hominibus divitiarum cupiditas; non acquisita enim cruciat; acquisita vero curis fatigat; perdita denique tristitia conficit.

Naturales divitiæ constant pane et aqua et parabili corporis tegumento; superfluæ vero infinitam in animo cupiditatis vexationem habent.

Rebus iis quas natura largitur omnes abundamus: quæ vero in nobis sitæ sunt, earum omnes sumus inopes.

Socratis. Vinum quidem mutatur cum vasis: divitiæ autem sequuntur mores possidentium.

Sudor quidem honestior est, quem exercitium elicit: divitiæ vero propriis laboribus parantur.

Clitarchi. Magna dos non facit meliores liberos.

63 Continentia fundamentum est pietatis: appetitio autem possessionis initium est avaritiæ. Nam ex pecuniæ studio injustitia producitur.

Eusebii. Homines vani colunt et admirantur magnos et pecuniosos, quamvis mali sint: bonos autem contemnunt si paupertatem eorum animadverterint.

Τί γὰρ δεῖ θησαυρίζειν λῃσταῖς καὶ κλέπταις, καὶ καιρῶν μεταβολαῖς ἄλλοτε εἰς ἄλλους μετατιθέντων, καὶ ῥιπιζόντων τὴν ἄστατον εὐπορίαν, ἀλλὰ μὴ εἰς τὰς ἀσφαλεῖς ἀποθήκας ἀποτίθεσθαι τῶν ἐπιβουλευόντων ἰσχυροτέρας;

Οὐ τοσοῦτον πένης ἐφίεται τῶν ἀναγκαίων, ὡς τῶν περιττῶν ὁ πλούσιος· οὐδ' αὖ τοσαύτην ἰσχὺν ἔχει πρὸς τὸ χρήσασθαι τῇ πονηρίᾳ, ὅσην δύναμιν οὗτος.

Εἴ τις ἐπιθυμίας κρατῶν ὑπὸ χρημάτων νικᾶται, οὐδὲ ἐπιθυμίας πολλάκις κρατεῖ, ἀλλὰ ἀπὸ φύσεως ἔλαχε τὸ μὴ σφόδρα ἐνοχλεῖσθαι ἐντεῦθεν. Οὐ γὰρ πάντες ὁμοίως εἰσὶ καταφερεῖς.

Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλοχρηματία. Ἐπιθυμία γὰρ τοῦ πλούτου, ἐπιορκία, κλοπή, ἁρπαγή, πορνεία, φθόνος, φόνος, μισαδελφία, πόλεμος, πλεονεξία, ὑπόκρισις, κολακεία.

Τὸ καλῶς ἔχειν ὀλίγα πολὺ τιμιώτερον τοῦ κακῶς ἔχειν πολλά.

Οὐδεὶς ποτε τοῦ κερδαίνειν γίνεται κόρος, ἀλλὰ τὸ ἀεὶ λαμβανόμενον ὕλη καὶ ὑπέκκαυμα τῆς τοῦ πλείονος ἐπιθυμίας καθίσταται.

Πλοῦτος ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία.

Πλούτου κάλλος οὐκ ἐν βαλαντίοις, ἀλλ' ἐν τῇ τῶν χρῃζόντων ἐπικουρίᾳ.

Μὴ βούλου πλουτεῖν φιλοπτωχίας ἕνεκεν. Ἀπὸ γὰρ τῶν ὄντων ἐλεεῖν ὁ Θεὸς νομοθετεῖ τὸν δίκαιον.

Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσιν.

Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.

Διηνεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία· μὴ κτηθεῖσά μὲν γὰρ τρύχει· κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν· ἀποκτηθεῖσα δὲ, ταῖς λύπαις.

Ὁ κατὰ φύσιν πλοῦτος ἄρτῳ καὶ ὕδατι, καὶ τῇ τυχούσῃ τοῦ σώματος σκέπῃ συμπεπλήρωται· ὁ δὲ περιττὸς κατὰ ψυχὴν ἀπέραντον ἔχει καὶ τὴν τῆς ἐπιθυμίας βάσανον.

Ὅσα μὲν ἐπὶ τῇ φύσει, πάντες ἐσμὲν πλούσιοι· ὅσα δὲ ἐφ' ἡμῖν, πάντες ἐσμὲν πένητες.

Ὁ μὲν οἶνος συμμεταβάλλει τοῖς ἀγγείοις, ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις.

Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων εὐσχημονέστερος· πλοῦτος δὲ ὁ ἐκ τῶν ἰδίων πόνων.

Προλὶξ πολλὴ τέκνα βελτίονα οὐ ποιεῖ.

Ἐγκράτεια κρηπὶς εὐσεβείας· ὄρεξις κτήσεως ἀρχὴ πλεονεξίας. Ἐκ γὰρ φιλαργυρίας ἀδικία φαίνεται.

Οἱ μάταιοι τῶν ἀνθρώπων τοὺς μὲν μεγάλους χρήματα ἔχοντας, κἂν φαύλους, τιμῶσί τε καὶ θεραπεύουσι· τῶν δὲ σπουδαίων ἐπειδὰν ἀχρηματίαν καταγνῶσιν, ὑπερφρονοῦσιν.

Πολλῶν κακῶν ἐπικάλυμμά ἐστιν ὁ πλοῦτος. A
Κἂν μυρίων πηχῶν γῆς κύριος ὑπάρχῃς, θανὼν γενήσῃ τριῶν ἢ τεσσάρων.

Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διαπαντός.

Πλοῦτος κακίας μᾶλλον ἢ καλοκαγαθίας ἐστὶν ὑπηρέτης.

Τί ἐστι πλοῦτος; Θησαυρὸς κακῶν, ἐφόδιον ἀτυχημάτων, χορηγία πονηρίας.

Πλοῦτος ἀπὸ κακῆς ἐργασίας ἐπιγινόμενος ἐπιφανέστερον ὄνειδος κέκτηται.

ΛΟΓΟΣ ΛΒ'.

Περὶ πλουσίων οὐκ εὖ βιούντων, καὶ τῶν παρεπομένων αὐτοῖς κακῶν. B

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.

Οὐαὶ ὑμῖν, οἱ πλουτοῦντες, ὅτι πεινάσετε, ὅτι ἀπέχετε τὸν μισθὸν ὑμῶν καὶ τὴν παράκλησιν.

Οἱ πλούσιοι, κλαύσατε, ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ὑπερχομέναις· ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα ἐγένετο. Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ἔσται, καὶ καταφάγεται τὰς σάρκας ὑμῶν, ὡς πῦρ. C

Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.

Κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ· οὕτως νομαὶ πλουσίων πτωχοί.

Πλουσίου σφαλέντος πολλοὶ ἀντιλήπτορες.

Ἐλάλησεν ἀπόῤῥητα, καὶ ἐδικαίωσαν αὐτόν.

Πλούσιος ἐλάλησε, καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν ἕως τῶν νεφελῶν.

Ὁ ἄδοξος ἐν πλούτῳ, ἐν πτωχείᾳ πόσῳ μᾶλλον;

Ἀνδρὶ μικρολόγῳ οὐ καλὸν ὁ πλοῦτος.

Ἀγρυπνία πλούτου ἐκτήκει σάρκας, καὶ ἡ μέριμνα αὐτοῦ ἀφιστᾷ ὕπνον. D

Ὁ ἀγαπῶν τὸν πλοῦτον οὐ δικαιωθήσεται.

Ἐμίσησεν ἡ ψυχή μου πλούσιον ψεύστην.

Ἀγαθοῦ Θεοῦ γέγονας, ἄνθρωπε, ὑπηρέτης, οἰκονόμος τῶν ὁμοδούλων, μὴ πάντα οἴου τῇ σῇ γαστρὶ παρεσκευάσθαι. Ὡς περὶ ἀλλοτρίων βουλεύου περὶ τῶν ἐν χερσί. Μικρὸν εὐφραίνει σε χρόνον, εἶτα παρῤῥυέντα οἰχήσεται· τὸν δὲ ἐπ' αὐτοῖς λόγον ἀπαιτηθήσῃ μετὰ ἀκριβείας.

Ὁ πλούσιος οὔπω ζηλωτός ἐστι διὰ τὸν πλοῦτον, οὐχ ὁ δυνάστης διὰ τὸν ὄγκον τοῦ ἀξιώματος. Ὄργανα γάρ ἐστι ταῦτα τῆς ἀρετῆς τοῖς καλῶς κεχρημένοις, οὐκ αὐτὰ ἐν ἑαυτοῖς ἔχοντα τὸ μακάριον. Ὁ μὲν

Divitiæ multis malis quasi velum prætexunt.

Philistionis. Quamvis dominus sis plurimæ terræ, et infinitos ruris cubitos possideas, mortuus ad tres aut quatuor redigeris.

Chilonis. Damnum potius quam turpe lucrum elige. Hoc enim perpetuo te affliget, illud semel tantum.

Divitiæ magis inserviunt improbis, quam bonis et honestis studiis.

Quid est opulentia? Thesaurus malorum, calamitatis viaticum, improbitatis suppeditatio.

Divitiæ ex malo principio paratæ plus habent infamiæ.

SERMO XXXII [*al.* CXLII].

De divitibus qui male vivunt, et de malis eos sequentibus.

Matth. XIX. Dixit Dominus ad discipulos suos: Vere dico vobis quod dives difficulter ingredietur in regnum cœlorum. Et iterum dico vobis: Facilius est camelum ingredi per foramen acus, quam divitem in regnum Dei.

Luc. VI. Væ vobis, divites, quia esurietis, quia mercedem et consolationem vestram recepistis.

Jac. V. Agite nunc, divites, plorate, ululantes super miseriis vestris quæ advenient vobis. Divitiæ vestræ putrefactæ sunt, vestimenta vestra a tincis plane consumpta sunt. Aurum et argentum vestrum ærugine vitiatum est, et ærugo eorum in testimonium vobis erit, et exedet carnes vestras sicut ignis.

David. Ne timeas cum ditatus fuerit homo, vel aucta gloria familiæ ipsius.

Eccli. XXIII. Leonum venatio sunt onagri in solitudine: sic etiam opulenti depascuntur pauperes.

Ibid. Divitis lapsi multi sunt adjutores.

Locutus est secreta, et absolverunt eum.

Ibid. Dives locutus est, et omnes tacuerunt, et extulerunt sermonem ejus usque ad nubes.

Ibid. XI. Infamis in divitiis, quanto foret in paupertate magis?

Hominem sordidum non decent divitiæ.

Ibid. XXXIII. Vigiliæ divitiarum tabefaciunt carnes, et sollicitudo earum avertit somnum.

Qui diligit divitias, non justificabitur.

Ibid. XXV. Animus meus odit divitem mendacem.

64 *Incerti auctoris.* Boni Dei minister factus es, o homo, œconomus conservorum, ne putes omnia tuo ventri parata esse. De rebus illis quas manibus tractas, tanquam de alienis consulta. Brevi tempore te oblectant, deinde præterfluentes interibunt: tu vero exquisitam de ipsis rationem reddere jubeberis.

Dives non habendus est felix propter divitias, neque princeps propter excellentiam dignitatis. Hæc etenim instrumenta virtutis sunt, si recte adhibentur, non autem ipsa felicitatem in se continent.

Ergo qui male divitiis utitur, miserabilis est, ut ille qui sponte se vulneraverit isto gladio, quem ad vindictam hostium sumpserat.

Ne misceamus opes nostras alienis lacrymis, a quibus tanquam ærugine et tineis consumentur (1).

Chrysost. Divites ut plurimum facile incidunt in malitiam. Cum enim abundantia rerum magnam pravis affectibus facilitatem præbeat, procliviores ad vitia feruntur.

Periculosa divitum est vita, et intractabilis mutatio. Quod si dixeris, Multos famulos circumducit dives, et multa terræ jugera possidet: primum scias difficilem ei reddendam esse de omnibus rebus suis rationem. Non enim fruendi gratia tantum accepit, sed ut aliis quoque utilis foret: deinde, quod nihil ei ab hac opulentia contingit, quam curæ, sollicitudo, ira, et perpetua perturbatio ac tumultus. Neque enim dives multos implet ventres, pauper vero unum solum: sed unum et hic et ille, et unum uterque corpus curat: idque alter sine metu et anxietate, alter tremens et timens adversitates. Ne respexeris igitur quanta sit possessio, sed an major fructus majorem possessionem sequatur.

Nihil juvant opes divitem morientem, quas secum auferre nequit: et hoc duntaxat recepit lucri, quod cum viveret beati titulum apud adulatores habuerit.

Multi divitiis affluentes vitam sibi minime vitalem existimant; alii in extrema paupertate maxima cum hilaritate degunt. Imo illi post satellitia gloriam et honores, non raro vitam ipsam exsecrantur: hi vero obscuri, et ex obscuris, et omnibus ignoti, multis aliis se beatiores existimant. Hilaritas enim et tranquillitas animi non tam in rerum conditione, quam judiciis hominum consistere solet.

Ipse Christus pronuntiavit quod non possitis Deo servire et mammonæ, **65** et quod nemo possit duobus dominis servire; præcipiunt enim contraria. Christus inquit, Parce pauperibus. Mammonas inquit, Nudis etiam quæ habent abstrahe. Christus inquit, Evacua quæ habes. Mammonas inquit, Accipe etiam quæ non habes. Verumtamen magis auscultatur illi, cujus crudelia, immania et ferina sunt præcepta, quam illi qui nobis benigna et salutaria præcipit. Hæc causa est gehennæ, causa tenebrarum, causa fluvii igniti, denique perpetui vermis causa.

Cyrilli. Divitiis etiam recte uti licet, si expendas indigentibus.

Molestiæ divites plurimum sequi solent, et ex nimia superbia ad negligentiam detrahuntur.

Οὖν κακῶς τῷ πλούτῳ κεχρημένος ἐλεεινός· ἓξ ὁ τῷ ξίφει ὃ ἔλαβε πρὸς τὴν τῶν πολεμίων ἄμυναν, τούτῳ ἑκούσιος ἑαυτὸν κατατιτρώσκων.

Μὴ μίξωμεν τὸν ἡμέτερον πλοῦτον ἀλλοτρίοις δάκρυσιν, ὑφ' ὧν ὡς ἀπὸ ἰοῦ καὶ σητὸς δαπανηθήσεται, ἢ τὸ, τῆς Γραφῆς εἰπεῖν, ἐξεμέθα.

Οἱ πλούσιοι ὡς τὰ πολλὰ πρὸς κακίαν εὐεμπτώτως ἔχουσι· τῆς γὰρ εὐπορίας πολλὴν ταῖς πονηραῖς ἐπιθυμίαις παρεχούσης τὴν εὐκολίαν, ὀξύτερον ἐπὶ τὰ ἁμαρτήματα τρέχουσιν.

Ἐπισφαλὴς ὁ βίος τοῖς πλουτοῦσι, δυσμετακίνητος ἡ μεταβολή. Εἰ δὲ λέγεις, Πολλοὺς σίκτας περιάγει, καὶ πολλὰ κέκτηται πλέθρα γῆς ὁ πλουτῶν· πρῶτον γνῶθι ὅτι χαλεπὰς ἕξει τὰς εὐθύνας, πάντων τὸν λόγον ὑπέχων. Οὐ γὰρ ὅπως ἀπολαύσει ἔλαβε μόνον, ἀλλ' ὅπως καὶ ἑτέροις γένοιτο χρήσιμος· δεύτερον, ὅτι οὐδὲν ἀπὸ τῆς περιουσίας αὐτῷ γίνεται ταύτης ἢ φροντίδες καὶ μέριμναι καὶ ὀργαί, καὶ τὸ διὰ παντὸς εἶναι ἐν ταραχῇ καὶ θορύβοις. Οὐ γὰρ οὗτος μὲν μυρίας γαστέρας, ὁ δὲ πένης μίαν πληροῖ μόνον, ἀλλὰ καὶ οὗτος κἀκεῖνος μίαν, καὶ ἓν ἀμφότεροι θεραπεύουσι σῶμα· ἀλλ' ὁ μὲν χωρὶς ἀγωνίας καὶ δέους, ὁ δὲ μετὰ τοῦ δεδοικέναι καὶ τρέμειν τὰς ἐπαναστάσεις. Μὴ τοίνυν ἴδῃς ὡς πολλὴν ἔχει τὴν περιουσίαν, ἀλλ' εἰ πλέον τι τῆς πολλῆς ταύτης ἀπολαύσει.

Οὐδὲν ὄφελος τῷ πλουσίῳ ἀποθνήσκοντι μὴ δυναμένῳ λαβεῖν τὸν πλοῦτον σὺν ἑαυτῷ, ὃς γε τοσοῦτον ἀπὸ τῆς ἀπολαύσεως ἐκέρδανε μόνον, ὅσον τὴν ψυχὴν αὐτοῦ ἐν τῇ ζωῇ ταύτῃ παρὰ τῶν κολάκων μακαρισθῆναι.

Πολλοὶ πλούτῳ περιῤῥεόμενοι τὸν βίον ἀβίωτον ἐνόμισαν εἶναι· ἕτεροι δὲ, πενίᾳ συζῶντες ἰσχάτῃ, πάντων εὐθυμότερον διετέλεσαν. Καὶ οἱ μὲν δορυφορίας ἀπολαύσαντες καὶ δόξης καὶ τιμῶν πολλάκις αὐτὴν ἐπηράσαντο τὴν ζωήν· οἱ δὲ ἄσημοι καὶ ἐξ ἀσήμων καὶ οὐδενὶ γνώριμοι πολλῶν ἑαυτοὺς μακαριωτέρους εἶναι ἐνόμισαν. Οὐ γὰρ ἐν τῇ φύσει τῶν πραγμάτων οὕτως, ὡς ἐν τῇ γνώμῃ τῶν ἀνθρώπων, τὰ τῆς εὐθυμίας ἱστασθαι πέφυκεν.

Αὐτὸς ὁ Χριστὸς ἀπεφήνατο, ὅτι Οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ ὅτι οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἐναντία γὰρ ἐπιτάττουσιν. Ὁ Χριστὸς λέγει, Φείδου τῶν πενομένων· ὁ μαμωνᾶς λέγει, Καὶ τοὺς γυμνοὺς ἀπόδυσον αὐτὰ ἃ ἔχουσιν. Ὁ Χριστὸς λέγει, Κένωσον ἅπερ ἔχεις· ὁ μαμωνᾶς λέγει, Λάβε καὶ ἅπαρ οὐκ ἔχεις. Ἀλλ' ὅμως ἀκούεται μᾶλλον ὁ τὰ ὠμὰ καὶ ἀπηνῆ καὶ θηριώδη προστάττων τοῦ τὰ ἐπιεικῆ καὶ σωτήρια ἡμῖν κελεύοντος. Διὰ τοῦτο γέεννα, διὰ τοῦτο σκότος, διὰ τοῦτο ποταμὸς πυρὸς, διὰ τοῦτο σκώληξ ἀτελεύτητος.

Ἔστι καὶ πλούτῳ εἰς δέον χρήσασθαι, ὅταν εἰς τοὺς δεομένους ἀναλώσῃ.

Τοῖς πλουτοῦσι μάλιστα παρέπεσθαι φιλεῖ τὸ δυσήνιον, καὶ ἐκ πλείστης ἄγαν ἀγερωχίας καταῤῥέπουσι πρὸς τὸ ῥᾴθυμον.

(1) Quæ hic in Græco sequuntur aliquot verba, videntur corrupta.

Πλοῦτος κακία; μᾶλλον ἡ καλοκαγαθίας ἐστὶν ὑπηρέτης.

ΛΟΓΟΣ ΛΓ'.

Περὶ πτωχῶν καὶ πενήτων,

Κραυγὴν πένητος καὶ κραυγὴν πτωχοῦ εἰσακούσεται Κύριος.

Οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος,

Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων.

Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων.

Ὁ ἀτιμάζων πένητα ἁμαρτάνει.

Ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν.

Πενία ἄνδρα ταπεινοῖ.

Πλουσίου πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν.

Πάντα τὰ ἔργα τοῦ πτωχοῦ φανερὰ παρὰ τῷ Θεῷ.

Ὃς ἀποφράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός.

Ἡ σοφία τοῦ πένητος ἐξουθενημένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι.

Βοσκηθήσονται πτωχοὶ διὰ Κυρίου, πένητες δὲ ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται.

Ταπεινὸς ἐσφάλη, καὶ προσεπετίμησαν αὐτῷ· ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος.

Προσευχὴ ταπεινοῦ νεφέλας διῆλθε, καὶ οὐ μὴ παρακληθῇ, ἕως ἂν ἐπισκέψηται Ὕψιστος.

Σοφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἐν μέσῳ μεγιστάνων καθιεῖ αὐτόν.

Πτωχὸς δοξάζεται δι' ἐπιστήμην καὶ εὐλάβειαν· ὁ δοξαζόμενος ἐν πτωχείᾳ, πόσαχῶς ἐν πλούτῳ !

Μὴ παρεκτείνου πένης ὢν πλουσίῳ, τῇ δὲ σῇ εὐνοίᾳ ἀπόσχου.

Ἐμίσησεν ἡ ψυχή μου πτωχὸν ὑπερήφανον.

Πτωχεύων, ἄνθρωπε, εὐφραίνου, ὅτι Λαζάρου σε τὰ ἀγαθὰ διαδέξεται.

Οὐδεμίαν αἰσχύνην τὸ πένεσθαι προξενεῖ.

Ἐνὶ τούτῳ διαφέρομεν τῶν πλουτούντων οἱ πένητες, τῇ ἀμεριμνίᾳ· καὶ καταγελῶμεν αὐτῶν ἀγρυπνούντων, αὐτοὶ καθεύδοντες.

Πενία μετὰ ἀληθείας πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι τιμιωτέρα.

Οὐ τὸ πένεσθαι ἐπονειδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγνωμόνως τὴν πενίαν.

Πένης μὴ ἀθυμήσῃς. Ἡ γὰρ εἰς ἄγαν κατήφεια γίνεται τῆς ἁμαρτίας αἰτία, τῆς μὲν λύπης βαπτιζούσης τὸν νοῦν, καὶ ἀμηχανίας ποιούσης ἴλιγγον, τῆς δὲ ἀπορίας τῶν λογισμῶν τὴν ἀχαριστίαν ἀποτεννώσης. Μὴ γὰρ οὐκ ἐπιβλέπει τὴν στένωσιν ὁ Θεός; Ἔχει τὴν τροφὴν ἐν χερὶ, καὶ ἀναβάλλεται τὴν δόσιν, ἵνα σου δοκιμάσῃ τὸ βέβαιον.

Οὐδὲν τῷ Θεῷ μέγα, ὃ μὴ καὶ πένησι δίδωσι.

Philonis. Divitiæ magis improbitati quam honestati inserviunt.

SERMO XXXIII [*al.* CXLIII].

De egenis et pauperibus.

Job. Clamorem pauperis et clamorem egeni Dominus exaudiet.

Psal. IX. Non in perpetua oblivione jacebit egenus. Patientia pauperum non semper frustrabitur.

Ibid. VII. Judicabit inopes populi, et filios pauperum servabit.

Ibid. CXXXIX. Cognovi quod Domines acturus est causam inopum, et judicium pauperum.

Prov. XVII. Qui spernit pauperem, peccat.

Qui pauperem calumniatur, irritat creatorem ejus.

Paupertas humiliat virum.

Prov. XIII. Pauper non sustinet minas divitis.

Omnia opera inopis manifesta sunt apud Deum.

Prov. XXI. Qui obstruit aures suas ne audiat egentem, illius preces non exaudiet Dominus.

Eccle. IX. Sapientia pauperis nihil reputatur, et verba ejus non audiuntur.

Isa. XIV. Inopes a Domino pascentur, et homines pauperes in pace quiescent.

Eccli. XIII. Humilis quispiam erravit, et increpatus est; locutus est sapienter, et non datus est ei locus.

Ibid. XXXV. Oratio humilis per nubes transivit, et non accipiet solatium, donec visitet Altissimus.

Ibid. XXXV. Sapientia humilis extollet caput ipsius, et collocabit eum inter principes.

Ibid. X. Pauper laudatur ob scientiam et modestiam : qui igitur pauper honoratus est, quanto dives idem esset honoratior !

Prov. XXII. Pauper cum sis ne contendas cum divite, sed per prudentiam tuam abstine.

Odit anima mea inopem superbum.

S. Basilii. Gaudeas, o homo, in penuria, quoniam Lazari bona te sequentur.

Nullum dedecus paupertas producit.

Hoc uno pauperes a divitibus distamus, tranquillitate animi : et vigilias ipsorum ridemus ipsi dormientes.

Paupertas cum veritate quavis fruitione pretiosior est apud prudentes.

Non turpe est esse pauperem, sed non æquo animo ferre paupertatem.

Pauper dum es ne abjicias animum. Nimia enim tristitia gignit peccatum, in qua mœror submergit mentem, et veluti vertiginem facit ipsa perplexitas, et consiliorum penuria ingratitudinem producit. An putas Deum non intueri angustiam tuam ? Atqui ille cum victum in manibus habeat, largiri cunctatur, ut constantiæ tuæ experimentum sumat.

Theologi. Nihil magni possidet Deus, quod non etiam pauperibus largiatur.

Præstantior est paupertas possessione non justa.

Κρείσσων πενία μὴ δικαίας κτήσεως.

Misera quidem paupertas, sed opulentia mala miserior.

Δεινὸν πένεσθαι, χεῖρον εὐπορεῖν κακῶς.

Omnes sumus pauperes et indigi divinæ gratiæ, quamvis alius alii præstare videatur, si exiguis mensuris metiare.

Πτωχοί ἐσμεν ἅπαντες, καὶ τῆς θείας χάριτος ἐπιδεεῖς, κἂν ἄλλος ἄλλου προέχειν δοκῇ μικραῖς μέτροις μετρούμενος.

Si creatorem irritat qui in pauperem fuerit contumeliosus, ergo ille qui colit opus, honorat opificem.

Εἰ γὰρ ὁ ἀτιμάζων πένητα παροξύνει τὸν ποιήσαντα αὐτὸν, τιμᾷ τὸν ποιητὴν ὁ περιέπων τὸ ποίημα.

Præstabilior est juvenis pauper sapiens sene rege insipiente.

Κρείσσων νέος πένης σώφρων γέροντος βασιλέως ἄφρονος.

Multitudo magnæ æstimationis hominum unius pauperis pii dignitate inferior est.

Ἀνδρῶν ἐνδόξων πλῆθος ἑνὸς πένητος εὐσεβοῦς οὐκ ἀντάξιον.

Chrysost. Facilem sobrietatem, animæ cultum, modestiam promptam, non subitam inflationem, non ambitionem insanam, imo et alias omnes abunde virtutes in pauperum animis florentes invenias : divites contra ut plurimum virtutibus vacuos, et ad vitia pronos.

Τὴν τῆς σωφροσύνης εὐκολίαν, καὶ τῆς ψυχῆς ἐπιμέλειαν, καὶ τὸ μετριάζειν ῥᾳδίως, καὶ τὸ μὴ φυσιοῦσθαι ταχέως, καὶ δοξομανίας ἀπηλλάχθαι, καὶ πᾶσαν ἁπλῶς τὴν ἄλλην ἀρετὴν μετὰ πολλῆς τῆς δαψιλείας ἐν ταῖς τῶν πενήτων ψυχαῖς βρύουσαν ἴδοι τις ἄν· τοὺς δὲ πλουσίους ὡς τὰ πολλὰ ἐρήμους ταύτης ὄντας, καὶ πρὸς κακίαν εὐεμπτώτους ἔχοντας.

Quid pauper magis beatum fieri possit, cum divitem quoque, si salvus esse velit, eumdem in statum redigi prius oporteat, in quo nunc pauper exsistit? Nam si rebus suis tanquam alienis abstineat, et affatim indigentibus eas distribuerit, ita salutem consequi poterit. Sic fecit Job, sic Abraham, et res suas tanquam heriles et a Domino sibi commissas in conservos erogarunt. Idcirco neque præsentibus eis parcebant, nec absentibus animo cruciabantur.

Τί πένητος γένοιτο μακαριώτερον, ὅταν δέῃ καὶ τὸν πλούσιον, εἰ μέλλει σώζεσθαι, πρότερον ἐνταῦθα ἀφικέσθαι, ἔνθα ὁ πένης ἕστηκεν; Ἂν γὰρ τῶν οἰκείων ὡς ἀλλοτρίων ἀπόσχηται, καὶ εἰς τοὺς δεομένους αὐτὰ σκορπίσῃ μετὰ δαψιλείας ἁπάσης, οὕτω δυνήσεται σωτηρίας ἐπιτυχεῖν. Οὕτω γοῦν ὁ Ἰώβ, οὕτω καὶ ὁ Ἀβραὰμ ἐποίησαν, καὶ τὰ αὐτῶν ὥσπερ δεσποτικὰ ἐγχειρισθέντες, οὕτως εἰς τοὺς ὁμοδούλους ἀνήλισκον. Διὰ τοῦτο οὔτε παρόντων ἐφείδοντο, οὔτε ἀπόντων ἐδάκνοντο.

Sexti. Paupertatem ferre non cujusvis est, sed viri sapientis.

Πενίαν φέρειν οὐ παντὸς, ἀλλ' ἀνδρὸς σοφοῦ.

Didymi. Qui mendici vel pauperes propter virtutem et pietatem facti sunt, illos magis ac diligentius curare debes : itidem qui propter morbos aut casus adversos inopia laborant, in illos magis beneficus esto, quam qui ex malo facinore aut luxuria ad paupertatem redacti sunt.

Μείζονα καὶ σπουδαιοτέραν τὴν ἐπιμέλειαν ποιοῦ εἰς τοὺς δι' ἀρετὴν καὶ θεοσέβειαν πτωχεύσαντας ἢ πενομένους· ὁμοίως καὶ εἰς τοὺς ἐκ νόσων ἢ συμπτωμάτων ἀπορουμένους παρὰ τοὺς ἐκ κακοεργημονίας ἢ ἀσωτίας πτωχεύσαντας.

Aristot. Paupertas multis rebus indiget, inexplebilitas omnibus.

Ἡ πενία πολλῶν ἐστιν ἐνδεής· ἡ δὲ ἀπληστία πάντων.

Democriti. Si non multa desideres, pauca tibi

Ἂν μὴ πολλῶν ἐπιθυμῇς, τὰ ὀλίγα πολλὰ σοι

δόξει. Μικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.

Τὰ μέγιστα τῶν κακῶν οἱ πένητες ἐκπεφευγάσιν, ἐπιβουλὴν, φθόνον, καὶ μῖσος, οἷς οἱ πλούσιοι καθ' ἡμέραν συνοικοῦσιν.

Τὴν πενίαν ὁ σώφρων καρτερίᾳ καὶ γενναιότητι τιμῶν, πλούτου τιμιωτέραν ἀποφαίνει.

Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν· ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος.

Κρεῖσσον καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς. Τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.

Γῆς ἐπέβην γυμνός, γυμνὸς δ' ὑπὸ γαῖαν ἅπειμι.

Καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος; Πέ- B νης ἀποθανὼν φροντίδων ἀπηλλάγη· ζῶν γὰρ τέθνηκε, τὴν πενίαν νέκρωσιν ἔχων.

Ἀριστείδης ὁ δίκαιος, ὀνειδιζόμενος ἐπὶ πενίᾳ ὑπό τινος πλουσίου, εἶπεν· Ἐμοὶ μὲν ἡ πενία οὐδὲν ἱστορήσει κακόν· σοὶ δὲ ὁ πλοῦτος ταραχὰς οὐκ ὀλίγας.

ΛΟΓΟΣ ΛΔ'.

Περὶ φιλαργυρίας.

Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ταύτην φεῦγε· δίωκε δὲ δικαιο- C σύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πρᾳότητα.

Λογισμὸς φιλαργυρίᾳ περιειλημμένος τρυτάνη ἐστὶν, ἐπὶ τὸ βαρὺ τοῦ κανόνος τὴν ῥοπὴν καταφέρουσα.

Χρυσὸς τῶν ψυχῶν ἡ ἀγχόνη, τὸ τοῦ θανάτου ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ.

Πένης ἐστὶν ὁ πολλῶν ἐνδεής· πολλῶν δὲ ἡμᾶς ἐνδεεῖς ποιεῖ τὸ τῆς ἐπιθυμίας ἀκόρεστον.

Ὥσπερ γὰρ τοῖς μεθύουσιν ἀφορμὴ τοῦ πίνειν ἡ τοῦ οἴνου προσθήκη γίνεται· οὕτως καὶ οἱ νεόπλουτοι, πολλὰ κτησάμενοι, πλειόνων ἐπιθυμοῦσι, τῷ ἀεὶ προστιθεμένῳ τὴν νόσον τρέφοντες, καὶ περιτρέπεται αὐτοῖς ἡ σπουδὴ πρὸς τὸ ἐναντίον.

Πάντα χρυσὸν βλέπεις, πάντα χρυσὸν φαντάζῃ· D τοῦτό σοι καὶ καθεύδοντι ἐνύπνιον, καὶ ἐγρηγορότι ἐνθύμιον. Ὥσπερ γὰρ οἱ ὑπὸ μανίας παράφορει οὐ τὰ πράγματα βλέπουσιν, ἀλλὰ τὰ ἐκ τοῦ πάθους φαντάζονται, οὕτως σοι ἡ ψυχὴ τῇ φιλοχρηματίᾳ κατασχεθεῖσα, πάντα χρυσὸν, πάντα ἄργυρον βλέπει. Ἥδιον ἂν ἴδοις τὸν χρυσὸν ἢ τὸν ἥλιον.

Ὁ φιλάργυρος οὐδέποτε στήσεται τῆς ἐπιθυμίας.

Μὴ γίνου φιλάργυρος, ἵνα μὴ ἀντὶ Θεοῦ δουλεύσῃς τῷ Μαμωνᾷ.

Βαρύ τι χρῆμα τὸ χρυσίον ἐστί· κοῦφον δὲ καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή. Εἰ οὖν χρὴ τοῖς ἄνω προσβαίνειν, τῶν καθελκόντων πτωχεύσωμεν, ἵνα ἐν τοῖ, ἄνω γενώμεθα.

multa videbuntur. Desiderium enim contractum paupertatem divitiis æquipollentem reddet.

Pauperes maximis malis non infestantur, ut insidiis, invidia et odio, quibus divites expositi sunt quotidie.

Euripidis. Sapiens paupertatem animo patiente et generoso colens, divitiis pretiosiorem efficit.

Apollonii. Paupertas non turpis est secundum naturam, turpi vero de causa pauperem esse dedecus est.

Catonis. Præstat honesta paupertas improbis divitiis. Hoc enim opprobrii, illud miserationis causa fit.

Luciani. Nudus in terram veni, et nudus in illam redeo.

Quid frustra crucior, nudum videns exitum? Pauper defunctus liberatur curis. Vivens enim mortuus est, paupertatem ceu mortem ferens.

Aristides. Aristides ille justus, cum dives quidam paupertatem ei objiceret, dixit: Mihi quidem nihil afferet mali paupertas, tibi vero divitiæ non paucas perturbationes.

SERMO XXXIV [*al.* XLII.].

De avaritia.

I Tim. VI. Radix omnium malorum est pecuniæ studium, cujus aliqui desiderio capti a fide aberrarunt, et multis seipsos doloribus implicuerunt. Tu vero, homo Dei, ista fuge; sectare autem justitiam, pietatem, fidem, charitatem, patientiam, mansuetudinem.

Basilii. Animus avaritia captus trutina est ad pondus inclinans regulæ momentum.

Aurum est laqueus animorum, hamus mortis, esca peccati.

Pauper est qui multis indiget: multorum autem indigos facit cupiditas insatiabilis.

Quemadmodum ebriis magis magisque occasionem bibendi vinum bibitum præstat, sic etiam homines recenter ditati cum multa possideant plura desiderant, ex ipsa rerum accessione morbum foventes, et suum eis studium vertitur in contrarium.

Quidquid vides, quidquid imaginaris, aurum est: Hoc tibi dormienti somnium, et vigilanti cogitatio est. Nam ut qui per insaniam delirant, non ipsas res vident, sed quæ eis affectio suggerit, imaginantur: sic animus tibi avaritia detentus, nihil quam aurum et argentum videt, et suavius quidem aurum quam soli conspectui tuo se offert.

Chrysost. Avarus nunquam liberabitur cupiditate.

Non fias avarus, ne Mammonæ, loco Dei, servias.

Gravis res est aurum, virtus contra levis et apta in sublime ferri. Ergo si nobis accedenda sunt sublimia, ea quæ deorsum trahunt abjicianus, ut sursum feramur.

Plutarchi. Silicernio seu funebri convivio similis est vita hominis avari, nam cum nihil non habet, oblectandum neminem habet.

Nec a mortuo colloquium, nec ab avaro beneficium petendum est.

Potu restinguitur appetitus bibendi, et cibus desiderio cibi medetur : avaritiam vero non aurum nec argentum exstinguit.

Diogenes. Diogenes Cynicus philosophus interrogatus a quodam cur aurum palleret, dixit : Quoniam insidiatores multos habet.

Socratis. Avarorum divitiæ, ut sol post occasum, neminem mortalium oblectant.

Diodori. Quæ nequeunt armis capi, facile expugnantur auro. Nihil non subjicitur argento.

Diphili. Si accipere nihil esset, nemo foret malus.

Istud est avaritia, cum relicta consideratione Justi, lucro per omnia servis.

Mala lucra voluptates quidem breves, longæ vero tristitiæ sequuntur.

SERMO XXXV [*al.* XLI].

De avaritia, et qualibet in re plus habere volentibus et injustis.

Luc. XII. Videte et cavete ab avaritia, non enim in abundantia cujusquam vita ejus est ex his quæ possidet.

I Cor. VI. Cur non potius injuriam patimini? cur non potius damnum accipitis? Imo vos injuriam facitis, et damno afficitis, idque fratres? An nescitis, quod injusti regni Dei hæreditatem non consequentur?

69. II *ad Titum* I. Desistat ab injustitia omnis qui nomen Dei nominat.

Novit Dominus justos a tentatione liberare, injustos vero ad diem judicii puniendos servare.

II Petr. II. Qui diligit injustitiam, odit animam suam.

Psal. XXXIII. Facies Domini super facientes mala ut aboleat a terra memoriam eorum.

Prov. X. Virum injustum mala corripient ad perniciem.

Thesauri non juvabunt iniquos.

Injustis omnia in sinum colliguntur.

Prov. XX. Hæreditas præpropera principio tandem non benedicetur.

Ibid. XIII. Opes iniquitatis studio comparatæ minuuntur.

Sap. Injusti cito peribunt.

Gentis injustæ obliqui sunt anni.

Salomon. Ne gaudeas ob injustam pecuniam : nihil enim juvabit in die afflictionis.

Eccli. XXXV. Oratio patientis injuriam exaudietur.

Qui domum suam ædificat pecuniis alienis, similis est congerenti lapides in tumulum sepulturæ suæ.

Ibid. XXIII. Leo insidiatur venationi, itidem peccatum facientibus iniqua.

Ἔοικεν ὁ τῶν φιλαργύρων βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων τὸν εὐφρανθησόμενον οὐκ ἔχει.

Οὔτε παρὰ νέκροῦ ὁμιλίαν, οὔτε παρὰ φιλαργύρου χάριν δεῖ ἐπιζητεῖν.

Ποτὸν μὲν ἔσβεσε τὴν ποτοῦ ὄρεξιν, καὶ τροφὴ τὴν τροφῆς ἐπιθυμίαν ἠκέσατο· φιλαργυρίαν δὲ οὐ σβέννυσιν ἀργύριον ἢ χρυσίον.

Διογένης ὁ Κυνικὸς φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, διατί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, Ὅτι πολλοὺς ἐπιβούλους ἔχει.

Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.

Τὰ τοῖς ὅπλοις ἀδύνατα χειρωθῆναι τῷ χρυσῷ ῥᾴδιόν ἐστι καταπολεμῆσαι. Τῷ ἀργυρίῳ ὑποτάσσεται τὰ σύμπαντα.

Εἰ μὴ τὸ λαβεῖν ἦν, οὐδὲ εἷς πονηρὸς ἦν.

Φιλαργυρία τοῦτ' ἔστιν, ὅταν ἀφῇς σκοπεῖν Τὰ δίκαια, τοῦ κέρδους διαπαντὸς δοῦλος εἷς.

Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικράς, τὰς δὲ λύπας μακράς.

ΛΟΓΟΣ ΛΕ'.

Περὶ πλεονεξίας, πλεονεκτούντων καὶ ἀδικούντων.

Ὁρᾶτε καὶ φυλάττεσθε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτῷ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.

Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς; Ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν;

Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.

Οἶδεν Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.

Ὁ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.

Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.

Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους.

Εἰς κόλπους ἐπέρχεται πάντα ἀδίκοις.

Μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται.

Ὑπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται.

Ἄδικοι ἀπολοῦνται συντόμως.

Γενεὰς ἀδίκου σκολιὰ τὰ ἔτη.

Μὴ ἐπίχαιρε ἐπὶ χρήμασιν ἀδίκοις. Οὐδὲν γὰρ ὠφελήσουσιν ἐν ἡμέρᾳ ἐπαγωγῆς.

Δέησις ἀδικουμένου εἰσακουσθήσεται.

Ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις ὡς ὁ συνάγων τοὺς λίθους αὐτοῦ εἰς τὸν χειμάρρουν.

Λέων ἐνεδρεύει θήραν, οὕτως ἁμαρτία τοὺς ἐργαζομένους ἄδικα.

Μὴ ποίει κακά, καὶ οὐ μή σε καταλάβῃ κακόν. Ἀπόστηθι ἀπὸ ἀδίκου, καὶ ἐκκλινεῖ ἀπὸ σοῦ ἁμαρτία. A

Υἱὲ, μὴ σπείρῃς ἐπ' αὔλακας ἀδικίας, καὶ οὐ μὴ θερίσῃς ἑπταπλασίονα.

Θύων υἱὸν ἐναντι πατρὸς αὐτοῦ ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων.

Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς.

Οὐαὶ οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χερσὶν αὐτῶν.

Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; Ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ ταῦτα.

Ἀπέχου ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. B

Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

Πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπιπλᾶται ἐν μερίδι.

Ὁ τὰ ἑτέρου λαμβάνων καὶ ἑτέροις διδοὺς οὐκ ἠλέησεν, ἀλλὰ καὶ ἠδίκησεν ἀδικίαν τὴν ἐσχάτην. Εἰ μὲν γὰρ ἐλεεῖς ἐξ ὧν ἀδικεῖς, ἐλέησον οὓς ἀδικεῖς. Εὐσεβὴς γὰρ ἐκεῖνος, οὐχ ὁ πολλοὺς ἐλεῶν, ἀλλ' ὁ μηδένα ἀδικῶν.

Ὅσα βλέπει ὀφθαλμὸς, τοσαῦτα ἐπιθυμεῖ ὁ πλεονέκτης. Ὁ ᾅδης οὐκ εἶπεν, Ἀρκεῖ: οὐδὲ ὁ πλεονέκτης εἶπέ ποτε, Ἀρκεῖ. Πονηρὸς ἐν πόλει σύνοικος, C πονηρὸς ἐν ἀγροῖς. Ἡ θάλασσα οἶδε τὰ ὅρια αὐτῆς, ἡ νὺξ οὐχ ὑπερβαίνει ὁροθεσίας ἀρχαίας. Ὁ δὲ πλεονέκτης οὐκ αἰδεῖται χρόνον, οὐ γνωρίζει ὅρον, οὐ συγχωρεῖ ἀκολουθίᾳ διαδοχῆς, ἀλλὰ μιμεῖται τοῦ πυρὸς τὴν βίαν, πάντα ἐπιλαμβάνεται, πάντα ἐπινέμεται.

Τί οὖν μετὰ ταῦτα; οὐχὶ τρεῖς σε πήχεις ἀναμένουσιν οἱ πάντες; οὐχὶ λίθων ὀλίγων βάρος ἀρκέσει πρὸς φυλακὴν τῇ δυστήνῳ σαρκί; Ὑπὲρ τίνος οὖν μοχθεῖς; ὑπὲρ τίνος παρανομεῖς; Τί ἀπολογήσῃ, μικιδάν σε κύκλῳ περιστάντες οἱ ἠδικημένοι καταβοῶσιν ἐπὶ τοῦ κοινοῦ κριτοῦ; Πῶς παραπείσεις τὸν ἀπαραλόγιστον δικαστήν; Οὐκ ἔστι ῥήτωρ ἐκεῖ, οὐκ ἔστι πιθανότης ῥημάτων, κλέψαι δυναμένη τοῦ δικαστοῦ τὴν ἀλήθειαν. D

Ἀνδρὶ ἐπιθυμητῇ χρημάτων οὐκ ἐγγίνεται κόρος.

Ὁ μέν γε πένης κἂν δοῦλος ᾖ, καὶ μὴ ὑπεμπλήσας τὴν ἑαυτοῦ γαστέρα, προσηνοῦς μεταλαμβάνει τῆς διὰ τοῦ ὕπνου ἀνέσεως· πλούτου δὲ ἐπιθυμία σύνεσιν ἀγρυπνίαις καὶ καμάτοις τρύχει.

Χρυσοῦ δεύτερα πάντα ἀδίκοις.

Ὁ μὴ δεόμενος τῶν ἀλλοτρίων, ἀλλ' ἐν αὐταρκείᾳ νομίζων εἶναι, πάντων ἐστὶν εὐπορώτατος.

Ἄρκτοι μὲν καὶ λύκοι ἐπειδὰν λάβωσι κόρον, τῆς ἁρπαγῆς ἀφίστανται· οἱ δὲ πλεονέκται κόρον οὐκ ἔχουσιν.

Mala ne feceris, et non apprehendet te malum. Desiste ab injusto, et declinabit a te peccatum.

Ibid. VII. Fili, ne seras in sulcos injustitiæ, ne septies tanto ampliorem inde messem facias.

Ibid. XXIV. Filium occidit coram patre suo, qui victimam offert ex pecuniis pauperum.

Habac. II. Væ illi qui sibi res non suas multiplicat, et qui aggravat super se densum lutum.

Amos III. Væ illis qui colligunt injustitiam et miseriam in manibus suis.

Isa. V. Væ illis qui domum domui conjungunt, et agrum agro apponunt, ut aliquid eripiant proximo. Num vos soli habitabitis in terra? Atqui Dominus exercituum auribus hæc percepit.

Ibid. LIV. Abstine ab injusto, et non timebis, neque tremor invadet te.

Eccli. IV Manus tua non sit porrecta ad accipiendum, et ubi dandum est contracta.

Ibid. XIV. Oculus avarus nulla portione satiatur.

Basilii. Qui alicui eripit et alteri dat, is non misericordiam, sed extremam injustitiam exercet. Nam ex injuriis materiam miserationis captas, miserere potius illorum quos injuria afficis. Pius enim ille est, non qui miseretur multorum, sed qui nemini facit injuriam.

Quæcunque videt oculus, ea omnia desiderat avarus. Inferis nunquam satis fit, nec unquam avarus sibi sufficere dicit. Malus hic vicinus est in urbe, 70 malus ruri. Mare suos fines agnoscit, et nox antiquos terminos non transcendit. Avarus autem tempus nullum reveretur, non agnoscit terminum, non cedit ordini successionis; sed ignis violentiam imitatur, omnia arripit, omnia depascitur.

Sed quid tandem fiet? Nonne tres omnino cubiti te manent? Nonne paucorum lapidum moles ad custodiam miseræ carni sufficiet? Ad quid igitur laboras? Quorsum iniquus esse pergis? Quibus verbis defendes te, cum affecti abs te injuria undique circumstantes sub communi judice contra te clamaverint? Quomodo persuadebis judici, qui falli non potest? Nullus illic orator est, nulla verborum probabilitas quæ veritatem judici abscondere valeat.

Theologi. Homini pecuniæ cupido nulla satietas innascitur.

Pauper quidem, licet servus et ventre non saturo, blanda per somnum quiete fruitur: cupiditas autem divitiarum mentem vigiliis et laboribus cruciat.

Injusti nihil non sæpe postponunt.

Chrysost. Qui non indiget alienis, sed sua sibi sufficere existimat, omnium est ditissimus.

Ursi et lupi saturati rapinam relinquunt; avaris autem nulla satietas.

Inexplebilitas admodum violenta est, et avaritia præpotens : rapaces vitam hominum perturbant, et hujus quidem rapinæ sunt, deliciæ autem aliorum : in ipsum cadit exsecratio, fruitio in alios : adversus ipsum eduntur suspiria, abundantia contingit aliis : adversus ipsum funduntur lacrymæ ab aliis usurpantur pecuniæ : ipse apud inferos punitur, et alii sæpenumero in ipsius divitiis voluptuantes cantillant.

Pleonexia, id est avaritia, est cum plus habet aliquis quam ad eum pertineat.

Avaritia est idololatria, imo deterior ea. Siquidem idololatræ Dei creaturas adorant, et venerati sunt (inquit) et coluerunt creaturam præter Creatorem. Tu vero tuum ipsius opus adoras. Deus enim avaritiam non creavit, sed insatiabilis et immodica tua cupiditas eam excogitavit.

Si quis de suis non largitur, ab illo accusabitur in die judicii, cujus non est misertus : quomodo illi venia dabitur qui rapuit aliena, undique circumstantibus eum illis quos affecit injuria ? Non enim illic testibus, non accusatoribus, non argumentis locus est, sed ipsæ res per se, quales a nobis gestæ sunt, coram oculis nostris apparent. Ecce enim (inquit) homo et opera ejus. Etenim hoc quoque rapina est, et 71 avaritia, et spoliatio, sua non communicare. Nam Deus Judæos accusans per prophetam, inquit : « Protulit terra fructus suos, et non solvistis decimas, rapuistis bona pauperis. » Et rursus alibi inquit, « Ne quid eripias de victu pauperis. »

Plutarchi. Qui ex turpibus lucris ad honesta officia sumptum faciunt, simile quid faciunt illis qui ex sacrilegio Deum placare volunt.

Democriti. Divitiæ malo faciuore partæ majori dedecore notantur.

Non inutile quidem est pecunias acquirere, per injustitiam autem, longe pessimum.

Socratis. Socrates avaros avibus comparabat, quarum alia deglutit quidquid invenerit, et quandoque suffocatur : aliæ vero sequuntur ut quod habet ei extorqueant, et ipsæ quoque aliæ post alias suffocantur.

Diogenis. Diogenes interrogatus quænam essent feræ pessimæ, dixit : In montibus ursi et leones, in civitatibus autem publicani et sycophantæ.

Antiphanis. Canis de carnibus edendis cogitans non amplius gregem custodire potest.

Mala lucra breves quidem voluptates, tristitiæ vero longæ sequuntur.

Platon. Paupertas existimetur, non imminutio rerum, sed inexplebilitatis adauctio.

Isocr. Nullum inique lucratum semueris : sed magis approbato viventes cum justitia.

Nam qui magna rapiunt, an parva quoque rapiant, incertum est ; qui vero parvis non abstinent, illi nimirum ne a magnis quidem sibi temperabunt.

Ἡ ἀπληστία τυραννεῖ, ἡ πλεονεξία δυναστεύει· οἱ ἅρπαγες τὸν βίον ταράσσουσι, καὶ αὖθις αὐτοῦ αἱ ἁρπαγαὶ, καὶ ἄλλων αἱ ἡδοναί· αὐτοῦ αἱ κατάραι, καὶ ἄλλων αἱ θεραπεῖαι· κατ' αὐτοῦ οἱ στεναγμοὶ, καὶ παρ' ἑτέροις οἱ πλεονασμοί· κατ' αὐτοῦ τὰ δάκρυα, καὶ παρ' ἑτέροις τὰ χρήματα· αὐτὸς ἐν ᾅδου κολάζεται, καὶ ἄλλοι πολλάκις ἐν τοῖς αὐτοῦ τρυφῶντες ψάλλουσιν.

Πλεονεξία ἐστὶ τὸ πλέον ἔχειν τοῦ ὡρισμένου.

Ἡ πλεονεξία εἰδωλολατρεία ἐστὶν, ἀλλὰ καὶ χαλεπωτέρα εἰδωλολατρείας. Οἱ γὰρ εἰδωλολάτραι τοῖς τοῦ Θεοῦ κτίσμασι προσκυνοῦσι· καὶ ἐσεβάσθησαν (φησὶ) καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Σὺ δὲ τῷ κτίσματι τῷ σαυτοῦ προσκυνεῖς. Ὁ γὰρ Θεὸς πλεονεξίαν οὐκ ἐδημιούργησεν, ἀλλ' ἡ τῆς σῆς ἀπληστίας ἐπεξεῦρεν ἀμετρία.

Εἰ ὁ τῶν ἑαυτοῦ μὴ μεταδιδοὺς κατήγορον ἔχει τὸν οὐκ ἐλεηθέντα ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ· ὁ καὶ τὰ ἀλλότρια ἁρπάσας ποίας τεύξεται συγγνώμης, πανταχόθεν αὐτῷ περιεστηκότων τῶν ἠδικημένων; Οὐ γὰρ μαρτύρων ἐκεῖ χρεία, οὐδὲ κατηγόρων, οὐδὲ ἀποδείξεων· ἀλλ' αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα, οἵπερ αὐτὰ κατεσκευάσαμεν, πρὸ τῶν ὀφθαλμῶν φαίνεται τῶν ἡμετέρων. Ἰδοὺ γὰρ, φησὶν, ἄνθρωπος καὶ τὰ ἔργα αὐτοῦ. Καὶ γὰρ καὶ τοῦτο ἁρπαγὴ, τὸ μὴ μεταδιδόναι τῶν ὄντων, καὶ πλεονεξία καὶ ἀποστέρησις· τοῖς γὰρ Ἰουδαίοις ἐγκαλῶν ὁ Θεὸς, διὰ τοῦ προφήτου φησίν· « Ἐξήνεγκεν ἡ γῆ τὰ ἐκγόνια αὐτῆς, καὶ οὐκ εἰσηνέγκατε τὰ ἐπιδέκατα· ἡρπάσατε τὰ τοῦ πένητος. » Καὶ πάλιν ἀλλαχοῦ λέγει, « Μὴ ἀποστερήσῃς τὴν ζωὴν τοῦ πτωχοῦ. »

Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσιν.

Πλοῦτος ἀπὸ κακῆς ἐργασίας ἐπιγινόμενος ἐπιζημιέστερον ὄνειδος κέκτηται.

Χρήματα πορίζειν μὲν οὐκ ἀχρεῖον· ἐξ ἀδικίας δὲ πάντων κάκιον.

Σωκράτης τοὺς μὲν πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν, ὧν ἡ μὲν καταπίνει ὅ τι ἂν προστύχῃ, καὶ ἔστιν ὅτε πνίγεται· αἱ δ' ἄλλαι παριακολουθοῦσιν, ἀφελεῖν αὐτὸ σπεύδουσαι, ἵνα παρὰ μέρος ἀπηῶσιν.

Διογένης ἐρωτηθεὶς ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν· Ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.

Κύων, μελετήσας σαρκῶν ἀποφεύεσθαι, φυλάττειν οὐκ ἔτι δύναται τὴν ἀγέλην.

Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει μικρὰς, τὰς δὲ λύπας μακράς.

Πενίαν ἡγητέον εἶναι μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὴν ἀπληστίαν πλείω.

Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων· ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζῶντας.

Οἱ μὲν γὰρ τὰ μεγάλα ἁρπάζοντες δῆλον εἰ καὶ τὰ μικρὰ ἁρπάζουσιν· οἱ δὲ τῶν μικρῶν μὴ ἀπεχόμενοι δῆλον ὅτι οὐδὲ τῶν μεγάλων ἀφέξονται.

ΛΟΓΟΣ ΑΣ'.

Περὶ αὐταρκείας.

Εἶπεν ὁ Κύριος· Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε.

Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

Κρεῖσσον μικρὰ μερὶς μετὰ φόβου Κυρίου ἢ μεγάλοι θησαυροὶ μετὰ ἀσεβείας.

Ἀρχὴ ζωῆς ἀνθρώπου ἄρτος, καὶ ὕδωρ, καὶ ἱμάτιον καλύπτον ἀσχημοσύνην αὐτοῦ.

Σοφὸς ἀνὴρ ἀρκεῖται τοῖς ὀλίγοις.

Ἡ οἰκονομοῦσα τὸ ζῶον δύναμις αὐτάρκειαν μὲν καὶ λιτότητα ῥᾳδίως κατειργάσατο, καὶ ψκείωσε τῷ τρεφομένῳ· πολυτέλειαν δὲ καὶ ποικιλίαν βρωμάτων παραλαβοῦσα, εἶτα ἀντισχεῖν πρὸς τὸ πέρας οὐκ ἐξαρκέσασα, τὰ ποικίλα γένη τῶν νοσημάτων ἐποίησεν.

Οὐ πλούσιός ἐστιν ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ μὴ πολλῶν δεόμενος.

Πρὸς χρείαν, ἀδελφοί, οὐ πρὸς ἡδονὴν ἡ ζωὴ συμμετρεῖται. Τὸ οὖν περιττὸν τῆς φύσεως ἀποθέμενοι, τὸ ἀναγκαῖον μόνον ἀσπασώμεθα.

Ὁ πρὸς τοὺς ὑπερέχοντας βλέπων τῆς ἐνούσης αὐτῷ εὐπορίας οὐδέποτε δύναται λαβεῖν αἴσθησιν· ἀλλὰ χρὴ αὐτάρκως πρὸς τὰ ἴδια ἔχειν, καὶ εὐχαριστεῖν τῷ Θεῷ.

Ἡ αὐτάρκεια καὶ τροφή ἐστι, καὶ ἡδονή, καὶ ὑγεία· τὸ δὲ πλέον λύμη καὶ ἀηδία καὶ νόσος.

Φησὶν ὁ Χριστὸς, Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· ἡμεῖς δὲ τὴν τάξιν ἀντεστρέψαμεν, καὶ ζητοῦμεν τὴν γῆν, καὶ τὰ ἐν τῇ γῇ ἀγαθά· διὰ τοῦτο οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔχομεν.

Μέτρον κτήσεώς ἐστιν ἡ χρεία τοῦ σώματος, τὸ δὲ ταύτην ὑπερβαίνειν ἀκοσμία λοιπὸν, καὶ οὐκ ἔτι χρεία ἐστίν.

Καλὸν ταῖς ὅροις τῆς χρείας ἐμμένειν, καὶ φιλονεικεῖν πάσῃ δυνάμει, τούτους μὴ ὑπερβαίνειν. Ἐὰν γὰρ ὀλίγον παρενεχθῇ τις ἀπὸ τῆς ἐπιθυμίας ἐπὶ τὰ ἡδέα τοῦ βίου, οὐδεὶς λοιπὸν ἵστησι τὴν ἐπὶ τὰ πρόσω φοράν.

Αὐτάρκει τροφῇ σμικρὰ [*f.* μακρὰ] νὺξ οὐδέποτε γίνεται.

Ὀφείλομεν ἑαυτοὺς ἐθίζειν ἀπὸ τῶν ὀλίγων ζῆν, ἵνα μηδὲν αἰσχρὸν ἕνεκεν χρημάτων μάθωμεν.

Σωκράτης ἐρωτηθεὶς ὑπό τινος, Τίς σοι πλουσιώτερος εἶναι δοκεῖ; εἶπεν· Ὁ ἐλαχίστοις ἀρκούμενος· αὐτάρκεια γάρ ἐστι φύσεως πλοῦτος.

Βέλτιόν ἐστιν ἐν μικρᾷ περιουσίᾳ συστελλόμενον εὐθυμεῖν, ἢ μεγάλης τυγχάνοντα δυστυχεῖν.

Μήτε λίαν πολυτελῶς, μήτε ἄγαν εὐτελῶς πειρῶ

SERMO XXXVI [al. XXXII].

De virtute quæ animum suis et præsentibus rebus contentum reddit.

Matth. v. Dixit Dominus, Ne solliciti sitis pro vita vestra quid comedatis, neque pro corpore vestro quid induatis.

I Tim. VI. Est autem quæstus magnus pietas cum animo sua sorte contento. Nihil enim intulimus in mundum, videlicet nec efferre quidquam possumus: sed habentes alimenta et quibus tegamur, his contenti erimus.

Proverb. XVI. Præstat parva portio cum timore Domini, quam magni thesauri cum impietate.

Eccli. XXIX. Principium vitæ hominis panis et aqua et vestis turpitudinem ejus operiens.

Auctoris incerti. Vir sapiens paucis contentus est.

Facultas quæ gubernat corpus animalis, frugalem et simplicem alimoniam facile concoquit, et partibus nutriendis assimilat; sumptuosis vero et variis eduliis onerata, et impotens 72 tandem ea superare, varia morborum genera producit.

Chrysost. Non qui multa possidet, sed qui non multis indiget, dives est.

Ad necessitatem, o fratres, non ad voluptatem metienda est vita. Quare deposito quod naturæ superfluum est, necessarium solum amplectamur.

Qui se superiores respicit, nunquam videre potest quam dives sit. Verum oportet sua sorte contentum esse, et Deo gratias habere.

Sobria frugalitas et alimentum est, et voluptas, et sanitas: nimium vero noxa, et fastidium, et morbus.

Christus inquit, Quærite primum regnum Dei et justitiam ejus, et hæc omnia adjicientur vobis. Nos vero invertimus ordinem, et quærimus terram et bona terrena, quare nec hæc habemus nec illa.

Nili. Possessionis modus est corporis necessitas, ejus vero excessus, non usus aut necessitas, sed vitium est.

Bonum est intra fines necessitatis manere, et omnibus viribus contendere ne transcendamus illos. Nam si quis vel modicum per cupiditatem ad vitæ delicias deflexerit, nullus deinceps quominus pergat coercere potest.

Democriti. Si victus frugalis sit, nunquam videbitur nox longa.

Clitarchi. Debemus nos assuefacere ut ex paucis vivamus, ne quid pecuniæ gratia turpe discamus.

Socratis. Socrates interroganti quis videretur sibi ditissimus, respondit: Qui paucissimis contentus est. In frugalitate enim sibi sufficiente exsistunt divitiæ naturæ.

Satius est in paucis opibus se continentem hilariter agere, quam in magnis infeliciter.

Plutarchi. Neque sumptuosum nimis, neque

sordidum, aut vilem in vestimentis, victu et reliqua vita te exhibeas ; hoc enim odiosum aut miserabilem, illud invidiosum aut ridiculum reddit.

Assuefiat corpus frugali et parabili modo vitæ sibi satisfacere. Nam qui paucis indigent, non fraudantur multis.

Familiarem tibi redde victum simplicem, ut sumptuoso nunquam indigeas.

A τὰ περὶ τὴν ἐσθῆτα καὶ δίαιταν καὶ τὴν ἑτέραν διαγωγὴν τὸ σῶμα διοικεῖν. Τὸ μὲν γὰρ φθονεῖσθαι ἢ γελᾶσθαι, τὸ δὲ μισεῖσθαι ἢ ἐλεεῖσθαι ποιεῖ.

Εἰθίσθω τὸ σῶμα δι' εὐτελείας πρὸς εὐκολίαν αὐταρκες ἑαυτῷ γινόμενον· οἱ γὰρ ὀλίγων δεόμενοι πολλῶν οὐκ ἀποτυγχάνουσιν.

Ἔθιζε σαυτὸν τῇ λιτῇ διαίτῃ, ἵνα τῆς πολυτελοῦς μηδέποτε προσδεηθῇς.

SERMO XXXVII [*al.* XIV].

Quod major pars non semper melior sit.

Luc. XXI. Sublatis autem oculis Jesus vidit eos qui mittebant munera sua in gazophylacium divites. Vidit autem et quamdam viduam pauperculam mittentem illuc æra minuta duo, et dixit, Vere dico vobis, quod vidua hæc pauper plus quam omnes misit. Nam 73 omnes hi ex eo quod ipsis exuberat, miserunt in munera Dei : hæc autem, ex penuria sua universam substantiam quam habebat, misit.

I Cor. XIV. In ecclesia volo quinque verba mente mea loqui (ut alios instituam) potius quam decem millia verborum lingua.

Basilii. Per unum sapientem habitabitur civitas, gens autem iniquorum brevi desolabitur.

Nam si panis cor hominis roborat, non oportet obsonium cibi amplius necessario temere inpurgitare.

Theologi. Breve regnum melius est longa tyrannide, et parva portio pretiosa præstat magnæ quæ vilis et periculosa sit possessioni, et exiguum lumen multis tenebris.

Chrysost. Eleemosyna non æstimatur ex mensura largitionis, sed ex animi liberalitate.

Jucunda quæ maxime rara sunt, inprimis delectant.

Incerti auctoris. Alexander audito Darium triginta myriades in aciem producere, dixit : Unus coquus non metuit multas oves.

Idem cum explorator ei referret majorem esse Darii exercitum, dixit : Oves etiam licet plures ab uno aut altero lupo capiuntur.

ΛΟΓΟΣ ΛΖ'.

Περὶ τοῦ ὅτι οὐκ ἀεὶ τὸ πλεῖστον ἄριστον.

Ἀναβλέψας δὲ ὁ Ἰησοῦς, εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους. Εἶδε δὲ καί τινα χήραν πενιχρὰν, βαλοῦσαν ἐκεῖ δύο λεπτά, καὶ εἶπεν· Ἀληθῶς λέγω ὑμῖν, ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖω πάντων ἔβαλεν, ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ· αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν.

Ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι ἢ μυρίους λόγους ἐν γλώσσῃ.

Ἀπὸ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις· φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται ἐν τάχει.

Εἰ γὰρ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει, οὐ δεῖ πλέον τοῦ ἀναγκαίου τῆς τροφῆς τὸ προσάψημα ἀλόγως προσφέρεσθαι.

Κρεῖσσον ὀλιγοχρόνιος βασιλεία μακρᾶς τυραννίδος, καὶ ὀλίγη μερὶς τιμία πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς, καὶ πολλοῦ σκότους ὀλίγον φῶς.

Οὐ τῷ μέτρῳ τῶν διδομένων ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ ἁπλότητι τῆς γνώμης.

Τῶν ἡδέων τὰ σπανιώτατα γινόμενα μάλιστα τέρπει.

Ἀλέξανδρος, ἀκούσας ὅτι Δαρεῖος τριάκοντα μυριάδας εἰς παράταξιν ἄγει, ἔφη· « Εἷς μάγειρος οὐ φοβεῖται πολλὰ πρόβατα. »

Ὁ αὐτὸς, κατασκόπου λέγοντος αὐτῷ, πλείους εἶναι τοὺς Δαρείου, ἔφη· « Καὶ τὰ πρόβατα, πλείονα ὄντα, ὑφ' ἑνὸς ἢ δευτέρου λύκου χειροῦνται. »

SERMO XXXVIII [*al.* LXVI].

De jejunio et continentia.

Matth. VI. Cum jejunaveritis ne sitis veluti hypocritæ tetrici. Obscurant enim facies suas, quo porspicuum sit hominibus ipsos jejunare. Amen dico vobis, habent mercedem suam. Tu vero cum jejunas, unge caput tuum, et faciem tuam lava, etc.

I. Cor. IX. Omnis qui certat, per omnia temperans est.

Chrysost. Qui carnem Christi Jesu crucifixerunt cum affectibus et cupiditatibus.

Isa. LVIII. Ad lites et jurgia jejunatis et pugnis afflictum cæditis. Quid est quod mihi jejunatis? non enim tale jejunium approbo, dicit Dominus. Sed tu solve omnem nodum iniquitatis, dissolve nexus violentorum contractuum, oppressos dimitte cum libertate, et omnem injustam syngraphiam

ΛΟΓΟΣ ΛΗ'.

Περὶ νηστείας καὶ ἐγκρατείας.

Ὅταν νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί. Ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν ἔλαιῳ, καὶ τὸ πρόσωπόν σου νίψαι, καὶ τὰ ἑξῆς.

Πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται.

Οἱ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

Εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν. Ἵνατί μοι νηστεύετε; οὐ γὰρ τοιαύτην νηστείαν ἐξελεξάμην, λέγει Κύριος· ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων· ἀπόστειλον τεθραυσμένους ἐν ἀφέσει· καὶ πᾶσάν σου συγγραφὴν ἄδικον διάσπα.

Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. Ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει.

Ὑπωπίαζέ σου τὸ σῶμα καὶ δουλαγώγει, μή πως εὐεκτοῦντος καὶ ὑπερζέοντός σου τοῦ αἵματος, ἀφορμὴ πρὸς ἁμαρτίαν ἡ πολυσαρκία γένηται.

Μὴ κολάκευέ σου τὴν σάρκα ὕπνῳ καὶ λουτροῖς καὶ μαλακοῖς στρώμασιν, ἀεὶ ἐπιλέγων τὸ ῥῆμα τοῦτο· Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; Ὅσῳ γὰρ παχυτέραν σάρκα σεαυτῷ ποιεῖς, τοσούτῳ βαρύτερον τῇ ψυχῇ κατασκευάζεις τὸ δεσμωτήριον.

Ἀληθῶς ἐγκρατής ἐστιν ὁ παντὸς πάθους ἀνώτερος, καὶ μηδένα ἐξ ἡδονῆς ἐρεθισμὸν προσιέμενος, ἀλλ' ἐγκρατῶς καὶ ἀνενδότως πρὸς πᾶσαν ἀπόλαυσιν βλαβερὰν διακείμενος.

Ἐγκράτειά ἐστιν ἁμαρτίας ἀναίρεσις, παθῶν ἀλλοτρίωσις, σώματος νέκρωσις. Φυλάσσεται δὲ οὕτως ὁ τῆς ἐγκρατείας σκοπός· τοῖς μὲν εὐτελεστέροις καὶ ἀναγκαίοις πρὸς τὸ ζῆν μέχρι τῆς χρείας προσδιατρίβειν, τῶν δὲ πρὸς ἡδονὴν καθόλου ἀπέχεσθαι.

Ὅσον ὑφαιρεῖς τῆς σαρκὸς, τοσοῦτον ποιεῖς τῆς πνευματικῆς εὐεξίας τὴν ψυχὴν ἀποστίλβειν. Οὐ γὰρ σωματικοῖς τόνοις, ἀλλὰ καρτερίᾳ ψυχῆς καὶ τῇ πρὸς τὰς θλίψεις ὑπομονῇ τὸ πρὸς τοὺς ἀοράτους ἐχθροὺς περιγίνεται κράτος.

Ὁ τῇ σαρκὶ προσθέμενος τὸ πνεῦμα καταγωρίζεται, καὶ ὁ πρὸς τὸ πνεῦμα καταταξάμενος, καταδουλοῦται τὴν σάρκα. Ταῦτα γὰρ ἀλλήλοις ἀνθίκειται. Ὥστε εἰ βούλει ἰσχυρὸν ποιῆσαι τὸν νοῦν, δάμασον τὴν σάρκα διὰ νηστείας. Τοῦτο γάρ ἐστιν ὃ φησιν ὁ Ἀπόστολος, ὅτι « Ὅσον ὁ ἔξωθεν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται· » καὶ τὸ, « Ὅταν ἀσθενῶ, τότε δύνατός εἰμι. »

Ἐπειδὴ οὐκ ἐνηστεύσαμεν, ἐξεπέσομεν τοῦ παραδείσου. Νηστεύσωμεν τοίνυν, ἵνα πρὸς αὐτὸν ἐπανέλθωμεν.

Νηστεύοντος σεμνὸν τὸ χρῶμα, οὐκ εἰς ἐρύθημα ἐξανθοῦν ἀναιδὲς, ἀλλ' ὠχρότητι σώφρονι κεκοσμημένον· ὀφθαλμὸς πραΰς, κατεσταλμένον βάδισμα, πρόσωπον σύννουν, ἀκολάστῳ γέλωτι μὴ καθυβριζόμενον, συμμετρία λόγου, καθαρότης καρδίας.

Ἄτοπόν ἐστι μὴ χαίρειν ἐπὶ ὑγείᾳ ψυχῆς, ἀλλὰ λυπεῖσθαι ἐπὶ βρωμάτων ἐναλλαγῇ, καὶ πλείονα χάριν φαίνεσθαι διδόντας ἡδονῇ γαστρὸς ἢ ἐπιμελείᾳ ψυχῆς· κόρος μὲν γὰρ εἰς γαστέρα τὴν χάριν ἵστησι, νηστεία δὲ πρὸς ψυχὴν ἀναβιβάζει τὸ κέρδος.

Ἔστι μὲν οὖν πάντα τὸν χρόνον ἡ νηστεία ὠφέλιμος τοῖς αἱρουμένοις αὐτήν. Οὔτε γὰρ ἐπήρεια δαιμόνων κατατολμᾷ τοῦ νηστεύοντος, καὶ οἱ φύλακες τῆς ζωῆς ἡμῶν ἄγγελοι φιλοπονώτερον παραμένουσι τοῖς διὰ νηστείας κεκαθαρμένοις.

Μὴ μέντοι ἐν τῇ ἀποχῇ μόνον τῶν βρωμάτων τὸ ἐκ τῆς νηστείας ἀγαθὸν ὁρίζου. Νηστεία γὰρ ἀληθὴς ἡ τῶν κακῶν ἀλλοτρίωσις. « Λύε πάντα σύνδεσμον ἀδικίας, ἄφες τῷ πλησίον τὴν λύπην, ἄφες αὐτῷ τὰ

tuam dilacera. Frangas esurienti panem tuum, et pauperes sine domibus introduc in ædes tuas. Nudum si videris, vestito, et cognatos generis tui non asperneris.

Basilii. Sugilla corpus tuum et servitute astringe, ne tuo sanguine aucto et effervescente, ad peccandum occasio tibi fiat carnosus corporis habitus.

Ne corpori tuo blandiare somno, et balneis, et mollibus stragulis, semper hæc verba proferens: Quænam utilitas sanguini meo me descendente **74** in perditionem? Nam quo crassiorem tibi carnem acquiris, hoc graviorem animæ tuæ carcerem paras.

Vere continens est qui omni perturbatione superior est, et nullum voluptatis irritamentum admittit, sed animo sobrio et nusquam cedente ad omnem fruitionem noxiam afficitur.

Continentia peccatum interimit, affectus amovet, corpus mortificat. Servatur autem hoc modo continentiæ scopus, si vilioribus quidem et necessariis ad vitam quantum requirit usus adhæreas, iis vero quæ ad voluptatem pertinent, prorsus abstineas.

Quantum adimis carni, tanto nitidiorem spirituali habitu reddis animam. Non enim viribus corporis, sed animæ continentia, et in afflictionibus patientia, adversus inconspicuos hostes victoria comparatur.

Qui carnem auget, spiritum impedit, et qui spiritui se conjungit, carnem subigit. Hæc enim adversantur sibi invicem. Ergo si mentem roborare velis, domato carnem jejunio. Hoc enim est quod inquit Apostolus, « Quantum externus homo corrumpitur, tantum renovatur internus; » et rursus: « Cum infirmor, tum validus sum. »

Quia non jejunavimus, excidimus paradiso; jejunemus igitur, ut in paradisum redeamus.

Jejunanti color honestus est, non efflorescente lascivo rubore, sed pallore sobrio ornatus; oculus mitis, compositus gressus; vultus cogitabundus, non luxurioso risu indecenter affectus; modestia sermonis, puritas cordis.

Absurdum est non gaudere ob animæ incolumitatem, sed propter cibos mutatos tristari, et videri magis gratificari voluptati ventris, quam animæ cultui. Satietatis enim gratia intra ventrem consistit, jejunium vero ad animam usque lucrum elevat.

Semper quidem utile est jejunium usurpantibus se. Nam neque contumelia dæmonum quidquam audet adversus jejunantem, et vitæ nostræ custodes angeli alacrius manent apud illos qui per jejunium purgati sunt.

Isa. LVIII. Non in abstinentia solum ciborum jejunii bonum circumscribas. Verum enim jejunium est malorum alienatio. « Solve omnem iniquitatis nodum· remitte molestiam proximo; remitte ei de-

bita. » Ne jejunetis ad lites et jurgia. Carnem non comedis, sed comedis fratrem. Abstines vino, sed ab injuriis tibi non temperas. Vesperam exspectas ad sumendum cibum, sed insumis diem causis forensibus. Quid juvat jejunare corpore, animam **75** vero malis innumeris repleri?

Verum jejunium est malorum alienatio.

Theologi. Non gloriamur mole mensarum et cupediis insensati ventris. Nihil enim laudamus illorum, quæ intra fauces sumpta ejusdem omnia pretii sunt, aut omnia potius æque vilia et rejicienda. Sed vivimus simplici facilique apparatu, parum sane hac in parte differentes a brutis animalibus, quorum imparatus et minime elaboratus victus est.

Chrysost. Mensæ simplicitas satiat, varietas autem appetitum excitat.

Jejunium non ciborum, sed peccatorum abstinentiam efficit.

Homini qui jejuniis maceratur nihil tam est intolerabile, quam aeris inæqualitas.

Cyrilli. Decet eos qui jejunant ex pia mente id facere, et non tanquam histriones in fabula, tetricam et deformem veluti personam sibi induentes, tantum non ipso habitu exclamare quod inediæ labores ferant.

Philonis. Continentiæ proprium est sanitas et robur, incontinentiæ autem imbecillitas et ægritudo morti vicina.

Athanasii. Bona continentia est modicum citra necessitatem tempore cibi sumere, ut simul et cordi provideas, et occultos affectus clam impugnes.

Non modo tarditas cibi sumendi jejunium est, sed etiam paucitas, neque in hoc sita est religionis exercitatio ut bini comedant, sed ne varia comedant. Est enim exercitatio mensa cibo simplici contenta, et dissolutum voracitatis morem ceu minime gratum abominans.

Theodoreti. Verum jejunium est assidua indigentia.

Evagrii. Ne dixeris, Hodie non comedam, quoniam non prudenter id facis. Noxam enim corpori tuo, et dolorem stomacho tuo contrahes.

SERMO XXXIX [*al.* LXVII].

De gula et incontinentia circa mensam.

Lucæ VI. Væ vobis qui impleti estis, quoniam esurietis. Væ vobis qui ridetis nunc, quoniam lugebitis et flebitis.

Jac. V. Voluptuarii et delicati in terra fuistis, nutrivistis corda vestra, tanquam in die mactationis.

I Cor. VI. Escæ ventri destinatæ sunt, et venter escis. Deus autem et hunc et illas abolebit.

Hebr. XII. Nullus sit scortator aut profanus velut Esau, qui unico edulio permutavit jus primogeniti.

Exod. XXXII. Et sedit populus ut ederet ac biberet, et surrexerunt ad ludendum, et **76** dixit Do-

A ὀφλήματα. Μὴ εἰς κρίσεις καὶ μάχας νηστεύετε. Κρεῶν οὐκ ἐσθίεις, ἀλλ' ἐσθίεις τὸν ἀδελφόν. Οἴνου ἀπέχῃ, ἀλλ' ὕβρεων οὐ κρατεῖς. Τὴν ἑσπέραν ἀναμένεις εἰς μετάληψιν, ἀλλὰ δαπανᾷς τὴν ἡμέραν εἰς δικαστήρια. Τί ὄφελος νηστεύειν τῷ σώματι, τὴν δὲ ψυχὴν μυρίων κακῶν ἐμπεπλῆσθαι;

Νηστεία ἀληθὴς ἡ τῶν κακῶν ἀλλοτρίωσις.

Οὐ τραπέζης ὄγκῳ φιλοτιμούμεθα καὶ φαρμακείαις ἀναισθήτου γαστρός. Οὐδὲν γὰρ ἐπαινοῦμεν τῶν μετὰ τὸν λαιμὸν ὁμοτίμων, μᾶλλον δὲ ἀτίμων ὁμοίως καὶ ἀποβλήτων. Ἀλλὰ ζῶμεν οὕτως ἀπλῶς καὶ σχεδίως, καὶ μικρόν τι τῶν θηρίων, οἷς ὁ βίος ἄσκευος καὶ ἀνεπιτήδευτος, διαφέροντες.

B Τράπεζα, μονοειδὴς μὲν οὖσα, κόρον ἐντίθησιν· αἱ δὲ ποικίλαι τὴν ὄρεξιν διεγείρουσιν.

Οὐκ ἀποχὴν βρωμάτων, ἀλλ' ἀποχὴν ἁμαρτημάτων ἐργάζεται νηστεία.

Οὐδὲν οὕτως ἀφόρητον τῷ κατατρυχομένῳ νηστείαις, ὡς ἡ τῶν ἀέρων ἀνωμαλία.'

Προσήκει τοὺς νηστεύοντας ἐκ θεοφιλοῦς διανοίας τοῦτο δρᾷν, καὶ μὴ κατά τινας τῶν ἐπὶ σκηνῆς θαυματοποιῶν, προσωπεῖον ὥσπερ στυγνόν τι καὶ ἀειδὲς ἑαυτοῖς περιπλάττοντας, μονονουχὶ δι' αὐτοῦ κεκραγέναι τοῦ σχήματος, ὅτι τοὺς τῆς ἀσιτίας φέρουσι πόνους.

Ἐγκρατείας μὲν ἴδιον ὑγεία καὶ ἰσχύς· ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ.

C Καλὴ ἐγκράτειά ἐστι τὸ παρὰ μικρὸν τῆς χρείας μεταλαμβάνειν ἐν τῷ καιρῷ τῆς διαίτης, καὶ τὴν καρδίαν τηρεῖν, καὶ πρὸς τὰ κρύφια πάθη κρυπτῶς πολεμεῖν.

Οὐ τὸ βραδυφαγῆσαι μόνον τοῦτο νηστεία ἐστὶν, ἀλλὰ καὶ τὸ βραχυφαγῆσαι· καὶ οὐ τὸ διαδὺο ἐσθίειν τοῦτο ἄσκησίς ἐστιν, ἀλλὰ τὸ μὴ ποικιλοφαγῆσαι. Ἄσκησις γάρ ἐστι τράπεζα ἐν μονοειδεῖ τροφῇ συνεσταλμένη, τὸ ἕκλυτον τῆς παντοφαγίας ὡς αἰδῶς βδελυττομένη.

Ἀληθὴς νηστεία ἡ διηνεκὴς ἔνδεια.

Μὴ εἴπῃς, Σήμερον οὐ βρώσομαι· ὅτι οὐκ ἐν φρονήσει ποιεῖς τοῦτο. Ἔσται γὰρ βλάβη τῷ σώματί σου, καὶ ὀδύνη τῷ στομάχῳ σου.

D

ΛΟΓΟΣ ΛΘ'.

Περὶ ἀκρασίας καὶ γαστριμαργίας.

Οὐαὶ ὑμῖν, οἱ ἐμπεπλησμένοι! ὅτι πεινάσετε· οὐαὶ ὑμῖν, οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε.

Ἐτρυφήσατε ἐπὶ τῆς γῆς καὶ ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς.

Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν. Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει.

Μή τις πόρνος ἢ βέβηλος ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ.

Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν, καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν·

Βάδιζε, κατάβηθι τὸ τάχος ἐντεῦθεν. Ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς· ἐποίησαν ἑαυτοῖς μόσχον χωνευτὸν, καὶ προσεκύνησαν αὐτῷ.

Ἡ δύναμις τοῦ Σατανᾶ ἐπ' ὀμφαλῷ γαστρός.

Μὴ ἀπλησταύου ἐπὶ τραπέζης, μή ποτε προσκόψῃς.

Ψυχὴ ἐν πλησμονῇ οὖσα κηρίοις ἐμπαίζει· ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται.

Ὃς κατασπαταλᾷ ἐκ παιδόθεν, οἰκέτης ἔσται.

Ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ Ἰακώβ.

Οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, οἱ κατεσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά, οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι.

Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. Ὁ γὰρ οἶνος αὐτοὺς ἐκκαύσει.

Ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου. Ἐὰν χορηγήσῃς τῇ ψυχῇ σου χορηγίαν ἐπιθυμίας, ποιήσει σε ἐπίχαρμα ἐχθρῶν σου.

Μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ. Στρέφος γὰρ μετὰ ἀνδρὸς ἀπλήστου.

Μὴ ἀπλησταύου ἐν πάσῃ τρυφῇ· ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται νόσος.

Ἀνὴρ βλέπων εἰς ἀλλοτρίαν τράπεζαν, οὐκ ἔστιν ὁ βίος αὐτοῦ ἐν λογισμῷ ζωῆς.

Ἄϋπνός ἐστι καὶ ἀκοίμητος πρὸς τὴν τοῦ πλείονος ἐπιθυμίαν ἡ ἀνθρωπίνη φύσις.

Βαρυνομένη γαστὴρ οὐχ ὅπως πρὸς δρόμον, ἀλλ' οὐδὲ πρὸς ὕπνον ἐστὶν ἐπιτηδεία, διότι καταθλιβομένη τῷ πλήθει οὐδ' ἠρεμεῖν συγχωρεῖται, ἀλλ' ἀναγκάζεται πολλὰς ποιεῖσθαι τὰς περιστροφὰς ἐφ' ἑκάτερα.

Γαστὴρ συναλλακτὴς ἐστιν ἀπιστότατος, ταμεῖον ἀφύλακτον· πολλῶν ἀποτεθέντων, τὴν μὲν βλάβην παρακατέχουσα, τὰ δὲ παρατεθέντα οὐ διασώζουσα.

Λίχνη γαστὴρ ἡ ἀεὶ ἀπαιτοῦσα καὶ μηδέποτε λήγουσα· ἡ λαμβάνουσα σήμερον, καὶ αὔριον ἐπιλανθανομένη. Ὅταν ἐμπλησθῇ, περὶ ἐγκρατείας φιλοσοφεῖ· ὅταν διαπνευθῇ, ἐπιλανθάνεται τῶν δογμάτων.

Φοβήθητι τὸ ὑπόδειγμα τοῦ πλουσίου· ἐκεῖνον παρέδωκε τῷ πυρὶ ἡ διὰ βίου τρυφή. Οὐ γὰρ ἀδικίαν, ἀλλὰ τὸ ἀβροδίαιτον ἐγκληθεὶς, ἀπετηγανίζετο ἐν τῇ φλογὶ τῆς καμίνου.

Τῆς οὖν δαψιλοῦς καὶ παχείας τροφῆς αἰθαλώδεις τινὲς ἀναθυμιάσεις ἀναπεμπόμεναι, νεφέλης δίκην

minus ad Mosen : I, et statim hinc descende; peccavit enim populus tuus quos eduxisti de terra Ægypti, cito prævaricati sunt a via, quam præcepisti eis, fecerunt sibi ipsis vitulum conflatilem, et adorarunt eum.

Job XL. Potentia Satanæ sita est in umbilico ventris.

Ne inexplebilis esto in mensa, ne quando offendas.

Prov. XXVII. Anima repleta favos contemnit : animæ vero indigenti amara quoque videntur dulcia.

Ibid. XXIX. Qui delicatus est a puero, servus erit (1).

Osee. In utero matris fratrem suum supplantavit Jacob.

Amos VI. Qui dormiunt in lectis eburneis, et in stragulis suis deliciantur ; qui hædos ex gregibus comedunt, et vitulos teneros ex armentis, qui vinum defecatum bibunt, et præcipuis unguentis unguntur.

Isa. V. Væ illis qui surgunt mane et siceram sectantur, et cum ea exspectant noctem. Vinum enim exuret ipsos.

Sirach. Ne sequaris cupiditates tuas, et desideriis tuis abstine. Si animæ tuæ indulgeas et gratificeris pro cupidine sua, faciet te ludibrium hostibus tuis.

Ne delectator multis deliciis ; tormina enim virum inexplebilem cruciant.

Ne fueris inexplebilis in quavis voluptate : ex multis enim edulibus morbus fiet.

Eccli. XL. Viri mensam alienam spectantis vita non est pro vita deputanda.

Incerti auctoris. Hominum natura vel noctes insomnes ducit, nec unquam quiescit præ desiderio plura conquirendi.

Basilii. Gravatus venter non modo ad cursum, sed ad somnum etiam ineptus est. Compressus enim pondere non potest quiescere, sed frequenter huc et illuc se convertit.

Nullum cum ventre fidum commercium contrahi potest ; est enim penu incustoditum, et multorum quæ in eo deposita sunt noxam quidem retinet, ipsa vero deposita non conservat.

Ligurior venter semper aliquid postulat, et nunquam intermittit ; hodie accipit, et cras obliviscitur. Cum plenus est, de continentia cogitat, vaporibus autem cibi discussis obliviscitur eorum quæ statuerat.

Divitis exemplum metue, quem voluptuaria vita igni tradidit. Non 77 enim de injustitia, sed vitæ deliciis accusatus, in flamma camini torrebatur.

A copioso et pingui nutrimento fuliginosi quidam vapores sublati, instar nubis opacæ, interci-

(1) *Hanc sententiam alii ex Hebræo sic vertunt :* Qui servum suum a pueritia delicate educat, postremo jus filiorum occupare molietur.

piunt illuminationem quæ a Spiritu sancto transmittitur menti; quamobrem et Moses cum ad Dei contemplationem mente conscenderet, sine cibo et sine potu diebus quadraginta mansit, imperturbatam sibi mentis aciem conservari satagens.

Cum corpus bene habitum est, et multa carne gravatur, necesse est infirmam et imbecillem esse mentem ad proprias functiones; contra cum anima bene habet, et exercitatione rerum bonarum ad suam magnitudinem attollitur, consequens est ut corporis habitus emarcescat.

Job XL. Robur Satanæ, inquit, in lumbis situm est, et potentia ejus in umbilico ventris. Etenim cibis ingestis pinguescente, necessario partes etiam subjectæ, humore copioso per imum ebulliente, ad naturales actiones moventur.

Satietas initium est injuriæ. Statim enim cum voluptate, ebrietate et variis condimentorum cupedils omne genus belluinæ luxuriæ se immiscet; hinc homines equis ad libidinem furibundis similes redduntur, propter furorem ex voluptate in anima natum.

Ἀκρασίαν Græci vocant incontinentiam, quod κράτος, id est vim, nullam habeat adversus ingruentes voluptates.

Theologi. Incontinentiam voco quidquid superfluum est et usum excedit, idque esurientibus et indigentibus aliis, qui ex eodem luto et eadem mistione producti sunt.

Nihil tam contentiosum est et pronum in lites quam venter.

Admirabile quiddam est continentia, et rerum paucarum indigentia, et non vinci a voluptatibus, nec a ventre tanquam austero et illiberali domino regi.

Si quid voluptati carnis ademistis, date spiritui. In propinquo est pauper, juva ejus ægritudinem, in illum aliquid de superfluis effundas. Quid est quod et tu labores fastidio cibi, et ille fame? tu crapula distendaris, ille hydrope? tu satietatem oneres satietate, et ille morbo conficiatur? Ne tuum Lazarum hic neglexeris, ne te faciat qualis illic erat dives ille.

Nulla satietas sobrie et prudenter agere potest;

Etenim ignis solet excrescere per 78 materiam,

Ne terra et mare pretiosum nobis excrementum adducant. Non enim honorificentius de voluptate loqui libet.

Chrysost. Cibo saturatus curam tui habeas. Præceps enim est voluptatis locus.

Venter crassus mentem subtilem non parit.

Cum nativus calor cibos nimios concoquere non potest, sed obruitur, supernatant fumigantes, et multum fastidii molestiæque generant.

πυκνῆς, τὰς ἀπὸ τοῦ ἁγίου Πνεύματος ἐγγινομένας ἐλλάμψεις εἰς τὸν νοῦν διακόπτουσιν· διὸ καὶ Μωϋσῆς πρὸς θεωρίαν Θεοῦ ἀναβαίνων διὰ τοῦ νοῦ, ἄσιτος καὶ ἄποτος ἡμερῶν τεσσαράκοντα διετέλεσεν, ἀθόλωτον διαμένειν αὐτῷ τὸ ἡγεμονικὸν διοικούμενος.

Σώματος μὲν γὰρ εὐεκτοῦντος καὶ πολυσαρκίᾳ βαρυνομένου, ἀνάγκη ἀδρανῆ καὶ ἄτονον εἶναι πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν· ψυχῆς δὲ εὐεκτούσης, καὶ διὰ τῆς ἐῶν ἀγαθῶν μελέτης πρὸς τὸ οἰκεῖον μέγεθος ὑψουμένης, ἑπόμενόν ἐστι τὴν τοῦ σώματος ἕξιν καταμαραίνεσθαι.

Ἡ ἰσχὺς τοῦ Σατανᾶ, φησὶν ἐπ' ὀσφύϊ, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός. Πιαινομένης γὰρ ταύτης ὑπὸ τῆς γεύσεως, ἀνάγκη τὰ ὑπ' αὐτὴν μόρια ὑπὸ τοῦ πλημμυροῦντος ὑγροῦ βρασσομένου ἐν βάθει πρὸς τὰς φυσικὰς ἐνεργείας κινεῖσθαι.

Κόρος ὕβρεως ἀρχή· εὐθέως γὰρ συνεισπίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ καὶ ταῖς παντοδαπαῖς καρυκείαις πᾶν εἶδος ἀκολασίας βοσκηματώδους· ἔνθεν ἵπποι θηλυμανεῖς οἱ ἄνθρωποι διὰ τὸν ἐκ τῆς τρυφῆς ὄιστρον ἐπιγινόμενον τῇ ψυχῇ.

Ἀκρασία ἐστὶν ἡ μὴ ἔχουσα κράτος κατὰ τῶν ἐνοχλούντων ἡδονῶν.

Ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττὸν καὶ ὑπὲρ τὴν χρείαν, καὶ ταῦτα πεινώντων ἄλλων καὶ δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος.

Οὐδὲν οὕτως ἐπίμαχόν τε καὶ φιλόνεικον, ὡς γαστήρ.

Θαυμαστὸν ἡ ἐγκράτεια καὶ ὀλιγάρκεια, καὶ τὸ μὴ κρατεῖσθαι ὑπὸ τῶν ἡδονῶν, μηδὲ ὡς ὑπὸ πικρᾶς καὶ ἀνελευθέρου δεσποίνης τῆς γαστρὸς ἄγεσθαι.

Εἴ περὶ τὴν τρυφὴν ὠφέλησθέ τι τῆς σαρκὸς, δότε τῷ πνεύματι. Ἔγγὺς ὁ πένης, τῇ νόσῳ βοήθησον, εἰς τοῦτον ἀπέρευξαί τι τῶν περισσῶν. Τί καὶ σὺ κάμνεις ἀπαιτῶν, καὶ οὗτος πεινῶν; καὶ σὺ κραιπαλῶν, καὶ οὗτος ὑδεριῶν; καὶ σὺ κόρον κόρῳ βαρύνων, καὶ οὗτος περιτρεπόμενος νόσῳ; Μὴ παρίδῃς τὸν σὸν Λάζαρον ἐνταῦθα, μή σε ποιήσῃ τὸν ἐκεῖθεν πλούσιον.

Οὐδεὶς κόρος πέφυκε σωφρόνως ἔχειν·
Καὶ γὰρ τῷ πυρὶ εἴωθε ταῖς ὕλαις θέειν.

Μὴ γῆ καὶ θάλαττα τὴν τιμίαν ἡμῖν κόπρον δορυφορείτωσαν. Οὕτω γὰρ ἐγὼ τιμᾷν οἶδα τρυφήν.

Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθεὶς, πρόσεχε σεαυτῷ· ἀπόκρημνος γάρ ἐστιν ὁ τόπος τῆς τρυφῆς.

Παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νοῦν.

Τοῦ κατὰ φύσιν θερμοῦ οὐκ ἀρκοῦντος τὰ πολλὰ κατεργάσασθαι βρώματα, ἀλλὰ καταχωννυμένου, ἐπίκεινται ἄνωθεν καπνιζόμενα, καὶ πολλὴν ποιοῦντα τὴν ἀηδίαν.

Τὰ πολλὰ σιτεῖσθαι παρδάλεως καὶ λέοντος καὶ ἄρκτου ἐστίν.

Οὐκ ἔστιν ἡμῖν πάλη πρὸς αἷμα καὶ σάρκα. Καὶ γὰρ ἀριστῶσι, καὶ βαδίζουσι, καὶ λουομένοις πάρεστιν ὁ ἐχθρὸς, καὶ οὐκ εἶδε καιρὸν ἀνακωχῆς, εἰ μὴ τὸν τοῦ ὕπνου μόνον· πολλάκις δὲ καὶ τότε πολεμεῖ, λογισμοὺς ἐμβάλλων ἀκαθάρτους, καὶ ἀσελγεστέρους ἀπὸ τῶν ὀνειράτων ἐργαζόμενος.

Ἡ αὐτάρκεια καὶ τροφή ἐστι καὶ ἡδονὴ καὶ ὑγεία· τὸ δὲ πλέον λύμη καὶ ἀηδία καὶ νόσος. Ἃ γὰρ ποιεῖ ὁ λιμὸς, ταῦτα ποιεῖ καὶ ἡ πλησμονὴ, μᾶλλον δὲ χαλεπώτερα. Ἐκεῖνος μὲν γὰρ ἐν ὀλίγαις ἡμέραις ἀπηλλάγη τοῦ ἀνθρώπου, αὕτη δὲ διατρώγουσα καὶ σήπουσα τὸ σῶμα μακρᾷ παραδίδωσι νόσῳ, καί ποτε θανάτῳ χαλεπωτάτῳ. Ἀλλὰ καὶ ὕλη ἐστὶν ἡ πλησμονὴ ταῖς ἀτόποις ἐπιθυμίαις. Κἂν γὰρ πάντων ᾖ φιλοσοφώτερος ὁ τρυφῶν, ἀνάγκη τὸ παθεῖν αὐτὸν ἀπὸ τοῦ οἴνου, ἀπὸ τῶν σιτίων ἀνάγκη διαχυθῆναι· ἐντεῦθεν πορνεῖαι, ἐντεῦθεν μοιχεῖαι. Οὐ γὰρ δύναται πεινῶσα γαστὴρ ἔρωτα τεκεῖν.

Ποδαλγίαι, καὶ καρηβαρίαι, καὶ ἀμβλυωπίαι, καὶ χειραλγίαι, καὶ τρόμοι, καὶ παρέσεις, καὶ ἴκτερος, καὶ πυρετοὶ μακροὶ καὶ φρικώδεις, ἐξ ἀδηφαγίας καὶ πλησμονῆς τίκτεσθαι πεφύκασιν. Ἀκορίη γὰρ τροφῆς ὑγεία, φασὶν ἰατρῶν παῖδες.

Τράπεζα μονοειδὴς μὲν οὖσα κόρον ἐντίθησιν· αἱ δὲ ποικίλαι τὴν ὄρεξιν διεγείρουσιν.

Ὄφον σοι γενέσθω ἔνδεια, καὶ τὸ μὴ ἐπιβάλλειν κόρῳ τὸν κόρον, μηδὲ ἀμβλύνειν τῇ κραιπάλῃ τὴν ὄρεξιν. Μέχρι τῆς ὑπερῴας ἡ τῶν ἡδυσμάτων αἴσθησις τὸν ὅρον ἔχει, ἀπὸ δὲ τῆς ὑπερῴας ἀδιάκριτος ἡ τῶν ἐμβαλλομένων διαφορὰ, ὁμοτίμως τὰ πάντα τῆς φύσεως πρὸς δυσῳδίαν ἀλλοιούσης.

Ἐγκρατείας μὲν ὑγεία καὶ ἰσχύς· ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ.

Θλιβομένης κοιλίας, ταπεινοῦται καρδία· θεραπευομένης δὲ αὐτῆς, γαυριᾷ λογισμός.

Ἐπιτηρήσαντες πολλάκις εὑρήσομεν γελοῖον πικρὸν παρὰ τοῖς δαίμοσι καθ' ἡμῶν γενόμενον. Κορεσθέντας γὰρ ἡμᾶς κατανύσσουσι, καὶ νηστεύοντας σκληρύνουσιν, ἵνα τοῖς νόθοις δάκρυσιν ἀπατηθέντες τῇ μητέρι τῶν παθῶν τρυφῇ ἑαυτοὺς ἐκδώσωμεν, οἵστισιν οὐ πείθεσθαι δεῖ, μᾶλλον δὲ τοὐναντίον ποιεῖν.

Καρδίας ἡδυπαθούσης, λογισμοῦ λοιμοὶ ἀναφύονται, καὶ ἐν τῷ καπνῷ τὴν ἐγκειμένην ὕλην ἐπιγινώσκομεν.

Τί βέλτιον, τρυφᾶν ἐπὶ ὀλίγας ἡμέρας, καὶ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ποιεῖν, καὶ στερηθῆναι τῆς αἰωνίου ζωῆς; καὶ τὰ λοιπά.

Ὑγείαν ἔχειν παρὰ Θεοῦ αἰτοῦνται οἱ ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν παρ' ἑαυτοῖς ἔχοντες οὐκ ἴσασιν· ἀκρασίᾳ γὰρ τὰ ἐναντία πράσσοντες, αὐτοὶ προδόται τῆς ὑγείας γίνονται.

Τάχος καὶ ἔπειξις ἀπέστω τοῦ ἐσθίειν. Κυνῶδες γὰρ τοῦτο, καὶ θηρίῳ μᾶλλον ἢ ἀνθρώπῳ πρέπον.

A Multa vorare ad pardalim, leonem et ursum pertinet.

Non est nobis lucta adversus sanguinem et carnem. Nam et prandentibus, et ambulantibus, et lavantibus, præsens est hostis, nec ullas inducias agnoscit, nisi tempus somni : quamvis sæpe tunc etiam impugnet, cogitationes impuras suggerens, et per insomnia lasciviores efficiens.

Frugalitas et alimentum est, et voluptas, et sanitas ; nimium vero noxam, fastidium et morbum gignit. Nam quæcunque fames, eadem efficit repletio, imo graviora. Fames enim paucis diebus hominem relinquit : hæc vero excedens et putrefaciens corpus in longum morbum impellit, interdum autem gravissimam mortem. Quin etiam materia B est repletio absurdis desideriis. Nam licet maxime philosophus sit et sapiat qui voluptati indulget, necesse tamen est eum aliquid pati a vino, et a cibis affici : hinc scortationes et adulteria prodeunt. Venter enim famelicus amores gignere non potest.

Pedum dolores, et capitis gravitates, et oculorum hebetudines, et manuum ægritudines, et tremores, et resolutiones, et aurigo, et febres longæ ac horrentes, ex voracitate et repletione produci solent. Nam cibo non saturari sanitatem esse medicorum filii pronuntiant.

Mensæ simplicitas saturat, varietas appetitum excitat.

Obsonii loco tibi sit inopia, et quod satietas non C obruitur satietate, nec appetitus hebetatur per crapulam. Condimentorum sensus ad palatum terminatur, deinceps vero indifferens est quod ingeritur, omnia ex æquo ad fœtorem usque alterante natura.

Philonis. Continentiam sanitas et robur sequitur : incontinentiam vero infirmitas et ægritudo morti vicina.

Climacis. Onerato ventre, deprimitur cor ; si autem ratio ejus habeatur, exsultat mens.

Sæpe si observemus ridiculum malum dæmones contra nos moliri **79** inveniemus : saturatos enim nos pungunt (id est, instigant ad lacrymas), jejunantes autem indurant, ut spuriis lacrymis decepti voluptati perturbationum parenti nos dedamus. D quibus non obediendum, sed contrarium potius faciendum est.

Marci. Quando cor indulget deliciis, rationi pesti innascitur ; cognoscimus autem materiam insitam ex fumo.

Isaiæ. Utrum melius est, an deliciari paucis diebus, et carnis desiderio satisfacere, et privari æterna vita? etc.

Democr. Homines a Deo sanitatem petunt, ignorant autem quod ejus potestatem penes sese habeant. Nam per incontinentiam facientes ei contraria, ipsi desertores sanitatis exsistunt.

Celeritas et festinatio absit a comedendo. Hoc enim caninum est, et belluæ convenit magis quam homini.

Antisthenis. Antisthenes rogatus quid festum A esset? dixit: Ingurgitationis occasio.

Epicteti. In conviviis memento duos tibi hospites nutriri, corpus, inquam, et animam, et quidquid in corpus contuleris, id statim effundi, quod autem in animam, perpetuo servari.

Theognidis. Multo plures viros satietas interemit quam fames.

Diogenis. Lupus cum vidisset pastores in tugurio comedentes ovem, accedens dixit: O quantus foret tumultus, si ego istud facerem!

Columna suæ basi innititur, scortationis autem affectus satietati incumbit.

Satietas injuriam parit, imperitia vero potestati conjuncta dementiam.

Mori longe præstat, quam animæ tenebras per B incontinentiam offundere.

Pythagoræ. Tres botri nascuntur in vite, primus voluptatis, secundus ebrietatis, tertius injuriæ.

SERMO XL [*al.* LV].

De prodigalitate et luxuria.

Luc. XV. Et post dies non multos, omnibus collectis, junior filius profectus est in regionem longinquam, et illic vivens luxuriose substantiam suam dilapidavit.

Ephes. V. Ne inebriemini vino, in quo est luxuria.

Prov. XXIX. Qui delicate vivit a puero, servus erit, tandem autem de seipso lugebit.

Theologi. Æque difficile est tum bonum aliquid ab initio acquirere, tum acquisitum conservare.

Si pueri alicujus tutor esses et bonis ejus acceptis ipsum miserrime affectum negligeres, sexcenti te accusarent, et pœnam secundum legem lueres. Jam vero acceptis Christi rebus, **80** cum ita temere eas profundas, non arbitraris pœnam te luiturum?

Dionis. Des operam ut nunquam temere consumas pecuniam, unde nullam tibi gloriam pares. Nam divitiæ magnæ non tam multa accipiendo, quam non multa expendendo colliguntur.

Menandri. Illi qui suas opes temere profundunt, Bonam famam cito in malam transmutant.

Chilonis. Si expendas ubi non oportet, parcus eris ubi oportebat expendere.

Non possidere divitias, non adeo noxium est: præsentibus autem male uti, prorsus ad perditionem et inopem vitam redigit.

SERMO XLI [*al.* LXVIII.]

De ebrietate.

Luc. XXI. Observate vos ipsos, ne quando graventur corda vestra per crapulam, ebrietatem et hujus vitæ ærumnas, et subito vobis immineat dies illa. Irruet enim instar laquei super omnes sedentes in facie terræ.

Rom. XIII. Tanquam in die honeste ambulemus, non comessationibus et ebrietatibus, non cubilibus ac lascivis.

Ἀντισθένης ἐρωτηθείς, τί ἐστιν ἑορτή, ἔφη· Γαστριμαργίας ἀφορμή.

Ἐν ταῖς ἑστιάσεσι μέμνησο ὅτι δύο ὑποδέχῃ. σῶμα καὶ ψυχήν, καὶ ὅ τι ἂν τῷ σώματι δῷς, τοῦτο εὐθὺς ἐξέχεας, ὅ τι δ' ἂν τῇ ψυχῇ, διαπαντὸς τηρεῖς.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
Ἄνδρας.

Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθών, Ἠλίκος ἂν ἦν ὁ θόρυβος, εἶπεν, εἰ ἐγὼ τοῦτο ἐποίουν!

Στύλος μὲν ἐπερείδεται βάσει, πορνείας δὲ πάθος ἐπαναπαύεται κόρῳ.

Κόρος μὲν ὕβριν τίκτει, ἀπαιδευσία δὲ μετὰ ἐξουσίας ἄνοιαν.

Τεθνάναι πολὺ κρεῖττον ἢ δι' ἀκρασίας τὴν ψυχὴν ἀμαυρῶσαι.

Βότρυας τρεῖς ἡ ἄμπελος φέρει, τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν δὲ τρίτον ὕβρεως.

ΛΟΓΟΣ Μ'.

Περὶ ἀσωτίας.

Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακρὰν, καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.

Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία.

Ὃς κατασπαταλᾷ ἐκ παιδὸς ἀσώτως, εἰκέτης ἔσται, ἔσχατον δὲ ὀδυνηθήσεται ἐφ' ἑαυτῷ. C

Τῆς αὐτῆς δυσχέρειά ἐστι καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καὶ κτηθὲν διασώσασθαι.

Εἰ παιδὸς ἐπετρόπευες καὶ λαβὼν τὰ αὐτοῦ περιεώρας αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα, μυρίους ἂν ἔσχες κατηγόρους, καὶ τὴν ἀπὸ τῶν νόμων ἔδωκας ἂν δίκην· τὰ δὲ τοῦ Χριστοῦ λαβὼν, καὶ οὕτως μάτην ἀναλίσκων, οὐχ ἡγῇ δώσειν εὐθύνας;

Μηδέποτε μάτην χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ ὧν εὐδεμία προσγίνεται εὔκλεια. Πλοῦτος γὰρ ἀκριβὴς οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν, ὡς ἐκ τοῦ μὴ πολλὰ ἀναλίσκειν ἀθροίζεται.

Τοὺς τὸν ἴδιον δαπανῶντας ἀλογίστως βίον.

Τὸ καλῶς ἀκούειν ταχὺ ποιεῖ πᾶσι κακῶς.

Δαπανώμενος ἐφ' ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ' ἃ δεῖ.

D

Τὸ μὴ κεκτῆσθαι πλοῦτον βλάβην οὐ νομίζει τοσαύτην· τὸ δὲ τοῖς οὖσι κακῶς κεχρῆσθαι ἀπόλλυσι τὸν ὄντως, φασὶ, κεχρημένον βίον.

ΛΟΓΟΣ ΜΑ'.

Περὶ μέθης.

Προσέχετε ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνιδίως ὑμῖν ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ προσώπου τῆς γῆς.

Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις.

Ὃς ἐστιν ἡδὺς ἐν οἴνου διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν.

Πᾶς μέθυσος καὶ πορνοκόπος ἐνδύσεται διερρηγμένα.

Τίνι οὐαί ; τίνι θόρυβος ; τίνι κρίσεις ; τίνι ἀηδίαι καὶ λέσχαι ; τίνι συντρίμματα διακενῆς ; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί ; Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις, καὶ τῶν κατασκοπουμένων ποῦ πότοι γίνονται ;

Οἶνος τὸ παρὰ Θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀσθενείας δεδομένον τοῖς σωφρονοῦσιν, ὅπλον δὲ νῦν γενόμενον ἀχολασίας τοῖς ἀσελγαίνουσιν.

Τὸ ἐκ τοῦ οἴνου πῦρ ἐγγινόμενον τῇ σαρκὶ ἐξαμμα γίνεται τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ. Τὸν μὲν γὰρ λογισμὸν καὶ τὸν νοῦν ὁ οἶνος καταβαπτίζει· τὰς δὲ ἐπιθυμίας καὶ τὰς ἡδονάς, ὥσπερ ἔλαιον φλόγα, ἐξάπτει.

Οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος· οὐδενὸς κεφαλὴ ὠδυνήθη ποτὲ ὕδατι βαρηθεῖσα· οὐδεὶς ἀλλοτρίων ποδῶν ἐδεήθη ὑδροποσίᾳ συζῶν· οὐδενὸς ἐδέθησαν πόδες, οὐδενὸς χεῖρες ἀπηχρειώθησαν ὕδατι καταρδόμεναι.

Μέθη Κύριον οὐχ ὑποδέχεται· μέθη Πνεῦμα ἅγιον ἀποδιώκει. Καπνὸς μὲν γὰρ φυγαδεύει μελίσσας, χαρίσματα δὲ πνευματικὰ ἀποδιώκει κραιπάλη.

Μέθη αὐθαίρετος δαίμων ἐξ ἡδονῆς ταῖς ψυχαῖς ἐμβαλλόμενος. Μέθη κακίας μήτηρ, ἀρετῆς ἐναντίωσις, τὸν ἀνδρεῖον δειλὸν ἀποδείκνυσι, τὸν σώφρονα ἀσελγῆ, δικαιοσύνην οὐκ οἶδε, φρόνησιν ἀναιρεῖ. Ὥσπερ γὰρ ὕδωρ πολέμιόν ἐστι πυρὶ, οὕτως ἀμετρία οἴνου λογισμὸν κατασβέννυσι σώφρονα.

Τοῖς μεθύουσιν ὕπνοι μὲν βαρεῖς καὶ δυσανάφοροι καὶ πνιγώδεις, καὶ τῷ ὄντι θανάτου γείτονες· αἱ δὲ γρηγορήσεις τῶν ὕπνων ἀναισθητότεραι. Ἐνύπνιον γάρ ἐστιν αὐτοῖς ὁ βίος· οἵ γε ἱμάτιον οὐκ ἔχοντες, οὐδὲ τί φάγωσιν εἰς τὴν αὔριον, βασιλεύουσι, καὶ στρατοπέδων ἄρχουσιν ἐν τῇ μέθῃ καὶ πόλεις οἰκοδομοῦσι, καὶ χρήματα διανέμουσιν.

Αἱ μὲν γὰρ τοῦ λοιμοῦ βλάβαι χρόνῳ ἐγγίνονται τοῖς ἀνθρώποις, κατὰ μικρὸν τοῦ ἀέρος τὴν παρ' ἑαυτοῦ φθορὰν ἐντιθέντος τοῖς σώμασιν· αἱ δὲ παρὰ τοῦ οἴνου, εὐθὺς συνεισπίπτουσαι· οὕτω γὰρ τὴν ψυχὴν ἀπολωλότες, ὡς ὑπὸ πάσης κηλίδος εἶναι κατεστιγμένοι, ἔτι καὶ αὐτὴν τοῦ σώματος τὴν ἕξιν προσδιαφθείρονται, οὐ μόνον τῇ ὑπερβολῇ τῶν ἡδονῶν ἐξοιστρούντων, ἐπὶ λαγνείας ἐκτετηκότες καὶ διαῤῥέοντες, ἀλλὰ καὶ αὐτῷ τῷ ὄγκῳ πεπλαδηκὸς καὶ βρυῶδες, καὶ τοῦ ζωτικοῦ τόνου λελυμένον τὸ σῶμα φέροντες. Τούτων πελιδνοὶ οἱ ὀφθαλμοὶ, ὑπωγρὸς δὲ ἡ ἐπιφάνεια, πνεῦμα πρεστηκὸς, γλῶσσα παρειμένη, κραυγὴ ἄσημος, ἀκροσφαλεῖς οἱ πόδες, καθάπερ οἱ τῶν παίδων.

Αἱρετώτερον πενθεῖν ἢ κωμάζειν· καὶ συμπαρεῖναι τοῖς λυπουμένοις ἢ τοῖς μεθυσκομένοις.

Τοῖς ἐν μέθῃ καὶ ἀκολασίᾳ βιοῦσιν ἡ ἡμέρα πρὸς τὸ τῆς νυκτὸς μεταστρέφεται σκότος· οὐ τοῦ ἡλίου

Salomon. Qui gaudet immorari vino, in suis nunimentis relinquet infamiam.

Prov. XXIII. Omnis ebrius et scortator vestietur laceris vestibus.

Apud quem est dolor, tumultus, contentiones, molestiæ, loquacitas, vulnera temere inflicta, et livor oculorum ? Nonne apud immorantes in vino, et circumspicientes ubi compotationes fiant ?

Basilii. Vinum a Deo datum temperantibus donum ad consolationem infirmitatis, lascivientibus nunc factum est instrumentum luxuriæ.

Ignis ille qui carni ex vino innascitur, fomes fit ignitorum jaculorum inimici. Rationem enim et mentem vinum demergit : affectus autem et voluptates, ut oleum flamma, accendit.

Nullus ex aquæ potu crapulam sensit ; nullius unquam caput doluit aqua gravatum, nullus aquæ potor alienis pedibus indiguit, nullius pedes ligati sunt, nullius inutiles redditæ manus aqua irrigatæ.

Ebrietas non suscipit Dominum, ebrietas Spiritum sanctum repellit. Fumus enim apes fugat, crapula vero pellit spiritualia dona.

Ebrietas dæmon est sponte admissus per voluptatem in animos. Ebrietas mater est malitiæ, impugnatio virtutis : hæc ex forti timidum facit, ex modesto lascivum, justitiam ignorat, prudentiam abolet. Nam sicut aqua repugnat igni, sic immoderatio vini mentem sobriam exstinguit.

81 Ebriorum graves sunt somni, profundi, et suffocationi, imo revera morti vicini ; vigiliæ vero ipsorum minus etiam quam somni sensuum habent. Vita enim eis insomnium est qui cum tunicam non habeant, neque quod in crastinum comedant, regnant tamen et exercitibus imperant in ipsa ebrietate, et urbes ædificant, et pecunias distribuunt.

Nocumenta quidem pestis cum tempore hominibus contingunt, aere ipso paulatim virus suum corporibus inserente ; vini autem noxæ illico ingruunt. Ebrii quippe cum adeo corruperunt animam, ut tota sit inquinata et plena maculis, insuper etiam corporis habitum perdunt ; non præ libidine solum tabidi et diffluentes, voluptatibus eos vehementia sua in furorem agentibus, sed ipsum quoque corpus circumferentes mole sua turgidum et flaccidum, et vitali vigore destitutum. His livent oculi, pallet cutis, spiritus est angustus, lingua resoluta, vox incerta, et pedes tanquam pueris cespitantes.

Theologi. Præstat lugere quam comessari, et conversari tristantibus, quam se inebriantibus.

Chrysost. Illis qui in ebrietate et luxuria vivunt, dies in caliginem nocturnam vertitur, non quidem

exstincto sole, sed mente ipsorum per ebrietatem obfuscata

Ebrietas est rectæ rationis alienatio et delirium, et secundum animam sanitatis perditio.

Vinum immodice potum luxuriæ fomes est, voluptatum suppeditatio, lues juventutis, animæ venenum, rationis exstinctio, virtutis alienatio.

Clement. Omnis enim vinosus (ut habetur in tragœdia) vincitur ab ira, et mente vacuus est.

Evagri. Corpus quidem vino roboratur, anima vero sermone Dei.

Plutarchi. Mundus quidem igne et aqua corrumpitur, luxuriosorum autem opes amore et ebrietate.

Injuria et vinum detegere solent amicis mores amicorum.

Multum merum parum sapere cogit.

Non enim copia potus, si quis observet,
Desipere facit, sed potantis indoles.
Molestum est autem cum quis præ vino nimis [loquitur,
Nihil sciens, simulans vero scire. (*Menandri.*)

Anacharsis. Anacharsis dixit, primum quidem poculum quod infunditur sanitatis bibi, alterum voluptatis, tertium injuriæ, ultimum insaniæ.

Pythagoræ. Tres botri nascuntur in vite, primus voluptatis, secundus ebrietatis, 82 tertius injuriæ.

Idem a vinoso quodam interrogatus quomodo quis ebrietatem averteret, dixit: Si sæpe quæ per temulentiam designat, consideret.

Sapiens quidam interrogatus quomodo aliquis compotandi studium desereret, dixit: Si ante oculos habeat vitia ebriorum.

SERMO XLII [*al.* LXIX].

De somno.

Prov. XXIII. Laceras et pannosas vestes omnis somnolentus induit.

Sirach. Cura vigiliarum requiret somnum.

S. Basilii. Gratias age illi qui mirabiliter nos per somnum ab assiduis laboribus recreat, et modicæ quietis beneficio rursus ad vigorem virium reducit.

Theologi. Vir somnolentus invenit somnia.

Somnus enim auctor est spectrorum, non rerum.

Chrysost. Somnus nihil aliud est quam mors ad breve tempus, et aliquot horarum obitus.

Philonis. Non temere qui rem vere considerarunt, somnum esse mortis præmeditationem, et umbram ac delineationem quamdam vitæ denuo futuræ statuerunt. Imagines enim utriusque evidenter repræsentat. Quippe eumdem hominem ex integro et aufert, et sibi restituit.

Somnus veluti publicanus dimidium vitæ nobiscum partitur.

Somnus est quædam naturæ cessatio imago mortis, cessatio sensuum.

A σβεννυμένου, ἀλλὰ τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ.

Μέθη ἐστὶν ἔκστασις τῶν ὀρθῶν λογισμῶν, καὶ πραφροσύνη, καὶ τῆς κατὰ ψυχὴν ὑγείας ἀναίρεσις.

Ὁ οἶνος ὅταν παρέλθῃ τῇ ἀμετρίᾳ τὴν χρείαν, ἀκολασίας ἐστὶν ὑπέκκαυμα, ἡδονῶν χορηγία, νεότητος λύμη, ψυχῆς δηλητήριον, διανοίας νέκρωσις, ἀρετῆς ἀλλοτρίωσις.

Πᾶς γὰρ οἰνώδης, κατὰ τὴν τραγῳδίαν, ἥττων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενός.

Ῥώννυσι μὲν οἶνος σῶμα, τὴν δὲ ψυχὴν λόγος Θεοῦ.

Φθείρεται μὲν ὁ κόσμος πυρὶ καὶ ὕδατι, ὁ δὲ τῶν ἀκολάστων πλοῦτος ἔρωτι καὶ μέθῃ.

B Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.

Ὁ πολὺς ἄκρατος ὀλίγ' ἀναγκάζει φρονεῖν.
Οὐ γὰρ τὸ πλῆθος, ἂν σκοπῇ τις, τοῦ ποτοῦ
Ποιεῖ παροινεῖν, τοῦ πιόντος δ' ἡ φύσις.
Χαλεπὸν ὅταν τις ὧν πίνῃ πλέον λαλῇ,

Μηδὲν κατειδὼς, ἀλλὰ προσποιούμενος.

Ἀνάχαρσις εἶπε, κιρναμένου κρατῆρος ἑφεστίου, τὸν μὲν πρῶτον ὑγείας πίνεσθαι, τὸν δεύτερον ἡδονῆς, τὸν δὲ τρίτον ὕβρεως, τὸν δὲ τελευταῖον μανίας.

Βότρυας τρεῖς ἡ ἄμπελος φέρει, τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν δὲ τρίτον ὕβρεως.

C Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος οἰνόφλυγος, πῶς ἂν τοῦ μεθύειν παύσαιτο, ἔφη· Εἰ συνεχῶς θεωρεῖ τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

Σοφός τις ἐρωτηθεὶς, πῶς ἂν τις μὴ ᾖ φιλοπότης, εἶπεν· Εἰ πρὸ ὀφθαλμῶν ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας.

ΛΟΓΟΣ ΜΒ'.

Περὶ ὕπνου.

Ἐνδύεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης.

Μέριμνα ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν.

Εὐχαρίστει, ἄνθρωπε, τῷ ἀκουσίως ἡμᾶς διὰ τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντι, καὶ ἐκ μι- D κρᾶς ἀναπαύσεως πάλιν πρὸς τὴν ἀκμὴν τῆς δυνάμεως ἐπανάγοντι.

Ἀνὴρ ὑπνώδης εὑρέτης ὀνειράτων.

Μύστης γὰρ ὕμνος φασμάτων, οὐ πραγμάτων.

Ὕπνος οὐδὲν ἕτερόν ἐστιν ἢ θάνατος πρόσκαιρος, καὶ ἐφήμερος τελευτή.

Εἰκότως μελέτην μὲν θανάτου, σκιὰν δὲ καὶ ὑπογραμμὸν τῆς αὖθις ἐσομένης ἀναβιώσεως, τὸν ὕπνον οἱ ἀληθῆ πεφρονηκότες ἀπεφήναντο. Ἑκατέρων γὰρ ἐναργεῖς φέρει τὰς εἰκόνας. Μεθιστᾷ γὰρ καὶ παριστᾷ τὸν αὐτὸν ἐξ ὁλοκλήρου.

Ὁ ὕπνος ὥσπερ τελώνης τὸν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον.

Ὕπνος ἐστὶ φύσεως (*f.* φύσεως) ποσὸς σύστασις εἰκὼν θανάτου, αἰσθήσεων ἀργία.

Εἷς μὲν ὁ ὕπνος, πολλὰς δὲ τὰς ὑποθέσεις καὶ ἡ ἐπιθυμία ἔχει· λέγω δὴ, ἐκ φύσεως, ἐκ βρωμάτων, ἐκ δαιμόνων, ἢ τάχα καὶ ἐξ ἄκρας καὶ ἐπιτεταμένης νηστείας, ἐξ ἧς ἐξτονοῦσα ἡ σὰρξ, δι' ὕπνου λοιπὸν ἑαυτὴν παραμυθήσασθαι βούλεται.

Ὥσπερ ἡ πολυπλασία συνήθεια εἴρηται, οὕτως καὶ ἡ πολυυπνία. Χαλεπὸν οὖν συνήθειαν μακρὰν λάσασθαι.

Ἡμερήσιοι ὕπνοι ἢ σώματος ὄχλησιν, ἢ ψυχῆς ἀδημοσύνην, ἢ ἀργίαν, ἢ ἀπαιδευσίαν σημαίνουσιν.

Τὸ πέραν καθεύδειν τοῦ πρέποντος τοῖς τεθνηκόσι μᾶλλον ἢπερ τοῖς ζῶσιν ἁρμόδιον.

ΛΟΓΟΣ ΜΓ'.

Περὶ ἐνυπνίων.

Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν.

Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, κ. τ. λ.

Παραγίνεται ἐνύπνιον ἐν πλήθει πειρασμοῦ.

Ὡς ὁ δρασσόμενος σκιᾶς, καὶ διώκων ἀνέμους, οὕτως ὁ προσέχων ἐνυπνίοις.

Ὡς γὰρ ἐπὶ πολὺ τὰ καθ' ὕπνον φαντάσματα τῶν μεθημερινῶν ἐννοιῶν εἰσιν ἀπηχήματα.

Πεφύκασι γάρ πως αἱ καθ' ὕπνον φαντασίαι, ὡς τὰ πολλὰ ἀπηχήματα εἶναι τῶν μεθημερινῶν φροντίδων. Ὁποῖα γὰρ ἂν ᾖ τὰ κατὰ τὸν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια.

Αἱ νύκτες τὰς μεθημερινὰς φροντίδας παραλαβοῦσι, ἐν ταῖς αὐτῶν φαντασίαις ἐξαπατῶσι τὸν νοῦν.

Τὸ κατ' ὄναρ ἰδεῖν τὰ ποθούμενα, φέρει τοῖς ἀγαπῶσι παραμυθίαν.

Οἱ μέθῃ καὶ ἀδηφαγίᾳ δεδουλωμένοι οὔτε ὕπνον αἱροῦνται γνήσιον καὶ εἰλικρινῆ, οὔτε ὀνειράτων ἀπαλλάττονται φοβερῶν.

Ὁ τοῖς ὀνείροις προσέχων ἔοικε τῷ τὴν σκιὰν αὐτοῦ καταδιώκοντι.

Ὁπόταν ἐν τοῖς ὕπνοις τοῖς δαίμοσι πείθεσθαι ἀρξώμεθα, τότε λοιπὸν καὶ ἐγρηγορότας ἐμπαίζουσιν.

ΛΟΓΟΣ ΜΔ'.

Περὶ πίστεως.

Χάριτι ἐστε σεσωσμένοι διὰ τῆς πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον, οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

Πίστις ἐστὶν ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων.

Ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖ δίκαιος.

Πίστευε τῷ Κυρίῳ, καὶ ἔμμενε τῷ πόνῳ σου, ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου ἐξάπινα πλουτίσαι πένητα. Δόσις Κυρίου παραμενεῖ εὐσεβέσι.

Τὸ γὰρ οὐκ ἐφικτὸν, οὐδὲ πιστόν πως διὰ τὸν φθό-

A Unus quidem somnus est, multas vero ejus carpendi suggestiones cupiditas habet: videlicet, a natura, a cibis, a dæmonibus, et forte etiam a summo et intenso jejunio, quo debilitata natura somno statim se recreare cupit.

Quemadmodum vinolentiam vocamus malam quamdam consuetudinem, sic et somnolentiam. Difficile est autem consuetudini longæ mederi.

Diurni somni aut corporis molestiam aliquam, aut animæ anxietatem, aut segnitiem, aut imperitiam arguunt.

Æschinis. Somnus diuturnior quam deceat, mortuis potius quam vivis convenit.

SERMO XLIII [*al.* LXX].

De insomniis.

B *Matth.* XXVII. Nihil tibi et justo illi; multa enim passus sum hodie in somnis propter ipsum.

Act. IX. Erat autem discipulus in Damasco nomine Ananias, et dixit ad eum Dominus in visione, etc.

Salomon. Insomnium accedit in multitudine tentationis.

Eccli. XXXIV. Qui observat insomnia, similis est captanti umbram et ventos persequenti.

83 *Basilii.* Imaginationes in somnis ut plurimum diurnis cogitationibus respondent.

Solent enim fere imaginationes in somnis, ut plurimum respondere curis diurnis. Qualia enim fuerint vitæ nostræ studia, talia necessario etiam

C insomnia fient.

Noctes excipiunt curas dierum, easque imaginando illudunt animis.

In somnis videre sua desideria, solatium fert amantibus.

Nili Qui dediti sunt ebrietati et gulæ, illi somnum genuinum sincerumque non capiunt, et terribilibus insomniis afficiuntur.

Qui observat insomnia, similis est umbram suam persequenti.

Quando in somnis dæmonibus obedire incipimus, tunc etiam vigilantes deinceps illudunt.

D

SERMO XLIV [*al.* CLIX].

De fide (1).

Ephes. II. Gratia servati estis per fidem idque non ex vobis: Dei donum est, non ex operibus, ne quis glorietur.

Hebr. XI. Fides est sperandorum substantia, argumentum rerum quæ non apparent.

Salomon. Certam et exhibitam fidem profitebitur justus.

Eccli. XI. Crede Domino, et mane in labore tuo: quoniam facile est coram Domino pauperem subito ditare. Largitio Domini apud pios permanebit.

Theologi. Quod aliquis non potest assequi, id

(1) Inerant non pauca quæ etiam habentur supra primo sermone: ea hic omisimus.

simpliciter fieri posse non credit. Nam profanus animus nihil honestum et egregium quod credat dignum arbitratur.

84 *S. Cyrilli.* Quod fide suscipitur, non debet curiose examinari. Nam quod rationibus inquiritur, quomodo adhuc creditur?

SERMO XLV [*al.* CLVIII].

De Providentia.

Matth. x. Nonne duo passerculi minuto asse venduntur? et unus ex illis non cadet in terram sine Patre vestro. Vestri vero etiam pili capitis omnes numerati sunt.

Rom. xi. O profunditas divitiarum, et sapientiæ, et cognitionis Dei, quam imperscrutabilia sunt judicia ejus, et investigabiles viæ ejus!

Eccli. xvi. Ne dixeris: Abscondar, et quis mei memor erit ex alto? Ecce cœlum, et cœlum cœlorum, abyssus et terra in visitatione ejus concutientur. Vias ejus quis animo complectetur?

S. Basilii. Nihil sine Providentia, nihil neglectum est apud Deum; omnia contemplatur oculus vigilantissimus, omnibus adest, omnibus distribuit salutem.

Theologi. Numen providentia sua pronum in benignitatem, sæpe solet inopinatam salutem afferre.

Epicuri. Gratias ago beatæ naturæ, quod quæ necessaria sunt fecit parabilia, difficilia autem paratu, non necessaria.

Theopempti. Neque malorum auctorem Deum existimes, neque sine eo infortuniis nos affici putes.

Platonis. Cum Deus civitati beneficium præstare vult, bonos viros ei producit: cum vero civitati calamitatem immissurus est, aufert ab ea viros bonos.

Demadis. Quantum Deus justos adjuvat, tantum injustis adversatur.

Xenophontis. Nunquam differas necessaria comparare, donec ipsa te cogat necessitas: sed cum abundas maxime, tunc ante inopiam rem effice. Facilius **85** enim acquires ab illis unde tibi opus est acquirere, si videaris inops non esse.

Divina providentia communiter omnibus ad utilitatem providet: quæ autem rebus accedunt noxia, et interitum afferunt, materiæ infirmitatem sequuntur.

SERMO XLVI [*al.* CLXVIII].

De oratione.

Matth. vi. Orantes non sitis multiloqui.

Affligitur aliquis inter vos? imploret.

Salomon. Impiorum sacrificia abominatio sunt Domino, preces autem rectorum acceptæ sunt ei.

Prov. Procul abest Deus ab impiis, precibus autem justorum auscultat.

Eccli. i. Ne sis pusillanimis in oratione tua.

Ne differas reddere orationem in tempore.

S. Basilii. Auscultatio Dei non indiget voce ad sentiendum. Novit enim statim ex motu cordis

νον. Ψυχαῖς γὰρ βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον.

Τὸ πίστει παραδεκτὸν ἀπολυπραγμόνητον εἶναι χρή. Τὸ γὰρ βασανιζόμενον πῶς ἔτι πεπίστευται;

ΛΟΓΟΣ ΜΕ'.

Περὶ Προνοίας.

Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν, ἄνευ τοῦ Πατρὸς ὑμῶν. Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.

Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!

Μὴ εἴπῃς, Ἀποκρυβήσομαι· καὶ ἐξ ὕψους τίς μου μνησθήσεται; Ἰδοὺ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἄβυσσος καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς, ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται. Τὰς ὁδοὺς αὐτοῦ τίς ἐνθυμηθήσεται;

Οὐδὲν ἀπρονόητον οὐδὲ ἠμελημένον παρὰ Θεῷ· πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμός, πᾶσι πάρεστι, σκορπίζων ἑκάστῳ τὴν σωτηρίαν.

Πολλάκις παραδόξους σωτηρίας οἶδε τὸ Θεῖον καινοτομεῖν, νεῦον πρὸς τὸ φιλάνθρωπον τῇ ἑαυτοῦ προνοίᾳ.

Χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τὰ ἀναγκαῖα ἐποίησεν εὐπόριστα, τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα.

Μήτε αἴτιον κακῶν τὸ Θεῖον ὑπολάμβανε, μήτε χωρὶς αὐτοῦ δυστυχεῖν ἡμᾶς νόμιζε.

Ὅταν βούληται Θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πρᾶξαι πόλιν, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ταύτης τῆς πόλεως ὁ Θεός.

Ὅσον τοῖς δικαίοις τὸ Θεῖον συναγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

Μηδέποτε ἀναμένειν πορίζεσθαι τὰ ἐπιτήδεια, ἕστ' ἂν ἡ χρεία σε ἀναγκάσῃ· ἀλλ' ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μηχανῶ. Καὶ γὰρ ταύτῃ μᾶλλον παρ' ὧν ἂν δέῃ, μὴ ἄπορος δοκῶν εἶναι.

Ἡ θεία πρόνοια κοινῶς ἁπάντων πρὸς ὠφέλειαν προνοεῖται· τὰ δὲ ἐπιγινόμενα φθαρτικὰ ἐπόμενα ἐστὶ τῇ τῆς ὕλης ἀσθενείᾳ.

ΛΟΓΟΣ ΜϚ'.

Περὶ προσευχῆς.

Προσευχόμενοι μὴ βαττολογήσητε.

Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω.

Θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ· προσευχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ.

Μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν· εὐχαῖς δὲ δικαίων ὑπακούει.

Μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου.

Μὴ ἐμποδίσῃς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως.

Ἡ θεία ἀκοὴ οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν. Οἶδε γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ

ἐπιζητούμενα. Ἢ οὐκ ἀκούεις ὅτι Μωϋσῆς μηδὲν A φθεγγόμενος, τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς ἐντυγχάνων τῷ Κυρίῳ, ἠκούετο παρὰ τοῦ Κυρίου λέγοντος, Τί βοᾷς πρὸς μέ;

Ἔθος γὰρ τοῖς δαίμοσι κατὰ τὰς ὥρας τῶν προσευχῶν, προφάσει δῆθεν εὐλογοποιοῦ αἰτίας, ἐπείγειν ἡμᾶς πρὸς ὑποχώρησιν, ἵνα ἀπαγάγωσιν ἡμᾶς εὐλογοφανῶς τῆς σωτηριώδους εὐχῆς.

Μέγα ἀγαθὸν εὐχή, ἐὰν μετὰ διανοίας εὐχαρίστου γένηται.

Ὅταν γὰρ ἐκ καθαρῶν χειλέων ἐξέρχηται δέησις, καὶ ἐκ καρδίας ἀνυποκρίτου, οἵδε φθάσαι τὸ ἀκολάκευτον οὖς τοῦ Δεσπότου.

Καλὸν πάντοτε διὰ προσευχῆς ὁμιλεῖν τῷ Θεῷ. Εἰ γὰρ συντυχία ἀνδρὸς ἀγαθοῦ βελτιοῖ τὸν ἐντυγχάνοντα, πόσῳ μᾶλλον τὸ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ B προσομιλεῖν τῷ Θεῷ;

Οὐχ οὕτως τὸ πῦρ τὸν ἰὸν ἀπασμήχει, ὡς αἱ νυκτερινὰι δεήσεις τὸν ἰὸν τῶν ἡμετέρων ἁμαρτημάτων.

Ἐνώπιον Κυρίου εὔχεται ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν, ἀλλὰ πρὸς ἑαυτὸν μετοικήσας, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών.

Ὅπου εὐχὴ καὶ εὐχαριστία, ἁγίου Πνεύματος παραγίνεται χάρις, καὶ φυγαδεύονται δαίμονες, καὶ πᾶσα ἀντικειμένη δύναμις δραπετεύει καὶ ἀφίσταται.

Προσευχὴ λέγεται καὶ ἡ διὰ ῥημάτων δέησις, λέγεται καὶ ἡ ὑπόσχεσις καὶ ἐπαγγελία. Εὔηχός ἐστιν ἐκείνη ἡ φωνὴ, καὶ μέχρι τῆς θείας ἀναβαίνουσα ἀκοῆς, οὐχ ἡ μετά τινος διατάσεως γινομένη κραυγὴ, ἀλλ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως ἀναπτομένη ἐνθύμησις.

Ἐὰν ἡ εὐχὴ τῇ σπουδῇ προσηγῆται, ἡ ἁμαρτία πάρεδον κατὰ τῆς ψυχῆς οὐχ εὑρίσκει. Τῆς γὰρ τοῦ Θεοῦ μνήμης ἐν τῇ καρδίᾳ καθιδρυμένης, ἄπρακτοι μένουσιν αἱ τοῦ ἀντικειμένου ἐπίνοιαι, πανταχοῦ τῆς δικαιοσύνης ἐν τοῖς ἀμφισβητουμένοις μεσιτευούσης.

Ἐκ τοῦ προσεύχεσθαι περιγίνεται τὸ μετὰ τοῦ Θεοῦ εἶναι· χωρίζεται δὲ τοῦ Θεοῦ ὁ μὴ συνάπτων ἑαυτὸν διὰ προσευχῆς τῷ Θεῷ. Τοῦ δὲ Θεοῦ χωριζόμενον ἀνάγκη πᾶσα τῷ ἐναντίῳ συνάπτεσθαι. D

Προσευχὴ σωφροσύνης ἐστὶ φυλακτήριον, παρθενείας σφραγὶς, θυμοῦ παιδαγωγία, τύφου καταστολὴ, μνησικακίας καθάρσιον, φθόνου καθαίρεσις, εἰρήνης ἀσφάλεια.

Ὅταν περί τινος ἀγαθοῦ παρακαλέσῃς τὸν Θεὸν, καὶ μὴ εἰσακούσῃ σου παραυτίκα, μὴ ὀλιγωρήσῃς μηδὲ μικροψυχήσῃς. Πολλάκις γὰρ πρὸς τὸ παρὸν οὐ συμφέρει σοι τὸ αἴτημα.

Τὸν εὐχόμενον δεῖ φρόνιμον εἶναι, μὴ λάθῃ τι ἐξάμενος κατ' αὐτοῦ.

Οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν Θεῷ προσέρχωνται. Ὅμοιον δὲ ἔχουσι Θεῷ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

quæ requiruntur cognoscere. An non audis quod Moses cum nihil loqueretur, tacitis suspiriis suis Dominum appellans, exauditus fuerit a Domino dicente: Quid clamas ad me?

Mos enim est dæmonibus orationum tempore, prætextu scilicet bonæ et justæ causæ, urgere nos ad secessum, ut nos a salutari oratione veluti per probabilem, ut videri potest, causam abducant.

S. Chrysost. Magnum bonum est oratio, si grato animo fiat.

Nam cum ex puris labiis prodit oratio et corde non simulato, severam Domini aurem occupare potest.

Bonum est semper cum Deo colloqui per orationem. Nam si boni viri occursus meliorem reddit illum quem convenerit, quanto magis colloquium quod dies noctesque cum Deo fit?

Ignis non ita abstergit æruginem, ut nocturnæ preces peccatorum nostrorum sordes expurgant.

Coram Domino orat, qui animam suam undequaque colligit, et nihil commune habet cum terra, sed intra seipsum migrat, et omnem humanam cogitationem ex anima ejicit.

Ubi oratio et gratiarum actio est, sancti Spiritus gratia accedit, et fugantur dæmones, et omnis contraria potentia aufugit ac discedit.

Προσευχὴ Græcis vocatur, tum quæ verbis fit oratio vel precatio, tum pollicitatio et promissio. Sonora est illa vox et usque ad divinum auditum C ascendens, non quæ 86 cum clamoris aliqua intentione fit, sed quæ per conscientiæ puræ meditationem excitatur.

Si oratio feriæ assiduitati accedat, nullus peccato ad animam accessus patet. Collocata enim Dei memoria in corde, nihil efficit machinis suis adversarius, justitia in omnibus de quibus ambigitur facem præferente.

Oratione acquiritur conversatio Dei, sejungitur autem a Deo, qui non se conjunxerit ei per orationem. Qui vero separatur a Deo, illum prorsus necesse est adversario conjungi.

Oratio custodia est temperantiæ, virginitatis sigillum, iræ castigatio, superbiæ moderatio, animæ memoris injuriarum expiatio, invidiæ demolitio, pacis confirmatio.

Nili. Quando bonum aliquod a Deo petieris, nec ille te statim audierit, noli teipsum negligere, nec animum dejicere. Sæpenumero enim non conducit tibi tua petitio ad præsens tempus.

Isocratis. Orantem oportet sapere, ne quid inscius contra seipsum oret.

Homines tunc fiunt meliores, cum Deum accedunt. Habent autem similia Deo, beneficentiam et veritatem.

SERMO XLVII [*al.* CLXIX].

De actione.

Theologi. Actio est ingressus ad contemplationem.

Æque imperfecta sunt tum actio sine ratione, tum ratio sine actione.

Tacitum opus præstat infecto sermoni.

S. Chrysost. Actio evidentior est sermone, ut visus auditu, et doctrina quæ experimento sive exemplo constat, quam quæ fit ore.

Ex ethnicis. Malam actionem sermo bonus non abscondit; neque bonam actionem maledicentia ladit.

Malorum operum malus dæmon dux est.

Tempus emollit cuncta, et elaborat.

Multarum regum magister est tempus.

Gladii capulis, actiones temporis occasione apprehenduntur.

Statuam ornat figura, virum actio.

Præstat divitiis et voluptatibus multo emptis auro
Hominum justorum et bonorum præsentia.

SERMO XLVIII [*al.* CLXX].

De doctrina quæ tum sermone tum conversatione fit.

Matth. v. Amen dico vobis, quicunque fecerit et docuerit, hic magnus vocabitur in regno cœlorum.

Jac. Omnis homo sit celer ad audiendum, et tardus ad loquendum.

Solomon. In aures insipientis nihil dicas, ne forte prudenter abs te dicta irrideat.

Eccli. XXI. Elocutio stulti est tanquam onus **87** in itinere: in labiis autem prudentis invenietur gratia.

S. Basilii. Ne asperneris narrationem sapientium, et in dictis ipsorum exerceare.

Theologi. Sermo est non opus aut creatura.

Præstat habenas sui committere peritioribus, quam aliorum aurigas esse imperitos: et aures potius præstare benignas, quam linguam indoctam ciere.

Melius est in plana et trita via ingredi, quam salebrosa et invia.

Inexplebile est humanum genus tum loquendo, tum alterum loquentem audiendo.

Non incipientem, sed desinentem sermonem laudare convenit, et ingenium approbare modestum, non autem elatum ac superbum.

S. Chrysost. Melius est bene ignorare, quam male discere.

Sæpe verbis et prava cohortatione vincuntur illi, quos ipsa rerum natura non fefellit.

Non sine periculo aliquid (boni) auditur, cum id deinceps non reipsa præstatur.

Cognitio alia sine ratione est, alia cum ratione. Sunt enim multi qui cognitionem quidem habent, rationem vero nullam.

A

ΛΟΓΟΣ ΜΖ'.

Περὶ πράξεως.

Πρᾶξίς εστιν ἐπίβασις θεωρίας.

Ὁμοίως ἀτελὲς ἄλογος πρᾶξις καὶ λόγος ἄπρακτος.

Ἄφωνον ἔργον κρεῖσσον ἀπράκτου λόγου.

Πρᾶξις λόγου ἐναργεστέρα, ὡς ἀκοῆς ὄψις, καὶ τῆς διὰ στόματος διδαχῆς ἡ διὰ πείρας διδασκαλία.

Φαύλην πρᾶξιν ἐσθλὸς λόγος οὐκ ἀμαυροῖ· οὔτε δὲ πρᾶξιν ἀγαθὴν λόγου βλασφημία λυμαίνεται.

B

Κακῶν πράξεων κακὸς δαίμων ἡγεμών.

Χρόνος μαλάσσει πάντα κἀξεργάζεται.

Πολλῶν ὁ καιρὸς γίνεται διδάσκαλος.

Τὰ μὲν ξίφη ταῖς λαβαῖς, αἱ δὲ πράξεις τοῖς καιροῖς κρατοῦνται.

Ἀνδριάντα μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.

Κρεῖσσον δὲ πλούτου καὶ πολυχρύσου χλιδῆς

Ἀνδρῶν δικαίων κἀγαθῶν παρουσία.

ΛΟΓΟΣ ΜΗ'.

Περὶ διδαχῆς καὶ λόγου καὶ ὁμιλίας.

Ἀμὴν λέγω ὑμῖν, ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

C

Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι.

Εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μή ποτε μυκτηρίσῃ τοὺς συνετούς σου λόγους.

Ἐξήγησις μωροῦ, ὡς ἐν ὁδῷ φορτίον· ἐπὶ δὲ χείλη συνετοῦ εὑρεθήσεται χάρις.

Μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου.

Λόγος ἐστὶν οὐ γέννημα.

Βέλτιον τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις, ἢ ἄλλων ἡνιόχους εἶναι ἀνεπιστήμονας, καὶ ἀκοὴν ὑποτιθέναι μᾶλλον εὐγνώμονι, ἢ γλῶσσαν κινεῖν ἀπαίδευτον

Ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τε-

D τριμμένην ἢ τὴν ἀτριβῆ καὶ τραχεῖαν.

Ἄπληστόν ἐστι τὸ τῶν ἀνθρώπων φῦλον πρός τε τὸ λέγειν, πρός τε τὸ ἑτέρου λέγοντος ἀκούειν.

Λόγον δὲ οὐκ ἀρχόμενον, ἀλλὰ παυόμενον ἐπαινεῖν προσήκει· καὶ τὸ μέτριον ἦθος ἀποδέχεσθαι, καὶ μὴ τὸ μετεωριζόμενον καὶ τετυφωμένον.

Βέλτιον ἀγνοεῖν καλῶς, ἢ μανθάνειν κακῶς.

Πολλάκις οὐ; ἡ τῶν πραγμάτων φύσις οὐχ ὑπεσκέλισε, ῥῆμα καὶ παραίνεσις διεφθαρμένη κατέλυσεν.

Οὐκ ἀκίνδυνον ἡ ἀκρόασις, ὅταν ἡ διὰ τῶν ἔργων προσθήκη μὴ γίνηται.

Ἔστι γνῶσις λόγου χωρὶς, καὶ ἔστι γνῶσις μετὰ λόγου. Καὶ γάρ εἰσι πολλοὶ γνῶσιν μὲν ἔχοντες, λόγον δὲ οὐκ ἔχοντες.

Οὐδὲν ὄφελος κατηχήσεως, ὅταν ἡ διὰ τῶν ἔργων ἐπίδειξις μὴ συμβαίνῃ τοῖς λεγομένοις.

Βουλοίμην δ' ἂν ἐγὼ τῶν ἀγαθῶν τι λεγόντων ἀκούειν μᾶλλον, ἢ λέγειν αὐτός.

Περισσὸς πᾶς λόγος πρὸς διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον νεύουσα σπουδὴ τοῖς μετὰ συμβουλὴν λεγομένοις ἐναντίως διάκειται.

Κατόπτροις ἐοίκασιν οἱ λόγοι, καὶ ὥσπερ ἐν ἐκείνοις ὁ τοῦ σώματος καὶ τῆς μορφῆς ἐμφανίζεται τύπος, οὕτως ἐν ταῖς ὁμιλίαις τὸ τῆς ψυχῆς εἶδος χαρακτηριζόμενον καθορᾶται.

Τότε ἀνύει διδάσκαλος, καὶ πιστεύεται λέγων, ὅταν ἀφ' ὧν πράττει παιδεύῃ, κατὰ τό· « Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. »

Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν ἢ λόγος ἄνευ βίου· ὁ μὲν γὰρ καὶ σιγῶν ὠφελεῖ, ὁ δὲ βοῶν ἐνοχλεῖ. Εἰ δὲ καὶ λόγος καὶ βίος συνδράμειε, φιλοσοφίας ἁπάσης ἀποτελέσουσιν ἄγαλμα.

Πρᾶττε λογικῶς, καὶ λέγε πρακτικῶς.

Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ διδάξεαι· ἂν δὲ κα-
[κοῖσι
Συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκεν.

Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.

Ἐν συλλόγῳ πρῶτος λέγειν μὴ ἐπιτήδευε. Μετὰ γὰρ πλείονας λέγων, ὄψει μᾶλλον τὰ συμφέροντα.

Αἱ μὲν χελιδόνες εὐδίαν ἡμῖν προσημαίνουσιν, οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν.

Μισῶ πονηρὸν, χρηστὸν ὅταν εἴπῃ λόγον.

Τὰ ὦτά σου μὴ πᾶσιν ὑπεχε λόγοις. Λόγος γὰρ κακὸς κακῶν ἔργων ἡγεμών.

Ἴσον ἐκεῖνο παρ' ἐμοὶ κέχρηται, φρονέειν τε εὖ, καὶ τῷ λέγοντι χρηστὰ πείθεσθαι.

Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βαλεῖν ἢ ἀργὸν λόγον.

Οἰνοπίδης, ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστὶ, τοιοῦτον ἔφασκεν εἶναι καὶ τὸν λόγον.

Ῥωμύλος τὸν μὲν κέραμον ἐκ τοῦ κόπου ἔφη δοκιμάζεσθαι, τὸν δὲ ἄνθρωπον ἐκ τοῦ λόγου.

Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

Οὐ πώποτ' ἔργου μᾶλλον εἰλόμην λόγους.

Nihil juvat institutio verbis facta, nisi ipsius operis exhibitio dictis accedat.

Greg. Nyssen. Malim equidem audire dicentes aliquid boni, quam ipse dicere.

Nili. Frustra insumuntur omnia verba ad emendationem, quando animus audientium ad deteriora inclinans, contrarium consultoris sermoni institutum habet.

Photii patriarchæ. Speculo similis est sermo, et sicut in illis repræsentatur species corporis et formæ, ita in colloquiis animæ forma expressa conspicitur.

Didymi. Tum proficit magister, et fidem dicendo facit, cum suis operibus docet, juxta illud : « Quæ cœpit Jesus facere et docere. »

Isidori Pelusiotæ. Vita sine sermone plus juvare potest, quam sermo sine vita. Vita enim juvat etiam tacita, sermo autem clamore suo molestus est. Quod si sermo et vita conveniant, totius philosophiæ simulacrum perficient.

Agito cum sermone, et dicito cum actione.

Theognidis. A bonis etenim bona disces : si vero
[malis
Miscearis, amittes quoque pristinam mentem.

Corpora moderatis laboribus augeri solent, anima vero honestis sermonibus proficit.

In speculis quidem faciei, in colloquiis autem animæ character videtur.

Clitarchi. In conventu ne studeas primus dicere sententiam tuam. Nam si post plures dixeris, magis videbis quæ utilia sunt.

Hirundines quidem serenitatem nobis fore præsagiunt, sermones autem philosophici vacuitatem tristitiæ.

Odi malum quando bonum sermonem dicit.

Aures tuas non cuivis sermoni præbe; malus enim sermo malorum operum dux est.

Herodoti. Æquale hoc apud me judicatur, tum bene sapere, tum bona dicenti obtemperare.

Pythagoræ. Lapidem potius temere projicere debes, quam otiosum sermonem.

Œnopidis. Œnopides talem dicebat sermonem esse hominis, qualis ejus natura esset.

Romyli. Romylus vas fictile ictu et sono, hominem sermone probari dicebat.

Viri character ex verbis ejus noscitur.

Nunquam verba potius quam rem ipsam probavi.

ΛΟΓΟΣ ΜΘ'.

Περὶ νουθεσίας.

Ἰδὲ ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένοιτο.

Παρακαλοῦμεν ὑμᾶς, [ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, καὶ ἀντέχεσθε τῶν ἀσθενούντων, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε.

Βέβαιον μὲν γὰρ μάθημα οὐ πέφυκε παραμένειν·

SERMO XLIX [*al.* L].

De admonitione.

Joan. v. Ecce sanatus es, noli amplius peccare.

II Thess. v. Obsecramus autem vos, fratres, monete inordinatos, consolamini pusillanimes, sublevate infirmos, patientes estote erga omnes, etc. Videte ne quis malum pro malo cuipiam reddat, sed semper quod bonum est sectemini.

S. Basilii. Doctrina violenta non solet permane-

re: quod autem cum delectatione et gratia se insinuat, tenacius quodammodo nostris animis insidit.

S. Chrysost. Conducit peccantes morderi acrimonia verborum, ut ipsa rerum infamia liberentur.

Diogenis. Mortuum medicari, et senem admonere, idem fuerit.

Aristot. Omnes fere libenter admittunt illos qui desideriis ipsorum inserviunt, et eos non modo sibi benevolos arbitrantur, sed solos etiam homines revera esse. Moleste autem ferunt illos a quibus castigantur.

Euripidis. Omnes in admonendo sapimus;
Ipsi vero si quid delinquimus, non agnoscimus.

Æsopi. Æsopus dicebat unumquemque nostrum duas peras secum ferre, unam ante, alteram a tergo: et in anteriori quidem aliorum peccata reponere, in posteriori vero nostra.

Isocratis. Nulli malæ rei defensorem te aut patronum adhibeas. Videberis enim tu quoque ejusmodi facere, si facientibus aliis auxiliator fueris.

89 SERMO L [*al.* CXXXIII].

De disciplina et philosophia.

I Cor. III. Si quis sibi videtur sapiens esse inter vos in sæculo hoc, stultus fiat, ut reddatur sapiens. Etenim sapientia mundi hujus stultitia est apud Deum. Scriptum est enim: Qui comprehendit sapientes in astutia ipsorum. Et rursum: Dominus novit cogitationes sapientum, quod sint vanæ.

Hebr. XII. Si extra disciplinam estis, spurii igitur estis et non filii. Quis enim filius est, quem non castigat pater?

Solomon. Nihil tam pretiosum est quod cum erudita anima permutari debeat.

Prov. III. Fili, ne contemnas disciplinam Domini, neque fastidias cum argueris ab ipso.

Dominus enim castigat quem diligit, et flagellat omnem filium quem suscipit.

Eccli. VI. Fili, in adolescentia tua elige disciplinam, et accede ad ipsam tanquam arans et serens, ac bonos inde fructus exspecta.

Theologi. Confessum esse puto apud omnes sapientes, disciplinam primarium apud nos bonum esse.

Qui vacatis philosophiæ, ne nimium tribuite rationibus, neque plus quam modum et rationem decet argumentis ac sophismatis inhærete: nec ubique velitis improbe vincere, sed alicubi etiam honeste vinci.

Præcipua sapientia est vita laudabilis et expiata Deo.

Prima sapientia est contemnere sapientiam, quæ ratione et verborum strophis, et improbis ac superfluis argumentandi contentionibus nititur.

τὸ δὲ μετὰ τέρψεως καὶ χάριτος εἰσδυόμενον μονιμώτερόν πως ταῖς ψυχαῖς ἡμῶν ἐνιζάνει.

Συμφέρει δάκνεσθαι διὰ τῆς τῶν ῥημάτων ἀλγηδόνος τοὺς ἁμαρτάνοντας, ἵνα διὰ τῆς τῶν πραγμάτων αἰσχύνης ἀπαλλαγῶσιν.

Νεκρὸν ἰατρεύειν, καὶ γέροντα νουθετεῖν ταὐτόν ἐστιν.

Πάντες, ὡς ἔπος εἰπεῖν, τοὺς μὲν ὑπηρετοῦντας αὐτῶν ταῖς ἐπιθυμίαις ἀποδέχονται, καὶ νομίζουσιν οὐ μόνον εὖνους, ἀλλὰ καὶ μόνους ἄνδρας ὡς ἀληθῶς εἶναι· τοῖς δὲ σωφρονίζειν ἐπιχειροῦσιν ἀηδῶς ἔχουσιν.

Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί·
Αὐτοὶ δ' ὅταν ποιῶμεν, οὐ γινώσκομεν.

Αἴσωπος ἔφη, δύο πήρας ἕκαστον ἡμῶν ἐπιφέρειν, τὴν μὲν ὄπισθεν, τὴν δὲ ἔμπροσθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει. Δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, εἰ τοῖς ἄλλοις πράττουσι βοηθεῖς.

ΛΟΓΟΣ Ν'.

Περὶ παιδείας καὶ φιλοσοφίας.

Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι. Γέγραπται γάρ, Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. Καὶ πάλιν, Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι.

Εἰ ἐκτὸς παιδείας ἐστέ, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Τίς γὰρ υἱὸς, ὃν οὐ παιδεύει πατήρ;

Οὐκ ἔστιν ἀντάλλαγμα οὐδὲν πεπαιδευμένης ψυχῆς.

Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος.

Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.

Τέκνον, ἐν νεότητί σου ἐπίλεξαι παιδείαν, καὶ ὡς ἀροτριῶν καὶ σπείρων πρόσελθε αὐτῇ, καὶ ἀνέμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς.

Οἶμαι δὲ πᾶσιν ἂν ὁμολογεῖσθαι τῶν νοῦν ἐχόντων, παίδευσιν τῶν παρ' ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον.

Οἱ περὶ λόγους, μὴ σφόδρα τοῖς λόγοις θαῤῥεῖτε, μηδὲ σοφίζεσθε περισσὰ καὶ ὑπὲρ τὸν λόγον· μηδὲ νικᾷν ἐπιθυμεῖτε πάντα κακῶς, ἀλλ' ἔστιν ἃ καὶ ἡττᾶσθαι καλῶς ἀνέχεσθε.

Σοφία πρώτη βίος ἐπαινετὸς καὶ Θεῷ κεκαθαρμένος.

Σοφία πρώτη σοφίας ὑπερορᾷν, τῆς ἐν λόγῳ κειμένης καὶ στροφαῖς λέξεων, καὶ ταῖς κιβδήλοις καὶ περιττοῖς ἀντιθέσεσιν.

Ἐμοὶ δὲ γένοιτο πέντε λόγους ἐν ἐκκλησίᾳ λα- A λῆσαι μετὰ συνέσεως ἢ μυρίους ἐν γλώσσῃ.

II Cor. XIV. Mihi vero contingat potius quinque verba in ecclesia loqui cum intellectu, quam decem millia per linguam.

Οὐ γὰρ ὁ ἐν λόγοις σοφὸς, οὗτός μοι σοφὸς, οὐδ' ὅστις γλῶσσαν μὲν εὔστροφον ἔχει, ψυχὴν δὲ ἄστατον καὶ ἀπαίδευτον· ἀλλ' ὅστις ὀλίγα μὲν περὶ ἀρετῆς φθέγγεται, πολλὰ δὲ οἷς ἐνεργεῖ παραδείκνυσι, καὶ τὸ ἀξιόπιστον τῷ λόγῳ διὰ τοῦ βίου πραστίθησιν. Κρείσσων γὰρ εὐμορφία θεωρουμένη τῆς λόγῳ ζωγραφουμένης· καὶ πλοῦτος ὃν αἱ χεῖρες κατέχουσιν, ἢ ὄνειροι πλάττουσι· καὶ σοφία οὐχ ἡ τῷ λόγῳ λαμπρυνομένη, ἀλλ' ἡ διὰ τῶν ἔργων ἐλεγχομένη. Σύνεσις γὰρ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτὴν (φησὶν), ἀλλ' οὐ τοῖς κηρύττουσι.

Non illum qui verbis sapit judico sapientem, neque illum cui lingua volubilis, animus autem inconstans est, sed qui parum quidem de virtute loquitur, multa vero re ipsa præstat, et sermoni suo vita factisque fidem conciliat. Nam et pulchritudo subjecta oculis præstat descriptæ verbis, et divitiæ manibus comprehensæ, per somnium apparentibus. Et sapientia non quæ verbis illustratur, sed quæ in operibus deprehenditur, præstabilior est. Intellectus (inquit) bonus est cunctis re et opere declarantibus eum, non autem sermone.

Ἢ γὰρ φιλοσοφητέον, ἢ τιμητέον φιλοσοφίαν, εἴπερ μὴ μέλλοιμεν παντελῶς ἔξω τοῦ καλοῦ πίπτειν, μηδὲ ἀλογίαν κατακριθήσεσθαι, λογικοὶ γεγονότες, καὶ διὰ λόγου πρὸς λόγον σπεύδοντες. B

Aut philosophari oportet, aut honorare philosophiam, si non prorsus ab honesto excidere velimus : et cum rationales facti simus, et ratione feramur ad indagandam rationem, neglectæ amissæque rationis merito damnari.

Σοφώτεροι γὰρ τῶν πολλῶν οἱ κόσμου χωρίσαντες ἑαυτοὺς, καὶ τῷ Θεῷ τὸν βίον καθιερώσαντες.

Qui se a mundo segregarunt, et vitam Deo consecrarunt, hominum vulgo sapientiores sunt.

Οὐδὲν ἀναλωτότερον φιλοσοφίας, οὐδὲν ἀλυπώτερον. Πάντα ἐνδώσει πρότερον ἢ φιλόσοφος. Δύο ταῦτα δυσκράτητα, Θεὸς καὶ ἄγγελος, καὶ τὸ τρίτον φιλοσοφία, ἄϋλος ἐν ὕλῃ, ἐν σώματι ἀπερίγραπτος, ἐπὶ γῆς οὐράνιος, ἐν πάθεσιν ἀπαθὴς, πάντων ἡττώμενος πλὴν φρονήματος, νικῶν τὸ νικᾶσθαι τοὺς κρατεῖν νομίζοντας.

Nihil inexpugnabilius philosophia, nihil tranquillius. Omnia prius cedent quam philosophus. Duo sunt invicta, Deus et angelus; et tertium philosophia. Est enim philosophus quidem non materialis in materia, in corpore autem incircumscriptus, in terra cœlestis, in affectibus imperturbatus, ubique inferior cæteris præterquam animi magnitudine, et cedendo vincens illos qui se vincere putant.

Ἐγὼ μίαν σοφίαν οἶδα, τὸ φοβεῖσθαι Θεόν. Ἀρχή C τε γὰρ σοφίας φόβος Κυρίου· καὶ, Τέλος λόγου τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε.

Unam ego sapientiam novi, timere Deum. Etenim sapientiæ initium est timor Domini. Et alibi : Audi summam sermonis, Deum time, et præcepta ejus observa.

Ἕπεται τῇ γνώσει τὰ ἔργα, ὡς τῷ σώματι ἡ σκιά.

Clementis. Cognitionem opera sequuntur, ut umbra corpus.

Ἀμήχανον τὰ μεγάλα πρὸ τῶν μικρῶν παιδευθῆναι.

Philonis. Non fieri potest ut magna discantur ante parva.

Ὥσπερ γὰρ ὁ ἥλιος ἁπάντων ἐστὶ φῶς τῶν ὄψεις ἐχόντων, οὕτω καὶ ὁ σοφὸς τῶν ὅσοι λογικῆς κεκοινώνηκασι φύσεως.

Sicut sol omnium oculis præditorum lux est, sic etiam sapiens omnium qui rationali natura participant.

Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κενὰς ἔχων φαντασίας.

Isidori. Somnio similis est imperitorum vita, vanas imaginationes habens.

Εὔπλαστον καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς νεωτέραις ψυχαῖς ἀπαλαῖς ἔτι τὰ μαθήματα ἐντίκτεται. Πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται. D

Formatu facilis et mollis est adolescentia; et junioribus ingeniis adhuc teneris disciplinæ innascuntur. Omne autem durum ægre mollitur.

Τὸ πᾶσιν ἀπολογεῖσθαι θεραπευτικὸν καὶ οὐκ ἀξιωματικόν· τὸ δὲ πάντων καταφρονεῖν ὑπερήφανον καὶ ἀνόητον.

Omnibus rationem reddere, servile est et ab auctoritate alienum : omnes autem contemnere, hominis est superbi et stolidi.

Τὸ εἰδέναι τινὰ ὅτι ἀγνοεῖ σοφίας ἐστὶν, ὡς καὶ τὸ εἰδέναι ὅτι ἠδίκησε δικαιοσύνης.

Didymi. Scire quod nescias, scientiæ est, ut agnoscere suam injustitiam, justitiæ.

Τὸν γνωστικὸν οὐδέποτε τὸ πλουτεῖν γήθειν ποιεῖ, οὐδὲ τὸ χρημάτων ἀπορεῖν εἰς ταπείνωσιν ἄγει, τῆς ἀρετῆς καὶ σοφίας αὐτὸν ὑπερυψούσης, καὶ ὑπεράνω αὐτῶν ἱστασθαι παρασκευαζούσης.

Sapientis animum inopia pecuniæ non dejicit, cum virtus et sapientia ipsum extollant, et altiorem pecunia collocent.

Πᾶσα ἐπιστήμη, χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, ἀλλ' οὐ σοφία φαίνεται.

Platonis. Omnis scientia si separetur a justitia et reliqua virtute, calliditas, et non sapientia efficitur.

Ἀντισθένης ἐρωτηθεὶς, τί δήποτ' οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ' ἀνάπαλιν, εἶπεν,

Antisthenis. Antisthenes interrogatus quamobrem divites non irent ad sapientes, sed hi ad illos,

dixit : Quoniam sapientes sciunt quid eis necessarium sit ad vitam, illi vero nesciunt : secus enim sapientiæ potius quam pecuniæ studerent.

Aristot. Demosthenes dixit radicem disciplinæ amarum esse, fructus autem dulces.

Democriti. Disciplina fortunatis quidem ornamentum est, infortunatis autem refugium.

Civitates ornant anathemata, animas vero mathemata.

Socratis. Socrates interroganti quodnam esset pulcherrimum animal, dixit : Homo doctrina ornatus.

Idem cum ei sermo barbarus exprobraretur : Ego quidem, dixit, barbarus sum verbis, vos autem moribus.

Solon. Soloni cum objiceretur quod cum haberet forense negotium, conduxisset **91** oratorem : Atqui, dixit, cum habeo convivium, coquum conduco.

Cleanthis. Cleanthes dicebat homines imperitos sola forma differre a bestiis.

Empedoclis. Empedocles ad quemdam dicentem quod nullum sapientem reperire posset : Non mirum est, dixit : oportet ut ille primum sapiat, qui sapientem quærit.

Theocriti. Theocritus Chius ineptum quemdam poetam recitantem auscultans et interrogatus ab eo, quænam ei placerent ? respondit : Quæ omisisti.

Philosophus quidam cum duos discipulos haberet, alterum quidem laboriosum, sed hebetis ingenii, alterum ingeniosum, sed iguavum : Ambo, dicebat, pereatis ; quoniam tu cum velis, non potes, tu vero cum possis, non vis.

Præstat sero, quam nihil discere.

Agricola terram, philosophus ingenium excolit.

Democriti. Civitatibus mœnia, animis vero mens per disciplinam exculta decus et munimentum præstant.

Cum juvenis in theatro gloriaretur, et sapientem se prædicaret, ut qui multis sapientibus conversatus esset, respondit quidam : Et ego multis divitibus conversatus, non tamen dives sum.

Idem dixit : Non decet doctum inter indoctos loqui, ut neque sobrium inter ebrios.

Œnopidis. Œnopides cum videret adolescentem multos libros conquirere, dixit : Non cistæ, sed pectori.

Socratis. Socrates interrogatus quod in vita suavissimum esset, dixit : Disciplina et virtus, et rerum incognitarum cognitio.

Lasi. Lasus interrogatus quid sapientissimum esset : Experientia, dixit.

Idem cum indoctus quidem pictor ei diceret : Opere tectorio illine domum tuam, ut ipsam depingam, respondit : Minime, sed tu prius eam depinge, ut illinam postea.

Demadis. Rerum ipsarum experientia præstat omni sophisticæ doctrinæ.

A Ὅτι οἱ σοφοὶ μὲν ἴασιν ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον, οἱ δὲ οὐκ ἴασιν, ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἐπεμελοῦντο.

Ἀριστοτέλης τὴν μὲν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικράν, τοὺς δὲ καρποὺς γλυκεῖς.

Παιδεία εὐτυχοῦσι μὲν ἔστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.

Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι δεῖ κοσμεῖν.

Σωκράτης ἐρωτηθείς, τί τῶν ζώων κάλλιστον, ἔφη· Ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

Ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος ὅτι βαρβαρίζει, ἔφη· Ἐγὼ μὲν τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ.

B Σόλων ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, Καὶ γὰρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

Κλεάνθης τοὺς ἀπαιδεύτους ἔφη μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

Ἐμπεδοκλῆς πρὸς τὸν λέγοντα, ὅτι Οὐδένα σοφὸν εὑρεῖν δύναμαι, Κατὰ λόγον, εἶπε· τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.

Θεόκριτος ὁ Χῖος ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιούμενος, ἐρωτώμενος ὑπ' αὐτοῦ ποῖά ἐστιν τὰ καλῶς εἰρημένα, ἔφη· Ἃ παρέλιπες.

Φιλόσοφος ἔχων δύο μαθητὰς, ἕνα μὲν ἀφυῆ, φιλόπονον δὲ, ἕτερον δὲ εὐφυῆ, ἀργὸν δὲ, εἶπεν· Ἀμφότεροι ἀπόλοισθε· ὅτι σὺ μὲν θέλων οὐ δύνῃ, σὺ C δὲ δυνάμενος οὐ θέλεις.

Βέλτιον ὀψιμαθῆ καλεῖσθαι, ἢ ἀμαθῆ.

Ὁ μὲν γεωργὸς τὴν γῆν, ὁ δὲ φιλόσοφος τὴν ψυχὴν ἐξημεροῖ.

Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς κόσμον καὶ ἀσφάλειαν παρέχεται.

Νεανίσκου ἐν θεάτρῳ ἐναβρυνομένου, καὶ λέγοντος σοφὸς εἶναι, πολλοῖς ὁμιλήσας σοφοῖς, εἶπέ τις· Κἀγὼ πολλοῖς πλουσίοις, ἀλλὰ πλούσιος οὐκ εἰμί.

Ὁ αὐτὸς ἔφη· Οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύουσιν. D

Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, ἔφη· Μὴ τῇ κιβωτῷ, ἀλλὰ τῷ στήθει.

Σωκράτης ἐρωτηθείς τί ἥδιστον ἐν τῷ βίῳ, ἔφη· Παιδεία καὶ ἀρετὴ, καὶ ἱστορία τῶν ἀγνοουμένων.

Λάσος ἐρωτηθείς ὑπό τινος τί εἴη σοφώτατον, Πεῖρα, ἔφη.

Ὁ αὐτὸς, ἀφυοῦς ζωγράφου λέγοντος αὐτῷ, Κονίασόν σου τὴν οἰκίαν, ἵνα αὐτὴν ζωγραφήσω, ἔφη· Οὐμενοῦν, ἀλλὰ σὺ πρότερον αὐτὴν ζωγράφησον, ἵνα μετὰ ταῦτα ἐγὼ αὐτὴν κονιάσω.

Ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστί.

Τί ἡ γῆ βαρύτερον βαστάζει; Ἄνθρωπον ἀπαί- A δευτον.

Οἱ πεπαιδευμένοι τόσον διαφέρουσι τῶν ἀπαιδεύτων, ὅσον Θεὸς τῶν ἀνθρώπων.

Κακοῖς συνεχῶς ὁμιλῶν γενήσεται καὐτὸς ἐκείνοις ὅμοιος.

ΛΟΓΟΣ ΝΑ'.

Περὶ ἐπαίνου.

Οὐαὶ ὑμῖν ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι· κατὰ ταῦτα γὰρ ἐποίουν τοὺς ψευδοπροφήτας οἱ πατέρες αὐτῶν.

Ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα.

Δοκίμιον ἀργυρίου καὶ χρυσίου πύρωσις· ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν. B

Μὴ πρὸς ἐπαίνους χαυνωθῶμεν τοὺς ὑπὲρ τὴν ἀλήθειαν.

Αἱ τῶν τιμῶν ὑπερβολαὶ παρασκευάζουσί τινας καὶ τοῦ δέοντος ὑπερφρονῆσαι.

Πρώτη τῶν εὐεργεσιῶν τὸ ἐπαινεῖσθαι τὰ καλά. Ζήλου γὰρ ὁ ἔπαινος πρόξενος, ζῆλος δὲ ἀρετῆς, ἀρετὴ δὲ μακαριότητος, ἡ δὲ τὸ ἄκρον τῶν ἐφετῶν, καὶ πρὸς ὃ τείνει πᾶσα σπουδαίου κίνησις.

Πολλοὶ πολλάκις αὐτὰς τὰς ἀρετὰς διὰ τοὺς πόνους φεύγοντες, διὰ τὴν ἐξ αὐτῶν εὐφημίαν αἱροῦνται πονεῖν.

Οὐ μόνον τὸ μετιέναι καὶ ζηλοῦν ἀρετὴν, ἀλλὰ καὶ τὸ τοὺς μετιόντας ἐπαινεῖν καὶ θαυμάζειν, φέρει τινὰ μισθὸν ἡμῖν οὐ μικρόν. C

Ὥσπερ οὐχ οἱ τὰ φαῦλα πράσσοντες μόνον, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς ἢ καὶ χαλεπωτέρας κοινωνήσουσι κολάσεως· οὕτως οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες καὶ θαυμάζοντες, συμμερισταὶ τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσί· καὶ τοῦτο αὐτὸ ἀπὸ τῆς Γραφῆς ἔστω ἰδεῖν· πρὸς γοῦν τὸν Ἀβραὰμ ὁ Θεὸς ἔλεγε· « Τοὺς εὐλογοῦντάς σε εὐλογήσω, καὶ τοὺς καταρωμένους σε καταράσομαι. »

Ὁ γὰρ ἐπὶ τοῖς κατορθώμασιν ἔπαινος σφοδροτέραν τοῖς κατορθώμασι τὴν πρὸς τὸ κρεῖττον ἐπιθυμίαν προστίθησι.

Σοφόν τινα τῶν καλάκων τινὲς ἐμακάριζον· ὁ δὲ φησι πρὸς αὐτούς· Εἰ μὲν τοῦ ἐπαινεῖν με παύσησθε, ἐκ τῆς ὑμῶν ὑποχωρήσεως μέγα εἶναι ἐμαυτὸν νενόηκα· εἰ δὲ ἐπαινοῦντες οὐ παύεσθε, ἐκ τοῦ ὑμῶν ἐπαίνου τὴν ἐμαυτοῦ ἀκαθαρσίαν στοχάζομαι. D

Ἐπίπλαστος ἔπαινος ἀληθοῦς ἀτιμότερος ψόγου.

Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοί, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

Τὸν μὲν λιβανωτὸν τοῖς θεοῖς, τὸν δὲ ἔπαινον τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ.

Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅ τι ἂν ποιῇς καὶ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

Οἶδε γὰρ πολλοὺς πολλάκις καὶ λωβᾶσθαι τῶν ἀνθρώπων ὁ ἔπαινος. Χαυνοῖ γὰρ τὴν προθυμίαν, καὶ τὸν δρόμον λυμαίνεται. Καὶ ἡγούμενός τις αὐτὸ κατ-

Quidnam gravissimum terra fert? Hominem imperitum.

Docti ab indoctis tantum differunt, quantum Deus ab hominibus.

Si malis sæpe converseris, fies etiam ipse similis eis.

SERMO LI [*al.* LI].

De laude.

Luc. Væ vobis cum laudaverint vos homines. Secundum hæc enim faciebant pseudoprophetis patres eorum.

Jac. III. Eodem ore procedit benedictio et exsecratio.

92 Argenti et auri probatio per ignem fit : vir autem probatur per os laudantium eum.

S. Basilii. Ne nobis simile placeamus propter laudes quæ veritatem excedunt.

Theologi. Nimii honores rediguut aliquos ad nimiam superbiam.

Præcipuum beneficium est in rebus honestis laudari. Laus enim parit æmulationem, æmulatio virtutem, virtus felicitatem, quæ supremum et finis est omnium quæ desiderantur, et quo omnis viri boni motus refertur.

S. Chrysost. Multi sæpe cum virtutes ipsas propter laborem fugiant, gloriæ tamen gratia sequentis eas labores suscipiunt.

Non solum exercere et æmulari virtutem, sed etiam exercentes alios laudare ac admirari, mercedem non exiguam nobis confert.

Quemadmodum non modo qui mala faciunt, sed etiam qui laudant eos, ejusdem aut gravioris quoque participes erunt supplicii : ita qui bonos laudant et admirantur, consortes erunt coronarum quæ illis destinatæ sunt. Exemplum autem et argumentum in Scriptura habemus ; dixit enim Dominus ad Abraham : « Benedicentes tibi benedicam, et exsecrantes exsecrabor. »

Laus enim propter egregia facta auget animi cupiditatem ad meliora in illis qui aliquid bene gesserunt.

Clementis. Ascensatores quidam beatum prædicabant sapientem quemdam ; ille vero dicebat ad eos : Si me laudare destiteritis, ex discessu vestro magnum aliquem meipsum cogitabo ; si vero laudare non desinitis, ex laude vestra meam impuritatem conjicio.

Laus ficta pejor est reprehensione vera.

Venatores quidem canibus venantur lepores, stultos autem plerique capiunt laudibus.

Diis thus, bonis autem viris laudem tribuere convenit.

Fideles tibi existimato non qui dicta factaque tua laudaverint omnia, sed qui peccata reprehendant.

Theodoreti. Multis sæpe hominibus nocet laudatio. Laxat enim animi vigorem, et cursum impedit. Et aliquis ipsum curriculi finem se consecutum

existimans (hæc enim persuasio per laudem se insinuat) currere desinit. et victoriam perdit.

Moschionis. Si bene audire cupis, bene loqui discas. Coneris bene facere, et sic bene audiendi fructum acquires.

Polyæni. Præsentes neque vituperes, neque laudes, hoc enim adulationem, illud **93** inimicitiam parit.

Antagenis. Operam da ut vivus laudabilis, mortuus autem beatus judiceris.

Idem dixit, Cum multi me laudant, tum nullius pretii meipsum existimo; cum vero pauci, bonum et egregium hominem.

Civitatis ornamentum est fortitudo virorum; corporis, pulchritudo; animæ, justitia: his contraria dedecori sunt. Oportet autem virum, et mulierem, et sermonem, et factum, et civitatem, et rem quamlibet, si laude digna sit, laudando honorare, indignam vero vituperio afficere. Æque enim vitiosum et stolidum est, vituperare laudanda, et laudare vituperanda.

SERMO LII [*al.* VIII].

De adulatione.

Luc. VI. Væ quando bene vobis dixerint homines.

Judæ. Hi sunt murmuratores, queruli, juxta concupiscentias suas ambulantes, et os illorum loquitur tumida, admirantes personas, utilitatis gratia.

Per blandiloquentiam decipiunt corda simplicium.

Solomon. Sermones astutorum molles sunt, sed feriunt penetralia viscerum.

Melior est vir qui redarguit, quam qui adulatur.

Isa. Qui vos felices prædicant, seducunt vos, et callem viæ perturbant.

S. Basilii. Fugiamus adulationem et assentationem, et insidiosæ vulpis astutiam et varias fraudes. Nihil enim intolerabilius est recte sapientibus quam vivere ad gloriam, et ad opinionem pluribus ratam respicere, non autem rectam rationem vitæ ducem instituere.

In hoc amicus ab adulatore differt, quod hic quidem conversatur ad voluptatem, ille vero molestis etiam non abstinet.

Theologi. Est enim viri magnanimi, amicorum potius libertatem approbare, quam inimicorum adulationem.

Multo satius est per molestiam parvam utilitatis plurimum conciliare, quam voluptatem sectando totius sortis jacturam inferre.

S. Chrysost. Cum aliqua mutatio fit in deterius, tunc auferuntur adulatorum personæ: tum chorus histrionum, et rei simulatio arguuntur. Aperiuntur omnium ora, exsecrandum, improbum et hominem pessimum vocitant. An non heri assentabaris ei, et manus ejus deosculabaris? Persona hæc

A ειληφέναι τοῦ δρόμου τὸ τέρμα (τοῦτο γὰρ ὁ ἔπαινος ὑπαινίττεται) παύεται τοῦ τρέχειν, καὶ τὴν νίκην ἀπόλλυσι.

Εἰ θέλεις καλῶς ἀκούειν, μάνθανε καλῶς λέγειν· πειρῶ καλῶς πράττειν, καὶ οὕτως καρπώσῃ τὸ καλῶς ἀκούειν.

Παρόντων μὲν μήτε ψέγε, μήτε ἐπαίνει· τὸ μὲν γὰρ ἔχθραν φέρει, τὸ δὲ κολακείαν.

Ζῶν μὲν ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου.

Ὃ αὐτὸς εἶπεν, Ὅταν ἐπαινῶσί με πολλοί, τότε νομίζω μηδενὸς ἄξιος εἶναι· ὅταν δὲ ὀλίγοι, σπουδαῖος ἄνθρωπος.

Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος· ψυχῇ [*f.* δὲ δικαιοσύνη], τὰ δ' ἐναντία τούτων ἀκοσμία. Ἄνδρα δὲ καὶ γυναῖκα καὶ λόγον καὶ ἔργον καὶ πόλιν καὶ πρᾶγμα χρὴ τὸ μὲν ἄξιον ἐπαίνου ἐπαίνῳ τιμᾶν, τῷ δ' ἀναξίῳ μῶμον ἐπιθεῖναι. Ἴση γὰρ ἁμαρτία καὶ ἀμαθία μέμφεσθαί τε τὰ ἐπαινετὰ, καὶ ἐπαινεῖν τὰ ψογητά.

ΛΟΓΟΣ ΝΒ'.

Περὶ κολακείας.

Οὐαὶ, ὅταν καλῶς εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι.

Οὗτοί εἰσι γογγυσταὶ, μεμψιμοίρου, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

Διὰ τῆς χρηστολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων.

Λόγοι κερκώπων μαλακοὶ, οὗτοι δὲ τύπτουσιν εἰς ταμεῖα σπλάγχνων.

Κρείσσων ἀνὴρ ἐλέγχων τοῦ κολακεύοντος.

Οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ὁδῶν ταράσσουσιν.

Φύγωμεν κολακείας καὶ θωπείας, καὶ τῆς ἀρχιλόχου ἀλώπεκος τὸ καρδαλέον καὶ ποικίλον. Οὐδὲν γὰρ χαλεπώτερον τοῖς εὖ φρονοῦσι τοῦ πρὸς δόξαν ζῆν, καὶ τὰ τοῖς πολλοῖς δοκοῦντα περισκοπεῖν, καὶ μὴ τὸν ὀρθὸν λόγον ἡγεμόνα ποιεῖσθαι τοῦ βίου.

Τοῦτο φίλος κόλακος διενήνοχε, τὸ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν, τὸν δὲ μήτε τῶν λυπούντων ἐπέχεσθαι.

Ἔστι γὰρ ἀνδρὸς μεγαλόφρονος φίλων ἐπιλέγεσθαι μᾶλλον ἐλευθερίαν, ἢ ἐχθρῶν κολακείαν.

Πολλῷ βέλτιον βραχέα λυπήσαντα, μέγιστα ὠφελῆσαι, ἢ τὸ πρὸς ἡδονὴν δοῦκονσα, ζημιῶσαι τὴ κεφαλαίῳ.

Ὅταν μεταβολή τις γένηται πρὸς τὸ χεῖρον, τότε τῶν κολάκων ἀφαιρεῖται τὰ προσωπεῖα· τότε ὁ χορὸς ἐλέγχεται τῶν ὑποκριτῶν, καὶ ἡ σκῆψις τοῦ πράγματος. Ἀνοίγεται πάντων τὰ στόματα, ὁ μιαρὸς, λέγοντες, ὁ πονηρὸς, ὁ παμπόνηρος. Θὲ χθὲς αὐτὸν ἐκολάκευες; οὐ τὰς χεῖρας αὐτοῦ κατε-

φίλεις; Προσωπεῖόν ἦν ἐκεῖνα. Ἦλθεν ὁ καιρὸς, καὶ ἔῤῥῳα τὸ προσωπεῖον, καὶ ἀπεφηνάμην τῇ διανοίᾳ.

Νόσος φιλίας ἡ κολακεία.

Τὰς τῶν ἀρχόντων εὐπραγίας μᾶλλον ἢ τοὺς ἄρχοντας αὐτοὺς εἰώθασι θεραπεύειν οἱ πλεῖστοι.

Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ. Διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχει.

Τὰ μὲν ξύλα τὸ πῦρ αὐξάνοντα, ὑπ' αὐτοῦ πυρὸς καταναλίσκεται· ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας ὑπ' αὐτῶν τούτων διαφθείρεται.

Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύσσουσι τοὺς τῶν νεκρῶν ὀφθαλμοὺς, οὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων.

Λαγῷ μὲν κύνα, φίλῳ δὲ κόλακα φύσει πολέμιον ἡγητέον.

Χαίρειν χρὴ τοῖς ἐλέγχουσιν, οὐ τοῖς κολακεύουσιν. Οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διαγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ σκελίζουσιν.

Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν.

Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας. Ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσι.

Ἐπὶ τῆς κολακείας ὥσπερ ἐπὶ τοῦ μνήματος αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται.

Ὁ αὐτὸς ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη· « Τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δ' ἡμέρων κόλαξ. »

Δημοσθένης ἔφη, τὸν κόλακα τοῦτο διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Ἀντισθένης φησίν· Αἱρετώτερον εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα, οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται.

Οἱ μὲν κόρακες τῶν τετελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, οἱ δὲ κόλακες τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσιν.

Ὥσπερ ὁ Ἀκταῖος ὑπὸ τῶν τραφομένων ὑπ' αὐτοῦ κυνῶν ἀπέθανεν, οὕτως οἱ κόλακες τοὺς τρέφοντας κατεσθίουσιν.

Κράτης πρὸς νέον πλούσιον, πολλοὺς κόλακας ἑπισυρόμενον, εἶπε· Νεανίσκε, ἐλεῶ σου τὴν ἐρημίαν.

Ἔλεγχε σαυτὸν ὅστις εἶ, καὶ μὴ πρὸς χάριν
Ἄκου', ἀφαιροῦ δὲ κολάκων παῤῥησίαν.

Χαῖρε τοῖς ἐλέγχουσί σε μᾶλλον ἢ τοῖς κολακεύουσιν· ὡς δ' ἐχθρῶν χείρονας ἐκτρέπου τοὺς κολακεύοντας.

Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς φεύγει τὰς ἀτυχίας.

Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους· ἐξαμβλύνοντες γὰρ τοὺς τῆς ψυχῆς λογισμούς,

erant; nunc tempus venit, in quo personam abjeci, et animi mei sententiam declaravi.

Clementis. Adulatio morbus est amicitiæ.

Plerique magis felicitatem principum quam principes ipsos colere solent.

Plutarchi. Adulatio similis est panopliæ pictæ: 94 delectat enim solum, nihil vero utilitatis præbet.

Ligna quidem augendo ignem ab ipso igne consumuntur: divitiæ autem cum nutriant adulatores, ab his ipsis perduntur.

Quemadmodum corvi cadaverum oculos effodiunt, sic adulatores suis laudibus hominum animos corrumpunt.

Lepori canem, amico adulatorem natura infestum esse cogitandum est.

Gaudendum est commercio reprehendentium, non adulantium; hi enim gratificando dissolvunt et subvertunt nos, illi vero molestiam exhibendo excitant et erigunt.

Vide quinam ex arte adulentur, aut ex benevolentia te colant, ne malis plus tribuas quam bonis.

Odio habeas adulantes, sicut decipientes. Utrique enim, ubi fides eis habetur, credentibus injurii sunt.

Diogenis. In adulatione veluti sepulcro nomen solum amicitiæ inscriptum est.

Idem interrogatus quodnam animalium pessime morderet, dixit: « Ferorum quidem calumniator, cicurum autem adulator. »

Demosthenis. Demosthenes adulatorem in hoc differre dixit a corvo, quod hic mortuos, ille vivos devorat (1).

Antisthenis. Antisthenes inquit: Satius fuerit in corvos incidere, quam adulatores. Illi enim corpus mortui, hi vero animum viventis lædunt.

Epicteti. Corvi cadaverum oculos infestant, adulatores vero viventium animas corrumpunt.

Phavorini. Sicut Actæonem nutriti ab ipso canes occiderunt, ita devorantur ab adulatoribus nutritores eorum.

Crates ad juvenem quemdam locupletem, multos adulatores secum ducentem, dixit: Adolescens, miseret me tuæ solitudinis.

Zenonis. Castiga te quisquis es, nec ad gratiam Audias, sed aufer assentatoribus libertatem.

Pythagoræ. Gaude potius arguentibus te, quam adulantibus; et tanquam deteriores inimicis adulatores aversare.

Socratis. Adulatorum benevolentia tanquam hostibus tergo dato fugit infortunium.

Philonis. Aversare fraudulentos adulatorum sermones, qui eam animæ rationem hebetent, verita-

(1) Apud Græcos lepida paronomasia est inter κόραξ, *corvus*, et κόλαξ, *adulator*.

tem in rebus perspicere non sinunt. Aut enim laudant vituperanda, aut vituperant sæpe quæ omnem laudem excellunt.

Sotionis ex libro Deira. Delphini quousque unda subest comitantur natantes, in littus vero nunquam 95 egrediuntur. Sic adulatores in sereno rerum statu manent: sicut qui amicos ad peregrinationem comites, dum via plana est, deducunt, cum asperior est recedunt.

Dionis. Omnium fere vitiorum turpissima deprehenditur adulatio.

Phocion. Phocion ad Antipatrum dicere solebat: Non potes me et amico et adulatore uti.

SERMO LIII [*al.* LIII].

De vituperio et calumnia.

Matth. v. Beati estis quando probra in vos jecerint et persecuti fuerint.

I Cor. IV. Male audientes benedicimus, conviciis affecti obsecramus.

Prov. x. Abscondunt inimicitiam labia justa: qui autem proferunt convicia, stultissimi sunt.

Sirach. Peccator turbabit amicos, et inter pacificos calumniam projiciet.

Priusquam examines rem, ne accuses; considera primum, et postea reprehende.

S. Basilii. Verba non solent molestiam et dolorem concitare, sed contemptus illius qui convicia dixerit contra nos, et sua cujusque imaginatio.

Illiberales isti cultus magnos dominos comitari solent, apud quos qui nihil proprii boni habent unde innotescant, ex alienis vitiis seipsos commendant.

Tribus simul damnosus est calumniator. Nam et illi quem traducit injurius est, et audientibus eum, et ipse sibi.

Non magna res est reprehendere, imo facillima et cujuslibet volentis: suum vero consilium culpæ apponere, viri pii et cordati est.

Præstat male audire, quam male dicere.

Reprehensionem non vulgares modo, sed etiam præstantissimi incurrunt.

Quemadmodum benedicentia et laudatio principium est amicitiæ, sic maledicentia et calumnia inimicitiæ et odio, et infinitis malis initium et ansam præbet.

S. Chrysost. Fieri non potest ut qui virtute præditi sunt apud omnes bene audiant.

Si qui temere aures præbent, venia indigni sunt, quomodo illi se defendent qui calumnias et convicia proferunt?

Ne doleamus male audientes, nisi merito male audiamus.

Plurimi suis peccatis patrocinantur, accusant autem aliena.

Maximi. Calumniatori aures ne præbeas, ne duplex peccatum cum illo committas, tum teipsum

A οὐ συγχωροῦσι τῶν πραγμάτων τὴν ἀλήθειαν. Ἡ γὰρ ἐπαινοῦσι τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνων κρείττονα.

Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι, πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκέλλουσιν· οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσι, καὶ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν· ἐπειδὰν δὲ εἰς τραχεῖαν βλάσσιν, ἀπίασιν.

Πασῶν γὰρ τῶν κακιῶν αἰσχίστην ἄν τις εὕροι τὴν κολακείαν.

Φωκίων εἰώθει λέγειν πρὸς Ἀντίπατρον· Οὐ δύνασαί μοι καὶ φίλῳ καὶ κόλακι χρήσασθαι.

ΛΟΓΟΣ ΝΓ'.

Περὶ ψόγου καὶ διαβολῆς.

B Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν.

Λοιδορούμενοι, εὐλογοῦμεν· βλασφημούμενοι, παρακαλοῦμεν.

Καλύπτουσιν ἔχθραν χείλη δίκαια· οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσι.

Ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀνὰ μέσον εἰρηνευόντων βαλεῖ διαβολήν.

Πρὶν ἐξετάσῃς, μὴ μέμψῃ. Νήησον πρῶτον, καὶ τότε ἐπιτίμα.

Οὐ τὰ ῥήματα πέφυκε τὰς λύπας κινεῖν, ἀλλ' ἡ κατὰ τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία, καὶ ἡ ἑκάστου αὐτῶν φαντασία.

Πεφύκασί πως ταῖς μεγάλαις δυναστείαις αἱ ἀνελεύθεροι αὗται παραφύεσθαι θεραπεῖαι, αἱ διὰ τὸ ἀπορεῖν οἰκείου ἀγαθοῦ δι' οὗ γνωρισθῶσιν, ἐκ τῶν ἀλλοτρίων κακῶν ἑαυτοὺς συνιστῶσιν.

C Τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προστρίβεται ὁ διαβάλλων· τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ, καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτῷ, καὶ αὐτὸς ἑαυτόν.

Τὸ μὲν ἐπιτιμᾷν οὐ μέγα· ῥᾷστον γὰρ καὶ τοῦ βουλομένου παντός· τὸ δὲ ἀντεισάγειν τὴν ἑαυτοῦ γνώμην ἀνδρὸς εὐσεβοῦς καὶ νοῦν ἔχοντος.

Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.

Ἅπτεται οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος.

Ὥσπερ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν ἀρχὴ φιλίας ἐστὶν, οὕτω τὸ κακῶς λέγειν καὶ διαβάλλειν, D ἔχθρας καὶ ἀπεχθείας καὶ μυρίων κακῶν ἀρχὴ καὶ ὑπόθεσις γέγονε.

Οὐ δυνατὸν τοὺς ἐν ἀρετῇ ὄντας παρὰ πάντων ἀκούειν καλῶς.

Εἰ οἱ παραδεχόμενοι ἀκοὴν ματαίαν οὐκ ἂν τύχοιεν συγγνώμης, οἱ διαβάλλοντες καὶ λοιδοροῦντες ποίαν ἕξουσιν ἀπολογίαν;

Μὴ τῷ κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλὰ τῷ δικαίως ἀκούειν κακῶς.

Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι.

Ἐπιστόμιζε τὸν διαβάλλοντα ἐν ἀκοαῖς σου, ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς, καὶ σαυ-

τὴν ὀλεθρίῳ πάθει ἐθίζων, κἀκεῖνον κατὰ τοῦ πλησίον φλυαρεῖν οὐκ ἀνακόπτων.

Ὃς εὐχερῶς τὰς ἀλλοτρίας διαβολὰς ἀποδέχεται, οὐδὲ τῶν ὁμοίων αὐτὸς ἀπέχεται πράξεων. Ἡ γὰρ ἐργασία τοῦ ἐπαγγέλματος εἰς κοινωνίαν φιλεῖ καθέλκειν καὶ τὸν ἀναίτιον.

Γλῶσσα βλάσφημος διανοίας κακῆς ἔλεγχος.

Καθάπερ ἡ Αἰσώπειος ἀλεκτορὶς, πρὸς τὴν αἴλουρον ὡς δὴ κατ' εὔνοιαν, αὐτῆς νοσούσης, ὅπως ἔχει πυνθανομένης, Καλῶς, εἶπεν, ἂν σὺ ἀποστῇς· οὕτω πρὸς τοιοῦτον ἄνθρωπον ἐμβαλόντα λόγον ὑπὲρ τῆς διαφορᾶς, καὶ πυνθανόμενον καὶ ὑπορύττοντα τῶν ἀποῤῥήτων ἔνια χρὴ λέγειν· Ἀλλ' ἔμοιγε πρᾶγμα πρὸς ἀδελφὸν οὐδὲν, ἂν μήτε ἐγὼ τοῖς διαβάλλουσι προσέχω, μήτε ἐκεῖνος.

Ψίθυρον καὶ διάβολον ἄνδρα μὴ προσδέχου· οὐ γὰρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ. Ὡς γὰρ τὰ τῶν ἄλλων ἀπόῤῥητα ἀπεκάλυψέ σοι, ὡσαύτως καὶ τὰ ὑπὸ σοῦ λεγόμενα ἑτέροις ἀναθήσεται.

Ὑπὸ πολλῶν διαβάλλεσθαι κακῶν οὔτε ἀληθὲς οὔτε βλαβερόν· τὸ δὲ ὑφ' ἑνὸς ἀγαθοῦ ψέγεσθαι καὶ ἀληθὲς, καὶ λυσιτελές.

Τινὸς σοφιστοῦ αἰτιωμένου αὐτὸν, καὶ λέγοντος, Διὰ τί με κακῶς λέγεις; Ὅτι μὴ καταφρονεῖς, ἔφη, τὸν κακῶς λέγοντα.

Πελοπίδου ἀνδρείου στρατιώτου διαβληθέντος τῷ Δημώνακτι, ὡς βλασφημοῦντος αὐτὸν, Ἐγὼ τὰ μὲν ἔργα, ἔφη, αὐτοῦ βλέπω, τὸν δὲ λόγον οὐκ ἤκουσα. *Al.* Πελοπίδας ἀνδρείου στρατιώτου διαβληθέντος αὐτῷ, ὡς βλασφημοῦντος, κ. τ. λ.

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
Ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν.
Καὶ γὰρ ὁ λοιδορῶν, ἂν ὁ λοιδορούμενος
Μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν.

Ὅστις διαβολαῖς γε πείθεται ταχὺ,
Ἤτοι πονηρὸς αὐτός ἐστι τοῖς τρόποις,
Ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Πολλοὶ γοῦν ἤδη μείζω κακὰ πεπόνθασιν ὑπὸ τῶν διαβολῶν ἢ τῶν πολεμίων. Καὶ πολλοὶ ἤδη μείζω ἠδίκηνται ὑπὸ τῆς τῶν ὤτων ἀσθενείας, ἢ ὑπὸ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.

Κακουργότερον οὐδὲν διαβολῆς ἐστί που.
Λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον,
Μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.

Ὁ διαβαλὼν φίλον μὴ εὐδοκιμείτω, κἂν ἀληθῆ λέγῃ.

Εἰπόντος αὐτῷ τινος, Ὁ φίλος σε λάθρα λοιδορεῖ, εἶπε· Μὴ ἔλεγχε αὐτὸν, ἐπεὶ φανερῶς αὐτὸ ἔχει ποιεῖν.

Ὁ μὲν ἀγαθὸς δρομεὺς τῆς ὑσπληγγος εὐθὺς καταπεσούσης, μόνου τοῦ πρόσω ἐφιέμενος, καὶ τὴν διάνοιαν ἀποτείνας πρὸς τὸ τέρμα, καὶ ποσὶ τὴν ἐλπίδα τῆς νίκης ἔχων, τῷ πλησίον οὐδὲν κακουργεῖ, οὐδέ τι τούτου κατὰ τοὺς ἀγωνιστὰς πολυπραγμονεῖ· ὁ δὲ κακὸς ἐκεῖνος καὶ ἀναθλος ἀνταγωνιστὴς, ἀπογνοὺς τὴν ἐκ τοῦ τάχους ἐλπίδα, ἐπὶ τὴν κακοτε-

A pernicioso affectui assuefaciens, 96 tum illum adversus proximum nugari non impediens.

Photii patriarchæ. Qui facile alienas calumnias admittit, ne ipse quidem simillibus factis abstinet. Nam ipsa calumniantium admissio innocentem quoque qui admittit in societatem detrahere solet.

Plutarchi. Lingua blasphema malæ mentis indicium est.

Quemadmodum Æsopica illa gallina cum ægrotaret, ad felem interrogantem eam tanquam ex benevolentia, quomodo valeret, Recte, dixit, si tu discedas: sic ad ejusmodi hominem, qui super dissensione sermonem movet, et interrogat, et secreta aliqua suffodit, dicendum est: Atqui mihi ego in B fratre desidero, si nec ipse calumniantes audiam, nec ille.

Socratis. Loquacem et calumniatorem ne admittas: non enim ex benevolentia id facit, sed ut aliorum arcana tibi detexit, similiter etiam quæ tu dixeris exponet aliis.

Moschionis. A multis malis traduci, neque verum, neque damnosum est: ab uno autem bono reprehendi, et verum et utile est.

Demonax. Cum sophista quidam culparet eum, et diceret: Cur mihi maledicis? respondit: Quoniam tu maledicentem non contemnis.

Cum Pelopides strenuus miles apud Demonacten traductus esset, ut qui convicia in eum diceret: Ego, inquit, opera ejus respicio, sermonem vero non audivi. C

Nihil suavius, neque magis musicum
Est, quam convicia ferre posse.
Nam convicia, si is contra quem dicuntur
Dissimulet, in sui auctorem recidunt.
(*Philemonis.*)

Quisquis statim fidem habet calumniis,
Aut moribus improbis præditus est,
Aut ingenium prorsus habet puerile. (*Menandri.*)

Rhegini. Multi jam majoribus malis affecti sunt per calumnias quam hostes. Et multi jam magis læsi sunt ob aurium infirmitatem, quam hostium insidias.

Nihil usquam malignius est calumnia. D
Hæc enim ubi clam aliquem a se persuasum decepit,
Odium excitat adversus eum qui nihil est commeritus.

Sexti. Qui calumniatur amicum, non laudetur, licet vera dixerit.

Chrysippi. Cum quidam ei dixisset: Amicus clam te traducit, respondit: Ne reprehendas eum; licet enim hoc illi etiam patam facere.

Luciani. Bonus quidem cursor, ut primum currendi signum datum est, nihil quam pergere desiderans, et animum ad metam convertens, et in pedibus victoriæ spem collocans, nihil mali molitur in proximum, neque quidquam de ipso 97 curat inter certatores; malus vero et ignavus antagonista, de celeritate sua desperans, ad malas artes se vertit,

et hoc unum præ omnibus spectat, ut currentem A quovis modo retardet ac impediat, ut qui vincere nequeat, si hoc omiserit.

χείαν τρέπεται, καὶ τοῦτο μόνον ἐξ ἁπάντος σκοπεῖ, ὅπως τὸν τρέχοντα ἐπισχών, ἢ ἐμποδίσας ἐπιστομῇ, ὡς, εἰ τούτου διαμάρτοι, οὐκ ἂν ποτε νικῆσαι δυνάμενος.

Dionysii regis. Dionysius rex cum audivisset duos adolescentes multa contumeliosa de ipso et tyrannide inter compotandum dixisse, utrosque vocavit ad cœnam. Cum videret autem alterum ex temulentia petulantem et multa nugantem, alterum vero modeste et caute bibentem, illum ut natura ebriosum et stolidum dimisit, hunc vero interfecit tanquam ex animi proposito malevolum et inimicum.

Διονύσιος ὁ βασιλεὺς ἀκούσας δύο νεανίσκους πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος εἰρηκέναι παρὰ πότον, ἀμφοτέρους ἐκάλεσε περὶ δεῖπνον· ὁρῶν δὲ τὸν μὲν παροινοῦντα καὶ ληροῦντα πολλὰ, τὸν δὲ κοσμίως μετ' εὐλαβείας ταῖς πόαις χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν ὡς φύσει παροινήσαντα, τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν καὶ πολέμιον ἐκ προαιρέσεως.

Alexandri. Alexander cum epistolam contra medicum suum accepisset, utpote insidiantem ei, et jam esset in ipso tempore bibendi veneni, adeo non credidit traducenti, ut simul et epistolam legerit, et venenum hauserit.

Eumdem dicunt cum familiaris quidam traduceret apud eum, alteram aurem obstruxisse manu, scilicet ut illam puram absenti relinqueret.

Ἀλέξανδρος ἐπιστολὴν κατὰ τοῦ ἰατροῦ δεξάμενος, ὡς ἐπιβουλεύοντος, ἐπειδὴν ἔτυχεν ἐν αὐτῷ καιρῷ φάρμακον ὥστε πιεῖν, τοσοῦτον ἀπέσχε πιστεῦσαι τῷ διαβάλλοντι, ὥστε ὁμοῦ τε ἐπιστολὴν ἀνεγίνωσκε, καὶ τὸ φάρμακον ἔπινεν.

Τὸν αὐτὸν φασι διαβαλλομένου τινὸς τῶν συνήθων, τὴν μὲν ἑτέραν τῶν ἀκοῶν ἐπιμελῶς ἐπιφράξασθαι τῇ χειρὶ, ἀκεραίαν δηλονότι ταύτην διασώζοντα τῷ μὴ παρόντι.

Cleobulus illam civitatem maxime dixit bene compositam esse, ubi infamiam magis quam legem cives metuant.

Κλεόβουλος μάλιστα σωφρονεῖν ἔφη, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν, ἢ τὸν νόμον.

Convitiorum reprehensio non attingit illos qui secundum virtutem vivunt.

Τῶν κατ' ἀρετὴν ζώντων ὁ τῆς λοιδορίας μῶμος οὐχ ἅπτεται.

Diogenes. Cum a calvo quodam convicio afficeretur: Tibi contumeliam, inquit, non dico, sed capillos tuos laudo, quod malam effugerint calvam.

Λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· Σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὴν C ἐξέφυγον χρανίον.

Cum proditor quidam ei malediceret: Gaudeo (inquit) me factum inimicum tuum: non enim inimicis, sed amicis male facis.

Προδότου δέ τινος κακῶς αὐτὸν λέγοντος ἔφη· Χαίρω ἐχθρός σου γενόμενος. Οὐ γὰρ οὐ τοὺς ἐχθροὺς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

Aristippi. Aristippus cum contumelia a quodam afficeretur, secedebat: maledico autem persequente, ac dicente, Fugis? Etiam, inquit: nam tu male dicendi potestatem habes, ego vero non audiendi.

Ἀριστιππος ὑβριζόμενος ὑπό τινος ἀνεχώρει· τοῦ δὲ ἐπιδιώκοντος, καὶ λέγοντος, Φεύγεις; Ναὶ, ἔφη· τοῦ μὲν γὰρ κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ.

Demosth. Demosthenes cum quidam ei convicium faceret: Non descendo, inquit, in certamen, in quo victus victore superior est.

Δημοσθένης λοιδορουμένου τινὸς αὐτὸν, Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα, ἐν ᾧ ὁ νικώμενος τοῦ νικῶντός ἐστι κρείττων.

SERMO LIV [*al.* LXXXIV].

De memoria.

ΛΟΓΟΣ ΝΔ'.

Περὶ μνήμης.

Luc. XXII. Hoc est corpus meum, quod pro vobis traditur. Hoc facite in mei memoriam.

Τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ἡμῶν διδόμενον. Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.

Apost. Memores estote Jesu Christi a mortuis excitati. D

Μνημονεύετε Ἰησοῦν Χριστὸν, ἐγηγερμένον ἐκ νεκρῶν.

Prov. X. Memoria justorum cum laude, nomen autem impiorum extinguitur.

Μνήμη δικαίου μετ' ἐγκωμίων, ὄνομα δὲ ἀσεβῶν σβέννυται.

Eccli. VII. In omnibus operibus tuis memento finis tui, et non peccabis.

Ἐν πᾶσι τοῖς ἔργοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ οὐχ ἁμαρτήσεις.

S. Basilii. Non fieri potest ut a justa via declinent, nisi qui Dei oblivionem animo ægri patiuntur.

Ἀμήχανον ἐκτραπῆναι τῆς δικαίας ὁδοῦ μὴ λήθην Θεοῦ ταῖς ψυχαῖς νοσήσαντας.

Memoria est cogniti reservatio, reminiscentia autem elapsi recuperatio.

Μνήμη ἐστὶν ἡ τοῦ γνωσθέντος τήρησις, ἀνάμνησις; δὲ ἡ τοῦ ἀπελθόντος ἀνάληψις.

Theologi. Dei memoria magis necessaria est quam respiratio.

Μνημονευτέον Θεοῦ μᾶλλον ἢ ἀναπνευστέον.

Deum operibus cole, verbis lauda, mente venerare.

Τὸν Θεὸν ἔργοις μὲν σέβου, λόγοις δὲ ὕμνει, ἐννοίᾳ δὲ τίμα.

Clementis. Evidens memoria mortis ciborum ap-

Μνήμη θανάτου ἐναργὴς περιέκοψε βρώματα·

βρωμάτων δὲ ἐν ταπεινώσει κοπέντων συνεξικόπησαν πάθη. A petitum aufert: ablatis autem cibis eum humiliatione simul auferuntur et excinduntur affectus.

Πλάτων ἔλεγε τοὺς μὲν νέους σφόδρα, καὶ τοὺς γέροντας ἀμνήμονας εἶναι· ὑποῤῥεῖν γὰρ τῶν μὲν διὰ τὴν αὔξησιν, τῶν δὲ διὰ τὴν φθίσιν.

Platonis. Plato dicebat, tum valde juvenes tum senes obliviosos esse: præterfluere enim imagines memoriæ, his propter imminutionem, illis propter incrementum corporis.

Ἐὰν ἀεὶ μνημονεύῃς, ὅτι ᾧ ἐργάζῃ κατὰ ψυχὴν ἢ σῶμα Θεὸς παρέστηκεν ἔφορος, ἐν πάσαις σου ταῖς προσευχαῖς καὶ ταῖς πράξεσιν οὐ μὴ ἁμάρτῃς, ἕξεις δὲ τὸν Θεὸν σύνοικον.

98 Si semper memineris, quod operi abs te gerendo, sive per animam sive per corpus, Deus assistat spectator, in omnibus tuis et precibus et actionibus non errabis, sed Deum habebis tibi familiarem.

Ὡς ἡδὺ τὴν θάλασσαν ἀπὸ γῆς ὁρᾷν, οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων.

Ut jucundum est mare a terra prospicere, ita jucundum est servato meminisse laborum.

ΛΟΓΟΣ ΝΕ'.

Περὶ ψυχῆς.

SERMO LV [*al.* CLXVII].

De anima.

Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας αὐτὴν ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. B

Matth. x. Qui invenit animam suam, perdet eam: et qui eam perdiderit propter me, inveniet eam.

Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.

II Cor. IV. Quamvis externus noster homo corrumpitur, internus tamen renovatur de die in diem.

Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ.

Prov. XI. Omnis anima benedicta simplex.

Ἔκβασις τῶν παρανόμων κακή. Τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται.

Exitus iniquorum malus est. Abolent enim animam suam impietate.

Τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου, καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν τάξιν [*al.* ἀξίαν] αὐτῆς.

Sirach x. Fili, per mansuetudinem gloriam animæ tuæ concilia, et eam honore quem meretur affice.

Ψυχῆς θησαύρισμα σώματος ἔνδεια. Τούτου γὰρ πλουτοῦντος, ἐκείνη πένεται.

S. Basilii. Animæ thesaurus est penuria corporis. Hoc enim ditato, illa inops est.

Δέχεται μὲν γὰρ ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα· μεταλαμβάνει δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψυχή. C

Corpus enim vitam ab anima recipit: anima vero dolorum corporis particeps fit.

Αἵματι καὶ πνοῇ κρατεῖται ἡ ψυχή. Τούτων γὰρ ἐκλειπόντων ἀναχωρεῖ καὶ ἡ ψυχή.

Sanguine et spiritu continetur anima. His enim deficientibus anima quoque discedit.

Οὐ μόνον ἄγγελοι τὰ καθ' ἡμᾶς βλέπουσιν, ἀλλὰ καὶ πάντων ἁγίων αἱ ψυχαί.

Non solum angeli res nostras conspiciunt, sed omnium quoque sanctorum animæ.

Τί σοι θέλεις γενέσθαι; ψυχήν ἐμὴν ἐρωτῶ. Τί σοι μέγα, ἢ τί μικρὸν τῶν τιμίων; Κράτει σου. Ζήτει μόνον προθύμως τι λαμπρὸν, καὶ δώσομεν.

Theologi. Quid tibi vis fieri? sic animam meam interrogo. Quid tibi magnum, aut quid parvum inter res optabiles? Impera tibi. Pete splendidum aliquid, et dabimus.

Σῶμα μὲν εὐεκτεῖ καμνούσης ψυχῆς· ψυχὴ δὲ θάλλει καὶ ἄνω βλέπει, τῶν ἡδονῶν ὑποβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι.

Corpus quidem anima laborante bene habitum est: anima vero floret ac erigitur quando voluptates abscedunt, et simul cum corpore marcescunt.

Τρέφεται μὲν διὰ ψυχῆς σῶμα, κοινωνεῖ δὲ διὰ σώματος πάθους ἡ ψυχή.

Corpus quidem ab anima nutritur, anima vero passionis particeps efficitur a corpore.

Ὑποχωροῦσα τοῦ σώματος ἡ ψυχή, ἐν συναισθήσει γίνεται τοῦ μέλλοντος αὐτὴν διαδέχεσθαι ἀγαθοῦ ἢ κακοῦ, ἀλλὰ καὶ αἰσθάνεται τῶν ἐντεῦθεν εἰς αὐτὴν τελουμένων· αἱ δὲ τῶν δικαίων καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν δύνανται. D

Anima cum a corpore discedit, præsentit quod adventurum ei est bonum aut malum, et quæ hinc in ipsam conferenda sunt: justorum autem animæ etiam intercedere pro nobis possunt.

Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μέλλοντος αὐτῇ καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ ἀποτεθέντος ἢ οὐκ οἶδ' ὅ τι καὶ λέγειν χρὴ, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς Δεσπότην· ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐντεῦθεν βίον ἀποφυγοῦσα, καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ

Sapientium dictis fidem habeo, quod omnis anima bona et pia, postquam astricto sibi corpore soluta hinc discesserit, mox sentiens et contemplans eventurum sibi bonum, utpote illo quod tenebras offundebat expurgato, sive deposito, sive quocunque alio modo dicendum est, mirifica quadam voluptate mulcetur, et exsultat, et placida ad Dominum suum proficiscitur, a præsenti vita veluti carcere quodam gravi refugiens, et injecta sibi vincula decutiens, a quibus mentis ala detrahe-

batur, et jam quodammodo 99 per imaginationem destinata sibi felicitate fruitur.

S. Chrysost. Omnia duplicia naturæ nostræ Deus dedit, binos oculos, binas aures, binas manus, binos pedes: si alterutra pars e duabus læsa fuerit, necessitati per alteram inservimus: animam vero unam dedit nobis; hanc si perdiderimus, quid superest quocum in vita maneamus?

Anima est substantia quædam incorporea et immortalis.

Anima est substantia genita, substantia viva intelligibilis.

Clitarchi. Animæ tanquam ducis, corporis vero tanquam militis curam habe.

Philistionis. Anima sapientis Deo conjungitur. Animam non mors, sed mala vita perdit.

Zaleuci. Unumquemque igitur habere et parare oportet animam suam, ab omnibus malis puram. Etenim Deus non colitur ab homine malo, neque placatur sumptibus, neque tragœdiis capitur, sed bona voluntate bonorum et justorum operum.

Democr. Convenit homines animæ magis quam corporis rationem habere.

Epicteti. Magis necessarium est animæ quam corpori mederi. Præstat enim mori quam male vivere.

SERMO LVI [*al.* CXLVI].

De medicis.

Luc. v. Non opus habent medico sani, sed male affecti.

Hebr. XII. Facite ut recti sint gressus pedibus vestris, ne claudicatio aberret a via, imo sanetur potius.

Solomon. Vir lepis et mansuetus medicus est cordis.

Eccli. XXXVIII. Scientia medici extollet caput ejus, et coram principibus in admiratione habebitur.

S. Basilii. Neque prorsus fugienda est ars medica, nec omnem in ea spem collocare decet. Verum ut agriculturam exercemus quidem, petimus autem fructus a Deo, et gubernatori quidem committimus temonem, Deum autem obsecramus ut e pelago servemur: sic etiam introducentes medicum, in Deum sperare ne desinamus.

Imperitus medicus ad ægrotos ingressus, pro restitutione ipsorum in sanitatem, exiguas etiam virium reliquias adimit.

S. Chrysost. Veteres medicos existimo non simpliciter, neque temere statuisse, ut variarum operationum exhibitio publica fieret, sed ut sanos ita redderent tutiores.

Illum qui non est medicus præstat non habere medicamen. Nam ille qui habet perdit, nesciens quomodo eo uti debeat.

100 *Gregor. Nyss.* Quanto præstantior est anima quam corpus, tanto majoris pretii est qui medetur animis quam qui corpora curat.

Didymi. Perfectum medicum dicimus, non qui

A τῆς διανοίας πτερὸν καθείλκετο· καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα.

Πάντα διπλᾶ δέδωκεν ἡμῖν ὁ Θεὸς τῇ φύσει, δύο ὀφθαλμοὺς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας· ἐὰν ὁπότερον τούτων βλαβῇ, διὰ τοῦ ἑτέρου τὴν χρείαν παραμυθούμεθα· ψυχὴν δὲ μίαν δέδωκεν ἡμῖν· ἐν ταύτην ἀπολέσωμεν, μετὰ τίνος ἐμβιοτεύσομεν;

Ψυχή ἐστιν οὐσία τις ἀσώματος καὶ ἀθάνατος.

Ψυχή ἐστιν οὐσία γεννητὴ, οὐσία ζῶσα νοερά.

Τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ· τοῦ δὲ σώματος ὡς στρατιώτου προνόει.

B Ψυχὴ σοφοῦ ἁρμόζεται πρὸς Θεόν. Ψυχὴν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλὰ κακὸς βίος.

Ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν ἑαυτοῦ ψυχὴν πάντων καθαρὰν τῶν κακῶν. Ὡς γὰρ οὐ τιμᾶται Θεὸς ὑπ' ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις, οὐδὲ τραγῳδίαις τῶν ἁλισκομένων, ἀλλ' ἀγαθῇ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων.

Ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι.

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον.

ΛΟΓΟΣ ΝϚ'.

Περὶ ἰατρῶν.

C Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

Τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

Πραΰθυμος ἀνὴρ καρδίας ἰατρός.

Ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἐναντι μεγιστάνων θαυμαστωθήσεται.

Οὔτε φευκτέον πάντη τὴν τέχνην, οὔτ' ἐπ' αὐτὴν πάσας τὰς ἐλπίδας ἔχειν ἀκόλουθον. Ἀλλ' ὡς χερσὶ μεθα μὲν τῇ γεωργικῇ, αἰτούμεθα δὲ παρὰ τοῦ Θεοῦ τοὺς καρποὺς, καὶ τῷ κυβερνήτῃ μὲν τὸ πηδάλιον ἐπιτρέπομεν, τῷ Θεῷ δὲ προσευχόμεθα ἐκ τοῦ πελάγους ἀποσωθῆναι· οὕτω καὶ ἰατρὸν εἰσάγοντες τῆς D πρὸς Θεὸν ἐλπίδος μὴ ἀφιστώμεθα.

Ἀνεπιστήμων ἰατρὸς πρὸς κάμνοντας εἰσιὼν, ἀντὶ τοῦ εἰς ὑγείαν αὐτοὺς ἐπανάγειν, καὶ τὸ μικρὸν λείψανον τῆς δυνάμεως ἀφαιρεῖται.

Οἶμαι τοὺς ἀρχαίους τῶν ἰατρῶν οὐχ ἁπλῶς οὐδὲ ἀλόγως νομοθετῆσαι, δημοσιεύεσθαι τὴν τῶν ποικίλων ἐργασιῶν ἀπόδειξιν, ἀλλ' ἵνα τοὺς ὑγιαίνοντας ἀσφαλίζωνται.

Τὸν γὰρ οὐκ ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακον. Ὁ μὲν οὖν μὴ ἔχων ἀπόλλυσιν, οὐκ εἰδὼς ὅπως χρήσεται.

Ὅσῳ κρείττων ψυχὴ τοῦ σώματος, τοσούτῳ τιμιώτερος τῶν τὰ σώματα θεραπευόντων ὁ τὰς ψυχὰς ἐξιώμενος.

Τέλειον ἰατρὸν λέγομεν οὐ τὸν θεραπεύοντα πάν-

τως, ἀλλὰ τὸν μηδὲν εἰς ὠφέλειαν ἀνηκόντων καὶ θεραπείαν παραλείποντα.

Ἰατρὸν καὶ φίλον ἡγοῦ τοὺς ἐν ἀνάγκαις σπουδαίους.

Νικοκλῆς τοὺς ἰατροὺς εὐτυχεῖς ἔλεγεν, ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ, τὰς δὲ ἀποτυχίας ἡ γῆ καλύπτει.

Στρατόνικος ἰατρὸν κολακεύων ἔλεγεν, Ἐπαινῶ σου τὴν ἐμπειρίαν, ὅτι οὐκ ἐᾷς τοὺς ἀῤῥώστους κατασαπῆναι, τάχιον αὐτοὺς τοῦ ζῆν ἀπαλλάσσων.

Τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον ἢ παραπεσοῦσαν ἰασαμένοις. Τοῦ γὰρ ἀπηλλάχθαι κακοῦ τὸ μὴ πάσχειν αἱρετώτερον.

Τοῖς μὲν νοσοῦσιν ἰατροὺς, τοῖς δὲ ἀτυχοῦσι φίλους δεῖ συμπαρεῖναι.

Καὶ ἰατρὸν καὶ φίλον οὐ τὸν ἥδιον [*f.* ἡδίω], ἀλλὰ τὸν ὠφελιμώτερον δεῖ ἐκλέγεσθαι.

Σοφὸς ἀκούσας παρὰ ἰδιώτου ἰατροῦ, ὅτι Γέρων γέγονας, ἔφη· Ὅτι οὐκ ἐχρησάμην ἰατρῷ.

ΛΟΓΟΣ ΝΖ'.

Περὶ νοσούντων.

Ἠσθένησα, καὶ ἐπεσκέψασθέ με.

Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι τῶν ἀσθενῶν, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

Ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ ἀκούων.

Μὴ ὄκνει ἐπισκέπτεσθαι ἀῤῥώστους.

Τέκνον, ἐν ἀῤῥωστήμασί σου μὴ παράβλεπε, ἀλλ' εὖξαι Κυρίῳ, καὶ αὐτὸς ἰάσεταί σε. Ἀπόστησον πᾶσαν ἀμέλειαν, καὶ εὔθυνον χεῖρας, καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν. Καὶ μνημόνευσον σεμιδάλεως, καὶ ἰατρῷ δὸς τόπον, καὶ γὰρ αὐτοῦ χρεία. Καὶ μὴ ἀποστήτω σου· καὶ γὰρ αὐτὸν ἔκτισεν ὁ Κύριος. Ἔστι καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐοδία. Καὶ γὰρ αὐτοὶ Κυρίου δεηθήσονται, ἵνα δῷ αὐτοῖς ἀνάπαυσιν καὶ ἴασιν χάριν ἐμβιώσεως. Ὁ ἁμαρτάνων ἐναντι τοῦ ποιήσαντος αὐτὸν ἐμπεσεῖται εἰς χεῖρας ἰατροῦ.

Ὕλην ἀρετῆς ποιοῦ τὴν ἀσθένειαν.

Πολλάκις καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀῤῥωστήματα. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει.

Ἔπρεπεν ἡμῖν μὴ μακαρίζεσθαι, μηδὲ κάμπτεσθαι πρὸς τὰ πάθη, ἀλλὰ περιφρονεῖν τὸν πηλόν· καὶ τὸ μὲν σῶμα ἐᾷν πάσχειν τὸ ἑαυτοῦ, πάντως ἢ ὕστερον ἢ νῦν λυθησόμενον νόμῳ φύσεως (οἰχήσεται γὰρ ἢ νόσῳ κάμνον, ἢ χρόνῳ), ἡμᾶς δὲ ὑψοῦ τὴν ψυχὴν ἔχειν, καὶ μετὰ τοῦ Θεοῦ τάττεσθαι τοῖς λογισμοῖς.

Ἐὰν μηδὲν ἔχῃς ἐνεγκεῖν τῷ ἀσθενοῦντι διὰ τὴν πενίαν, σαυτὸν εἰσάγαγε, καὶ τὴν ἀπὸ τῶν ῥημάτων αὐτῶν παραμυθίαν προσένεγκε· οὕτως γὰρ καὶ κατ' ἐκείνην ἀκούσῃ τὴν ἡμέραν, «Ἀσθενὴς ἤμην, καὶ ἐπεσκέψασθέ με.»

Πολλάκις καὶ φύσις ἀέρων ἤρκεσε μόνη πρὸς τὴν τοῦ κάμνοντος ὑγείαν· ἔστι δὲ ὅπου καὶ ὕπνος, προσπεσὼν πρὸς καιρὸν, παντὸς ἀπήλλαξε πόνου τὸν ἰατρόν.

A omnino curat, sed qui nihil eorum quæ ad utilitatem ægri et curam pertinent omittit.

Hieronis. Medicum et amicum existimato, qui in necessitate diligentes fuerint.

Nicoclis. Nicocles medicos felices dicebat, quoniam successus quidem ipsorum sol intuetur, errores autem tellus operit.

Stratonici. Stratonicus adulans medico, dicebat : Laudo tuam experientiam, quia non sinis infirmos computrescere, statim eos a vita liberans.

Demadis. Major gratia medicis debetur ingruentem morbum arcentibus, quam constitutum jam medicantibus. Quippe magis optandum est non pati, quam liberari malo.

Demetr. Ægris medicos, infortunatis amicos B adesse oportet.

Et medicus et amicus, non jucundior, sed utilior eligendus est.

Sapiens quidam, cum imperitus medicus ei dixisset, Senex factus es, respondit : Quia non usus sum medico.

SERMO LVII [*al.* CXLV].

De ægrotantibus.

Matth. XXV. Ægrotavi, et visitastis me.

Hebr. XIII. Memores estote vinctorum tanquam una cum illis vincti : eorum qui affliguntur, tanquam ipsi quoque versantes in corpore.

Qui obturat aures suas ne audiat infirmum, ipse quoque invocabit, et a nemine audietur.

Eccli. VII. Ne cuncteris invisere infirmos. C

Ibid. XXXVIII. Fili, in morbis tuis ne sis negligens, sed ora Dominum, et ipse sanabit te. Missum fac delictum, manusque rectas exhibe, atque omni peccato cor tuum emunda, tamen suffimentum adole, commendatitiamque similaginem : deinde locum des medico, ut cujus Dominus auctor sit, nec discedat abs te, quia ipsius indiges. Est cum medicorum quoque manus successum consequantur; nam et ipsi Dominum orant, ut lenimentum secundet sibi, vitæque causa curationem. Qui in creatorem suum peccaverit, in manus medici solet incidere.

S. Basilii. Infirmitatem facito virtutis materiam.

Morbi sæpe flagella sunt peccatorum. Dominus enim castigat quem diligit.

D *Theologi.* Decebat nos nec applaudere, neque flecti passionibus, sed contemnere lutum : et corpus quidem nostrum pati 101 sinere, utpote necessario, sive nunc, sive non multo post, pro lege naturæ dissolvendum (peribit enim aut morbo aut longo tempore confectum), nos vero animam in sublime tollere et cogitationibus conversari Deo.

S. Chrysost. Si per inopiam nihil tibi sit quod afferas ægroto, teipsum ei exhibe, et verborum consolationem offer. Sic enim etiam audies olim : « Infirmus eram, et visitastis me. »

Sæpe vel sola natura aeris satis fuit ad sanitatem ægroti : interdum et somnus obveniens tempestive omni labore medicum liberavit.

Athanasii. Corpora quidem ægra curationis et abstinentiæ beneficio restituuntur, restituta vero per negligentiam et repletionem paulatim relabuntur, et ad eosdem morbos recidunt.

Τὰ σώματα κάμνοντα μὲν ταῖς θεραπείαις ἀναφέρει καὶ ταῖς ἐνδείαις· ἀνεναγκόντα δὲ ταῖς κατὰ μικρὸν ἀμελείαις καὶ ταῖς πλησμοναῖς πάλιν ὑπερρεῖ, καὶ πρὸς τὰς αὐτὰς ἀῤῥωστίας ἐπάνεισιν.

SERMO LVIII [*al.* CLV].

De morte.

ΛΟΓΟΣ ΝΗ'.

Περὶ θανάτου.

Joan. XI. Qui credit in me, licet moriatur, victurus est. Et omnis qui vivit et credit in me, in æternum non morietur.

Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.

Eccli. XXX. Melior est mors quam vita amara, aut ægritudo longa.

Κρεῖσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν ἢ ἀῤῥώστημα ἔμμονον.

S. Basilii. Qui vivit adhuc, nondum beatus est propter finis incertitudinem : qui vero jam functus est officio suo, et vitam indubio fine conclusit, is demum constanter beatus prædicatur.

Ὁ μὲν ἐν τῷ βίῳ τυγχάνων οὔπω μακαριστὸς, διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· ὁ δὲ συμπληρώσας τὰ ἐπιβάλλοντα, καὶ ἀναντιῤῥήτῳ τέλει τὴν ζωὴν καταχλείσας, οὗτος ἤδη ἀσφαλῶς μακαρίζεται.

Nemo solutis jam nundinis negotiatur, neque post certamina rediens coronatur, neque post bella fortitudinis specimen exhibet.

Οὐδεὶς μετὰ τὸ λυθῆναι τὴν πανήγυριν πραγματεύεται, οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπανελθὼν στεφανοῦται, οὐδὲ μετὰ τοὺς πολέμους ἀνδραγαθεῖ.

Diuturnior hujus vitæ mora plurium vitiorum est occasio.

Ἡ ἐπιπλεῖον ἐνταῦθα διατριβὴ πλειόνων κακῶν ἐστιν ἀφορμή.

Mors autem infertur expletis hujus vitæ terminis, quos ab initio singulis justum Dei judicium, quid cuique conducat multo ante providentis præfixit.

Θάνατος δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων οὓς ἐξ ἀρχῆς περὶ ἑκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόῤῥωθεν τὸ περὶ ἑκαστον ἡμῶν συμφέρον προβλεπομένου.

Cogita quod qui nos formavit et animavit Deus, propriam cuique animæ in hac vita transactionem dedit, et aliis alios exeundi terminos præscripsit. Alium enim diutius conversari cum carne destinavit, alium vero citius corporis hujus vinculis liberari constituit, secundum ineffabiles sapientiæ ejus et justitiæ rationes.

Ἔννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τοῦ βίου διαγωγήν· καὶ ἄλλοι; ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπιπλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας ἑαυτοῦ καὶ τῆς δικαιοσύνης λόγους.

Quemadmodum carceribus inclusorum alii quidem diutius in afflictione vinculorum permanent, alii vero celerius liberantur; sic etiam animarum aliæ diu in hac vita detinentur, aliæ brevius, creatore nostro providente nobis singulis sapiente profundoque consilio, quod humana mente indagari non potest, juxta mensuram cujusque dignitati convenientem. Non audis Davidem dicentem : « Educ e carcere animam meam ? » Non audivisti de sancto, quod **102** soluta sit anima ejus ? Simeon autem Dominum nostrum ulnis complexus, nonne hæc verba protulit ? Nunc dimittis servum tuum, Domine : Nam corporis conservatio ad superiorem vitam properanti quavis afflictione et carcere gravior est.

Ὅσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου, σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἑκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου. Οὐκ ἀκούεις λέγοντος τοῦ Δαβὶδ, « Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου; » Οὐκ ἤκουσας περὶ τοῦ ἁγίου, ὅτι ἀπελύθη αὐτοῦ ἡ ψυχή ; Τί δαὶ Συμεών, ὅτε ἠγκαλίσατο τὸν Κύριον ἡμῶν, ποίαν φωνὴν ἀφῆκεν; Οὐχ ὅτι « Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα ; » Τῷ γὰρ ἐπιγομένῳ πρὸς τὴν ἄνω διαγωγὴν βαρυτέρα πάσης κολάσεως καὶ δεσμωτηρίου παντὸς ἡ μετὰ τοῦ σώματός ἐστι διατριβή.

Incomprehensibilis quædam causa est, propter quam alii celerius hinc abducuntur, alii diutius molestæ huic vitæ misere immorantes relinquuntur.

Ἔστι τις αἰτία ἀκατάληπτος, δι' ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπιπλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ καταλιμπάνονται.

Decet etiam incipientem vivere ob oculos habere mortem.

Προσήκει καὶ τὸν ἀρχόμενον τοῦ βίου ἐν ὀφθαλμοῖς ἔχειν τὴν τελευτήν.

Quotidie nos paratos esse oportet ad discessum ex hac vita, et nutum Domini fixis oculis exspectare. « Sint enim, inquit, lumbi vestri accincti, et ardentes candelæ, et vos similes exspectantibus dominum suum, quando redeat ex nuptiis. »

Δεῖ παρασκευασμένους ἐφ' ἡμέραν εἶναι πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἡμᾶς, καὶ τὸ τοῦ Δεσπότου νεῦμα περιμένειν ἑστῶσι τοῖς ὀφθαλμοῖς. « Ἑστῶσαν γὰρ, φησὶν, αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων. »

Θάνατός ἐστι στέρησις ζωῆς.

Πανὶ βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.

Εἰ πόλιν ἐκ πόλεως ἀμείβοντας τοῦ ἡγεμαγωγοῦντος δεόμεθα, πολλῷ μᾶλλον ἡ ψυχὴ τῆς σαρκὸς ἀπάρασα, καὶ πρὸς τὴν μέλλουσαν μεθισταμένη ζωὴν, τῶν ὁδηγησόντων αὐτὴν δεηθήσεται.

Δεῖ δὲ ἐπὶ θανάτῳ χαίρειν, ἂν μὲν νέος, ὅτι ταχέως ἀπηλλάγη τῶν ἐν μέσῳ κακῶν· ἂν δὲ πρεσβύτερος, ὅτι ὃ δοκεῖ πολλοῖς εἶναι, τοῦτο μετὰ κόρου λαβὼν ἀπῆλθεν.

Πονηρᾶς βιοτῆς πονηρὸν ἔσται τὸ τέλος.

Ὁ μὲν ἐν φόβῳ εὑρισκόμενος ἐν τῷ καιρῷ τῆς ἐξόδου, ἐλευθερίῳ τρόπῳ τοὺς ταρταρίους οὐ παρελεύσεται ἄρχοντας. Συνήγορον γὰρ ὥσπερ ἔχουσιν ἐκεῖνοι τὴν τῆς ψυχῆς δειλίαν τῆς ἑαυτῶν κακίας· ἡ δὲ ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ ἀγαλλιωμένη ψυχὴ ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως ἐπάνω πασῶν τῶν σκοτεινῶν παρατάξεων σὺν τοῖς ἀγγέλοις τῆς εἰρήνης φέρεται.

Ἐκ τοῦ βίου κράτιστόν ἐστιν ἐξελθεῖν, ὡς ἐκ συμποσίου, μήτε δίψῶντα, μήτε μεθύοντα.

Ἐν νόσῳ διαθήκας γράφων, παραπλήσια πάσχει τοῖς ἐν χειμῶνι θαλαττίῳ εὐτρεπίζειν ἀρχομένοις τὰ τῆς νεὼς ὅπλα.

Αἰροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς.

Κρεῖττον ἀποθανεῖν, ἢ δι' ἀκρασίας τὴν ψυχὴν ἀμαυρῶσαι.

Ταῖς νόσοις ὁ θάνατος ἀλλήλαις ἐπιλαμβανούσαις οὐδ' αὐτὸς παρεῖναι ἀναβάλλεται.

Διογένης ὁ Κυνικὸς, ὀδυρομένου τινὸς ἐπειδὴν ἐπὶ ξένης ἔμελλε τελευτᾷν, εἶπεν· Τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ ὁδὸς ἡ αὐτὴ εἰς ᾅδου.

Ὁ θάνατος τοῖς εὐτυχοῦσίν ἐστι λυπηρότερος ἢ τοῖς ἐπιπόνως ζῶσιν.

Οἱ μὲν ζῶντες ἐκ τῶν φίλων, οἱ δὲ τεθνεῶτες ἐκ τῶν ἐπιτρόπων δείκνυνται.

Ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους
Τὸν φύντα θρηνεῖν εἰς δε' ἔρχεται κακά·
Τὸν δ' αὖ θανόντα, καὶ πόνων πεπαυμένον,
Χαίροντας, εὐφημοῦντας, ἐκπέμπειν δόμων.

Δημόκριτος νοσήσας καὶ ληθάργῳ περιπεσὼν, ὡς ἀνένηψεν, « Οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωία, » καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου.

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι. Τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον.

Τύμβῳ γὰρ οὐδεὶς πιστὸς ἀνθρώπων φίλος.

Βίας θεασάμενος μάχαιραν ἐρρυμμένην, ἔφη· « Τίς σε ἀπώλεσεν, ἢ τίνα σύ; »

Ὁ αὐτὸς ἐρωτηθεὶς ποῖος τῶν θανάτων κακὸς, ἔφη· « Ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος. »

Ψυχὴν θάνατος οὐκ ἀπόλλυσιν, ἀλλὰ κακὸς βίος.

A Mors est privatio vitæ.

Theologi. Cuilibet morienti quævis terra sepulcrum est.

Chrysost. Si proficiscentes ab una civitate in alteram indigemus duce, multo magis anima solvens a corpore, et migrans ad futuram vitam, ducibus indigebit.

Gaudendum est morte, sive juvenis, quod statim liberatus sit hujus vitæ malis; sive senis, quod rebus quæ in vita exoptandæ videntur, ad satietatem usque fruitus, abierit.

Malæ vitæ malus etiam finis erit.

Diadochi. Qui exeundi tempore laborat metu, non libere transibit principes inferorum. Est enim animæ timiditas illorum malitiæ veluti patrona et adjutrix. Anima vero quæ in dilectione Dei exsultat tempore discessus, supra omnes tenebrosos ordines elata, cum angelis pacis fertur. B

Aristot. Optimum est e vita tanquam e convivio discedere, neque sitientem nec inebriatum.

Qui ægrotans testamentum scribit, similiter facit, ut qui in tempestate maris nautica instrumenta parare incipiunt.

Socratis. Honeste potius mori velis, quam turpiter vivere.

Clitarchi. Satius est mori, quam incontinentia animam obfuscare. C

Moschionis. Mors, quando frequentes morbi alii post alios ingruunt, ipsa actutum adest.

Diogenes. Diogenes Cynicus lugente quodam quod in peregrina terra moriturus esset, dixit: Quid luges, o stulte? Undecunque eadem via est ad inferos.

Platonis. Molestior est mors fortunatis, quam laboriose viventibus.

Vivi quidem ab amicis, mortui autem a tutoribus indicantur.

103 Oportebat enim nos conventu facto
Lugere natum propter multa mala quæ ingreditur;
Mortuum vero et laboribus solutum
Gaudentes et bona verba dicentes ex ædibus dimittere. (*Euripidis.*)

D

Democrit. Democritus ægrotans cum in lethargum incidisset, et postea rediisset ad se: « Non me decipiet, dixit, amor vitæ, » et seipsum e vita eduxit.

Epicteti. Magis necessarium est animæ quam corpori mederi. Præstat enim mori quam male vivere.

Nullus enim hominum fidus amicus est sepulcro.

Bias. Bias conspecto ense projecto, dixit: « Quis te perdidit, aut quem tu? »

Idem interrogatus quænam esset mala mors, respondit: « Quæ legibus infertur. »

Philistionis. Animam perdit non mors, sed mala vita.

Si nullus moveretur, impunita maneret malitia.

Cæsiani lugent in lucem editos, defunctos autem beatos prædicant.

Εἰ μηδεὶς ἐπέθνησκεν, ἀνιμώρητος ἂν ἦν ἡ κακία.

Καυσιανοὶ τοὺς μὲν γενομένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσι.

SERMO LIX [*al.* LXXX].

De cognoscendo seipsum.

Matth. VII. Quid vides festucam in oculo fratris tui, trabem autem in tuo oculo non animadvertis?

Rom. IV. Tu quis es qui judicas alienum servum? proprio domino stat aut cadit; imo sulcietur ut stet; potens enim est Deus efficere ut stet.

Eccle. XI. Ambulato in viis cordis tui inculpatus, et nosce teipsum. Nam de omnibus istis Deus a te rationem postulabit.

Sirach. Qui seipsos cognoscunt, sapientes sunt.

Eccli. XIII. Observa et animadverte diligenter, quoniam cum ruina tua ambulas.

S. Basilii. Accurata cognitio tui ipsius sufficienter te veluti manu deducet ad notionem et contemplationem Dei.

Memor naturæ, nunquam superbies. Memor autem eris ipsius, si teipsum observes.

Hoc tute pateris quod accusas, et alienum quidem malum acute vides, tuum vero dedecus nihili facis.

S. Chrysost. Hic maxime seipsum cognoscit qui seipsum pro nihilo reputat.

Clementis. Si vis Deum cognoscere, fac antea teipsum cognoscas.

Antiphanis. Si mortalis es, bone vir, mortalia quoque sapias.

Demosthenis. Futura cunctis hominibus ignota arbitror esse, et parvæ occasiones maximarum fiunt rerum causæ. Quapropter in bona fortuna moderatos esse convenit, et futura 104 prospicere videri.

Heraclitus. Heraclitus adhuc juvenis omnium sapientissimus fuit, quia sciebat se nihil esse.

Socratis. Socrates existimabat nihil se scire præter hoc unum quod nihil sciret: reliquos vero ne hoc quidem scire.

Qui valde febricitant, appetitum et robur amittunt: qui vero principum aulas inhabitant, mentem et bonos mores perdere solent, nisi frequenter animo repetant hoc dictum: Nosce teipsum.

SERMO LX [*al.* CX].

De pulchritudine.

Matth. VI. Cognoscite lilia agri quomodo crescant: non laborant neque nent. Attamen dico vobis, ne Salomonem quidem in universa gloria sua sic amictum fuisse, ut unum ex his.

I Tim. II. Volo mulieres in amictu modesto cum verecundia et castitate ornare semetipsas, non tortis crinibus aut auro aut margaritis, aut vestitu sumptuoso.

Proverb. VI. Ne te vincat desiderium pulchritudinis, neque palpebris tuis utere ad illicium.

ΛΟΓΟΣ ΝΘ'.

Περὶ τοῦ, Γνῶθι σαυτόν.

Τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς;

Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. Σταθήσεται δέ. Δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

Περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ γνῶθι σαυτόν· ὅτι ἐν πᾶσι τούτοις ἄξει σε ὁ Θεὸς εἰς κρίσιν.

Οἱ ἑαυτῶν ἐπιγνώμονες σοφοί.

Συντήρησον καὶ πρόσεχε σφοδρῶς, ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς.

Ἡ ἀκριβὴς σεαυτοῦ κατανόησις αὐτάρκη σοι παρέχει καὶ χειραγωγίαν πρὸς τὴν ἔννοιαν τοῦ Θεοῦ.

Μεμνημένος τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ. Μεμνήσῃ δὲ αὐτοῦ [αὑτῆς], ἐὰν προσέχῃς σαυτόν.

Ἔπαθες, ἄνθρωπε, ὃ ἐγκαλεῖς· καὶ τὸ μὲν ἀλλότριον κακὸν ἐπιμελῶς βλέπεις, τὸ δὲ σαυτοῦ αἰσχρὸν οὐδαμοῦ τιθεῖς.

Οὗτος μάλιστά ἐστιν ὁ ἑαυτὸν εἰδώς, ὁ μηδὲν ἑαυτὸν εἶναι νομίζων.

Εἰ βούλει γνῶναι Θεόν, προλαβὼν γνῶθι σαυτόν.

Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.

Οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίνονται. Διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις, καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι.

Ἡράκλειτος νέος ὢν πάντων γέγονε σοφώτερος, ὅτι ᾔδει ἑαυτὸν μηδὲν ὄντα.

Σωκράτης ᾤετο μηδὲν εἰδέναι, πλὴν αὐτὸ τοῦτο, ὅτι μηδὲν οἶδεν· τοὺς δὲ λοιποὺς μηδὲ τοῦτο εἰδέναι.

Οἱ μὲν σφοδρῶς πυρέττοντες τὴν ὄρεξιν καὶ τὴν ῥώμην, οἱ δ' ἐν τοῖς βασιλείοις παροικοῦντες, τὸν νοῦν καὶ τὰ ἤθη πεφύκασι διαφθείρεσθαι, εἰ μὴ τὸ, Γνῶθι σαυτόν, συχνῶς ἑαυτοῖς ἐπιλέγουσιν.

ΛΟΓΟΣ Ξ'.

Περὶ κάλλους.

Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.

Βούλομαι τὰς γυναῖκας ἐν καταστολῇ κοσμίᾳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ.

Μή σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ ἀγρυθῇς σοῖς βλεφάροις

Κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῃ.

Μὴ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ, μηδὲ αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ.

Κάλλος ἐστὶ τὸ ἐν τῇ συνθέσει τῶν μελῶν εὐάρμοστον, ἐπανθοῦσαν αὐτῷ τὴν χάριν ἔχον.

Κάλλος νόμιζε τὴν φρενῶν εὐκοσμίαν.

Οὐκ ἀπὸ τῆς διαπλάστεως, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τῆς κοσμιότητος τὸ κάλλος χαρακτηρίζεται.

Εἰς κάτοπτρον πύψας, θεώρει· καὶ εἰ μὲν καλὸς φαίνει, ἄξια τούτου πρᾶττε· εἰ δὲ αἰσχρὸς, τὸ τῆς ὄψεως ἀλλειπὲς ὡράϊζε καλοκἀγαθίᾳ.

Αἴσωπος ὀνειδιζόμενος ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, ἔφη· Μή μου τὸ εἶδος, ἀλλ' εἰς τὸν νοῦν πρόσεχε.

Ὅταν φύσει τὸ κάλλος ἐπικοσμῇ τρόπος
Χρηστὸς, διπλασίως ὁ προσιὼν ἁλίσκεται.

Τὰ τῶν καλῶν φιλήματα φυλάττεσθαι δεῖ, ὡς τὰ τῶν ἰοβόλων δήγματα.

Διογένης, θεασάμενος μειράκιον εὔμορφον, καὶ διὰ τοῦτο φιλούμενον, ἔφη· Σπούδασον, μειράκιον, τοὺς τοῦ σώματος ἐραστὰς εἰς τὴν ψυχὴν μεταγαγεῖν.

Ὁ αὐτὸς, θεασάμενος νεανίσκον καλλωπιζόμενον, ἔφη· Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς.

Ἀριστοτέλης, θεασάμενος μειράκιον ὡραϊζόμενον, ἔφη· Οὐκ αἰσχύνῃ, ὅτι, τῆς φύσεως ἄνδρα σε ποιησάσης, ἑαυτὸν τεθήλυκας;

Ὁ αὐτὸς νέου τινὸς εὐειδοῦς μὲν τὴν ὄψιν, ἀσελγοῦς δὲ τὸν τρόπον, λοιδορουμένου αὐτοῦ καὶ λέγοντος, εἰ μὴ ἔπασχες αὐτῷ ἐμισεῖτο ὑπὸ τῶν πολιτῶν, ἀπήγξατο ἄν, ἔφη· Ἐγὼ δὲ ἀπηγξάμην ἄν, εἰ ἐπίστης σοι τῶν πολιτῶν ἐφιλούμην.

Ἐὰν καλὸν ἔχῃς σῶμα καὶ ψυχὴν κακὴν, κακὴν ἔχεις ναῦν καὶ κακὸν κυβερνήτην.

Καλὴν γυναῖκ' ἐὰν ἴδῃς, μὴ θαυμάσῃς·
Τὸ γὰρ πολὺ κάλλος καὶ ψόγων πολλῶν γέμει.

Σιμοκάτου τὴν τε θέαν οὔτε λόγος ἐκφράσειεν, οὔτε ζωγράφου χεῖρες μιμήσαιντο. Ἦν γὰρ ὁ νεανίας εὐσθενὴς, ὀρθιος, τὸ περιστέρνιον λάσιος· οἱ δὲ ὀφθαλμοὶ δορκάδος αὐτῷ, τὸ δὲ βλέμμα οὔτε θυμῷ φοινισσόμενον, οὔτε μαλακώτερον τῇ ὑγρότητι, ἀλλ' ἀνδρεῖον καὶ πρᾶον ὁμοῦ· ἡ δὲ χροιὰ ἡ τοῦ σώματος οὔτε πρὸς τὸ μελανώτερον μετεσκεύαστο. Ἡ δὲ θρὶξ ἠρέμα πως ἐπεκύμαινεν, ἐν τῇ οὐλότητι κυανίζουσα. Αἱ δὲ παρειαὶ οὔτε κατέῤῥυ [κατέρυθραι], γυναικῶδες γὰρ, οὔτε πάλιν ὠχρότητι τὴν εὐπρέπειαν ἐπεστύγναζον.

Κάλλος ὀξύτερον τιτρώσκει βέλους, καὶ διὰ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν καταῤῥεῖ.

ΛΟΓΟΣ ΞΑ'.

Περὶ δόξης.

Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

A *Excli.* XXVI. Venustas faciei in ætatis vigore (vel, in ætate constanti).

Ibid. XI. Ne abomineris quemquam in vultu ejus, neque laudaveris virum in pulchritudine ejus.

Pulchritudo est bona illa concinnitas in compositione membrorum, floris instar superinductum sibi gratiam habens.

Theologi. Pulchritudinem existima ornatum animi.

S. Chrysost. Non in corporis forma, sed in moribus et modestia pulchritudo sita est.

Plutarchi. In speculo te contemplare, et si pulcher appareas, ea fac quæ decent pulchrum; sin deformis, id quod faciei deest honestate morum supple.

B *Æsopus* ob deformitatem culpatus, dixit: Ne mihi formam, sed mentem aspice.

Cum natura venustatem exornaverint mores
Probi, dupliciter aliquis accedens capitur.
(*Menandri.*)

Socratis. Oscula formosorum cavenda sunt, sicut morsus venenatorum animalium.

Diogenes. Diogenes cum vidisset formosum adolescentem formæ causa amari, dixit: Quin operam des, adolescens, ut corporis amatores ad animam transferas.

Idem conspecto adolescente qui se ornabat, dixit: Si viris quidem te ornas, infelix es; sin mulieribus, injustus.

C *Aristoteles* cum adolescentem se ornare vidisset, dixit: Non erubescis, quod cum natura te virum fecerit, **105** tu teipsum effeminaris?

Idem cum juvenis quidam facie formosus, sed moribus petulans, inter alia convicia ei diceret: Si tam exosus essem civibus, ut tu es, laqueo vitam finirem,' respondit: Ego vero laqueum mihi inferrem, si ita me cives amarent ut te.

Isocratis. Si pulchrum tibi corpus est, et anima mala, bonam navim habes et malum gubernatorem.

Pulchram mulierem si vides, ne mireris;
Eximia enim forma multis etiam criminibus scatet.
(*Incerti.*)

Simocatus. Simocati formam nec exprimere sermo, neque manus pictoris imitari poterant. Erat D enim juvenis robustus, erectus, hirsuto pectore, oculis capreoli, visu autem neque minaci et rubicundo, neque humido et molli, sed virili simul et miti: corporis colore, nec albebat nimium, neque nigricabat. Cæsaries vero placide fluctuabat, eripsa et subcærulei coloris. Denique genæ, neque rubebant, quod muliebre est, neque pallore venustatem obfuscabant.

Leucippes. Pulchritudo acutius telo vulnerat, et per oculos in animam defluit.

SERMO LXI [*al.* CXI].

De gloria.

Matth. VI. Quærite primum regnum Dei et justitiam ejus, et hæc omnia adjicientur vobis.

Rom. VIII. Non comparandæ sunt afflictiones præsentis temporis cum gloria futura quæ revelabitur nobis.

Prov. III Sapientes gloriam possidebunt, impii autem dum evehuntur ignominiam acquirunt.

Prov. XXI. Via justitiæ et misericordiæ invenies vitam et gloriam.

Sapientibus adest timor Domini et divitiæ et gloria et vita.

Eccli. VII. Ne ridiculus fias in gloria tua, et tempore gloriæ ne extollaris.

Ne petas principatum a domino, nec a rege solium gloriæ.

Multi potentes magna ignominia affecti sunt, et gloriosi in manus aliorum traditi sunt.

Ibid. IX. Ne æmulaveris gloriam peccatorum.

Ibid. IV. Magnati humilia caput tuum.

Ibid. VIII. Ne contendas cum homine potente, ne quando incidas in manus ejus.

Cum te potens aliquis ad se vocat, cedito, et tunc maxime te vocabit.

Noli te parem facere magnatibus in medio ipsorum.

S. Basilii. Si gloriam quæris, et cupis superior multis videri, et in rebus mundanis clarus fieri, sis justus, temperans, prudens, fortis, et patiens in
106 adversis pro religione suscipiendis. Sic enim et teipsum servabis, et per majora bona majorem adeptus eris splendorem.

Præsidem conditionis suæ dignitas ne extollat, ne excidat beatitudinis præconio humilitati proposito.

Ejusdem. Debebat homo in gloria quæ penes Deum est manere, et sic non fictam celsitudinem, sed veram, Dei potentia promotus, habuisset : sed quoniam divinæ gloriæ desiderium deposuit, majorem exspectans, et quod assequi non poterat desiderans, id etiam perdidit quod habere poterat.

Ejusdem. Volo tibi vehementius inseri admirationem creationis. Primum igitur cum vides herbam graminis et florem, ad humanæ naturæ considerationem te convertas, memor comparationis apud sapientem Isaiam, quod omnis caro fenum sit, et omnis gloria hominis tanquam flos feni. Nam hujus vitæ brevitas, et tam brevi tempore durans humanæ felicitatis lætitia et hilaritas, aptissime a propheta in hanc similitudinem trahitur. En aliquis floridi corporis hodie, et præ deliciis carnosus, pulchro colore nitidus, ætatis vigore vegetus, nervosus et prævalidus, hic idem cras miserabilis est, vel tempore tabefactus, vel morbo dissolutus. Alius præclarus est pecuniis et opibus, ambit eum adulatorum turba, comitantur amici ficti et sui ipsorum gratia colentes ipsum, adsunt cognati plurimi et hi quoque simulati, denique infinita est caterva sive victus sive alterius utilitatis gratia ei adhærentium, quos ille et procedendo in publicum et redeundo secum trahens, invidiosus est obviis. Vides præterea divitiis accedere civilem quemdam potentiam, aut etiam honores a regibus

A Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Δόξαν σοφοὶ κληρονομήσουσι, οἱ δὲ ἀσεβεῖς ὑψώσουσιν ἀτιμίαν.

Ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν.

Γενεᾷ σοφῇ φόβος Κυρίου, καὶ πλοῦτος, καὶ δόξα, καὶ ζωή.

Μὴ δὸς μῶμον ἐν τῇ δόξῃ σου, καὶ ἐν ἡμέρᾳ ὀξείας μὴ ἀπαίρου.

Μὴ ζήτει παρὰ κυρίου ἡγεμονίαν, μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.

Πολλοὶ δυνάσται ἠτιμάσθησαν σφόδρα, καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων.

B Μὴ ζηλώσεις δόξαν ἁμαρτωλῶν.

Μεγιστᾶνι ταπείνου τὴν κεφαλήν σου.

Μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου, μή ποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ.

Προσκαλουμένου σε δυνάστου ὑποχωρῶν γίνου, καὶ τότε μάλιστα προσκαλέσεται.

Ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου.

Εἰ δόξης ἐπιθυμεῖς, καὶ βούλει τῶν πολλῶν ὑπερβαίνεσθαι, καὶ εὐδόκιμος ἐν τοῖς κοσμικοῖς πράγμασι γίνεσθαι, ἴσο δίκαιος, σώφρων, φρόνιμος, ἀνδρεῖος, ὑπομονητικὸς ἐν τοῖς ὑπὲρ εὐσεβείας παθήμασιν. Οὕτω γὰρ καὶ σεαυτὸν σώσεις, καὶ ἐπὶ μείζοσιν ἀγαθοῖς μείζονα ἕξεις τὴν περιφάνειαν.

C Τὸν προεστῶτα μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης.

Ὤφειλεν ἄνθρωπος ἐν τῇ παρὰ Θεῷ δόξῃ μεμενηκέναι, καὶ εἶχεν ἂν ὕψος οὐκ ἐπίπλαστον, ἀλλ' ἀληθινὸν, δυνάμει Θεοῦ μεγαλυνόμενος. Ἐπειδὴ δὲ ἐν τῆς θείας δόξης ἐπιθυμίαν μετέθηκε καὶ μείζονα προσδοκήσας, ἀπεύσας ὅπερ οὐκ ἠδύνατο λαβεῖν, ἀπώλεσεν ὅπερ ἔχειν ἠδύνατο.

Βούλομαί σοι σφοδρότερον τῆς κτίσεως ἐνιδρυθῆναι τὸ θαῦμα. Πρῶτον μὲν οὖν ὅταν ἴδῃς βοτάνην χόρτου καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως, μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, ὅτι « Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. » Τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς, καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ ἱλαρὸν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης παρὰ τῷ προφήτῃ τετύχηκε τῆς εἰκόνος. Σήμερον εὐθαλὴς τῷ σώματι, κατασεσαρκωμένος ὑπὸ τρυφῆς, ἐπανθοῦσαν ἔχων τὴν εὐχροιάν, ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς σφριγῶν καὶ σύντονος, καὶ ἀνυπόστατος τὴν ὁρμήν· αὔριον ὁ αὐτὸς οὗτος ἐλεεινὸς, τῷ χρόνῳ μαρανθείς, ἢ νόσῳ διαλυθείς. Ὁ δεῖνα περίβλεπτος ἐπὶ χρημάτων περιουσίᾳ· καὶ πλῆθος περὶ αὐτὸν κολάκων, δορυφορία φίλων προσποιητῶν τὴν ἐπ' αὐτῷ χάριν θεραπευόντων, πλῆθος συγγενείας καὶ τούτης κατεσχηματισμένης, ὄσμὸς τῶν ἑψομένων μυρίος τῶν τε ἐπισιτίων, καὶ τῶν κατὰ τὰς ἄλλας χρείας αὐτῷ προσεδρευόντων, οὓς καὶ προϊὼν, καὶ πάλιν ἐπανιὼν ἐπισυρόμενος ἐπίφθονός ἐστιν τοῖς ἐντυγχάνουσιν. Πρὸς δὲ τῷ πλούτῳ εὔροις καὶ πολιτικήν

τινα δυναστείαν, ἢ καὶ τὰς ἐκ βασιλέων τιμὰς ἐθνῶν ἐπιμέλειαν ἢ καὶ στρατοπέδων ἡγεμονίαν, καὶ τὸν κήρυκα μέγα βοῶντα προϊόντα πρὸ αὐτοῦ, τοὺς ῥαβδοφόρους ἔνθεν καὶ ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας, τὰς πληγάς, τὰς δεσμεύσεις, ἐπαγωγάς, τὰ δεσμωτήρια, ἐξ ὧν ἀφόρητος ὁ παρὰ τῶν ὑποχειρίων συναθροίζεται φόβος. Καὶ τί μετὰ τοῦτο; Μία νὺξ, ἢ πυρετὸς ἢ πλευρῖτις, ἢ περιπνευμονία, ἀνάρπαστον ἐξ ἀνθρώπων ἀπάγουσα τὸν ἄνθρωπον, οἴχεται, πᾶσαν τὴν κατ' αὐτὴν σκευὴν ἐξαπίνης ἀπογυμνώσασα, καὶ ἡ δόξα ἐκείνη, ὥσπερ ἐνύπνιον, ἀπηνέχθη. Ὥστε ἐπετέτευκται τῷ προφήτῃ ἡ πρὸς τὸ ἀθρανέστατον ἄνθος ὁμοίωσις τῆς ἀνθρωπίνης δόξης.

A conferri, provinciarum curam, imperium militare, præconem alta voce antecedentem, satellites utrinque gravissimum terrorem incutientes subditis, verbera, vincula, abductiones, carceres, unde timor subditorum intolerabilis fit. Sed quid postea? Una nox et febris, aut costarum aut pulmonis acuta ægritudo, ex vivis raptum hominem aufert. Sic tota illius scena subito denudatur, et gloria illa tanquam somnium evanescit. Commode igitur et vere infirmissimo flori humanam gloriam comparavit propheta.

Δόξης ἀεὶ φρόντιζε τῆς αἰωνίου·
Ἡ γὰρ παροῦσα ψεύδεται καθ' ἡμέραν.
Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ' ἄγαν·
Κρεῖσσον γὰρ εἶναι τοῦ δοκεῖν· εἰ δ' ἄμετρος εἶ,

Μὴ τὴν κενὴν θήρευε, μηδὲ τὴν νέαν.

B Curæ tibi æterna semper sit gloria:
Præsens enim quotidie fallit.
Gloriam sequitor nec omnem neque nimium.
Præstat enim esse quam videri: sin temperare tibi [nequis,
107 Inanem gloriam aut novam saltem ne captes.
(*Theologi.*)

Ejusdem. Subjiciamur et Deo, et nobis invicem et principibus in terra, idque eo magis, quo leniores et benigniores illi fuerint. (Malum enim est benignitatem principum frangere pervicacia, et cavendum) ne in nosipsos asperitatis illorum culpa recidat, si tranquillitatem immisso vento solverimus, luci tenebras immiserimus, et absinthium melli miscuerimus.

Ἡ μὲν γὰρ παρὰ τῶν ἀνθρώπων δόξα τῶν δοξαζόντων μιμεῖται τὴν εὐτέλειαν, ὅθεν καὶ μεταπίπτει ῥᾳδίως· ἡ δὲ τοῦ Θεοῦ οὐχ οὕτως, ἀλλ' ἀκίνητος μένει διηνεκῶς. Καὶ ταῦτ' ἀμφότερα δηλῶν ὁ προφήτης, κἀκείνης τὸ ἐμμετάπτωτον, καὶ ταύτης τὸ μόνιμον, οὕτως ἔλεγεν· « Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. » Ἅπασαν τὴν ἀνθρωπίνην εὐημερίαν οὐδὲ πρὸς χόρτον, ἀλλ' ἑτέραν ὕλην εὐτελεστέραν ὁ προφήτης παρέβαλεν, ἄνθος αὐτὴν ὀνομάσας χόρτου πᾶσαν ὁμοῦ. Οὐδὲν γὰρ μέρος αὐτῶν προέθηκεν, οἷον πλοῦτον, ἢ τρυφὴν, ἢ δυναστείαν, ἢ τιμὴν, ἢ τι τοιοῦτον· ἀλλὰ πάντα τὰ ἐν ἀνθρώποις λαμπρὰ μιᾷ προηγορίᾳ τῇ τῆς δόξης περιβαλὼν, οὕτως ἐπήγαγε τὴν εἰκόνα τοῦ χόρτου, εἰπών· « Πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, ἐξηράνθη χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν. »

C *Chrysost.* Etenim quæ ab hominibus conferitur gloria, conferentium vilitatem sequitur, quare etiam facile dilabitur: divina vero non ita fluxa est, sed perpetuo stabilis manet. Et hæc ambo docens propheta, illius, inquam, lubricitatem et hujus stabilitatem, his verbis utitur: « Omnis caro fenum est, et omnis gloria hominis ceu flos feni: » quibus omnem humanam felicitatem ne fœno quidem, sed viliori materiæ comparando, florem feni totam eam simul nominavit. Nullam enim partem ejus præfert, ut divitias, aut voluptatem, aut potentiam, aut honorem, aut aliquid hujusmodi, sed omnia inter homines splendida comprehendens una appellatione gloriæ, feni similitudinem subjungit, inquiens: « Omnis gloria hominis est tanquam flos graminis, gramen exaruit et flos cecidit. »

Φύσει μὲν γὰρ χόρτου (φησὶν) ἔοικε τῶν ἀνθρώπων τὸ γένος, ἄνθη δὲ χόρτου ἡ ἐπιγινομένη δόξα καὶ δυναστεία. Καὶ καθάπερ τοῦ χόρτου ξηραινομένου τὸ ἄνθος ἐκπίπτει, οὕτω τοῦ θανάτου τοῖς ἀνθρώποις ἐπιόντος ἡ δυναστεία καὶ ἡ ὑπερηφάνεια σβέννυται.

S. Cyrilli. Hominum genus simile est naturæ graminis, flores autem graminis sunt quæ accrescit gloria et potentia: et sicut arescente gramine flos excidit, sic morte hominibus ingruente potentia et superbia exstinguuntur.

Τὰ μὲν φυτὰ ἀπὸ τῆς ῥίζης, ἡ δὲ δόξα ἀπὸ τῆς πρώτης λήψεως [*al.* λίξεως] αὔξει.

Plutarchi. Plantæ quidem a radice, gloria vero (a bono opere) crescit.

Οὐδεὶς φροντίζων δόξης ἀγαθῆς γένοιτ' ἂν ἀνὴρ φαῦλος. Καλὸν δὲ ἀντὶ [*al.* ἀρ'] βραχείας ἀπολαύσεως ἀλλάξασθαι δόξαν αἰώνιον.

Nullus honestam gloriam curans, vir malus esse potest. Pulchrum est enim pro brevi voluptate æternam gloriam permutando nancisci.

Ἄξιωμα μέγιστόν ἐστιν οὐ τὸ κεχρῆσθαι τιμαῖς [*al.* τιμῆς], ἀλλὰ τὸ ἄξιον ἑαυτὸν [*for.* αὐτῶν] εἶναι νομίζεσθαι.

Aristot. Maxima dignitas est, non quidem usurpare honorem, sed honore dignum existimari.

Ὧν τὰς δόξας ζηλοῖς, τούτων καὶ τὰ ἀγαθὰ πράξεις.

Isocratis. Quorum gloriam æmularis, eorumdem bona facito.

Philonis. Qui didicit obedire mox etiam imperare discit. Nam qui subjici non antea didicerit, nec obedire institutus fuerit, is nequaquam verus est princeps, licet totius terræ et maris imperium habeat.

Ὁ μαθὼν ἄρχεσθαι, καὶ ἄρχειν εὐθὺς μανθάνει· οὐδὲ γὰρ, εἰ πάσης γῆς καὶ θαλάσσης τὸ κράτος ἀνάψαιτό τις, ἄρχων ἂν εἴη πρὸς ἀλήθειαν, εἰ μὴ μάθῃ καὶ προπαιδευθείη τὸ ἄρχεσθαι.

Ex Antiquitatibus Josephi. Omnes qui recte obedire didicerunt, scient etiam imperare, potestatem adepti.

Πάντες οἱ ἄρχεσθαι καλῶς μεμαθηκότες, καὶ ἄρχειν εἴσονται, παρελθόντες εἰς ἐξουσίαν.

SERMO LXII [*al.* XCIX].

De invidia.

Matth. XX. Venientes autem primi putabant se plura accepturos, et ipsi quoque acceperunt denarium singuli.

108 *Jac.* III. Ubi æmulatio et contentio, ibi inconstantia et omne opus pravum.

Salomon. Invidia quod utilius est præferre nescit. Æmulatur socius socium.

Eccli. XXXVII. Ne consultes cum eo qui te suspectum habet; æmulantibus absconde consilium tuum.

S. Basilii. Invide, quid suspiras? propriumne malum, aut alienum bonum?

Non vides qualis res simulatio sit? et hæc fructus est, invidiæ. Animus enim duplex, et diversis affingens se partibus, ex invidia maxime hominibus accedit.

Nullus perniciosior affectus animis hominum innascitur quam invidia.

Nam ut ærugo ferrum, sic invidia quam infecit animam consumit.

Canes nutricatione curantur, et cultu mansuescunt leones: invidi vero ad obsequia magis efferantur.

Scriptura multis in locis invidiam cum cæde nominat.

Quemadmodum rubigo peculiare est vitium frumenti, sic invidia morbus est amicitiæ.

Inimici probitatis dæmones cum sibi familiares et congruas hominum voluntates invenerint, omnibus modis abutuntur eis ad suam libidinem, ita ut etiam oculis invidorum ad ministerium suæ cupiditatis utantur.

Theologi. Noli invidere præclarum aliquid facienti, quamvis illum tibi invidum esse persuasus sis, ac ideo succenseas.

Utinam peresset ex hominibus invidia, habentium se consumptio, et affectorum ærugo: solus inter affectus injustissimus simul et justissimus; justum dico, quoniam lædit a quibus fovetur; injustum, quia præclaris omnibus molestus est.

S. Chrysost. Invidet quidem dæmon, sed hominibus, nulli vero dæmoni; tu vero cum sis homo, hominibus invides, et quomodo consequeris veniam?

Si ille qui diligit amantem, nihil plus habet publicano: qui odio habet immeritum, qualem ille benevolentiam assequetur?

ΛΟΓΟΣ ΞΒ'.

Περὶ φθόνου,

Ἐλθόντες δὲ καὶ σὺν πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον.

Ὅπου ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.

Φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον.

Τῷ ἀνδρὶ ὁ ζῆλος παρὰ τοῦ ἑταίρου αὐτοῦ.

Μὴ συμβουλεύου μετὰ ὑποβλεπομένου σε· ἀπὸ τῶν ζηλούντων ἔκκρυψον βουλήν σου.

Τί στενάζεις, φθονερέ; τὸ ἴδιον κακὸν, ἢ τὸ ἀλλότριον ἀγαθόν;

Οὐχ ὁρᾷς ἡλίκον ἐστὶν ἡ ὑπόκρισις; καὶ αὕτη καρπός ἐστι τοῦ φθόνου. Τὸ γὰρ διπλοῦν τοῦ ἤθους ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις γίνεται.

Φθόνου γὰρ πάθος οὐδὲν ὀλεθριώτερον ψυχαῖς ἀνθρώπων ἐμφύεται.

Ὥσπερ γὰρ ἰὸς τὸν σίδηρον, οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει.

Οἱ κύνες τρεφόμενοι ἡμεροῦνται, καὶ οἱ λέοντες χειροήθεις θεραπευόμενοι γίνονται. Οἱ δὲ βάσκανοι ταῖς θεραπείαις πλέον ἐξαγριαίνονται.

Ἔθος τῇ Γραφῇ πολλαχοῦ μετὰ τοῦ φόνου τάσσειν τὸν φθόνον.

Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα, οὕτως ὁ φθόνος φιλίας ἐστὶν ἀῤῥώστημα.

Οἱ μισόκαλοι δαίμονες ἐπειδὰν οἰκείας ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως αὐταῖς ἀποχέχρηνται πρὸς τὸ ἴδιον βούλημα, ὥστε καὶ τοῖς ὀφθαλμοῖς τῶν βασκάνων εἰς ὑπηρεσίαν χρήσασθαι τοῦ ἰδίου θελήματος.

Μὴ φθονήσεις τῷ κατορθοῦντι ὀφθανηθεὶς [*forte* ὡς φθονηθεὶς], καὶ φθονεῖσθαι πεισθεὶς, καὶ διὰ τοῦτο κατενεχθείς.

Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος, ἡ δαπάνη τῶν ἐχόντων, ὁ τῶν πασχόντων ἰός· τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καὶ δικαιότατον· τὸ μὲν, ὅτι πᾶσι διοχλεῖ τοῖς καλοῖς, τὸ δὲ, ὅτι ἀδικεῖ τοὺς ἔχοντας.

Ὁ δαίμων φθονεῖ μὲν, ἀνθρώποις δὲ, δαίμονι δὲ οὐδενί· σὺ δὲ ἄνθρωπος ὤν, ἀνθρώποις φθονεῖς, καὶ ποίας τεύξῃ συγγνώμης;

Εἰ γὰρ ὁ τὸν φιλοῦντα ἀγαπῶν οὐδὲν πλέον ἔχει τελώνου, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν ποίας τεύξεται φιλανθρωπίας;

Ἀριστοτέλης, Φθόνος, φησὶν, ἀνταγωνιστής ἐστι τῶν εὐτυχούντων. A

Τοῖς μὲν διὰ τοῦ ἡλίου πορευομένοις ἕπεται κατὰ ἀνάγκην σκιά· τοῖς δὲ διὰ τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος.

Τὸ τῆς δόξης κάλλος ὥσπερ ὑπὸ νόσου τοῦ φθόνου ταχὺ καταφθείρεται.

Ἀνάχαρσις ὁ Σκύθης ἐρωτηθεὶς, διὰ τίνα αἰτίαν ἄνθρωποι λυποῦνται πάντοτε, ἔφη· Ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια κακὰ λυπεῖ, ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά.

Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτω τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

Ὁ αὐτὸς τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.

Φθόνος στάσιος ἀρχὴν ἀπεργάζεται. B

Πολλοὶ θανόντας ἀμείβουσι τοῖς τάφοις, οὓς τῷ φθόνῳ πρότερον ἤλγυναν ζῶντας.

Ὁ αὐτὸς τὸν φθόνον ἔφη τῆς ψυχῆς εἶναι πρίονα.

Κλεόβουλος ὁ Λίνδιος ἐρωτηθεὶς ὑπό τινος, τίνα δεῖ μάλιστα φυλάττεσθαι, εἶπεν· Τῶν μὲν φίλων τὸν φθόνον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν.

Βίων ὁ σοφιστὴς, ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα, εἶπεν· Ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

Ἀγάθων εἶπε τοὺς φθονεροὺς τῶν ἀνθρώπων οὐχ οὕτως εὐφραίνεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

Θεμιστοκλῆς μειράκιον ὢν οὐδὲν ἔφη πράττειν λαμπρόν· οὕπω γὰρ φθονεῖσθαι. Καθάπερ γὰρ αἱ κανθαρίδες ἐμφύονται μάλιστα τῷ ἀκμάζοντι σίτῳ καὶ τοῖς εὐθαλέσι ῥόδοις· οὕτω ὁ φθόνος ἅπτεται μάλιστα τῶν χρηστῶν καὶ αὐξανομένων πρὸς ἀρετὴν, καὶ δόξαν ἠθῶν καὶ προσώπων κεκτημένων.

Aristotel. Aristoteles, Invidia, inquit, hostis est fortunatorum.

Plutarch. In sole ambulantes necessario sequitur umbra, in gloria vero constitutos invidia.

Gloriæ pulchritudo ab invidia quasi morbo statim corrumpitur.

Anachars. Anacharsis Scytha interrogatus cur homines generatim tristentur, dixit: Quia non solum propria mala eis molesta sunt, sed etiam aliena bona.

109 *Plutarch.* Ut ferrum ærugine consumitur, sic invidi suopte ingenio.

Democrit. Idem dixit invidiam esse ulcus animæ (1).

Invidia seditionis initium parit.

Socrat. Multi in monumenta defunctorum gratos et beneficos se exhibent, quos antea præ invidia vivere dolebant.

Idem dixit invidiam animæ serram esse.

Cleobul. Cleobulus Lindius, interrogatus a quodam quænam præcipue cavenda sint, dixit: Amicorum quidem invidiam, inimicorum autem insidias.

Bion. Bion sophista cum vidisset invidum quemdam valde tristantem demisso in terram vultu, dixit: Aut huic magnum malum contigit, aut alii cuipiam magnum bonum.

Agathon. Agathon dixit invidos homines non tam lætari propriis bonis, quam alienis malis.

Themistocles adhuc adolescens nihildum præclare se facere dixit: nondum enim invideri sibi. Nam sicut cantharides vegeto maxime tritico innascuntur, et rosis pulchre florentibus: sic invidia maxime invadit bonos viros, et in virtute proficientes, et ingenii personæque gloriam sustinentes.

ΛΟΓΟΣ ΞΓ'.

Περὶ γέλωτος.

Οὐαὶ ὑμῖν οἱ γελῶντες, ὅτι πενθήσετε καὶ κλαύσετε.

Αἰσχρότης, καὶ μωρολογία, καὶ εὐτραπελία, καὶ τὰ οὐκ ἀνήκοντα, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, ἀλλὰ μᾶλλον εὐχαριστία.

Διήγησις μωρῶν προσόχθισμα, καὶ ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας.

Ἄχρι μὲν γὰρ μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ὑποφαίνειν οὐκ ἀπρεπὲς, ὅσον δεῖξαι μόνον τὸ γεγραμμένον· « Καρδίας εὐφραινομένης, πρόσωπον θάλλει. » Ἐκκαχλάζειν δὲ τῇ φωνῇ [*al.* τὴν φωνὴν], καὶ ἀναβράσσεσθαι [*al.* ἀναβράζεσθαι] τὸ σῶμα, οὐ τοῦ [δοκίμου] περικρατῶς ἔχοντος ἑαυτοῦ.

Γέλωτος θυμὸς ἔμφρων πρωτιμότερος. Αὐστηρᾷ γὰρ διαθέσει προσώπου κατορθοῦται ψυχή.

SERMO LXIII [*al.* LXXI].

De risu.

Luc. VI. Væ vobis qui ridetis nunc, quoniam lugebitis et flebitis.

Eph. V. Obscenitas, nec stultiloquium, nec cavillatio, aut ea quæ non conveniunt, ne nominentur quidem inter vos, sed potius gratiarum actio. D

Sirach. Narratio stultorum offensio est, et risus eorum in deliciis peccati.

S. Basilii. Ad lenem usque risum animæ hilaritatem subindicare non dedecet, juxta Scripturam, quæ ait: « Lætante corde vultus renidet. » Cachinnari autem voce, et concuti corpore, non est hominis probi, neque sui compotis.

Theologi. Animus gravis et prudens melior ac dignior est risu; severus enim habitus faciei emendat animam.

(1) In Stobæi locis Socrati attribuitur hoc dictum.

Sapientium animæ tristes sunt et in se contractæ, insipientium vero inflantur et diffluunt.

Αἱ μὲν τοίνυν τῶν σοφῶν ψυχαὶ σκυθρωπάζουσι καὶ συστέλλονται· αἱ δὲ τῶν ἀφρόνων ἐπαιρόμεναι διαχέονται.

Isocrat. Ne serius esto in rebus jocosis, neque inter seria ridiculus gaude. Nam quod intempestivum est, ubique molestum est.

Μὴ παρὰ γέλωτα σπούδαζε, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαῖρε. Τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.

Moschion. Qui cum adolescente ridere vult, turpes contumelias et reprehensionem lucrabitur.

Γελᾶν ὁ θέλων μετὰ μειρακίου αἰσχρὰς ὕβρεις κερδήσει καὶ μέμψιν.

Catonis. Qui in ridiculis seril sunt, in seriis 110 sunt ridiculi.

Οἱ σπουδάζοντες ἐν τοῖς γελοίοις ἐν τοῖς σπουδαίοις γίνονται καταγέλαστοι.

Straton. Stratonicus citharœdus cum vidisset quemdam imperite jaculantem, abiens ad ipsum scopum constitit, et cum quidam interrogaret causam, respondit : « Ne feriar. »

Στρατόνικος ὁ κιθαριστὴς θεασάμενός τινα ἀφυῶς τοξεύοντα, ἀπελθὼν ἔστη παρὰ τὸν σκοπόν· πυνθανομένου δέ τινος τὴν αἰτίαν, « Ὅπως, ἔφη, μὴ πληγῶ. »

SERMO XLIV [*al.* XXXVI].

ΛΟΓΟΣ ΞΔ'.

De rationali, et ratione seu cogitatione.

Περὶ λογικοῦ καὶ λογισμοῦ.

Matth. XII. Bonus homo bona profert ex bono thesauro cordis, et malus homo ex malo thesauro mala profert.

Ὁ ἀγαθὸς ἄνθρωπος, ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά.

Salomonis. Prudentis cogitationes viæ sunt vitæ: a cogitationibus autem ejus replebitur vir bonus.

Ὁδοὶ ζωῆς διαγοήματα συνετοῦ· ἀπὸ τῶν διανοημάτων αὐτοῦ πλησθήσεται ἀνὴρ ἀγαθῶν.

Prov. XII. Cogitationes justorum judicia sunt.

Λογισμοὶ δικαίων κρίματα.

Eccli. XXVII. Ut sordes in excusso cribro, ita spurcitias hominis ratio discernit (*vel* spurcitia inhæret cogitationi hominis).

Ἐν σείσματι κοσκίνου διαμένει κοπρία· οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.

Prov. XIX. Multæ sunt cogitationes in corde hominis; consilium autem Dei superabit in æternum.

Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός· ἡ δὲ βουλὴ τοῦ Θεοῦ κρατήσει εἰς τὸν αἰῶνα.

Theologi. Ratio melior est actionibus aut pecuniis. Nam istæ corrumpuntur, ratio permanet.

Κρεῖσσον λογισμὸς πράξεων ἢ χρημάτων. Τὰ μὲν γὰρ τῆς φθορᾶς ἐστιν, ὁ δὲ ἵσταται.

S. Chrysost. Aviculis ideo datæ sunt alæ, ut fugiant laqueos; et ratio hominibus, ut a peccatis effugiant.

Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· καὶ διὰ τοῦτο λογισμὸς τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσιν ἁμαρτήματα.

Mens non desinit producere cogitationes; tu vero malas evelle, bonas cole.

Οὐ παύεται λογισμοὺς ἡ διάνοια τίκτουσα· σὺ δὲ τοὺς μὲν φαύλους ἔκτιλλε, τοὺς δὲ ἀγαθοὺς γεώργει.

Clementis. Abstinentia factorum non justum reddit fidelem, sed cogitationum castitas et puritas.

Οὐχ ἡ τῶν πράξεων ἀποχὴ δικαιοῖ τὸν πιστὸν, ἀλλ' ἡ τῶν ἐννοιῶν ἁγνεία καὶ εἰλικρίνεια.

Plutarchi. Solem sæpe nubes obumbrant, rationem affectus.

Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

Pedi spinam, brutæ animæ ignorantiam eximere oportet.

Ἐκ μὲν τοῦ ποδὸς τὴν ἄκανθαν', ἐκ δὲ τῆς ἀλόγου ψυχῆς τὴν ἄγνοιαν ὑπεξελέσθαι δεῖ.

Qui omnia secum ratione considerat,
Malum removet, bonum autem carpit.
(*Philemonis.*)

Ὁ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν,
Τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

Isocratis. Quæ tibi ratiocinanti optima videntur, eadem re ipsa perfice.

Ἃ ἄν σοι λογιζομένῳ βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει.

Quæ non facere convenit, de iis faciendis ne cogita quidem.

Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοεῖν παρεῖν.

Quemadmodum ex civitate bonis legibus instituta hominem seditiosum, sic ex anima cogitationem ad mala inclinantem fugare oportet.

Δεῖ, ὥσπερ ἐξ εὐνομουμένης πόλεως φυγαδεύειν στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα λογισμόν.

SERMO LXV [*al.* IV].

ΛΟΓΟΣ ΞΕ'.

De voluntario et involuntario.

Περὶ ἑκουσίου καὶ ἀκουσίου.

Luc. XII. Servus ille qui voluntatem domini sui novit et non facit, multis verberibus afficietur; qui autem ignorat, paucis.

Ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, δαρήσεται ὀλίγας.

I Cor. IX. Væ autem mihi est, nisi evangelizem.

Οὐαὶ δέ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι. Εἰ γὰρ

ἐκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκο- A νομίαν πεπίστευμαι.

Ἀκούσιος ἐξῆλθεν ἀπὸ προσώπου ἐξουσιάζοντος.

Ἅμελγε γάλα, καὶ ἔσται βούτυρον. Ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας, ἐξελεύσεται αἷμα· ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελεύσονται κρίσεις καὶ μάχαι.

Τὰ ἐν ᾅδου κακὰ οὐ Θεὸν ἔχει τὸν αἴτιον, ἀλλ' ἡμᾶς αὐτούς. Ἀρχὴ γὰρ καὶ ῥίζα τῆς ἁμαρτίας τὸ ἐφ' ἡμῖν καὶ τὸ αὐτεξούσιον.

Ἐπαινοῦμεν τοὺς κατὰ προαίρεσιν ἀγαθοὺς, οὐ τοὺς ὑπό τινος ἀνάγκης εἰς τοῦτο ἥκοντας. Ὅπου γὰρ προαίρεσις ἑτοίμη, τὸ κωλύον οὐδέν.

Βία γὰρ ἢ φόβος ἀρετῆς οὐκ ἄν ποτε γένοιτο B δημιουργός· ἀθελούσια γὰρ καὶ οὐκ ἀνάγκης τὰ καλά.

Τὸ ἑκούσιον λυπηρὸν τοῦ ἀκουσίου τερπνοῦ τιμιώτερον.

Τὸ μὲν γὰρ ἑκούσιον μονιμώτερόν τε καὶ ἀσφαλέστερον. Φιλεῖ τὸ βίᾳ κρατούμενον ἐλευθεριάζειν καιροῦ λαβόμενον.

Ποιμὴν ἀμέλγει, εἰ θέλοι, καὶ τοὺς τράγους,
Ἀλλ' ἀντὶ γάλακτος αἱμάτων πηγὰς οἴσει.

Οὐ τοὺς ἀνάγκῃ τῆς κακίας ἀπεχομένους, ἀλλὰ τοὺς προαιρέσει, στεφανοῖ ὁ Θεός.

Οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ βουλήσει καὶ γνώμῃ προσάγεται ἡμᾶς ὁ Θεός.

Οὐδεὶς καρπὸς ἀνάγκης, ἀλλὰ πᾶς μισθὸς προαιρέσεως· οὐ γὰρ λογίζεται ὁ Θεὸς τὰ ἐξ ἀνάγκης, ἀλλὰ C τὰ ἐκ προαιρέσεως κατορθούμενα.

Τὸ ἐκ φύσεως ἀγαθὸν ἀδόκιμον· τὸ δὲ ἐκ προαιρέσεως ἐπαινετόν.

Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν, περιῶσοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν· ἔξεις δὲ ἀγαθοὺς, εἰ τοὺς μὲν ἑκόντας παιδεύεις, τοὺς δὲ ἄκοντας, ἔπειτα καὶ χειρωμένους ὑπολύεις. Συμφεύξεται γὰρ τοῖς φεύγουσιν ἡ μοχθηρία ἅμα καὶ ἡ δουλεία· συνυπολειφθήσεται δὲ τοῖς συμβαίνουσί σοι ἡ χρηστότης καὶ ἡ ἐλευθερία.

Nam si volens hoc faciam, præmium habeo : sin invitus, dispensatio commissa est mihi.

Invitus exivit a facie potestatem habentis.

Prov. XXX. Lac si premas, butyrum exit ; qui nares emungit, sanguinem elicit : sed III si proferis verba, lites erumpent et pugnæ.

Incerti. Deus non auctor est malorum apud inferos, sed nosipsi. Principium enim et radix peccati est arbitrium nostrum, et voluntatis nostræ libertas.

Laudamus eos qui ex animi instituto, non adacti aliqua necessitate, boni sunt. Nam ubi prompta voluntas est, nihil prohibet.

Vis aut metus non possunt efficere virtutem ; ex voluntate enim, non necessitate proficiscuntur bona.

Molestum spontaneum involuntario jucundo præstat.

Theologi. Voluntarium enim stabilius et tutius est. Quod violenter vincitur, id occasionem nactum in libertatem se asserere solet.

Pastor si velit hircos etiam mulgeat,
Sed pro lacte sanguinis fontes hauriet.

S. Chrysost. Non illos qui necessario, sed qui sponte sua vitiis abstinent, Deus coronat.

Deus nos allicit, non vi et necessitate, sed per voluntatem et rationem.

Nullus est necessitatis fructus, sed omnis merces voluntati tribuitur. Non enim reputat Deus quæ necessario, sed quæ ultro consultoque recte geruntur.

Chericil. Productum a natura bonum non approbatur : a voluntate vero natum laudabile est.

Epictet. Si vis sine perturbatione et placide vivere, fac ut omnes tibi familiares boni sint : erunt autem boni, si volentes erudias, invitos vero (*in Græco additur*, ἔπειτα καὶ χειρωμένους) dimittas. Simul enim fugientibus illis improbitas et servitus aufugient ; relinquetur autem cum illis qui tibi conversantur probitas et libertas.

ΑΘΡΟΣ ΞΣ'.

Περὶ φόβου Κυρίου, καὶ ἁπλῶς.

Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, D τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.

Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

Ἐπ' ἀληθείας καταλαμβάνω, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν.

Φόβος Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου.

Τέλος λόγου τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε· ὅτι τοῦτο πᾶς ἄνθρωπος.

Χρήματα καὶ ἰσχὺς ἀνυψοῦσι καρδίαν, καὶ ὑπὲρ ἀμφότερα φόβος Κυρίου.

SERMO LXVI.

De timore Domini, et de timore in genere.

Matth. X. Ne timeatis ab illis qui corpus occidunt, animam vero occidere non possunt.

Ibid. XXV. Spiritus quidem promptus est, caro autem imbecillis.

Act. XI. In veritate deprehendo, quod Deus non est personarum acceptor, sed in omni gente qui metuit ipsum et justitiam facit, acceptus est ei.

Prov. XIV. Timor Domini fons vitæ, facit autem declinare a laqueo mortis.

Audi omnem sermonis summam, Deum time, et præcepta ejus custodi.

Eccli. XL. Pecuniæ et vires extollunt cor, utrumque vero superat timor Domini.

S. Basilii. Timores non inutiles sunt prudentibus, sed valde boni et salubres. Quamvis enim eos fieri deprecamur, **112** factis tamen castigamur. Afflicta enim anima approquinquat Deo, ut pulcherrime alicubi dicit Petrus.

Theologi. Non oportet initio a contemplatione facto in timorem descendere; contemplatio enim freno destituta, cito ad abrupta nos trahere potest; sed timore eruditi, purgati et quasi extenuati in altum efferamur.

Crepitantibus foliis terrentur lepores,
Viri autem timidi rerum umbris.

S. Chrysost. Non tantum verbis effici potest quam timore. Nam timor gehennæ regni coronam nobis afferet.

Multorum nobis bonorum, si velimus, causa sit diabolus: metuentes enim insidias ejus, sobrii sumus et memores Dei. Nam qui videt instantem hostem, ad illum confugit qui potest opem ferre.

Climacis. Quemadmodum solis radius per foramen illapsus, quidquid in domo est illustrat, ita ut vel minima videantur, et pulvis ipse volitans: sic etiam Dei timor, cum discretione natus in corde, omnia ejus peccata prodit.

Severiani. Dei timor initium est salutis hominum, et lex divina radix est nobis omnium bonorum.

Bias. Bias interrogatus quidnam in vita metu vacaret, dixit: Recta conscientia.

SERMO LXVII [*al.* CI].

De lege.

Joan. VIII. Judicium meum justum est, quia non sum solus, sed ego et qui misit me; et in lege vestra scriptum est, quod duorum hominum testimonium verum sit.

Rom. I. Qui sine lege peccarunt, peribunt etiam sine lege; et qui in lege peccarunt, per legem judicabuntur.

Salomon. Legem cognoscere est bonæ mentis.

Eccli. XXI. Qui legem Domini servat, imperat cogitationibus suis (vel servat voluntatem ejus).

S. Basilii. Non fieri potest ut servetur qui non facit opera secundum præcepta Domini, neque ullum ex præceptis sine periculo negligitur. Nam inaudita res est constituere nos judices legislatoris, et legum ejus alias admittere, alias rejicere. Si enim perfectum esse oportet Dei hominem, omnino necessarium est ut in omnibus præceptis absolutus sit, ad modum et summam perfectionem Christi. Imo, ex lege divina, quantumcunque purum sit sacrificium, indignum est cultu Dei.
Legem observans, ejicies timorem.
Vacat enim timore quilibet custos legis. (*Theologi.*)

Duo sunt quibus regimur, natura et lex. Fortior autem est natura quam lex.

S. Chrysost. Peccatis ex necessitate commissis leges etiam ignoscunt.

Legum genera tria sunt, lex naturæ, lex scripta quæ Moysi data est lex gratiæ.

Οἱ φόβοι τοῖς εὖ φρονοῦσιν οὐκ ἄχρηστοι, ἀλλὰ λίαν καλοὶ καὶ σωτήριοι. Εἰ γὰρ καὶ γίνεσθαι αὐτοὺς ἀπευχόμεθα, γενομένοις γε παιδευόμεθα. Κάμνουσα γὰρ ψυχὴ ἐγγίζει Θεῷ, φησί που θαυμασιώτατα λέγων ὁ Πέτρος.

Οὐκ ἀπὸ θεωρίας ἀρξαμένους εἰς φόβον χρὴ καταλήγειν. Θεωρία γὰρ ἀχαλίνωτος τάχα ἂν καὶ κατὰ κρημνῶν ὤσειεν· ἀλλὰ φόβῳ στοιχειουμένους, καὶ καθαιρομένους, καὶ ἵνα οὕτως εἴπω, λεπτυνομένους, εἰς ὕψος αἴρεσθαι.

Φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ κτύποι,
Ἄνδρας δ' ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.

Οὐ τοσοῦτον ἐργάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος. Ὁ γὰρ τῆς γεέννης φόβος τὸν τῆς βασιλείας ἡμῖν κομιεῖται στέφανον.

Αἴτιος ἡμῖν πολλῶν ἀγαθῶν, εἰ βουλοίμεθα, ὁ διάβολος· δεδοικότες γὰρ αὐτοῦ τὰς ἐκβουλὰς, νήφομεν καὶ μεμνήμεθα τοῦ Θεοῦ. Ὁ γὰρ ἐφεστὼτα τὸν ἐχθρὸν ὁρῶν τῷ δυναμένῳ προστρέχει βοηθεῖν.

Ὥσπερ ἀκτὶς ἡλίου δι' ὁπῆς εἰσελθοῦσα ἐν οἴκῳ πάντα φωτίζει, ὡς καὶ τὸ λεπτότατον ὁρᾶν, τόν τε κονιορτὸν πετόμενον· οὕτως καὶ φόβος Θεοῦ μετὰ διακρίσεως ἐν καρδίᾳ γενόμενος, πάντα αὐτῇ τὰ αὐτῆς ἁμαρτήματα ὑποδείκνυσιν.

Ἀρχὴ σωτηρίας ἀνθρώπων ὁ τοῦ Θεοῦ φόβος, καὶ ῥίζα πάντων ἐν ἡμῖν ἀγαθῶν ὁ τοῦ Θεοῦ νόμος.

Βίας ἐρωτηθεὶς τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον, εἶπεν, Ὀρθὴ συνείδησις.

ΛΟΓΟΣ ΞΖ'.

Περὶ νόμου.

Ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶν, ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με· καὶ ἐν τῷ νόμῳ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.

Ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται.

Τὸ νόμον γνῶναι διανοίας ἐστὶν ἀγαθῆς.

Ὁ φυλάσσων νόμον Κυρίου κρατεῖ τοῦ ἐννοήματος αὐτοῦ.

Οὐ δυνατὸν σωθῆναι μὴ ποιοῦντα τὰ κατ' ἐντολὴν τοῦ Θεοῦ ἔργα, οὔτε τὸ παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον. Δεινὴ γὰρ ἡ ἕπαρσις κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, καὶ τοὺς μὲν ἐγκρίνειν τῶν νόμων, τοὺς δὲ παραπέμπεσθαι. Εἰ γὰρ δεῖ τέλειον εἶναι τὸν τοῦ Θεοῦ ἄνθρωπον, ἀνάγκη πᾶσα διὰ πάσης ἐντολῆς καταρτισθῆναι, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἐπεὶ κατὰ τὸν θεῖον νόμον, κἂν καθαρὸν ᾖ τὸ τελούμενον, ἀπρόσδεκτον εἰς θυσίαν τῷ Θεῷ.

Νόμους φυλάττων, τοὺς φόβους ἔξω βαλεῖς.
Φόβων γὰρ ἔξω πᾶς ὁ τοῦ νόμου φύλαξ.

Δύο μὲν γὰρ τὰ διάγοντα ἡμᾶς ἐστι, φύσις καὶ νόμος· Κρατεῖ δὲ τοῦ νόμου ἡ φύσις.

Ἴσασι καὶ οἱ νόμοι τὰ ἐξ ἀνάγκης συγγινώσκειν ἁμαρτήματα.

Εἴδη τῶν νόμων τρία, νόμος ὁ τῆς φύσεως, νόμος ὁ τοῦ γράμματος ὁ τῷ Μωϋσεῖ δοθεὶς, νόμος ὁ τῆς χάριτος.

Ζάλευκος ὁ τῶν Λοκρῶν νομοθέτης τοὺς νόμους A τ.ἰς ἀραχνίοις εἶπεν ὁμοίους εἶναι. Καὶ γὰρ εἰς ἐκεῖνά ἐὰν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται· ἐὰν δὲ σφὴξ ἢ μέλισσα, διαῤῥήξασα ἀφίσταται. Ἐν τοῖς νόμοις ἐὰν ἐμπέσῃ πένης, συνέχεται· ἐὰν δὲ πλούσιος, ἢ δυνατὸς λέγειν, διαῤῥήξας ἀποτρέχει.

Σόλων ἐρωτηθεὶς ὑπό τινος, πῶς ἄριστα αἱ πόλεις οἰκοῦνται, ἔφη· Ἐὰν μὲν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.

Τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς δὲ ἐλευθέροις ὁ νόμος ἀνάγκη.

Νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· οὐ δύναται δὲ ὅταν αὐτοὶ βούλωνται πάσχειν· ἐν γὰρ τοῖς πειθομένοις ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν.

Ὥσπερ τοῖς νοσοῦσιν ἰατροὶ σωτῆρες, οὕτω καὶ B τοῖς ἀδικουμένοις οἱ νόμοι.

Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι.

Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον.

Τὰ παρὰ νόμον γινόμενα ἀντὶ μὴ γινομένων εἰσί.

ΛΟΓΟΣ ΞΗ'.

Περὶ τοῦ ὅτι δεῖ τιμᾶν ἀρετὴν, καὶ κολάζειν κακίαν.

Ἐκπορευσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως.

Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τη- C ρεῖν.

Ζημιουμένου ἀκολάστου, πανουργότερος γίνεται ἄκακος.

Πανοῦργος, ἰδὼν πονηρὸν τιμωρούμενον, κραταιῶς αὐτὸς παιδεύεται.

Οὐ δίκαιον ἀτιμᾶσαι πτωχὸν συνετὸν, καὶ οὐ καθῆκον δοξάσαι ἄνδρα ἁμαρτωλόν.

Δὸς τῷ δεομένῳ, καὶ μὴ δῷς τῷ ὀρχουμένῳ, ἵνα μὴ μετὰ τῶν σῶν χρημάτων καὶ τὴν ψυχὴν ἀπολέσῃς τὴν ἐκείνου· σὺ γὰρ αἴτιος εἶ τῆς ἐκείνου ἀπωλείας διὰ τῆς ἀκαίρου φιλοτιμίας. Εἰ γὰρ οἱ ἐπὶ τῆς ὀρχήστρας ᾔδεσαν, ὅτι τὸ ἐπιτήδευμα αὐτοῖς ἀκερδὲς ἔμελλεν ἔσεσθαι, πάλαι ἂν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες.

Ἀδικεῖ τοὺς ἀγαθοὺς ὁ φειδόμενος τῶν κακῶν. D

Ὅσοι τοὺς ἀδικοῦντας κολάζουσιν, οὗτοι τοὺς ἄλλους ἀδικεῖσθαι κωλύουσιν.

Ὁ ἀρετὴν τιμῶν πρώτην ἀλήθειαν τιμᾷ, καὶ μάλιστα ὡς ἀγαθοῦ παντὸς ἡγεμονεύουσαν.

Σόλων ὁ σοφὸς ἐκείνην εἶπεν ἄριστα οἰκεῖσθαι τὴν πόλιν, ἐν ᾗ τοὺς ἀγαθοὺς συμβαίνει τιμᾶσθαι, κάκιστα δὲ οἰκεῖσθαι, ἐν ᾗ τοὺς κακούς.

Δύο ἀφορμαὶ κινοῦσιν ἄνθρωπον εἰς Θεοῦ ἐπιμέλειαν, τιμωρία δυσσεβείας, καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί.

Ἀφόρητος γίνεται κακία ἐπαινουμένη.

Μὴ τιμωμένης ἀρετῆς ἡ κακία παῤῥησιάζεται.

Zaleucus. Zaleucus Locrensium legislator leges aranearum telis comparabat. Illis enim **113** si musca vel culex inciderit, detinetur : sin vespa aut apis, lacerat telam et avolat. Et in leges si pauper inciderit, retinetur : sin aliquis dives aut disertus, perrumpens evadit.

Solon. Solon rogatus a quodam quomodo optime civitates habitarentur, dixit : Si cives principibus, principes legibus obediant.

Demadis. Servis quidem necessitas lex est, liberis autem lex est necessitas.

Epictecti. Legis scopus est bene mereri de vita hominum; non potest autem erga hominus benefica esse, quando ipsi pati volunt; solis enim obedientibus suam virtutem declarat.

Ægri servator est medicus; injuriam passi, lex.

Leges verissimæ sunt quæ justissimæ.

Legi et principi et sapientiori cedere decorum est.

Quæ præter legem fiunt, pro non factis habentur.

SERMO LXVIII [*al.* II].

Virtutem honorandam et vitium puniendum esse.

Joan. v. Egredientur qui bona fecerunt, ad resurrectionem vitæ, qui vero mala perpetrarunt, ad resurrectionem judicii.

II Petr. II. Novit Dominus pios a tentatione liberare, injustos autem ad diem judicii puniendos reservare.

Solomon. Cum punitur luxuriosus, prudentior evadit innocens.

Prudens multo fit doctior cum videt improbum puniri.

Eccli. x. Pauperem prudentem contemnere non justum est, neque peccatorem honore affici decet.

S. Chrysost. Egenti dato, et saltanti ne dederis, ne cum tuis pecuniis animam quoque illius perdas. Tu enim intempestiva liberalitate causa es perditionis ejus. Nam, si scirent qui frequentant orchestram, inutile sibi hoc studium futurum, pridem sane his rebus vacare desiissent.

Isa. Injurius est bonis qui parcit malis.

Qui puniunt injurios, ne aliis injuria fiat prohibent.

Qui virtutem colit, primo et maxime veritatem colit, utpote ducem bonorum omnium.

Solon. Solon ille sapiens optime dixit habitari civitatem illam, in qua boni honorantur, pessime autem illam, in qua mali.

Sexti. Duæ causæ movent hominem ad cultum Dei, impietatis pœna, et mentis piæ remuneratio.

Improbitas si laudetur, intolerabilis fit.

Procopii rhetoris. Ubi virtus non honoratur, ibi malitia libertate fruitur.

114 SERMO LXIX [*al.* III].

Malitiam esse facilem et virtutem acquisitu difficilem.

Matth. VII. Ingredimini per angustam portam : lata enim est porta, et ampla via deducens ad perniciem.

Hebr. XII. Omnis castigatio in præsens quidem non videtur esse gaudii, sed molestiæ. At postea fructum tranquillum justitiæ reddit iis qui per illam fuerint exercitati.

Prov. XIV. Est via quæ videtur apud homines recta esse, finis autem ejus procedit ad fundum inferorum.

Eccli. XXI. Via peccatorum lapidibus est complanata, at in exitu ejus orci fovea.

Basilii. Quodnam bonum facile est? Quis dormiens tropæum statuit? Quis indulgens deliciis et tibiarum concentui, continentiæ coronis redimitus est? Nullos sine cursu meruit bravium. Labores gignunt gloriam, et certamina coronas acquirunt.

Multi multis ab adolescentia collectis, postquam ætatis medium attigerunt obortis afflictionibus per spiritus malitiæ, non potuerunt ferre vim tempestatis, utpote imperiti gubernationis, et rerum suarum omnium jacturam fecerunt.

Theologi. Vix præstari potest recta virtus, et non parvis laboribus comparatur.

Rara et ardua est possessio boni, licet multa sint quæ ad bonum alliciant et provocent.

In promptu est improbitas, neque quidquam tam facile quam fieri malum.

Æque difficile est vel acquirere bonum aliquod ab initio, vel acquisitum conservare. Sæpius enim quod industria conquisivit, negligentia perdidit, et quod ignavia pessumdedit, diligentia recuperavit.

Facilius est vitii participem fieri, quam communicare virtutem.

Ut materia humida ignem, sic hominum natura bonum vix comprehendit; plurimi autem ad mala perpetranda prompti et idonei sunt.

Celebritas illa malitiæ multos allicit ad similem rerum lubricarum affectationem.

Malitia facilius sequitur malum, quam impeditur a bono.

Facilius est ab initio non celere malitiæ, et primum nascentem effugere, quam impedire et superare progressam : quemadmodum et lapidem ab initio apprehendere et retinere, quam repellere cum in motu est.

S. Chrysost. Multum voluptatis malitiæ, multum autem laboris sudorisque virtuti conjunctum est. Et quænam tibi gratia deberetur, aut quid mercedis **115** acciperes, nisi negotium esset laboriosum? Etenim multos ostendere possem, qui natura mulieribus misceri oderant. Illosne temperantes

A

Περὶ τοῦ ὅτι εὔκολος ἡ κακία, καὶ δυσκτητος ἀρετή.

Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν.

Πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς ἐγγεγυμνασμένοις ἀποδίδωσιν.

Ἔστιν ὁδός, ἡ δοκεῖ παρὰ ἀνθρώποις ὀρθὴ εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου.

Ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἀπὸ λίθων, καὶ ἐπ' B ἐσχάτου αὐτῆς βόθρος ᾅδου.

Τί τῶν ἀγαθῶν εὔκολον; Τίς καθεύδων τρόπαιον ἔστησεν; Τίς τρυφῶν καὶ καταυλούμενος τοῖς τῆς καρτερίας στεφάνοις κατεκοσμήθη; Οὐδεὶς μὴ δραμὼν ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι δὲ προξενοῦσι στεφάνους.

Πολλοὶ πολλὰ συναθροίσαντες ἐκ νεότητος, περὶ τὰ μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντων αὐτοῖς πειρασμῶν ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τὸ βάρος, διὰ τὸ τὴν κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι· ἀλλὰ πάντων ἐκείνων τὴν ζημίαν ὑπέμειναν.

Δυσκατόρθωτος ἡ ἀρετὴ, καὶ οὐ μικροῖς ἀλίσκεται πόνοις.

Σπάνιον ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν C εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον.

Πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδὲν οὕτω ῥᾴδιον ὡς τὸ γενέσθαι κακόν.

Τῆς αὐτῆς ἐστι δυσχερείας καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καὶ κτηθὲν διασώσασθαι. Πολλάκις γὰρ ὃ μὲν σπουδὴ προσέλαβεν, ῥᾳθυμία διέφθειρεν, ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια.

Κακίας ῥᾷον μεταλαβεῖν, ἢ ἀρετῆς μεταδοῦναι.

Δύσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ τὸ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ· ἕτοιμοι δὲ πρὸς τοῦ κακοῦ ἐργασίαν οἱ πλείστοι καὶ ἐπιτήδειοι.

D Τὸ ἐν κακίᾳ περίβλεπτον πολλοὺς εἰς τὸν ὅμοιον ζῆλον τῶν εὐολισθήτων ἐφέλκεται.

Πρόχειρον ἡ πονηρία τῷ κακῷ μᾶλλον ἀκολουθεῖν, ἢ ὑπὸ τοῦ κρείττονος ἀναχόπτεσθαι.

Ῥᾷον γὰρ ἀπ' ἀρχῆς μὴ ἐνδοῦναι κακίαν, καὶ προϊοῦσαν διαφυγεῖν, ἢ προβαίνουσαν ἀναχόψαι, καὶ φανῆναι ταύτης ἀνώτερον· ὥσπερ καὶ πέτραν ἀπ' ἀρχῆς αἱρῆσαι καὶ κατασχεῖν, ἢ φερομένην ἀνώσασθαι.

Πολλὴ μὲν ἡδονὴ τῇ κακίᾳ, πολὺς δὲ τῇ ἀρετῇ συνέζευκται πόνος καὶ ἱδρώς. Καὶ ποία σοι χάρις ἦν; τίνα δ' ἂν ἔλαβες μισθὸν, εἰ μὴ ἐπίπονον τὸ πρᾶγμα ἦν; καὶ γὰρ πολλοὺς ἔχω δεῖξαι φύσει τὸ μίγνεσθαι γυναιξὶ μισοῦντας. Τούτους οὖν σώφρονας καλέσομεν, ἢ στεφανώσομεν; Οὐδαμῶς. Σωφρο-

σύνη γάρ ἐστιν ἐγκράτεια, καὶ τὸ μαχόμενον περιγενέσθαι τῶν ἡδονῶν.

Πολλὴ πρὸς τὴν κακίαν ἐστὶν ἡ εὐκολία, καὶ ὀξύρροπος ἐπὶ τὸ χεῖρον ἡ φύσις.

Κόπῳ πολλῷ, καὶ μόχθῳ, καὶ ἱδρῶτι, κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστὸν καὶ εὐκατάστατον· καὶ τὰ πολλῷ μόχθῳ κατορθούμενα δυνατὸν ἐν μιᾷ καιροῦ ῥοπῇ ἀπολέσαι.

ΛΟΓΟΣ Ο'.

Περὶ εὐτυχίας καὶ δυστυχίας.

(Λείπει τι ἐνταῦθα.)

Μεγίστη γὰρ ἐπικουρία τοῖς ἀτυχοῦσι μεταβολῆς ἐλπὶς, καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον.

Πληγὴ τοῖς εὖ φρονοῦσι παίδευμα γίνεται, καὶ κρειττόνων εὐημερίας πολλάκις κακοπάθεια.

Μεγίστη συμφορὰ ἀνθρώπῳ δυσπραγοῦντι καὶ ἡ ἐρημία τοῦ ἀνακτησομένου.

Μέγα τῷ ἀτυχοῦντι φάρμακον ἔλεος ἀπὸ ψυχῆς εἰσφερόμενος· καὶ τὸ συναλγεῖν γνησίως πολύ τι κουφίζει τῆς συμφορᾶς.

Οὐ μικρὸν δὲ καὶ τὸ ἐν εὐημερίᾳ γενομένους μὴ εἰς λήθην ἐμπεσεῖν τῶν εὐεργετησάντων.

Θρήνει τὸν ἁμαρτωλὸν εὐθηνοῦντα· τὸ ξίφος γὰρ αὐτῷ τῆς δίκης ἐπιτείνεται.

Πάντων σοὶ τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου μεταβολήν· καὶ πάλιν ποτὲ ὑπὸ ἀπροσδοκήτων συμφορῶν κυκλούμενος, φαντάζου τὰ χρηστὰ καὶ κρείττονα.

Εὐδαιμονίαν κτήσασθαι μὲν, οὐκ εὐχερές· κτηθεῖσαν δὲ μέχρι τέλους διασώσασθαι, πολλῷ δυσχερέστερον.

Πᾶσα συμφορὰ κούφη ἐστὶν ἀνδρὶ μὴ κούφῳ.

Οὔτε τὸν ἀῤῥωστοῦντα ἡ χρυσόπους ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία.

Τοῖς μὲν νοσοῦσιν ἰατροὺς, τοῖς δ' ἀτυχοῦσι φίλους δεῖ συμπαρεῖναι.

Αἱ ἐπιφανεῖς τύχαι, καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων, μεγάλα ποιοῦσιν ναυάγια.

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ φρονοῦντες εὖ καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἡτοιμάκασι βοηθήματα.

Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ. Πολλάκις γὰρ τοὺς μὴ νικήσαντας στεφανοῖ.

Ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθρούς σου εὐφράνῃς.

Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτε εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος.

Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ· καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.

Καλὸν μὲν ἐπὶ ἑστίας φαίνεσθαι τὸ πῦρ λαμπρὸν, ἐπὶ δὲ τῆς εὐτυχίας τὸν νοῦν.

Σωκράτης ἐρωτηθεὶς, τί λυπεῖ τοὺς ἀγαθοὺς, ἔφη· « Εὐτυχία πονηρῶν. »

A vocabimus aut coronabimus? Minime. Temperantia enim est continentia et voluptates pugnando vincere.

Gregor. Nysseni. Magna facilitas est ad malitiam, et in deteriora proclivis natura delabitur.

Joan. Climacis. Labore multo et sudore mores boni et recte compositi in nobis efficiuntur: fieri-que potest ut quæ multo labore præclare facta sunt, uno temporis momento perdantur.

SERMO LXX [*al.* CXLVIII].

De fortuna bona et mala.

Qui in bona fortuna modum et disciplinam non adhibet, huic etiam dolenti consolatio nulla proderit.

B Maximum præsidium calamitosis est vicissitudinis spes, et melior status ob oculos positus.

Afflictio prudentibus disciplina fit, et melior est interdum adversitas prosperitate.

Maxima calamitas est homini misero destitui a quo restituatur et recreetur.

Magnum remedium est infortunato misericordia ex animo collata: et sincera condolentia multo leviorem reddit calamitatem.

Non parum est si fortunati facti non obliviscantur illorum a quibus affecti sunt beneficiis.

Nili. Luge peccatorem fortunatum. Intentatur enim ei gladius judicii.

Cum omnes res tuæ bene procedunt, exspecta mutationem: et rursus alias inopinatis malis circumdatus, fausta et meliora tibi promitte.

Photii. Felicitatem acquirere non facile est: acquisitam vero ad finem usque servare multo difficilius.

Evagrii. Homini non levi quævis calamitas levis est.

Plutarchi. Nec ægrum aurcis pedibus suffultus grabatus juvat, nec stoliduni insignis prosperitas.

Ægris medicos, infortunatis amicos adesse oportet.

Insignes fortunæ, sicut venti vehementes, inferunt magna naufragia.

Ut qui cœlo sereno navigant, instrumenta etiam D adversus tempestates in promptu habent: ita qui in læta fortuna recte sapiunt, præsidium quoque adversus infortunia comparant.

Fortuna similis est malo certaminum præsidi. Nam sæpe coronat illos qui non vicerunt.

Infortunium cela, ne gaudium parias inimicis tuis.

116 *Isocratis.* Nihil in rebus humanis firmum esse cogites. Sic enim neque fortunatus nimium gaudebis, nec infortunatus tristabere nimium.

Democriti. Etiam bonus gubernator aliquando naufragus fit, et vir industrius, infortunatus.

In foco ignem, in bona fortuna mentem splendere pulchrum est.

Socratis. Socrates interrogatus quid bonis viris molestum esset, dixit: Felicitas malorum.

Chariclem. Solet enim prosperitas inopinata contumeliæ facinora prolicere.

Moschionis. Quem fortuna contumeliosum reddit, is vapulat etiam a benignis.

Demonactis. Ut musicæ rudes organis, sic indocti fortunis accommodare se nesciunt.

Fugæ tempus in bello virum revera fortem declarat, infortunium vero prudentem.

Pharorini. In læta fortuna ne superbias, et inops ne dejicias animum. Fortunæ vices fortiter ferre scias.

Alexander rex cum Diogenem in dolio dormientem vidisset, dixit : (*Deest aliquid.*)

Avarus quidam hæc verba protulit (1) :
Malo fortunæ guttam, quam dolium mente plenum.
Nam illâ absente infortunata mens est.

Cui quidam ex prudentiæ studiosis respondit :
Stilla mihi mentis potius obtingat, quam fortunæ [mare.

Demetrius. Demetrius illum qui sinistram fortunam ferre nequeat, ne dextram quidem ferre posse dixit.

Cypselli. In læta fortuna moderatus, in tristi prudens esto.

Docti homines, quemadmodum in palæstra exercitati, etsi ceciderint, statim et cum dexteritate quadam ab infortunio resurgunt.

Ad faustam navigationem gubernatore et vento opus est, ad vitæ felicitatem vero ratione et fortuna.

Isocratis. Rationis opem ceu boni medici in calamitate invocare oportet.

Stultus, bona fortuna tanquam ebrietate ninium fruens, stultior evadit.

Fortunatorum antagonista est invidia.

Qui meminit quid sit homo, nullum evenientem casum ægre feret.

Hieron interrogatus, quis felix esset, dixit : « Qui corpore sanus est, animo liberalis, et ingenio docilis. »

Romulus dixit : « Quæ nocent hominibus, vitam eorum docent. Multi enim cum ratione futura prævidere non possint, patiendo res intelligunt. »

Diodori. Oportet enim non ex eventibus **117** bonos viros judicare, sed ex animi proposito. Illorum enim domina esse fortuna, hujus autem ipsa voluntas creditur.

Felicioris ingenii est infortunia cum dexteritate ferre, quam ingentem prosperitatem regere prudenter.

Libanii sophistæ. Calamitates etiam valde prudentem sæpe propulerunt verba aliqua suis indigna moribus efferre.

Bona conservare difficilius est quam acquirere.

A Φιλεῖ γὰρ εὐημερία παράλογος ὕβρεως ἔργα προκαλεῖσθαι.

Ὃν ἡ τύχη προπηλακίζει, καὶ παρὰ τῶν πρᾴων οὗτος μάστιγας εὑρίσκει.

Οὔτε οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὔτε οἱ ἀπαίδευτοι ταῖς τύχαις δύνανται συναρμόσασθαι.

Δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατὰ ἀλήθειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον.

Εὐτυχῶν μὴ ἴσο ὑπερήφανος, ἀπορήσας δὲ μὴ ταπεινοῦ. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

Ἀλέξανδρος ὁ βασιλεὺς, ἰδὼν Διογένην κοιμώμενον ἐν πίθῳ, ἔφη· Ὦ πίθε μαστὲ φρενῶν. Ὁ δὲ φιλόσοφος ἀναστὰς, ἔφη· Ὦ βασιλεῦ μέγιστε,

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.
B Πρὸς ὃν τις ἀντέφησε τῶν φιλοφρόνων·
Ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βυθὸς τύχης.
Ἧς μὴ παρούσης, δυστυχοῦσιν αἱ φρένες.

Δημήτριος τὸν μὴ δυνάμενον φέρειν ἀτυχίαν μηδ' εὐτυχίαν ἔφη δύνασθαι.

Εὐτυχῶν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος.

Οἱ πεπαιδευμένοι καθάπερ οἱ ἐκ παλαίστρας, κἂν πέσωσι, ταχέως καὶ ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται.

Εἰς μὲν τὸ εὐπλοῆσαι κυβερνήτου καὶ πνεύματος χρεία, εἰς δὲ τὸ εὐδαιμονῆσαι λογισμοῦ καὶ τύχης.

C

Τὸν λογισμὸν ὥσπερ ἰατρὸν ἀγαθὸν ἐπικαλεῖσθαι δεῖ ἐν ἀτυχίᾳ βοηθόν.

Εὐτυχίας ὥσπερ μέθης ἄφρων ἐπὶ πλεῖον ἀπολαύσας, ἀνοητότερος γίνεται.

Τῶν εὐτυχούντων ἀνταγωνιστὴς ὁ φθόνος.

Ὁ μέμνημένος τί ἐστιν ἄνθρωπος ἐπ' οὐδὲν τῶν συμβαινόντων δυσχερανεῖ.

Ἱέρων ἐρωτηθεὶς, τίς ὁ εὐδαίμων, ἔφη· « Ὁ τὸ μὲν σῶμα ὑγιὴς, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος. »

Ῥωμύλος ἔφη τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα εἶναι περὶ τὸν βίον. Πολλοὶ γὰρ οὐ δυνάμενοι τῷ λόγῳ προορᾶν τὸ μέλλον, τῷ πάσχειν ἤσθοντο τὰ πράγματα.

D Χρὴ γὰρ οὐκ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν τοὺς ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως. Τοῦ μὲν γὰρ ἡ τύχη κυρία, τοῦ δ' ἡ προαίρεσις δοκιμάζεται.

Εὐτυχέστερον ὑπάρχει συμφορὰς ἐνεγκεῖν ἐπιδεξίως ἢ τὰς εὐμεγέθεις εὐημερίας ἐμφρόνως.

Αἱ συμφοραὶ καὶ τὸν ἄγαν σώφρονα πολλάκις ἐξήγαγον ἀφεῖναί τι ῥῆμα τῶν αὐτοῦ τρόπων ἀνάξιον.

Τὸ φυλάξασθαι τὰ ἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον.

(1) Græca cum Latinis non concordant, at lectionem utramque consulto dedimus, nam hæc Diogenem dixisse nusquam legitur.

ΛΟΓΟΣ ΟΑ'.

Περὶ βίου ἀνωμαλίας.

Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον.

Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε, μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητος, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι.

Φύσει μὲν οὐδὲν τῶν ἀνθρωπίνων βέβαιον, οὐδὲ ὁμαλὸν, οὐδὲ αὔταρκες, ἀλλὰ κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλας ἐπὶ μιᾶς ἡμέρας πολλάκις, ἔστι δὲ ὅτε καὶ ὥρας, φέρων μεταβολάς. Καὶ αὔραις μᾶλλον ἔστιν πιστεύειν οὐχ ἱσταμέναις, καὶ νηὸς πλοτοπορούσης ἴχνεσι, καὶ νυκτὸς ἀπατηλοῖς ὀνείρασιν, ὧν πρὸς ὀλίγον ἡ χάρις, καὶ ὅσα κατὰ ψάμμον παῖδες τυποῦσι παίζοντες, ἢ ἀνθρώπων εὐημερίας.

Νεκρῶν ἀχρηστότερα τὰ λαμπρὰ τοῦ παρόντος βίου.

Ἐν τῇ εὐδίᾳ ὢν τοῦ βίου, ἐκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων.

Τὸ περὶ τὰ φαινόμενα τὴν σπουδὴν ἔχειν ἴδιόν ἐστι τοῖς μηδεμίαν τοῦ μέλλοντος αἰῶνος ἑαυτοῖς ὑποτιθεμένοις ἐλπίδα.

Μὴ ἐξαπατάτω ἡμᾶς ἐν τῷ κόσμῳ τούτῳ περιφανῆ καὶ λαμπρὰ δεικνύμενα πράγματα. Παρέρχεται γὰρ πάντως, καὶ οὐδὲν τῶν φαινομένων στάσιμον.

Πάντων σου τῶν πραγμάτων κατευοδουμένων, ἐκδέχου καὶ ζημίαν.

Πολλοὶ μὲν ἐπὶ τοῖς ἀμείνοσιν ἀλγοῦσι, πολλοὶ δὲ καὶ ἐπὶ τοῖς χείροσι χαίρουσι· πόσοι μὲν γὰρ πλουτοῦντες ἄχθονται; πόσοι δὲ πενόμενοι ἥδονται; Ἄλλους κάλλος κατ' ἰσχὺς ἔβλαψεν· ἄλλους αἶσχος καὶ ἀσθένεια ὠφέλησεν. Ἕτεροι τὴν εἰρήνην πρὸ τοῦ πολέμου τιμῶσιν· ἕτεροι πολεμεῖν μᾶλλον ἢ εἰρήνην ἐθέλουσι. Τί δ' οὐχ ἁεὶ τυραννοῦντές; τινες ὀλοφύρονται; Καὶ τὸ μέγιστον, πλεῖστοι μὲν ὅσοι ἀηδῶς ζῶσι, πλεῖστοι δὲ ἡδέως ἀποθνήσκουσι.

Ταυτόν ἐστιν ἐπὶ εὐτυχίᾳ μέγα φρονεῖν, καὶ ἐπὶ ὀλισθηρᾶς ὁδοῦ σταδιοδρομεῖν.

Ἔοικεν ὁ βίος θεάτρῳ· οἱ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν ἑαυτοῖς κατέχουσι τόπον.

Ταῖς τῶν καιρῶν μεταβολαῖς καὶ οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

Ἄνθρωπος, ὢν μέμνησο τῆς κοινῆς τύχης.

Θνητὸς πεφυκὼς, τὰ ὀπίσω πειρῶ βλέπειν.

Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ γένει.

Βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον.

ΛΟΓΟΣ ΟΒ'.

Περὶ λύπης καὶ ἀθυμίας.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ.

SERMO LXXI [*al.* CXLVII].

De vitæ inæqualitate.

Joan. XVI. Amen, amen, dico vobis, plorabitis et lamentabimini vos, mundus autem gaudebit, sed tristitia vestra in gaudium vertetur. Mulier cum parit, dolorem habet, quia venit hora ejus. Cum autem peperit puerum, jam non meminit anxietatis, propterea quod gaudeat hominem esse natum in mundo.

1 Tim. VI. His qui sunt divites in præsenti sæculo, præcipe ne elato sint animo, neque spem ponant in divitiis incertis, sed in Deo vivente.

Theologi. Natura quidem nihil ex rebus humanis constans est, nec sibi æqualis, nec per se sufficiens, sed circulus quidam rerum nostrarum volvitur, alias atque alias in uno die sæpius, interdum etiam hora una mutationes afferens. Et potius licet credere instabilibus ventis, et navis mare sulcantis vestigiis, et noctis fraudulentæ somniis quorum brevis est gratia, et quæcunque in arena pueri per ludum effingunt, quam hominum prosperitati.

S. Chrysost. Quæ in præsenti vita splendere videntur, inutilia sunt defunctis.

Cum tranquillam degis vitam, exspectes olim tempestatem tuis rebus adfore.

Gregor. Nysseni. Præsentibus rebus invigilare, proprium est illis qui nullam futuri sæculi spem sibi promittunt.

Nili. Ne decipiant nos res illæ, quæ in hoc mundo celebres ac splendidæ videntur. Omnino enim prætereunt, et nihil ex apparentibus stabile est.

Cum tibi omnia negotia tua bene succedunt, exspectes quoque jacturam.

Dionis Rom. Multi in meliore statu dolent, multi in deteriore gaudent. Quot enim divites angustur! quot vero pauperes lætantur! Aliis obfuit forma et robur: aliis deformitas et infirmitas profuit. Sunt qui pacem præ bello colant, alii bellum pari præferunt. An non semper fere in tyrannide constituti habent quod lamententur? Et quod maximum **118** est, plurimi quidem moleste vivunt, plurimi vero libenter moriuntur.

Idem est in secunda fortuna altum sapere, et in lubrica via cursu contendere.

Aristonymi. Vita similis est theatro: quare pessimi sæpe primarium in eo locum obtinent.

Democriti. Temporum mutatio facit ut etiam valde potentes infirmioribus indigeant.

Hippothoontis. Homo cum sis, memor esto fortunæ communis.

Euripidis. Mortalis natus, cura videre quæ te [sequuntur.

Nil est constans in genere mortali.

Nemo enim vivit quo desiderat modo.

SERMO LXXII [*al.* CXLIV].

De tristitia et mœrore.

Matth. V. Beati qui lugent, quoniam ipsi consolationem accipient.

Afflictionem habebitis in mundo.

Apost. Quis est qui me exhilaret, nisi qui molestia per me afficitur?

Prov. XXV. Ut vestem tinea, et lignum teredo, ita cor viri tristitia lædit.

Eccli. XXXVIII. A tristitia mors contingit, et tristitia cordis debilitabit vires.

Colloquium cum aliis eodem animo affectis omnem solatur mœrorem.

S. Basilii. Ilic igitur est prudens gubernator, qui ut conjicit rem propositam decere, contingentia quæque disponit, similis ipse sibi manens perpetuo, nec inflatus in lætitia, neque dejectus in calamitate.

Theologi. Communio et societas luctus solatio est dolenti.

Tristitia aliquando melior est voluptate, et mœstitia panegyri, et lacrymæ laudabiles inhonesto risu.

Magnum enim remedium fertur a condolentibus. Nam qui æquali affectione laborant, plus solatii patientibus exhibent.

Afflictio etiam quandoque bonum est pharmacum ad salutem.

S. Chrysost. Mœrendi tempus est, non cum male afficimur, sed cum male agimus.

Mœroris excessus a naturali mente sæpius exturbans animam submergere solet, et ad omnia bona inutilem reddere.

Tristitia in multos divisa minus cruciat patientem.

Medicorum filii dicunt (1) quod etiam in quodam stomachi affectu intempestiva mœstitia contingat. An non idem nobis evenire probabile est, cum dolemus, et dolendi causam nescimus?

Ne cruciemur ergo in afflictionibus, sed oremus ne incidamus in tentationem, instantem vero suscipiamus. Sic enim et præsentia peccata delemus, et si quid justitiæ habemus, illam quoque reddimus illustriorem. **119** Argumento est Iob, qui magis claruit in tentatione.

Nihil æque splendidos et æmulatione dignos reddit, et infinitis bonis implet, ac multæ tentationes, pericula, labores, mœrores, insidiæ perpetuæ, et ab illis structæ, a quibus minime oportebat, atque hæc omnia æquo et benigno animo ferre.

Afflictionem habebitis in mundo, inquit Christus; magis igitur dolendum esset, si nos id tempus deliciis et otio tribueremus, quod Christus afflictionis futurum prædixit.

Photii. Sola similes affectus experientium colloquia mœrentibus fiunt solatia.

Per afflictionem bona parantur hominibus, mala vero per inanem gloriam et voluptatem.

Qui ab hominibus injuriam patitur, effugit peccata et parem afflictionem opem consequitur.

Qui mandatum perfecit, tentationem super eo

A Τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ;

Ὥσπερ σὴς ἱματίῳ, καὶ σκώληξ ξύλῳ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν.

Ἀπὸ λύπης ἐκβαίνει θάνατος· καὶ λύπη καρδίας κάμψει ἰσχύν.

Πάσης λύπης παρηγορία ἡ πρὸς τοὺς ὁμοψύχους ἐστὶν ὁμιλία.

Οὗτος οὖν ἐστιν ὁ νοήμων κυβερνήτης, ὁ ἐστοχασμένως τῆς ὑποκειμένης φύσεως μεταχειριζόμενος τὰ συμπίπτοντα, καὶ ὅμοιος ἀεὶ αὐτὸς ἑαυτῷ διαμένων, μήτε ἐπαιρόμενος ἐν ταῖς εὐθυμίαις, μήτε κατα-
B πίπτων ἐν ταῖς συμφοραῖς.

Φέρει παραμυθίαν ὀδυνωμένῳ κοινωνία τῶν στεναγμῶν.

Ἔστι ποτὲ ἡδονῆς λύπη τιμιωτέρα, καὶ κατήφεια πανηγύρεως, καὶ γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινετόν.

Μέγα γὰρ τὸ παρὰ τῶν ἀλγούντων φάρμακον· οἱ γὰρ τὸ ἴσον τοῦ πάθους ἔχοντες πλέον εἰσὶν εἰς παραμυθίαν τοῖς πάσχουσιν.

Ἔστι γὰρ ὅτε καὶ τοῦτο φάρμακον ἀγαθὸν εἰς σωτηρίαν ἡ θλῖψις.

Καιρὸς ἀθυμίας οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ' ὅταν δρῶμεν κακῶς.

Ἡ ὑπερβολὴ τῆς ἀθυμίας; οἶδε καὶ τῶν κατὰ φύσιν πολλάκις ἐκβάλλουσα φρενῶν ὑποβρύχιον ποιεῖν τὴν ψυχὴν, καὶ πρὸς ἅπαντα ἄχρηστον ἐργάζεσθαι τὰ καλά.

C Ἡ λύπη εἰς πολλοὺς διαμεριζομένη μετριώτερον δάκνει τὸν πάσχοντα.

Ἰατρῶν λέγουσι παῖδες, ὅτι καὶ παρὰ στομάχου κατασκευὴν ἄκαιροι γίνονται λύπαι. Ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο συμπίπτειν εἰκὸς, ὅταν ἀλγῶμεν, καὶ μὴ εἰδῶμεν τῆς λύπης τὴν ὑπόθεσιν;

Μὴ τοίνυν ἀλυῶμεν ἐν ταῖς θλίψεσιν· ἀλλ' εὐχώμεθα μὴ εἰσελθεῖν εἰς πειρασμὸν, ἐπιστάντα δὲ δεχώμεθα. Τά τε γὰρ ὄντα ἁμαρτήματα ἀποτιθέμεθα, εἰ δέ τινα δικαιοσύνην ἔχωμεν, κἀκείνην λαμπροτέραν ἐργαζόμεθα· καὶ δείκνυσιν Ἰὼβ, τότε μειζόνως διαλάμψας.

Οὐδὲν γὰρ οὕτω λαμπροὺς ποιεῖ καὶ ζηλωτοὺς καὶ μυρίων ἐμπίπλησιν ἀγαθῶν, ὡς πειρασμῶν πλῆθος, καὶ κίνδυνοι, καὶ πόνοι, καὶ ἀθυμίαι, καὶ τὸ δεινε-
D κῶς ἐπιβουλεύεσθαι, καὶ παρ' ὧν οὐδαμῶς ἐχρῆν, καὶ πράως ἅπαντα φέρειν.

Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ, ὁ Χριστός φησιν. Οὐκοῦν τότε μᾶλλον ἀλγεῖν ἐχρῆν, εἰ ὃν προεῖπεν ὁ Χριστὸς θλίψεως εἶναι χρόνον, τοῦτον ἀποιούμεθα τρυφῆς καὶ ἀναπαύσεως καιρόν.

Μόναι τῶν ὁμοιοπαθῶν ὁμιλίαι τοῖς ἀθυμοῦσιν εὑρίσκονται παρηγορίαι.

Διὰ θλίψεως τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἡτοίμασται, ὁμοίως καὶ τὰ κακὰ διὰ κενοδοξίας καὶ ἡδονῆς.

Ἐκφεύγει ἁμαρτίας, ὁ παρὰ ἀνθρώπων ἀδικούμενος, καὶ ὁμοίαν τῆς θλίψεως εὑρίσκει ἀντίληψιν.

Ὁ ποιήσας ἐντολὴν ἐκδεχέσθω τὸν ὑπὲρ αὐτῆς

(1) *Videtur de hypochondriaco affectu accipiendum.*

πειρασμόν. Ἡ γὰρ εἰς Χριστὸν ἀγάπη δι' ἐναντίων δοκιμάζεται.

Φεῦγε πειρασμὸν δι' ὑπομονῆς καὶ δεήσεως· εἰ δὲ ἐκτὸς τούτων ἀντιτάσσοει, περισσοτέρως ἐπέρχεται.

Ἡ ἄνεσις, καὶ ἡ ἀμεριμνία, καὶ ἡ ἀνάπαυσις, χαυνοῦσι καὶ διαχέουσι τὴν ψυχήν. Οἱ δὲ πειρασμοὶ συσφίγγουσιν αὐτὴν, καὶ ἑνοῦσι τῷ Θεῷ, ὡς λέγει ὁ προφήτης· « Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου. »

Ὁδὸν μὲν τὴν λειοτάτην ἐκλέγεσθαι χρὴ, βίον δὲ τὸν ἀλυπότατον.

Ἐπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα, τῇ δὲ λύπῃ νοῦν.

Σωκράτης ἐρωτηθεὶς, τί λυπεῖ τοὺς ἀγαθοὺς, εἶπεν· Εὐτυχία πονηρῶν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἂν τις ἄλυπος διάγοι, Τοῦτο ἀδύνατον, εἶπεν· οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα καὶ ἀνθρώποις ὁμιλοῦντα μὴ λυπεῖσθαι.

Τοῦτο γὰρ ἴδιον τῶν ὀφθαλμῶν, ἐν τοις μεγάλοις κακοῖς τὸ μὴ ἐκχέειν δάκρυον· ἐν δὲ ταῖς μετρίαις συμφοραῖς ἀφθόνως τὰ δάκρυα καταῤῥεῖν.

Πολλάκις γὰρ τὸ χαρᾶς ὑπερβάλλον εἰς ἀλγεινὸν περιίστησιν· καὶ τῆς ἡδονῆς τὸ ἄμετρον ἐπίσπαστον λύπην ἐγέννησεν.

Ἕπεσθαι τοῖς τερπνοῖς εἴωθε τὰ λυπηρά.

Εἴ τίς πλεῖστα τῶν ἀγαθῶν κεκτημένος, μετὰ τοῦ λυπεῖσθαι διάγει τὸν βίον, ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων καὶ τῶν ἐσομένων ἀθλιώτατος.

Τοὺς ἄφρονας ὁ χρόνος, τοὺς δὲ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει.

Εὐγνώμων ὁ μὴ λυπούμενος ἐφ' οἷς μὴ ἔχει, ἀλλὰ χαίρων ἐν οἷς ἔχει.

Ἐπίκτητος ἐρωτηθεὶς, πῶς ἂν τις τὸν ἐχθρὸν λυπήσῃ, ἔφη· Ἑαυτὸν παρασκευάζων βέλτιστα πράττειν.

Οὐδεὶς ἀλύπως τὸν βίον διήγαγεν, ἄνθρωπος ὤν, οὐδ' ἄχρι τέλους ἔμεινεν εὐτυχῶν.

Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

A exspectet. Dilectio enim erga Christum per contraria probatur.

Fuge tentationem patientia et oratione : sin absque his præsidiis te opponas, vehementius invadit.

Dorothei. Remissio, incuria et quies laxam et dissolutam reddunt animam; tentationes vero constringunt eam, et uniunt Deo, ut inquit propheta his verbis : « Domine, in afflictione meminimus tui. »

Plutarchi. Via quidem eligenda planissima, vita vero tranquillissima.

Thoraci tunicam, tristitiæ vero mentem et rationem introducere oportet.

Socrates interrogatus quid bonis molestum esset, dixit : Prosperitas improborum.

B Idem interrogatus quomodo quis vitam tristitia vacuam degeret, respondit : Hoc fieri non potest. Nam qui in civitate aut familia habitat, et cum hominibus conversatur, non potest non aliquando tristari.

Leucippi. Hoc enim proprium est oculis, ut in magnis malis lacrymas non effundant, in mediocribus autem calamitatibus abunde lacrymentur.

Coricii. Immoderatum gaudium sæpius exit in dolorem : et immodica voluptas accersitam sibi tristitiam producit.

Moschionis. Tristitia sequi solet voluptatem.

Theopempti. Si quis plurimas opes possidens cum tristitia vitam transigit, is certe fuerit omnium qui sunt quique futuri sunt hominum miserrimus.

C *Epicteti.* Insipientes tempus, sapientes autem ratio mœrore liberat.

Sapit qui non tristatur propter absentia, sed gaudet præsentibus.

Epictetus interrogatus quomodo quis hosti dolorem excitare posset, dixit : **120** Si quis ita comparet seipsum, ut optima quæque faciat.

Posidippi. Nullus hominum sine tristitia vitam transegit, neque fortunatus ad finem usque mansit.

Euripidis. Non est in quoquam reperire vacuam tristitia vitam.

ΛΟΓΟΣ ΟΓ'.

Περὶ σιωπῆς καὶ ἀπορρήτων.

Πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως.

Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι.

Ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

Ἀντιλογίαν πραΰνει σιγηρὸς, ἀγαπῶν δὲ ζωὴν αὐτοῦ, φείδεται στόματος αὐτοῦ.

Μισῶν λαλιὰν, ἐλαττοῦται κακίᾳ.

Ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ.

Ὁ σιγηρὸς καὶ νοήμων τιμῆς ἀξιωθήσεται.

Σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς, τίς ὠφέλεια ἐν ἀμφοτέροις ;

Ἔστιν ἔλεγχος, καὶ οὐκ ἔστιν ὡραῖος. Καὶ ἔστι τις σιγῶν, καὶ εὑρισκόμενος σοφός.

SERMO LXXIII [*al.* XCIII].

De silentio et arcanis.

Matth. XII. De omni verbo otioso quod locuti D fuerint homines, in die judicii rationem reddent.

Jacob. Omnis homo sit celer ad audiendum, et tardus ad loquendum.

Prov. XXI. Qui os suum custodit, ab afflictione servat animam suam.

Tacitus lenit contentionem : et qui diligit vitam suam parcit ori suo.

Qui loquacitatem odit, malitiam minuit.

Eccli. XXX. Effusa bona sunt in ore clauso.

Ibid. XXI. Tacitus et prudens erit in pretio.

Ibid. XLI. Sapientia abscondita et thesaurus latens, quid juvant?

Ibid. XX. Est cum minime sit speciosa reprehensio, et est cum quis sapienter taceat.

Theologi. Si quid habes silentio melius loquere : diligas autem taciturnitatem, ubi silentium sermoni præstat.

Φθέγγου μὲν, εἴ τι κρεῖττον σιωπῆς ἔχεις· ἀγάπα δὲ ἡσυχίαν, ἔνθα κρεῖττον λόγου τὸ σιωπᾷν.

Illis dicendi libertas concedenda est, quorum modestus ac vere mundus, et compositus et sobrius est sermo.

Τὴν ἐν λόγοις ἐλευθερίαν ἔχειν δεῖ τοὺς μετρίους ἐν λόγῳ, καὶ ὡς ἀληθῶς κοσμίους καὶ σώφρονας.

Non jucunda est fidelibus loquacitas, et sermonis contentio. Sufficit enim eis vel unus oppositus.

Οὐχ ἡδὺ τοῖς πιστοῖς ἀδολεσχία, καὶ λόγων ἀντίθεσις. Ἀρκεῖ γὰρ καὶ εἷς ἀντικείμενος.

Melior est cum ratione tarditas inconsiderata celeritate.

Κρεῖσσον λελογισμένη βραδυτὴς τάχους ἀπερισκέπτου.

Hoc etiam taciturnitatis lucrum est, quod non opus habeat multitudini respondere.

Καὶ τοῦτο κέρδος τῆς σιωπῆς, τὸ τοῖς πολλοῖς μηδὲ ἀποκρίνεσθαι.

Silentium pro consensu haberi docetur etiam proverbio.

Τὴν σιωπὴν συγκατάθεσιν εἶναι διδάσκει καὶ ἡ παροιμία.

S. Dionysii. Aut melius aliquid dic silentio, aut sile. B

Ἢ λέγε σιγῆς τι κρεῖττον, ἢ σιγὴν ἔχε.

Sexti. Vir sapiens et silens Deum colit, et causam scit cur sileat.

Σοφὸς ἀνὴρ καὶ σιγῶν τὸν Θεὸν τιμᾷ, εἰδὼς καὶ διὰ τί σιγᾷ.

Seniorum. Silere quam loqui malis. Silentium enim colligit, locutio dispergit.

Ἀγάπα τὸ σιγᾷν ὑπὲρ τὸ λαλεῖν. Ἡ σιωπὴ γὰρ θησαυρίζει, τὸ δὲ λαλεῖν διασκορπίζει.

Pre omnibus præceptis Deus elegit taciturnitatem ; scriptum est enim : « Quem respiciam nisi humilem et tacitum? »

Πρὸ πασῶν τῶν ἐντολῶν τὴν ἡσυχίαν ἐξελέξατο ὁ Θεός. Γέγραπται γάρ· « Ἐπὶ τίνα ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον ; »

Qui cupit salvari, sequatur inopiam et silentium.

Ὁ θέλων σωθῆναι διωξάτω τὴν ἀκτημοσύνην καὶ τὴν σιωπήν.

Plutarchi. Nemini dixeris quod taceri vis. Quomodo enim ab alio postulabis silentii fidem, quam tute tibi non præstitisti ?

Ὅπερ ἂν σιωπᾶσθαι βούλῃ, μηδενὶ εἴπῃς. Ἢ πῶς παρά τινος ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ παρέσχες σεαυτῷ ;

Tacere non solum sitim aufert, ut inquit Hippocrates, sed tristitiam quoque et dolorem. C

Τὸ σιωπᾷν οὐ μόνον ἄδιψον, ὡς φησιν Ἱπποκράτης, ἀλλὰ καὶ ἄλυπον καὶ ἀνώδυνον.

Silentii neminem, sermonis plurimos pœnituit.

Σιωπήσας μὲν οὐδεὶς μετενόησε, λαλήσαντες δὲ παμπληθεῖς.

Taciturnitas ubique totum ornamentum est juveni.

Πανταχοῦ τῷ νέῳ κόσμος ἀσφαλὴς ἐστιν ἡ σιωπή.

121 Qui non scit tacere, loqui etiam nescit.

Ὁ μὴ εἰδὼς σιωπᾷν οὐκ οἶδε λέγεσθαι.

Aristotel. Aristoteles interrogatus, quamobrem cum alios doceret loqui, ipse taceret, dixit : Nempe eos quidem ipsa non scindit, cultros autem acuit.

Ἀριστοτέλης ἐρωτηθείς, Διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν, αὐτὸς σιωπᾷς, ἔφη· Καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ.

Hominis improbi sicut taciti canis silentium magis quam sermonem cavere oportet.

Φαύλου ἀνδρὸς, καθάπερ κυνὸς σιγηροῦ, δεῖ τὴν σιγὴν ἢ τὴν φωνὴν εὐλαβεῖσθαι.

Idem interrogatus a quodam quis arcanum sermonem continere posset, dixit : Qui carbonem quoque ignitum lingua retinere potest.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, τίς κατασχεῖν δύναται λόγον ἀπόῤῥητον, ἔφη· Ὅστις καὶ διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατασχεῖν δυνήσεται.

Theophrastus peripateticus in convivio juvenem quemdam tacitum videns, dixit : Si rudis quidem cum sis taces, sapis ; si vero doctus, insipienter taces. D

Θεόφραστος ὁ περιπατητικὸς, ἐν συμποσίῳ νεανίσκον τινὰ βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν· Εἰ μὲν ἀπαίδευτος ὢν σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις· εἰ δὲ πεπαιδευμένος, ἀπαιδεύτως σιωπᾷς.

Charetis. Linguam primis ubique moderari coneris.

Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,

Quod et seni et juveni decorum est.

Ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει.

Quod facturus es ne dixeris ; nam si non succedat, irrideberis.

Ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γὰρ καταγελασθήσῃ.

Lycurgi. Lycurgus interroganti cur breviloquio studerent Lacedæmonii, dixit : Quoniam silentio vicinum est.

Λυκοῦργος πρὸς τὸν εἰπόντα, διὰ τί Λακεδαιμόνιοι τὴν βραχυλογίαν ἀσκοῦσιν, εἶπεν· Ὅτι ἐγγύς ἐστι τοῦ σιγᾷν.

Simonidis. Simonides dicebat nunquam se pœnituisse silentii, sermonis autem sæpius.

Σιμωνίδης μηδέποτε μὲν αὐτῷ ἔλεγε μεταμεληθῆναι σιγήσαντι, ἐθέλειν δὲ πολλάκις.

Ἦν ἄκοσμος ὁ βίος, τούτοις ἡ σιωπὴ μέγιστος κόσμος. A

Δημοσθένης, μειρακίου παρὰ πότον πολλὰ ληροῦντος καὶ μὴ βουλομένου σιωπῆσαι, Μειράκιον, εἶπε, πῶς παρ' οὗ ἔμαθες λαλεῖν, παρ' αὐτοῦ σιωπᾷν οὐκ ἔμαθες ;

Ὀνειδίζοντος αὐτῷ τινο ὅτι στόμα δυσῶδες εἶχε· Πολλὰ γὰρ, εἶπεν, αὐτῷ τῶν ἀπορρήτων ἐγκατεσάπη.

Quorum indecora vita est, illis maximum decus est silentium.

Demosthenis. Demosthenes, cum adolescens quidam inter pocula multas nugas effutiret, et tacere nollet : Adolescens, dixit, quomodo non didicisti tacere ab illo, a quo didicisti loqui ?

Cum objiceret ei quidam oris fetorem : Multa enim, dixit, secreta in eo computruerunt.

ΛΟΓΟΣ ΟΔ'.

Περὶ πολυλόγων καὶ ταχυλόγων, καὶ ἐκφερομύθουντων μυστήρια.

Ὁ τὰ πολλὰ λέγων καὶ ἀντακούσεται. Μὴ πολὺς ἐν βήμασι γίνου. Μέχρι τίνος οὐ σιωπήσεις; Ἔπισχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν. Διὰ τί ὥσπερ τετράποδα ἐσιωπήσαμεν ἐναντίον σου ;

Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς.

Ἤκουσας λόγον, συναποθανέτω σοι.

Μὴ ἴσθι ταχὺς ἐν λόγοις, καὶ μὴ συμπαρεκτείνῃ πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος.

Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν.

Ἐὰν ἐξελκύσῃς λόγον, ἐξελκύσονται κρίσεις καὶ μάχαι.

Ἔστιν ἔλεγχος, καὶ οὐκ ἔστιν ὡραῖος· καὶ ἔστι τις σιγῶν, καὶ εὑρισκόμενος σοφός.

Ὃς ἀποκρίνεται πρὶν ἀκούσαι, ἄφρονύνῃ αὐτῷ ἐστι καὶ ὄνειδος.

Οἱ ἀπαίδευτοι ἀκρατεῖς γὰρ ὦσιν.

Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. C

Ὁ ἄφρων πληθύνει λόγους· ὁ πλεονάζων ἐν λόγῳ μισηθήσεται.

Φωνὴ ἄφρονος ἐν πλήθει λόγων.

Μὴ γίνου ταχὺς ἐν λόγῳ σου, μηδὲ νωθρὸς καὶ παρειμένος ἐν λόγοις σου.

Χεῖλη πολυλάλων τὰ οὐκ αὐτῶν διηγήσονται.

Ὁ θέλων ζωὴν καὶ ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθὰς παυσάσθω τὴν γλῶσσαν ἀπὸ κακοῦ, καὶ χείλη τοῦ μὴ λαλῆσαι δόλον, ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθὸν, ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν.

Κόρος λόγου πολέμιος ἀκοαῖς, ὡς ὑπερβάλλουσα D τροφὴ σώμασιν.

Ὕλισθος ἀνθρώποις γλῶσσα μὴ λόγῳ κυβερνωμένη.

Φαινομένων ἔργων περιττόν ἐστι μακρολογία.

Λόγος ἁπλῶς προενεχθεὶς ὁλοκλήρους πολλάκις οἴκους ἀνέτρεψε, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέδυσε. Καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν πάλιν ἔνι λαβεῖν· λόγον δὲ ἐκπηδήσαντα ἅπαξ ἀνακτήσασθαι πάλιν οὐκ ἔνι.

Τὰ λοιπὰ τῶν ἁμαρτημάτων καὶ λόγου καὶ πραγμάτων καὶ τῆς ἔξωθεν συνεργείας πρὸς τὸ γενέσθαι δέονται. Ἡ δὲ τοῦ λόγου φύσις κατεξουσίαν ἔχει τὸ πλημμελεῖν.

SERMO LXXIV [*al.* XCVI].

De multiloquis et festinate loquentibus, et arcana efferentibus.

Job XI. Qui multa dicit, ille vicissim audiet. Ne sis multus in verbis. Quousque non tacebis ? Tace ut et ipsi loquamur. Cur veluti quadrupedes tacebi- B mus coram te ?

David. Vir linguax non fortunatus erit in terra.

Solomon. Audivisti sermonem, commoriatur tibi.

Ne sis celer in verbis, et ne, pauper cum sis, contendas cum divite, neque sapientior sapientibus esse quæras.

Per multiloquium non effugies peccatum.

Si protraxeris sermonem, contentiones et pugnæ protrahentur.

Eccli. XX. Est cum minime sit speciosa reprehensio, et est cum quis sapienter taceat.

Prov. XVIII. Qui respondet priusquam audierit, insipientia et dedecore notatur.

Imperiti linguam continere nesciunt.

122 Si videris hominem loquendo velocem, C scias plus spei esse stulto quam ipsi.

Insipiens multiplicat verba ; qui abundat verbis habebitur odio.

Eccli. Sermo insipientis in multitudine verborum est.

Ne sis præceps in sermone tuo, neque piger et remissus in verbis tuis.

Labia loquacium nihil ad se pertinentia loquentur.

I Petr. III. Qui desiderat vitam, et bonos dies videre cupit, prohibeat linguam a malo, et labia sua ne loquantur fraudem ; declinet a malo, et faciat bonum ; quærat pacem et sectetur eam.

Theologi. Satietas sermonis inimica est auribus, ut nimium alimentum corporibus. D

Lingua non gubernata ratione subvertit homines.

Cum res ipsæ apparent, superflua est sermonis prolixitas.

S. Chrysost. Sermo simpliciter narratus integras sæpe familias evertit, et animas perdidit ac submersit. Et pecuniæ quidem jacturam resarcire licet, sermonem autem semel elapsum revocare non licet.

Gregor. Nyss. Reliqua peccata verbis et rebus et externa ope indigent ut perficiantur : sermonis autem natura sponte potest delinquere.

Qui pudore ac timore vacuus est, illi os effrene, A et lingua remissa est.

SERMO LXXV [*al.* XCIV].

De illis qui linguam suam et os custodiunt, et de sermone non duro neque contumace.

Job XXVII. Os meum non loquetur iniqua, nec anima mea meditabitur injusta.

Psal. XXXVIII. Dixi, Custodiam vias meas, ne peccem in lingua mea : ponam custodiam ori meo cum coram me steterit impius.

Psal. CL. Pone, Domine, custodiam ori meo, et januam munitionis circa labia mea.

Solomon, Omnia verba oris mei cum justitia, nihil in eis obliquum neque tortuosum.

A fructibus oris anima viri implebitur bonis, et B retributio labiorum ipsius dabitur ei.

Prov. X. Argentum ignitum lingua justi.

Ibid. XXIV. Amato labia, quæ rectos sermones exhibent.

Ibid. XV. Mitis responsio avertit iram.

Sapit qui durum sermonem proferre parcit.

Ibid. XXI. Qui custodit os suum et linguam, ab afflictione servat animam suam.

Ibid. XVIII. Mors et vita penes linguam sunt ; qui vero moderantur eam, fructum **123** inde capient.

Ibid. XVI. Bona verba favi sunt mellis, et dulcedo eorum remedium est animæ.

Eccle. X. Oris sapientis verba gratiosa sunt. C

Mel et lac sub lingua tua.

Ne cohibeas sermonem in tempore salutis.

Eccli. V. Si quid vales dicendo, responde : sin minus, cohibeto manu os tuum.

Deest hujus sermonis 75 *finis et totus* 76 *qui inscribitur, De illis qui os suum et linguam non custodiunt.*

Ὃ μὴ ἐφεδρεύει αἰδὼς ἢ φόβος, ἀχάλινον τὸ στόμα, καὶ ἀνειμένη γλῶττα λέλυται.

ΛΟΓΟΣ ΟΕ'.

Περὶ τῶν ἑαυτῶν γλῶτταν καὶ στόμα φυλαττόντων, καὶ τοῦ μὴ σκληρῶς καὶ ἀπηνῶς διαλέγεσθαι.

Οὐ λαλήσει τὸ στόμα μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.

Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου, ἔθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.

Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου.

Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκαλιὸν οὐδὲ στραγγαλιῶδες.

Ἀπὸ καρπῶν στόματος ψυχὴ ἀνδρὸς πλησθήσεται ἀγαθῶν, ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ.

Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου.

Χείλη δὲ φίλει ἀποκρινόμενα λόγους ὀρθούς.

Ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει θυμόν.

Ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν, ἐπιγνώμων.

Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ.

Θάνατος καὶ ζωὴ ἐν χερσὶ γλώσσης· οἱ δὲ κρατοῦντες αὐτὴν ἔδονται τοὺς καρποὺς αὐτῆς.

Κηρία μέλιτος λόγοι καλοὶ, γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς.

Λόγοι στόματος σοφοῦ χάρις.

Μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου.

Μὴ ἀποκωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας.

Εἰ ἔστι σοι λόγος, ἀποκρίθητι· εἰ δὲ μή, ἔστω ἡ χείρ σου ἐπὶ τῷ στόματί σου.

Λείπει τινὰ τοῦδε τοῦ λόγου, καὶ ὅλος ὁ ρλβ', ὁ ἐπιγεγραμμένος· Περὶ τῶν μὴ φυλαττόντων τὸ ἑαυτῶν στόμα καὶ τὴν γλῶτταν.

MELISSÆ

PER

ANTONIUM MONACHUM GRÆCUM

CONGESTÆ

LIBER SECUNDUS,

(Joanne Ribitto interprete.)

SERMO I [*al.* CIII]. D

De rege commodo et æquo : et de magistratu ac potestate.

Num. XXIV. Augebitur regnum ejus, gentes ho-

ΛΟΓΟΣ Α'.

Περὶ βασιλέως χρηστοῦ καὶ δικαίου, καὶ περὶ ἀρχῆς καὶ ἐξουσίας.

Αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ, ἔδεται ἔθνη ἐχθρῶν

αὐτοῦ, καὶ τὰ πάχη αὐτοῦ ἐκμυελιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν. A stium ejus edet, et quæ in eo sunt crassa, emedullabit, et sagittis suis conficiet hostem.

Ἔσωσεν ὁ Θεὸς τὸν Δαυὶδ ἐν πᾶσιν οἷς ἐπορεύθη, καὶ ἐβασίλευσε Δαυὶδ ἐπὶ πάντας. Καὶ ἦν Δαυὶδ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ πάντα τὸν λαόν.

II Reg. VIII. Servavit Deus Davidem in omnibus ad quæ profectus est, regnavitque in omnes, ac universo populo jus cum æquitate dicebat.

Εἶπε Δαυὶδ· Ἄφετε αὐτὸν κατεράσασθαι, ὅτι εἶπεν αὐτῷ ὁ Θεός. Εἴ πως ἴδοι Κύριος ἐν τῇ ταπεινώσει μου, καὶ ἐπιστρέψει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ.

II Reg. XVI. Sinite, inquit David, illum maledicta jacere, quia Deus ipsi jussit. Si qua ratione respiciet Dominus in hanc meam abjectionem, ad me revertentur bona pro maledicto istius hoc ipso die.

Ἐμεγαλύνθη Σολομὼν ἐπὶ πάντας τοὺς βασιλεῖς τῆς γῆς πλούτῳ καὶ σοφίᾳ· καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς ἐξεζήτουν τὸ πρόσωπον Σολομῶντος, ἀκοῦσαι τῆς σοφίας αὐτοῦ ἧς ἔδωκεν ὁ Θεὸς εἰς τὴν καρδίαν αὐτοῦ, καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ δῶρα αὐτῶν. B

II Paral. IX. Auctus est Solomon supra omnes terræ reges, opulentia et sapientia, ac omnes reges requirebant os illius, ut quam ei Deus largitus esset sapientiam audirent, suaque illi quisque munera offerebat.

Ἐν ταῖς ἡμέραις Ἀσὰ ἡσύχασεν ἡ γῆ Ἰούδα δέκα ἔτη, καὶ ἐποίησεν Ἀσὰ τὸ ἀγαθὸν καὶ τὸ εὐθὺ ἐνώπιον Κυρίου τοῦ Θεοῦ αὐτοῦ, καὶ ἀπέστησε τὰ θυσιαστήρια τὰ ἀλλότρια καὶ τὰ ὑψηλά, καὶ συνέτριψε τὰς στήλας, καὶ ἐξέκοψε τὰ ἄλση, καὶ ἡσύχασεν ἡ βασιλεία ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν αὐτῷ πόλεμος ἐν τοῖς ἔτεσι τούτοις.

II Paral. XIII. Regnante Asa quieta fuit Judæa annos decem, probeque se gessit Asa ac recte in conspectu Domini Dei sui, et altaria aliena excelsaque sustulit, ac columnas contrivit, et lucos excidit, et quietum fuit regnum in oculis ejus: nec fuit ei ullum bellum per illos annos.

Ἐγένετο Κύριος μετὰ Ἰωσαφάτ, καὶ κατεύθυνε Κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ, καὶ ἦν Ἰωσαφὰτ πορευόμενος καὶ μεγαλυνόμενος ἕως εἰς ὕψος.

II Paral. XVII. Fuit Dominus cum Josaphato, ac per manum illius regnum recte administravit, ac in vita sua auctus est Josaphatus usque ad summum.

Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Psal. XX. Potentia tua, Domine, lætabitur rex, et salute quam das, exsultabit valde. C

Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.

Psal. LXXI. Deus, judicium tuum regi da, et justitiam tuam filio regis, ut cum æquitate res populi judicet, et pauperum tuorum cum judicio.

Βδέλυγμα βασιλεῖ ὁ ποιῶν κακά. Μετὰ γὰρ δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς.

Prov. XVI. Exsecrandus est regi, qui male facit, quia cum justitia solium magistratus firmatur.

Δεκτὰ βασιλεῖ χείλη δίκαια, λόγους δὲ ὀρθοὺς ἀγαπᾷ.

Prov. XIV. Accepta sunt regi labia justa; nam sermones rectos diligit.

Ἐν πολλῷ ἔθνει δόξα βασιλέως, ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου.

In multitudine gentis gloria regis: at si defecerit populus, principis pernicies est.

Λικμήτωρ ἀσεβῶν βασιλεὺς σοφὸς, καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν.

Prov. XX. Ventilator impiorum rex sapiens, et in rege rota ipsorum.

Ὅταν βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ τοῦ θρόνου, οὐκ ἐναντιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ οὐδὲν πονηρόν. D

Ibid. XX. Cum justus rex in solio consident, nihil improbum adversatur in oculis ejus.

Δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων.

Ibid. XVI. Acceptus regi minister intelligens.

Ἐλεημοσύνη καὶ ἀλήθεια φυλακὴ βασιλεῖ, καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ,

Ibid. XX. Misericordia et veritas custodiæ sunt regi, et solium ejus cum æquitate circumdabunt.

Μάχαιρα γλῶσσα βασιλέως, καὶ οὐ σαρκίνη.

Lingua regis gladius minime carneus.

Μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως, μηδὲ ἐν τόποις δυναστῶν ὑφίστασο. Κρεῖσσον γάρ σοι ῥηθῆναι, Ἀνάβαινε πρός με, ἢ ταπεινῶσαί σε ἐν προσώπῳ δυναστῶν.

Ibid. XXV. Ne sis arrogans coram rege, nec principum loca occupato; melius est enim ut tibi dicatur: Ascende ad me, quam ut abjiciaris in oculis potentium.

Βασιλέως ἐν ἀληθείᾳ κρίνοντος πτωχοὺς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται.

Ibid. XXIX. Regis causas pauperum vere judicantis solium in testimonio firmo stabit.

Θυμὸς βασιλέως ἄγγελος θανάτου, ἀνὴρ δὲ σοφὸς ἐξιλάσκεται αὐτόν.

Ibid. XVI. Ira regis mortis nuntia: at vir sapiens placabit illum.

Βασιλέως ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος· ὡς δὲ δρόσος ἐπὶ χόρτον, οὕτως τὸ ἱλαρὸν αὐτοῦ.

Ibid. XIX. Regis minæ leonis rugitui similes; qualis autem est ros herbæ insidens, talis illius hilaritas.

Observa regis os, quia quidquid voluerit, efficiet: summa præditus auctoritate loquitur, et quis ei dicet, Quid agis?

A Στόμα βασιλέως φύλαξον, ὅτι πᾶν ὃ ἐὰν θέλῃ ποιήσει. Ἐξουσιάζων λαλεῖ, καὶ τίς ἐρεῖ αὐτῷ, Τί ποιεῖς;

Eccle. x. Regi ne in conscientia quidem tua maledicito, nec in cubiculi tui parte secretiore opulento maledicas, quia volucris aerea deferet vocem tuam, et qui præditus est pennis, sermonem tuum denuntiabit.

Ἐν συνειδήσει σου βασιλέα μὴ καταράσῃ, καὶ ἐν ταμείοις κοιτῶνός σου μὴ καταράσῃ πλούσιον, ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου, καὶ ὁ ἔχων πτέρυγας ἀναγγελεῖ λόγον σου.

Isai. xxxii. En rex justus regnabit, et principes cum justitia imperabunt.

Ἰδοὺ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν.

Populus pauper et civitates hominum injuria affectorum laudibus te afficient, quod fueris auxilio civitati afflictæ, et animum despondentes propter inopiam protexeris.

Εὐλογήσει σε ὁ λαὸς ὁ πτωχὸς, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε. Ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθὸς, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη.

Diligite justitiam qui judicatis terram. B

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν.

Sap. vi. Rex prudens populi stabilitas.

Βασιλεὺς φρόνιμος εὐστάθεια δήμου.

Sirach. Apud regem captiosus ne esto.

Παρὰ βασιλεῖ μὴ σοφίζου.

Tobias. Regis arcanum honestum est celare, at Dei opera renuntiare gloriosum.

Μυστήριον βασιλέως καλὸν κρύπτειν· ἔργα δὲ Θεοῦ ἀναγγέλλειν ἔνδοξον.

Luc. iii. Interrogaverunt autem eum et qui militabant his verbis: Et nos, inquiunt, quid faciemus? Et ille: Neminem, inquit, concutiatis aut calumniis prematis. Et estote contenti stipendiis vestris.

Ἐπηρώτησαν δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.

I Petr. ii. Subjicimini omni humanæ creaturæ propter Dominum, sive regi tanquam præcellenti, sive præfectis, ut qui per illum mittuntur ad scelerosorum quidem vindictam, proborum vero laudem.

Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν κακοποιῶν καὶ ἔπαινον ἀγαθοποιῶν.

125 *Rom.* xiii. Omnes homines potestatibus præcellentibus subjiciantur. C

Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω.

Ibid. Quisquis potestati resistit, Dei decreto resistit: at qui restiterint, sibi damnationem acquirent. Principes enim non sunt terror bonorum operum, sed malorum. Si vis non timere potestatem, quod bonum est facito, et ab illa laudem consequeris. Sin autem malum feceris, time.

Πᾶς ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ.

Eccli. x. Qualis judex populi, tales sunt ministri ejus: et qualis gubernator civitatis, tales cives qui in ea habitant.

Κατὰ τὸν κριτὴν τοῦ λαοῦ, οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ, καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Eccle. vii. Ne quære præfecturam a Domino, nec a rege solium gloriæ.

Μὴ ζήτει παρὰ Κυρίου ἡγεμονίαν, μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.

S. Basilii. Regnum est legitima præfectura.

Βασιλεία ἐστὶν ἔννομος ἐπιστασία.

Ergo præcepta ea quæ a rege traduntur, qui quidem hoc vocabulo dignus fuerit, legitima sunt, D communem utilitatem spectantia, nec privatæ utilitatis causa comparata. In hoc enim differt tyrannus a rege, quod ille sua undecunque spectat commoda, hic eorum quibus præest utilitatem quærit.

Αἱ οὖν παρὰ βασιλέως διδόμεναι ὑποθῆκαι, τοῦ γε ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίου, πολὺ τὸ νόμιμον ἔχουσι τὸ κοινῇ πᾶσι λυσιτελὲς σκοποῦσαι, καὶ οὐχὶ πρὸς τὸν σκοπὸν τῆς ἰδίας ὠφελείας συντεταγμέναι. Τοῦτο γὰρ διαφέρει τύραννος βασιλέως, ὅτι ὁ μὲν τὸ ἑαυτοῦ πανταχόθεν σκοπεῖ, ὁ δὲ τὸ τοῖς ἀρχομένοις ὠφέλιμον ἐκπορίζει.

Proprium est regis iis quibus præsit prospicere.

Ἴδιον βασιλέως προμηθεῖσθαι τῶν ἀρχομένων.

Prov. xxi. Si cor regis in manu Dei est, non servatur armorum robore, sed divino adminiculo ac ductu. Est autem in Dei manu non quivis, sed regis nomine dignus.

Εἰ καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, οὐ σώζεται διὰ ὁπλιτικὴν δύναμιν, ἀλλὰ διὰ τὴν θείαν χειραγωγίαν· ἐν χειρὶ δὲ Θεοῦ ἐστιν οὐχ ὁ τυχών, ἀλλ' ὁ ἄξιος τῆς τοῦ βασιλέως προσηγορίας.

Rom. xiii. Dominus reges constituit, et idem deponit: nec est potestas, nisi a Deo ordinata.

Κύριος καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ· καὶ οὐκ ἔστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ τεταγμένη.

Πολλάκις ἀκρασία δήμου τὸν χείριστον εἰς ἀρχὴν προεστήσατο.

Πρὸς τὸ τοῦ ἄρχοντος ἦθος πλάττεσθαι πέφυκεν ὡς τὰ πολλὰ τὸ ἀρχόμενον, ὥστε ὁποῖοί ποτε οἱ ἄγοντες ὦσι, τοιοῦτον ἀνάγκη καὶ τὸν ἀναγόμενον εἶναι.

Καλὸν ἀεὶ τὸ χείριστον ὑπὸ τοῦ κρείττονος ἄγεσθαι.

Παλαιός ἐστι λόγος τοὺς ἀρετῆς μεταποιουμένους μεθ' ἡδονῆς αὐτοὺς μὴ ἐπιβάλλειν ἀρχαῖς.

Τὸν προεστῶτα μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης.

Ἡ μὲν ἀταξία ἀναρχίας ἐστὶ γνώρισμα, ἡ δὲ τάξις τὸν ἡγεμονεύοντα δείκνυσι. Τί γὰρ ὄφελος κυβερνήτῃ εἶναι χρηστὸν, πονηροῖς χρώμενον ἐρέταις;

Τό τε γὰρ ἄναρχον ἄτακτον· τό τε πολύαρχον στασιῶδες.

Μή τις, ἐνὸν ἀκινδύνως ἕπεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείτω, μηδ' ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ᾗ καὶ τὰ ἐπίγεια συνέχει καὶ τὰ οὐράνια.

Τὸ βούλεσθαι βασιλέως ἄγραφός ἐστι νόμος τῷ κράτει συνηγορούμενος, καὶ πολύ γε τῶν γραπτῶν ἰσχυρότερος, τῶν οὐ δυναστείᾳ βοηθουμένων.

Οἱ βασιλεῖς, αἰδεῖσθε τὴν ἀλουργίδα. Νομοθετήσει γὰρ καὶ νομοθέταις ὁ λόγος. Γινώσκετε τί τὸ πιστευθὲν ὑμῖν, καὶ τί τὸ περὶ ὑμᾶς μυστήριον· κόσμος ὅλος ὑπὸ χεῖρα τὴν ὑμετέραν διαδήματι μικρῷ καὶ βραχεῖ ῥακίῳ κρατούμενος. Τὰ μὲν ἄνω μόνου Θεοῦ, τὰ δὲ κάτω καὶ ὑμῶν. Θεοὶ γίνεσθε τοῖς ὑφ' ὑμᾶς· ἵνα εἴπω τι καὶ τολμηρότερον, καρδία βασιλέως ἐν χειρὶ Θεοῦ καὶ εἴρηται, καὶ πεπίστευται· ἐνταῦθα ἔστω κράτος ὑμῖν, ἀλλὰ μὴ τῷ χρυσῷ καὶ ταῖς φάλαγξιν.

Τὸ δραστικὸν δείκνυε, μὴ τῷ δρᾷν κακῶς, τῷ δ' εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός. Τὸ δ' ἐστὶν ἀνδρὸς εἰδότος συγγενές. Κτείνει δὲ ῥᾷστα καὶ τευγὼν καὶ σκορπίος.

Οἱ δυνάσται, φοβεῖσθε τὸν δυνατώτερον· οἱ τῶν ὑψηλῶν θρόνων τὸν ὑψηλότερον.

Βασιλείας τοῦ Θεοῦ δύο εἶδεν ἡ Γραφὴ, τὴν μὲν κατ' οἰκείωσιν, τὴν δὲ κατὰ δημιουργίαν. Βασιλεύει μὲν γὰρ ἁπάντων, καὶ Ἑλλήνων, καὶ Ἰουδαίων, καὶ δαιμόνων, καὶ τῶν ἀντιτεταγμένων, κατὰ τὸν τῆς δημιουργίας λόγον.

Πολλοὶ καὶ ἄλλοι βασιλεῖς πολλάκις ἐπὶ τὴν ἀρχὴν ἐλθόντες, τοὺς πάλαι λελυπηκότας λαβόντες, ἀνάξιον εἶναι ἐνόμισαν ἐν ἀρχῆς ὄγκῳ τοσούτῳ δίκην ἀπαιτῆσαι τῶν πεπλημμεληκότων.

Θεραπεύειν, οὐκ ἐρεθίζειν δεῖ τὰς ἐξουσίας.

Ὅταν ἄρχων ἀνεπίληπτος ᾖ πᾶσι, τότε δύναται μεθ' ὅσης βούλεται ἐξουσίας καὶ κολάζειν καὶ συγχωρεῖν τοὺς ὑπ' αὐτῷ τεταγμένους ἅπαντας.

Οὐδὲν γὰρ οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα ὡς φιλοστοργία περὶ τοὺς ἀρχομένους. Καὶ γὰρ πα-

Sæpenumero populi impotentia deterrimo magistratum dedit.

Ad principis mores fere fingi solent, qui in ejus sunt imperio, ut qualescunque tandem fuerint ductores, tales esse qui ducuntur necesse sit.

Bonum est ut præstantior semper deteriori præsit et imperet.

Vetus est verbum, eos qui studeant virtuti, non cum voluptate magistratum accipere.

Qui præest aliis ne se efferat propter auctoritatem, ne excidat beatitudine quæ posita est in animi abjectione.

Theologi. Confusio inordinata nota est reipublicæ magistratu carentis, at ordo qualis sit magistratus ostendit. Quid enim juvat gubernatorem esse moderatum pravis utentem remigibus?

Prov. II. Ubi enim nullus magistratus, ibi immoderate et sine ordine omnia feruntur, et magistratuum multitudo seditiosa est.

Cum liceat sine periculo sequi, periculose præesse nemo concupiscat, neque subjectionis lex abrogetur, quæ et terrestria et cœlestia continet.

Regis voluntas lex est non scripta, quæ potentia defenditur, et quidem multo scriptis firmior, quæ nullius **126** potentia juvantur.

Reges, purpuram metuite; legislator enim est et legislatoribus ipsa ratio; quid vobis sit commissum, cognoscite, et quale sit in rebus vestris mysterium; universus mundus sub manu vestra exiguo diademate et parvo panniculo tenetur. Superna solius Dei sunt, at inferna etiam vestra. Estote dii subjectis, ut aliquid dicam etiam audacius: Cor regis esse in manu Dei et dictum et creditum est; illic sit robur vestrum, non autem in auro et phalangibus.

Tuam in efficiendo vim et potestatem demonstra, non ut mali, sed ut boni aliquid efficiatur, si cupis deus esse. Hoc enim est viri innatam vim cognoscentis: facillime autem pastinaca et scorpius necant.

Qui geritis potestatem, timete potentiorem: qui in alto throno sedetis, altiorem.

Chrysost. Regna Dei duo novit Scriptura, unum familiare et domesticum, alterum quod creationis rationem spectat. Est enim Rex universorum et Græcorum et Judæorum, et dæmonum, et adversariorum creationis habita ratione.

Multi etiam reges sæpe imperio accepto, cum eos qui sibi antea fuissent molesti in sua potestate haberent, in tanto imperii fastu indignum esse judicaverunt, qui pœnas reposcerent scelerate factorum,

Colenda, non irritanda potestas.

Cum princeps apud omnes inculpatæ vitæ fuerit, tum potest quanto volet arbitrio et punire subjectos omnes, et eisdem ignoscere.

Nihil est quod sic magistratum ostendat, ut amor et benevolentia erga eos qui sunt sub ipsius impe-

rio; nam pater non solum procreando, sed etiam diligendo post procreationem efficitur. Quod si ubi natura est, charitate est opus, multo magis ubi gratia.

Non in veste et zona, nec in præconis voce cernitur princeps, sed in reficiendo fracta et fatiscentia, et quæ male constituta sunt corrigendo, ac improbos puniendo, nec permittendo ut violenter jus cuiquam eripiatur et auferatur.

Ars est imperare, non solum dignitas, et quidem ars omnium maxime excellentissima.

Qui maxime ex humilibus sunt, cum dignitates nacti fuerint, facilius in arrogantiam tolluntur, quippe qui ad repentinos honores inepti sint.

Regnum terrenarum rerum asperitates exæquat.

127 *S. Iren.* Rex omnis justus sacerdotalem obtinet ordinem.

Joan. Damasc. Optimum principem decet in suis quidem peccatis esse acerbum judicem et minime ignoscentem, at in erratis subjectorum placidum et ad ignoscendum facilem.

Philonis. Deus nullius indiget, rex solius Dei. Imitare igitur eum qui nullius eget, ac largiter impertire petentibus misericordiam, non summo jure nec restricte cum supplicibus agens, sed omnibus quæ ad vitam degendam pertinent petentibus præbens.

Tyrannus est princeps belli, rex vero pacis præses.

Rex justissime, cum missus sis a natura ad supremam puppis partem occupandam, cumque gubernacula teneas, guberna communem hominum scapham feliciter cum salute omnium : nulla re magis gaudeas ac lætitia afficiare, quam tua erga subjectos beneficentia.

Quid enim regis benevolentia subjectis populis optabilius aut melius esse possit?

Xenophontis. Principem omnibus quibus præsit simul succensere, magnum peccatum hoc quidem mihi videtur esse. Necesse est enim quia multis terrori sit, multos habere hostes : et quia omnibus simul succenseat, eosdem omnes ad concordiam commovere.

Plutarchi. Ne puero gladium, proverbio dicitur. Ego vero dixerim : Ne puero divitias, nec viro doctrinæ experti potentiam.

Nullum firmius principis præsidium quam vera et constans benevolentia. Ubi enim vulgus et proceres assuefacti fuerint non principem, sed principi timere, tum multis oculis videt, multis auribus audit, ac quæ geruntur præsentiscit.

Potentiam, divitias, magistratum accipere, et quasi in humeros tollere, vel mulieres et pueri possunt ; at magnam potestatis provinciam suscipere et administrare, nec succumbere, nec opprimi pondere et magnitudine rerum, id viri demum est virtute, prudentia et intelligentia præditi.

A τέρα οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι. Εἰ δὲ ἔνθα φύσις, ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις.

Οὐκ ἐν τῇ χλανίδι καὶ τῇ ζώνῃ, οὐδὲ ἐν τῇ φωνῇ τοῦ κήρυκος ἄρχων, ἀλλ' ἐν τῷ τὰ πεπονηκότα ἀνακτᾶσθαι, καὶ τὰ κακῶς ἔχοντα διορθοῦν, καὶ κολάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ δυναστείας τὸ δίκαιον ἀπελαύνεσθαι.

Τέχνη τὸ ἄρχειν ἐστὶν, οὐκ ἀξίωμα μόνον, καὶ τέχνη πασῶν ἀνωτέρα.

Οἱ μάλιστα ἐκ ταπεινῶν ὄντες, ὅταν ἀξιωμάτων ἐπιλάβωνται, εὐκολώτερον αἴρονται πρὸς ἀπόνοιαν, ἅτε ἀπειροκάλως ἔχοντες πρὸς τὴν ἐξαίφνης τιμήν.

Βασιλεία τῶν ἐπὶ γῆς πραγμάτων τὰς τραχύτητας
B ὁμαλίζει.

Παῖς βασιλεὺς δίκαιος ἱερατικὴν ἔχει τάξιν.

Τὸν ἄριστον ἄρχοντα ἐν τοῖς μὲν καθ' ἑαυτὸν ἀσύγγνωστον εἶναι χρὴ καὶ πικρὸν δικαστὴν, ἐν δὲ τοῖς τῶν ἀρχομένων πταίσμασι συγγνωμονικὸν καὶ ἥμερον.

Ὁ μὲν Θεὸς οὐδενὸς δεῖται, ὁ βασιλεὺς δὲ μόνου Θεοῦ. Μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον, καὶ δι-ψιλεύου τοῖς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς ἱκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ ζῆν αἰτήσεις.

Τύραννός ἐστιν ἄρχων πολέμου, βασιλεὺς ἡγεμὼν εἰρήνης.

Βασιλεῦ δικαιότατε, παραπεμφθεὶς ὑπὸ τῆς φύσεως ἐπὶ πρύμναν ἀνωτάτω, καὶ τοὺς οἴακας ἐγχειρισθεὶς, πηδαλιούχει τὸ κοινὸν ἀνθρώπων σκάφος σωτηρίως, ἐπὶ μηδενὶ μᾶλλον χαίρων καὶ τερπόμενος ἢ ἐν τῷ τοὺς ὑπηκόους εὐεργετεῖν.

Τί ἂν γένοιτο εὐμενείας βασιλέως ὑπηκόοις ἄμεινον;

Ἄνδρα ἄρχοντα πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχομένοις, τοῦτο ἔμοιγε δοκεῖ μέγα ἁμάρτημα εἶναι. Ἀνάγκη γὰρ διὰ τοὺς πολλοὺς φοβεῖν, πολλοὺς ἐχθροὺς ποιεῖσθαι· διὰ δὲ τὸ ἅμα πᾶσι χαλεπαίνειν, πᾶσιν αὐτοῖς ὁμόνοιαν ἐμβαλεῖν.

D Μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν. Ἐγὼ δὲ φαίην, μὴ παιδὶ πλοῦτον, μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν.

Οὐδὲν οἷον ἀληθινὴ καὶ βέβαιος εὔνοια φυλακτήριον ἀνδρὸς ἄρχοντος· ὅταν γὰρ ἐθισθῶσιν οἵ τε πολλοὶ καὶ δυνατοὶ μὴ τὸν ἡγούμενον, ἀλλ' ὑπὲρ τοῦ ἡγουμένου δεδιέναι, πολλοῖς μὲν ὄμμασιν ὁρᾷ, διὰ πολλῶν δὲ ὤτων ἀκούει, καὶ προαισθάνεται τὰ γινόμενα.

Τὸ λαβεῖν καὶ ἀναθέσθαι δύναμιν καὶ πλοῦτον καὶ ἀρχὴν καὶ γυναικός ἐστι καὶ παιδός· τὸ δὲ μεγάλην ἐξουσίαν ἐνεγκεῖν καὶ μεταχειρίσασθαι, καὶ μὴ συντριβῆναι, μηδὲ διαστραφῆναι τῷ βάρει καὶ μεγέθει τῶν πραγμάτων, ἀνδρός ἐστιν ἀρετὴν καὶ φρόνημα καὶ νοῦν ἔχοντος.

Ὁ μὲν Κλέων ὅτε πρῶτον ἔγνω τῆς πολιτείας ἅπτεσθαι, τοὺς φίλους συναγαγὼν εἰς ταυτὸ, διελύσατο τὴν φιλίαν πρὸς αὐτοὺς ὡς πολλὰ τῆς ὀρθῆς καὶ δικαίας προαιρέσεως μαλάσσουσαν ἐν τῇ πολιτείᾳ καὶ παράγουσαν. Ὁ δὲ Θεμιστοκλῆς πάλιν πρὸς τὸν εἰπόντα, ὡς ἄρξῃ καλῶς, ἴσον ἅπασι παρέχων ἑαυτὸν, Μηδέποτε, εἶπεν, εἰς τοιοῦτον ἐγὼ καθίσωμαι θρόνον, ἐν ᾧ πλέον οὐχ ἕξουσιν οἱ φίλοι παρ' ἐμοὶ τῶν μὴ φίλων. Οὐ γὰρ ἀφίλων αἱ πόλεις ἀνδρῶν καὶ ἑταίρων, ἀλλὰ χρηστῶν καὶ σωφρόνων δέονται.

Cleon quidem cum primum statuisset rempublicam capessere, amicis in unum locum convocatis, eam quæ ei cum illis intercesserat amicitiam dirupit, tanquam quæ in administratione civitatis rectum et justum institutum emolliat et transversum agat. Themistocles contra, qui cum quidam moneret ut præclare magistratu fungeretur : Nequaquam, inquit, in eo sessurus sum throno, in quo amici non **128** meliore sunt futuri conditione, quam non amici ; non enim civitas homines amicis et sodalibus carentes, sed commodos et temperantes requirit.

Πάθ' ὅσα τοὺς ἀρχομένους καὶ φρονεῖν καὶ πράττειν βούλει, καὶ λέγε καὶ ποίει. Οὕτω γὰρ ἂν μᾶλλον παιδεύσειας αὐτοὺς ἢ ταῖς ἐκ τῶν νόμων τιμωρίαις. Τὸ μὲν γὰρ ζῆλον, τὸ δὲ φόβον ἔχει. Καὶ ῥᾷόν τις μιμεῖται τὰ κρείττω ὁρῶν ἔργῳ γινόμενα, ἢ φυλάττεται τὰ χείρω, ἀκούων λόγῳ κωλυόμενα.

Dionis Romani. Quæ velis eos qui sub tuo sunt imperio et sentire et agere, eadem tu et loquitor et facito : sic enim eos facilius et melius institueris quam iis quæ legibus constituuntur suppliciis. Illud enim æmulationem, hoc terrorem habet, et facilius quis optima imitatur quæ videt opere fieri, quam cavet pessima quæ audit verbo vetari.

Πέφυκεν ὡς ἀεὶ πρὸς τὰς γνώμας τῶν ἀρχόντων τυποῦσθαι καὶ τὸ ὑποχείριον.

Ad principum voluntatem populi mores semper conformantur.

Πρὸς τὰς γνώμας καὶ τὰς πράξεις τῶν ἡγουμένων αὐτῶν οἱ πολλοὶ ἐξομοιοῦνται, καὶ ὁποῖα ἂν ἐκείνους δρῶντας ἴδωσι, τοιαῦτα καὶ αὐτοὶ, οἱ μὲν ὡς ἀληθῶς, οἱ δὲ καὶ προσποιούμενοι πράττουσιν.

Dicta et facta suorum præfectorum vulgus sequitur, ac ea quæ ab illis fieri animadverterit, eadem et qui sunt sub imperio, alii vere, alii simulate faciunt.

Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον προαιροῦ. Ὃν γὰρ πάντες φοβοῦνται, πάντας φοβεῖται.

Democr. Desiderari magis quam timeri in vita expete ; quem enim omnes metuunt, idem omnes metuit.

Τὸν ἄρχοντα δεῖ ἔχειν πρὸς μὲν τοὺς καιροὺς λογισμὸν, πρὸς δὲ τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν.

Principem in rerum opportunitatibus uti decet ratione, adversus hostes audacia, benevolentia autem erga subjectos.

Οἱ κακοὶ ἰόντες εἰς τὰς τιμὰς, ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ὄντες εἰς τὰς τιμὰς ἴωσι, τοσούτῳ μᾶλλον ἂν ἀκυδέες γίνονται, καὶ ἀφροσύνης καὶ θράσεος πίμπλανται.

Prov. XXVIII *et* XXIX. Mali qui accedunt ad honores, quanto magis sunt indigni qui honores assequantur, tanto magis calumniosi et imprudentia et audacia pleni turgent.

Ἄρχων μὲν ἐπιτήδευε πρᾶος εἶναι, ἀρχόμενος δὲ, μεγαλόφρων.

Chilarchi. Si magistratum geris, mansuetus, si sub imperio alterius agis, magno animo præditus esto.

Βασιλέα φρόνιμον τὸ διάδημα οὐ ποιεῖ. Νοῦς γάρ ἐστιν ὁ ἄρχων.

Regem prudentem diadema non efficit; mens enim est quæ imperat.

Ἄρχεσθαι μὴ μαθὼν, ἄρχειν μὴ ἐπιχείρει.

Si parere non didicisti, imperare ne aggrediter.

Ὦ πλοῦτε καὶ τυραννὶς, καὶ τέχνη τέχνης,
Ὑπερφέρουσαι τῷ πολυζήλῳ βίῳ,
Ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται !

Euripidis. O divitiæ, et tyrannis, et ars artem
Excellens, in vita hac æmulatione plena,
Quantum invidiæ vobiscum latet!

Πρέπει μὲν, ὦ μακάριε, τῷ τῶν μεγίστων προστατοῦντι μεγίστης φρονήσεως μετέχειν.

Platonis. Decet, o beate, qui rebus maximis præest, eum prudentia præditum esse maxima.

Φείδεσθαι χρὴ τῆς ἐξουσίας τοὺς δυναμένους, ὅπως ἀεὶ παραμένῃ τὸ ἐξεῖναι.

Catonis. Debent potentes parce uti potestate, ut semper uti possint.

Τὸν ἄρχοντα ἢ κριτὴν δεῖ μήτε ὑπὲρ τῶν δικαίων λιπαρεῖσθαι, μήτε ὑπὲρ τῶν ἀδίκων ἐκλιπαρεῖσθαι.

Magistratus aut judex neque pro justis orari, neque pro injustis exorari debet.

Ἀλέξανδρος, τοῦ οἰνοχόου αὐτοῦ ἀπολέσαντος φιάλην χρυσῆν, καὶ διὰ τοῦτο δυσφημοῦντος [*f.* δυσθυμοῦντος], μαθὼν τοῦτο προσκαλεσάμενος αὐτὸν εἶπε, Θάρσει. ὦ παῖ· ὅπου γὰρ ἂν εἴῃ, ἡμετέρα ἐστί.

Alexandri. Alexander, cum poculorum minister ejus phialam auream perdidisset, ob eamque causam animo affligeretur, jubet arcessi eum, et, Confide, inquit, puer, nam ubi ubi est, omnino nostra est.

Ἀλέξανδρος ἐρωτηθεὶς ποῖος βασιλεὺς ἄριστος, ἔφη· Ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς δι' εὐεργεσιῶν φιλοποιούμενος.

Alexander, quis esset optimus rex, interrogatus, Qui, inquit, amicos donis retinet, et inimicos beneficiis amicos facit.

Διογένης ἐρωτηθεὶς, πῶς ἄν τις πολιτεύηται ἐπὶ

Diogenis. Diogenes interrogatus, quomodo quis

vivere debeat sub potestate, quemadmodum igni A ἐξουσίᾳ, ἔφη· Καθάπερ πυρὶ, μήτε λίαν ἐγγὺς εἶναι, ἵνα μὴ κατακαῇ, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃ.
utendum esse **129** respondit, neque nimis prope accedendum, ne exuraris, neque nimium procul, ne rigeas.

Cyrus. Imperium non convenit ei qui nihilo iis qui sunt sub imperio est præstantior.

Ἄρχειν μηδενὶ προσήκει, ὃς οὐδὲ κρείττων ἐστὶ τῶν ἀρχομένων.

Solon. Impera, si prius parere didiceris; nam parere qui didicit, imperandi erit peritus.

Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν, ἄρχειν ἐπιστήσῃ.

Qui multis metuendus est, multos metuit.

Ὁ πολλοῖς φοβερὸς ὢν πολλοὺς φοβεῖται.

Aristotelis. Qui potestatem gerunt, si sapientes sunt, debent non propter magistratus, sed propter virtutes cum admiratione laudari, ut fortuna mutata iisdem laudibus digni judicentur.

Δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

Isocratis. Æmulare non eos qui maximum imperium acquisierint, sed eos qui optime præsentibus usi fuerint.

Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τοῖς παροῦσι χρησαμένους.

B

Idem pessimum imperatorem esse dicebat, qui sibi ipse imperare non posset.

Ὁ αὐτὸς κάκιστον ἔλεγεν ἄρχοντα εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.

Suscipe curam multitudinis, et jucundum imperium omnibus rebus antepone, intelligens et eam formam reipublicæ in qua pauci imperant, et aliarum rerumpublicarum illas diutissime conservari, quæ multitudinem curant et colunt optime. Bonus autem eris populi ductor et curator, si nec affici injuria turbam patiere, nec injuria affectam negliges, sed id curabis, ut optimi quique honores accipiant, cæteri nulla afficiantur injuria.

Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γινώσκων ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον παραμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύσωσι. Καλῶς δὲ δημαγωγήσεις, ἂν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπεῖς ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δὲ ἄλλοι μηδὲν ἀδικηθήσονται.

Corporis tui custodiam tutissimam existima esse amicorum virtutem, et aliarum rerumpublicarum benevolentiam, tuamque ipsius prudentiam; his enim rebus et conservari et parari regna maxime C possunt.

Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ τὴν τῶν ἄλλων πολιτειῶν εὔνοιαν, καὶ τὴν σεαυτοῦ φρόνησιν. Διὰ γὰρ τούτων καὶ σώζειν καὶ κτᾶσθαι τὰς τυραννίδας μάλιστα ἄν τις δύναται.

Gravis et metuendus fac videare; nihil eorum quæ fiunt, inexploratum relinquendo: clemens autem, leviora delictis supplicia statuendo.

Δεινὸς μὲν φαίνου, τῷ μηδέν σε λανθάνειν τῶν γινομένων, πρᾶος δὲ, τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων.

Fac velis imperio dignus esse non acerbitate, neque graviter puniendo, sed efficiendo ut omnes superentur tua mente et intelligentia, arbitrenturque te melius quam ipsos pro sua salute consultare.

Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι.

Diodori. Nemo eorum qui aliquam dignitatem assecuti sunt, si vehementer peccarit, speret se ad extremum sine reprehensione latere posse. Etenim si in vita sua effugerit reprehensionem et infamiam, post tamen exspectanda ei est veritas cum libertate, D quæ occulta olim silentio prædicabit.

Μηδεὶς ἐλπιζέτω τῶν τυχόντων ὑπεροχῆς τινος, ἂν ἐξαμαρτάνῃ μεγάλα, λήσεσθαι διὰ τέλους ἀνεπιτίμητος. Καὶ γὰρ ἂν ἐν τῷ καθ' ἑαυτὸν βίῳ διαφύγῃ τὸν ἀπὸ τῆς ἐπιτιμήσεως λόγον, ὕστερον ἥξειν ἐπ' αὐτὸν προσδέχεσθαι τὴν ἀλήθειαν μετὰ παῤῥησίας κηρύττουσαν τὰ πάλαι σιωπώμενα.

Regem bene fungentem suo munere decet justum et magnanimum et sincerum et liberalem in largiendo esse, ac quavis cupiditate majorem; supplicia leviora delicto, gratiam autem beneficio majorem referre, **130** tum subjectis tum amicis.

Δεῖ τὸν καλῶς βασιλεύοντα δίκαιον καὶ μεγαλόψυχον, καὶ ἀληθῆ καὶ μεταδοτικὸν εἶναι, καὶ πάσης ἐπιθυμίας κρείττονα· καὶ τὰς μὲν τιμωρίας ἐλάττους τῆς ἀξίας, τὰς δὲ χάριτας μείζους τῆς εὐεργεσίας ἀποδιδόναι τοῖς ὑπηκόοις καὶ φίλοις.

Nullus princeps longius in vitia provehitur, nisi cupiditatum ministros habeat.

Οὐδεὶς ἐπὶ πλεῖον κακίας προβαίνει δυνάστης, ἐὰν μὴ τοὺς ὑπηρετήσοντας ἔχῃ ταῖς ἐπιθυμίαις.

Agathonis. Tria meminisse decet magistratum: primum se hominibus imperare; alterum ex legibus imperare; tertium, se non semper imperaturum esse.

Τὸν ἄρχοντα τριῶν δεῖ μεμνῆσθαι, πρῶτον μὲν, ὅτι ἀνθρώπων ἄρχει· δεύτερον, ὅτι κατὰ νόμους ἄρχει· τρίτον, ὅτι οὐκ ἀεὶ ἄρξει.

Antigoni. Antigonus rex cuidam anui se beatum prædicanti, Si scires, inquit, o mater, quam mul-

Ἀντίγονος ὁ βασιλεὺς πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν, Εἰ ἤδεις, ἔφη, ὦ μῆτερ, ὅσων κακῶν

ἐστι τουτὶ τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας αὐτὸ κείμενον ἐβάστασας.

Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδὼν στρατόπεδον μέγα καὶ καλὸν, στρατηγὸν οὐκ ἔχον, Ἠλίκον, ἔφη, θηρίον κεφαλὴν οὐκ ἔχει !

Τὸν βασιλέα δεῖ μνημονεύειν ὅτι ἄνθρωπος ὢν ἐξουσίαν εἴληφεν ἰσόθεν [*f.* θεόθεν *vel* ἰσόθεον], ἵνα προτιρῆται μὲν τὰ καλὰ καὶ θεῖα, φρονήσει δὲ ἀνθρωπίνῃ χρῆται.

Εἰ βούλει σου τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν Σπαρτιάτην Λυκοῦργον. Ὃν γὰρ τρόπον οὐ τείχεσι τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας ὠχύρωσε, καὶ διὰ παντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν • οὕτως καὶ σὺ μὴ μεγάλην αὐλὴν περίβαλε καὶ τείχους ὑψηλοὺς ἀνίστα, ἀλλὰ τοὺς ἐνοικοῦντας εὐνοίᾳ καὶ πίστει καὶ φιλίᾳ στήριζε • καὶ οὐδὲν εἰς αὐτὴν εἰσελεύσεται βλαβερὸν, οὐδ' ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στῖφος.

Μηδεὶς τῶν φρονίμων τοῦ ἄρχειν ἀλλοτριούσθω. Καὶ γὰρ ἀσεβὲς τὸ ἀποσπᾶν ἑαυτὸν τῆς τῶν δεομένων εὐχρηστίας, καὶ ἀγεννὲς τὸ τοῖς φαύλοις παραχωρεῖν. Ἀνόητον γὰρ τὸ αἱρεῖσθαι κακῶς ἄρχεσθαι μᾶλλον, ἢ καλῶς ἄρχειν.

Δεινὸν καὶ χαλεπώτατον τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν.

Εὐμένης ὁ βασιλεὺς ἔλεγε τοῖς ἀδελφοῖς διὰ παντός • Ἐὰν μὲν ὡς βασιλεῖ προσφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χαρίσομαι • ἐὰν δὲ ὡς ἀδελφῷ, ἐγὼ ὑμῖν ὡς βασιλεύς.

Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς, Θηβαίων σεμνυνομένων ὅτι Λακεδαιμονίων ἡγήσαντο, Ἐγὼ, φησὶν, ἑώρακα χειμάρρους ποταμοὺς μείζους τῶν ἀενάων γινομένους, ἀλλ' ὀλίγον χρόνον.

Ὁ αὐτὸς ἐρωτηθεὶς, Τίνι καταλιμπάνεις τὸ βασίλειον ; ἔφη, Τῷ δυναμένῳ.

ΛΟΓΟΣ Β'.

Περὶ βασιλέως μὴ λίαν θαυμαζομένου.

Βασιλεὺς θρασὺς ἐμπεσεῖται εἰς κακά.

Βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν παράνομοι.

Ἀγαθὸς πένης καὶ σοφὸς ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα.

Οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος.

Ἡ κακοπραγία περιστρέφει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῶν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου • ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει, ὅτι ὄντες τῆς αὐτοῦ βασιλείας, οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ τὴν βουλὴν τοῦ Θεοῦ ἐπορεύθητε, φρικτὸς καὶ ταχέως ἐπιστήσεται ὑμῖν ὄλεθρος • ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. Ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ, δυνατῶς ἐτασθήσονται. Οὐ γὰρ ὑποστελεῖ τὸ πρόσωπον ὁ πάντων Δεσπότης, οὐδὲ

A torum malorum sit hic pannus (diadema autem ostendebat), in stercore eum jacentem non tolleres.

Epaminondæ. Epaminondas Thebanus cum videret exercitum magnum et ornatum, sed imperatore carentem : Quanta, inquit, bestia caput non habet !

Philippi. Rex meminisse debet, homo cum sit, se potestatem divinitus accepisse, ut quæ præclara sunt et divina sibi proponat et expetat, prudentia autem utatur humana.

Si vis domum bene habitari, Spartanum Lycurgum imitare ; quemadmodum enim ille non muris cinxit urbem, sed virtute incolas obvallavit, sicque semper civitatem liberam retinuit ; sic et tu facito : B nec magnum vestibulum cingito, nec muros altos excitato, sed cives benevolentia et fide et amicitia firmato, et nihil in eam ingredietur infestum aut noxium, nec si universum quidem improbitatis agmen se opponat.

Prudens a gerendo magistratu ne se abducito ; impium est enim seipsum abstrahere ab indigentium utilitate et commodis, et improbis cedere minime generosum. Stultum est enim præoptare male gubernari, quam bene gubernare.

Acerbum est et molestiæ plenissimum, deteriores præstantioribus imperare, et stultiores prudentioribus præscribere.

Eumenis. Eumenes rex fratribus crebro dicere C solebat. Si me rege usi fueritis, vobis tanquam fratribus gratificabor ; sin autem tanquam fratre, ego vobis ut rex.

Cotyis. Cotys Thracum rex Thebanis gloriantibus quod Lacedæmoniis imperarent : Vidi, inquit, torrentes perennibus fluviis majores factos, sed ad breve tempus.

Idem interrogatus cui relinqueret arcem regiam, Potenti, inquit.

131 SERMO II [*al.* CIV].

De rege non multum admirando (vel de rege malo).

Prov. Rex audax incidet in mala.

Regis subauscultantis orationem iniquam imperio qui parent, omnes sunt exleges.

Eccle. IV. Pauper probus et sapiens est supra re- D gem senem et insipientem.

Eccle. X. Væ tibi, civitas, cujus juvenis rex est.

Isa. III, *Sap.* VI. Actio mala potentium solia evertit. Audite igitur, reges, ac intelligite, accipite auribus, qui imperatis multitudini, et in turbis gentium elati estis ; datus est a Domino principatus vester, et potentia ab Excelsissimo, qui facta vestra examinabit, et consilia vestra perscrutabitur ; quia cum regni ejus ministri sitis, non recte judicia exercuistis, nec legem servastis, neque ex Dei sententia et consilio vos gessistis, horribile vobis exitium ingruet, idque cito ; judicium enim severe fiet in eos qui præcellunt aliis : minimus enim venia et misericordia dignus est, sed potentes potenter examinabuntur ; non enim faciem et os cujusquam

verebitur omnium Dominus, neque magnitudinem reverebitur, quia parvum et magnum ipse fecit, æqualiterque omnium commodis consulit et prospicit; potentes autem diligenter et severe excutientur.

Eccli. VIII. Multos perdidit aurum, et corda regum a recto deflexit.

Prov. XXIX. Rex doctrinæ expers populum suum perdet.

Prov. XXVIII. Regnum a gente ad gentem transfertur propter injustitias et violentas injurias et pecunias dolosas.

Theologi. Non eadem reges et privatos decere existimamus, quod non eadem **132** sint dignitate. Privatis enim vel vafre aliquid facere concedemus; quem enim perspicuum est vi nihil agere posse, hujus vafrities veniam meretur. Regi autem cum valde turpe sit vi et potentia superari, tum turpius minusque decere arbitror, ut arte et callide conata perficiat atque instituta.

Philonis. Juventus cum summa potestate appetitionibus quæ cohiberi non possunt utens, malum inexpugnabile est.

Corpore quidem rex cuivis alteri homini par est; potestate vero dignitatis similis est qui supra omnes est, Deo; non enim habet in terris se quidquam excelsius; itaque debet rex ut mortalis non tolli, et ut Deus non irasci. Etsi enim imaginis divinæ honore est affectus, pulveri tamen terreno implicitus est, per quem edocetur, qua erga omnes utamur, simplicitatem.

Musonii. Niti decet ut subjectis venerabilis magis quam terribilis esse videaris; illud enim gravitas, hoc vero feritas comitatur.

Democr. Improba natura, si potestatem assecuta fuerit, publicas afferre solet calamitates.

Antisthenis. Tum civitates interire solent, cum qui imperant improbos a probis discernere non possunt.

Ut furioso gladium, sic improbo potestatem dare periculosum est.

Menandri. Opulentia rationis expers, potestatem nacta, etiam eos qui sapere videntur stultos reddit.

Demosthenis. Nam fortunatum esse præter dignitatem, desipiendi præter dignitatem occasio est.

SERMO III [*al.* CLXXIII].

De episcopis moderatis et Dei mandata observantibus; gravem et talem quæ reprehendi non possit vitam eorum documentum esse iis quibus præsint.

Gen. XIV. Melchisedec rex Salem protulit panes et vinum Abrahamo, cum reverteretur ex occisione regum; erat autem Dei summi sacerdos.

Levit. Quisquis fuerit vitioso corpore, non ingredietur (aut accedet ad ministerium), non cæcus, non claudus, non mutilo naso præditus, aut auribus truncatis, nec qui fracta manu aut pede est, nec gibbus, nec facie lentiginosa, aut glaber ciliis, item

A ἐντραπήσεται μέγεθος· ὅτι μικρὸν καὶ μέγαν αὐτὸς ἐποίησεν, ὁμοίως δὲ προνοεῖται τῶν πάντων, τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα.

Πολλοὺς ἀπώλεσε τὸ χρυσίον, καὶ καρδίας βασιλέων ἐξέκλινεν.

Βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ.

Βασιλεία ἀπὸ ἔθνους εἰς ἔθνος μετάγεται διὰ ἀδικίαν καὶ ὕβριν καὶ χρήματα δόλια.

Οὐ τὰ αὐτὰ βασιλεῦσί τε καὶ ἰδιώταις πρέπειν ὑπολαμβάνομεν, ὅτι μηδὲ τῆς αὐτῆς ἀξίας ἀμφότεροι. Ἰδιώταις μὲν γὰρ καὶ τεχνικῶς πρᾶξαί τι
B συγχωρήσομεν· ᾧ γὰρ τὸ φανερῶς βιάζεσθαι μὴ δυνατὸν, τούτῳ συγγνωστὸν τὸ τῆς περινοίας. Βασιλεῖ δὲ τοῦ δυνάμει κρατεῖσθαι λίαν αἰσχροῦ τυγχάνοντος, ἔτι αἴσχιον οἶμαι καὶ ἀπρεπέστερον τέχνῃ κλέπτειν τὰς ἐγχειρήσεις καὶ τὰ προκείμενα.

Νεότης μετ' ἐξουσίας αὐτοκρατοῦς ὁρμαῖς ἀκαθέκτοις χρωμένη, κακὸν δύσμαχον γίνεται.

Τῇ μὲν οὐσίᾳ τοῦ σώματος ἴσος παντὸς ἀνθρώπου ὁ βασιλεὺς, τῇ ἐξουσίᾳ δὲ τοῦ ἀξιώματος ὅμοιός ἐστι τῷ ἐπὶ πάντων Θεῷ. Οὐκ ἔχει γὰρ ἐπὶ γῆς αὐτοῦ ὑψηλότερον. Χρὴ τοίνυν καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι, καὶ ὡς Θεὸν μὴ ὀργίζεσθαι. Εἰ γὰρ καὶ εἰκόνι θείκῃ τετίμηται, ἀλλὰ καὶ κόνει χοϊκῇ συμπέπλεκται, δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας
C ἁπλότητα.

Πειρατέον καταπληκτικὸν μᾶλλον τοῖς ὑπηκόοις ἢ φοβερὸν θεωρεῖσθαι. Τῷ μὲν γὰρ σεμνότης, τῷ δὲ ἀπήνεια παρακολουθεῖ.

Πονηρὰ φύσις, ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς.

Τότε τὰς πόλεις ἀπόλυσθαι συμβαίνει, ὅταν μὴ δύνωνται οἱ κρατοῦντες τοὺς φαύλους ἐκ τῶν σπουδαίων διακρίνειν.

Ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν καὶ μοχθηρῷ δύναμιν.

Πλοῦτος ἀλόγιστος προσλαβὼν ἐξουσίαν καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.

Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ
D κακῶς φρονεῖν παρὰ τὴν ἀξίαν γίνεται.

ΛΟΓΟΣ Γ'.

Περὶ ἐπισκόπων χρηστῶν, καὶ φυλαττόντων τὰς ἐντολὰς τοῦ Θεοῦ· καὶ ὅτι ὁ σεμνὸς καὶ ἀνεπίληπτος τούτων βίος παίδευμα γίνεται τοῖς ὑποτεταγμένοις.

Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον τῷ Ἀβραὰμ ἐν τῷ ὑποστρέφειν αὐτὸν ἀπὸ τῆς κοπῆς τῶν βασιλέων. Ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου.

Πᾶς ἄνθρωπος ᾧ ἂν ᾖ μῶμος ἐν αὐτῷ, οὐ προσελεύσεται· ἄνθρωπος τυφλὸς, ἢ χωλὸς, ἢ κολοβόῤῥιν, ἢ ὠτότμητος· ἢ ἄνθρωπος ᾧ ἂν ᾖ σύντριμμα χειρὸς, ἢ σύντριμμα ποδὸς, ἢ κυρτὸς, ἢ ἔφηλος, ἢ πτιλὰς τοὺς ὀφθαλμούς· ἢ ἄνθρωπος ᾧ ἂν ᾖ ἐν αὐτῷ ψώρα

ἀγρία, ἢ λειχὴν, ἢ μονόρχης. Τὰ γὰρ δῶρα τοῦ Θεοῦ ἅγια τῶν ἁγίων.

Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.

Ἄνθρωπος ἐὰν ποιήσῃ ἐν ὑπερηφανίᾳ τοῦ μὴ εἰσακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ σου, ἢ τοῦ κριτοῦ ὃς ἂν γένηται ἐν ταῖς ἡμέραις ἐκείναις, ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Ἡμεῖς ἐγνωρίσαμεν ὑμῖν τοὺς πάντας ἱερεῖς, καὶ Λευίτας καὶ ᾠδοὺς καὶ πυλωροὺς, καὶ τοὺς λειτουργοὺς τοῦ Θεοῦ, φόρον καὶ πρᾶξιν καὶ ἀποφορὰν οὐκ ἔχειν ὑμᾶς ἐξουσίαν ἐπιβαλεῖν ἐπ' αὐτοῖς.

Γνωστὸς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου, καὶ ἐπιστήσεις καρδίαν σου σαῖς ἀγέλαις.

Χεῖλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν.

Παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεὸς, ἱερεῖς.

Δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ.

Ἐὰν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃς τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχήν· αὐτὴ μὲν διὰ τὴν ἀνομίαν αὐτῆς ἐλήφθη, τὸ δὲ αἷμα αὐτῆς ἐκ τῆς χειρός σου ἐκζητήσω. Ἐὰν δὲ διαστείλῃς τῷ ἀνόμῳ, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ καὶ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, ὁ ἄνομος ἐκεῖνος ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ.

Οἶνον οὐ μὴ πίωσι πᾶς ἱερεὺς, ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν.

Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε, καὶ κρῖμα καὶ δικαιοσύνην ποιήσατε. Ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ μου, λέγει Κύριος ὁ Θεός.

Οἱ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν.

Ἱερέα φρόνησις καὶ βίος καὶ εὐσέβεια καὶ γνῶσις ποιεῖ.

Ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν Κύριον, καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε. Ἐν ὅλῃ δυνάμει σου δόξασον τὸν ποιήσαντά σε, καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς. Φοβοῦ τὸν Κύριον, καὶ δόξασον ἱερέα, καὶ δὸς τὴν μερίδα αὐτῶν, καθὼς ἐνετειλάτό σοι.

Ἡγούμενόν σε κατέστησα, μὴ ἐπαίρου. Γίνου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν.

Ἀνὴρ σοφὸς τὸν ἑαυτοῦ λαὸν παιδεύσει, καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες. Ὁ γὰρ σοφὸς ἐν λαῷ αὐτοῦ κληρονομήσει πίστιν, καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα.

Εἶπεν ὁ Κύριος· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ Κύριος ἐπὶ τῆς

A nec qui fera scabit, aut mentagra laborat, aut unitestis est. Dona enim Dei sunt sancta sanctorum.

Exod. XXII. Diis et principi populi tui ne maledicito.

Deut. XVII. Qui per superbiam non audierit sacerdotem adstantem ad ministrandum in nomine Domini Dei tui, aut judicem qui illo tempore fuerit, is morte multetur, et ex Israele tolles improbum.

Psal. CXXXI. Sacerdotes tui induentur justitiam, et sancti tui exsultabunt.

Esdræ. Nos designavimus vobis omnes sacerdotes et Levitas, et cantores et janitores et ministros B Dei, ne habeatis potestatem imponendi illis tributum et exactionem et pensionem.

Prov. XXVII. Accurate agnosces animas ovilis tui, et cor tuum gregibus tuis præficies.

Malach. II. Labia sacerdotis observabunt justitiam, et legem requirent de ore ejus, quia nuntius est Domini omnipotentis.

Esa. Sacerdotes, inquit Deus, exhortamini et consolamini populum meum.

Dabo principes tuos cum pace, et episcopos tuos cum justitia.

Ezech. III et XVIII. Si frameam videris, nec significaveris tuba, populusque non sibi caverit, sed gladius ipse unum aliquem ex illis ceperit, is C quidem, propter iniquitatem suam capitur: at sanguinem illius de manu tua repetam. Sin impium **133** reprehenderis, nec se converterit ab impietate sua, nec a via sua deflexerit, ille in impietate sua morietur, et tu tuam animam liberaris.

Ezech. XXXIV. Nulli sacerdotes vinum bibent, quandiu quidem in aulam interiorem ingrediuntur.

Hæc dicit Dominus Deus Israelitarum: Injustitiam et vexationem auferte, et judicium et justitiam exercete. Auferte oppressionem a populo meo, inquit Dominus.

Sap. III. Qui sancta sancte servaverint, sancti futuri sunt: et qui ea didicerint, invenient defensionem.

D Prudentia et vita et pietas et scientia sacerdotem efficit.

Sirach VII. Toto corde metue Dominum, et sacerdotes ejus venerare: omnibus viribus tuis eum qui te fecit, laudibus afficito, et ministros ejus ne deseras: metue Dominum, et sacerdotem laudibus afficito, et (ut tibi præcepi) da illis partem suam.

Eccli. XXXII. Ducem te præfeci, ne effertor; esto in illis ut unus de illis.

Ibid. XXXVII. Sapiens vir populum suum instituet, ac eum prædicabunt beatum quotquot eum viderint; nam sapiens in populo hæreditariam fidem et auctoritatem sibi parabit, et nomen ejus vivet in sæculum.

Matth. XXIV. Quis est, inquit Dominus, fidelis rei domesticæ præfectus, et prudens quem præficiat

Dominus familiæ suæ, ut suo tempore det illis demensum ? Beatus servus ille, quem cum venerit Dominus ejus, invenerit sic facientem. Vere dico vobis, eum omnibus bonis suis præficiet.

Joan. XXI. Dixit Dominus Petro : Simon, fili Jonæ, diligis me plus quam hi ? Etiam, inquit, Domine. Tum ille : Pasce, inquit, agnos meos. Dixit illud iterum : Simon, fili Jonæ, amas me ?

Actor. XX. Testificor vobis posthac me fore purum sanguinis et peccati omnium vestrum, non enim quidquam celavi, quin vobis totum Dei consilium enuntiarem. Prospicite igitur vobis et toti gregi, cujus vos Spiritus sanctus effecit episcopos, ut Ecclesiam Domini pascatis, quam suo sibi sanguine acquisivit.

I. Tim. III. Si quis episcopi officium appetit, honestum munus concupiscit. Oportet igitur episcopum talem esse, qui reprehendi non possit, sobrium et vigilantem, moderatum, hospitum studiosum, ad docendum aptum, non vinolentum, non violentum et injuriosum, sed clementem et de suo jure cedentem, non pugnacem, a studio pecuniæ alienum, quique domui suæ **134** bene præsit. Si quis enim domui suæ præesse nescit, quo tandem modo Ecclesiæ Dei curam geret ? non novitium, ne inflatus in damnationem incidat. Etiam oportet eum honestum testimonium ab externis habere, ut ne in probra et laqueum calumniatoris incidat.

I Tim. V. Manus cito nemini imponito. nec alienorum peccatorum particeps esto ; teipsum castum servato.

Tit. I. Oportet episcopum talem esse, qui neque redargui, neque convinci possit, tanquam Christi dispensatorem, non pertinacem, non iracundum, non injuriosum, non turpis lucri cupidum, sed hospitum et peregrinorum studiosum, bonitatis et probitatis amantem, temperantem, justum, sanctum, continentem, adhærentem fideli doctrinæ sermoni, ut et possit sana doctrina exhortari, et contradicentes reprehendere.

I Petr. V. Pascite eum cui præestis Christi gregem, non coacti, sed volentes, non avare, sed alacriter, neque tanquam dominantes in sortem, sed estote exemplar gregis, et cum prodibit pastorum princeps, recipietis gloriæ coronam, quæ nunquam marcescet.

Ignatii. Date operam ne resistatis episcopo, ut Deo subjiciamini, et quo magis tacitum videritis episcopum, tanto magis eum metuite. Quemcunque enim mittit paterfamilias qui rei domesticæ præsit, sic decet excipere, ut eum ipsum qui mittit : itaque decet, ut episcopum tanquam Dominum ipsum suspiciatis.

S. Basilii. Auctoritas docentis orationem efficit acceptam ac discipulos reddit attentiores.

Qui præest aliis ne efferatur dignitate, ne amittat humilis animi beatitudinem, aut ipse inflatus in condemnationem incidat diaboli.

θεραπείας αὐτοῦ, τοῦ δοῦναι ἐν καιρῷ τὸ σιτομέτριον ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

Εἶπεν ὁ Κύριος τῷ Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων ; Λέγει αὐτῷ, Ναὶ, Κύριε. Λέγει αὐτῷ, Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν τὸ δεύτερον· Σίμων Ἰωνᾶ, φιλεῖς με ;

Διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων ὑμῶν. Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Κυρίου, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. Εἰ γάρ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς Ἐκκλησίας θεοῦ ἐπιμελήσεται ; μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ. Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου.

Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἀλλοτρίαις ἁμαρτίαις. Σεαυτὸν ἁγνὸν τήρει.

Δεῖ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς Χριστοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου, ἵνα καὶ δυνατὸς ᾖ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

Ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Χριστοῦ, μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μηδὲ ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλ' ὡς τύποι γενόμενοι τοῦ ποιμνίου· καὶ φανέντος τοῦ ἀρχιποιμένος, κομίσεσθε τὸν ἀμαράντινον στέφανον τῆς δόξης.

Σπουδάσατε μὴ ἀντιτάσσεσθαι τῷ ἐπισκόπῳ, ἵνα ἦτε Θεῷ ὑποτασσόμενοι. Καὶ ὅσον βλέπετε σιγῶντα τὸν ἐπίσκοπον, πλέον αὐτὸν φοβεῖσθε. Πάντα γὰρ ὃν πέμπει ὁ οἰκοδεσπότης εἰς ἰδίαν οἰκονομίαν, οὕτως δεῖ ἡμᾶς αὐτὸν δέχεσθαι, ὡς αὐτὸν τὸν πέμποντα. Τὸν οὖν ἐπίσκοπον ὡς αὐτὸν τὸν Κύριον δεῖ προβλέπειν.

Ἀξιοπιστία τοῦ διδάσκοντος εὐπαράδεκτον μὲν τὸν λόγον καθίστησι, προσεχεστέρους δὲ τοὺς μαθητευομένους παρασκευάζει.

Τὸν προεστῶτα μὴ ἐπαιρέτω τὸ ἀξίωμα, ἵνα μὴ ἐκπέσῃ τοῦ μακαρισμοῦ τῆς ταπεινοφροσύνης, ἢ καὶ αὐτὸς τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου.

Ὁ τὴν κοινὴν φροντίδα πεπιστευμένος, ὡς ὀφείλων λόγον δοῦναι περὶ ἑκάστου τῶν πεπιστευμένων, οὕτως διακείσθω.

Οὐδεὶς ἐν ἐπισκοπῇ ὢν ἐγκαλεῖται, εἴ τι κατὰ ἀδιαφορίαν ἐν τῷ λαϊκῷ ἀπαρατηρήτως ἔγραψεν.

Αὕτη μοι φαίνεται τῷ ὄντι τέχνη τις εἶναι τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν τὸ πολυτροπώτατον ζῶον καὶ ποικιλώτατον.

Ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν προσφέρονται ἅπαντες, ἄλλοι δὲ ἄλλην, ἢ εὐεκτοῦντες ἢ κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπευτέον. Μάρτυρες δὲ τῆς θεραπείας, ὧν καὶ τὰ πάθη. Τοὺς μὲν γὰρ ἄγειν λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγμασιν. Οἱ μὲν δέονται κέντρου, οἱ δὲ χαλινοῦ. Οἱ μὲν γάρ εἰσι νωθεῖς καὶ δυσκίνητοι πρὸς τὸ καλὸν, οἱ δὲ θερμότεροι τοῦ μέτρου καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι πόρρω τῆς νύσσης θέοντες, οὓς βελτίους ἂν ποιήσειεν ἐλέγχων καὶ ἀνακόπτων ὁ λόγος.

Οὗτος ὅρος πάσης πνευματικῆς προστασίας πανταχοῦ τὸ καθ' ἑαυτὸν παρορᾷν πρὸς τὸ τῶν ἄλλων συμφέρον.

Παίδων φείδεσθαι πατρικὸς νόμος.

Μήτε τῆς οὐ διδομένης ἐφίεσθαι χρὴ προστασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην. Τὸ μὲν γάρ ἐστιν θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ ἀπαιδεύτων ἀμφότερα.

Οἷς τὰ μέγιστα ἐν χερσὶ, καὶ ἐν οἷς τὸ πᾶν ταλαντεύεται, τούτοις μάλιστα φροντιστέον Θεοῦ, καὶ τῆς ἐντεῦθεν ἐπικουρίας.

Οὐδὲν οὕτω πείθει τοὺς πολλοὺς, ὡς πρᾶξις ἡ σιωπῶσα παραίνεσιν.

Τροφὴ καὶ τοῦ τρέφοντός ἐστιν ἡ δίδαξις.

Τοσούτῳ ἀνώτερον βασιλείας ἔστηκεν ἱερωσύνη, ὅσον πνεύματος καὶ σαρκὸς τὸ μέσον.

Πολλὴν μὲν τὴν σύνεσιν, πολλὴν δὲ πρὸ τῆς συνέσεως τὴν παρὰ τοῦ Θεοῦ χάριν, καὶ τρόπων ὀρθότητα, καὶ καθαρότητα βίου, καὶ μείζονα ἢ κατὰ ἄνθρωπον ἔχειν δεῖ τὴν ἀρετὴν, τὸν τῆς ἱερωσύνης ἀναδεχόμενον τὴν φροντίδα.

Τῶν ἀκτίνων αὐτῶν καθαρωτέραν τοῦ ἱερέως τὴν ψυχὴν εἶναι δεῖ.

Μέσος τοῦ Θεοῦ καὶ τῆς τῶν ἀνθρώπων φύσεως ἔστηκεν ὁ ἱερεὺς, τὰς ἐκεῖθεν τιμὰς κατάγων πρὸς ἡμᾶς, καὶ τὰς παρ' ἡμῶν ἱκετηρίας ἀνάγων ἐκεῖ.

Πολλῆς τῆς ἐν τῷ λέγειν δυνάμεως χρεία τῷ ἱερεῖ. Ἀλλὰ καὶ σφόδρα ἔμπειρον εἶναι δεῖ τῆς διαλεκτικῆς.

Μὴ ζήτει γενέσθαι κριτὴς, εἰ μὴ ἰσχύεις ἐξᾶραι ἀδικίαν.

Μὴ ζήτει γενέσθαι διδάσκαλος, εἰ τῆς τοῦ πράγματος ἀρετῆς ἀπέχεις, ἀλλὰ ἑλκόμενος ἀποπήδα.

Ἐπικίνδυνον γὰρ τὸν μὴ διὰ τοῦ πρακτικοῦ βίου ἀναχθέντα διδάσκειν ἐπιχειρεῖν.

Οἱ μὲν γὰρ ἄλλοι μυριάκις πίπτοντες, δύνανται τυχεῖν συγγνώμης· ὁ δὲ διδάσκαλος ἐὰν τοῦτο πάθῃ,

Cui cura communis credita est, is quasi debeat rationem reddere de singulis creditis, ita affectus esto.

Theologi. Nullus episcopi munere fungens reprehenditur, si quid in rebus indifferentibus (in oratione populari) inconsiderate scripserit.

Hæc mihi videtur esse ars quædam artium et scientia scientiarum, hominem versutissimum omnium animalium ac maxime varium regere.

Ut corporibus non idem medicamentum adhibent omnes, sed alii aliud, sive valentes sive ægrotantes, sic et animas diversa ratione et institutione curabimus, atque hujus curationis testes sunt qui et perturbationibus animi afficiuntur. Alios enim ducit oratio, alii exemplis ducuntur **135** et corriguntur ; alii calcari, alii freno egent ; alii enim sunt segnes et difficiliter ad honesta incitantur, alii supra modum calent, etiam appetitionibus effrenatis, quemadmodum generosi equi ultra metam currentes, quos meliores efficias, si verbis reprehendas ac retro inhibeas.

Hic est terminus cujusvis spiritalis præfecturæ, ubique sua negligere ad aliorum utilitatem.

Liberis parcere patrum est lex et consuetudo.

Neque eam quæ non datur præfectura appetere, neque eam quæ datur repudiare debemus. illud est enim audacium, hoc vero rebellium et contumacium, utrumque indoctorum.

Qui res maximas tractant, quique rerum summam tenent et tanquam pondere librant, ii maxime Deum curare et ab illo auxilium petere debent.

Nihil tam movet vulgus, atque actio quæ est tacita admonitio.

Alimentum etiam alentis est doctrina.

S. Chrysost. Tanto est superius regno sacerdotium, quantum est inter spiritum et carnem intervallum.

Non solum sagacitatem, sed etiam antea magnam a Deo gratiam vitæque mores rectos et puros, ac virtutem humanam majorem habere decet eum, qui sacerdotii curam suscipit.

Radiis ipsis purior esse debet anima sacerdotis.

Medius inter Deum et hominum naturam stat sacerdos, beneficia illinc ad nos deducens, et supplices nostras postulationes illuc subducens.

Magna dicendi facultate sacerdoti est opus, quin etiam dialectices valde peritum esse oportet.

Eccli. VII. Noli fieri judex, si injustitiam tollere non potes.

Noli esse doctor, si a rei virtute abes, sed etiam si traharis resilito.

Periculosum est eum qui non sit in rerum actione versatus, docendi munus suscipere.

Etsi enim alii millies labantur, possunt tamen veniam impetrare : at doctor si istud ei acciderit,

omni excusatione privatur, et extremo afficitur supplicio.

Qui adversus omnes pugnam susceperturus sit, eum nosse artes omnes oportet.

Sagacitas et intelligentia non ex ætate judicanda est, nec presbyter a canitie probandus, nec juvenis est omnino arcendus a tali ministerio, sed neophytus ; magnum est autem quod est inter utrumque medium.

136 Non novit ætatis differentiam universorum Deus, sed pietatem solam et rerum divinarum amorem et studium requirit; at si hæc in juvene repererit, hunc multis senioribus anteponit.

Tunc maxime sacerdotes honore afficere debemus, cum etiam reipublicæ venerabiles fuerint. Si enim quosvis propter ætatem venerabiles existimamus, multo magis patres spirituales.

Sacerdotii dignitate præditos lex deos nominat : « Diis, inquit, non maledices, nec principi populi tui. »

Honor qui habetur sacerdotibus in universorum Dominum redundat.

Episcopus dicitur ab ἐπισκοπεῖν, id est, a speculando et spectando, quod universos speculetur.

Quanto major est dignitas, tanto majora sunt pericula.

Episcopi munere fungenti unum rectum officium sui muneris satis est, ut in cœlum subducatur, et unum peccatum ut in gehennam ipsam detrudatur.

Si contingat quempiam vel per amicitiam vel per aliam causam ab aliquo ad episcopi dignitatem evehi indignum, omnium quæ ab illo acta fuerint, ipse reddet rationem ; nam qui in numero privatorum est incautus, multo magis cum magistratum capessit. Etenim inanis gloria tum vehementius invadit, et pecuniarum cupido et pertinacia, magistratu potestatem præbente et offensiones et injurias et convicia.

I Tim. v. Manus, inquit divus Apostolus, cito imponito nemini, nec peccatorum socius esto. Quid ais ? alius peccavit, et ego sum particeps criminationum et supplicii ? Certe, inquit, quia improbitati potestatem dedisti : et ut si quis furenti et insano gladium in manus tradiderit, quem in sua habebat potestate, cædis quam fecerit per furorem ille insanus, culpam sustinet, sic et qui potestatem magistratus dederit homini improbo, universorum peccatorum illius et audaciter temereque factorum ignem in caput attrahit suum ; nam qui radicem tradiderit, ubicunque is eorum quæ ex ea nascuntur causa et auctor est.

Ut te Dominus, sic tu omnes ferto ; omnes sustine cum charitate, postula prudentiam majorem quam habes ; omnium morbos portato : ubi enim plurimum laboris, ibi quoque lucri plurimum.

Si quis a Domino gloriam consequi volet, oves rationis participes curato, fratrum suorum curam

A πάσης ἀπεστέρηται ἀπολογίας, καὶ τὴν ἐσχάτην ὑποδωσι τιμωρίαν.

Δεῖ τὸν μέλλοντα τὴν πρὸς πάντας ἀναδέχεσθαι μάχην τὰς πάντων εἰδέναι τέχνας.

Οὐ χρὴ τὴν σύνεσιν ἡλικίᾳ κρίνειν, οὐδὲ τὸν πρεσβύτερον ἀπὸ τῆς πολιᾶς δοκιμάζειν, οὐδὲ τὸν νέον πάντως ἀπείργειν τῆς τοιαύτης διακονίας, ἀλλὰ τὸν νεόφυτον· πολὺ δὲ ἀμφοτέρων τὸ μέσον.

Οὐκ οἶδεν ἡλικίας διαφορὰν ὁ τῶν ὅλων Θεὸς, ἀλλ' εὐσέβειαν μόνην καὶ φιλοθεΐαν ζητεῖ· κἂν εὕρῃ ταύτην ἐν νέῳ, πολλῶν τοῦτον τίθησι πρεσβυτέρων.

Τοὺς ἱερέας τότε μάλιστα τιμᾶσθαι δεῖ, ὅταν καὶ ἀπὸ τῆς πολιτείας ὦσιν αἰδέσιμοι. Εἰ γὰρ τοὺς τυχόντας διὰ τὴν ἡλικίαν αἰδεσίμους εἶναι νομίζομεν, πολλῷ μᾶλλον τοὺς πατέρας τοὺς πνευματικούς.

Τοὺς τῇ ἱερωσύνῃ τετιμημένους θεοὺς ὁ νόμος καλεῖ· « Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. »

Ἡ εἰς τοὺς ἱερέας τιμὴ εἰς τὸν τῶν ὅλων Δεσπότην διαβαίνει.

Ἐπίσκοπος παρὰ τὸ ἐπισκοπεῖν ἅπαντας.

Ὅσῳ γὰρ μέγα τὸ ἀξίωμα, τοσούτῳ μείζους καὶ οἱ κίνδυνοι τῷ τὴν ἐπισκοπὴν ἔχοντι.

Ἀρκεῖ ἓν κατόρθωμα ἐπισκοπῆς ἀνενεγκεῖν εἰς τὸν οὐρανὸν, καὶ ἓν ἁμάρτημα εἰς αὐτὴν ἐμβαλεῖν τὴν γέενναν.

Ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν ἢ δι' ἄλλην τινὰ αἰτίαν ἀνάξιον εἰς ἐπισκοπὴν παραγαγεῖν, πάντων τῶν ὑπ' ἐκείνου πραττομένων αὐτὸς δώσει τὰς εὐθύνας. Ὁ γὰρ ἐν τάξει ἰδιώτου ὢν ἀνεύλαβής, πολλῷ μᾶλλον ὅταν ἐπιλάβηται τῆς ἀρχῆς. Καὶ γὰρ κενοδοξία τότε σφοδρότερον ἐπιτίθεται, καὶ χρημάτων ἔρως καὶ αὐθάδεια, τῆς ἀρχῆς τὴν ἐξουσίαν παρεχούσης, καὶ προσκρούσματα, καὶ ὕβρεις, καὶ λοιδορίας.

Χεῖρας, φησὶν ὁ θεῖος Ἀπόστολος, ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίας. Τί λέγεις; ἵλος ἥμαρτε, κἀγὼ κοινωνῶ τῶν ἐγκλημάτων καὶ τῆς τιμωρίας; Ναὶ, φησὶν, ὅτι πονηρίᾳ τὴν ἐξουσίαν παρέσχες. Καὶ καθάπερ τις μαινομένῳ καὶ παραπαίοντι ξίφος ἐγχειρίσας ἠκονημένον, ὃν ἂν ἐργάσηται φόνον ὁ μεμηνὼς, ἐκεῖνος ὑφίσταται τὴν αἰτίαν· οὕτω καὶ ἀνθρώπῳ τις πονηρίᾳ συζῶντι τὴν ἀπὸ τῆς ἀρχῆς ταύτης ἐξουσίαν παρασχὼν, τὸ πῦρ ἀπάντων ἁμαρτημάτων ἐκείνου καὶ τῶν τολμημάτων ἐπὶ τὴν οἰκείαν ἕλκει κεφαλήν. Ὁ γὰρ τὴν βίζαν παρασχὼν πανταχοῦ, οὗτος τῶν ἐξ αὐτῆς φυομένων ἐστὶν αἴτιος.

Πάντας βάσταζε ὡς σὲ ὁ Κύριος πάντων· ἀνέχου ἐν ἀγάπῃ· αἰτοῦ σύνεσιν πλείονα ἧς ἔχεις. Πάντων τὰς νόσους βάσταζε· ὅπου γὰρ πλείων κόπος, ἐκεῖ τὸ κέρδος.

Εἴ τις εὐδοκιμεῖν βούλοιτο παρὰ Θεῷ, τῶν λογικῶν ἐπιμελείσθω προβάτων· τῶν ἀδελφῶν κηδέσθω

τῶν ἑαυτοῦ· οὐδὲν τούτου τῷ Θεῷ προτιμότερον κα- A gerito; nullum est Deo officium hoc gratius **137**
τόρθωμα. et majoris dignitatis.

Ὁ γὰρ ἑαυτὸν ἀσκῶν εἰς ἑαυτὸν μόνον περιίστησι τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς κέρδος εἰς ἅπαντα διαβαίνει τὸν λαόν.

I Cor. IV. Qui seipsum exercet, soli sibi prodest, at artis pascendi lucrum in totum populum manat.

Οὕτω χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὡσπερανεὶ πατὴρ πρὸς παῖδας ἄγαν νηπίους διάκειται. Καὶ καθάπερ ἐκείνων οὔτε πληττόντων, οὔτε ὀδυρομένων ἀποστρεφόμεθα, ἀλλ' οὐδὲ ἡνίκα ἂν γελῶσι, μέγα ἐπὶ τούτῳ φρενοῦμέν ποτε· οὕτω καὶ τούτων μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι χρὴ, μήτε καταπίπτειν τοῖς ψόγοις, ὅταν ἀκαίρως γίνωνται παρ' αὐτῶν.

Sic decet sacerdotem erga eos quibus præsit affectum esse, ut pater erga filios prorsus infantes solet affici. Et quemadmodum ab illis neque certantibus (1) neque flentibus discedimus, ac ne tum quidem cum rident, ob idipsum superbimus et magnifice de nobis sentimus: sic et horum neque laudibus inflari, neque vituperationibus animis concidere debemus, cum id intempestive nulla a nobis occasione præbita ab illis fit.

Εἰ ὁ πατριάρχης Ἰακὼβ θρεμμάτων προεστὼς, πρόβατα ἄλογα βόσκων, καὶ ἀνθρώποις μέλλων εὐ- B θύνας διδόναι, καὶ νύκτας ἀνύπνους διήνυσε, καὶ καύματα καὶ κρύος, καὶ πᾶσαν ἀέρων ἀνωμαλίαν ἔφερεν, ὥστε μηδὲν παραπολέσθαι τῶν θρεμμάτων ἐκείνων· πολλῷ μᾶλλον ἡμᾶς, τοὺς οὐκ ἀλόγων ἐφεστῶτας, ἀλλὰ πατρικῶν προβάτων, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ τῆς ἐπιστασίας ταύτης διδόναι μέλλοντας εὐθύνας, πρὸς οὐδὲν ὀκνεῖν ἢ ἀναδύεσθαι χρὴ, τῶν δυναμένων ὠφελῆσαι τὰ ποίμνια. Ἀλλ' ὅσον βελτίων αὕτη ἡ ποίμνη ἐκείνης, καὶ ἀλόγων ἀνθρωποι, καὶ ἀνθρώπων Θεός· οὕτω καὶ ἡμᾶς πλεῖον σφοδρότερον τὴν σπουδὴν καὶ τὴν προθυμίαν ἐπιδείκνυσθαι χρή.

Gen. XXXIII. Si patriarcha Jacob pecudibus præfectus oves rationis expertes pascens atque id hominibus rationem redditurus, et noctes insomnes duxit, et æstum et frigus, et quamvis aeris intemperiem ferebat, ut nulla ex illis pecudibus periret: nos qui non rationis expertibus præsumus, sed paternis ovibus, nec hominibus, sed Deo rationem reddituri, multo magis debemus nihil gravate facere aut recusare quidquam eorum quæ gregibus prodesse possunt. Sed quanto hic grex illo, et homines brutis, et hominibus Deus præstat, tanto nos alacrius et vehementius in hoc studium incumbere debemus.

Ἐνταῦθα λείπει τι.

Desunt hic quædam.

Τοὺς ἐπὶ τὴν παναγεστάτην ἱόντας ἱερουργίαν C ἀποκεκαθάρθαι δεῖ καὶ τὰς ἐσχάτας τῆς ψυχῆς φαντασίας καὶ ὁμοιότητας, καὶ οὕτως αὐτῇ κατὰ τὸ δυνατὸν προσιέναι.

Dionysii. Qui ad purissimum accedunt sacrificium eos perpurgatos esse oportet extremis etiam animi visis et similitudinibus, atque ita pro viribus ad ipsum accedere.

Λόγῳ μὲν τὴν ἀρετὴν δίδασκε, ἔργῳ δὲ ταύτην κήρυσσε.

Evagrii. Verbo quidem virtutem doceto, opere autem eam prædicato.

Οὐ χρὴ τῶν ἱερέων τὰ πλημμελήματα δῆλα γίνεσθαι τοῖς πολλοῖς, ἵνα μὴ, σκανδάλου πρόφασιν ἐντεῦθεν λαμβάνοντες, ἀδεῶς ἁμαρτάνωσιν. Εἰ γὰρ ἔγωγε αὐτόπτης ἐπισκόπου γάμον ἀλλότριον διορύττοντος ἐγεγόνειν, συνεκάλυψα ἂν τῇ πορφυρίδι τὸ παρανόμως γινόμενον, ὡς ἂν μὴ βλάψοι τοὺς θεωμένους τῶν δρωμένων ἡ ὄψις.

Constantini imperatoris. Sacerdotum errata non debent nota esse vulgo, ne offendiculi excusationem hinc prætendentes licenter ac sine metu peccent. Si enim ipse episcopum viderem alienas nuptias perfodientem, contra legem admissum purpura mea contegerem, ne facti aspectus spectatores læderet.

ΛΟΓΟΣ Δ'.

SERMO IV [*al.* CLXXIV].

Περὶ ἐπισκόπων μοχθηρῶν καὶ μὴ φυλαττόντων τὰς ἐντολὰς τοῦ Θεοῦ. D

De episcopis improbis, nec Dei præcepta observantibus.

Ἔλαβον οἱ δύο υἱοὶ Ἀαρὼν Ναδὰδ καὶ Ἀβιοὺδ Ἕκαστος τὸ πυρεῖον αὐτοῦ, καὶ ἐπέθηκαν ἐπ' αὐτὰ πῦρ, καὶ ἔβαλον ἐπ' αὐτὰ θυμίαμα, καὶ προσήνεγκαν ἐναντι Κυρίου πῦρ ἀλλότριον, ὃ οὐ προσέταξε Κύριος αὐτοῖς, καὶ ἐξῆλθε πῦρ παρὰ Κυρίου, καὶ κατέφαγεν αὐτοὺς, καὶ ἀπέθανον ἐναντι Κυρίου.

Levit. X. Duo filii Aaronis Nabad et Abiud suum quisque ceperunt thuribulum, et in ea ignem imposuerunt, injeceruntque suffitum, atque sic obtulerunt in conspectu Domini ignem alienum quod non jusserat ipsos Dominus. Et rediit ignis a Domino, qui eos devoravit, ac in conspectu Domini mortui sunt.

Ἔκρυψαν ἱερεῖς ὁδὸν Κυρίου.

Oseæ IV. Viam Domini sacerdotes occultarunt.

Σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαι σὲ τοῦ ἱερατεύειν μοι.

Ibid. Tu scientiam repulisti, et ego te a **138** sacerdotio meo repellam.

Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίναντο.

Micheæ III. Præfecti ejus donis corrupti judicabant, et sacerdotes pro mercede responsa dabant.

(1) Aut fortasse legendum πιπτόντων, id est, *cadentibus*, *labentibus*.

Sophon. III. Sacerdotes ejus sancta mea profanant, et legem meam impie violant.

Zachar. II. O qui pascitis res inanes ovibus desertis.

Jerem. XXIII. O pastores, qui oves gregis dispergitis ac disperditis, ob quam causam hæc Dominus in pastores dicit, qui populum pascunt : Vos, inquit, oves dispersistis, ac eas rejecistis, nec visitastis. Ecce ego ulciscar vos secundum instituta vestra malitia plena.

Populus meus ut oves perditæ fuit ; qui eum pascebant, repulerunt eos, et per montes ut errarent impulerunt.

Ezech. XXII. Sacerdotes legem meam repudiaverunt, ac sacra profanaverunt, impura a puris non discreverunt, et in medio ipsorum profanaverunt.

Hæc dicit Dominus, Si eduxeris pretiosum ex indigno, eris os meum.

Ibid. III. Fili hominis, speculatorem te posui domui Israeliticæ. Si non reprehenderis populum meum, morietur ille quidem in peccato suo, sed sanguinem ejus de manu tua reposcam.

Ibid. XXXIV. O pastores Israelitici, num pastores seipsos pascunt? Lac devorastis, et lana amicti estis, et opimas oves mactastis, nec pascitis oves meas, infirmas non corroborastis, et ad errantes non reversi estis, et perditas non quæsistis, et robustas occidistis, et dissipatæ sunt oves meæ. Pastores seipsos paverunt, quod non essent pastores, sed oves meas non paverunt : ob hanc causam agam nunc contra pastores, et oves meas de manibus ipsorum repetam.

Avertam os meum ab illis, et contaminabunt visitationem meam, et in sacra mea inverecunde intrabunt, eaque profanabunt atque sordidabunt : quia terra judicio sanguinum, et civitas iniquitate plena est.

Sap. VI. Minimus veniam et misericordiam impetrat, sed potentes severe examinabuntur.

Ibid. Non enim os cujusquam metuet omnium Dominus, nec magnitudinem verebitur.

Matth. XXII. In cathedra Mosis sedent Scribæ et Pharisæi ; itaque quæcunque jusserint vos facere, ea servate et facite, sed opera eorum nolite imitari ; dicunt enim nec faciunt, quia alligant onera gravia et portatu difficilia, ac in humeros hominum imponunt, digito autem suo nolunt ea movere : quæcunque autem opera faciunt, ea, ut **139** ipsi spectentur ab omnibus faciunt.

Ibid. Væ vobis, Scribæ et Pharisæi simulati, quia decimas datis menthæ et anethi et cumini, quæ autem graviora sunt in lege, præteritis, judicium et misericordiam et fidem : hæc enim facere oportebat, et illa non prætermittere. Duces cæci, qui culicem percolatis, sed camelum deglutitis.

A Οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἁγιά μου, καὶ ἀνομοῦσιν νόμον μου.

Ὦ οἱ ποιμαίνοντες τὰ μάταια, καὶ καταλείποντες τὰ πρόβατα.

Ὦ οἱ ποιμαίνοντες, οἱ διασκορπίζοντες καὶ ἀπολλύντες τὰ πρόβατα τῆς ποίμνης, διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ποιμένας, τοὺς ποιμαίνοντας τὸν λαόν μου · Ὑμεῖς διεσκορπίσατε τὰ πρόβατα, καὶ ἐξώσατε αὐτὰ, καὶ οὐκ ἐπεσκέψασθε αὐτά. Ἰδοὺ ἐγὼ ἐκδικῶ ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν.

Πρόβατα ἀπολωλότα ἐγενήθη ὁ λαός μου, οἱ ποιμαίνοντες αὐτὸν ἐξώσαντο αὐτούς, ἐπὶ τὰ ὄρη ἐπλάνησαν αὐτούς.

Οἱ ἱερεῖς ἠθέτησαν νόμον μου, καὶ ἐβεβήλουν τὰ B ἁγιά μου, ἀνὰ μέσον τοῦ ἀκαθάρτου καὶ καθαροῦ οὐ διέστελλον, καὶ ἐβεβήλουν ἐν μέσῳ αὐτῶν.

Τάδε λέγει Κύριος, Ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, στόμα μου ἔσῃ.

Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ. Ἐὰν μὴ διαστείλῃς τῷ λαῷ, ἐκεῖνος μὲν ἀποθνῃσκεται ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω.

Ὦ οἱ ποιμένες Ἰσραήλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς ; Ἰδοὺ τὸ γάλα κατεσθίετε, καὶ τὰ ἔρια περιβάλλεσθε, καὶ τὸ παχὺ σφάζετε, καὶ τὰ πρόβατά μου οὐ βόσκετε, τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε, καὶ τὸ πλανώμενον οὐκ ἐπεστρέψατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε, καὶ διεσπάρη τὰ πρόβατά μου διὰ τὸ μὴ εἶναι ποιμένας. Ἐβόσκησαν οἱ ποιμένες ἑαυτούς, τὰ δὲ πρόβατά μου οὐκ ἐβόσκησαν · ἀντὶ τούτου ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν.

Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ μιανοῦσι τὴν ἐπισκοπήν μου, καὶ εἰσελεύσονται εἰς τὰ ἁγιά μου ἀφυλάκτως, καὶ βεβηλώσουσιν αὐτὰ, καὶ ποιήσουσι φυρμόν · διότι ἡ γῆ πλήρης κρίσεως αἱμάτων, καὶ πόλις πλήρης ἀνομίας.

Ὁ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους · δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται.

Οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης, οὐδὲ ἐντραπήσεται μέγεθος.

D Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι · πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν ποιεῖν, τηρεῖτε καὶ ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε · λέγουσι γὰρ καὶ οὐ ποιοῦσι. Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά · πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις.

Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν · ταῦτα γὰρ ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. Ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες.

Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, A ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις· οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας· οὕτως καὶ ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ πάσης ἀνομίας.

Ἰδὼν δὲ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖράς μου, λαμβάνῃ Πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν, Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ.

Ὅσον ἐστὶ κακὸν, ἀντὶ ὁδηγίας, πλάνης αἴτιον γενέσθαι τοῖς ὑποχειρίοις, συνορᾷν ἔξεστιν ἐκ τῶν ἀποστολικῶν διδαγμάτων· σημεῖον δέ ἐστι τοῦτο τοῦ καὶ τὴν ἐντολὴν τῆς ἀγάπης ἀκατόρθωτον εἶναι. Οὐδεὶς γὰρ πατὴρ περιορᾷ τὸ ἑαυτοῦ τέκνον μέλλον καταπίπτειν εἰς βόθυνον, ἢ ἐμπεσὸν ἀναψῆσαι τῷ πτώματι. Πόσον δεινότερον ψυχὴν εἰς βάθος κακῶν ἐμπεσοῦσαν ἐναφεῖναι τῇ ἀπωλείᾳ.

Οἴχεται σεμνότης ἱερατικὴ, ἐπιλελοίπασιν οἰκονομίαι πτωχῶν, εἰς ἰδίας ἀπολαύσεις καὶ δώρων διανομὰς παραναλισκόντων πάντα τῶν φιλαρχούντων.

Ἀπόλωλε κρῖμα δίκαιον. Πᾶς τις τῷ θελήματι τῆς καρδίας αὐτοῦ πορεύεται· ἡ πονηρία ἄμετρος, C οἱ λαοὶ ἀνουθέτητοι, οἱ προεστῶτες ἀπαρρήσιαστοι. Δοῦλοι γὰρ τῶν δεδωκότων τὴν χάριν οἱ δι' ἀνθρώπων ἑαυτοῖς τὴν δυναστείαν κατακτησάμενοι.

Τὸ παιδεύειν ἄλλους ἐπιχειρεῖν πρὶν αὐτοὺς ἱκανῶς παιδευθῆναι, καὶ ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν, τὸ δὴ λεγόμενον, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾷν τὴν εὐσέβειαν, λίαν μοι φαίνεται ἀνοήτων ἢ τολμηρῶν· ἀσυνέτων μὲν, εἰ μηδὲ αἰσθάνονται τῆς ἑαυτῶν ἀμαθίας· θρασέων δὲ, εἰ συνιέντες κατατολμῶσι τοῦ πράγματος.

Τάξις οὐκ ἀρίστη διδάσκειν πρότερον, εἶτα μανθάνειν, μὴ ὅτι τὰ θεῖα καὶ τηλικαῦτα... (*δοικε λείπειν τινά.*)

Χειροτονεῖ δὲ ῥᾳδίως πολλοὺς μὲν ἁγίους, πολλοὺς δὲ ἀθέους παρὰ τὸ εἰκὸς ὁ καιρὸς, μᾶλλον δὲ πάντας ἀθλίους.

Ταῦτα γὰρ τῶν νόθων καὶ παρεγγράπτων ἱερέων ἐστὶ, καὶ τοῦ ἐπαγγέλματος ἀναξίων, οἳ μηδὲν τῇ ἱερωσύνῃ προσενεγκόντες, μηδὲ τοῦ καλοῦ πρωταλαιπωρήσαντες, ὁμοῦ μαθηταὶ καὶ διδάσκαλοι τῆς εὐσεβείας ἀναδείκνυνται, καὶ πρὶν καθαρθῆναι καθαίρουσι· χθὲς ἱερόσυλοι, καὶ σήμερον ἱερεῖς· χθὲς τῶν ἁγίων ἔξω, καὶ μυσταγωγοὶ σήμερον, παλαιοὶ τὴν κακίαν, ἐπισχέδιοι τὴν εὐσέβειαν.

Ibid. Væ vobis, Scribæ et Pharisæi simulati, propterea quod similes estis sepulcris tectorio inductis, quæ foris speciosa videntur, intus autem plena sunt ossibus cadaverum et quavis immunditie : ad eumdem modum et vos extrinsecus hominibus videmini justi, intrinsecus autem pleni estis simulatione et omni genere iniquitatis.

Act. VIII. Cumque Simon animadvertisset per impositionem manuum dari Spiritum sanctum ab apostolis, obtulit eis pecunias. Et mihi etiam date, inquit, hanc potestatem, ut cuicunque manus imposuero, is accipiat Spiritum sanctum. Tum Petrus : Habe tibi, inquit, tuam pecuniam in perditionem, quod existimaris donum Spiritus sancti pecunia parari, non est tibi ulla societas aut ullum consortium in hac re. B

S. Basilii. Quantum mali sit cum te ducem esse oporteat, erroris auctorem esse tuis, ex apostolicis documentis perspicere licet, atque hoc argumentum est ne præceptum quidem de charitate recte esse perfectum. Nemo enim pater negligit filium suum, quem videt casurum in foveam, aut jam delapsum relinquit in illa miseria. Quanto indignius est animam in malorum profunditatem tum deciderit, in exitio relinquere?

Actum est de gravitate sacerdotali, defecerunt ministrandi pauperibus rationes, ad privatos usus, et munerum largitiones omnia consumentibus tribunum præfectis (1).

Periit æquum judicium. Nemo non instituit vitam ad arbitrium cordis sui, malitia est immensa, populus admonitiones non audit, præfecti loqui libere non audent. Servi enim sunt eorum, a quibus beneficium accepere, qui per homines sibi præfecturam et potentiam compararunt.

Theologi. Qui alios erudire conantur, priusquam ipsi satis eruditi sint, ac in dolio artem figuli discunt (ut est in proverbio) atque in animis aliorum pietatem ediscunt ac meditantur, nimis stultorum hoc mihi esse videtur, vel audacium. Hebetes quidem certe sunt, si non sentiunt se esse indoctos : audaces autem, si cum intelligant, tamen aggredi audent.

140 Ordo non optimus est docere prius, deinde discere, non solum in divinis ac tantis rebus... (*Deesse aliquid videtur.*) D

Occasio facile creat sanctos permultos, et impios item plurimos contra jus, vel potius omnes miseros.

Hæc enim sunt nothorum et obreptitiorum sacerdotum et designatione indignorum, qui cum ad sacerdotium nihil attulerint, neque quidquam honesti exercuerint, simul discipuli et doctores pietatis designantur, ac priusquam purgati fuerint ipsi, purgant alios, heri sacrilegi, hodie sacerdotes, heri exclusi sacris, hodie mystagogi, id est sacrorum institutores, in vitiis veteres, in pietate repentini seu extemporanei.

(1) Ribittus legit, φυλαρχούντων. Alias φιλαρχούντων, *potestatis ambitiosis.*

Caput ne esto qui vix alicubi manus es, aut aliud aliquod ex corporis membris imperfectioribus. Unusquisque igitur in quo vocatus est ordine, fratres, in eo maneto, etiamsi fuerit majoris æstimationis. Plus enim laudis consequetur si præsenti fuerit contentus, quam si quæsierit eam quam non accepit.

A Μὴ ἔστω τις κεφαλὴ, μόλις που χεὶρ τυγχάνων, ἢ ποῦς, ἢ ἄλλο τι τῶν εὐτελεστέρων τοῦ σώματος. Ἕκαστος οὖν ἐν ᾗ ἐκλήθη τάξει, ἀδελφοὶ, ἐν ταύτῃ μενέτω, κἂν ᾖ τῆς κρείττονος ἀξίας, ἐν ᾧ στέργει [*al.* τῷ στέργειν] τὴν παροῦσαν πλέον εὐδοκιμῶν, ἢ ἐν τῷ ζητεῖν ἣν οὐκ ἔλαβεν.

Nemo, cum liceat sine periculo sequi, ducere periculose concupiscat.

Μή τις, ἐνὸν ἀκινδύνως ἕπεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείτω.

Nauticam consuetudinem laudo, quæ remum antea dederit ei qui nunc gubernator est, et illinc eum ad proram deduxerit : et commissis alicui muniis quæ in priore navis parte necessaria sunt, sic ad gubernacula sedet post multam maris verberationem et ventorum considerationem.

Ἐπαινῶ τὸν νηΐτην νόμον, ὃς τὴν κώπην πρότερον ἐγχειρίσας τῷ νῦν κυβερνήτῃ, κἀκεῖθεν ἐπὶ τὴν πρώραν ἀγαγὼν, καὶ πιστεύσας τὰ ἔμπροσθεν, οὕτως ἐπὶ τῶν οἰάκων καθίζει, μετὰ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν, καὶ τὴν τῶν ἀνέμων διάσκεψιν.

Non ex virtute magis quam ex maleficio præsides constituuntur : neque dignionum, sed potentiorum sunt tribunalia.

B Οὐκ ἐξ ἀρετῆς μᾶλλον ἢ κακουργίας ἡ προεδρία· οὐδὲ τῶν ἀξιωτέρων, ἀλλὰ τῶν δυνατωτέρων οἱ θρόνοι.

Quis subjectos moderatos efficiat, cum sic qui præsunt affecti sint?

Τίς ἂν τοὺς ἀρχομένους πείσειε μετριάζειν, τῶν προεστώτων οὕτω διακειμένων;

Subjecti celerrime præfectorum vitio malitia complentur, atque id multo facilius quam virtute contraria.

Φιλεῖ τάχιστα τῆς τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον, καὶ πολύ γε ῥᾷον ἢ τοὐναντίον τῆς ἀρετῆς.

Cypseli. Magnitudo honoris non convenienter honori vivere instituentibus pœnæ accessionem facit.

Τιμῆς μέγεθος τοῖς οὐκ ἀξίως τῆς τιμῆς ζῆν προαιρουμένοις προσθήκη τιμωρίας ἐστίν.

Nihil doctore frigidius in verbis tantum philosophante; hoc enim non doctoris, sed histrionis est.

Οὐδὲν διδασκάλου ψυχρότερον ἐν λόγοις φιλοσοφοῦντος μόνον· τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ.

Non enim tam ex verbis quam ex rebus disciplinæ in animum infunduntur.

Οὐχ οὕτως γὰρ εἰωθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ C μαθήματα ἀπὸ τῶν ῥημάτων, ὡς ἀπὸ τῶν πραγμάτων.

Quanto ad altius magistratus fastigium ascendit, qui episcopi munus est sortitus, tanto majorem cogetur reddere rationem, non modo de docendi ratione et pauperum præfectura, verum etiam de suffragiorum probatione, deque aliis infinitis.

Ὅσον πρὸς μείζονα ὄγκον τῆς ἀρχῆς ἀναβέβηκεν ὁ τὴν ἐπισκοπὴν λαχὼν, τοσοῦτον πλείονα ἀπαιτηθήσεται λόγον, οὐχὶ διδασκαλίας μόνον καὶ πενήτων προστασίας, ἀλλὰ καὶ χειροτονιῶν δοκιμασίας, καὶ μυρίων ἑτέραν.

Nihil prodesse poterit, si dicant se ignorare eum qui crearetur suffragiis, **141** sed ob hanc ipsam causam magis accusandi sunt, quod quem ignorabant, promoverint.

Οὐδὲν ὠφελῆσαι δύναται, εἰ λέγοιεν τὸν χειροτονηθέντα ἀγνοεῖν, ἀλλὰ διὰ τοῦτο μεῖζον τὸ ἔγκλημα γίνεται, ὅτι ὃν ἠγνόουν παρήγαγον.

Nihil eo magistratu miserius, qui quibus præsit, nihil prodest.

Ἄρχοντος μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον.

Rem esse quietis et voluptatis prætextum non debemus existimare; omnium enim rerum laboriosissimum est animis præesse. Et eos qui eo accedunt, unctos esse oportet, ut qui in certamen laboriosum descendant.

Μὴ νομιζέτωσαν ἀνέσεως καὶ ἀπολαύσεως εἶναι πρόφασιν τὸ πρᾶγμα· πάντων γὰρ ἐπιπονώτερόν D ἐστιν ἄρχειν ψυχῶν. Καὶ δεῖ τοὺς ἐπὶ τοῦτο ἐρχομένους; ἀλείψασθαι, ὡς πρὸς ἀγῶνα ἐπίπονον εἰσβάλλοντας.

Judic. II. Discant si velint ab Abimelech et Gedeone subjectos non dictis, sed factis ad imitationem incitari : ille quidem lignorum fasces et faciebat et portabat, ac suis, Quemadmodum, inquit, vidistis me facientem, ita et vos facitote; hic autem ad res novas cum hortaretur et duceret suos, ipseque auctor esset facinoris : Quod me, inquit, facere videtis, idem vos quoque facitote.

Μαθέτωσαν εἰ βούλοιντο τὸ παρὰ τοῦ Ἀβιμέλεχ καὶ τοῦ Γεδεὼν, ὅτι οὐ λόγος, ἀλλ' ἔργον τοὺς ἀρχομένους ἀνάγει πρὸς τὴν μίμησιν· τοῦ μὲν ποιήσαντος φορτία ξύλων καὶ βαστάσαντος, καὶ λέγοντος· Ὃν τρόπον εἴδετέ με ποιοῦντα, ποιήσατε καὶ ὑμεῖς· τοῦ δὲ ἔργων εἰσηγουμένου καινῶν, καὶ ἑαυτὸν προστάσσοντος τῇ ἐργασίᾳ, καὶ λέγοντος· Ἀπ' ἐμοῦ ὄψεσθε, καὶ οὕτως ποιήσατε.

Doctoris imperitia discentes perdit, ac discipulorum calamitas periculum creat doctori, præsertim cum propter illius inscientiam illi imperiti et inertes fuerint.

Ἡ τοῦ διδασκάλου ἀπειρία ἀπόλλυσι τοὺς μαθητευομένους· καὶ ἡ τῶν μαθητευομένων ἀπώλεια κίνδυνον φέρει τῷ διδασκάλῳ, καὶ μάλιστα ὅταν παρὰ τὴν αὐτοῦ ἀνεπιστημοσύνην ῥᾳθυμοῖεν ἐκεῖνα.

Ἄτοπόν ἐστι διώκοντα τὰς τιμὰς φεύγειν τοὺς πόνους, δι' ὧν αἱ τιμαί.

Τοῖς παρ' ἀξίαν ἐπιτυχοῦσι τῆς ἀνωτάτω τιμῆς ὑπακούειν ἀνάγκη τοῖς παρασχοῦσιν.

ΛΟΓΟΣ Ε'.

Περὶ ἀρχόντων χρηστῶν.

Δώσω τοὺς ἄρχοντάς σου ἐν δικαιοσύνῃ, καὶ οὐκ ἔτι ἀκουσθήσεται ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύντριμμα, οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου.

Ἐγὼ καὶ οἱ ἀδελφοί μου ἄρτον τῆς ἡγεμονίας μου οὐκ ἐφάγομεν· οἱ δὲ ἄρχοντες οἱ ἔμπροσθέν μου ἐβάρυναν τὸν κλοιὸν ἐπὶ τὸν λαὸν, καὶ ἔλαβον παρ' αὐτοῦ ἄρτον καὶ οἶνον, καὶ ἕσχατον ἀργυρίου σίκλους τεσσαράκοντα. Μνήσθητί μου, ὁ Θεὸς, πάντα εἰς ἀγαθὸν, ὅσα ἐποίησα τῷ λαῷ τούτῳ.

Ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρονομήσει πίστιν, καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα.

Πόλις οἰκοδομηθήσεται ἐν συνέσει δυνάστου.

Μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου, καὶ ἐν ἡμέρᾳ δόξης μὴ ἐπαίρου.

Μὴ ζήτει παρὰ Κυρίου ἡγεμονίαν, μηδὲ παρὰ βασιλέως καθέδραν δόξης.

Μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως, καὶ μὴ καταβάλῃς ἑαυτὸν ἐν ὄχλῳ.

Μὴ ζήτει γενέσθαι κριτὴς, εἰ μὴ ἰσχύεις ἐξᾶραι ἀδικίας· μήποτε εὐλαβηθῇς ἀπὸ προσώπου δυνάστου, καὶ θήσῃς σκάνδαλον ἐν εὐθύτητί σου.

Οἱ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ. Οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ κακῶς πράσσοντι.

Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν.

Εἰ δόξης ἐπιθυμεῖς, καὶ βούλει τῶν πολλῶν ὑπερφαίνεσθαι, καὶ εὐδόκιμος ἐν τοῖς κοσμικοῖς πράγμασι γίνεσθαι, ἴσο δίκαιος, σώφρων, φρόνιμος, ἀνδρεῖος, ὑπομονητικὸς ἐν τοῖς ὑπὲρ εὐσεβείας παθήμασιν. Οὕτω γὰρ καὶ σεαυτὸν σώσεις, καὶ ἐπὶ μείζοσιν ἀγαθοῖς μείζονα ἕξεις τὴν περιφάνειαν.

Ἔναντι πάντων εἰσένεγκε τὴν φιλανθρωπίαν, ᾗ χαίρει Θεὸς μᾶλλον ἢ πᾶσι τοῖς ἄλλοις.

Μίξον τῷ φόβῳ τὴν ἐπιείκειαν, κέρασον τῇ ἀπειλῇ τὴν ἐλπίδα. Πολλὰ καὶ χρηστότητα κατορθοῦν οἶδα.

Τὸ δραστικὸν δείκνυε, μὴ τῷ δρᾷν κακῶς,
Τῷ δ' εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός.
Τὸ δ' ἐστὶν ἀνδρὸς εἰδότος τὸ συγγενὲς,

Κτείνει δέ...

Λείπει τινά.

Evagrii. Absurdum est qui persequitur honores eum fugere labores e quibus nascuntur honores.

Josephi. Qui indigne summos honores sunt assecuti, iis pareant qui tradiderint necesse est.

SERMO V [*al.* CVI].

De principibus moderatis.

Isa. v. Dabo principes tuos cum justitia, nec amplius in terra tua audietur injustitia, nec afflictio, nec miseria in finibus tuis.

III Esdr. II. Ego et fratres mei panem præfecturæ meæ non edimus : magistratus autem qui ante me fuerunt gravia vincula injecerunt populo, et panem et vinum ab eo acceperunt, et ad extremum argenti siclos quadraginta. Recordare, Deus, eorum quæ bene feci populo huic.

Sirach XXIV. Sapiens in populo suo auctoritatem habebit hæreditariam, et nomen ejus vivet in sæculum.

Civitas prudentia ejus qui potestatem obtinet ædificabitur.

In gloria tua vide ne des reprehensionis occasionem, et in die gloriæ ne extollaris.

Eccl. VII. Noli petere a Domino præfecturam, nec a rege cathedram gloriæ.

Noli in multitudinem civitatis peccare, nec teipsum des in turbam.

Noli fieri judex, si non potes expellere injustitiam : ne verearis vultum potestatem obtinentis, et impedimentum afferas rectitudini et integritati tuæ.

Rom. XIII. Principes non sunt terrori iis qui bene, **142** sed qui male faciunt. Vis non timere potestatem ? quod bonum est facito, et ex illa laudem consequere. Sin autem quod malum est feceris, timeto ; non enim frustra gladium gerit ; Dei enim minister est, vindex severus improborum.

I Petr. I. Subjecti estote cuivis humanæ creaturæ propter Dominum, sive regi tanquam præcellenti, sive præfectis tanquam per illum missis ad scelestos ulciscendos, et probos laude afficiendos.

S. Basilii. Si laudem concupiscis, visque supra vulgus eminere, et cum gloria in mundanis negotiis versari, justus esto, temperans, prudens, fortis, patiens in afflictionibus pietatis causa susceptis. Sic enim et tibi ipse salutem consequeris, ac in majoribus bonis illustriorem obtinebis laudem et excellentiam.

Theologi. In omnium conspectu adhibe humanitatem, qua Deus magis quam reliquis omnibus rebus delectatur.

Clementiam terrori misceto, minis spem temperato. Multa etiam bona inde oriri scio.

Tuam in efficiendo vim demonstrato, non malum,
Sed bonum efficiendo, si cupis deus fieri.
Hoc autem viri est naturam sibi congenitam [noscentis,
Occidit autem.....

Deest nonnihil.

SERMO VI [*al.* CVII].

De principibus improbis.

Prov. XXXI. Principes animosi sunt, vinum ne bibant, ut ne cum biberint, sapientiæ obliviscantur, nec tenuibus rectum possint exercere judicium.

Si servus imperarit, violenter potestatem exercebit.

Misera civitas, cujus rex junior est, et magistratus tui mane cibum sumunt.

Ose. IV. Gladio cadent magistratus ipsorum, quod lingua sint inerudita.

Mich. VII. Hei mihi animæ, quod probus de terra sublatus sit, et quod inter homines, qui perfecte officium præstet, non sit; omnes cum sanguinis cupiditate judicant, fratrem suum quisque opprimit, ad maleficium manus suas paratas habent: princeps petit, judex pacifica loquitur animi sui desiderio.

Soph. III. Principes ejus in ea sunt ut leones rugientes, et judices ut Arabici lupi.

Isa. I. Principes tui non obediunt, socii furum, munera amant, persequuntur remunerationes, pupillorum causas non judicant, et ad viduarum judicia non attendunt.

Præficiam juvenes qui illis imperent, et derisores qui in illos dominentur.

143 *Jerem.* XII. Oculi tui non boni, nec cor tuum rectum, sed habendi cupiditate rapitur, et contra sanguinem innocentium ad effundendum illum, et ad calumniam et injuriam, et ad cædem faciendam.

Ezech. XXII. Principes in medio ejus tanquam lupi rapaces, qui prædam rapiunt violenter, ut suam avaritiam et habendi cupiditatem expleant,

Sap. Judicium severe in eos qui præcellunt, exercebitur.

S. Basilii. Principum mala subjectis important calamitatem.

Hoc enim video multis judicibus nunc usu venire, qui facilius summis maxima concedant, quam minima infimis et tenuibus.

S. Chrysost. Non in pretiosa veste et zona, nec in præconis voce, cernitur princeps, sed in eo quod collapsa reficiat, quæ male constituta sunt, corrigat, ac in injuriosos animadvertat, nec patiatur a potentioribus jus auferri.

Justini Philosophi. Tantum possunt magistratu fungentes qui veritati gloriam anteponunt, quantum in solitudine latrones.

Aurigæ imperitia et vitio necesse est animalia jugata per præcipitia dari, ut contra ejusdem virtute et peritia servari.

Philonis. Donec rerum externarum affluentia est, sagacitas et solertia eam comitari videntur; sin autem detracta fuerit, simul et opinio prudentiæ sublata erit.

ΛΟΓΟΣ Ϛ'.

Περὶ ἀρχόντων πονηρῶν.

Οἱ δυνάσται θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας, καὶ ὀρθὰ κρίνειν οὐ μὴ δύνωνται τοὺς ἀσθενεῖς.

Ἐὰν οἰκέτης ἄρξῃ, μεθ' ὕβρεως δυναστεύει.

Οὐαί σοι, πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος, καὶ οἱ ἄρχοντές σου ἐν πρωΐᾳ ἐσθίουσιν.

Πεσοῦνται οἱ ἄρχοντες αὐτῶν ἐν ῥομφαίᾳ διὰ ἀπαιδευσίαν γλώσσης αὐτῶν.

Οἴμοι, ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. Πάντες εἰς αἵματα δικάζουσιν, ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ ἐκθλίβουσιν, ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν. Ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς λόγους εἰρηνικοὺς ἐλάλησε, καταθύμιον ψυχῆς αὐτοῦ ὡς ἔστιν.

Οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι, οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας.

Οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χηρῶν οὐ προσέχοντες.

Ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαίκται κυριεύσουσιν αὐτῶν.

Οἱ ὀφθαλμοί σου οὐ καλοὶ, οὐδὲ ἡ καρδία σου εὐθεῖα· ἀλλ' ἐπὶ τὴν πλεονεξίαν καὶ ἐπὶ τὸ αἷμα τὸ ἀθῷον, τοῦ ἐκχέειν αὐτὸ, καὶ ἐπὶ τὴν συκοφαντίαν, καὶ εἰς ἀδίκημα καὶ εἰς φόνον τοῦ ποιεῖν.

Οἱ ἄρχοντες ἐν μέσῳ αὐτῆς ὡς λύκοι ἅρπαγες, ἁρπάζοντες ἅρπαγμα, ὅπως πλεονεξίᾳ πλεονεκτῶσιν.

Κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται.

Τὰ τῶν ἀρχόντων κακὰ συμφορὰ τοῖς ἀρχομένοις γίνεται.

Τοῦτο γὰρ ὁρῶ πολλοὺς τῶν νῦν κριτῶν πέσοντας, οἳ ῥᾷον ἂν τοῖς ὑψηλοῖς τὰ μέγιστα συγχωρήσαιεν, ἢ τοῖς ταπεινοῖς τὰ ἐλάχιστα.

Οὐκ ἐν τῇ χλανίδι καὶ τῇ ζώνῃ, οὐδὲ ἐν τῇ φωνῇ τοῦ κήρυκος ἄρχων, ἀλλ' ἐν τῷ τὰ πεπονηκότα ἀνακτᾶσθαι, καὶ τὰ κακῶς ἔχοντα διορθοῦν, καὶ κολάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ δυνατείας τὸ δίκαιον ἀπελαύνεσθαι.

Τοσοῦτον δύνανται οἱ ἄρχοντες πρὸ τῆς ἀληθείας δόξαν τιμῶντες, ὅσον καὶ λῃσταὶ ἐν ἐρημίᾳ.

Ἀνάγκη ἀπειρίᾳ καὶ κακίᾳ ἡνιόχου τὰ ὑπεζευγμένα κατὰ κρημνῶν φέρεσθαι, ὥσπερ ἐμπειρίᾳ καὶ ἀρετῇ διασώζεσθαι.

Μέχρι μὲν γὰρ ἡ τῶν ἐκτὸς πρόσεστιν ἀφθονία, σύνεσις ἑπακολουθεῖν δοκεῖ καὶ ἀγχίνοια· ὅταν δὲ ἀφαιρεθῇ, συμπεριῄρηται καὶ τὸ δοκεῖν εἶναι φρονεῖν.

Τῶν πολιτικῶν ἐὰν τὰς ὕλας ἀφέλῃς, κενὸν τάφον A εὑρήσεις, νοῦν οὐκ ἔχοντα.

Si viris rempublicam administrantibus materias et apparatus detrahas, inane sepulcrum reperies mente carens.

Ὅταν ἄρχων ἀπογνῷ τὸ δύνασθαι κρατεῖν, ἀνάγκη τοὺς ὑπηκόους εὐθὺς ἀφηνιάζειν, καὶ μάλιστα τοὺς ἐκ μικρῶν καὶ τῶν τυχόντων πεφυκότας ἀνερεθίζεσθαι.

Si magistratus desperant se imperium retinere posse, subjectos statim rebellare necesse est, ac eos qui ex tenuibus et vulgaribus prognati sunt maxime irritari.

ΛΟΓΟΣ Ζ'.

SERMO VII [*al.* CVIII].

Περὶ δικαστῶν ἀδεκάστων, καὶ καθαρὰς ἐχόντων τὰς χεῖρας. καὶ κρίμα καὶ δικαιοσύνην ποιούντων· καὶ ὅτι εὐάρεστον τῷ Θεῷ εὐθείας τὰς κρίσεις ἐκφέρειν.

De judicibus incorruptis et puras habentibus manus, quique justitiam exercent. Et acceptum esse Deo recte vereque judicia exercere.

Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς, καὶ οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων.

Exod. XXIII. Innocentem et justum non occides, nec ut justum absolves impium ob munera accepta.

Δῶρα οὐ λήψει. Τὰ γὰρ δῶρα ἐκτύφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια. B

Munera ne accipito, quia munera excæcant oculos aspicientium et verba justa labefactant.

Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει.

Pauperis in judicio ne miseretor.

Οὐ διαστρέψεις κρίμα πένητος ἐν κρίσει αὐτοῦ.

Judicium pauperis in ipsius causa ne pervertito.

Οὐ ποιήσεις ἄδικον ἐν κρίσει, οὐ λήψῃ πρόσωπον πτωχοῦ, οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάστου. Ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου.

Levit. XIX. Nihil contra jus in judicio facito : pauperis personæ rationem non habeto, nec mirator personam potentis ; ex jure causam proximi judicato.

Οὐ λήψει λύτρα ὑπὲρ τῆς ψυχῆς τοῦ φονεύσαντος, τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι, θανάτῳ θανατώσεις αὐτόν.

Pretium ne accipito ob redimendum 144 eum qui cædem fecerit. Si convictus fuerit dignus qui tollatur de medio, eum tu mortis supplicio afficito.

Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει. Κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς. Οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ C Θεοῦ ἐστιν.

Deut. XXIV. Non agnosces personam in judicio, tum parvo tum magno æqualiter judicium reddes ; non vereberis os cujusquam, quia judicium Dei est.

Οὐκ ἐκκλινεῖς κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας, καὶ οὐκ ἐνεχυριάσεις ἱμάτιον χήρας.

Non rejicies causam advenæ, nec pupilli nec viduæ ; nec pignori accipies viduæ vestem.

Δικαιοσύνην ἐνεδεδύκειν, ἡμφιασάμην δὲ κρίμα, ὡσὰ διπλοΐδι.

Job XXIX. Justitia me induebam, et judicio utebar tanquam diploide.

Καθαρὸς χερσὶν ἀναλάβοι θάρσος· ἀδίκων καὶ ἀνόμων καταγελάσει.

Qui manibus est puris fiduciam sumit, injustos et iniquos deridens.

Ἄνθρωπον οὐ μὴ αἰσχυνθῶ· ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ. Οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον· εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.

Job XXXII. Coram homine non afficiar pudore, neque verebor mortalem. Non enim novi admirari personam ; si autem non, et me tineæ comedent,

Δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβον. Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Psal. XIV. Munera adversus innocentes non accepi : qui facit hæc non concutietur in sæculum.

Μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

Beati qui observant justitiam, et quovis tempore D eam exercent.

Ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖνε πάντα ὑγιῶς. Ἄνοιγε σὸν στόμα, καὶ κρῖνε πάντα δικαίως.

Salomon. Aperi os tuum Domini verbo, et de omnibus judica integre : aperi os tuum, et de omnibus juste judica.

Εὐφροσύνη δικαίων ποιεῖν κρίματα.

Lætitia justorum est cum judicia reddunt.

Κτῆμα τίμιον ἀνὴρ καθαρός.

Regum. Res magni pretii vir purus.

Αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν.

Revereri personam cujusquam in judicio, honestum non est.

Εἶπε Κύριος πρὸς Σολομών· Ἀνθ' ὧν ᾐτήσω παρ' ἐμοῦ τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ᾐτήσω ἑαυτῷ ἡμέρας πολλὰς, καὶ οὐκ ᾐτήσω πλοῦτον, οὐδὲ ψυχὰς ἐχθρῶν σου, ἀλλ' ᾐτήσω σύνεσιν τοῦ εἰσακούειν κρίμα, ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμην καὶ συνετήν· ὡς σὺ, οὐ γέγονεν ἔμπροσθέν σου καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι.

Salomoni Dominus, Quia, inquit, a me hoc petisti, nec multos annos dari tibi postulasti, nec opulentiam, nec hostium tuorum capita, sed intelligentiam et sagacitatem ad dijudicandas causas, en do tibi cor prudens et sagax, et ut nullus ante te fuerit qualis tu, nec post te exsistet quisquam tui similis.

Soph. II. Judicium exercete et justitiam quærite ; quærite mansuetudinem, ut in die iræ Domini in tuto sitis.

Zach. VII, Judicium justum exercete.

Jerem. XXII. Hæc dicit Dominus : Facite judicium et justitiam, et eripite spoliatum de manu injuria afficientis illum ; et advenam, viduam et pupillum ne opprimatis, nihil impie agatis, et sanguinem innoxium ne profundatis.

Hæc dicit Dominus : Judicia justa exercete, justitia utimini. Beatus qui hæc agit, his adhærens, et manus suas abstinens ab injuria facienda.

Isa. I. Exquirite judicia, liberate injuria affectum, judicium reddite pupillo, viduam absolvite, et venite et disceptemus, inquit Dominus.

Jerem. XXI. Hæc dicit Dominus : Judicate mane, et recta ratione dirigite ; eripite spoliatum et vexatum de manu ipsum injuria afficientis, ne ira mea tanquam ignis succendatur et exardescat, nec sit qui possit exstinguere.

145 *Ezech.* VI. Injustitiam et calamitatem auferte, judicium et justitiam exercete, eximite tyrannidem e populo meo, dicit Dominus Deus.

Eccli. IV. Personam potentis ne respicito, ad mortem usque pro veritate certato, et Dominus prælіabitur pro te.

Adversus animam tuam personam ne respicito. Injuriosi personæ ne assurgito.

Tum summis tum infimis jus dicito æqualiter.

Injuria affectum de manu injuria afficientis eximito, nec in jure dicundo sis pusillanimis.

Prius quam inquisieris ne accuses : primum cognoscito, tum denique objurgato.

Sine judicio nihil quidquam feceris.

Nolite ex aspectu et vultu judicare, sed justo judicio judicate.

Qui facit justitiam justus est.

Justi animi index est integritas in judicando.

Ad cognoscendam veram justitiam profecto magno opus est ingenio et mente perfectissima. Fieri enim non potest ut qui non est in jure institutus, controversias possit recte dijudicare. Qui autem veram scit justitiam, ac per eam suum cuique tribuere didicit, is optime potest judicia dirigere et administrare. Quemadmodum sagittarius ad scopum dirigit tela, neque superando, neque submittendo, neque in utramvis partem convertendo, frustra sagittam emittit, sed collimat ; sic judex jus tractat, neque personas respiciens, neque quidquam faciens cujusquam hortatu et invitatione, sed rectas et minime contortas proferens sententias. Et duobus litigantibus stat in medio judex exæquans, et tantum detrahens ei qui plus habet, quantum invenit ademptum ei cui injuria facta sit.

Non est æqui judicis pares paribus decernere

A Κρίμα ἐργάσασθε, καὶ ζητήσατε δικαιοσύνην, ζητήσατε πραΰτητα, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς Κυρίου.

Κρίμα δίκαιον κρίνατε.

Τάδε λέγει Κύριος· Ποιεῖτε κρίσιν καὶ δικαιοσύνην, καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτὸν, καὶ προσήλυτον καὶ χήραν καὶ ὀρφανὸν μὴ καταδυναστεύετε, καὶ μὴ ἀσεβεῖτε, καὶ αἷμα ἀθῷον μὴ ἐκχέετε.

Τάδε λέγει Κύριος· Ποιήσατε κρίσιν, ποιήσατε δικαιοσύνην. Μακάριος ὁ ποιῶν ταῦτα καὶ ἀγτεχόμενος αὐτῶν, καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ μὴ ποιεῖν ἄδικα.

Ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, καὶ δεῦτε, καὶ B διαλεχθῶμεν, λέγει Κύριος.

Τάδε λέγει Κύριος· Κρίνατε πρωΐ, καὶ κατευθύνατε· καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτὸν, ὅπως μὴ ἀναφθῇ ὡς πῦρ ἡ ὀργή μου, καὶ καυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων.

Ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε, κρίμα καὶ δικαιοσύνην ποιήσατε, ἐξάρατε καταδυναστείαν ἐκ τοῦ λαοῦ μου, λέγει Κύριος ὁ Θεός.

Μὴ λάβῃς πρόσωπον δυνάστου, ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ.

Μὴ λάβῃς πρόσωπον κατὰ ψυχῆς σου.

Μὴ ἐξαναστῇς ἀπὸ προσώπου ὀβριστοῦ.

C Δικαίωσον μικρῷ καὶ μεγάλῳ ὁμοίως.

Ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος, καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε.

Πρὶν ἐξετάσῃς, μὴ μέμψῃ. Νόησον πρῶτον, καὶ τότε ἐπιτίμα.

Ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν.

Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.

Ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν.

Ἔλεγχος τῆς τοῦ δικαίου διαθέσεως ἡ περὶ τὸ κρίνειν ὀρθότης.

Τὸ νοῆσαι τὴν ἀληθῆ δικαιοσύνην μεγάλης ὄντως διανοίας καὶ φρενὸς τελειοτάτης δεῖται. Ἀμήχανον γὰρ μὴ προπαιδευθέντα τοῦ δικαίου δύνασθαι τὰς D ἀμφισβητήσεις ὀρθῶς διακρίνειν. Ὁ γὰρ εἰδὼς τὴν ἀληθῆ δικαιοσύνην, καὶ δι' αὐτῆς διδαχθεὶς τὸ οἰκεῖον ἀπονέμειν ἑκάστῳ, οὗτος δύναται κατευθύνειν κρίμα. Ὥσπερ ὁ τοξότης πρὸς τὸν σκοπὸν ἀπευθύνει τὸ βέλος, οὔτε ὑπερβολαῖς, οὔτε ἐλλείψεσιν, οὔτε ταῖς ἐφ' ἑκάτερα περιτροπαῖς ἀποπλανῶν τὴν τοξείαν· οὕτως ὁ κριτὴς τοῦ δικαίου καταστοχάζεται, οὔτε πρόσωπα λαμβάνων, οὔτε ποιῶν τι κατὰ πρόσκλησιν, ἀλλ' εὐθείας καὶ ἀδιαστρόφους ἐκφέρων τὰς κρίσεις. Καὶ δύο κρινομένων παρ' αὐτῷ ἕστηκεν ὁ κριτὴς ἐπανισῶν αὐτοὺς πρὸς ἀλλήλους, καὶ τοσοῦτον ὑφαιρῶν τοῦ ὑπερέχοντος, ὅσον ἐλαττούμενον εὑρίσκει τὸν ἀδικούμενον.

Οὐκ ἔστι δικαίου κριτοῦ, ἴσας πρὸς ἴσας ὁρίζειν

τὰς ἀντιδόσεις; ἀλλ' ἀνάγκη τὸν κατάρξαντα κακοῦ μετὰ προσθήκης ἀποτίσαι τὰ ὀφειλόμενα, εἰ μέλλοι αὐτός τε βελτίων ταῖς τιμωρίαις γενέσθαι, καὶ τοὺς λοιποὺς σωφρονεστέρους ποιῆσαι τῷ ὑποδείγματι.

Ποιήσατε δικαιοσύνης ὅπλον, καὶ μὴ θανάτου τὴν παίδευσιν.

Ἴσθι κρινόμενος ὁ κριτής, καὶ ἧττον ἁμαρτήσεις.

Οὕτω δοκίμαζε τὸν ἀδελφόν σου, ὡς καὶ αὐτὸς ἐν τοῖς αὐτοῖς μέτροις κρινόμενος.

Τῇ τῶν δικαζόντων μακροθυμίᾳ οἱ λίαν ἄδικοι σκληρότεροι ἑαυτῶν γίνονται κατὰ τὸ ἀπειθεῖν. Καὶ δεῖ τὸν κριτὴν εἰδέναι, ὅτι κρίσει Θεοῦ ὑπηρετεῖ, καὶ οὐ κύριός ἐστιν, ὡς βούλεται ἄγειν τὸ κρίμα, ὥστε καὶ χαρίζεσθαι τοῖς κρινομένοις τάγματα.

Ἄτοπον ἁμαρτήμασιν ἐνόχους εἶναι τοὺς τοῖς ἄλλοις τὰ δίκαια βραβεύειν ἐξιοῦντας.

Ὅταν αἰτιῶται δικαστὴς κρινόμενον, ἀνάγκη σιωπᾷν.

Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων. Θάτερον μὲν οὖν εὐνοίας, θάτερον δὲ ἀκριβείας.

Ἀσκέπτως οὐ δεῖ προπετεῖν ἐν τῷ κρίνειν, ἔμπροσθεν δὲ βουλεύεσθαι, μηδὲ τῷ σπεύδειν τῷ λογισμῷ παρ' ὃ δεῖ λέγειν· ἀλλὰ βραδύνοντάς τε καὶ μέλλοντας, τὴν ὁρμὴν ἀκριβῶς πεπονημένους, καὶ μὴ πρὸς χάριν μεταβάλλεσθαι· ἧττον γὰρ τοῦ ἀβούλου τὸ εὐμετάβολον, καὶ τοῦ προπετοῦς τὸ κοῦφον.

Οὐχ οὕτω τὸν τῶν γραμμάτων χαρακτῆρα ὀρθοῦν δεῖ, ὡς τὸν τῶν πραγμάτων τηρεῖν. Ἡ γὰρ κακὴ κρίσις παντὸς κακοῦ αἰτία.

Μηδεὶς φρονίμων τοῦ ἄρχειν ἀλλοτριούσθω. Καὶ γὰρ ἀσεβὲς τὸ ἀποσπᾷν ἑαυτὸν τῆς τῶν δεομένων εὐχρηστίας· καὶ ἀγεννὲς τοῖς φαύλοις παραχωρεῖν. Ἀνόητον γὰρ τὸ αἱρεῖσθαι κακῶς ἄρχεσθαι μᾶλλον, ἢ καλῶς ἄρχειν.

Οὐδὲ ἄλλο ἡγεμόνι πρέπει ἢ τὸ μηδένα ὑπερηφανεῖν, μηδὲ ἐβρύνεσθαι, ἀλλ' ἐξ ἴσου πάντων προΐστασθαι.

ΛΟΓΟΣ Η'.

Περὶ δικαστῶν λημτῶν καὶ δωροδοκουμένων, καὶ ἀθέσμως κατακρινόντων.

Ἐπικατάρατος πᾶς, ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας.

Πῦρ καταναλώσει οἴκους δωροδεκτῶν.

Θυμὸς ἐπ' ἀσεβεῖς ἔσται δι' ἀσέβειαν δώρων, ὧν ἐδέχοντο ἐν ἀδικίᾳ.

Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε, υἱοὶ τῶν ἀνθρώπων. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν.

Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

Ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης· ὁ δὲ μισῶν δώρων λήψεις ζήσεται.

A satisfactiones, sed auctorem mali necesse est cum additamento persolvere debita, si debeatur illa pœna melior fieri, et reliquos suo exemplo reddere temperantiores.

Theologi. Nolite committere ut vestra erudjtio sit mortis armatura, sed justitiæ.

Judex rei personam sustine, et minus peccabis.

Sic fratrem tuum probato, ut si ipse eisdem rationibus in judicium vocatus esses.

Qui supra modum iniqui et injuriosi sunt, judicum lenitate fiunt asperiores ad non parendum et rebellandum : itaque judex ignorare non debet se Dei judicium administrare, **146** se autem dominum non esse ut sic judicia gubernet, ut litigantibus et in B judicium vocatis pœnam condonet.

Philonis. Absurdum criminibus teneri eos qui aliis jura exæquant et administrant.

Democriti. Cum judex reum accusat, tum tacere necesse est.

Optimus judex habeatur, qui cito intelligit, et lente judicat. Alterum quidem est benevolentiæ, alterum autem diligentiæ exquisitæ.

Inconsiderate nihil oportet præcipitare in judicio, sed prius deliberare : nec cogitatione festinandum ut aliquid plus quam decet dicas : sed lente et cunctanter appetitio accurate exercenda, nec ad gratiam immutanda est ; nam inconstantem, temerarium et levem esse, deterius est quam consilio ca- C rere.

Non tam in litterarum figuris, quam in negotiis rectum sequi debemus : pravum enim judicium omnis mali causa est.

Epicteti. Nemo prudens a se alienum judicet magistratu fungi ; est enim impium sese abstrahere ab iis qui commoda abs te requirunt, et parum generosum improbis cedere : stultum est enim magis expetere gubernari, quam bene gubernare.

Nihil est quod magis eum qui præsit, deceat, quam ut neminem vel superbe contemnat, vel indecore admiretur, sed ex æquo omnibus præsit.

SERMO VIII [*al.* CIX].

De judicibus nummariis et munera accipientibus, et contra jus et fas condemnantibus.

Deut. XXVII. Exsecrandus quisquis rejecerit causam peregrini et pupilli et viduæ. D

Job XV. Ignis domos muneribus corruptorum exuret.

Iracundia in impios erit propter munerum impietatem, quæ inique acceperunt ad alterius injuriam.

Psal. XIV. Si vere tandem justitiam loquimini, recte, filii hominum, judicatote. Etenim in corde iniquitates perficitis in terra, iniurias manus vestræ connectunt.

Ibid. LXI. Quousque tandem inique judicatis, et personas sceleratorum respicitis?

Salomon. Munera qui accipit, se ipse perdit : ac qui odit munera, vivet.

Pecuniam quæ dolo datur quasi testam existimare debemus.

Impii personam admirari honestum non est, nec sanctum declinare jus in judicio.

Qui occultat manus suas in sinum, injustus est, nec illas ori suo admovet.

147. Os impiorum deglutiet judicia.

Qui justum judicat injustum, et injustum justum, impurus est apud Dominum et odio dignus.

Oseæ. Cur impietatem reticentes tulistis, et injurias ejus vindemiastis?

Habacuc. Quousque tandem, Domine, clamabo, nec exaudies? cur demonstrasti molestias et dolores, ut inspicias miserias et impietatem me circumstantes? ex adverso judicium factum est, et judex recipit, atque ob eam causam dissipata est lex, nec perducitur ad finem judicium, quod impius justum potentia opprimit: cujus rei causa prodit judicium perversum.

Adversus me factum est judicium, et judex recipit, ob quam causam prodit judicium perversum.

Isa. I. Cum extenderitis manus vestras, os meum a vobis avertam; manus enim vestræ sanguine plenæ sunt.

Væ vobis qui justificatis et absolvitis impium munerum causa, et jus justo eripitis.

Pupillorum et viduæ causas non susceperunt. An non hæc visitabo, dicit Dominus, aut in talem gentem non vindicabit anima mea?

Væ scribentibus malitiam. Scribentes enim malitiam scribunt, a se rejicientes pauperum causam, rapientes judicia pauperum populi mei, ut vidua sit illis rapinæ et pupillus prædæ: at quid in die visitationis facient? afflictio enim ipsorum olim veniet: tum ad quem perfugient auxilii petendi causa?

Cur vos, inquit Dominus, injuriam facitis populo meo, et ora pauperum dedecore et ignominia afficitis?

Isa. v. Væ qui malum dicitis bonum, et bonum malum, et ponitis lucem tenebras, et tenebas lucem, et amarum dulce, et dulce amarum.

Improborum consilium iniqua deliberat, ut humiles oratione iniqua perdat, et pauperum sermones in judicio dissipet.

Ezechiel. Dejecisti superbum, et extulisti dejectum: pro injuria hoc ponam, dicit Dominus.

Ezech. XXIII. Animæ populi mei perversæ sunt et animas vivificaverunt (1), et apud populum meum profanarunt me pro hordei pugillo et frusto panis, ad eos interficiendos quos occidi non oportebat, et ut eos conservarent in vita quos vivere non oportebat.

(1) Id est absolverunt.

A

B

C

D

Ἀργύριον διδόμενον μετὰ δόλου ὥσπερ δοτρακον ἡγητέον.

Θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλὸν, οὐδὲ δαιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.

Ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι αὐτοῦ οὐ μὴ προσενέγκῃ αὐτάς.

Στόμα ἀσεβῶν καταπίεται κρίσεις.

Ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Κυρίῳ.

Ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε;

Ἕως πότε, Κύριε, κεκράξομαι ἀδικούμενος, καὶ οὐκ εἰσακούσῃ; ἵνα τί ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον· ἕνεκεν τούτου ἐξέρχεται τὸ κρίμα διεστραμμένον.

Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο ἐξέρχεται τὸ κρίμα διεστραμμένον.

Ὅταν ἐκτείνητε τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ' ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.

Οὐαὶ οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου ἀῖροντες ἀπ' αὐτοῦ.

Οὐκ ἔκριναν κρίσιν ὀρφανῶν, καὶ κρίσιν χήρας οὐκ ἔκριναν. Μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι; λέγει Κύριος, ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;

Οὐαὶ τοῖς γράφουσι πονηρίαν. Γράφοντες γὰρ πονηρίαν γράφουσιν, ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίμα πενήτων τοῦ λαοῦ μου, ὡς τὸ εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγὴν, καὶ ὀρφανὸν εἰς προνομήν. Καὶ τί ποιήσουσι τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλῖψις αὐτῶν πόῤῥωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξονται τοῦ βοηθηθῆναι;

Τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν καταισχύνετε; φησὶν ὁ Κύριος.

Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν.

Ἡ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις, καὶ διασκεδάσαι λόγους πενήτων ἐν κρίσει.

Ἐταπείνωτας ὑψηλὸν, καὶ ὕψωσας ταπεινόν. Ἀδικίαν θήσομαι αὐτὸ, λέγει Κύριος.

Αἱ ψυχαὶ διεστράφησαν τοῦ λαοῦ μου, καὶ ψυχὰς περιεποιοῦντο, καὶ ἐβεβήλουν με πρὸς τὸν λαόν μου, ἕνεκεν δρακὸς κριθῶν, καὶ ἕνεκεν κλάσματος ἄρτου, ἀποκτεῖναι ψυχὰς ἃς οὐκ ἔδει ἀποθανεῖν, καὶ περιεποιοῦντο ψυχὰς ἃς οὐκ ἔδει ζῆσαι.

Ξένια καὶ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν τῷ στόματι ἀποστρέφει ἐλεγμούς. A

Ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι' αἰσχύνην, καὶ ἀπὸ λήψεως προσώπου ἀπολεῖ αὐτήν.

Εἰ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ἐκ τοῦ νόμου ὡς παραβάται.

Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων. Ἐν ᾧ γὰρ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. Τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων.

Ἄδικος δικαστὴς μεμολυσμένη συνείδησις.

Ὁ τὴν ἀληθῆ δικαιοσύνην μὴ ἔχων προεναποκειμένην αὐτοῦ τῇ ψυχῇ, ἀλλ' ἢ χρήμασι διεφθαρμένος, B ἢ φιλίᾳ χαριζόμενος, ἢ ἔχθραν ἀμυνόμενος, ἢ δυναστείαν δυσωπούμενος, τὸ κρίμα κατευθύνειν οὐ δύναται.

Αἱ παρὰ ἄρχουσι κρίσεις οὐδὲ τὴν νίκην ἀζήμιον φέρουσιν.

Οὐ πρὸς δικαίου ἀνδρὸς σιωπῇ τὰς παρανομίας ἐπικαλύπτειν.

Τῇ τῶν δικαζόντων μακροθυμίᾳ οἱ λίαν ἄδικοι σκληρότεροι αὐτοὶ ἑαυτῶν γίνονται κατὰ τὸ ἀπειθεῖν. Καὶ δεῖ τὸν κριτὴν εἰδέναι, ὅτι κρίσει Θεοῦ ὑπηρετεῖ, καὶ οὐ κύριός ἐστιν ὡς βούλεται ἄγειν τὸ κρίμα, ὥστε καὶ χαρίζεσθαι τοῖς κρινομένοις τάγματα.

Φόβος Θεοῦ ἀνθρώπων σωτήριος, σπάνιος δέ. C Ὅθεν οὐ χρὴ θαυμάζειν ἀφορῶντα πρός τε πένητας συκοφαντουμένους, καὶ πρὸς δικαστὰς παραλογιζομένους.

Τὸ νέμειν ἴσα τοῖς ἀνίσοις τῆς μεγίστης ἐστὶν ἀδικίας.

Eccli. xx. Xenia et munera excæcant oculos sapientum, et quasi frenum in ore reprehensiones avertunt.

Est qui perdat animam suam per turpitudinem, et respectus personarum perdit eam.

148 *Jac.* II. Si personam respicitis, peccatum admittitis : reprehendimini enim a lege tanquam violatores.

Rom. II. Quare excusationem non habes, o homo, quisquis es qui judicas : quo enim judicio de altero judicas, teipsum condemnas; eadem enim facis qui judicas.

S. Basilii. Iniquus judex contaminata conscientia.

Qui veram justitiam in animo prius defixam non habet, sed vel pecunia corrumpitur, vel amicitiæ gratificatur et placere studet, vel inimicitiam ulciscitur, vel potentiæ præbet obsequium, is recte judicia exercere non potest.

Judicia apud magistratus ne victoriam quidem sine damno reportant.

Theologi. Viri boni non est iniquitates silentio contegere.

Injuriosi supra modum qui sunt, judicum lenitate fiunt contumaciores ad non parendum et detrectandum imperium. Et judicem scire oportet se Dei in judicio ministrum esse, non vero dominum, qui litigantibus leges et jura præscripta condonare possit.

Metus Dei hominibus salutaris est, sed idem rarus : quod mirandum non est si consideres tum pauperes calumniis oppressos, tum judices falso judicantes.

Maximæ est injustitiæ paria imparibus tribuere.

ΛΟΓΟΣ Θ'.

Περὶ γονέων χρηστῶν, καὶ ὅτι χρὴ διὰ σπουδῆς καὶ προσηκόντως τὰς τῶν τέκνων ἀναγωγὰς ποιεῖσθαι,

Εἶπε Κύριος, Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ. Ἤδειν γὰρ ὅτι συντάξει Ἀβραὰμ τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτὸν, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ ὁ Θεὸς ἐπὶ D Ἀβραὰμ πάντα ὅσα ἐλάλησε πρὸς αὐτόν.

Ἀπέστελλεν Ἰὼβ, καὶ ἐκαθάριζε τὰ τέκνα αὐτοῦ, ἀνιστάμενος τῷ πρωΐ, καὶ προσφέρων περὶ αὐτῶν θυσίας κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας, περὶ τῶν ψυχῶν αὐτῶν. Ἔλεγε γὰρ Ἰώβ· Μή ποτε οἱ υἱοί μου κακὰ ἐνενόησαν ἐν τῇ διανοίᾳ αὐτῶν πρὸς Θεόν.

Παίδευε υἱὸν, καὶ ἀγαπήσει σε, καὶ δώσει κόσμον τῇ ψυχῇ σου.

Καλῶς ἐκτρέφει πατὴρ δίκαιος. Ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ.

Ὁ ἀγαπῶν ἐπιμελῶς παιδεύει.

Μὴ ἀπόσχες νήπιον παιδεύειν· ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται. Σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ.

SERMO IX [*al.* CXXVI].

De parentibus bonis, et quod oporteat liberos diligenter, ac decenter institui.

Gen. XVIII. Non celabo, inquit Dominus, Abraham famulum meum, quæ facturus sim. Scio enim quod præcepturus sit filiis suis ac familiæ suæ, futuræ post ipsum, ut observent vias Domini, justitiam et judicium exercentes, ut adducat Deus super Abraham quæcunque locutus est ad illum.

Job I. Misit nuntios Job ad liberos, et purgavit eos, maneque surgens pro illis sacrificia obtulit, numero paria liberis : itemque vitulum unum pro peccato ac illorum animis : sic enim secum cogitabat : Liberi mei forte mala cogitarunt mentibus suis adversus Deum.

Corrige filium, et te diliget, afferetque ornamentum animæ tuæ.

Pater probus bene educat filios, animus autem ejus filio sapiente lætabitur.

Qui diligit, diligenter erudit.

Infantem castigare ne recusato : nam si virga eum cecideris, non morietur. Tu quidem virga eum cædes, animam vero ipsius e morte liberabis.

Juvenum gloriatio patres eorum : 149 plagæ et reprehensiones dant sapientiam.

Prov. XIX. Erudito filium tuum : sic enim bonæ spei futurus est.

Eccli. VII. Si tibi sunt liberi, instituito illos, et jam inde ab adolescentia ipsorum colla inflectito.

Prov. XIII. Qui diligit filium suum, continenter eum flagellet.

Eccli. XXX. Qui filium suum docet, æmulationem inimico suo movet, et apud amicos eo lætabitur.

Eccli. XXX. Qui filium suum castigat, eo lætabitur, et inter familiares ac notos de eo gloriabitur.

Ephes. VI. Nolite, patres, liberos vestros ira vestra provocare, sed eos in eruditione et admonitione Domini educate.

Liberos vestros, patres, ne irritetis, ut ne animum despondeant.

S. Basilii. Ut parentes singulis liberis ex æquo corporis essentiam impertiti sunt, sic eisdem æqualiter parique conditione quæ ad vitam degendam pertinent jure optimo præbere debent.

Theologi. Patrum lex est liberis suis parcere.

Legitimum maxime et æquissimum est, ut liberorum bona pater cogitatione consideret.

S. Chrysost. Liberorum modestiam et temperantiam patres non curantes liberorum interfectores sunt, atque gravius peccant quam illi, quanto scilicet animæ perditio et mors gravior est quam corporis.

Philonis. Quod Deus est mundo, hoc liberis parentes esse arbitror ; nam ut ille quod non erat ut exsisteret, effecit : sic et hi imitantes, quoad fieri potest, illius potentiam, genus immortale reddunt.

Epicteti. Cura ut filios tuos eruditos magis quam opulentos relinquas : præstant enim eruditorum exspectationes, quam indoctorum divitiæ.

Medici contumelia jucundum remedium (1).

Filia aliena possessio patri est.

Solon. Liberis ne arrideas, ut in posterum ne fleas.

Synesii. Filio et filiæ honesta gloriatio, laudes paternæ.

Virtutes Philonis. Patris et matris appellationes communes, sed potentiæ differentes sunt. Illum igitur qui hanc universitatem molitus est artificem, simul et patrem sui operis recte justeque appellamus : matrem autem, ipsius fabricatoris scientiam, cum qua congressus Deus, non more humano, generandi semina insevit, quibus illa Domini seminibus 150 acceptis perfecto et fecundissimo partu amabilem et sub sensus cadentem filium peperit.

SERMO X [*al.* CXXVII].

De parentibus liberorum educationem neglectim curantibus.

1 Reg. II. Renuntiavi ei me ulturum familiam ejus

Καύχημα νέων πατέρες αὐτῶν. Πληγαὶ καὶ ἔλεγχοι διδόασι σοφίαν.

Παίδευε υἱόν σου· οὕτως γὰρ ἔσται εὐέλπις.

Τέκνα σοί ἐστι, παίδευσον αὐτά, καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν.

Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχίσει μάστιγας αὐτῷ.

Ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ διαζηλώσει τὸν ἐχθρόν · καὶ ἐναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται.

Ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ εὐφρανθήσεται ἐπ' αὐτῷ · καὶ ἀνὰ μέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται.

Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσι.

Δίκαιόν ἐστι τοῖς γονεῦσιν, ἵνα ὥσπερ ἐξ ἴσου μετεδώκασιν ἑκάστῳ τῶν παίδων τοῦ εἶναι, οὕτω καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς ἴσως αὐτοῖς καὶ ὁμοτίμως παρέχωσι.

Παίδων φείδεσθαι πατρικὸς νόμος.

Τὰ τῶν παίδων τῷ πατρὶ λογίζεσθαι τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων.

Οἱ τῆς τῶν παίδων κοσμιότητός τε καὶ σωφροσύνης ἀμελοῦντες πατέρες παιδοκτόνοι τυγχάνουσι, καὶ χαλεπώτερον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πρὸς ψυχὴν ἡ ἀπώλεια καὶ ὁ θάνατος.

Ὅπερ, οἶμαι, Θεὸς πρὸς κόσμον, τοῦτο πρὸς τέκνα γονεῖς, ἐπειδὴ ὡς ἐκεῖνος τῷ μὴ ὑπάρχοντι ὕπαρξιν κατειργάσατο, καὶ οὗτοι μιμούμενοι καθ' ὅσον οἷόν τε τὴν ἐκείνου δύναμιν, τὸ γένος ἀθανατίζουσιν.

Τοὺς υἱούς σου σπούδαζε πεπαιδευμένους μᾶλλον ἢ πλουσίους καταλιπεῖν. Κρείττους γάρ εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

Πατρὸς [ἰατροῦ] ὔβρις ἡδὺ φάρμακον.

Θυγάτηρ ἀλλότριον κτῆμα ὑπάρχει τῷ πατρί.

Υἱῷ καὶ θυγατρὶ μὴ προσμειδιάσῃς, ἵνα μὴ ὕστερον δακρύσῃς.

Τέκνοις αἰδέσιμον καύχημα πατρὸς ἔπαινος.

Πατρὸς καὶ μητρὸς κοιναὶ μὲν αἱ κλήσεις, διάφοροι δὲ δυνάμεις. Τὸν γοῦν τὸ πᾶν τόδε ἐργασάμενον δημιουργὸν ὁμοῦ καὶ πατέρα εἶναι τοῦ γεγονότος εὐθὺς ἐν δίκῃ φήσωμεν · μητέρα δὲ τὴν τοῦ πεποιηκότος ἐπιστήμην · ᾗ συνὼν Θεὸς οὐχ ὡς ἄνθρωπος, ἔσπειρε γένεσιν · ἡ δὲ παραδεξαμένη τὰ τοῦ Κυρίου σπέρματα, τελεσφόροις ὠδῖσι τὸν ἀγαπητὸν καὶ αἰσθητὸν υἱὸν ἀπέτεκεν.

ΛΟΓΟΣ Ι'.

Περὶ γονέων καταφρονητικῶς ἐχόντων τὰς τῶν τέκνων ἀναγωγάς.

Ἀπήγγελκα αὐτῷ, ὅτι ἐκδικῶ ἐγὼ ἐπὶ τὸν οἶκον

(1) *Græcus codex habet*, ἰατρὸς (sic) ὔβρις ἡδὺ φάρμακον.

αὐτοῦ ἕως αἰῶνος· ὅτι ἐκακολόγουν Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς. Καὶ οὐχ οὕτως ὤμοσα τῷ οἴκῳ Ἠλεὶ, εἰ ἐξιλασθήσεται ἀδικία οἴκου Ἠλεὶ ἐν θυμιάματι καὶ ἐν θυσίαις αὐτοῦ ἕως αἰῶνος.

Ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ.

Πατρὶ ἀσεβεῖ μέμψεται τέκνα, ὅτι δι' αὐτὸν ὀνειδισθήσονται.

Ἵππος ἀδάμαστος ἀποβαίνει σκληρός· καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής. Τιθήνησον τὸν υἱόν σου, καὶ ἐκθαμβήσει σε, καὶ μὴ συγγελάσῃς αὐτῷ, ἵνα μὴ συλλυπηθῇς, καὶ ἐπ' ἐσχάτων γομφιάσει τοὺς ὀδόντας σου. Μὴ δὸς αὐτῷ ἐξουσίαν ἐν νεότητι, καὶ μὴ παρίδῃς τὰς ἀγνοίας αὐτοῦ. Κάμψον τὸν τράχηλον αὐτοῦ ἐν νεότητι. Θλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἔστι νήπιος, μή ποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι, καὶ ἔσται σοι ἐξ αὐτοῦ ὀδύνη ψυχῆς. Παίδευσον τὸν υἱόν σου, καὶ ἔργασαι ἐν αὐτῷ, ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ αὐτοῦ προσκόψῃς.

Τέκνα βδελυκτὰ γίνεται τέκνα ἁμαρτωλῶν.

Ἔγγονα ἀσεβῶν οὐ πληθυνεῖ κλάδους, καὶ ῥίζαι ἀκάθαρτοι ἐξ ἀκροτόπου πέτρας.

Ἐκ σπέρματος ὄφεων ἐξελεύσεται ἔκγονα ἀσπίδων· τὰ δὲ ἔκγονα αὐτῶν ὄφεις πετόμενοι.

Ἀδικώτατος περὶ τὴν τῶν ἐγγόνων ἐκτροφὴν ὁ ἀετός. Δύο γὰρ ἐξαγαγὼν νεοττοὺς, τὸν ἕτερον αὐτῶν εἰς τὴν γῆν καταῤῥήγνυσι, ταῖς πληγαῖς τῶν πτερύγων ἀπωθούμενος· τὸν δὲ ἕτερον μόνον λαβὼν οἰκειοῦται, διὰ τὸ τῆς τροφῆς ἐπίμονον, ἀποποιούμενος ὃν ἐγέννησεν. Τοιοῦτοι τῶν γονέων εἰσὶν οἱ ἐπὶ προφάσει πενίας ἐκτιθέμενοι τὰ νήπια, οἳ καὶ ἐν τῇ διανομῇ τοῦ κλήρου ἀνισώτατοι πρὸς τὰ ἔγγονα.

Ἱερεὺς ἦν ὁ Ἠλεὶ, καὶ τοῖς παισὶν ἀσεβοῦσιν ἐπέπληττε μὲν, ὅτι δὲ μὴ σφοδρῶς ἐνεκλήθη, καὶ δίκην ὑπέσχε πατὴρ εὐλαβὴς παίδων παρανομίας.

Καταγέλαστον ἀνθρώπῳ, τῷ τῶν ἰδίων ἀφειδήσαντι, παιδεύειν ξένους ἐπιχειροῦντι.

ΛΟΓΟΣ ΙΑ'.

Περὶ παίδων τιμώντων γονεῖς, καὶ ὅσα ἕπεται ἀγαθὰ τοῖς ὑπακούουσιν αὐτοῖς.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ μακροχρόνιος ἔσῃ ἐπὶ τῆς γῆς.

Ἕκαστος πατέρα αὐτοῦ καὶ μητέρα φοβείσθω.

Υἱὲ, φύλασσε νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου, ἆφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ ψυχῇ διαπαντὸς, καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ. Στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ, καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ.

Ἄκουε, υἱὲ, πατρὸς τοῦ γεννήσαντός σε, καὶ μὴ καταφρόνει, ὅτι γεγήρακέ σου ἡ μήτηρ.

Υἱὸς δοξάζει πατέρα. Καὶ εἰ Πατὴρ εἰμὶ ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου;

Ὁ τιμῶν πατέρα αὐτοῦ ἐξιλάσκεται ἁμαρτίας. Καὶ ὡς ὁ ἀποθησαυρίζων, ὁ δοξάζων μητέρα αὐτοῦ·

usque in sæculum : quia filii ejus maledicebant Deo, nec illos castigavit, idcirco juravi familiæ Eli, quod non expietur iniquitas domus ejus in suffumigatione et sacrificiis usque in sæculum.

Salomon. Qui parcit suis baculis, filium odit suum.

Eccli. XLI. Patrem impium accusabunt liberi, quia propter ipsum probris afficientur.

Ibid. XXX. Equus indomitus ore fit duro, filius indulgenter tractatus fit temerarius et præceps. Indulge filio tuo, et ipse territabit te; ne simul cum illo rideas, ut ne simul cum illo tristeris et ad extremum dentibus tuis infrendeas. Ne des ei in juventute licentiam, et ignorationes ejus ne prætermittas. In juventute cervicem ejus flectito : et latera ipsius tundito dum adhuc puer est, ne robustus factus nolit tibi parere, atque ex eo tuus animus dolorem capiat maximum. Filium tuum erudito ac perpolito, ut in turpitudine illius non offendaris.

Abominandi sunt liberi improborum et sceleribus infamium.

Impiorum posteri non multiplicabunt ramos, et radices ex acutissimo saxo impuræ.

Ex semine serpentum prodibunt aspidum fetus, fetus autem ipsarum serpentes erunt volantes.

Incerti auctoris. Crudelissima est in pullis educandis aquila; duos enim cum ediderit pullos, alterum alis impellens in terram dejectum allidit, alterum retentum tantummodo pro suo et legitimo habet, tædio nutricationis quem procrearit ipsa repudians et abdicans. Tales sunt parentes qui paupertatis specie suos pueros infantes exponunt, qui et suis posteris in hæreditatis distributione iniquissimi sunt.

I Reg. II. Sacerdos fuit Eli, ac filios suos impie se gerentes reprehendit quidem, sed quia non satis vehementer objurgavit, pater religiosus pœnam filiorum temeritatis et iniquitatis luit.

Diogenis. Ridiculum est eum qui suis pareat, alienos castigare velle.

SERMO XI [*al.* CXXVIII].

De liberis parentes honorantibus, et quæ bona consequantur qui illis obtemperarint.

Exod. XX. Honora patrem et matrem tuam ut tibi bene sit, et longo tempore in terra vivas.

151 *Levit.* XIX. Patrem suum quisque ac matrem metuat.

Fili, cave violes a patre tibi impositas leges, et matris monita ne repellito, sed applicato sempor animo tuo, et collo tuo alligato; gratiarum enim coronam in verticem capitis recipies, et monile aureum in collum tuum.

Audi, fili, patrem qui te procreavit, nec matrem senem contemnito.

Malach. I. Filius gloriæ erit patri. Quod si Pater sum ego, ubi gloria mea?

Eccli. III. Qui patrem suum honore afficit, delet peccata. Qualis est qui thesauros recondit, talis est

qui matrem suam gloria afficit ; qui patrem honorat a filiis lætitia afficietur, et orationis suæ tempore voti fiet compos. Qui patrem gloria affecerit, longævus erit, et qui audit Dominum matrem suam recreabit, et tanquam dominis serviet iis qui se procrearint. Verbo et opera patrem colito, ut ab illo tibi benedictio accidat. Patris benedictio domos liberorum firmat ; at matris exsecratio radicitus fundamenta evertit.

A ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέκνων, καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται. Ὁ δοξάζων πατέρα μακροημερεύσει· καὶ ὁ ἀκούων Κυρίου ἀναπαύσει μητέρα αὐτοῦ, καὶ ὡς δεσπόταις δουλεύσει τοῖς γεννήσασιν αὐτόν. Ἐν ἔργῳ καὶ λόγῳ τίμα τὸν πατέρα σου, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῷ. Εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων· κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.

Ibid. Fili, succurrito patri senescenti, et si amiserit intelligentiam, veniam mereatur, nec ulla ignominia affici ipsum patiare pro omnibus viribus tuis. Patris enim misericordia non veniet in oblivionem ; et ut serenitas glaciem liquefacit, sic peccata tua dissolventur.

Τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου, καὶ ἐὰν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχέτω, καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύϊ σου. Ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται· καὶ ὡς εὐδία ἐν παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.

Ex toto animo tuo, ut honor et gloriæ sis patri curato, nec matris tuæ dolorum obliviscitor. Recordare te ab illis esse procreatum : et quid illis reddes, quale ipsi dederunt tibi ?

B Ἐν ὅλῃ καρδίᾳ σου δόξασον τὸν πατέρα σου, καὶ μητρὸς ὠδίνων μὴ ἐπιλάθῃ. Μνήσθητι ὅτι δι' αὐτῶν ἐγεννήθης· καὶ τί ἀνταποδώσεις αὐτοῖς, καθὼς αὐτοί σοί ;

Honore afficito patrem et matrem tuam, et tanquam teipsum proximum diligito.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ ἀγάπα τὸν πλησίον σου ὡς σεαυτόν.

Ephes. VI. Liberi, parentibus vestris obedite in rebus omnibus, siquidem hoc Domino pergratum et acceptum est.

Τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν κατὰ πάντα. Τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

S. Basilii. Ciconiarum erga parentes senes benevolentia satis potest liberos nostros, si modo attendere velint, patris amantes efficere ; nemo est enim adeo prudentia destitutus, qui non pudendum esse judicet ab avibus rationis expertibus virtute superari ; ille enim patrem præ senectute pennas dimittentem in orbem circumstant, ac pennis suis fovent, alimenta copiose suppeditantes, quantum etiam possunt volatum ejus adjuvant, placide pennis suis utrinque allevantes. Atque sic beneficiorum remunerationem ἀντιπελάργωσιν nominant, quasi dicas reciconiationem.

C Ἡ περὶ τοὺς γηράσαντας τῶν πελαργῶν εὔνοια ἐξαρκεῖ τοὺς παῖδας ἡμῶν, εἰ προσέχειν βούλοιντο, φιλοπάτορας καταστῆσαι. Πάντως γὰρ οὐδεὶς οὕτως ἐλλείπων κατὰ τὴν φρόνησιν, ὡς μὴ αἰσχύνης ἄξιον εἶναι κρίνειν, τῶν ἀλόγων ὀρνίθων ὑστερεῖν κατ' ἀρετήν. Ἐκεῖνοι γὰρ, τὸν πατέρα ὑπὸ γήρως πτεροῤῥυήσαντα περιστάντες ἐν κύκλῳ, τοῖς οἰκείοις πτεροῖς περιθάλπουσι, καὶ τὰς τροφὰς ἀφθόνως παρασκευάζοντες, τὴν δυνατὴν καὶ ἐν τῇ πτήσει παρέχονται βοήθειαν, ἠρέμα τῶν πτερύγων ἐπικουφίζοντες ἑκατέρωθεν. Καὶ οὕτως τὴν τῶν εὐεργετημάτων ἀντίδοσιν ἀντιπελάργωσιν ὀνομάζουσιν.

Grati liberi magna faciunt patrum encomia.

Εὐγνώμονες παῖδες μεγάλα ποιοῦσι τὰ τῶν πατέρων ἐγκώμια.

152 *Theologi.* Quod honestum est exerceto, quia honestum est patri parere ; etiamsi nihil aliud tibi accessurum esset, hoc ipsum merces est patri gratificari.

Ἔργασαι τὸ καλὸν, ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι· καὶ εἴ σοι μηδὲν ἔσεσθαι μέλλοι, τοῦτο αὐτὸ μισθὸς, τὸ πατρὶ χαρίζεσθαι.

S. Chrysost. Quia eadem mensura, ut ait Dominus, in quaque re gerenda nobis redditur, parentes tanquam dominos honorare discamus, ut et a nostris ipsorum honore afficiamur liberis, et a Domino in hac re definitam mercedem amplam recipiamus.

D Ὡς τοῖς αὐτοῖς μέτροις, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, ᾧ ἑκάστῳ τῶν πραττομένων μετρούμενοι, μάθωμεν ὡς δεσπότας τιμᾶν γονεῖς, ἵνα καὶ ὑπὸ τῶν ἰδίων τιμηθῶμεν παίδων, καὶ τὸν παρὰ τοῦ Κυρίου ὡρισμένον ἐπὶ τούτῳ πλούσιον μισθὸν ἀπολάβωμεν.

Tanquam verna genitoribus tuis servito : quid enim illis tale reddas, quale ab illis accepisti ? Nam vicissim generare illos non licet.

Ὡς οἰκέτης δούλευσον τοῖς γεννήσασί σε. Τί γὰρ ἀνταποδώσεις αὐτοῖς οἷα αὐτοί σοί ; ἀντιγεννῆσαι γὰρ αὐτοὺς οὐκ ἔνι.

Aristot. Æquum est ut filius patris sit servus magis quam verna ; ille enim natura patris est servus, hic lege.

Χρὴ τὸν υἱὸν δοῦλον εἶναι τοῦ πατρὸς ἢ τὸν οἰκέτην. Ὁ μὲν γὰρ φύσει τοῦ πατρὸς δοῦλός ἐστιν, ὁ δὲ νόμῳ.

Isocratis. Talem te præsta parentibus, quales optas tibi morigeros fore liberos.

Τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σαυτοῦ παῖδας.

Alexander rex cum interrogaretur, utrum magis desideraret patrem Philippum, an Aristotelem :

Ἀλέξανδρος ὁ βασιλεὺς, ἐρωτηθεὶς, τίνα μᾶλλον ποθεῖ, τὸν πατέρα Φίλιππον ἢ Ἀριστοτέλην, Τὸν ὑ-

δάσκαλον, ἔφη · ὁ μὲν γὰρ τοῦ γενέσθαι, ὁ δὲ τοῦ καλῶς γενέσθαι αἴτιος.

Ὁ αὐτὸς βαρύτι ἐπιταττούσης αὐτῷ τῆς μητρὸς Ὀλυμπιάδος, ἔφη · Ὦ μῆτερ, πικρόν με ἐνοίκιον τῆς ἐννεαμηναίου ἀπαιτεῖς.

Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τοιούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τεκόντων [τέκνων] προσδέχου.

Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
Ὁ δ' ἐστὶ καὶ ζῶν καὶ θανὼν Θεοῦ φίλος.
Οὐκ ἔστι παισὶ τούτου κάλλιον γέρας,
Ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι,
Καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.

Σόλων ἐρωτηθεὶς διατί κατὰ τῶν τυπτόντων τοὺς πατέρας ἐπιτίμιον οὐχ ὥρισεν, ἔφη · Ὅτι οὐχ ὑπέλαβον τοιούτους τινὰς ἔσεσθαι.

Γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱὸν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

Τοῖς γονεῦσιν ἴσας πρὸς ἴσας ἀποδοῦναι χάριτας τῶν ἀδυνάτων. Ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε.

ΛΟΓΟΣ ΙΒ'.

Περὶ πατραλοιῶν καὶ μητραλοιῶν, καὶ ὅσα ἕψεται αὐτοὺς κακά.

Ὃς τύπτει πατέρα αὐτοῦ, θανάτῳ θανατούσθω.

Ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ θανάτῳ τελευτάτω.

Ἐπικατάρατος πᾶς ὁ ἀτιμάζων πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ · καὶ ἐρεῖ πᾶς ὁ λαὸς, Γένοιτο, γένοιτο.

Υἱὸς ἀνήκοος ἐν ἀπωλείᾳ ἔσται.

Ὁ ἀτιμάζων πατέρα αὐτοῦ, καὶ ἀπωθούμενος μητέρα αὐτοῦ, καταισχυνθήσεται, καὶ ἐπονείδιστος ἔσται.

Κακολογοῦντος πατέρα ἢ μητέρα σβεσθήσεται λαμπτήρ · αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος.

Ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα, καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς.

Οὐκ εὐφραίνεται πατὴρ ἐπὶ υἱῷ ἀπαιδεύτῳ. Υἱὸς δὲ φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ.

Ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν.

Ὡς βλάσφημος ὁ ἐγκαταλείπων πατέρα αὐτοῦ, καὶ κατηραμένος ὑπὸ Κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.

Μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου. Ἡ γὰρ δόξα ἀνθρώπων ἐκ τιμῆς πατρὸς αὐτῶν.

Οἱ γονέων ἀλογοῦντες ἑκατέρας μερίδος εἰσὶν ἐχθροὶ, καὶ τῆς πρὸς Θεὸν καὶ τῆς πρὸς ἀνθρώπους.

ΛΟΓΟΣ ΙΓ'.

Περὶ υἱοῦ σοφοῦ.

Υἱὸς σοφὸς εὐφραίνει πατέρα αὐτοῦ. Υἱὸς φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ.

Εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπὶ σοί · καὶ χαιρέτω ἡ τεκοῦσά σε.

Magistrum, inquit; ille enim ut essem, hic autem ut præclare institutus essem auctor fuit.

Idem cum mater Olympias ei aliquid gravius imperaret: Acerbam, o mater, inquit, pro novem mensium onere mercedem exigis.

Melesii. Qualia in parentes contuleris beneficia, talia in senectute a liberis exspecta.

Vivens parentes qui colit,
Futurus est gratus Deo vivus simulque mortuus.
Nec præmium ullum est liberis honestius,
Quam si probo nascantur et honesto patre,
Dignisque parentes afficiant honoribus.

(*Euripidis.*)

Solon interrogatus, cur nullas pœnas adversus eos qui patres verberassent constituisset: Quod nullos, inquit, tales exstituros existimabam.

Generum nactus, filium invenit: at qui malum nactus est, perdidit et filiam.

Philonis. Parentibus par gratia reddi nullo modo potest: nam vicissim eos generare omnino non licet.

SERMO XII [*al.* CXXIX].

De patricidis et matricidis, et quæ eos secutura sint mala.

Exod. XXI. Qui patrem suum verberat, morte multetur.

Levit. XX. Qui patri aut matri maledicit, mortis supplicio afficiatur.

Deut. XXVII. Exsecrandus quisquis patrem aut matrem ignominia afficit: cunctus autem populus, Fiat, inquiet, fiat.

Filius rebellis misere peribit.

Prov. VI. Qui patrem suum dedecorat, et matrem suam repellit, ignominiosus et probrosus erit.

Lumen exstinguetur ejus, qui in **153** patrem et matrem maledicta congesserit, et oculorum ejus pupillæ tenebras aspicient.

Qui patrem aut matrem rejicit, et putat se non peccare, is est viri impii socius.

Filio inerudito et non castigato pater non lætabitur; at prudens filius lætitia afficiet matrem.

Filius insipiens auctor est ut semper irascatur pater, et genitrix dolore afficiatur.

Eccli. III. Qui patrem suum deserit, similis est summi Dei conviciatori; et qui matrem ad iram provocat, Domino exsecrandus est.

Philonis. In patris ignominia non est gloriandum: sua enim cuique gloria ex patris honore est.

Liberi parentum rationem non habentes in utramque partem, tum Deo tum hominibus sunt odiosi.

SERMO XIII [*al.* CXXX].

De filio sapiente.

Prov. XV. Filius sapiens patrem afficit lætitia. Filius prudens afficit lætitia matrem.

Lætetur de te pater et mater, et quæ te peperit gaudeat.

Viri sapientiam amantis lætabitur pater.

Si sapiens fueris, fili, tibi ipsi eris sapiens et aliis : sin autem malus et indoctus, solus feres mala.

Propter filium sapientem animus paternus lætitia afficitur.

Juvenis probus, pauper et sapiens, antecellit regem seniorem et insipientem.

Eccli. XVI. Filius unus probus præstat mille impiis.

Liberi in vita honeste versantes suorum genitorum ignobilitatem tegent.

Theologi. Unus est liberorum felicitatis terminus, nempe virtus, et si in rebus laudandis parentum similitudinem referant.

Liberorum virtus patri gloriæ est.

Philonis. Satis bene fecundi sunt, qui bonitatis et probitatis sunt periti.

SERMO XIV [*al.* CXXXI].

De filio insipiente, improbo et inerudito.

Prov. Filio inerudito non lætabitur pater.

Filius insipiens patrem deridet suum.

Insipiens filius patrem ad iram commovet, et genitricem dolore afficit.

Mali liberi patrem exsecrantur, et matri non benedicunt.

Mali liberi elatis sunt oculis, et palpebras semper motitant.

Eccli. XXII. Dedecori est patri proles inerudita.

Vitiosorum liberorum hæreditas 154 peribit, et in posteritate eorum continuabitur probrum.

Liberorum multitudinem inutilium ne concupiscas, nec liberis impiis lætandum tibi est. Præstat sine liberis a vita decedere, quam impios habere liberos.

Liberi insipientia et imperitia gloriantes cognationis suæ coinquinant nobilitatem.

SERMO XV [*al.* CXXXII].

De filia honesta et modesta.

Levit. XIX. Filiam tuam ne profanato, nec scortari sinito, nec patieris esse scortationem in terra, ne compleatur iniquitate.

Eccli. XXVI. Si tibi sunt filiæ, corpora ipsarum servato, nec hilarem vultum tuum illis ostendito. Eloca filiam, et rem magnam perfeceris; atque viro sagaci in matrimonium dato.

Ibid. XLII. Filia patris occulta est vigilia, et sollicitudo de ipsa eripit somnum patri, ac in juventute quidem, ne deflorescat forma, et cum nupta est, ne fiat odiosa; in virginitate, ne vitietur, et in ædibus paternis prægnans fiat; et elocata viro, ne leges matrimonii violet.

Ibid. XXII. Prudens filia viro est vice hæreditatis.

Puella pudica etiam virum reverebitur.

1 Tim. V. Volo igitur juniores nubere, liberos procreare, rem familiarem administrare, nullam adversario conviciandi occasionem præbere.

Epicteti. Filia patri aliena possessio est.

Ἀνδρὸς φιλοῦντος σοφίαν εὐφραίνεται ὁ πατήρ

Υἱὲ, ἐὰν σοφὸς γένῃ, σεαυτῷ σοφὸς ἔσῃ καὶ τῷ πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά.

Ἐπὶ υἱῷ σοφῷ εὐφραίνεται ψυχὴ πατρός.

Ἀγαθὸς παῖς, πένης καὶ σοφὸς, ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα.

Κρεῖσσον εἷς υἱὸς δίκαιος; ἢ χίλιοι υἱοὶ ἀσεβεῖς.

Τέκνα ἐν ἀγαθῇ ζωῇ τὴν ἀναστροφὴν ἔχοντα τῶν ἰδίων γεννητόρων κρύψουσι δυσγένειαν.

Εἷς εὐτεκνίας ὅρος, ἀρετὴ, καὶ ἡ πρὸς τὸ κρεῖττον ὁμοίωσις.

Τέκνων ἀρετὴ δόξα πατέρων.

Εὔπαιδες οἱ τῶν καλῶν καὶ ἀγαθῶν ἐπιστήμονες.

ΛΟΓΟΣ ΙΔ'.

Περὶ υἱοῦ ἄφρονος, καὶ πονηροῦ, καὶ ἀπαιδεύτου.

Οὐκ εὐφραίνεται πατὴρ ἐπὶ υἱῷ ἀπαιδεύτῳ.

Υἱὸς ἄφρων μυκτηρίζει πατέρα αὐτοῦ.

Ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν.

Ἔγγονον κακὸν πατέρα καταρᾶται τὴν δὲ μητέρα οὐκ εὐλογεῖ.

Ἔγγονον κακὸν ὑψηλοὺς ὀφθαλμοὺς ἔχει, τοῖς δὲ βλεφάροις αὐτοῦ σπαίρεται.

Αἰσχύνη πατρὸς ἐν γεννήματι ἀπαιδεύτῳ.

Τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία, καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐνδελεχισεῖ ὄνειδος.

Μὴ ἐπιθυμήσῃς πλῆθος τέκνων ἀχρήστων· μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσι. Κρεῖσσον ἀποθανεῖν ἄτεκνον, ἢ ἔχειν τέκνα ἀσεβῆ.

Τέκνα ἐν καταφρονήσει καὶ ἀπαιδευσίᾳ γαυρούμενα συγγενείας ἑαυτῶν μολύνει εὐγένειαν.

ΛΟΓΟΣ ΙΕ'.

Περὶ θυγατρὸς σεμνῆς καὶ κοσμίας.

Οὐ βεβηλώσεις τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτὴν, καὶ οὐκ ἐκπορνεύσει ἡ γῆ, καὶ πλησθήσεται ἀνομίας.

Θυγατέρες σοί εἰσι, πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. Ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα, καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν.

Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία, καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον· ἐν νεότητι, μή ποτε παρακμάσῃ· καὶ παρῳχηκυῖα, μή ποτε μισηθῇ· ἐν παρθενίᾳ, μή ποτε βεβηλωθῇ, καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγκυος γένηται· καὶ μετὰ ἀνδρὸς οὖσα, μή ποτε παραβῇ.

Θυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς.

Θυγάτηρ εὐσχήμων καὶ τὸν ἄνδρα ἐντραπήσεται,

Βούλομαι οὖν νεωτέρας γαμεῖν, τεκνοποιεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν.

Θυγάτηρ ἀλλότριον κτῆμα ὑπάρχει τῷ πατρὶ.

Γαμβροῦ ὁ μὲν ἐπιτυχὼν εὗρεν υἱὸν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

ΛΟΓΟΣ ΙϚ'.

Περὶ θυγατρὸς ἀσέμνου καὶ ἀκόσμου.

Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακὴν, μήποτε ποιήσῃ σε ἐπίχαρμα ἐχθρῶν.

Θυγάτηρ ἐπὶ ἐλαττώσει γίνεται.

Πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται.

Θυγάτηρ ἀσχήμων ἀτιμίαν κατατρίψει.

ΛΟΓΟΣ ΙΖ'.

Περὶ γερόντων ἐν ἀρετῇ καὶ συνέσει κοσμουμένων.

Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου.

Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Ἐλάλησαν οἱ πρεσβύτεροι πρὸς Ῥοβοὰμ, λέγοντές οἱ· Ἐν τῇ ἡμέρᾳ ταύτῃ ἔσῃ δοῦλος τῷ λαῷ τούτῳ, καὶ δουλεύσεις αὐτοῖς, καὶ λαλήσεις πρὸς αὐτοὺς λόγους ἀγαθοὺς· καὶ ἔσονταί σοι δοῦλοι πάσας τὰς ἡμέρας. Καὶ ἐγκατέλιπε Ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων.

Ἀσφαλὴς τῶν πρεσβυτέρων ἡ εἰσήγησις, τῇ πολλῇ τοῦ βίου καὶ τῶν πραγμάτων πείρᾳ βοηθουμένη.

Ἐν πολλῷ χρόνῳ σοφία, ἐν δὲ μακρῷ βίῳ ἐπιστήμη.

Στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖ δικαιοσύνης εὑρίσκεται.

Δόξα πρεσβυτέρων πόλεις.

Στέφανος γερόντων τέκνα τέκνων.

Πολιά ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

Γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν.

Ἐν πλήθει πρεσβυτέρων στῆθι· καὶ εἴ τις σοφὸς, προσκολλήθητι αὐτῷ.

Μὴ ἀστόχει διηγήματος γερόντων· καὶ γὰρ αὐτοὶ ἔμαθον παρὰ τῶν πατέρων αὐτῶν.

Μὴ ἀτιμάσῃς ἄνδρα ἐν γήρᾳ αὐτοῦ, καὶ γὰρ καὶ ἐξ ἡμῶν γηράσκουσιν.

Στέφανος γερόντων πολυπειρία, καὶ τὸ καύχημα αὐτῶν φόβος Κυρίου.

Ὡς ὡραῖον πολιαῖς κρίσις, καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν! Ὡς ὡραία γερόντων σοφία καὶ δεδοξασμένοις διανοήματα βουλῆς!

Ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτόν· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει.

Πᾶν το ἀρχαιότητι διαφέρον αἰδέσιμον.

Πλέον τῷ ὄντι τῆς ἐπὶ θριξὶ λευκότητος εἰς πρεσβυτέρους ἅπασι τὸ ἐν φρονήσει πρεσβυτερικόν.

Διαφέρει τοῦ νηπίου καθ' ἡλικίαν οὐδὲν ὁ ταῖς φρεσὶ νηπιάζων.

Solonis. Generum nactus, filium invenit : nactus autem malum generum, filiam etiam perdidit.

SERMO XVI [*al.* CXXXIII].

De filia minime honesta et immodesta.

Eccli. XLII. Filiæ inquietæ pone custodem, ne gaudio afficias inimicos tuos.

Filia (*alias additur* fatua) minoris venit æstimanda.

Ibid. Audax et impudens patrem et virum dedecorat, et ab utroque vituperabitur.

Ibid. XXII. Filia sine verecundia infamiam delebit.

SERMO XVII. [*al.* CLIII].

De senibus virtute et prudentia ornatis.

Lev. XIX. Cano assurgendum est, et seniori honor habendus est.

Deut. Interroga patrem tuum, et annuntiabit, seniores tuos, et dicent tibi.

II Reg. II ; *II Paral.* X. Locuti sunt ad Roboam seniores in hunc modum : Si hodierno die fueris servus populi hujus, eique servieris, et bonis et humanitatis plenis verbis locutus fueris, illi futuri sunt in perpetuum servi tui. Sed 155 Roboam consilium seniorum non est secutus.

Scholion. Tuta est seniorum doctrina, et consilium longo vitæ et rerum usu adjutum et firmatum.

Job XII. In diuturnitate temporis sapientia, et in longa vita scientia est.

Prov. XVI. Gloriationis corona senectus, quæ in viis justitiæ reperitur.

Gloria senum cani sunt.

Corona senum liberi liberorum.

Sap. IV. Canities est prudentia hominibus ; et senilis ætas, vita nulla labe contaminata.

Hippothontis. Leonis senectus præstantior est hinnulorum juventa.

Sirach. Multitudini senum acquiesce, ac ei qui sapiens est agglutinare.

Ne repudiato narrationes majorum natu ; nam illi a patribus suis didicerunt.

Noli contemnere quemquam in senectute ; etenim ex vobis etiam sunt qui futuri sint senes.

Corona senum magnus rerum usus, et gloriatio ipsorum Dei metus.

Quam decorum est canitiei judicium, et majoribus natu nosse consilia! Quam pulchra est senum sapientia, et ætate evectos quam decet consiliorum intelligentia!

Joan. XXI. Cum juvenis esses, cingebas teipse ; cum autem senueris, extendes manus tuas, et alius te cinget.

S. Basilii. Quidquid vetustate excellit venerabile est.

Senilis animi habitus et matura prudentia revera præstantior vel capillorum canitie, quæ in omnibus ætate provectis reperitur.

Nihil interest inter ætate puerum et eum qui mente pueros imitatur.

Theologi. Melior est canities cum prudentia conjuncta, quam juventus inerudita.

Magnum usum rerum et experientiam tempore collegimus, ex qua nascitur sapientia.

Non decent senes puerilia judicra.

S. Chrysost. et Sap. IV. Canities non capilli albi, sed animi virtus.

Nec juvenem criminare, neque senem lauda; neque enim in ætatis, sed in animi differentia virtus et vitium consistit.

Non ætatum differentiam novit universitatis Deus; sed pietatem solam et rerum divinarum studium a nobis requirit: quod si hæc in juvene repererit, multis hunc anteponit senibus.

Senectus et paupertas duo sunt curatu difficilia.

Philonis. **156** Vere senex non ex temporis longinquitate, sed ex laudabili et perfecta vita spectatur.

Juvenili vitæ quæ in rerum actione versatur, senilis succedit præstantissima et sacratissima, eaque in rerum contemplatione cernitur, cui quasi gubernatori a se misso Deus gubernacula in manus tradidit, tanquam idoneo qui possit terrena gubernacula tenere; nam sine contemplatione et scientia nihil in rebus agendis honestum est.

Evagrii. Tum florescit animus ad scientiam percipiendam, cum robur corporis diuturnitate temporis marcescit.

Nili. Capillus albus factus animam hinc abituram testatur et clamat.

Symeon. Neque cuivis seni fidendum est, neque quivis omnino juvenis repudiandus. Fieri enim potest, ut opinor, ut et juventus temperans sit, et senectus sæpe officium negligat.

Plutarch. Hiems tegumentum, senectus doloris vacultatem requirit.

Solon. Solon senectutem portum malorum esse dicebat, quod ad eam omnia confugiant.

Phavorini. Qui sibi voluptatem reprimit, sapiens, qui repressione non indiget, beatus est: senectus ad utrumque (*vel* in senectute est utrumque). (*Desunt quædam.*)

A Κρεῖσσον πολιὰ μετὰ φρονήσεως ἀπαιδεύτου νεότητος.

Πολλὴν εμπειρίαν τῷ χρόνῳ συνελέξαμεν, ἐξ ἧς σοφία γίνεται.

Οὐχ ὡραῖον γήρᾳ παίδων ἀθύρματα.

Πολιὰ οὐ τρίχες λευκαί, ἀλλὰ ψυχῆς ἀρετή.

Μὴ τὸν νέον διάβαλλε, μηδὲ τὸν γεγηρακότα ἐπαίνει· οὔτε γὰρ ἐν τῇ διαφορᾷ τῆς ἡλικίας ἀρετὴ καὶ κακία, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς γνώμης.

Οὐκ οἶδεν ἡλικίας διαφορὰν ὁ τῶν ὅλων Θεός· ἀλλ' εὐσέβειαν μόνην καὶ φιλοθεΐαν ζητεῖ, κἂν εὕρῃ ταύτην ἐν νέῳ, πολλῶν τοῦτο προτίθησι πρεσβυτέρων.

Γῆρας καὶ πενία δύο πράγματα δυσθεράπευτα.

B

Ὁ ἀληθείᾳ πρεσβύτερος οὐκ ἐν μήκει χρόνου, ἀλλ' ἐν ἐπαινετῷ καὶ τελείῳ βίῳ θεωρεῖται.

Μετὰ τὸν ἐν νεότητι πρακτικὸν βίον ὁ ἐν γήρᾳ θεωρητικὸς βίος ἄριστος καὶ ἱερώτατος· ὃν οἷα κυβερνήτην παραπέμψας ὁ Θεὸς, ἐνεχείρισε τοὺς οἴακας, ὡς ἱκανὸν πηδαλιουχεῖν τὰ ἐπίγεια· χωρὶς γὰρ θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πραττομένων καλόν.

Ἀνθεῖ πρὸς ἐπιστήμην ψυχή, ὁπότε ἐκ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνονται.

Θριξ λελευκασμένη τὴν ἐντεῦθεν τῆς ψυχῆς ἀπο-
C δημίαν βοᾷ καὶ διαμαρτύρεται.

Οὔτε πάνυ γήρᾳ θαρρεῖν, οὔτε νεότητι χρὴ παντάπασιν ἀποδοκιμάζειν. Ἔνι γάρ, οἶμαι, καὶ σωφρονεῖν τὴν νεότητα, καὶ γῆρας πολλάκις που τοῦ καθήκοντος ἀμελεῖν.

Ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

Σόλων τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι κακῶν, εἰς αὐτὸν γοῦν πάντα καταφεύγει.

Ἡδονῆς ὁ μὲν εἰργόμενος σοφός· ὁ δὲ μὴ δεόμενος μακάριος· τὸ δὲ γῆρας πρὸς ἀμφότερα.

SERMO XVIII.

De senibus inhonestis et imprudentibus.

Eccli. XXV. Senem adulterum intellectu carentem ex animo odi.

I Cor. XIV. Fratres, ne sitis puerili mente, sed vitiis pueros imitamini, at mente perfecti estote.

Hebr. V. Tardi facti estis ad audiendum. Etenim qui propter diuturnitatem temporis debuistis esse magistri, rursus doctore egetis, qui vos doceat quæ sint divinorum oraculorum principia et elementa, talesque estis qui lacte egeatis, non etiam solido cibo: quisquis autem lacte utitur justitiæ rationis imperitus est, quod puer sit. Solidus vero cibus est perfectorum qui per habitum sensus habent exercitatos ad discernendum mala a bonis.

ΛΟΓΟΣ ΙΗ'.

D *Περὶ γερόντων ἐν ἀνοίᾳ καὶ κακίᾳ βιούντων.*

Ἐμίσησεν ἡ ψυχή μου γέροντα μοιχὸν, ἐλαττούμενον σύνεσιν.

Ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

Νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκεσθαι ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς· πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι. Τελείων δὲ ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

Διαφέρει τοῦ νηπίου καθ' ἡλικίαν οὐδὲν ὁ ταῖς A φρεσι νηπιάζων.

Οἶδά τινας ἐν νεοτητι πρὸς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας, καὶ μέχρι πολιᾶς αὐτῆς διὰ συνήθειαν τοῦ κακοῦ ταῖς ἁμαρτίαις παραμείναντας.

Αἰσχρὸν τὴν μὲν ἡλικίαν παρακμάσαι, μὴ παρακμάσαι δὲ τὴν ἀσέλγειαν.

Παιδεύεταί τι καὶ πολιὰ, καὶ οὐ παντὶ τὸ γῆρας, ὡς ἔοικεν, εἰς σύνεσιν ἀξιόπιστον.

Ὅταν οὖν καὶ γέρων τὰ νεότητος νοσῇ, ὑπερβολὴ κακίας ἐστί· καὶ οὐδὲ ἐν νεότητι οὗτος ἀπολογίαν ἔχει· οὐ γὰρ δυνατὸς λέγειν· Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς. Μὴ τοίνυν διὰ τῶν ἐν γήρᾳ γινομένων ἀποστερήσῃς σεαυτὸν καὶ τῆς τῶν ἐπὶ νεότητι ἁμαρτημάτων συγγνώμης. B

Τοὺς αἰῶνα πολὺν τρίψαντας ἐν τῇ μετὰ σώματος ζωῇ δίχα καλοκαγαθίας, πολυχρονίους παῖδας λεκτέον, μαθήματα πολιᾶς ἄξια μηδέποτε παιδευθέντας.

Μέχρι τίνος ἡμεῖς οἱ γέροντες ἔτι παῖδές ἐσμεν, τὰ μὲν σώματα χρόνου μήκει παλαιοί, τὰς δὲ ψυχὰς ὑπ' ἀναισθησίας κομιδῇ νήπιοι;

Γέρων ἀνόητος, ὥσπερ τρίβων παλαιὸς, εἰς οὐδέν ἐστιν εὔθετος.

Διογένης ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν· Εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι· εἰ δὲ πρὸς τοὺς νεκροὺς, μὴ βράδυνε. C

Ἔστι που σύνεσις νέων, καὶ γερόντων ἀσυνεσία· χρόνος γὰρ οὐ διδάσκει φρόνησιν, ἀλλὰ φύσις καὶ ὀρθὴ δίαιτα.

ΛΟΓΟΣ ΙΘ'.

Περὶ νέων παιδείᾳ καὶ συνέσει κοσμουμένων.

Ὁ δὲ Ἰησοῦς υἱοῦ Ναυῆ νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς τοῦ μαρτυρίου.

Καί γε, νεώτερος ὑμῶν ὤν, οὐκ εἰμὶ ἀσυνετώτερος ὑμῶν. Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι· διὸ ἡσύχασα, φοβηθεὶς ἀναγγεῖλαι ὑμῖν τὴν ἐκυτοῦ ἐπιστήμην. Εἶπα δὲ, ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν· ἐν πολλοῖς δὲ ἔτεσιν οὐκ οἴδασι σοφίαν· ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς, πνοὴ δὲ Παντοκράτορός ἐστιν ἡ διδάσκουσά με. Οὐ γὰρ D οἱ πολυχρόνιοί εἰσι σοφοὶ, οὐδὲ οἱ γέροντες οἴδασι κρίμα.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

Κόσμος νεανίαις σοφία.

Εὐφραίνου, νεανίσκε, ἐν ἡμέραις νεότητός σου, καὶ ἀγαθυνάτω σε ἡ καρδία σου· καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ ἐν ὁράσει ὀφθαλμῶν σου· καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ Θεὸς εἰς κρίσιν.

Εἶπον οἱ πρεσβύτεροι πρὸς Δανιήλ· Δεῦρο κάθισον ἐν μέσῳ ἡμῶν, καὶ ἀπάγγειλον ἡμῖν, ὅτι σοι ἔδωκεν ὁ Θεὸς τὸ πρεσβυτέριον.

Τέκνον, ἐν νεότητί σου ἐπίλεξαι παιδείαν, καὶ

S. Basilii. Nihil interest inter ætatem puerilem et mentem pueros imitantem.

Novi quosdam qui cum in juventute in carnis vitia prolapsi essent, in eis propter consuetudinem ad canos usque perseverarunt

Theologi. Turpe est ætatis vigorem deferbuisse, lididinem autem non deferbuisse.

S. Chrysost. Discit aliquid etiam canities, nec cujusvis senectus prudentiæ satis nacta esse videri debet.

157 *S. Chrysost.* Ergo cum senex iisdem quibus juventus morbis laborat, maximum vitium est, ac ne de juventute quidem excusationem habet, neque enim illa potest dicere : Peccata juventutis meæ et ignorationes meas ne memineris. Vide igitur ne propter senilia facta juvenilium peccatorum venia te prives.

Philonis. Qui multum ævi in vita corporis contriverint sine ulla virtute et probitate, eos longi temporis pueros appellare licet, ut qui nullis disciplinis eruditi sint senectute dignis.

Quousque tandem nos senes adhuc pueri erimus, corporibus quidem propter temporis longinquitatem veteres, animis autem propter ignorationem et hebetudinem admodum pueri ?

Plutarchi. Senex stultus, quemadmodum lacerna vetusta, nulli rei est aptus.

Diogenes. Diogenes, anum comptam conspicatus, Si, inquit, ad vivos, falsa es; sin ad mortuos, ne cunctare.

Philemonis. Reperiuntur aliquando juvenes sagaces, et senes hebetes ; tempus enim prudentiam non docet, sed natura et recta institutio.

SERMO XIX [*al.* CLI].

De juvenibus eruditione et prudentia ornatis.

Num. XXVII ; *Eccli.* XLVI. Jesus, Nave filius, Juvenis cum esset, non egrediebatur de testimonii tabernaculo.

Job XXXII. Etsi vobis sum junior, non tamen hebetior. Junior sum tempore, vos autem seniores ; itaque me continui, veritus vobis explicare quæ sciebam. Illud autem cogitabam, tempus non loqui solere, atque non in multis annis sciri sapientiam, sed esse spiritum in mortalibus, aspirationemque Omnipotentis esse quæ me doceat ; neque enim longævi qui sunt, iidem sapientes sunt, nec senes dijudicandi rationem norunt.

Qua in re adolescentiores vitæ institutum emendabunt? Si tuis sermonibus parebunt.

Adolescentium ornatus sapientia est.

Solomon. Eccles. II. Dum juvenis es, lætare, et animo tuo obsequere, instituta cordis tui sine cujusque reprehensione, et quæ viderint oculi tui, sequere. Sed illud scito fore, ut de his omnibus Deus te in judicium vocet suum.

Dan. XIII. Dixerunt seniores Danieli : Age, conside in medio nostrum, ac declara nobis quantam tibi senilem prudentiam largitus sit Deus.

Sirach VI. Fili, in ætate juvenili collige eruditio-

nem, et quasi arans et serens ad eam accede, illiusque optimos fructus **158** exspectato.

Fili, florem ætatis tuæ tutum conservato.

Ignatii; Theophori (1). Samuel cum adhuc parvus esset, videns est vocatus ac in prophetarum numerum cooptatus. Daniel adhuc juvenis consenes quosdam judicio damnavit, eosque non seniores, sed perdite,libidinosos esse demonstravit. Jeremias cum juventutis causa eam quam Deus ei tradebat, prophetandi provinciam recusaret, a Deo illa audit : Te juniorem esse ne dicito ; ad quoscunque enim te misero, proficisceris. Salomon autem ille sapiens cum duodecim haberet annos, magnam quæstionem de ignoratione mulierum non agnoscentium suos liberos dijudicavit. David propheta simul et rex adolescentulus adhuc a Samuele ad futurum regnum ungitur.

I Petr. Juniores, subjecti estote senioribus.

S. Basilii. Non enim ætate juvenis, sed qui animo imperfecto est junior dicitur.

Theologi. Si quis juvenis est, adversus cupiditates et perturbationes fortis sit, tantumque ex ipsa juventute capiat utilitatis, ut juniorum perturbationibus non serviat, sed senilem prudentiam in vigenti corpore exerceat, et id erit gratia dignum majore, quam qui in Olympiis coronantur.

Optimum est juvenem vel ante tempus temperantem esse.

Juvenis es, sta contra motus animi perturbatos ; cum baptismatis auxilio in Dei aciem fac adnumereris ; contra Goliath gere te fortiter ; assume mille aut decem millia : ad hunc modum fructum percipito juventæ.

Plutarchi. Plutarchus juvenes hortabatur ut hæc tria habere curarent : in animo temperantiam, in lingua silentium, in ore autem pudorem.

SERMO XX [*al.* CLII].

De juvenibus in imprudentia et ignoratione vitam degentibus.

III Reg. XII. Deliberavit Roboam cum adolescentulis æqualibus suis, qui circumstabant illum : Quid, inquit, mihi consulitis, ut respondeam huic populo, et illis qui hac oratione apud me utentur : Jugum quod pater tuus nobis imposuit, levius facito ? Illi respondent : His verbis, inquiunt isti, populo respondebis : Parvitas mea lumbo patris mei crassior est ; et nunc pater meus gravi jugo vobis imperavit, ego gravius imponam vobis ; pater meus flagellis vos castigavit, ego vos scorpionibus castigabo.

Scholium. Audaci atque superbo consilio juvenum **159** dum paret Roboam, subjectos ad deficiendum et rebellandum præparavit.

Prov. XXII. Stultitia appensa est cordi juvenum, virga autem et castigatio sunt procul ab eis.

Eccle. II. Juventus et iniquitas nihil aliud sunt quam vanitas.

(1) In epist. ad Magnesianos.

ὡς ἀρότριόν καὶ σπείρων πρόσελθε αὐτῇ · καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς.

Τέκνον, ἀκμὴν ἡλικίας σου συντήρησον ἀσφαλῆ.

Ὁ Σαμουὴλ, παιδάριον ὤν, ὁ βλέπων ἐκλήθη, καὶ τῷ χορῷ τῶν προφητῶν ἐγκατελέχθη. Δανιὴλ νέος ὢν, ἔκρινεν ὁμογέροντάς τινας, δείξας ἐξώλεις αὐτοὺς καὶ οὐ πρεσβυτέρους εἶναι. Ἱερεμίας διὰ τὸ νέον παραιτούμενος τὴν ἐγχειριζομένην αὐτῷ περὶ τοῦ Θεοῦ προφητείαν, ἀκούει · « Μὴ λέγε, Νεώτερός εἰμι · διότι πρὸς πάντας οὓς ἐὰν ἐξαποστελῶ σε, πορεύσῃ. » Σολομὼν δὲ ὁ σοφὸς, δυοκαίδεκα τυγχάνων ἐτῶν, συνῆκε τὸ μέγα τῆς ἀγνωσίας τῶν γυναικῶν ἐπὶ τοῖς σφετέροις τέκνοις ζήτημα. Δαυὶδ, ὁ προφήτης ὁμοῦ καὶ βασιλεὺς, μειράκιον χρίεται ὑπὸ Σαμουὴλ εἰς βασιλέα.

Νεώτεροι, ὑποτάγητε πρεσβυτέροις.

Οὐ γὰρ τὴν ἡλικίαν νέος, ἀλλ' ὁ τὴν ψυχὴν ἀτελὴς, νεώτερος λέγεται.

Νέος τίς ἐστι; κατὰ τῶν παθῶν ἀνδριζέσθω, καὶ τοσοῦτον ἀπολαυέτω τῆς νεότητος, τὸ μὴ νεωτέρων παθεῖν, ἀλλὰ πρεσβυτικὴν φρόνησιν ἐν ἀκμαίῳ τῷ σώματι ἐξασκείτω, καὶ χάρις ἔστω τῇ νίκῃ πλέον ἢ ἐν Ὀλυμπίοις στεφανούμενοι.

Κράτιστον τὸν νέον καὶ πρὸ ὥρας σωφρονεῖν.

Νέος εἶ; στῆθι κατὰ τῶν παθῶν · μετὰ τῆς τοῦ βαπτίσματος συμμαχίας εἰς Θεοῦ παράταξιν ἀριθμήθητι · ἀρίστευσον κατὰ τοῦ Γολιάθ · λάβε τὰς χιλιάδας, ἢ τὰς μυριάδας. Οὕτω τῆς ἡλικίας ἀπόλαυσον.

Πλούταρχος παρεκελεύετο τοῖς νέοις, τρία ταῦτα ἔχειν · ἐπὶ μὲν τῆς γνώμης σωφρονεῖν, ἐπὶ δὲ τῆς γλώσσης σιγὴν, ἐπὶ δὲ τοῦ προσώπου αἰδῶ.

ΛΟΓΟΣ Κ'.

Περὶ νέων ἐν ἀφροσύνῃ καὶ ἀγνοίᾳ ζώντων.

Συνεβουλεύσατο Ῥοβοὰμ μετὰ τῶν παιδαρίων τῶν ἐκτραφέντων μετ' αὐτοῦ, τῶν παρεστηκότων πρὸ προσώπου αὐτοῦ, ἐπεὶ εἶπεν αὐτοῖς · Τί ὑμεῖς συμβουλεύετέ μοι; καὶ ἀποκριθῶ τῷ λαῷ τούτῳ καὶ τοῖς λαλοῦσι πρός με· Κούφισον ἀπὸ τοῦ κλοιοῦ, οὗ ἔβωκεν ὁ πατήρ σου ἐφ' ἡμᾶς. Καὶ ἐλάλησεν πρὸς αὐτὸν λέγοντες· Τάδε λαλήσεις τῷ λαῷ τούτῳ· Ἡ μικρότης μου παχυτέρα τῆς ὀσφύος τοῦ πατρός μού ἐστι · καὶ νῦν ὁ πατήρ μου ἐπέτασσεν ὑμῖν ἐν κλοιῷ βαρεῖ, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν. Ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις.

Τῇ θρασείᾳ καὶ ὑπερηφάνῳ συμβουλίᾳ τῶν νέων πεισθεὶς Ῥοβοὰμ, ἀφηνιάσαι τῆς βασιλείας; παρεσκεύασε τοὺς ὑπηκόους.

Ἀνοίᾳ ἐξῆπται καρδία νέου · ῥάβδος δὲ καὶ παιδεία μακρὰν ἀπ' αὐτοῦ.

Ἡ νεότης καὶ ἡ ἀνομία ματαιότης.

Φύσει ἀῤῥώστημα τοῦτο νέοις, κουφότητι γνώμης ἔχειν ἤδη· νομίζουσι τὰ ἐλπισθέντα· ὅταν γάρ ποτε ἡσυχίας λάβωσιν, ἢ ἐρημίας νυκτερινῆς, ἀναπλάττουσιν ἑαυτοῖς φαντασίας ἀνυποστάτους, τῇ εὐκολίᾳ τῆς γνώμης ἐπὶ πάντα φερόμενοι, ὑποτιθέμενοι περιφανείας βίου, γάμους λαμπροὺς, εὐπαιδείαν, γῆρας βαθὺ, τὰς παρὰ πάντων τιμάς· εἶτα μηδαμοῦ στῆναι τοῖς λογισμοῖς δυνάμενοι, ὑποφυσῶνται, καὶ ὑπὸ τῆς ἀνοίας ἀπολαύειν δοκοῦσι τῶν ἐλπισθέντων, ὡς ἤδη παρόντων, καὶ ἐν ποσὶ κειμένων αὐτοῖς.

Κοῦφον ἡ νεότης, καὶ εὐκίνητον πρὸς τὰ φαῦλα, ἐπιθυμίαι δυσκάθεκτοι, ὀργαὶ θηριώδεις, προπέτειαι, ὕβρις, ὑπερηφανίαι, καὶ φυσιώσεις, σύντροφα τῇ νεότητι πάθη, φθόνοι πρὸς τὸ ὑπερέχον, ὑποψίαι πρὸς τὸ οἰκεῖον· μυρίων κακῶν ἑσμὸς συνέζευκται τῇ νεότητι· ὧν πάντων ἀνάγκη ἀπολαύειν τοὺς ἀρχομένους, διότι τὰ τῶν ἀρχόντων κακὰ συμφορὰ τοῖς ἀρχομένοις γίνεται.

Εὐρίπιστον ἡ νεότης, καὶ ῥᾳδίως ταῖς κεναῖς τῶν ἐλπίδων μετεωριζόμενον. Εἰ δὲ καὶ ἐξουσίας ὑπερσχὴ προσεῖη, μείζων μὲν ἡ κουφότης, εἰς μείζονα δὲ ἄνοιαν καὶ πτῶσιν, ὡς τὰ πολλὰ προχωρεῖ.

Εὐρίπιστος ἡ νεότης, καὶ πρὸς κακίαν ὀξύῤῥοπος· διαφόροις γὰρ παθημάτων περικλύζεται κύμασι. Δεῖται τοίνυν τοῦ ποδηγοῦντος, καὶ πρὸς τοὺς λιμένας διευθύνοντος.

Τί σαρκὸς εὐπαθούσης καὶ νεότητος περιφερομένης ἀφρονέστερον;

Νεότης βράσματα χρόνου.

Πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίας εὐεμπτωτος μᾶλλόν ἐστιν ὁ νέος· διὸ καὶ πλείονος δεῖται τῆς φυλακῆς, σφοδροτέρου του χαλινοῦ, ἀσφαλεστέρου τοῦ τοιχίου καὶ τοῦ κωλύματος.

Ἡ πολιὰ τότε ἐστὶν αἰδέσιμος, ὅταν τὰ τῆς πολιᾶς πράττῃ· ὅταν δὲ νεωτερίζῃ τὰ τῶν νέων, καταγελαστοτέρα ἔσται.

Ἐπὶ παντὸς ὡς ἐπὶ πολὺ πράγματος ἐπισφαλὴς σύμβουλος ἡ νεότης, καὶ οὐκ ἂν τις εὕροι κατορθωθέν τι ῥᾳδίως τῶν σπουδῆς ἀξίων, ᾧ μὴ καὶ πολιὰ συμπαρελήφθη πρὸς κοινωνίαν τοῦ σκέμματος.

Νεότης μετ' ἐξουσίας αὐτοκρατοῦς ὁρμαῖς ἀκαθέκτοις χρωμένη, κακὸν δύσμαχον γίνεται.

Νεότης πονεῖν οὐκ ἐθέλουσα, πρὸς τὸ γῆρας κακοπραγεῖ.

ΛΟΓΟΣ ΚΑ'.

Περὶ δεσποτῶν χρηστῶν.

Εἰ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης κρινομένων αὐτῶν παρ' ἐμοί· πότερον οὐχ ὡς; ἐγὼ ἐγενόμην ἐν γαστρὶ, καὶ ἐκεῖνοι γεγόνασιν; Γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. Εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου· Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; λίαν μου χρηστοῦ αὐταῖς ὄντος.

S. Basilii. Juventutis naturale vitium hoc est, ut propter levitatem consilii ea se habere jam arbitrentur quæ spe concupierunt; cum enim quiescunt, aut noctu soli sunt, fingunt sibi visa quæ nusquam sunt, facilitate ingenii per omnia cogitationem circumferentes, splendidas sibi vitæ conditiones proponunt, magnificas nuptias, liberorum felicem procreationem, senectutem longam, ac honores sibi ab omnibus deferendos: deinde cum nusquam cogitatione consistere possint, inflantur, ac præ stultitia speratis se frui putant, tanquam præsentibus et ante pedes positis.

Juventus est levis et ad improbitatem proclivis; cupiditas effrenata, belluarum ira, temeritas, injuria, superbia, et inflationes, magnique spiritus, congenita et coalita mala juventutis hæc sunt: invidiæ adversus rem excellentem, suspiciones de familiaribus. Denique malorum tanquam examen juventuti connexum et copulatum est, quorum omnium fructum necesse est in subjectos redundare, propterea quod magistratuum vitia subjectis importent calamitatem.

Juventute nihil mobilius, et facile vana spe effertur: quod si potestatem summam adipiscatur, tum levitas major fit, tum in majorem stultitiam et ruinam fere progreditur.

Mobilissima juventus, et ad vitia propensa; diversis enim perturbationum fluctibus agitatur. Eget igitur ductore, qui ad portum recta deducat.

Theologi. Quid insipientius corpore bene constituto ac deliciis affluente? aut juventute errante et nullis certis sedibus consistente?

Juventus temporis est æstus.

S. Chrysost. Ira et cupiditatibus facilius juvenes ducuntur et vincuntur: quare majorem quamdam custodiam requirunt, ac frenum durius, parietes et claustra tutiora.

Cani tum demum venerabiles exsistunt cum quæ canis digna sunt, fiunt: cum autem juveniliter se gerunt senes, majore risu quam juvenes digni erunt.

Greg. Nyss. In omni fere negotio periculosa sunt consilia adolescentium, nec facile reperias qui aliquid recte gesserint rerum magnarum, quibus cani non fuerint ad considerationis communionem adhibiti.

Philonis. Juvenis summam potestatem adeptus, cupiditatibus utens effrenatis, malum fit inexpugnabile.

Juvenis laborem recusans in senectute miser et calamitosus est.

SERMO XXI [*al.* CXVI].

De bonis et benignis dominis.

Job XXXI. Si perverti judicium servi aut servæ, cum apud me litigarent, an non ut ego in utero fui, sic illi fuerunt? Fuimus autem in eodem utero. Sin autem sæpe etiam dixerunt ancillæ meæ: Quis det nobis ut carnibus ejus expleamur? cum illis valde essem commodus et clemens.

Salomon. Vir bonus jumentorum suorum vitam miseratur.

Ne curiose quæras omnia quæ ab illis dicuntur : ne servum tuum audias tibi male precantem.

Eccli. XXI. Si est tibi verna, tanquam alter ipse sit, quia sanguine comparasti eum. Si tibi verna erit, eum diligito : si est tibi utilis et frugi, utere eo tanquam fratre ; quia anima tua illius opera egebit.

Coloss. III. Eadem, domini, illis facitote, positis minis, quod intelligatis Dominum vestrum et illorum in cœlo esse.

Ephes. VI. Justos et æquabiles præbete vos, domini, servis vestris, non ignorantes vos etiam Dominum habere in cœlo.

Theologi. Omnibus mansuetus esto, si fieri potest ; multo magis autem proximis.

Philonis. Servis male institutis et insipientibus utilis est dominus formidolosus ; nam illius indignationes dum metuunt, vel inviti metu corriguntur.

Qui dicuntur domini opinione tantum, non jure tales nominantur.

Nullus ex procreatis vere dominus est, etiamsi imperium suum in omnes terras ultimas protenderit, sed solus est non falso dux et Dominus qui generatus non est.

SERMO XXII [*al.* CXVII.]

De improbis dominis.

Exod. XXI. Si quis percusserit oculum servi sui aut servæ, atque etiam excæcaverit, pro oculo eos manumittet; sin autem dentem excusserit vel servo vel servæ, pro dentibus eos libertate donabit.

Si quis servum aut servam suam virga percusserit, et sub manibus illius moriatur, multa multabitur. Quod si supervixerit unum aut duos dies, non multabitur ; pecunia enim illius est.

161 *Salomon.* II. Qui non diligenter obit familiam suam, pro hæreditate ventos possidebit.

Eccli. IV. Ne sis ut leo in domo tua, nec morosus in servos tuos, et subjectos tibi ne deprimito.

S. Basilii. Si male servum tuum tractaris, isque te relicto aufugerit, qua via quæres illum ?

Quem pater inique in servitutem redegit, ac servum tibi reliquit, dona eum libertate, et illi levioremfeceris pœnam, et tibi veram paraveris libertatem.

SERMO XXIII [*al.* CXVIII].

De frugi servis.

Salomon. Iram viri prudens servus mitigat.

Servus intelligentia præditus dominis insipientibus dominabitur.

Servi sapientis prosperæ erunt actiones et instituta ejus recta.

Sapiens jucundus domino servus.

Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ.

Εἰς πάντας τοὺς λόγους οὓς λαλήσουσι, μὴ θῇς καρδίαν σου, ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου κατάρωμένου σε.

Εἰ ἔστι σοι οἰκέτης, ἔστω ὡς σὺ, ὅτι αἵματι ἐκτήσω αὐτόν. Εἰ ἔστι σοι οἰκέτης, ἀγάπησον αὐτόν· καὶ εἰ ἔστι σοι χρήσιμος, ἄγε αὐτὸν ὡς ἀδελφόν· ὅτι ἡ ψυχή σου ἐπιδεήσει αὐτῷ.

Οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς, ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν καὶ αὐτῶν Κύριός ἐστιν ἐν οὐρανῷ.

Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς Κύριον ἔχετε ἐν οὐρανῷ.

Πᾶσι μὲν ἴσθι χρηστὸς, εἰ τοῦτο σθένος· πλείω δὲ τοῖς ἐγγιστα.

Καὶ ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς δεσπότης ὠφέλιμος. Τὰς γὰρ ἐπαναστάσεις αὐτοῦ δεδιότες, ἄκοντες φόβῳ νουθετοῦνται.

Οἱ λεγόμενοι δεσπόται δόξῃ μόνον, οὐ πρὸς ἀλήθειαν ονομάζονται.

Κύριος γεννητὸς πρὸς ἀλήθειαν οὐδεὶς, κἂν ἐπὶ περάτων εἰς πέρατα τὴν ἡγεμονίαν ἀνάψηται· μόνος δὲ ὁ ἀγέννητος ἀψευδῶς ἡγεμών.

ΛΟΓΟΣ ΚΒ'.

Περὶ δεσποτῶν μοχθηρῶν.

Ἐάν τις πατάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ, ἢ τὸν ὀφθαλμὸν τῆς θεραπαίνης αὐτοῦ, καὶ ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν. Ἐὰν δὲ τὸν ὀδόντα τοῦ οἰκέτου αὐτοῦ, ἢ τὸν ὀδόντα τῆς θεραπαινίδος αὐτοῦ ἐκκόψῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀδόντος αὐτῶν.

Ἐάν τις πατάξῃ τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ, καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκην ἐκδικηθήσεται· ἐὰν δὲ διαβιώσῃ ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται. Τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστιν.

Ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ κληρονομήσει ἀνέμους.

Μὴ ἴσθι ὡς λέων ἐν τῇ οἰκίᾳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου, καὶ ταπεινῶν τοὺς ὑποχείριούς σου.

Ἐὰν κακώσῃς τὸν παῖδά σου, καὶ ἀπάρας ἀποδρᾷ, ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

Ἀδίκους [*f.* ἀδίκως] καταδουλωσάμενος ὁ πατὴρ ἀφῆκέ σοι δοῦλον, δὸς αὐτῷ τὴν ἐλευθερίαν, κἀκείνῳ κουφοτέραν ποιήσεις τὴν βάσανον, καὶ σεαυτῷ τὴν ἀληθινὴν ἐλευθερίαν παρασκευάσεις.

ΛΟΓΟΣ ΚΓ'.

Περὶ δούλων χρηστῶν.

Θυμὸν ἀνδρὸς πραΰνει θεράπων φρόνιμος.

Οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων.

Οἰκέτου σοφοῦ εὔοδοι ἔσονται πράξεις, καὶ κατευθυνθήσονται αἱ ὁδοὶ αὐτοῦ.

Οἰκέτης σοφὸς ἡδὺς δεσπότῃ.

Οἰκέται σοφοὶ ἰδίους δεσπότας δανείσουσιν.

Γλυκὺς ὁ ὕπνος τοῦ δούλου, εἴτε ὀλίγον, εἴτε καὶ πολὺ φάγεται.

Μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ.

Οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχή, καὶ μὴ στερήσῃς αὐτὸν ἐλευθερίας.

Οἰκέτῃ συνετῷ ἐλεύθεροι ὑπουργήσουσιν.

Οἱ δοῦλοι, ἀγαπᾶτε τοὺς κατὰ σάρκα κυρίους ὑμῶν, μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι καρδίας ὑμῶν, φοβούμενοι τὸν Κύριον, καὶ μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας, δουλεύοντες τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἕκαστος ὃ ποιήσει ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

Οἱ δοῦλοι, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Κύριον· καὶ ὃ ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι παρὰ Κυρίου λήψεσθε τὴν ἀντίδοσιν τῆς κληρονομίας ὑμῶν.

Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν πάντι φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. Τοῦτο γὰρ χάρις παρὰ Θεῷ, εἰ διὰ συνείδησιν ἀγαθὴν ὑποφέρει τις λύπας πάσχων ἀδίκως. Ποῖον γὰρ κλέος, οἱ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι, ὑπομένετε; Ἀλλ' οἱ ἀγαθοποιοῦντες καὶ πάσχοντες, ὑπομένετε, τοῦτο χάρις παρὰ Θεῷ.

Οἱ δοῦλοι μὴ ἐράτωσαν ἀπὸ τοῦ κοινοῦ ἐλευθεροῦσθαι· ἀλλ' εἰς δόξαν Θεοῦ πλέον δουλευέτωσαν, ἵνα κρείττονος ἐλευθερίας ἀπὸ Θεοῦ τύχωσιν.

Οἱ δὲ οἰκέται, καὶ μάλιστα οἱ Θεοῦ,
Μὴ φευγέτωσαν εὐνοεῖν τοῖς δεσπόταις.

Ἐλεύθερον καὶ δοῦλον ὁ τρόπος γράφει.
Καὶ Χριστὸς ὤφθη δοῦλος, ἀλλ' ἠλευθέρου.

Γλυκεῖα δούλων ἀκοαῖς δεσποτικῶν θαυμάτων διήγησις.

Μέγιστον ἐγκώμιον οἰκέτου μηδενὸς ὧν ἂν προστάξει ὁ οἰκοδεσπότης, ὀλιγωρεῖν, ἀόκνως δὲ καὶ φιλοπόνως ὑπὲρ δύναμιν πάντα σπουδάζειν αἰσίῳ γνώμῃ κατορθοῦν.

A Servi sapientes dominos suos utiles sibi reddunt.

Dulcis somnus servi est, sive parum, sive multum cibi sumpserit.

Eccli. XXXIII. Servum sincere opus facientem ne male tractato.

Prudentem servum ex animo diligito, nec eum libertate fraudato.

Sagaci servo liberi ministrabunt.

Ephes. VI. Servi, dominos vestros secundum carnem diligite, metuentes Dominum cum timore et tremore in cordis vestri simplicitate; non quidem, ut qui tantum serviunt oculis domini, ut hominibus placeatis, sed ut Christi servi facientes voluntatem Dei ex anima, cum benevolentia Domino, et non hominibus servientes; scientes quod quisque B boni fecerit, id a Domino eum reportaturum, sive servus sit, sive liber.

Servi, obedite dominis vestris secundum carnem, non illis ad oculum servientes, quasi qui hominibus velitis placere, sed simplici corde Dominum metuentes: et quidquid feceritis, id ex animo faciendum suscipite, tanquam Domino et non hominibus: illud non ignorantes fore, ut a Domino recipiatis remunerationem hæreditatis vestræ.

I Petr. II. Servi, subjecti estote in omni timore dominis vestris, non solum bonis et clementibus, sed etiam importunis; hoc enim gratum est Domino, si quis bona conscientia molestias et dolores patiatur immerito. Quid enim habet ea res C gloriæ, si propter peccata colaphis cæsi patimini? Sed si honeste et sancte viventes patimini et sufferetis, hoc demum Deo est gratum.

Ignatii. Servi non quærant mundanam libertatem, sed potius in **162** Dei gloriam serviant, ut meliorem a Domino consequantur libertatem.

Cum omnes, tum maxime Dei servi
Elaborare debent ut Domini benevolentiam [consectentur.
Liberum et servum mores ostendunt,
Etenim Christus visus est servus, sed liberos nos fecit.
(*Theologi.*)

S. Chrysost. Jucundum est auribus servorum, si quid admirabile de dominis narretur.

D *Philonis.* Maximum est servi encomium nihil eorum quæ præscripserit ei dominus contemnere, sed impigre et industrie supra vires diligenter omnia curare, ut bono consilio absolvat, et recte administret.

ΛΟΓΟΣ ΚΔ'.

Περὶ δούλων μοχθηρῶν.

Ἰδοῦσα Ἄγαρ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθη ἡ κυρία αὐτῆς ἐνώπιον αὐτῆς. Εἶπε δὲ Σάρρα πρὸς Ἀβραάμ· Ἀδικοῦμαι ἐκ σοῦ. Ἐγὼ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου· ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς. Κρινεῖ ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. Εἶπε δὲ αὐτῇ Ἀβραάμ· Ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου. Χρῶ αὐτῇ,

SERM. XXIV [*al.* CXIX].

De servis improbis.

Gen. XVI. Cum vidisset Agar se prægnantem esse, probris affecit dominam suam, ac præ se contempsit. Sara autem apud Abrahamum queritur sic: Injuria afficior abs te. Ego hanc puellam in sinum tuum collocavi; at postquam se prægnantem esse vidit, probrosa illi visa sum. Judicet Deus inter me et te. Abrahamus autem: Ancilla, inquit, sub tua

manu est, tracta eam ut tibi videbitur. Sara male cœpit tractare, ita ut aufugerit a conspectu ejus.

Prov. XXIX. Servus durus et pertinax verbis non erudietur; nam etsi intelligat, non tamen obedlet.

Non conveniunt insipienti deliciæ: et si servus magistratu fungatur, injuriose potestate utetur.

Prov. XXVI. Flagellum equo, stimulus asino, virga servo insipienti.

Eccli. XXXII. Pabula, virga, et onera asinum decent: servum autem, panis, castigatio, et opus.

Cura ut servus opus faciat, et requiem invenies: si remiseris manum illi, quæret libertatem.

Servo improbo ne veretor latus ad sanguinem tundere.

Jugum et lorum cervicem [duram] inflectent, servum autem malignum tormenta et quæstiones. Ad opus faciendum compellito, ne fiat desidiosus et ignavus: multa enim vitia docuit otium. In ea ergo opera applicate eum, quæ illi conveniunt: quod si non pareat, graviores injice illi compedes.

Theologi. Mali enim servi est dominum arridentem [colere,

Objurgantem autem et castigantem malum putare.

Illud est proprium malorum servorum ut heros suos rejiciant, et dominis resistant, et liberos conservos reddent.

Philonis. Nemo tam insanit, quam qui, servus **163** cum sit, domino adversatur.

Hermog. Natura enim servi dominorum sunt inimici.

A ὡς ἂν σοι ἀρεστὸν ᾖ. Καὶ ἐκάκωσεν αὐτὴν Σάρρα· καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς.

Λόγοις οὐ παιδευθήσεται οἰκέτης σκληρός. Ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ' οὐχ ὑπακούσεται.

Οὐ συμφέρει ἄφρονι τρυφή· καὶ ἐὰν οἰκέτης ἄρξῃ, μεθ' ὕβρεως δυναστεύει.

Μάστιξ ἵππῳ, καὶ κέντρον ὄνῳ, ῥάβδος δὲ οἰκέτῃ ἄφρονι.

Χορτάσματα καὶ ῥάβδος καὶ φορτία ὄνῳ· ἄρτος δὲ καὶ παιδεία καὶ ἔργον οἰκέτῃ.

Ἔργασαι ἐν παιδί, καὶ εὑρήσεις ἀνάπαυσιν· ἄνες χεῖρα αὐτῷ, καὶ ζητήσει ἐλευθερίαν.

Οἰκέτῃ πονηρῷ μὴ αἰσχυνθῇς πλευρὰν αἱμάξαι.

Ζυγὸς καὶ ἱμὰς τράχηλον κάμψουσιν, οἰκέτην B κακοῦργον στρέβλαι καὶ βάσανοι. Ἔμβαλε αὐτὸν εἰς ἐργασίαν, ἵνα μὴ ἀργῇ· πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία. Εἰς ἔργα κατάστησον αὐτὸν ὡς πρέπει αὐτῷ· καὶ ἐὰν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ.

Δούλου κακοῦ γὰρ προσγελῶντα μὲν σέβειν·

Τὸν δεσπότην πλήττοντα δ' ἡγεῖσθαι κακόν.

Δούλων ὑπάρχει κακῶν ἀθετεῖν δεσποτείαν, καὶ ἐπανίστασθαι κυριότητι, καὶ ὁμόδουλον ἑαυτοῖς ποιεῖσθαι τὸ ἐλεύθερον.

Οὐδεὶς οὕτω μέμηνεν, ὡς δοῦλος ὢν ἐναντιοῦσθαι δεσπότῃ.

Φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις.

C

SERMO XXV [*al.* LXI].

De probis creditoribus.

Exod. XXII. Si pecuniam mutuaveris fratri tuo pauperi, qui apud te versatur, eum neque urgebis, neque usuram ab eo exiges.

Levit. XXV. Tecum vivet frater tuus, nec ei dabis pecuniam tuam ad usuram, nec ut plus recipias dabis ei de alimentis tuis.

Deut. XXIII. Mutuum dato proximo tuo, quantum ei opus est, nec gravate aut cum animi mœrore dabis; nam ob istam causam fortunabit tibi Deus omnia opera tua.

Non fœneraberis fratri tuo cibaria, aut aliud D quidquam, quod fratri tuo mutuaveris.

Job XXXI. Syngraphum quam habebam contra quempiam humeris circumdatam tanquam coronam legebam, et eam a me fractam reddidi, nihil accipiens a debitore meo.

Psal. XIV. Argentum non dedit fœnori, et munera contra innocentes non accepit: qui hæc exercet, non conquassabitur ullo tempore.

Vir bonus est is qui miseretur et commodat, disponit sermones suos in judicio.

Justus miseretur et commodat.

Solomon. Creditorem simul et debitorem concorde viventes inspicit Dominus.

ΛΟΓΟΣ ΚΕ'.

Περὶ δανειστῶν χρηστῶν.

Ἐὰν ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ σου τῷ πένητι τῷ παρὰ σοί, οὐκ ἔσῃ αὐτῷ κατεπείγων, οὐκ ἐπιθήσεις ἐπ' αὐτῷ τόκον.

Ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ. Τὸ ἀργύριόν σου οὐ δώσεις αὐτῷ ἐπὶ τόκῳ, καὶ ἐπὶ πλεονασμῷ οὐ δώσεις αὐτῷ τὰ βρώματά σου.

Δάνειον δανιεῖς τῷ πλησίον σου, ὅσου ἐπιδέεται· καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου διδόντος σου αὐτῷ· ὅτι διὰ τὸ ῥῆμα τοῦτο εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου.

Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος, οὗ ἐὰν ἐκδανιῇς τῷ ἀδελφῷ σου.

Συγγραφὴν ἣν εἶχον κατά τινος, ἐπ' ὤμοις περιθέμενος, ὡς στέφανον ἀνεγίνωσκον, καὶ ῥήξας αὐτὴν ἀπέδωκα, μηδὲν παραλαβὼν παρὰ χρεωφειλέτου μου.

Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν· οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει.

Δίκαιος οἰκτείρει καὶ κιχρᾷ.

Δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ἀμφοτέρων ποιεῖται Κύριος.

[Ὅστις] ἐνεχυρασμὸν ὀφείλοντος ἀποδώσει, καὶ A τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει, καὶ πλεονασμὸν οὐ λήψεται, δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει Κύριος.

Ὁ ποιῶν ἔλεος δανεῖ τῷ πλησίον· καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτοῦ τηρεῖ ἐντολάς.

Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.

Ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Μήτε τὸν θέλοντα δανείσασθαι ἀποστραφῇς, καὶ B τὸ ἀργύριόν σου οὐ δώσεις ἐπὶ τόκῳ· ἵνα ἐκ Παλαιᾶς καὶ Νέας Διαθήκης τὰ συμφέροντα διδαχθῇς, μετὰ ἀγαθῆς ἐλπίδος πρὸς Θεὸν ἀπίῃς, ἐκεῖ τοὺς τόκους τῶν ἀγαθῶν ἔργων ἀπολῃψόμενος.

Εἰ βούλει τὸν Χριστὸν ἔχειν φίλον διηνεκῶς, πολλῶν αὐτὸν κατέστησον χρεώστην. Οὐδὲ γὰρ οὕτω χαίρει δανειστὴς ὀφειλέτας ἔχων· καὶ οἷς μὲν μηδὲν ὀφείλει, τούτους καὶ ἀποφεύγει· οἷς δὲ ὀφείλει, τούτοις καὶ ἐπιτρέχει.

ΛΟΓΟΣ ΚΣ'.

Περὶ δανειστῶν μοχθηρῶν.

Πρόσεχε σεαυτῷ, μὴ γένηται ῥῆμα κρυπτὸν ἀνόμημα ἐν τῇ καρδίᾳ σου, λέγον· Ἐγγίζει τὸ ἔτος τὸ ἕβδομον τῆς ἀφέσεως. Καὶ πονηρεύσεται ὁ ὀφθαλμός σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ, καὶ οὐ δῷς αὐτῷ, καὶ βοήσεται κατὰ σοῦ πρὸς Κύριον, καὶ ἔσται σοι ἁμαρτία μεγάλη. C

Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμηθήσεται.

Πληθύνων τὸν πλοῦτον αὐτοῦ μετὰ τόκων καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς συνάγει αὐτόν.

Ὑπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται.

Δόσις ἄφρονος οὐ λυσιτελήσει σοι λαβόντι. Οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἀνθ' ἑνὸς εἰς τὸ λαβεῖν πολλά· ὀλίγα δώσει, καὶ πολλὰ ὀνειδίσει· καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ὡς κήρυξ. Σήμερον δανεῖ, καὶ αὔριον ἀπαιτεῖ. Μισητὸς Κυρίῳ καὶ ἀνθρώποις ὁ τοιοῦτος.

Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν, ἔπνιγε λέγων· Ἀπόδος ὅ τι ὀφείλεις, καὶ τὰ ἑξῆς.

Ἐὰν χρεωφειλέτην λάβῃς προσπίπτοντα, πᾶσαν συγγραφὴν ἄδικον διάσπασον· μνήσθητι τῶν μυρίων ταλάντων, ὧν σοι Χριστὸς ἐδωρήσατο, καὶ μὴ γένῃ πράκτωρ πικρὸς τοῦ ἐλάττονος χρέους.

Τῷ ὄντι ὑπερβολὴν ἀπανθρωπίας ἔχει τὸν μὲν τῶν ἀναγκαίων ἐνδεῶς ἔχοντα ζητεῖν εἰς παραμυθίαν τοῦ βίου, τὸν δὲ μὴ ἀρκεῖσθαι τῷ κεφαλαίῳ, ἀλλ' ἐπιθεῖναι ἐκ τῶν συμφορῶν τοῦ πένητος προσόδους ἑαυτῷ καὶ εὐπορίας προσάγειν.

(1) *Id est*, novarum tabularum,

Ezech. VII, XVIII. Qui debitoris pignus reddiderit, et argentum suum fœnori non dederit, nihilque ultra sortem receperit, is vir bonus est, ait Dominus, et quam diutissime vivet.

Eccli. XXIX. Qui misericordiam impertit, proximo mutuum dabit : et qui manu sua corroborat, præcepta servat.

Luc. VI. Petenti abs te dato ; et ab eo qui vult abs te mutuum sumere, ne avertaris.

Si mutuum datis a quibus speratis vos recepturos, quæ vobis gratia est ? etenim scelerosi mutuum dant scelerosis, ut paria sibi referantur : imo vero diligite inimicos vestros, ac benefacite, mutuumque date nihil inde sperantes, et erit merces vestra in cœlis copiosa.

S. Basilii. Neque volentem abs te mutuum sumere repellito, nec argentum tuum des fœnori ut ex Veteri et Novo Testamento quæ utilia sunt discas, bonaque spe accedas ad Deum, ubi usuras bonorum operum recepturus es.

Si vis Christum continenter amicum et faventem retinere, multarum **164** rerum efficito illum debitorem ; neque enim tam gaudet fœnerator debitoribus : et quibus nihil debet, eos refugit, quibus autem debet, ad hos accurrit.

SERMO XXVI [al. LXIII].

De avaris et improbis creditoribus.

Deut. Cavendum tibi est, ne quid occulte impium in animo volutes ista ratione, qua dicis septimum annum appropinquare condonationis (f), atque ob eam causam sis iniquior fratri tuo egenti, nec des ei quidquam ; ille clamabit ad Dominum, peccatum autem tuum magnum erit.

Job XX. Divitiæ injuria coacervatæ evomentur.

Salom. XXVIII. Qui amplificat res suas usuris et præter sortem accessionibus, is impertienti misericordiam pauperibus eas coacervat.

Oseæ. Divitiæ per injuriam comparatæ minuentur

Si quid largitus sit insipiens, non proderit ei qui acceperit ; oculi enim ipsius erunt pro uno, ut multa accipiat ; pauca dabit, et multa exprobrabit ; et sic aperiet os suum, quemadmodum præco solet. Hodie mutuum dabit, et cras reposcet : istiusmodi D qui est, tum Deo tum hominibus odiosus est.

Matth. Egressus autem servus ille invenit unum ex conservis suis, qui centum denarios debebat, apprehensumque eum urgebat, ac dicebat : Redde quod debes, et quæ deinceps.

Theologi. Si debitorem deprehenderis supplicem, totam syngraphan iniquam discerpito ; recordare decem millia talentorum, quæ tibi Christus condonavit ; nec sis acerbus exactor debiti minoris.

S. Basilii. Extremæ profecto inhumanitatis est subsidia vitæ quærere ab eo cui necessaria desint, illi vero sortem non satis esse, sed ex calamitatibus pauperis reditus copias sibi parare cogitare.

Fœnus, ut opinor, a multiplici fetu mali nominatum est, nec aliunde : vel fortasse dicitur fœnus propter tristitias et dolores quibus affici solent animi eorum qui mutuantur a fœneratoribus : ut enim dolor parienti, sic dies certus obærato incidit. Fœnus cumulatum fœnore, ex improbis parentibus improbi liberi. Fœnorum fetus viperarum proles recte dici possunt ; narrant autem viperas, erosa matris alvo, in lucem edi, et fœnora devoratis debitorum domibus procreantur.

A Τόκος, οἶμαι, διὰ τὴν πολυγονίαν τοῦ κακοῦ προσηγόρευται · πόθεν ἄλλοθεν ; ἢ τάχα τόκος λέγεται διὰ τὰς ὀδύνας καὶ λύπας ἃς ἐμποιεῖν ταῖς ψυχαῖς τῶν δανεισαμένων πέφυκεν. Ὥσπερ γὰρ ἡ ὠδὶς τῇ τικτούσῃ, οὕτως προθεσμία τῷ ὑπόχρεῳ παρίσταται. Τόκος ἐπὶ τόκῳ, πονηρῶν γονέων πονηρὸν ἔγγυον [*f.* ἔγγονον]. Ταῦτα λεγέσθω γεννήματα ἐχιδνῶν, τὰ τῶν τόκων ἀποκυήματα. Τὰς ἐχίδνας φασὶ, τὰς γαστέρας τῆς μητρὸς διεσθιούσας, τίκτεσθαι· καὶ οἱ τόκοι, τοὺς οἴκους τῶν ὀφειλόντων ἐκφαγόντες, ἀπογεννῶνται.

Quæ exigis omne inhumanitatis genus superant : ex incommodis alterius **165** tua paras commoda, ex lacrymis argentum colligis, nudum jugulas, esurientem verberas : nulla usquam misericordia est, neque cognationis ejus qui premitur recordatio ulla.

B Ἃ λαμβάνεις, μισανθρωπίας ὑπερβολὴν οὐδεμίαν ἀπολείπει. Ἀπὸ συμφορῶν κερδαίνεις, ἀπὸ δακρύων ἀργυρολογεῖς, τὸν γυμνὸν ἄγχεις, τὸν λιμώττοντα τύπτεις. Ἔλεος οὐδαμοῦ, ἔννοια τῆς συγγενείας τοῦ πάσχοντος οὐδεμία.

Agricola cum semel spicam seminis receperit, iterum sub radice scrutari non solet ; tu vero et fructus habes, nec tibi unquam sors diminuitur. Incertum est cui coacerves ; certus est qui fœnoribus pressus lacrymatur, at qui fruiturus sit isto modo comparatis opibus ambiguum est.

Ὁ γεωργὸς τὸν στάχυν λαβὼν τοῦ σπέρματος, πάλιν ὑπὸ τὴν ῥίζαν οὐκ ἐρευνᾷ · σὺ δὲ καὶ τοὺς καρποὺς ἔχεις, καὶ οὐκ ἀφίστασαι τῶν ἀρχαίων. Ἄδηλον τίνι συνάγεις. Ὁ μὲν δακρύων ἐπὶ τοῖς τόκοις πρόδηλος · ὁ δὲ ἀπολαύειν μέλλων τῆς ἀπὸ τούτων περιουσίας ἀμφίβολος.

Canes si quid acceperint cicurantur : at fœnerator accipiens, etiam irritatur ; non enim desinit latrare, ac plus plusque inquirere. Si juras, non credit : quæ intus sunt, scrutatur, in contractibus multum operæ ponit : si e domuncula prodeas, trahit ad se et scindit vestimenta : sin autem te ipse occultaveris, astat in vestibulo et ostium pul-

Κύνες λαβόντες ἡμεροῦνται · ὁ δὲ δανειστὴς λαμβάνων προσερεθίζεται. Οὐ γὰρ παύεται ὑλακτῶν, καὶ τὸ πλέον ἐπιζητῶν. Ἐὰν ὀμνύῃς, ἀπιστεῖ · ἐρευνᾷ τὰ ἔνδον · τὰ συναλλάγματά σου πολυπραγμονεῖ. Ἐὰν προῇς τοῦ δωματίου, ἕλκει πρὸς ἑαυτὸν καὶ κατασύρει. Ἐὰν δὲ ἑαυτὸν κατακρύψῃς, ἐφέστηκε τῇ αὐλαίᾳ καὶ θυροκρουστεῖ.

C sat.

S. Chrysost. Cum invenerint debitores suos, quasi prædam nacti sic lætantur, ac omnia faciunt ut totum repetant. Quod si minus id possunt propter eorum qui debent inopiam, iram pecuniæ causa inflammatam in ærumnosorum corpus exercent, contumeliose flagris cædentes, et verberantes, et mille aliis incommodis afficientes.

Ἐπειδὰν εὕρωσι τοὺς ὀφείλοντας οἱ ἄνθρωποι, ὥσπερ θήραμα εὑρόντες, οὕτως γεγήθασι, καὶ πάντα ποιοῦσιν ὅπως τὸ πᾶν ἀπαιτήσωσι · κἂν μὴ δυνηθῶσι διὰ τὴν πενίαν τῶν ὀφειλόντων, τὴν ὑπὲρ τῶν χρημάτων ὀργὴν εἰς τὸ ταλαίπωρον τῶν ἀθλίων σῶμα, αἰκιζόμενοι καὶ τύπτοντες καὶ μυρία αὐτοῖς διατιθέμενοι κακὰ, ἐναφιᾶσιν.

SERMO XXVII [*al.* LX].

De iis qui mutuantur et quod æquum est creditoribus gratos esse.

Salomon. Prudentiæ est cognoscere a quo proficiscatur gratia (id est, *gratuitum beneficium*).

Sirach. Gratiam hominum tanquam pupillam oculi conservato.

Qui gratiam reddit, futurorum meminit, et tempore suæ calamitatis inveniet stabilimentum.

ΛΟΓΟΣ ΚΖ'.

Περὶ δανειζομένων, καὶ ὅτι χρὴ εὐγνωμονεῖν τοῖς κυριοχρέοις.

Φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις.

Χάριν ἀνθρώπου ὡς κόρην ὀφθαλμοῦ συντήρησον.

D

Ὁ ἀνταποδιδοὺς χάριτας, μέμνηται εἰς τὰ μετὰ ταῦτα · καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.

S. Basilii. Qui de nobis bene meriti sunt, iis omnem benevolentiam præstare debemus.

Theologi. Reddamus igitur cum fœnore debitum si modo tantum possidere videamur.

Philonis. Nihil est quod facilius benevolentiam conciliare possit, quam ipsa beneficiorum grata commemoratio.

Τοῖς εὐεργέταις πᾶσαν εὔνοιαν ἐκπληροῦν ὀφείλομεν.

Ἀποδώσωμεν τοίνυν σὺν τόκῳ τὸ χρέος, ἂν ἄρα τοσοῦτον εὐποροῦντες φανῶμεν.

Οὐδὲν οὕτως εὐάγωγον εἰς εὔνοιαν, ὡς ἡ τῶν εὐεργετημάτων εὐφημία.

SERMO XXVIII [*al.* LXI].

De ingratis cum mutuum sumpserint.

David. Mutuatur improbus, nec unquam reddit.

ΛΟΓΟΣ ΚΗ'.

Περὶ δανειζομένων καὶ ἀγνωμονούντων.

Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει.

Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

Πολλοὶ ὡς εὕρημα ἐνόμισαν δάνος, καὶ παρέσχον κόπους τοῖς βοηθήσασιν αὐτοῖς.

Ἄχρηστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον.

Μὴ μόνον λαμβάνοντα σεαυτὸν νόει, ἀλλὰ καὶ ἀπαιτούμενον. Τί πολυπλόκῳ θηρίῳ ἑαυτὸν παραζευγνύεις;

Ὁ τόκοις ἑαυτὸν ὑπεύθυνον καταστήσας, ὧν τὴν κτησιν οὐχ ὑφίσταται, δουλείαν αὐθαίρετον ἐδέξατο διὰ βίου.

Ὁρῶμεν οὐχὶ τοὺς τῶν ἀναγκαίων ἐνδεεῖς ἐρχομένους ἐπὶ τὸ δάνειον· οὐδὲ γὰρ ἔχουσι τοὺς πιστεύοντας· ἀλλὰ δανείζονται ἄνθρωποι δαπάναις ἀνειμέναις, καὶ πολυτελείαις ἀκάρποις ἑαυτοὺς ἐπιδιδόντες.

Εἶδον ἐγὼ ἐλεεινὸν θέαμα, παῖδας ἐλευθέρους ὑπὲρ χρεῶν πατρικῶν ἑλκομένους εἰς τὸ πρατήριον.

Οὐ νύκτες τῷ χρεώστῃ ἀνάπαυσιν φέρουσιν, οὐχ ἡμέρα φαιδρά, οὐχ ἥλιος τερπνός, ἀλλὰ δυσχεραίνει τὸν βίον, μισεῖ τὰς ἡμέρας πρὸς τὴν προθεσμίαν ἐπειγομένας, φοβεῖται τοὺς μῆνας ὡς τόκων πατέρας. Κἂν καθεύδῃ, ἐνύπνιον βλέπει τὸν δανειστὴν, κακὸν ὄναρ τῇ κεφαλῇ παριστάμενον· κἂν γρηγορῇ, ἔννοια αὐτῷ καὶ φροντὶς ὁ τόκος ἐστί.

Τοιοῦτον ἡ εἰς τοὺς ἀχαρίστους χάρις. Ἀντὶ γὰρ ὧν ὠφελήθησαν, παρέχουσι τὰς μεγίστας ζημίας τοῖς εὐεργετήσασιν.

ΛΟΓΟΣ ΚΘ'.

Περὶ ἐκμισθουμένων, ἤτοι κυριέργων χρηστῶν, καὶ μισθίων χρηστῶν.

Εἶπε Λάβαν τῷ Ἰακώβ· Ὅτι γὰρ ἀδελφός μου εἶ σὺ, οὐ δουλεύσεις μοι δωρεάν· ἀνάγγειλόν μοι ὅ τι σου ὁ μισθός ἐστι.

Οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ παρὰ σοὶ ἕως πρωΐ.

Οὐκ ἀπαδικήσεις μισθὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου, ἢ ἐκ τῶν προσηλύτων, τῶν ἐν ταῖς πόλεσί σου. Αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ. Οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ' αὐτῷ, ὅτι πένης ἐστὶ, καὶ ἐπ' αὐτῷ ἔχει τὴν ἐλπίδα.

Μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ, μηδὲ μίσθιον διδόντα τὴν ψυχὴν αὐτοῦ.

Τῷ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα.

ΛΟΓΟΣ Λ'.

Περὶ ἐκμισθουμένων, ἤτοι κυριέργων πονηρῶν.

Μὴ καταβοήσηται κατὰ σοῦ ὁ μίσθιος πρὸς Κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία.

Ἐπικατάρατος ὁ ὑστερῶν μισθὸν μισθωτοῦ· καὶ ἐρεῖ πᾶς ὁ λαός, Γένοιτο, γένοιτο.

Eccli. IV. Ne sit manus tua ad accipiendum porrecta, et ad reddendum contracta.

Ib. XXIX. Multi mutuum quasi inventum æstimant, exhibentque molestias eis qui ipsis subvenerint.

166 Stultus et ingratus eum a quo fuerit aliquando liberatus, deseret.

Non solum est cogitandum tibi esse accipiendum, sed etiam reddendum, cum repetetur quod acceperis; cur te cum bestia nodosa conjungis?

Qui se fœnoribus subjectum reddit, quorum possessionem non tenet, voluntariam perpetuamque suscipit servitutem.

Non videmus eos quibus necessaria desunt ad mutuum sumendum accedere; non enim habent qui ipsis credant; sed ii soli mutuantur, qui sumptibus profusis et luxui infructuoso se dediderunt.

Rem miserabilem spectavi, liberos homines, quorum patrimonia essent obærata, qui trahebantur ut vænirent.

S. Basilii. Non noctes debitori quietem afferunt, non dies ei jucunda, non sol delectans; sed per omnem vitam in tristitia versatur: dies odit, qui ad præscriptum tempus properant; menses formidat, quasi usurarum genitores; si dormierit, in somnis videt fœneratorem capiti imminentem, infaustum somnium; sin vigilarit, cogitatio et sollicitudo de usuris est.

Tale quiddam in ingratos efficit beneficii gratia; pro iis enim beneficiis quibus adjuti sunt, multis damnis afficiunt de se bene meritos.

SERMO XXIX [*al.* CXX].

De mercede conducentibus, seu operariorum dominis probis.

Gen. XXIX. Dixit Labanus Jacobo: Quandoquidem meus frater es, mihi gratis non servies; declara mihi, quam mercedem postulas?

Levit. XIX. Non pernoctabit mercenarii merces apud te usque in crastinum.

Non fraudabis pauperem sua mercede, nec egentem ex fratribus tuis aut advenis, qui versantur in tuis civitatibus; eo ipso die mercedem reddes, nec occidet sol super ea; pauper enim est et in ea ipsa spem habet.

Eccli. VII. Servum opus vere facientem ne maletractato, nec mercenarium qui dat animam suam.

Rom. IV. Opus facienti merces non beneficii, sed debiti loco æstimatur.

SERMO XXX [*al.* CXXI].

De mercede conducentibus, seu operariorum dominis improbis.

Levit. XIX. Vide ne mercenarius tuus clamet ad Dominum contra te, et peccatum in te sit.

Deut. XXVII. Exsecratus sit, qui mercenarium **167** mercede fraudaverit, et dicat cunctus populus, Fiat, fiat.

Job. Tenues sine cibo, et mercede vineas impiorum coluerunt.

Jerem. Qui ædificat domum suam non cum justitia, et cœnacula sua non cum judicio, operarios ex proximis suis gratuito sumit, nec mercedem illis debitam tribuit.

Sirach XXXIV. Sanguinarius est (*vel* sanguinis effusor) qui mercenarium mercede privat.

Matth. X; *I Cor.* IX. Dignus est operarius mercede sua.

Bovi frumenta terenti os ne obturato; dignus est operarius cibo suo.

Jac. V. En merces operariorum, qui messuerunt agros vestros, quæ a vobis retenta est clamat, et clamores messorum ad aures Domini exercituum pervenerunt.

SERMO XXXI [*al.* IX].

De viris bonis et probis.

Num. XX. Suos Dominus cognoscit, et sanctos ad se advocabit.

Deut. XVI. Qui diligitur a Domino, fidenter in tabernaculo suo erit, omneque tempus ætatis ipsius Deus ei gloriosum reddet.

I Reg. XVI. Surge, inquit Dominus Samueli, et unge Davidem, quia hic est vir probus.

Psal. XXXVI. Justi terræ hæreditatem consequentur, et in multa pace deliciabuntur.

Ibid. Cum senex sim, juvenis fui, nec vidi justum derelictum, nec semen ipsius panem mendicans.

Salus justorum a Domino est, et eorum propugnator est in rebus adversis.

Familia integrorum virorum beata erit, gloria et divitiæ in domo illorum.

Vox exsultationis et salutis in tabernaculis justorum.

Solomon. Fame justos Dominus non necabit.

Ex ore justi gratiæ fluunt.

Viæ justorum similiter ut lux splendent.

Vir bonus filios filiorum in hæreditate sua cernet.

Acceptæ sunt Domino viæ justorum, et propter ipsos etiam inimici fiunt amici.

Vir probus ut leo confidit.

Moderati erunt incolæ terræ, et innocentes in ea relinquentur : quia recti qui sunt, terram pro hæreditate possidebunt, et sancti in ea relinquentur.

Ex hominum proborum labiis gratiæ stillabunt.

Justitia rectorum recte vias secat.

Domus justorum beatæ sunt.

Justorum radices non exstirpabuntur.

168 Qui aspicit molliter, misericordiam consequetur.

Qui sine cujusquam reprehensione in justitia versatur, liberos relinquet beatos.

Proborum lætitia est justa omnia facere.

Oseæ. Viro bono posuit in conspectu sapientiam, cognitionem et lætitiam.

Quis sapiens est, et hæc intelliget? aut sagax,

Ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν ἀσιτὶ καὶ ἀμισθὶ εἰργάσαντο.

Ὁ οἰκοδομῶν τὸν οἶκον αὐτοῦ οὐ μετὰ δικαιοσύνης, καὶ τὰ ὑπερῷα αὐτοῦ οὐκ ἐν κρίματι, παρὰ τῶν πλησίον ἐργάται δωρεὰν, καὶ τὸν αὐτὸν μισθὸν αὐτῶν οὐ μὴ ἀποδῷ αὐτοῖς.

Ἐχέων αἷμα ὁ ἀποστερῶν μισθὸν μισθωτοῦ.

Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.

Οὐ φιμώσεις βοῦν ἀλοῶντα, καὶ ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι.

Ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει· καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσεληλύθασιν.

ΛΟΓΟΣ ΛΑ'.

Περὶ καλῶν καὶ ἀγαθῶν ἀνδρῶν.

Ἔγνω ὁ Θεὸς τοὺς ὄντας αὐτοῦ, καὶ τοὺς ἁγίους προσηγάγετο πρὸς ἑαυτόν.

Ἠγαπημένος ὑπὸ Κυρίου κατασκηνώσει πεποιθὼς, καὶ ὁ Θεὸς δοξάσει ἐπ' αὐτῷ πάσας τὰς ἡμέρας.

Εἶπε Κύριος πρὸς Σαμουήλ· Ἀνάστα καὶ χρῖσον τὸν Δαυΐδ, ὅτι οὗτος ἀγαθός.

Δίκαιοι κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.

Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

Σωτηρία τῶν δικαίων παρὰ Κυρίῳ, καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως.

Γενεὰ εὐθέων εὐλογηθήσεται, δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτῶν.

Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.

Οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίαν.

Στόμα δικαίου ἀποστάζει χάριτας.

Αἱ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσιν.

Ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν.

Δεκταὶ παρὰ Κυρίου ὁδοὶ ἀνθρώπων δικαίων· διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται.

Δίκαιος ὥσπερ λέων πέποιθεν.

Χρηστοὶ ἔσονται οἰκήτορες γῆς· ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ· ὅτι εὐθεῖς κληρονομήσουσι γῆν, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ.

Χεῖλη ἀνθρώπων δικαίων ἀποστάζουσι χάριτα.

Δικαιοσύνη ὀρθῶν ἀνδρῶν ὀρθοτομεῖ ὁδούς.

Οἶκοι δικαίων εὐλογοῦνται.

Αἱ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται.

Ὁ βλέπων λεῖα ἐλεηθήσεται.

Ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς παῖδας καταλείψει.

Εὐφροσύνη δικαίων ποιεῖν κρίματα.

Τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ ἔδωκε σοφίαν πρὸ προσώπου αὐτοῦ, καὶ γνῶσιν καὶ εὐφροσύνην.

Τίς σοφὸς, καὶ συνήσει ταῦτα; ἢ συνετὸς, καὶ

ἐπιγνώσεται αὐτά; διότι εὐθεῖαι αἱ ὁδοὶ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.

Χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

Ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς, οὕτω τοῖς ἁμαρτωλοῖς κακά.

Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει ἀγαθά.

Δικαίῳ νόμος οὐ κεῖται.

Ὁ ἀγαθὸς ἀγαθῶν ἐστι παρεκτικός.

Ῥάβδος δικαίου κρείσσων ἢ τιμὴ κακοῦ.

Οἱ γὰρ ἄριστοι καὶ ξείνοις τελέθουσι προσηνέες.

Τοῦ γὰρ ἀγαθοῦ καὶ τὸ τραχὺ προσηνὲς διὰ τὴν ὠφέλειαν· τοῦ δὲ πονηροῦ καὶ τὸ χρηστὸν ὕποπτον διὰ τὸ κακόηθες.

Οὐδεὶς ἀγαθὸς, εἰ μὴ μόνος ὁ Θεός· τὸ ἄκρως ἀγαθὸν, φησὶ, μόνου Θεοῦ.

Τὸν πνευματικὸν καὶ ἀπόνηρον εἶναι δεῖ ἁπλοῦν καὶ ἄδολον, καθάπερ ὁ Χριστός φησιν· « Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. »

Ἀεὶ μὲν οὖν χρὴ θαυμάζειν τὴν ἰσχὺν τῶν μετιόντων τὴν ἀρετὴν, μάλιστα δὲ ὅταν πολλῶν αὐτὴν ἀπολιπόντων, εὑρεθῶσί τινες αὐτῆς ἀντεχόμενοι.

Ὁ τῇ φύσει ἀγαθὸς καὶ ἀγαθῶν πάντων παρεκτικὸς γίνεται.

Ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοίας τὸν παρακείμενον ἀέρα πλήρη ποιεῖ, οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοὺς πέλας ὀνίνησιν.

Ἴδιον παντὸς ἀγαθοῦ τὸ ὠφελεῖν.

Ἔστω (ἔσται) που πάντως γνωριμώτατος ὁ φιλάρετος, καὶ ἀρίστων ἐπιτηδευμάτων ἀποτελεστής. Ὅνπερ γὰρ τρόπον τὰ τῶν ἀρωμάτων εὐοσμότατα καὶ ἐξαίρετα, κἂν ἐν ἀγγείῳ κρύπτοιντο, τῆς ἀνούσης αὐτοῖς εὐοσμίας ἐμπίπλησι τὴν αἴσθησιν, οὐχὶ δέ που μόνοις τοῖς ἐγγὺς, ἀλλὰ γὰρ καὶ τοῖς μακράν· οὕτως ὁσία ψυχὴ καὶ φιλάρετος, καὶ τῶν εἰς εὐσέβειαν ἀνδραγαθημάτων ἔχουσα λόγον, κἂν λελῃθότως, πάντη τε καὶ πάντως ἔσται γνωριμωτάτη.

Φιλάνθρωπος ὁ ἀστεῖος καὶ εὐμενὴς, καὶ συγγνώμων, οὐδενὶ μνησικακῶν τὸ παράπαν, ἀλλὰ νικᾷν τοὺς ἐχθροὺς ἀξιῶν, ἐν τῷ ποιεῖν εὖ μᾶλλον ἢ βλάπτειν.

Τοῖς ἀγαθοῖς ἀγαθὰς ὑπέχειν γνώμας ἔοικεν ὁ Θεὸς, δι' ὧν ὠφελοῦντες ὠφεληθήσονται.

Ἄνδρες ἀγαθοὶ, τροπικώτερον εἰπεῖν, κίονές εἰσι,

A et hæc agnoscet? quod rectæ sunt Domini viæ, quas probi ingredientur.

Sap. Viri boni vivent æternum, quorum merces in Domino est, et cura apud celsissimum, ob quam causam regnum decorum adipiscentur, et pulcherrimum diadema manibus Domini eis imponetur, quia dextera sua teget eos, et brachio suo defendet.

Justus si ex hac vita decesserit, in requie futurus est.

Gratia et misericordia in electis ejus, et visitatio in sanctis ejus.

Eccli. XXXIX. Ut bona bonis a principio parata sunt, sic mala malis.

Luc. VI. Qui bonus est ex bono cordis sui the-
B sauro bona promit.

Tim. I. Justo nulla lex imposita est.

S. Basilii. Bonus bonorum est largitor.

Theologi. Virga boni viri melior est, quam mali laudatio.

Optimi enim externis etiam sunt lenes et humani.

Boni enim viri vel asperitas lenis est, propter utilitatem, quam continet: mali autem etiam benignitas suspecta propter morum improbitatem.

Nullus bonus nisi solus Deus; his verbis quod summe bonum est asseritur Dei solius esse.

S. Chrysost. Spiritualis omni malitia carere debet, astutia et dolo, quemadmodum Christus inquit:
C « Nisi convertamini et effecti fueritis similes parvis pueris, non introibitis regnum cœleste. »

Atque robur quidem eorum qui virtutem exercent, admiratione perpetua dignum est; præsertim vero cum multis eam deserentibus nonnulli reperiuntur qui virtuti adhærescant.

Greg. Nyss. Qui natura bonus est, idem ad bona omnia largienda propensus est.

Ut fragrantia aromata suo odore circumfusum complent aerem, sic boni viri præsentia proximos juvat.

S. Cyrilli. Proprium est bonorum omnium aliis prodesse.

Erit sane maxime insignis virtutis cultor, et præclarissimorum operum auctor. Quemadmodum enim
D odoratissima aromata et eximia, etiamsi in vase condita sint, fragrantia sua tamen explent odorandi sensum, 169 non solum eorum qui prope adstant, sed etiam eorum qui longius semoti sunt: ita sanctus animus et virtutis cupidus, et honeste factorum et ad pietatem pertinentium rationem habens, vel nihil tale cogitans, omnibus modis erit nobilissimus et clarissimus.

Philonis. Humanus urbanus et comis et ad ignoscendum propensus, nullius omnino injuriæ memor est, sed vincere hostes cupit benefaciendo, magis quam lædendo.

Bonis Deus bona suppeditat et inserit consilia, quibus, cum aliis prosint, ipsi maxime juvantur.

Viri boni, ut figurate dicam, columnæ sunt, po-

pulum totum confirmantes quasi domos magnas, civitates et respublicas.

Honestum tum est honestum, cum ut ab altero laudetur non eget, sed secum circumfert suæ pulchritudinis notas et insignia.

SERMO XXXII [*al.* XV].

De malis et improbis viris.

Deut. XXIII. Ut ne perdat scelerosus a scelere immunem, non vult Deus illi placari, sed accendetur ira Domini, et æmulatio ejus in hominem illum.

I Reg. I. Ab iniquis exlegibus progredietur improbitas et maleficium.

Improbe se gessit Achabus in conspectu Domini, et sceleratior quam ii qui ante ipsum fuerant.

Nemo improbus cum sit, se fore innocentem confidat.

Dulce fuit in ore ejus vitium.

Modum transeunt errata improborum.

Malorum mors erit non decora.

Filii hominum quousque tandem dura geretis corda?

Psal. IV. Scelerati multa flagella (*id est*, omnis generis afflictiones.)

Vultus Domini in mala patrantes.

Mors sceleratorum mala est.

Molliores olee sermones illorum, at ipsi sunt quasi bolides (*id est*, pondera funiculis affixa ad explorandum aliquid).

Jam inde ab utero matris abalienati sunt improbi, mendacia locuti sunt.

Salus longe abest ab improbis, quia jura tua juste instituta non exquisierunt.

Sanguinarii et dolosi ætatis dimidium non consequentur.

Peccantes in mala incident.

Prov. Qui malos castigat, sibi ignominiam merifaciet : quique impium reprehendit, seipsum vituperabit.

Quærent me improbi, nec tamen **170** invenient, sapientiam enim odere.

Animi eorum qui exleges sunt interibunt immaturi.

Exitus eorum qui legem violant, malus est.

Malos ne reprehendas, ut ne sis odio illis.

Prov. IX. Fili, si sapiens fueris, tibi et proximis tuis sapies : sin malus evaseris, solus exantlabis mala.

Dolus est in corde mala fabricantis.

Misericordiam et judicium non norunt maiorum architecti.

Expelle e concilio pestiferum, et una cum illo exibit contentio : cum enim sederit in virorum consessu, omnes probro afficiet.

Improbus non erit impunitus.

Amos III. Odi repulique dies vestros festos, nec vestris conventibus delector.

A δῆμον ὅλον ὑπερείδοντες, καθάπερ οἰκίας μεγάλας, τὰς πόλεις καὶ τὰς πολιτείας.

Τὸ καλὸν τότε καλέν ἐστιν, ὅταν τῆς ἀφ' ἑτέρου συστάσεως οὐ δέηται, ἀλλ' ἐν αὑτῷ περιφέρῃ τῆς οἰκείας καλλονῆς τὰ γνωρίσματα.

ΛΟΓΟΣ ΛΒ'.

Περὶ κακῶν καὶ μοχθηρῶν ἀνδρῶν.

Ἵνα μὴ ἀπολέσῃ ὁ ἁμαρτωλὸς τὸν ἀναμάρτητον, οὐ μὴ θελήσῃ ὁ Θεὸς ἱλασθῆναι αὐτῷ, ἀλλ' ἐκκαυθήσεται ὀργὴ Κυρίου, καὶ ὁ ζῆλος αὐτοῦ ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ.

Ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια.

Ἐποίησεν Ἀχαὰβ τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ
B ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ.

Μηδεὶς πεποιθέτω πονηρὸς ὢν, ἀθῶος ἔσεσθαι.

Ἐγλυκάνθη ἐν στόματι αὐτοῦ κακία.

Ἐξαίσια πτώματα πονηρῶν.

Φαῦλοι ἐν θανάτῳ ἐξαίσιῳ.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;

Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ.

Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά.

Θάνατος ἁμαρτωλῶν πονηρός.

Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.

C

Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐλάλησαν ψευδῆ.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν.

Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.

Ἁμαρτάνοντας καταλήψεται κακά.

Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν.

Ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν· ἐμίσησαν γὰρ σοφίαν.

Ψυχαὶ ἀνόμων ὀλοῦνται ἄωροι.

D

Ἡ καταστροφὴ τῶν παρανόμων κακή.

Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε.

Υἱὲ, ἐὰν σοφὸς γένῃ, αὐτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις τὰ κακά.

Δόλος ἐν καρδίᾳ τεκταινομένου κακά.

Οὐκ ἐπίστανται ἔλεον καὶ κρίσιν τέκτονες καπῶν.

Ἔκβαλε ἐκ συνεδρίου λοιμὸν, καὶ συνεξελεύσεται νεῖκος αὐτῷ. Ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ, πάντας ἀτιμάσει.

Ὁ κακὸς οὐκ ἀτιμώρητος ἔσται.

Μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν.

Ὁς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Κυρίῳ. A

Qui justum injustum judicat : et injustum justum, is impurus apud Dominum et abominandus est.

Τάδε λέγει Κύριος παντοκράτωρ· Αὐτοὶ οἰκοδομήσουσι, κἀγὼ καταστρέψω· καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ' ὃν παρατέτακται Κύριος ἕως αἰῶνος, οὐ μὴ μείνῃ εἰς τὸν αἰῶνα χρόνου σπέρμα πονηρόν.

Malach. Dominus omnipotens sic loquitur : Illi ædificabunt, ego vero diruam, ut vocentur termini iniquitatis, et populus cui Dominus se opponet in sæculum : non mansura est in sæculum temporis improba progenies.

Ἐκ σπέρματος ὄφεως ἐξελεύσεται ἔγγονα ἀσπίδων, τὰ δὲ ἔγγονα αὐτῶν ὄφεις πετόμενοι.

Isa. LIX. Ex semine serpentis prodibunt aspidum catuli, at illarum posteri volantes serpentes erunt.

Τὰ ἁμαρτήματα ἡμῶν διίστησιν ἀνὰ μέσον ἡμῶν καὶ τοῦ Θεοῦ, καὶ διὰ τὰς ἀνομίας ἡμῶν ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀφ' ἡμῶν, τοῦ μὴ ἐλεῆσαι.

Peccata nostra dissociant nos a Deo, propterque iniquitates nostras avertit a nobis vultum suum, ut non misereatur.

Υἱοὶ ἄφρονές εἰσι, καὶ οὐ συνετοί, σοφοὶ τοῦ κακοποιῆσαι· τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἔγνωσαν. B

Insipientes sunt nec sagaces, docti ad maleficiendum, honeste facere non norunt.

Τὰ ἔργα αὐτῶν ἔργα ἄνομα· καὶ οἱ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν.

Opera illorum, opera injusta, et pedes eorum in maleficium currunt.

Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὖ ποιῆσαι μεμαθηκότες κακά.

Jerem. XIII. Si mutabit Æthiops cutem suam, et pardalis varietates suas, et vos poteritis benefacere cum mala didiceritis.

Πτῶσις κακῷ κατὰ σπουδὴν ἥξει.

Ruina improbi sero tandem veniet.

Ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἀπὸ λίθων, καὶ ἐπ' ἐσχάτων αὐτῆς βάθρος ᾅδου.

Via scelerosorum elapidata et complanata, sed in extrema ipsa inferorum est fossa.

Τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει ;

Peccantem in animam suam quis absolvet?

Τέκνα βδελυκτὰ γίνεται τέκνα ἁμαρτωλῶν.

Liberi abominandi sunt ex improbis prognati.

Ὄνομα ἀνθρώπων ἁμαρτωλῶν ἐξαλειφθήσεται

Nomen sceleratorum hominum delebitur.

Ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὰ πονηρά. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα. C

Matth. XII et *Luc.* VI. Malus ex cordis sui malo thesauro quæ mala sunt, promit : ex abundantia enim cordis os loquitur.

Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐνστήσονται καιροὶ χαλεποί. Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, καὶ τὰ ἑξῆς.

I Tim. III. Illud autem cognoscitote fore, ut in ultimis diebus instent acerba et difficilia tempora. Erunt enim homines sui amantes, etc. 171

Ἐν ἀμίλλαις πονηρίας ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλεῖον ἔχων τῆς ἁμαρτίας.

S. Basilii. In improbitatis certamine miserior victor, quam victus, propterea quod ille pluribus peccatis onustus discedit.

Τὸ ἔσχατον ἐν πονηρίᾳ καὶ πρὸς ἑαυτῷ ἐστιν ἀσύμφωνον.

Ultima in improbitate etiam secum ipsa discrepant.

Πολλοί εἰσι τὰς πονηρὰς πράξεις ἀποδεχόμενοι, καὶ χαρίεντα μὲν τὸν εὐτράπελον λέγοντες, τὸν δὲ αἰσχρολόγον πολιτικόν· τὸν πικρὸν καὶ ὀργίλον ἀκαταφρόνητον ὀνομάζουσι· τὸν φειδωλὸν καὶ ἀκοινώνητον ὡς οἰκονομικὸν ἐπαινοῦσι· τὸν ἄσωτον ὡς ἐλεύθερον· τὸν πόρνον καὶ ἀσελγῆ ἀπολαυστικόν τινα καὶ ἀνειμένον. Οἱ τοιοῦτοι τῷ στόματι μὲν εὐλογοῦσι, τῇ δὲ καρδίᾳ καταρῶνται. Ἐν γὰρ τῇ τῶν ῥημάτων εὐφημίᾳ πᾶσαν κατάραν ἐπάγουσιν αὐτῶν τῇ ζωῇ, ὑποδίκους αὐτοὺς τῇ αἰωνίῳ κατακρίσει, δι' ὧν ἀποδέχονται, καθιστῶντες. D

Complures sunt, qui actiones pravas approbent, ac urbanum quidem gratiosum nominantes, et obscenitate verborum utentem, civilem : acerbum et iracundum minime contemnendum vocant : parcum et alienum a liberalitate quasi rei familiaris administrandæ peritum laudant; prodigum, quasi liberalem; scortatorem libidinosum, voluptarium quemdam et remissiorem. Istiusmodi laudatores illis ore quidem bene precantur, at corde exsecrantur. Nam in illa verborum pulchra commemoratione omnem exsecrationem in illorum vitam inducunt, imo eos æternæ damnationi obnoxios efficiunt, ipsa vitia approbantes.

Ὄντως ἀσυλλόγιστόν τι πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδέν ἐστιν ὃ τοὺς πονηροὺς βελτίους ποιήσειεν.

Theologi. Profecto res est rationis expers improbitas : nec quidquam est quod improbos efficere possit meliores.

Εὐζήλωτον μέντοι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδὲν οὕτω ῥᾴδιον ὡς τὸ γενέσθαι κακός.

Improbitas facile sui studium excitat, atque in promptu est, nihilque tam facile est, quam fieri malum.

Λύσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει,

Difficiliter bonum comprehenditur a natura ho-

minum, quemadmodum ignem non concipit humidior materies. At parati ad maleficium plurimi et dispositi.

Malum facilius et promptius improbum sequitur, quam coerceatur a meliore.

Animis profanis nihil honesti satis dignum videtur, cui persuadendos se præbeant.

S. Chrysost. Qui sæpe peccant nec puniuntur, metuere et vereri debent; augentur enim illis supplicia per supplicii tarditatem et divinam lenitatem.

Non tantum il qui scelerate aliquid faciunt, verum etiam qui istos laudibus efferunt, eorumdem cum illis vel etiam graviorum participes erunt supplicium.

Sanctos quidem lucidi servant angeli, improbos autem tenebrosi.

Abundantia cognitionis sapientiæ nobis multos conciliat angelos : impurus autem etiam ab eo qui ipsi a puero datus est, separatur.

Philonis. Improbus aliud sentit, aliud loquitur; aliæ etiam sunt ejus actiones : denique diversa et et omnino pugnantia sunt omnia; non enim loquitur, quæ sentit, et contraria decrevit iis, quæ se **172** facturum narrat, nec his consentanea exsequitur, ut proprie dicere liceat, improbi vitam secum bellum gerere.

Improbis nulla re gaudere concessum est : quemadmodum in propheticis canitur oraculis : Gaudere non licet impiis, Deus ait. Sermo enim divinus, verus et utilis est, tetricam et tristitiæ deditam, ac infelicitatis plenam esse improbissimi cujusque vitam.

Instabiles sunt malorum hominum spes, qui sibi quidem commoda proponunt cogitatione, quibus tamen adversa et illis digna contingunt.

Antisthenis. Antisthenes cum ab improbis quibusdam laudaretur, Vereor, inquit, ne quid mali a me designatum sit, quod istis placeo.

Mali adulationibus cum deliniuntur, pejores evadunt.

Senem peccantem ne moneas; veterem enim arborem transplantare difficile est.

Diogenes. Diogenes improbum quemdam monebat, interrogatus autem quid ageret : Æthiopem (inquit) abstergo, ut candidum reddam.

Medici amaris medicamentis quæ lingendo sumuntur, mellis nonnihil adhibent, ut dulciora faciant : sic ingeniosi difficiliorum hominum congressiones hilaritate molliunt.

Ex factis magis quam ex verbis hominis periculum facito; multi enim cum vitam vitiosam agant, oratione suavi et ad persuadendam valenti utuntur.

SERMO XXXIII [*al.* CXXIII].

De muliere forti, et temperanti, et sagace.

Gen. xxxi. Rachel et Lia respondentes Jacobo, Num, inquiunt, pars adhuc nobis est aut hæreditas in domo patris nostri? Nonne alienæ ab illo exi-

A ὥσπερ καὶ τὸ πῦρ ὕλη τῇ ὑγροτέρᾳ· ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ ἐργασίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι.

Πρόχειρον ἡ πονηρία τῷ κακῷ μᾶλλον ἀκολουθεῖν, ἢ ὑπὸ τοῦ κρείττονος ἀνακόπτεσθαι.

Ψυχαῖς βεβήλοις οὐδὲν τῶν καλῶν ἀξιόπιστον.

Οἱ πολλὰ πταίοντες καὶ μὴ κολαζόμενοι φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν. Αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρησίας καὶ τῆς μακροθυμίας τοῦ Θεοῦ.

Οὐχ οἱ τὰ φαῦλα πράσσοντες μόνον, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς αὐτοῖς, ἢ καὶ χαλεπωτέρας, κοινωνήσουσι κολάσεως.

B Τοὺς μὲν ἁγίους φωταγωγοὶ φυλάσσουσιν ἄγγελοι, τοὺς δὲ φαύλους σκοτεινοί.

Πλοῦτος γνώσεως σοφίας προστίθησιν ἡμῖν ἀγγέλους πολλούς· ὁ δὲ ἀκάθαρτος καὶ ἀπὸ τοῦ δοθέντος αὐτῷ ἐκ παιδὸς χωρίζεται.

Τοῦ φαύλου ἕτερα μὲν τὰ ἐνθύμια, ἕτερα δὲ τὰ ῥήματα, ἄλλαι δὲ αἱ πράξεις, διάφορα δὲ καὶ μαχόμενα παντάπασι· λέγει γὰρ οὐχ ἃ φρονεῖ, καὶ βεβούλευται τἀναντία οἷς διέξεισι, καὶ πράττει τὰ τούτοις μὴ συνᾴδοντα· ὥστε, κυρίως εἰπεῖν, ὁ τοῦ φαύλου βίος πολέμιος.

Τὸν φαῦλον οὐδενὶ χαίρειν ἐφίεται, καθάπερ ἐν προφητικαῖς ᾄδεται ῥήσεσι· Χαίρειν οὐκ ἔστι τοῖς ἀσεβέσιν, εἶπεν ὁ Θεός. Λόγος γὰρ ὄντως καὶ χρήC σιμός ἐστι θεῖος· σκυθρωπὸν καὶ ἐπίλυπον καὶ μεστὸν βαρυδαιμονίας εἶναι τὸν παντὸς μοχθηροῦ βίον.

Ἀβέβαιοι αἱ τῶν πονηρῶν ἀνθρώπων ἐλπίδες, εἰκαζόντων μὲν τὰ χρηστότερα, τὰ δὲ παλίμφημα καὶ ὧν ἄξιον τυγχάνειν εἰσὶ, πασχόντων.

Ἀντισθένης ἐπαινούμενος ὑπὸ πονηρῶν ἀνθρώπων, Ἀγωνιῶ, ἔφη, μή τι κακὸν εἴργασταί μοι, ὅτι τοιούτοις ἀρέσκω.

Κακοὶ κολακευόμενοι κακώτεροι γίνονται.

Μὴ νουθέτει γέροντα ἁμαρτάνοντα. Δένδρον γὰρ παλαιὸν μεταφυτεῦσαι δύσκολόν ἐστιν.

Διογένης ἐνουθέτει τινὰ πονηρόν· ἐρωτώμενος δὲ D ὑπό τινος, Τί τοῦτο ποιεῖς; ἔφη· Αἰθίοπα σμήχω, ἵνα λευκὸν ποιήσω.

Οἱ μὲν ἰατροὶ τὰς τῶν ἐκλεικτῶν φαρμάκων πικρίας μέλιτι, οἱ δὲ σοφοὶ τὰς τῶν δυσκολωτέρων ἀνθρώπων ὁμιλίας ἱλαρότητι γλυκαίνουσιν.

Πεῖραν ἀνθρώπου ἐκ τῶν ἔργων λάμβανε μᾶλλον ἢ ἐκ τῶν λόγων. Πολλοὶ γὰρ βίῳ μέν εἰσι κακοὶ, λόγῳ δὲ πιθανοί.

ΛΟΓΟΣ ΛΓ'.

Περὶ γυναικὸς ἀνδρείας, καὶ σώφρονος, καὶ συνετῆς.

Ἀποκριθεῖσαι Ῥαχὴλ καὶ Λία, εἶπαν τῷ Ἰακώβ· Μή ἐστιν ἡμῖν μερὶς, ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; Οὐκ ἀλλότριαι λελογίσμεθα αὐτῷ·

Πέπρακε γὰρ ἡμᾶς, καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον ἡμῶν. A

Ἤγγισεν Ἀβιμέλεχ ἕως τῆς πύλης τοῦ πύργου, ἐμπρῆσαι αὐτὴν ἐν πυρί. Καὶ ἔρριψε γυνὴ μία κλάσμα μύλου ἐπὶ τὴν κεφαλὴν Ἀβιμέλεχ, καὶ ἐβόησε ταχὺ πρὸς τὸ παιδάριον τὸ αἴρον τὰ σκεύη αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Σπάσαι τὴν ῥομφαίαν σου, καὶ θανάτωσόν με, μή ποτε εἴπωσιν, ὅτι γυνὴ ἀπέκτεινεν αὐτόν. Καὶ ἐξεκέντησεν αὐτὸν τὸ παιδάριον αὐτοῦ, καὶ ἀπέθανεν.

Ἀνήγγειλε τῷ Δαυὶδ Μελχὸλ ἡ γυνὴ αὐτοῦ λέγουσα· Ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχὴν σεαυτοῦ τὴν νύκτα ταύτην, αὔριον θανατωθήσῃ. Καὶ κατάγει Μελχὼλ τὸν Δαυὶδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε, καὶ ἔφυγε, καὶ ἐσώθη.

Τίς ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν, καὶ ποικιλτικὴν ἐπιστήμην ; B

Γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς.

Γυνὴ εὐχάριστος ἐγείρει ἀνδρὶ δόξαν.

Ὃς εὗρε γυναῖκα ἀγαθὴν, εὗρε χάριτας, ἔλαβε δὲ παρὰ Κυρίου ἱλαρότητα.

Ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν, ἐκβάλλει ἀγαθὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους· ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς.

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα ἐστὶ λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς. Ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ τῷ ἀνδρὶ ἀγαθὰ, καὶ οὐ κακά. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ἀνὴρ αὐτῆς. Ὅταν που C χρονίζῃ, δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς. Ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων, στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐνετείλατο τῇ γλώσσῃ αὐτῆς. Στεναὶ δὲ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν.

Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος οὐκ ἔστιν ἐν σοί.

Γυνὴ συνετὴ εὐλογεῖται, φόβος δὲ Κυρίου αὐτὴν αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Μὴ ἀστόχει γυναικὸς σοφῆς καὶ ἀγαθῆς· ἡ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον. D

Χάρις ἐπὶ χάριτι γυνὴ σιγηρά· καὶ οὐκ ἔστι σταθμὸς ἄξιος ἐγκρατοῦς ψυχῆς αὐτῆς.

Γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνὴρ, καὶ ἀριθμὸς τῶν ἡμερῶν αὐτοῦ διπλάσιος. Γυνὴ ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ. Γυνὴ ἀγαθὴ μερὶς ἀγαθή· καὶ ἐν μερίδι φοβουμένων Κύριον δοθήσεται.

Χάρις γυναικὸς εὐφραίνει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ὀστᾶ αὐτοῦ πιαίνει ἡ ἐπιστήμη αὐτῆς.

Γυναικὸς ἀνὴρ χρῆμ' οὐδὲν λῃΐζεται
Κάλλιον ἐσθλῆς, ὥσπερ οὐδὲ χεῖρον τῆς ἐναντίας (1).

(1) Versus constabit si legas, Κάλλιον ἐσθλῆς, οὐδὲ χεῖρον ἐναντίας.

stimatæ sumus? vendidit enim nos, et plane devoravit argentum nostrum.

Judic. IX. Accessit Abimelechus usque ad turris portam, ut eam incenderet; mulier autem quædam fragmentum molæ in caput ejus conjecit : et statim clamans accersit puerum, qui arma ipsius gerebat. Cui, Educ, inquit, gladium tuum, et me interfice, ne dicant vulgo me a muliere interfectum. Et puer ejus pupugit eum, et mortuus est.

I Reg. XIX. Melchol uxor Davidis, renuntiavit ei, dicens : Nisi hac nocte servaveris vitam tuam, cras morte afficieris ; et dimisit maritum suum Davidem per fenestram. Sicque ille exiit, aufugit, et servatus est.

Job. Quis dedit mulieribus texendi sapientiam, et artem acu variandi?

173 *Prov.* XII. Uxor fortis corona est viri sui. Uxor grata excitat viro gloriam.

Qui nactus est uxorem bonam, is gratias est adeptus, et a Domino accepit hilaritatem.

Qui ejicit uxorem probam, ejicit bona e domo sua.

Prov. XIV. Uxores sapientes ædificaverunt domos; at insipiens suis manibus demolita est.

Prov. XXXI. Uxorem fortem quis inveniet? talis pluris est æstimanda quam lapides pretiosi; ea confidit cor viri; hæc spoliis pulchris non carebit; bonis afficit virum suum, non malis. Vir non est sollicitus de rebus domesticis, sicubi autem diutius moratus fuerit, ipsa interea geminas confecit vestes. Cum autem in consessu seniorum considet, ipsa os suum aperit attente et legitime, ac ordinem ori suo tenendum præscribit. Taciturnæ autem sunt domus ejus exercitationes, cibum otiosa non capit.

Multæ filiæ divitias et potentiam comparaverunt, tu autem superasti omnes, et super illas te extulisti; falsa affabilitas et inanis pulchritudo non est in te.

Mulier sagax benedicitur, sed metus Domini eam commendet; date ei de fructibus labiorum suorum, et vir ejus laudetur in portis.

Eccli. VII. Vide ne excidas uxore sapiente et bona; nam gratia ejus auro præstat.

Gratia duplicata mulier taciturna [*alias* pudica], nec est quidquam quod cum animo illius continente comparari possit.

Ibid. Probæ mulieris vir est beatus, et numerus dierum ejus duplicabitur. Uxor fortis exhilarat virum suum, et annos ejus cum pace complebit. Mulier proba portio bona est ; et in parte metuentium Dominum dabitur.

Uxoris gratia virum exhilarat, et scientia ejus ossa viri saginat.

Theologi. Vir nullam rem acquirere potest uxore proba honestiorem, quemadmodum nullam deteriorem improba.

S. Cyrilli. Muliebre genus quodammodo lacrymarum amans est et animo ad misericordiam facili præditum.

Φιλόδακρύ πως ἀεὶ τὸ θῆλυ γένος, καὶ τὸν νοῦν εἰς ἔλεον εὐδιάθρυπτον ἔχον.

Mulier vitat omnes calumniarum suspiciones; si neque se comat, neque ornet supra modum, precationibus et deprecationibus attentione summa vacans.

Ἀνύποπτον εἰς διαβολὴν δείκνυσι γυναῖκα τὲ μὴ καλλωπίζεσθαι, μήτε μὴν κοσμεῖσθαι πέρα τοῦ πρέποντος, εὐχαῖς καὶ δεήσεσι προσανέχουσαν ἐκτενῶς.

Philonis. Narrant physici feminam nihil aliud esse quam imperfectum marem.

Λέγεται ὑπὸ φυσικῶν ἀνδρῶν οὐδὲν ἕτερον εἶναι θῆλυ ἢ ἀτελὲς ἄρρεν.

Infirmiora quodammodo sunt mulierum consilia, nec extra res quæ sub sensus cadunt, quidquam possunt eorum quæ tantum sub intelligentiam cadunt, comprehendere.

Ἀσθενέστεραί πώς εἰσιν αἱ γνῶμαι τῶν γυναικῶν, ἔξω τῶν αἰσθητῶν μηδὲν ἰσχύουσαι νοητὸν καταλαβεῖν.

174 Philonis uxor in complurium feminarum cœtu interrogata, cur sola ex omnibus aureo non uteretur ornatu : Satis (inquit) uxori magnus ornatus viri sui virtus est.

Ἡ Φίλωνος γυνὴ ἐρωτηθεῖσα ἐν συνόδῳ πλειόνων γυναικῶν, διατί μόνη τῶν ἄλλων οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη· Αὐτάρκης κόσμος ἐστὶ γυναικὶ ἡ τοῦ ἀνδρὸς ἀρετή.

Aristippus mulierem parvam, sed pulchram conspicatus : Parvum, inquit, malum, sed magnum pulchrum (1).

Ἀρίστιππος γυναῖκα καλὴν μικρὰν ἰδὼν, Μικρὸν κακὸν μὲν, μέγα δὲ καλὸν, ἔφη. *Al.* Μικρὸν μὲν καλὸν, μέγα δὲ κακόν.

Uxorem temperantem quærito, nec formosiorem; illud enim est thesaurus qui surripi non potest, hoc autem animi opinio sive persuasio.

Γυναῖκα σώφρονα ζήτει, καὶ μὴ εὔμορφον. Τὸ μὲν γὰρ θησαυρὸς ἀνέκλειπτος, τὸ δὲ ὑποψία γνώμης.

Protagor. Honestam uxorem et bonam si eris assecutus, vitam dolore vacantem deges.

Σεμνῆς γυναικὸς καὶ ἀγαθῆς ὅταν τύχῃς, τὸν βίον ἄλυπον διατελεῖς.

SERMO XXXIV [*al.* CXXIV].

De improbis mulieribus et adulteris omnique vitio plenis.

ΛΟΓΟΣ ΛΔ'.

Περὶ γυναικῶν πονηρῶν καὶ μοιχαλίδων, καὶ πάσης κακίας πεπληρωμένων.

Prov. v, vii. Mulieri improbæ ne mentem adhibeto; mel enim ex meretricis ore fluit, quod ad tempus ungit guttur, postea tamen felle amarius invenies, et gladio ancipiti acutius.

Μὴ πρόσεχε φαύλῃ γυναικί. Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἡ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον σχολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου.

Ne des mulieri opes tuas.

Μὴ δῷς γυναικὶ τὸν σὸν πλοῦτον.

Fili, serva mandata mea, et vives, ut te servent a peregrina muliere et improba.

Υἱὲ, φύλασσε ἐμὰς ἐντολὰς, καὶ βιώσεις, ἵνα σε τηρήσωσιν ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς.

Mulier pretiosas virorum animas prædatur.

Γυνὴ τιμίας ψυχὰς ἀνδρῶν ἀγρεύει.

Tempus est ignominiæ, mulier quæ odit honesta.

Χρόνος ἀτιμίας γυνὴ μισοῦσα δίκαια.

Prov. ix. Mulier insipiens et audax cibo quo alatur carebit, quæ scilicet verecundiam non cognoscit.

Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται, ἥ οὐκ ἐπίσταται αἰσχύνην.

Ibid. xi. Ut inauris in nare suis, sic in muliere malitiosa pulchritudo.

Ὥσπερ ἐνώτιον ἐν ῥινὶ ὑὸς, οὕτως γυναικὶ κακοφρονι κάλλος.

Qui adulteram retinet, insipiens et impius est.

Ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής.

Melius est habitare in solitudine, quam cum muliere pugnace et linguace et iracunda.

Κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ ἢ μετὰ γυναικὸς μαχίμου καὶ γλωσσώδους καὶ ὀργίλου.

Malach. proph. A conjuge tua tibi cave; nec quod facturus es, illi aperito.

Ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι αὐτῇ, τί ποιῶν.

Sirach ix. Ne tradas mulieri animam tuam; meretricibus obviam ne ito; ne psaltriam canentem frequentato; virginem ne considerato; averte oculos tuos a muliere formosa; cum uxore alterius omnino ne sedeto; forma enim et pulchritudine muliebri complures seducti sunt.

Μὴ δῷς γυναικὶ τὴν ψυχήν σου· μὴ ὑπάντα ἑταιριζομένῃ, μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε. Παρθένον μὴ καταμάνθανε. Ἀπόστρεψον τοὺς ὀφθαλμούς σου ἀπὸ γυναικὸς εὐμόρφου. Μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον. Ἐν κάλλει γὰρ γυναικὸς πολλοὶ ἐπλανήθησαν.

Vinum et mulieres ad deficiendum impellunt etiam sapientes.

Οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς.

(1) Videtur potius invertendum ut sit : *Parvum quidem pulchrum, magnum autem malum;* καλὸν et κακὸν apud Græcos facile permutari possunt.

Πᾶσαν πονηρίαν καὶ μὴ πονηρίαν γυναικός.

Μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ πονηρᾷ ἄνεσιν. Εἰ μὴ πορεύεται κατὰ χειράς σου, ἀπὸ τῶν σαρκῶν σου ἀπότεμε αὐτήν.

Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδόκησαι, ἢ συνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς.

Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός· κλῆρος ἁμαρτωλοῦ ἐπιπέσῃ ἐπ' αὐτήν.

Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι αὐτῆς ἀποθνήσκομεν πάντες.

Μὴ δῷς γυναικὶ πονηρᾷ παῤῥησίαν.

Ὀργὴ μεγάλη γυνὴ μέθυσος.

Καρδία πονηρὰ καὶ πρόσωπον σκυθρωπὸν, καὶ πληγὴ καρδίας, γυνὴ πονηρὰ ἀντιτασσομένη τῷ ἀνδρὶ αὐτῆς.

Πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφθαλμῶν καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται.

Κρεῖσσον πονηρία ἀνδρὸς ἢ ἀγαθοποιὸς γυνή.

Ἀπὸ ἱματίων ἐκπορεύεται σὴς, καὶ ἀπὸ γυναικὸς πονηρία.

Ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς.

Γυνὴ μεγαλόφωνος καὶ γλωσσώδης ὥσπερ σάλπιγξ πολεμίων εἰς τροπὴν θεωρηθήσεται.

Ὥσπερ γὰρ τὰ ἐπίσαθρα τῶν πλοίων καταιγίδες καὶ ζάλαι ὑποβρύχια φέρουσιν, οὕτως αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταβαπτίζουσιν.

Τότε [πότε] οὖν ψυχῆς ἐπιμελήσεται ὁ γυναικείαις ἐπιθυμίαις δεδουλωμένος; οὐδεὶς γὰρ ἐξαρκεῖ πλοῦτος, γυναικείαις ἐπιθυμίαις ὑπηρετούμενος.

Αἱ τῶν γυναικῶν ἀφρονέσταται, ἀποροῦσαι κάλλους οἰκείου, πρὸς τὰ χρήματα καταφεύγουσι· καὶ εἰσὶν, ὡς ἂν εἴποιμι, κοσμίως θεατριζόμεναι, δι' εὐσχημοσύνην ἀσχήμονες, καὶ δι' αἶσχος αἰσχρότεραι.

Ὦ κακὸν κακοῦ κάκιστον, γυνὴ πονηρά.

Δεινὸν δράκοντες, καὶ κακοῦργον ἀσπίδες.

Διπλῆ γυναικὸς δεινότης ἐν θηρίοις.

Γυνὴ πονηρὰ οὐδέποτε ἡμεροῦται, ἀλλ' ὑβριζομένη μαίνεται, καὶ κολακευομένη ἐπαίρεται.

Σίδηρον ἑψεῖν, ἢ νουθετεῖν γυναῖκα ῥᾷον.

Γινωσκέτω ὁ ἔχων γυναῖκα πονηράν, ὅτι ἤδη τοὺς μισθοὺς αὐτοῦ τῶν ἀνομιῶν ἐκομίσατο.

Οὐδὲν ἐν κόσμῳ θηρίον ἐφάμιλλον γυναικὸς πονηρᾶς.

Τί δεινότερον λέοντος ἐν τετράποσιν; τί δὲ ὠμότερον δράκοντος ἐν ἑρπετοῖς; Ἀλλ' οὐδὲν, πλὴν γυναικὸς πονηρᾶς.

Δεινὸν πενιχροτέραν ἑαυτοῦ λαβεῖν γυναῖκα, δεινὸν εὐπορωτέραν. Τὸ μὲν γὰρ εἰς τὴν οὐσίαν ἔβλαψε, τὸ δὲ εἰς αὐθεντίαν καὶ ἐλευθερίαν τὸν ἄνδρα.

Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἂν εἴη ἐσχάτη.

Δεινὸν γυνὴ γνώμην ἀνδρὸς παραλῦσαι καὶ παραγαγεῖν, καὶ μάλιστα μάχλος. Ἕνεκα γὰρ τοῦ συν-

A Omnem malitiam et non malitiam mulieris.

Aquæ ne des exitum, nec mulieri improbæ licentiam : si nolit monentem te audire, desecato eam de carne tua.

175 Cum leone et dracone potius habitato, quam cum muliere improba.

Omnia vitia parva sunt, si cum mulieris vitiis comparentur. Sors scelerati in eam incidat.

Ex muliere peccati initium est, et per eam omnes morti debemur.

Improbæ mulieri licentiam loquendi ne concedito.

Ira magna est mulier ebriosa.

Cor malum et vultus tristis cordisque vulnus, mala mulier viro suo resistens.

B

Scortatio mulieris in elatione oculorum et in palpebris suis agnoscetur.

Præstat malitia viri, quam benefica mulier.

Ex vestimentis enascitur tinea, et ex muliere malitia.

In muliere improba bonum est sigillum.

Mulier clamosa et linguax quasi tuba hostium ad fugam spectabitur.

S. Basilii. Ut enim naves putres procellæ et tempestates demergunt, sic improba mulierum studia et affectiones imbecillas cohabitantium animas misere submergunt et perdunt.

Quando igitur animi sui curam geret, qui amoribus mulierum quasi servus addictus est ? Nullæ enim opes satis sunt cupiditatibus mulie-

C rum.

Theologi. Mulieres insipientissimæ pulchritudine sua carentes ad pecunias confugiunt : ac sunt (ut sic dicam) theatrali ornatu conspicuæ, propter formam deformes et propter deformitatem deformiores.

S. Chrysost. O malum quovis malo pejus mulierem improbam !

Asperi sunt dracones, aspides maleficæ;

Sed mulieris asperitas acerbior quam ferarum.

Improba mulier nunquam mansuefiet; si durius tractetur, furit : si blandius, tollitur et elata est.

D Ferrum coquere, quam mulierem emendare facilius.

Qui habet uxorem malam, suorum se peccatorum mercedem accepisse intelligat.

Nulla in mundo bellua est, quæ cum muliere improba conferatur.

Quid leone inter quadrupedes ferocius? Quid crudelius dracone inter serpentia? Nihil nisi mulier improba.

Acerbum est pauperiorem duxisse uxorem, acerbum item opulentiorem : illud enim rem, hoc auctoritatem et libertatem viri minuit et lædit.

Philonis. Mulieri parere contumelia est suprema.

176 Callidissimum est mulieris ingenium ad mentem viri luxandam et statu suo deturbandam,

maxime si fuerit intemperans; quia enim conscia sibi est hujus vitii, mollior subinde redditur.

Sui amans est mulier, et zelotypa immoderate ac mire industria, ut possit viri mores pervertere.

Diogenis. Diogenes conspicatus mulieres inter se colloquentes : Aspis, inquit, a vipera venenum mutuatur.

Aristippi. Aristippus Cyrenæus philosophus, a quopiam interrogatus, an sibi ducere uxorem expediret, negavit. Si enim duxeris (inquiebat) formosam, habebis communem ; sin autem deformem, pœnam.

Mulier os exornans animum deformem indicat.

Democr. Cum Democritum quidam percunctaretur, cur magnus cum esset, parvam duxisset uxorem : Ego, inquit, in malo eligendo, quod minimum erat, elegi.

Socratis. Cum te diligere et appetere te dixerit mulier, tum ab illa magis metuendum tibi est quam cum conviciatur.

Protagoræ. Protagoras interrogatus ob quam causam inimico filiam nuptum dedisset : Quia, inquit, nihil ei dare poteram pejus.

Idem cum vidisset anum exornatam : Si, inquit, viris, falleris ; si sepulcro, ornata es.

Socratis. Socrates dicere solebat, tria se mala assecutum, grammaticam, paupertatem et perniciosam uxorem ; quorum duo cum effugisset, perniciosam uxorem effugere non potuisse.

Idem se consulentibus de ratione matrimonii contrahendi, dixit : Quemadmodum pisces, o adolescentuli, qui nondum intra nassas sunt, volunt intrare, qui autem jam intus sunt, volunt exire ; sic et vos ne idem vobis accidat videte.

Idem Xanthippen ornatam et ad spectacula euntem conspicatus : Non inquit, ut spectes, o uxor, exis, sed ut specteris.

Philoxeni. Philoxenus poeta cum quidam eum percunctaretur, quamobrem Sophocles bonas introducat feminas, ipse autem malas : Quia, inquit, quales oportet esse feminas Sophocles ostendit, ego vero quales sunt.

Catonis. Omnes homines uxoribus imperant, nos omnibus hominibus, nobis autem uxores.

SERMO XXXV [*al.* X].

De congregatione bonorum virorum ; et præstantissimis adhærendum esse, non item improbis.

177 *Prov.* XIII. Qui cum sapientibus conversatur, sapiens evadet.

Si videris sagacem ac prudentem, mane illum adito, et limina januarum ejus pedibus tuis deterito.

In multitudine seniorum stato, et si quis erit sapiens, huic te adjungito.

Narrationes sapientum ne contemnas, et in proverbiis illorum verseris.

εὐδότος μαλακικωτέρα [*f.* μαχλικωτέρα *vel* μαλακωτέρα] γίνεται.

Φίλαυτον γυνή, καὶ ζηλότυπον οὐ μετρίως καὶ δεινὸν παραλῦσαι ἦθη ἀνδρός.

Διογένης κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη· Ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται.

Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος, ἐρωτηθεὶς ὑπό τινος εἰ συμφέρει αὐτῷ γῆμαι, εἶπεν· Οὐκ· εἰ μὲν γὰρ καλὴν, κοινὴν ἕξεις· εἰ δὲ φαύλην, ποινήν.

Γυνὴ τῷ προσώπῳ κοσμουμένη, τὴν τῆς ψυχῆς ἀμορφίαν ἐμφαίνει.

Δημοκρίτῳ ἔφη τις· Διατί, μέγας ὤν, μικρὰν ἔγημας γυναῖκα ; Κἀκεῖνος εἶπε· Τοῦ κακοῦ ἐκλογὴν ποιούμενος, τὸ ἐλάχιστον ἐξελεξάμην.

Ὅταν ποθεῖν σε καὶ στέργειν λέγῃ γυνὴ, φεῦ παρ' αὐτῆς πλέον, ὧν λέγει κακά.

Πρωταγόρας ἐρωτηθεὶς, Διὰ τίνα αἰτίαν ἐχθρῷ τὴν θυγατέρα δέδωκας πρὸς γάμον, εἶπεν· Οὐκ εἶχον γὰρ αὐτῷ δεδωκέναι χεῖρον.

Ὁ αὐτὸς, ἐωρακὼς κεκοσμημένην γραῦν, ἔφη· Εἰ μὲν πρὸς ἄνδρας, ἐπλανήθης· εἰ δὲ πρὸς τάφον, ἐκοσμήθης.

Σωκράτης ἔφη, Τριῶν κακῶν πέτευγμαι, γραμματικῆς, πενίης καὶ οὐλομένης γυναικός· τῶν δύο ἐξέφυγον, οὐλομένης γυναικὸς ἐκφυγεῖν οὐκ ἐδυνήθην.

Ὁ αὐτὸς πρὸς τοὺς αὐτὸν συμβουλευομένους περὶ τοῦ γῆμαι, ἔφη· Ὥσπερ οἱ ἰχθύες, ὦ νεανίσκοι, οἱ περὶ τοὺς κύρτους, οἱ μὲν ἔξωθεν ὄντες βούλονται εἰσελθεῖν, οἱ δὲ ἔνδον ὄντες βούλονται ἐξελθεῖν· οὕτως δὲ ὑμεῖς ὁρᾶτε, μὴ τὸ αὐτὸ πάθητε.

Ὁ αὐτὸς, Ξανθίππην κεκοσμημένην καὶ ἐπὶ θέαν πορευομένην ἰδὼν, ἔφη· Οὐχ ἵνα θεάσῃ, γύναι, πορεύῃ, ἀλλ' ἵνα θεαθῇς.

Φιλόξενος ὁ ποιητὴς, εἰπόντος τινὸς, Διὰ τί Σοφοκλῆς χρηστὰς παρεισάγει τὰς γυναῖκας, αὐτὸς δὲ φαύλας, εἶπεν· Ὅτι Σοφοκλῆς μὲν οἵας δεῖ εἶναι τὰς γυναῖκας λέγει, ἐγὼ δὲ οἵαι εἰσίν.

Πάντες οἱ ἄνθρωποι τῶν γυναικῶν ἄρχουσιν, ἡμεῖς δὲ ἀνθρώπων ἁπάντων, ἡμῶν δὲ αἱ γυναῖκες.

ΛΟΓΟΣ ΛΕ'.

Περὶ συναγωγῆς χρηστῶν ἀνδρῶν· καὶ ὅτι χρὴ ἀρίστοις ἀνδράσι κολλᾶσθαι, καὶ μὴ πονηροῖς.

Ὁ συμπορευόμενος σοφοῖς σοφὸς ἔσται.

Ἐὰν ἴδῃς συνετὸν, ὄρθριζε πρὸς αὐτὸν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.

Ἐν πλήθει πρεσβυτέρων στῆθι· καὶ εἴ τις σοφὸς, προσκολλήθητι αὐτῷ.

Μὴ παρίδῃς διήγημα σοφῶν, καὶ ἐν ταῖς παροιμίαις αὐτῶν ἀναστρέφου.

Λόγῳ σοφῷ παράβαλε σὸν οὖς.

Ἄνδρες δίκαιοι ἑστωσαν σύνδειπνοί σου.

Μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε.

Πετεινὰ πρὸς τὰ ὅμοια καταλύει· λειτουργοὶ αὐτοῦ, καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως, πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ.

Ὥσπερ οἱ ζωγράφοι ὅταν ἀπὸ εἰκόνος εἰκόνα γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα βλέποντες, τὸν ἐκείνου χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα, οὕτω δὴ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν χρὴ, καὶ τὸ ἐκείνων ἀγαθὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως

Ἐὰν ἴδῃς ἐθνικὸν, βίου σώφρονος καὶ τῆς λοιπῆς κατὰ τὸ ἦθος εὐταξίας ἐπιλαβόμενον πλέον σεαυτοῦ, τὸ σπουδαῖον ἐπίτεινον.

Εἰ τοῖς καλοῖς ἕποιο νουθετούμενος,
Οὐκ ἐντραπήσῃ τοῖς κακοῖς γελώμενος.
Σοφῶν θύρας ἔκτριβε, πλουσίων δὲ μή.

Μὴ κλείσῃς τὰ ὦτα πρὸς παιδείαν Κυρίου καὶ νουθεσίαν, ὡς ἀσπὶς πρὸς ἐπᾴσματα.

Οὐ μικρὸν τοῖς σπουδαίοις καὶ μικρὰ τῶν μεγίστων ἡ μίμησις.

Κρεῖσσον δεύτερα ἔχειν μεγάλων ἢ πρῶτα πενιχρῶν.

Φιλεῖ πρὸς τὰς ἀναστροφὰς τὰ ἤθη ῥυθμίζεσθαι.

Ἔλεγχος ἀνδρὸς ἤθους; ἡ μετὰ τῶν τοιῶνδε συνουσία· ὅ τε γὰρ φαῦλος ἐξ ἀνάγκης τοῖς ὁμοίοις συνέσται· ὅ τε δ' αὖ πάλιν σώφρων καὶ σοφὸς τοῖς τὰ τοιαῦτα μετιοῦσιν.

Καλὸν ἀεὶ τῷ κρείττονι τὸ χεῖρον ἀκολουθεῖν διὰ βελτιώσεως ἐλπίδα.

ΛΟΓΟΣ ΛϚ'.

Περὶ συναγωγῆς κακῶν ἀνδρῶν· καὶ ὅτι χρὴ φεύγειν τὰς τῶν μοχθηρῶν ἑταιρείας, ὡς ὄλεθρον προξενούσας.

Ἀφανίσατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Τὸ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστιν ἐπιστήμη.

Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν.

Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω.

Ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ.

Υἱὲ, μή σε πλανήσουσιν ἄνδρες ἀσεβεῖς, μήτε πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν. Ἔκκλινον τὸν πόδα σου ἀπὸ τῶν τρίβων αὐτῶν. Οὐ γὰρ μὴ ὑπνώσουσιν, ἐὰν μὴ κακοποιήσωσιν.

(1) In epist. ad Greg. *De vita solitaria.*

A Sermoni sapientis aures accommodato.

Viri sapientes sint tui convivæ.

Viro pio multum assidueque utitor.

Volucres ad pares divertunt : ministri, et omnes qui urbem incolunt, præfecti mores imitantur.

Rom. XII. Odio sit vobis malum : at bono agglutinamini.

S. Basilii (1). Quemadmodum pictores cum imaginem ab imagine pingunt, identidem exemplaria spectantes, illorum lineamenta ad suum opificii usum transferre student : sic qui studet se omnibus virtutis partibus perfectum efficere, debet elaborare, ut quasi ad simulacra motu et actione prædita, vitas dico sanctorum, sæpe oculos animi B convertat.

Si videris ethnicum, vitam temperatam et reliquam in moribus moderationem diligentius, quam teipsum, conservare, fac ut studium tuum et diligentiam circa eadem augeas.

Si honestos sequeris monitus,
Non erubesces a malis derisus.
Ostia sapientum, non divitum terito.

(*Theologi.*)

Ad eruditionem et monitionem Domini ne obturato aures, ut aspis ad incantamenta.

Non exiguum quid videtur bonis, licet exigua maximarum rerum imitatio.

C Præstat magnorum partes secundas, quam parvorum primas tenere.

Solent ad rationem conversationis conviventium mores componi.

Cujusque ingenium quale sit ex conversatione arguitur; etenim improbus necessario cum sui similibus versabitur ; contra autem temperans et sapiens cum iis qui eadem exercent.

Philonis. Bonum est semper ut improbior meliorem sequatur, propter emendationis spem.

SERMO XXXVI [*al.* XX].

De congregatione malorum virorum ; et quod oportet sodalitates improborum exitiosas evitare.

Deut. I. Amovete ex vobis improbum.

D *I Cor.* V. Se abstinere ab improbis viris, id demum scientia est.

Psal. I. Beatus qui in concilio impiorum non ambulat, nec in via scelerosorum **178** stat, nec in sede pestiferorum sedit.

Non sedi in consessu vanitatis, nec ingrediar cum exlegibus.

Solomon. Insipiens confidenter se cum exlege commiscet.

Fili, vide ne te seducant impii, nec sequaris eorum instituta. Deflecte a viis illorum ; non enim somnum capere possunt, nisi maleficium aliquod commiserint.

Noli æmulari exleges; ubicunque castra sua posuerint, eo fac ne accedas; declina illos ac præteri; non enim somnum capient, nisi maleficium commiserint.

Viam impiorum ne ingrediaris, nec exlegum vias quæsieris.

Qui cum insipientibus congreditur, agnoscetur.

Fili, malos viros ne æmuleris, nec illorum cœtus appetas: falsa enim meditatur cor illorum, et molesta labia eorumdem loquuntur.

Prov. XXIII. Ne te adjungas sodalem iracundo, aut amico iracundo contubernalem, ne discas tandem illius vias, et laqueum capias animæ tuæ.

Isa. Abstine ab injusto, et non terreberis, nec tremor appropinquabit tibi.

I Thess. v. Præcipimus vobis, fratres, nomine Domini nostri Jesu Christi, ut secedatis ab unoquoque fratre immoderate et sine ordine se gerente, et non ea ratione quam a nobis traditam acceperatis.

Fugite imitationes condemnatorum.

I Cor. v. Si quis, frater cum nominetur, fuerit vel scortator, vel simulacrorum cultor, vel conviciator, vel rapax, cum ejusmodi ne cibum quidem sumite; tollite ex vobis improbum.

Sirach. Cum disciplina carentibus ne colludas, ne parentes tui probro afficiantur.

S. Basilii. Perniciosæ sunt malorum congressiones: siquidem hæc est amicitiæ lex ac consuetudo, ut per similitudinem ingeneretur conjunctis. Ut enim in pestilentibus locis paulatim aer immissus morbum occulte illic degentibus immittit, sic improborum consuetudo multa mala importat, etiamsi calamitas in præsentia oculos fugiat.

Bonos non bonis semper anteponito.
Nam si cum malis verseris, malus omnino fies.
(*Theologi.*)

S. Chrysost. Delicatos et dissolutos ac improbos vitato, ac etiam eos qui scorta ductant.

S. Athanas. Non modo a vitiis cavere debemus, ac ea vitare, verum etiam eos qui talia faciunt aversari.

179 *S. Cyrilli.* Improbis connivere, et noxium est et vituperatione dignum.

Clementis. A sceleratis liberari, est saluti initiari.

Nili. Probi viri ad improbos accedentes multo facilius vitia trahunt, quam virtutem impertiunt.

Philonis. Perniciosæ sunt stultorum congressiones: et animo sæpe audienti illorum dementiæ simulacra imprimuntur.

Non rus improbos, non urbs bonos efficit, sed talium consuetudo.

SERMO XXXVII [*al.* XII].

De illis qui optimos et sanctos viros honorant.

Gen. XX. Abimelechus mille didrachma argenti, oves, vitulos, pueros et puellas Abrahamo donavit:

Μὴ ζηλώσῃς ὁδοὺς ἀνόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ· ἔκκλινον ἀπ' αὐτῶν καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσουσιν, ἐὰν μὴ κακοποιήσωσιν.

Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζητήσῃς ὁδοὺς παρανόμων.

Ὁ συμπεριφερόμενος ἄφροσι γνωσθήσεται.

Υἱὲ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν. Ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.

Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, μηδὲ συναυλίζου φίλῳ ὀργίλῳ, μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ.

Ἀπέχου τοῦ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.

Παραγγέλλομεν ὑμῖν, ἀδελφοὶ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθε ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρελάβετε παρ' ἐμοῦ.

Φεύγετε τὰς μιμήσεις τῶν κατεγνωσμένων.

Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν· ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Μὴ πρόσπαιζε ἀπαιδεύτοις, ἵνα μὴ ἀτιμάζωνται οἱ γονεῖς σου.

Βλαβεραὶ αἱ πρὸς τοὺς κακοὺς συνουσίαι· ἐπειδὴ νόμος οὗτος φιλίας δι' ὁμοιότητος πεφυκέναι τοῖς συναπτομένοις ἐγγίνεσθαι. Ὡς γὰρ ἐν τοῖς νοσοποιοῖς χωρίοις κατὰ μέρος ἀναπεμπόμενος ὁ ἀὴρ λανθάνουσαν νόσον τοῖς ἐνδιαιτωμένοις ἐναποτίθησιν, οὕτως ἡ πρὸς τοὺς φαύλους συνουσία μεγάλα κακὰ ταῖς ψυχαῖς ἐναφίησι, κἂν τὴν παραυτίκα αἴσθησιν τὸ βλαβερὸν διαφεύγῃ.

Ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶ
Κακοῖς δ' ὁμιλῶν καὶ κακὸς πάντως ἔσῃ.

Φεῦγε τοὺς βλάκας καὶ ἐκλύτους ἄνδρας καὶ πονηροὺς, καὶ ἡταιρηκότας.

Δεῖ μὴ μόνον ἀπέχεσθαι τῶν κακῶν, ἀλλὰ καὶ τοὺς τὰ τοιαῦτα πράσσοντας ἀποστρέφεσθαι.

Τὸ συνδιαιτᾶσθαι τοῖς φαύλοις ἐπιβλαβὲς καὶ ἐπίψογον.

Ἡ τῶν κακῶν ἀπαλλαγὴ σωτηρίας ἐστὶν ἀρχή.

Πολλάκις ἄνδρες ἀγαθοὶ, κακοῖς προσγενόμενοι, πολλῷ θᾶττον κακίας μέτελαβον, ἢ μετέδοσαν ἀρετῆς.

Βλαβεραὶ τῶν ἀνοήτων αἱ συνουσίαι· καὶ ἀκούουσα πολλάκις ψυχὴ, τῆς ἐκείνων φρενοβλαβείας ἀπομάττει τὰ εἴδωλα.

Οὐ ποιεῖ ἀγρὸς φαύλους, οὐδὲ ἄστυ σπουδαίους, ἀλλ' ἡ μετὰ τῶν τοιῶνδε συνδιατριβή.

ΛΟΓΟΣ ΛΖ'.

Περὶ τῶν τοὺς ἀρίστους καὶ ἁγίους ἄνδρας τιμώντων.

Καὶ Ἔλαβεν Ἀβιμέλεχ χίλια δίδραχμα ἀργυρίου, καὶ πρόβατα, καὶ μόσχους, καὶ παῖδας καὶ παιδί-

σκας, καὶ ἔδωκε τῷ Ἀβραάμ. Καὶ ἀπέδωκεν αὐτῷ Σάρραν τὴν γυναῖκα αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Ἰδοὺ ἡ γῆ μου ἐναντίον σου, καὶ οὗ ἐὰν ἀρέσκῃ σοι, κατοίκει.

Εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς· Ἰδοὺ ἔγνων ὅτι ἄνθρωπος τοῦ Θεοῦ ὁ ἅγιος οὗτος διαπορεύεται ἐφ' ἡμᾶς διαπαντός· ποιήσωμεν δὴ ὑπερῷον τόπον μικρὸν, καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην καὶ τράπεζαν, καὶ δίφρον, καὶ λυχνίαν· καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι πρὸς ἡμᾶς, ἐκκλινεῖ ἐκεῖ. Καὶ ἐγένετο ἡμέρα, καὶ εἰσῆλθεν Ἐλισσαιὲ, καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον, καὶ ἐκοιμήθη ἐκεῖ.

Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός· λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.

Ὁ ἀντιλαμβανόμενος δικαίων, οὗτος ἀνατελεῖ.

Μνήμη δικαίων μετ' ἐγκωμίων.

Εὖ ποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα, καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τοῦ Ὑψίστου.

Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται.

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς, καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν.

Πρώτη τῶν εὐεργεσιῶν τὸ ἐπαινεῖσθαι τοὺς καλούς. Ζήλου γὰρ ὁ ἔπαινος πρόξενος, ζῆλος δὲ ἀρετῆς.

Τῶν ἀρίστων μάλιστα μνημονευτέον, ὧν καὶ τὸ μεμνῆσθαι δσον ἐμοὶ καὶ ὠφέλιμον.

Πᾶσι τὸ καλὸν ὁμοίως αἰδέσιμον.

Οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες μερισταὶ τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσίν.

Εἴ τις εἴη ἐν ἡμῖν τῆς ἐξαιρέτου ζωῆς ἐπιμελητὴς, καὶ τῇ τοῦ βίου λαμπρότητι μαρτυρούμενος, τούτῳ πάντη τε καὶ πάντως ἔποιτο ἂν τὸ χρῆναι τιμᾶσθαι καὶ μὴ ἀπιστεῖσθαι πρός τινων, ἀλλ' εἰς ὅρκου δύναμιν δέχεσθαι παρ' αὐτοῦ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ.

Οὐκ ἔστι μέγα τὸ φροντίζειν ἀνδρὸς δικαίου, ἀλλὰ χάριν λαμβάνει ὁ, καταξιούμενος διακονεῖν αὐτῷ.

ΛΟΓΟΣ ΛΗ'.

Περὶ τῶν τοὺς ἁγίους καὶ ἀρίστους ἀνδρας ἀτιμαζόντων.

Δίκαιοι καταγελῶνται· παραδίδονται γὰρ εἰς χεῖρας ἀσεβῶν.

Δίκαιος ἀνὴρ ἄμεμπτος ἐγεννήθη εἰς χλεύασμα.

Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν.

Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.

reddidit etiam Sarram uxorem, eumque sic affatur: Ea terra mea est in conspectu tuo; ubicunque libitum fuerit, ibi habitato.

IV Reg. IV. Uxor dixit viro suo: Novi hunc hominem Dei sanctum frequenter hac transire. Faciamus ei cœnaculum in parvo aliquo loco, ubi collocemus ei lectum et mensam, et sedem ac candelabrum, ut cum præteribit hac, huc divertere possit. Postea autem aliquando accidit, ut veniret Elisæus, et se recepit in illud cœnaculum, ibique dormivit.

Psal. CXXXVIII. Valde autem honorati sunt a me amici tui, Deus: corroborati sunt admodum principatus eorum.

Prov. II. Qui bonis succurrit, magnus tandem aliquando evadet.

Eccli. XII. Memoria justorum cum laudibus conjuncta est.

Pio benefacito, et remunerationem consequeris, et si non ab illo, certe ab ipso Celsissimo.

Matth. X. Qui prophetam prophetæ nomine recipit, mercedem prophetæ accipiet: et qui justum recipit justi nomine, justi mercedem accipiet.

I Thess. V. Rogamus autem vos, fratres, ut eos agnoscatis qui inter vos laborant: itemque eos qui præsunt vobis, ad Domini laudem, quique vos admonitionibus erudiunt et castigant, et habeatis illos in summo honore per charitatem, propter munus et officium, quo funguntur.

Theologi. Primum inter beneficia est, ut boni laude afficiantur. Laus enim parit æmulationem, æmulatio virtutem.

Præstantissimorum maxime memores esse debemus, quorum vel sola recordatio sancta mihi et utilis est.

Chrysost. Honestum ex æquo omnibus veneratione dignum videtur.

180 Qui bonos laudant, coronarum quæ illis repositæ sunt, participes fiunt.

Cyrilli. Si quis exstiterit inter nos eximiæ vitæ meditator, et testimonio comprobatus de vitæ præstantia, huic omnino consequens est, et ut honoretur, et fides ei habeatur; quin etiam jurisjurandi loco ex illo accipiatur simplex affirmatio aut negatio.

Res magna non est virum justum curare, sed gratiam meretur qui justo ministrare satagit.

SERMO XXXVIII [*al.* XXI].

De iis qui sanctos et præstantes viros ignominia afficiunt.

Job XII. Justi deridentur: nam in impiorum manus traduntur.

Vir justus et irreprehensibilis factus est ad ludibrium.

David. Muta fiant labia dolosa, quæ contra justum loquuntur inique.

Observat sceleratus justum, et dentibus in eum frendet.

Prov. XXIX. Sapientes et sagaces improbos vocant. Viri sanguinarii quod sanctum est, oderunt.

Abominandus est scelerato divinus cultus.

In regione impiorum probi gemunt : at in illorum exitio boni augebuntur.

Isa. III. Miser animus illorum, quia malum ceperunt consilium contra seipsos, dicentes : Vinculis constringamus justum, quia nobis est obnoxius. Ergo fructus operum illorum devorabunt.

Sap. IV. Si viderint justum, contemnent : Dominus autem irridebit eos : deinde ignominiose et contumeliose tractabuntur.

Ibid. V. Tunc cum magna constantia stabit justus adversus ora eorum qui ipsum afflixerint, et qui repudiaverunt labores ipsius, cumque viderint, gravi metu turbabuntur, et obstupefient ad admirabilem illius salutis rationem : secum enim taciti loquentur pœnitentes : Hic est quem risui habeimus insipienter, et conviciis proscidimus, ac in eum conviciorum proverbia jecimus, in vita eum insanire putabamus, et mortem ipsius ignominiosam arbitrati sumus : quomodo vero adnumeratus est inter filios Dei, et inter sanctos sors ejus cecidit? Ergo aberravimus a via, et justitiæ lux nobis non illuxit, et sol nobis non est exortus; quid profuit nobis superbia? quid opulentia cum arrogantia nobis contulit? præterita sunt illa omnia, quasi umbra, et quasi fama prætervolans.

I Tim. III, Quicunque volunt pie vivere ex Christi Jesu instituto, ii persecutionibus **181** agitabuntur : improbi autem homines et præstigiatores ad pejora proficient seducentes et seducendi.

S. Basilii. Sæpenumero boni etiam in manus impiorum traduntur, non ut illi honore afficiantur, sed ut ibi contemptu probentur.

Theologi. Siquidem me, malus cum sim, optimum existimas, quid mihi faciendum est? An improbior ero, ut magis placeam tibi? Nequaquam vero sic mihi consulam. Eodem modo nec si, cum recte fungar officio meo, labi et errare me credis, rectum officium propter te deseram : vivo enim non tibi magis quam mihi ipsi.

Fabricantur scelerati supra dorsum nostrum, factique sumus commune theatrum et angelis et hominibus.

S. Chrysost. Fieri non potest ut qui virtuti diditi sunt, apud omnes audiant bene.

S. Athanasii. Traduntur sæpe etiam justi in scelerosorum manus, non ut isti honorentur, sed ut illi probentur : deridentur in præsens quandiu Christi bonitas permittit, occultantur aliquantisper magna et secreta penetralia earum rerum quæ utrisque sunt reservatæ in illud tempus, cum et oratio, et actio, et cogitatio æquis lancibus pendentur, cum surget ad judicandum universam terram, consilia, voluntates et opera ipsa congregaturus et aperiturus quæ apud ipsum consignata et clausa servantur.

Τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν.

Ἄνδρες αἱμάτων μέτοχοι μισήσουσιν ὅσιον.

Βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια.

Ἐν τόποις ἀσεβῶν στένουσι δίκαιοι· ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πληθυνθήσονται δίκαιοι.

Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται.

Ὄψονται τὸν δίκαιον καὶ ἐξουθενήσουσιν· αὐτὸς δὲ Κύριος ἐγγελάσεται· καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον καὶ εἰς ὄβριν.

Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. Ἰδόντες δὲ ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας. Ἐροῦσι γὰρ ἐν ἑαυτοῖς μετανοοῦντες· Οὗτός ἐστιν ὃν ποτε ἔσχομεν εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρονες· τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον· πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν. Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία; καὶ τί ὁ πλοῦτος μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν; Παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιά, καὶ ὡς ἀγγελία παρατρέχουσα.

Πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται· πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι.

Παραδίδονται πολλάκις καὶ δίκαιοι εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα οὗτοι δοκιμασθῶσι διὰ τῆς περιφρονήσεως.

Εἰ δέ με ὄντα κακὸν ἄριστον ὑπελάμβανες, τί με ποιεῖν ἐχρῆν; εἶναι μᾶλλον κακὸν, ἵνα πλέον ἀρέσω σοι; Οὐκ ἂν τοῦτο ἐμαυτῷ συνεβούλευσα. Οὕτως οὐδὲ εἰ κατορθοῦντά με πταίειν ὑπολαμβάνεις, τὸ κατορθοῦν διὰ σὲ μεταθήσομαι. Ζῶ γὰρ οὐ σοὶ μᾶλλον ἢ ἐμαυτῷ.

Τεκταίνουσιν ἐπὶ τὸν νῶτον ἡμῶν οἱ ἁμαρτωλοί, καὶ γεγόναμεν θέατρον κοινὸν καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

Οὐ δυνατὸν τοὺς ἐν ἀρετῇ ὄντας παρὰ πάντων ἀκούειν καλῶς.

Παραδίδονται πολλάκις καὶ δίκαιοι εἰς χεῖρας ἁμαρτωλῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα οὗτοι δοκιμασθῶσιν. Κατηγελῶνται πρὸς τὸ παρὸν, ὡς ἔστι [*f.* ἔτι] ἡ τοῦ Θεοῦ χρηστότης κρύπτεται, καὶ τὰ μεγάλα ταμεῖα τῶν ὕστερον ἀποκειμένων ἑκατέροις ἡνίκα καὶ λόγος καὶ πρᾶξις καὶ διανόημα τοῖς ἀκαίροις σταθμοῖς ταλαντεύεται, ὅταν ἀναστῇ κρῖναι τὴν γῆν, τὴν βουλὴν καὶ τὰ ἔργα συνάγων, καὶ γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτῷ καὶ σεσῳσμένα.

ΛΟΓΟΣ ΛΘ'.

Περὶ μισοπονηρίας, καὶ τῶν τὰ ἄτοπα ἀποστρεφομένων.

Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις, μέγας γενόμενος Μωσῆς ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. Κατανοήσας δὲ τὸν πόνον αὐτοῦ, ὁρᾷ ἄνθρωπον Αἰγύπτιον τύπτοντά τινα Ἑβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ἰσραήλ· περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε, οὐχ ὁρᾷ οὐδένα. Καὶ πατάξας τὸν Αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ. Ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, ὁρᾷ δύο ἄνδρας Ἑβραίους διαπληκτιζομένους, καὶ λέγει τῷ ἀδικοῦντι· Διατί τύπτεις τὸν πλησίον; Ὁ δὲ εἶπεν· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; ἢ ἀνελεῖν με θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;

Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά.

Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα.

Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην· τὸν δὲ νόμον σου ἠγάπησα.

Φόβος Κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν.

Μεμίσηκα διεστραμμένας ὁδοὺς κακῶν.

Ὁ μισῶν ἀδικίαν μακρὸν βιώσεται χρόναν.

Περικάθαρμα δικαίῳ ἄνομος.

Οὐκ ἀρέσει δικαίῳ οὐδὲν ἄνομον.

Λόγον ἄδικον μισεῖ δίκαιος.

Δίκαιος οὐ προσέχει χείλεσι ψευδέσιν.

Εὐδοκία Κυρίου ἀποστῆναι ἀπὸ πονηρίας, καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας.

Δεῖξον, ἄνθρωπε, τὸ μισοπόνηρον, ἀποστρεφόμενος μὲν τὰς ἁμαρτίας, ὑπερτιμῶν δὲ τὰς ἀρετάς. Ἐὰν γὰρ ἐφ' ἑκάστης πράξεως νικᾷν ποιήσῃς τὰ βελτίονα, μακάριος ἔσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.

Τί τὸν Φινεὲς ἐδικαίωσεν; οὐχὶ δικαία καὶ μισοπόνηρος ὀργὴ κατὰ τῶν πορνευσάντων; ὃς τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τὴν πορνείαν τοῦ Ζαμβρὶ καὶ τῆς Μαδιανήτιδος ἀναφανδὸν καὶ ἀπηρυθριασμένως γιγνομένην, οὐδὲ συγκαλυπτόντων αὐτῶν τὴν αἰσχύνην, τὴν ἀσχήμονα θέαν οὐκ ἀνεχόμενος, εἰς ἄδον ἐχρήσατο τῷ θυμῷ, δι' ἀμφοῖν ἐλάσας τὸν σειρομάστην. Σαμουὴλ δὲ τὸν Ἀγὰγ βασιλέα τοῦ Ἀμαλὴκ ὑπὸ δικαίας ὀργῆς εἰς μέσον ἤγαγὼν κατεφόνευσεν. Οὕτω γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν καὶ δικαίων πράξεων ὑπηρέτης. Ἠλίας δὲ ὁ ζηλωτὴς τετρακοσίους καὶ πεντήκοντα ἄνδρας ἱερεῖς τῶν ἄλσεων, ἐσθίοντας τὴν τράπεζαν Ἰεζάβελ, καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῆς αἰσχύνης, λελογισμένῳ θυμῷ καὶ σώφρονι, εἰς ὄφελος παντὶ τῷ Ἰσραὴλ ἐθανάτωσεν.

Ὑμῆς δίχα ψυχῆς οὐ καθαίρεται κακία.

SERMO XXXIX [*al.* VII].

De improbitatis odio, ac de iis qui quæ absurda sunt declinant.

Exod. II. Accidit autem longo post tempore, ut Moses jam grandis inviserit fratres suos filios Israelis : cumque animadvertisset eorum molestias ac labores, videt ab homine Ægyptio percussum Hebræum quemdam, unum ex fratribus filiorum Israelis : cumque huc et illuc circumspexisset, nec quemquam vidisset, percussit Ægyptium illum, ac occultavit eum in arena. Postridie autem cum prodiisset, vidit Hebræos duos compugnantes, ac injuriam facienti dixit : Cur verberas proximum tuum? Ille autem, Quis te, inquit, principem et judicem constituit super nos? an me interficere vis, quemadmodum heri interfecisti Ægyptium?

Psal. XXV. Odi concionem improbe agentium, nec cum impiis habitabo.

Qui Dominum diligitis, improbitatem odisse debetis.

Non proponebam mihi ante oculos rem quæ contra legem esset, transgressores et prævaricatores odi.

Iniquitatem odi, et abominor : legem **182** autem tuam diligo.

Prov. VIII. Metus Domini injustitiam odit, et contumeliam, superbiam et improborum vias.

Odi tortuosas pravorum vias.

Qui odit iniquitatem longo vivet tempore.

Piaculum est justo exlex.

Nihil legi adversum placebit justo.

Verbum iniquum odit justus.

Justus non attendit labiis mendacibus.

Sirach XXXV. Gratum est Domino ab improbitate desistere, et placatur cum ab injuria desistitur.

S. Basilii. Demonstra, o homo, te improbitatem odisse, peccata rejiciens, et virtutes honore afficiens. Si enim in magnaque actione effeceris ut meliora vincant, beatus eris illo die, cum Deus occulta hominum judicabit.

Quid justum effecit ipsum Phineem? nonne justa et improbitatem exosa ira adversus scortatores? qui alioqui esset lenis et clemens. Sed postea quam animadvertit improbitatem Jambri et Madianitidis manifestam et inverecundam, illis non tegentibus turpitudinem, deforme spectaculum non ferens, sicut decebat, iracundiam in illos exercuit, ac utrumque hasta sua transfodit. Samuel vero Agagum regem Amalecorum, justa commotus ira, in medium adductum occidit. Ita sæpenumero bonarum et justarum actionum ministra est ira. Itemque Helias ille æmulator quadringentos et quinquaginta sacerdotes lucorum, de mensa Hiezabelis cibum sumentes, et quadringentos turpitudinis sacerdotes, meditata ratione et ira sobria commotus, morte affecit ad universi populi Israelitici utilitatem.

Philonis. Sine sæva animo non repurgantur vitia.

SERMO XL [*al.* XVII].

De iis qui malis delectantur, probantque improbitatem.

Davidis. Comprehenduntur in insidiosis suis consiliis quæ excogitarunt, quia laudatur scelerosus in cupiditatibus animi sui, et injuriosus in eisdem bene audit.

Psal. XLIX. Quando videbas furem, una cum illo currebas, et cum adultero societatem inibas.

Quid gloriatur potentia præditus in vitio? iniquitatem totos dies et injuriam commentata est lingua tua.

Qui dicit impium justum esse, is exsecratus populis erit, et genti odiosus.

O qui malis delectamini, ac perversitate mala gaudetis, quorum viæ tortuosæ, et obliqua cursus vestigia.

183 Quærens mala comprehendetur ab illis.

Qui alterius interitu gaudet, non erit innocens.

Quovis tempore oculi improborum admittunt flagitia.

Amos. Ne gaudeas, inimica mea, quod ceciderim; nam resurgam, propterea quod etiamsi sedero in tenebris, Dominus illustrabit me : iram Domini sustinebo, quia in eum peccavi donec ipse justificarit causam meam, et eduxerit me in lumen, ac ipsius justitiam videro. Videbit item hostis mea, et confusione turpi induetur, quæ mihi dicere solebat, Ubi est Dominus Deus tuus?

Isa. v. Miseri vos, qui dicitis malum bonum, et vicissim bonum malum : qui ponitis tenebras lucem, et lucem tenebras : itemque amarum dulce, et dulce amarum.

Laqueo capientur qui piorum ruina gaudent, et vehemens dolor conficiet ipsos ante mortem.

Non convenit scelerosum laudibus efferri.

Scelerosus amicos suos turbabit, et inter eos qui pacifice vivunt, injiciet calumniam.

Qui gestiunt gaudio propter viri mala, iis consenescent mala.

Rom. I. Qui quidem justa Dei decreta cum cognoscant, eosque qui talia designassent mortis supplicio dignos esse, non solum illa faciunt, sed etiam approbant eos qui faciunt.

Proditio est veritatis, et assuefactio ad rerum indifferentiam improbe viventium receptio.

Multi malas actiones approbant, ac festivum gratiosum dicunt : et obscenitate verborum utentem civilem nominant : et quæ deinceps sequuntur.

Non solum vitium imitari, sed etiam cum peccato viventes laudare, poena dignum est et supplicio non vulgari : et ut etiam admirabile quiddam dicam, si licet, nobis gravius immineat periculum quam iis qui in ipso scelere vivunt; nam laudare peccantes majore animadversione dignum est, quam peccare, et merito. Est enim corrupti animi et morbo incurabili laborantis hæc sententia et ju-

ΛΟΓΟΣ Μ'.

Περὶ χαιρεκάκων καὶ ἀποδεχομένων τὰ πονηρά.

Συλλαμβάνονται ἐν διαβουλίοις οἷς διελογίζοντο. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται.

Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθης.

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.

Ὁ εἰπὼν τὸν ἀσεβῆ, ὅτι δίκαιός ἐστιν, ἐπικατάρατος λαοῖς ἔσται, καὶ μισητὸς ἔθνει.

Οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ, ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν.

Ἐκζητοῦντα κακὰ καταλήψεται αὐτόν.

Ὁ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθωωθήσεται.

Πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακά.

Μὴ ἐπίχαιρέ μοι, ἐχθρά μου, ὅτι πέπτωκα, καὶ ἀναστήσομαι. Διότι καὶ ἐὰν καθίσω ἐν σκότει, Κύριος φωτιεῖ μοι. Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου, καὶ ἐξάξει με εἰς φῶς, καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. Καὶ ὄψεται ἡ ἐχθρά μου, καὶ περιβαλεῖται αἰσχύνην, ἡ λέγουσα πρός με, Ποῦ Κύριος ὁ θεός σου;

Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος· οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν.

Παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι ἐπὶ πτώσει εὐσεβῶν, καὶ ὀδύνη καταναλώσει αὐτοὺς πρὸ τοῦ θανάτου αὐτῶν.

Οὐ καθῆκον δοξάσαι ἄνδρα ἁμαρτωλόν.

Ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἐπὶ μέσον εἰρηνευόντων βαλεῖ διαβολήν.

Τοῖς γαυριῶσιν ἐπὶ τῇ κακίᾳ συγγηρᾷ τὰ κακά.

Οἵτινες τὰ δικαιώματα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν.

Προδοσία τῆς ἀληθείας ἐστὶ καὶ ἐθισμὸς πρὸς ἀδιαφορίαν ἡ ἐῶν πονηρευομένων ἀποδοχή.

Πολλοί εἰσιν οἱ τὰς πονηρὰς πράξεις ἀποδεχόμενοι, καὶ χαρίεντα μὲν τὸν εὐτράπελον λέγοντες, τὸν δὲ αἰσχρολόγον πολιτικὸν, καὶ τὰ ἑξῆς.

Οὐ τὸ ζηλοῦν κακίαν, ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει τινὰ κόλασιν οὐ τὴν τυχοῦσαν ἡμῖν, καὶ εἰ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, αὐτῶν τῶν ἐν πονηρίᾳ ζώντων χαλεπωτέραν· τοῦ γὰρ ἁμαρτάνειν ἐπαινεῖν τοὺς ἁμαρτάνοντας πολὺ μεῖζον εἰς κολάσεως λόγον, καὶ μάλα εἰκότως. Διεφθαρμένης γάρ ἐστι γνώμης, καὶ ψυχῆς ἀνίατα νοσούσης, αὕτη ἡ ψῆφος. Ὁ γὰρ ἐπαινῶν πονηρίαν τῆς ἐκ

τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν· ὥστε εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον ὁ Παῦλος εἶναι ἐνομοθέτησε. Διὰ τοῦτο οὐχ οἱ τὰ φαῦλα πράττοντες μόνον, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς ἢ καὶ χαλεπωτέρας ἐκείνοις κοινωνήσουσι κολάσεως.

Ἐπιχαιρεκακία ἀλλότριον σοφῶν.

ΛΟΓΟΣ ΜΑ'.

Περὶ πολιτῶν ἀγαθῶν.

Εἶπεν Ἀβραὰμ πρὸς Κύριον· Ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολέσεις αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκα τῶν πεντήκοντα δικαίων; μηδαμῶς σὺ ποιήσεις τὸ ῥῆμα τοῦτο τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβὴς μηδαμῶς. Ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν; Εἶπε δὲ Κύριος· Ἐὰν εὕρω ἐν Σοδόμοις πεντήκοντα δικαίους, οὐκ ἀπολέσω ἕνεκα τῶν πεντήκοντα· καὶ τὰ ἑξῆς.

Ἐν ἀγαθοῖς δικαίων κατωρθώθησαν πόλεις.

Ἐν εὐλογίαις δικαίων ὑψωθήσεται πόλις.
Ἐπαύλεις δικαίων εὐλογοῦνται.
Ἀπὸ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις.

Καί γε τοῦτο εἶδον, σοφίαν ὑπὸ τὸν ἥλιον. Καὶ μεγάλη ἐστὶ πρός με πόλις μικρά, καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι· καὶ ἦλθε βασιλεὺς μέγας, καὶ κυκλώσει αὐτὴν, καὶ οἰκοδομήσει ἐπ' αὐτὴν χάρακας μεγάλους· καὶ εὑρῇ ἐν αὐτῇ ἄνδρα πένητα καὶ σοφὸν, καὶ διασώσῃ αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ.

Ὥσπερ τὰ εὐώδη τῶν ἀρωμάτων τῆς ἰδίας εὐπνοίας τὸν παραχείμενον ἀέρα πλήρη ποιεῖ, οὕτως ἀνδρὸς ἀγαθοῦ παρουσία τοὺς πέλας ὠνίνησιν.

Ἐγὼ ὅταν τινὰ τῶν σπουδαίων διαιτώμενον κατ' οἰκίαν ἢ πόλιν θεάσωμαι, τὴν οἰκίαν ἢ τὴν πόλιν ἐκείνην εὐδαιμονίζω, καὶ οἶμαι τήν τε τῶν παρόντων ἀγαθῶν ἀπόλαυσιν βεβαίαν, καὶ τὴν τῶν ἀπόντων προσδοκίαν τελεσφορουμένην σχήσειν, τοῦ Θεοῦ τὸν ἀπεριόριστον καὶ ἀπερίγραφον πλοῦτον αὐτοῦ διὰ τοὺς ἀξίους καὶ τοὺς ἀναξίους δωρουμένου.

Εὐδαιμονιστέον μὲν καὶ χώραν καὶ οἰκίαν, ὅταν ἔχῃ τινὰ σπουδαῖον· κακοδαιμονιστέον δὲ, ὅταν ἔρημος ᾖ τοιούτου.

Ἕνεκα μὲν τῶν φαύλων οὐδεμία πόλις ἠρέμισεν ἂν· διαμένουσι δὲ ἀστασίαστοι δι' ἑνὸς ἢ δευτέρου συνοικοῦντος, οὗ ἡ ἀρετὴ τὰς πολιτικὰς νόσους ἴαται, χώρας ἀπονέμοντος τοῦ φιλαρέτου Θεοῦ καλοκαγαθίας, τὸ μὴ μόνον αὐτὸν, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ὠφελεῖν.

Ἄνδρες ἀγαθοὶ, τροπικώτερον εἰπεῖν, κίονές εἰσι, δῆμον ὅλον ὑπερείδοντες, καθάπερ οἰκίας μεγάλας, τὰς πόλεις καὶ τὰς πολιτείας.

ΛΟΓΟΣ ΜΒ'.

Περὶ πολιτῶν μοχθηρῶν.

Οἱ ἄνθρωποι οἱ ἐν Σοδόμοις ἁμαρτωλοὶ καὶ πονηροὶ ἐναντίον τοῦ Θεοῦ σφόδρα.

Οὐ πορεύσῃ δολίως ἐν τῷ ἔθνει σου.

A dicium. Qui enim probitatem laudat, is se pœnitendi curatione privat, ut merito Paulus hoc illo gravius esse judicarit. Itaque non modo qui improbe faciunt, sed etiam qui) istos laudant, ejusdem vel etiam acerbioris participes erunt animadversionis.

Philonis. Malevolentia ac propter vitia delectatio **184** a sapientibus aliena est.

SERMO XLI [*al.* XI].

De bonis civibus.

Gen. XVIII. Dixit Abraamus ad Dominum : Si fuerint quinquaginta justi in civitate, perdes eos? nonne condonabis propter quinquaginta justos? Nequaquam istud committas, ut justum cum impio interficias, sitque eadem conditione justus cum impio : nequaquam, qui judicas universam terram, non facias judicium. Dominus autem : Si, inquit, invenero Sodomis quinquaginta justos, propter illos quinquaginta non perdam ; et reliqua.

Prov. II. Propter bonitatem justorum fortunatæ fuerunt civitates.

In benedictionibus justorum exaltabitur civitas.
Habitationes justorum fortunatæ et felices.

Per unius sagacis hominis prudentiam frequens evit incolis civitas.

Eccle. Hoc etiam vidi, sapientiam sub sole, et magna est apud me parva civitas, et pauci in ea viri, adversus quam venit rex magnus, obseditque et magnos aggeres adversus eam congessit et obvallavit. Inventus autem est pauper in ea, sed sapiens, qui eam urbem salvam præstitit sua sapientia.

Ut aromata odorata fragrantia sua circumfusum aerem complent, sic viri boni præsentia proximis utilitates adfert plurimas.

Philonis. Cum virum aliquem bonum vel in familia aliqua vel in civitate versari animadverto, eam familiam aut civitatem beatam prædico, existimoque eam et præsentibus bonis perfrui firmiter, et eorum quæ desunt exspectari non frustra copiam, cum Deus infinitam et incircumscriptam opulentiam suam propter dignos indignis etiam largiri soleat.

Felix judicari meretur et civitas et regio et familia, cum aliquem virtute præditum habuerit : infelix autem, cum tali viro caruerit.

Improborum quidem causa nulla respublica tranquilla esset, sed sine seditione durant propter unum aut alterum civem, cujus virtus civilibus morbis medetur, Deo (cui virtus et probitas placet) hoc præmium virtutis cultori tribuente, ut id non solum seipsum, sed etiam proximos adjuvet.

Boni viri (ut figuratius dicam) columnæ sunt populum totum sustinentes, tanquam magnas domos, civitates et respublicas.

SERMO XLII [*al.* XIX].

De civibus improbis.

185 *Gen.* XIX. Cives Sodomorum scelerosi et improbi in conspectu Dei vehementer.

Levit. XIX. In populo tuo ne dolose agito.

Per stultum os illaqueatur civitas.

Implorum ore dirutæ sunt urbes.

Prov. XVII. Perversum cor fabricatur mala quovis tempore : et homò talis civitati turbas excitat, ob quam causam repente venit illius exitium, discinditur et conteritur, ita ut nullum possit inveniri remedium, quia delectatur iis omnibus, quæ Dominus ipse odit, conteritur autem propter animi impuritatem.

Subsannat cives mentis inops, vir autem prudens quietus est.

Eccle. IX. Peccans unus perdit bonitatem multarum.

Muscæ morituæ putidam reddunt confectionem olei suaveolentis.

Qui in ea habitabant, falsa loquebantur, et lingua B ipsorum elata est in ipsorum ore.

Isti sunt viri qui mala excogitarunt, et malum consilium capientes in civitate hac dixerunt : Hæc est lebes, nos autem carnes in medio ejus. Itaque Dominus dicit : Mortui vestri quos in medio ejus percussistis, hi sunt carnes, hæc autem est lebes, vosque educam e medio ejus ; gladium metuiis, at ego gladium adducam in vos (dicit Dominus omnium rerum præpotens), et tradam vos in alienorum manus, et exercebo in vos judicia.

A Ἐν στόματι ἀφρόνων ταχὺς πολίτης.

Στόματι ἀσεβῶν κατεσκάφησαν πόλεις.

Διεστραμμένη καρδία τεκταίνεται κακὰ ἐν παντὶ καιρῷ. Ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει, διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ καὶ συντριβὴ ἀνίατος, ὅτι χαίρει ἐπὶ πᾶσιν οἷς μισεῖ ὁ Κύριος, συντρίβεται δὲ διὰ ἀκαθαρσίαν ψυχῆς.

Μυκτηρίζει πολίτας ἀνδρὸς φρενῶν. Ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Ἁμαρτάνων εἷς ἀπολέσει ἀγαθωσύνην πολλῶν.

Μυῖαι θανατοῦσαι σαπρώσουσι σκευασίαν ἐλαίου ἡδύσματος.

Οἱ κατοικοῦντες αὐτὴν ἐλάλουν ψευδῆ, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη ἐν τῷ στόματι αὐτῶν.

Οὗτοι οἱ ἄνδρες οἱ λογιζόμενοι μάταια, καὶ βουλευόμενοι βουλὴν πονηρὰν ἐν τῇ πόλει ταύτῃ, καὶ λέγοντες· Αὕτη ἐστὶν ὁ λέβης, ἡμεῖς δὲ τὰ κρέα. Διὰ τοῦτο τάδε λέγει Κύριος· Τοὺς νεκροὺς ὑμῶν, οὓς ἐπατάξατε ἐν μέσῳ αὐτῆς, οὗτοί εἰσι τὰ κρέα. Αὕτη δέ ἐστιν ὁ λέβης. Καὶ ὑμᾶς ἐξάξω ἐκ μέσου αὐτῆς. Ῥομφαίαν φοβεῖσθε, καὶ ῥομφαίαν ἐπάξω ἐφ' ὑμᾶς, λέγει Κύριος παντοκράτωρ, καὶ δώσω ὑμᾶς εἰς χεῖρας ἀλλοτρίων, καὶ ποιήσω ἐν ὑμῖν κρίματα.

SERMO XLIII [*al.* XIII].

De monachis probis et benis præfectis.

ΛΟΓΟΣ ΜΓ'.

Περὶ μοναχῶν χρηστῶν καὶ ἡγουμένων ἀγαθῶν.

C *II Paral.* XX. Estote fortes, nec manus vestræ dissolvantur, quia merces est operæ vestræ.

I Reg. II. Domino juvante curram, singulari certamine pugnans, et auxiliante Deo transiliam murum.

Psal. CXXXII. Ecce igitur quid honestius, aut quid jucundius quam fratres concorditer habitare?

Prov. Salutem quasi thesaurum recondit recte se gerentibus Dominus, teget quasi clypeo gressum illorum, ut servent rationem justorum decretorum.

Eccle. IV. Duo præstant uni, quibus ipsis est optima merces in labore communi : quia si ceciderint, alter tollet socium suum. Et miser est qui solus est, si ceciderit, quia non sit alter, qui eum possit erigere.

D *Cant.* V. Exui tunicam meam, quomodo eam induam? Lavi pedes meos, quomodo contaminabo eos?

Isa. LXVI. Quem respiciam nisi humilem et quietum, et trementem sermones meos?

Ibid. XL. Qui Dominum exspectant, novas subinde vires recipient, et aquilarum **186** more pennas emittent; current, et non defatigabuntur; ambulabunt, et non esurient.

Jerem. Utile est cuique viro sub jugo Domini fuisse in juventute sua, sedebit solus et tacebit.

Bonus est Dominus iis qui ipsum patienter exspectant.

Eccli. II. Fili, si accedas ad serviendum Domino,

Ἰσχύσατε, καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, ὅτι ἐστὶ μισθὸς τῆς ἐργασίας ὑμῶν.

Ἐν Κυρίῳ δραμοῦμαι μονόζωνος, καὶ ἐν θεῷ μου ὑπερβήσομαι τεῖχος.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;

Θησαυρίζει Κύριος τοῖς κατορθοῦσι σωτηρίαν· ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν, τοῦ φυλάξαι τὰ δικαιώματα.

Ἀγαθὸν οἱ δύο ὑπὲρ τὸν ἕνα, οἷς ἐστιν αὐτοῖς ὁ μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν· ὅτι ἐὰν πέσωσιν, εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ. Καὶ οὐαὶ τῷ ἑνὶ, ὅταν πέσῃ, καὶ μὴ ᾖ δεύτερος ἐγείρας αὐτόν.

Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; Ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;

Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;

Οἱ ὑπομένοντες τὸν Κύριον ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοί· δραμοῦνται, καὶ οὐ μὴ πιάσουσι· βαδιοῦνται, καὶ οὐ πεινάσουσιν.

Ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ· καθίσεται κατὰ μόνας καὶ σωπήσεται.

Ἀγαθὸς Κύριος τοῖς ὑπομένουσιν αὐτόν.

Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοί-

μασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον· καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἀπαγωγῆς. Κολλήθητι αὐτῷ, καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου· πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι· καὶ ἐν ἀλλάγματι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσός· καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.

Ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος.

Μὴ ἐκλύεσθε ἰσχύειν ἐν Κυρίῳ, ἵνα κραταιώσῃ ὑμᾶς αὐτός.

Μὴ περιβλέπου ἐν πύλαις πόλεως, καὶ ἐν ταῖς πλατείαις αὐτῆς μὴ πλανῶ.

Ἡγουμενόν σε κατέστησαν, μὴ ἐπαίρου. Γίνου αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν· φρόντισον αὐτῶν, καὶ οὕτως κάθισον· καὶ πᾶσαν τὴν χρείαν σου ποιήσας ἀνάπεσε.

Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ Πατὴρ ὑμῶν, δοῦναι ὑμῖν τὴν βασιλείαν. Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια, μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. Ἔστωσαν δὲ αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος αὐτοῦ καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος αὐτῶν εὑρήσει γρηγοροῦντας· ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς.

Ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. Παντὶ δὲ ᾧ ἐδόθη πολὺ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ· καὶ ᾧ παρέθεντο πολὺ, περισσότερον ἀπαιτήσουσιν αὐτόν.

Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν.

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίας, ἢ γονεῖς, ἢ ἀδελφοὺς, ἢ γυναῖκα, ἢ τέκνα, ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ, ὃς οὐ μὴ ἀπολάβῃ πολυπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον.

Οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. Οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν, ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον.

Ἀδελφοὶ, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

Ἀδελφοὶ, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ.

Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλά-

ad tentationem animum tuum præpara. Cor tuum rectum facito, et durato, nec festines ipso captivitatis tempore ; adjunge te illi nec deficito, ut ad extremum augeare. Quidquid grave impositum fuerit, id suscipe. Vicem abjectionis et humilitatis tuæ leniter ferto : quia ut igne aurum probatur, sic homines accepti in humilitatis fornace.

In medio fratrum, qui doctor est illorum, in honore est.

Ne deficitote, sed valentes estote Domini auxilio, ut ipse vos corroboret.

Portas urbis nec circumspicito curiose, nec per vias ejus errato.

Si te alicui muneri præpositum videris, ne efferare, sed ut unus de multis esto : curam gere illorum, sicque sedeto : cumque te omnibus modis utilem præbueris, recumbito.

Luc. XII. Ne metue, exigue grex, quia Patri placitum est dare vobis regnum. Vendite bona quæ habetis, et ad beneficentiam conferte : parate vobis sæculos qui non senescunt vetustatem : thesaurum, qui non deficiat in cœlis, quo fur non accedit, et ubi tinea non corrumpit : ubi enim fuerit thesaurus vester, ibi erit et cor vestrum. Sint autem lumbi vestri præcincti, et lucernæ ardentes, et vos similes iis qui exspectant dominum suum, quando revertatur e nuptiis, ut cum venerit et pulsarit, statim aperiant illi : beati sunt servi illi, quos cum venerit dominus ipsorum vigilantes invenerit. Hoc enim vobis confirmo fore, ut ille se succingat et illos accubare jubeat, ac illis accumbentibus ministret.

Ibid. Servus ille qui voluntatem domini sui norit, nec explerit, largiter vapulabit, multasque accipiet plagas : qui autem non norit, sed plagis digna fecerit, paucas accipiet. Cuicunque autem multum datum est, ab eo ipso multum repetetur, et cui multum commissum fuerit, ab eo plus reposcetur.

Nullus servus potest duobus dominis servire.

Pro certo hoc vobis confirmo, nullum esse qui reliquerit domos, aut parentes, aut fratres, aut conjugem, aut liberos gratia regni cœlestis, qui non recepturus sit, hoc quidem tempore 187 multo plura, et in futurum vitam æternam.

I Cor. IX. In curriculo omnes quidem currunt, sed unus accipit præmium. Sic currite ut apprehendatis. Quicunque certat omnibus modis continens est : at illi, ut corruptioni obnoxiam coronam accipiant : vos autem, ut immortalem et corruptioni minime obnoxiam.

Fratres, firmi estote, immobiles, diligentissime versantes in opere Domini assidue, illud intelligentes laborem vestrum Domini causa non esse inanem.

Fratres, fortes et robusti estote in Domino, et infirmitate roboris ejus induite divinam armaturam.

Mementote eorum qui vobis ductores præpositi

sunt, qui vobis annuntiant divinum sermonem : quorum contemplantes conversationis exitum fidem imitamini.

Parete ductoribus vestris, et cedite, ipsi enim vigilant pro animis vestris.

Nemo militans negotiis pro victu implicatur, ut ei qui se in militiam accersiverit, placeat : quod si quis certet, non coronatur continuo, nisi legitime certaverit.

Videte ne perdatis ea ipsa quæ perfecistis, sed ut plenam mercedem accipiatis.

S. Basilii. Certator bonus, qui semel ad pietatis curriculum exutus est, fortiter et generose ferre debet ictus adversariorum, spe coronarum laudis adipiscendæ. Etenim in gymnicis certaminibus qui assuefacti sunt palæstræ laboribus, non contrahuntur ad dolorem plagarum, sed cupiditate laudationis quæ a præcone fit, cum colluctatoribus pedem conferunt, præsentia omnia despicientes.

Vinculis affectionum et perturbationum vitæ humanæ solvi debet, qui vere Deum sequi ex animo decrevit, id quod per secessum plane perfectum et veterum morum oblivionem recte paratur ; nam nisi et a cognatione propinquitateque carnali, et vitæ communione nos ipsos abalienaverimus, quasi in alterum quemdam mundum exercitatione et meditatione migrantes, ejus consilium sequentes, qui dixit : « Nostra autem conversatio in cœlis est, » omnino fieri nequit, ut scopum, qui est Deo gratificandi, attingamus : cum Dominus definite dixerit : « Quicunque ex vobis non valere jubet omnia sua, non potest esse discipulus meus. »

Est autem postrema salutatio bonorum e corde profecta, cum ad cœlestem **188** conversationem et administrationem se convertit.

Continentiam dicimus non omnino omnis generis ciborum abstinentiam (hæc enim est violenta vitæ dissolutio), sed eam duntaxat quæ puritatis causa suscipitur.

Continentia est peccati detractio, ab affectibus alienatio, corporis exstinctio usque ad perturbationes etiam naturales et cupiditates.

Institutum et pietatis propositum non debemus existimare otii prætextum aut laboris recusationem, sed argumentum certationis et plurium laborum, ac in afflictionibus patientiæ.

Ad hunc modum Dei templum efficimur, cum curis terrenis contentio memoriæ perpetua non interrumpitur, cum mens inexspectatis perturbationibus non turbatur : sed hæc omnia cum effugerit divinarum rerum cupidus, ad Deum ipsum secedit, ac depellens ea quæ ad vitia incitant, in iis tantum immoratur officiis et muneribus, quæ ad virtutem ducunt.

S. Ignatii. Si bonos et honestos tantum discipulos diligis, nulla tibi gratia debetur. Magis rebelles lenitate tractare debes, ut erudiantur ; non enim omne vulnus eodem emplastro curatur. Exacerbationes perfusionibus sedа.

λησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν

Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν.

Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.

Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργάσασθε, ἀλλ' ἵνα μισθὸν πλήρη λάβητε.

Τὸν ἀγωνιστὴν τὸν καλὸν ἅπαξ ἐπὶ τὸ τῆς εὐσεβείας στάδιον ἀποδυθέντα, φέρειν δεῖ γενναίως τὰς πληγὰς τῶν ἀντιπάλων ἐλπίδι τῆς δόξης τῆς ἀπὸ τῶν στεφάνων. Καὶ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ κατὰ τὰς παλαίστρας τοῖς πόνοις προσεθισθέντες οὐ πρὸς τὸ ἀλγεινὸν συστέλλονται τῆς πληγῆς, ἀλλ' ὁμόσε χωροῦσι τοῖς ἀντιπάλοις, ἐπιθυμία [*f.* ἐπιθυμίαν δὲ] τὴν τῆς ἀναῤῥήσεως τῶν παραυτίκα πάντων ὑπερορῶντες.

Λυθῆναι δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου τὸν ἀληθινῶς τῷ Θεῷ ἀκολουθῆναι μέλλοντα· τοῦτο δὲ διὰ παντελοῦς ἀναχωρήσεως καὶ λήθης τῶν παλαιῶν ἠθῶν κατορθοῦται· ὡς εἰ μὴ ἀποξενώσαιμεν ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον κόσμον διὰ τῆς ἀσκήσεως μεταβάντες, κατὰ τὸν εἰπόντα, « Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, » ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως· τοῦ Κυρίου ὁριστικῶς εἰπόντος, ὅτι « Πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται τοῖς αὐτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. »

Ἀποταγὴ ἐστι καρδίας ἀνθρωπίνης πρὸς τὴν ἐν οὐρανοῖς πολιτείαν μετάθεσις.

Ἐγκράτειαν λέγομεν οὐ πάντως τὴν εἰς τὸ παντελὲς ἀποχὴν τῶν βρωμάτων, τοῦτο γὰρ βιαία τίς ἐστι διάλυσις τῆς ζωῆς, ἀλλὰ τὴν ἐπὶ καθάρσει.

Ἐγκράτειά ἐστιν ἁμαρτίας ἀναίρεσις, παθῶν ἀλλοτρίωσις, σώματος νέκρωσις μέχρι καὶ αὐτῶν τῶν φυσικῶν παθημάτων τε καὶ ἐπιθυμιῶν.

Οὐ πρόφασιν ἀργίας, οὐδὲ ἀποφυγὴν πόνου, τὸν τῆς εὐσεβείας σκοπὸν ἡγεῖσθαι χρή, ἀλλ' ὑπόθεσιν ἀθλήσεως, καὶ πόνων περισσοτέρων, καὶ ὑπομονῆς τῆς ἐν θλίψεσιν.

Οὕτω γινόμεθα ναὸς Θεοῦ, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται· ὅταν μὴ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράττηται, ἀλλὰ πάντα φυγὼν ὁ φιλόθεος, ἐπὶ τὸν Θεὸν ἀναχωρῇ, καὶ ἐξελαύνων τὰ πρὸς κακίαν, τοῖς εἰς ἀρετὴν ἄγουσιν ἐπιτηδεύμασιν ἐνδιατρίβῃ.

Καλοὺς μαθητὰς ἐὰν φιλῇς, χάρις σοι οὐκ ἔστι· μᾶλλον τοὺς ἀπειθεστέρους ἐν πραΰτητι ὑπότασσε. Οὐ πᾶν τραῦμα τῇ αὐτῇ ἐμπλάστρῳ θεραπεύεται. Τοὺς παροξυσμοὺς ἐμβροχαῖς παῦε.

Ὑποτασσώμεθα καὶ Θεῷ, καὶ ἀλλήλοις, καὶ τοῖς ἐπὶ γῆς ἄρχουσι· Θεῷ διὰ πάντα· διὰ τὴν φιλαδελφίαν ἀλλήλοις· δι' εὐταξίαν τοῖς ἄρχουσι· καὶ τοσοῦτον μᾶλλον, ὅσῳπερ ἂν ὦσιν ἡμερώτεροι καὶ χρηστότεροι (δεινὸν γὰρ ἐπιείκειαν δαπανῆσαι τῷ συνεχεῖ τῆς συγγνώμης), ἵνα μὴ καὶ τῆς ἐκείνων τραχύτητος αὐτοὶ δίκας ἀπαιτηθῶμεν, γαλήνην πνεύματι λύσαντες, καὶ φωτὶ ζόφον ἐπάγοντες, καὶ μέλιτι καταμιγνύντες ἀψίνθιον.

Οἱ κόσμου χωρίζοντες ἑαυτοὺς, καὶ τὴν ἔρημον ἀσπαζόμενοι, ζῶσι Θεῷ, πάντων μᾶλλον τρεφομένων ἐν σώματι· οἱ μόνον τὸν πάντη μοναδικὸν διαθλοῦντες βίον, ἑαυτοῖς μόνοις προσλαλοῦντες καὶ τῷ Θεῷ, καὶ τοῦτο μόνον κόσμου εἰδότες, ὅσον ἐν τῇ ἐρημίᾳ γνωρίζουσι· τοῖς μὲν ἄλλοις τεθνηκότες ἀνθρώποις, καὶ πράγμασιν, ὅσα ἐν μέσῳ στρέφεται, στροβοῦντά τε καὶ στροβούμενα, καὶ παίζοντα ἡμᾶς ταῖς ἀγχιστρόφοις μεταβολαῖς· ἀλλήλοις δὲ κόσμος ὄντες, καὶ τῇ παραθέσει τῇ ἀρετῇ θήγοντες.

Τὸ μονάζειν ἐν τῇ εὐσταθείᾳ τοῦ τρόπου μᾶλλον ἢ τῇ τοῦ σώματος ἀναχωρήσει χαρακτηρίζεται.

Ὁρᾷς τοὺς ἀβίους τούτους καὶ ἀνεστίους καὶ ἀσάρκους, μικροὺς καὶ ἀναίμονας, καὶ Θεῷ κατὰ τοῦτο πλησιάζοντας, τοὺς ἀνιπτόποδας, καὶ χαμαιεύνας, τοὺς κάτω καὶ ὑπὲρ τὰ κάτω, τοὺς ἐν ἀνθρώποις καὶ ὑπὲρ τὰ ἀνθρώπινα, τοὺς δεδεμένους καὶ ἐλευθέρους, τοὺς κεκρατημένους καὶ ἀκρατήτου; ὧν οὐδὲν ἐν κόσμῳ, καὶ πάντα τὰ ὑπὲρ κόσμον· ὧν διπλοῦν τὸ ζῆν, τὸ μὲν ὑπερορώμενον, τὸ δὲ σπουδαζόμενον· τοὺς διὰ τὴν νέκρωσιν ἀθανάτους, τοὺς διὰ λύσιν Θεῷ συνημμένους; τοὺς ἔξω πόθου, καὶ μετὰ θείου καὶ ἀπαθοῦς ἔρωτος· ὧν αἱ πηγαὶ τοῦ φωτὸς, καὶ ὧν ἤδη τὰ ἀπαυγάσματα· ὧν αἱ ἀγγελικαὶ ψαλμῳδίαι, καὶ αἱ πάννυχοι στάσεις, καὶ ἡ τοῦ νοῦ πρὸς Θεὸν ἐκδημία προαρπαζομένου· ὧν ἡ κάθαρσις, καὶ ὧν τὸ καθαίρεσθαι.

Τὸ φιλοσοφεῖν ὅσον μέγιστον, τοσοῦτον καὶ χαλεπώτερον, καὶ οὐ πολλῶν τὸ ἐγχείρημα, ἢ τῶν ὑπὸ τῆς θείας κεκλημένων μεγαλονοίας, ἢ τοῖς προῤῥηθεῖσι καλῶς χεῖρα δίδωσιν.

Οἷς ἐστι τρυφὴ ἐγκράτεια, καὶ πρᾶξις ἡ ἀπραξία, καὶ δόξα τὸ μὴ γινώσκεσθαι.

Καλὸν ἡ ἄσκησις μετὰ συμμετρίας καὶ γνώσεως ἀληθοῦς.

Οὕτως ὀφείλει ὁ μοναχὸς πάντοθεν ἑαυτὸν περισκοπεῖν, καὶ ἀκίνητον ἔχειν πρὸς τὴν ἑαυτοῦ φυλακὴν τὸ τῆς ψυχῆς ὄμμα, ὡς ἐν μέσῳ παγίδων διοδεύων ἀεί.

Οἱ μὲν μάρτυρες πολλάκις καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ἀγωνισάμενοι ἐτελειώθησαν· ἡ δὲ τῶν μοναχῶν πολιτεία, καθ' ἑκάστην ἡμέραν ἀθλοῦσα διὰ τὸν Χριστὸν, μαρτυρεῖ, οὐ πρὸς αἷμα καὶ σάρκα παρατασσομένη, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους,

Theologi. Subjiciamur tum Deo, tum nobis invicem, tum his qui in terra potestatem gerunt, ac Deo quidem omnibus modis; invicem propter fraternam charitatem et societatem; magistratibus propter ordinis conservationem, eoque magis, si fuerint mansuetiores et benigniores. (Improbum enim est æquitatem consumere perpetuo ignoscendo) ut ne etiam illorum asperitatis ipsi pœnas luamus, tranquillitatem immisso vento solventes, et luci tenebram inducentes, et melle commiscentes absinthium.

Qui seipsi a mundo separarunt, et solitudinem amplectuntur, Deo vivunt, omnium maxime qui corpore aluntur: qui solummodo prorsus solitariam præferentes vitam secum et cum Deo colloquuntur, illud tantum de mundo cognoscentes, quantum in ipsa solitudine agnoscunt, aliis quidem mortui hominibus, et rebus quæ in medio hominum versantur tum agitantes, tum agitatæ in omnem partem, tum nos ludificantes volubilibus mutationibus: sibi invicem vero mundus sunt, et mutua collatione virtutem acuunt.

Solum esse, morum magis constantia 1869 quam corporis secessu formatur ac exprimitur.

Vides istos opibus et domibus carentes, exsarnes, exiles et exsangues, etiam Deo hac ratione appropinquantes, illotis pedibus et humi cubantes: qui infra eum sint, inferiora superant, et inter homines supra humanam conditionem sunt, vinctos et liberos; detentos et tamen non teneri; quorum in mundo nihil est, et omnia supra mundum; quorum duplex est vita, una quæ despicitur, altera quæ appetitur; qui per mortificationem suam immortales; qui per solutionem Deo copulati et apti sunt; qui carent amoris desiderio, et in divino et perturbationis experte cupidine; quorum sunt fontes lucis, et quorum jam sunt irradiationes; quorum angelicæ psalmodiæ, et pernoctes stationes, et mentis ad Deum raptæ peregrinatio; quorum denique purgatio, quorumque repurgari est.

Philosophari quanto est majus, tanto etiam difficilius, quod non multi facere conantur, nisi per divinæ mentis invitentur excelsitatem, quæ boni quippiam proponentibus manum porrigit.

Gregor. Nyss. Quibus delicias sunt continentia, et actio otium, et gloria a nemine cognosci.

S. Athanasii. Honesta res est exercitatio, cum moderatione et cognitione vera. Sic debet monachus undique seipsum circumspicere, et immobilem tenere animi oculum ad suam custodiam, quasi per medios laqueos semper incedat.

Martyres quidem sæpe vel uno temporis momento cum certassent, perfectionem assecuti sunt; at monachorum vita singulis diebus per Christum certans martyr est, id est, testimonium Christo dicit, non adversus sanguinem et carnem in acie instructa, sed adversus principatus, adversus po-

testates, adversus mundi dominos rectores tenebrarum, adversus spirituales astutias usque ad ultimum spiritum certamen habens, et certat et coronatur armatura Dei indutus.

S. Serapionis. Continenti convenit turbas fugere, ut mentem non distractam retineat et perturbatione vacuam; multa enim est in turbis perturbatio.

Non dormientium et desidiosorum est regnum Dei, sed violenti rapiunt illud. Hæc autem sola violentia honesta est, Deo vim afferre, ab eodemque vitam rapere. Ille vero cognoscens violentos, vel potius tenaciter in proposito durantes, eis concedere solet. Gaudet enim Deus se hac in re vinci.

190 *Justini philosophi.* Finis quem sibi proponit qui philosophatur, est, ut Dei similis, quoad ejus fieri potest, sit

Philonis. Inæquale quiddam natura est meditatio et exercitatio, modo enim in altum consendit, modo in contrarium remeat. Et alias quemadmodum navis bona et felici navigatione vitæ, alias autem infelici utens meditatorum vita alternat, ut quidam alt, interdum vivens et vigilans, interdum vero mortua aut dormiens. Neque vero hæc a proposito aberrantia dicuntur. Sapientes enim humanum locum sortiti sunt ut habitarent, sursum tendere semper assueti : mali autem inferorum secessus et angulos petunt, a principio ad finem usque mori assuefacti, et in senectutem a cunabulis corruptioni familiares effecti : at meditatores medii sunt inter extreme, et sursum ac deorsum frequenter quasi in gradibus eunt, vel meliore quodam fato sursum attracti, vel pejore retracti, donec hujus certaminis et pugnæ præfectus Deus reddat præmia præstantiori parti, contrariam in universum abolens.

SERMO XLIV [*al.* XXII].

De monachis inconstantibus et ad vitia revertentibus.

David. Declinantes ad fraudes abducet Dominus cum iis qui exleges sunt.

Prov. XXVI. Ut canis cum redit ad vomitum suum odiosus est, sic insipiens ad vitium suum reversus.

Eccle. VII. Animadverti justum pereuntem vanitate sua, atque id quidem vanitas est.

Zachar. VIII. Ingredienti et exeunti non est pax ab afflictione.

Isa. Defecit currens velut equus hinniendo fessus.

Ezech. XXXIII. Si justus deflexerit a justitia sua, injusteque fecerit ad exempla peccatorum, quæ committent exleges, ejus omnes injustitias in quibus ante se exercuerit, in oblivionem venient propter erratum ipsius, quo lapsus fuerit, ac in ipsis peccatis quæ admiserit morietur.

Justum non eripiet e malo sua justitia, quo die ipse aberraverit : et impium iniquitate sua non afflliget quo die ab iniquitate sua discesserit. In suis quemque viis et institutis judicabo, o domus Israelitica.

πρὸς τὰ πνευματικὰ τῆς πυκνρίας. ἕως ἐσχάτης ἀναπνοῆς τὴν κάλην ἔχουσα, καὶ ἀθλεῖ καὶ στεφανοῦται, τὴν πανοπλίαν τοῦ Θεοῦ ἔχουσα.

Ἁρμόζει τῷ ἡγουμένῳ καὶ τοὺς ὄχλους φεύγειν, ἵνα τὸν νοῦν ἀπερίσπαστον ἔχῃ, καὶ τὴν διάνοιαν ἀτάραχον· πολλὴ γὰρ ἐν τοῖς ὄχλοις ἡ ταραχή.

Οὐ τῶν καθευδόντων καὶ βλακευόντων ἡ βασιλεία τοῦ Θεοῦ· ἀλλ' οἱ βιασταὶ ἁρπάζουσιν αὐτήν· αὕτη γὰρ μόνη ἡ βία καλή, Θεῷ βιάσασθαι, καὶ παρὰ Θεοῦ ζωὴν ἁρπάσαι. Ὁ δὲ γνοὺς τοὺς βιαίους, μᾶλλον δὲ βεβαίως ἀντεχομένους, συνεχώρησε καὶ εἶξε. Χαίρει γὰρ ὁ Θεὸς τὰ τοιαῦτα ἡττώμενος.

Τέλος τῷ φιλοσοφοῦντι ἡ πρὸς Θεὸν ὁμοίωσις κατὰ τὸ δυνατόν.

Ἀνώμαλον φύσει ἡ ἄσκησις, ποτὲ μὲν εἰς ὕψος ἰοῦσα, ποτὲ δὲ ἀποστρέφουσα πρὸς τοὐναντίον, καὶ ποτὲ μὲν (καθάπερ ναῦς) εὐπλοίᾳ τῇ τοῦ βίου, ποτὲ δὲ δυσπλοίᾳ χρωμένη, ἑτερήμερος (ὡς ἔφη τις) τῶν ἀσκητῶν ὁ βίος· ἄλλοτε μὲν ζῶν καὶ ἐγρηγορὼς, ἄλλοτε δὲ τεθνηκὼς ἢ κοιμώμενος. Καὶ τάδε οὐκ ἀπὸ σκοποῦ λέγεται· σοφοὶ μὲν γὰρ τὸν ἀνθρώπινον χῶρον ἔλαχον οἰκεῖν, ἄνω φοιτᾷν ἀεὶ μεμαθηκότες, κακοὶ δὲ τοὺς ἐν ᾅδῃ μυχούς, ἐξ ἀρχῆς ἄχρι τέλους ἀποθνήσκειν μεμαθηκότες, καὶ εἰς γῆρας ἐκ σπαργάνων φθορᾶς ἐθάδες ὄντες· οἱ δ' ἀσκηταὶ μεθόριοι τῶν ἄκρων εἰσὶν, ἄνω καὶ κάτω πολλάκις ὡς ἐπὶ κλίμακος βαδίζουσιν, ἢ ὑπὸ τῆς κρείττονος μοίρας ἀνελκόμενοι, ἢ ὑπὸ τῆς χείρονος ἀντισπώμενοι, μέχρις ἂν ὁ τῆς ἀμίλλης καὶ διαμάχης ταύτης βραβεὺς Θεὸς ἀναδῷ τὰ βραβεῖα τάξει τῇ βελτίονι, τὴν ἐναντίαν εἰς ἅπαν καθελών.

ΛΟΓΟΣ ΜΔ'.

Περὶ μοναχῶν παλιμβόλων καὶ παλινδρομούντων εἰς πακίαν.

Τοὺς ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον μισητὸς γίνεται, οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέφας ἐπὶ τὴ ἑαυτοῦ ἁμαρτίᾳ.

Εἶδον δίκαιον ἀπολλύμενον ἐν τῇ ματαιότητι αὐτοῦ, καί γε τοῦτο ματαιότης.

Τῷ εἰσπορευομένῳ καὶ ἐκπορευομένῳ οὐκ ἔστιν εἰρήνη ἀπὸ τῆς θλίψεως.

Διέλιπεν ὁ τρέχων, ὡς ἵππος πάθιδρος ἐν χρεμετισμῷ αὐτοῦ.

Ἐν τῷ ἐπιστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῆσαι ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν ἐν τῷ παραπτώματι αὐτοῦ, ᾧ παρέπεσε· καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἃς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται.

Δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ· καὶ ἀνομία ἀσεβοῦς οὐ κακώσει αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστραφῇ ἀπὸ τῆς ἀνομίας αὐτοῦ. Ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ.

Ἐπανάγων ἀπὸ δικαιοσύνης εἰς ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει ῥομφαίαν αὐτῷ

Μὴ καταδεσμεύσεις δισσὰς ἁμαρτίας· οὐδὲ γὰρ ἐν μιᾷ ἀθῳωθήσῃ.

Βαπτιζόμενος ἀπὸ νεκροῦ, καὶ πάλιν ἁπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ; Οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος, καὶ τὰ αὐτὰ ποιῶν, τῆς προσευχῆς αὐτοῦ τί; εἰσακούσεται; καὶ τί ὠφέλησέν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

Οὐδεὶς, ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες, ἥττηνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. Κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν εἰς τὰ ὀπίσω ὑποστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. Συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

Ἐλεεινὸν θέαμα, μετὰ νηστείαν, μετὰ σκληραγωγίαν, μετὰ προσευχὴν ἐκτενῆ, μετὰ δάκρυον ἁφελῆ, μετὰ ἐγκράτειαν ἐτῶν εἴκοσί που ἢ τριάκοντα, δι' ἀπροσεξίαν ψυχῆς καὶ ἀμέλειαν, γυμνὸν ἀπὸ πάντων ἀποδειχθῆναι, καὶ παραπλήσιον γενέσθαι τῇ ἐργασίᾳ τῶν ἐντολῶν εὐθηνούμενον ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τῷ πλήθει τῶν ἀγωγίμων ἐκαγαλλόμενος, ἐξ οὐρίας αὐτῷ τῆς νηὸς φερομένης, τὰ φοβερὰ παλάγη διαδραμὼν, πρὸς αὐτοῖς ποῖς λιμέσι διαῤῥαγγέντος τοῦ πλοίου, πάντων ἔρημος ἀθρόως ἀπεδείχθη· ἐὰν καὶ οὗτος τὰ μυρίοις πόνοις κτηθέντα μιᾷ προσβολῇ δαίμονος ἀπολέσῃ, ὥσπερ τινὶ ἀγρίᾳ λαίλαπι τῇ ἁμαρτίᾳ βυθισθείς. Πρέπουσα φωνὴ τῷ πᾶσαν ὁμοῦ τὴν ἀρετὴν ναυαγήσαντι, Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.

Ὁ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων, εἶτα ἀπαλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν, οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν ἐζημιώθη, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως.

Εἴ σοι μηδὲν ἠλπίζετο θορυβεῖν, ἤρκει τῇ φιλοσοφίᾳ προσίβαλες, ἀφιλόσοφος ἡ ἀρχή· εἰ δὲ ἠλπίζετο, εἰ μὲν οὐκ ἀπήντησε, τῷ Θεῷ χάρις· εἰ δὲ ἀπήντησεν, ἢ καρτέρει πάσχων, ἢ ἴσθι ψευσάμενος τὴν ὑπόσχεσιν.

Ἔνιοι προκόψαντες ἐπ' ἀρετὴν, ὑπενόστησαν πρὶν ἢ ἐφικέσθαι τοῦ τέλους, τὴν ἄρτι φυομένην ἀριστοκρατίαν ἐν τῇ ψυχῇ καθελούσης τῆς ὀχλοκρατίας, ἢ πρὸς ὀλίγον ἠρεμήσασα, πάλιν ἐξ ὑπαρχῆς μετὰ πλείονος δυνάμεως ἀντεπέθετο.

Πολλοὶ ἀσκηταὶ γενόμενοι ἐπὶ τοῦ τέλους μετέβαλον τῆς ἀρετῆς [*f.* τὴν ἀρετήν]· ᾧ δὲ παρέχει ὁ Θεὸς ἐπιστήμην βεβαίαν, τούτῳ δίδωσιν ἀμφότερα,

Qui a justitia ad flagitia deflectit, ei Dominus præparabit gladium.

Ne connectas gemina peccata; nam ne in uno quidem innocens eris (*id est*, quasi innocens absolveris).

Eccli. XXXIV. Ei qui se laverit ob tactum cadaver, et iterum idem tangit, quid prodest lavacrum? Eadem est ratio ejus **191** qui jejunat propter peccata sua, et iterum redit ad eadem; quis istius modi precationem audiet? et quid illi profuit quod se humiliaverit?

Luc. IX. Nemo cum manum suam aratro admoverit, et ad posteriora se converterit aptus est ad regnum cœleste.

II Petr. II. Nam si, posteaquam refugerunt inquinamenta mundi per agnitionem Domini et Servatoris nostri Jesu Christi, cursus tamen his impliciti, superati fuerint, illis postrema pejora primis acciderunt. Melius enim illis fuisset non agnovisse viam justitiæ, quam ea agnita retrorsum revertisse, et a sancto illo præcepto ipsis tradito deflexisse; accidit enim illis quod vero proverbio dici solet: Canis reversus ad suum vomitum, et sus lota ad volutabrum cœni.

S. Basilii. Spectaculum miserabile, post jejunium, post duram exercitationem, post precationes assiduas, post multas et copiosas lacrymas, post continentiam annorum viginti fortasse vel etiam triginta per incogitantiam et negligentiam, denudatum omnibus ostendi, ac præceptorum perfectione abundantem similem esse mercatori alicui opulentissimo, qui copia mercium advectitiarum exsultans, navi secundis progrediente ventis, periculosa maria præterveetus, in ipso tandem portu navi fracta universis illis simul privatur: quod hic quoque infinitis laboribus comparata uno diaboli impetu perdat per peccatum, quasi per procellam quamdam immanem submersus. Hæc vox ei convenit qui omnem simul virtutem naufragio amiserit: Veni in altum mare, et procella submersit me.

Id. in Oratione contra ebrios. Qui progressum in bonis actionibus fecerit, deinde ad pristinam consuetudinem reversus fuerit, non modo laborum præteritorum mercede privatur, sed etiam acerbiore condemnatione dignus judicatur.

Theologi. Si tu tibi nihil molestiarum fore putabas cum ad philosophiam accessisti, alienum a philosophia fuit initium. Sin putabas et non accidit; Deo gratia est habenda: sin acciderit, aut patienter ferto, aut promissis scias te non stetisse.

Philonis. Nonnulli cum in virtute profecissent, deflexerunt et revocaverunt se priusquam ad finem perveniissent. Etenim optimam vivendi rationem ex animo detrahit turbulenta et pessima ratio, quæ tum paulisper quierit de integro majoribus viribus rehititur.

Complures meditatores cum essent, ad extremum virtutem mutarunt. **192** At cui Deus firmam largitur scientiam, huic utraque largitur, et virtutes

exercere, et ab iisdem nunquam deficere, sed semper recondere, et unamquamque semper conservare.

Jam quidam novarum rerum cupidi et fastidiosi, cum probitatem degustassent, ac spem status melioris dedissent, in eumdem recidere morbum.

SERMO XLV [*al.* LXXXIX].

De iis qui opus libenter faciunt et studiose. Item laborandum esse, quod labor utilitatem habeat.

Gen. III. Cum sudore oris edes panem tuum.

II Paral. XXV. Robusti estote, nec fatigentur manus vestræ, quia est merces operæ vestræ.

Job. Ex sollicitudine et cura tibi exorietur pax.

Psal. CII. Exibit homo ad opus suum, et ad culturam suam usque ad vesperam.

Labores fructuum tuorum edes, beatus es, et bene tibi erit.

Prov. VI. Si impiger fueris, veniet veluti fons messis tua; indigentia autem velut egregius cursor effugiet:

Manus fortium locupletant.

In omni sollicite cogitanti inest aliquid redundans.

Qui accumulat sibi cum pietate, locupletabitur.

Prov. XXXI. Porrexit brachia sua ad opus, ac intellexit honestum esse operari, et totam noctem lucerna ipsius non extinguitur.

Condemnabit justus laborans viventes impios.

Bonorum laborum fructus gloriæ conjunctus est.

Eccli. In omnibus operibus tuis assiduus esto, et nullus te morbus corripiet.

Eccle. II. Crede Domino, et persiste in labore tuo: quia leve est in oculis Domini repente ditare pauperem.

Eccli. LI. Facite opus vestrum ante tempus, et dabit vobis mercedem in tempore suo.

Præstat qui in omnibus aliquid operis facit, quam qui gloria afficitur, panis indigens.

In opere tuo consenescite.

Ad horam præscriptam surgito, nec tardus esto.

Joan. V. Pater meus adhuc operatur, et ego operor.

Matth. XXV. Homo quidam peregre profecturus vocatis servis suis dedit sua bona, alii quidem talenta quinque, alteri autem duo, alteri unum, ac pro facultate cuique, et peregre profectus est, et reliqua.

Act. XX. Ipsi nostis manus has necessitatibus meis et eorum qui mecum erant ministrasse: exemplo demonstravi **193** vobis, sic laborandum esse, ut infirmis subveniatur; recordari enim debetis verba Domini, cum ipse dixerit: « Felicius est dare, quam accipere. »

I Thess. IV. Hortamur autem vos, fratres, ut abundantiores sitis, et studeatis quieti, et privata opera faciatis, manibusque vestris opus conficiatis:

A ἐργάζεσθαί τε τῇ ἀρετῇ, καὶ μηδέποτε αὐτῶν ἀφίστασθαι, ἀλλ' ἀεὶ ταμιεύειν καὶ φυλάττειν ἑκάστην.

Ἤδη τινὲς ἀψίκοροι, γευσάμενοι καλοκαγαθίας, καὶ ἐλπίδα παρασχόντες ὑγείας, εἰς τὴν αὐτὴν ἐπανέστρεψαν νόσον.

ΛΟΓΟΣ ΜΕ'.

Περὶ φιλεργῶν καὶ σπουδαίων· ὅτι χρὴ πονεῖν, ὠφέλειαν γὰρ ἔχει.

Ἐν ἱδρῶτι τοῦ προσώπου φάγῃ τὸν ἄρτον σου.

Ἰσχύσατε, καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, διότι ἐστὶ μισθὸς τῆς ἐργασίας ὑμῶν.

Ἐκ μερίμνης καὶ φροντίδος ἀναφανεῖται σοι εἰρήνη.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ
B ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι, μακάριος εἶ, καὶ καλῶς σοι ἔσται.

Ἐὰν δοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου· ἡ δὲ ἔνδεια ὥσπερ καλὸς δρομεὺς ἀπαντομολήσει.

Χεῖρες ἀνδρείων πλουτίζουσιν.

Ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν.

Ὁ συνάγων ἑαυτῷ μετ' εὐσεβείας πληθυνθήσεται.

Ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον, καὶ ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι· καὶ οὐ κατασβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα.

C Κατακρινεῖ δίκαιος καμὼν τοὺς ζῶντας ἀσεβεῖς.

Ἀγαθῶν πόνων καρπὸς εὐκλεής.

Ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής, καὶ πᾶν ἀρρώστημα οὐ μή σε ἀπαντήσῃ.

Πίστευε τῷ Κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου, ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου ἐξαπίνης πλουτίσαι πένητα.

Ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ, καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν τῷ καιρῷ αὐτοῦ.

Κρεῖσσον ἐργαζόμενος ἐν πᾶσιν, ἢ δοξαζόμενος καὶ ἀπορῶν ἄρτου.

Ἐν τῷ ἔργῳ σου παλαιώθητι.

Ἐν τῇ ὥρᾳ σου ἐξεγείρου, καὶ μὴ βραδύνῃς.

Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζο-
D μαι.

Ἄνθρωπός τις ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν εὐθέως, καὶ τὰ ἑξῆς.

Αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. Ὑπέδειξα οὖν ὑμῖν, ὅτι οὕτως κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε· Μακάριον τὸ διδόναι μᾶλλον ἢ λαμβάνειν.

Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν,

καθὼς παρηγγείλαμεν ὑμῖν, ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

Τὸ γὰρ πόνῳ κτηθὲν περιχαρῶς ὑπεδέχθη, καὶ φιλοπόνως διεφυλάχθη· ὧν μέντοι πρόχειρος ὁ πορισμὸς, τούτων καὶ ἡ κτῆσις εὐκαταφρόνητος.

Μίσους ὄντως ἄξια καὶ καταγνώσεως ἡ ἀργία, μύρμηκος καὶ μελίσσης χείρονα ποιοῦσα τὸν ἄνθρωπον· ὃς γε καὶ ἐξ ἀρχῆς πλασθεὶς ἐτέθη εἰς τὸν παράδεισον, ἐργάζεσθαι καὶ φυλάσσειν αὐτόν. Ὥστε τὸ πρῶτον καὶ οἰκειότατον τῶν ἀνθρώπων ἡ περὶ τῶν ἔργων σπουδὴ, καὶ οἱονεὶ παρὰ φύσιν αὐτῷ ἡ ἀργία.

Τί τῶν ἀγαθῶν εὔκολον; τίς καθεύδων τρόπαιον ἔστησεν; τίς τρυφῶν καὶ καταυλούμενος τοῖς τῆς εὐσεβείας στεφάνοις κατεκοσμήθη; Οὐδεὶς μὴ δραμὼν ἀνείλετο βραβεῖον. Πόνοι γεννῶσι δόξαν, κάματοι προξενοῦσι στεφάνους.

Τὸ μὲν ἑαυτοῦ ἕνεκεν μεριμνᾷν, ἢ ἐργάζεσθαι, πανταπασιν ἀπηγόρευται· κατ' ἐντολὴν δὲ τοῦ Κυρίου διὰ τὴν χρείαν τοῦ πλησίον μεριμνᾷν καὶ ἐργάζεσθαι σπουδαιότερον χρή.

Οἱ ἐκ μακρᾶς συνηθείας μελετηθέντες πόνοι ἀλυπότερον προσπίπτουσι τοῖς ἐγγεγυμνασμένοις.

Ἔστιν ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία.

Ἐὰν φύγωμεν τῆς σαρκὸς τὰ ἐπίπονα, οὐκ ὀψόμεθα τὰ ἀγαθὰ τῶν δικαίων.

Τὸ μικρὸν ἐπὶ σμικρῷ κατατίθεσθαι οὐ μόνον εἰς ἀργυρίου προσθήκην, ἀλλὰ καὶ εἰς ἡντιναοῦν ἐπιστήμην ὀρθῶς ἔχειν, τῷ σπουδαίῳ προσῆκεν.

Τῆς αὐτῆς ἐστι δυσχερείας, καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καὶ κτηθὲν διασώσασθαι. Πολλάκις γὰρ, ὃ μὲν σπουδὴ προσέλασε, ῥᾳθυμία διέφθειρεν· ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια.

Φιλεῖ τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι, τὸ δὲ ῥᾳδίως κτηθὲν ἀποπτύεσθαι τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον.

Αἱ γενναῖαι φύσεις, λόγου μὲν αὐτὰς παιδαγωγοῦντος καὶ διευθύνοντος, μέγα τι χρῆμα πρὸς ἀρετήν· ἐπιλειπούσης δὲ ἐπιστήμης καὶ λόγου, τὸ ἴσον εἰς κακίαν εὑρίσκονται.

Μικρὸν κοπιάσωμεν χρόνον, ἀγαπητοὶ, ἵνα μὴ τῶν αἰωνίων ἐκπέσωμεν ἀγαθῶν.

Πρὸς ὀλίγον χρόνον ὁ κάματος, καὶ εἰς αἰῶνα αἰῶνος ἡ ἀνάπαυσις.

Ὅπου πλείων ὁ πόνος, ἐκεῖ μείζων ἡ ἡδονή.

Οὐκ ὀκνεῖ ὁ εὖ φρονῶν πρὸς τοὺς πόνους διὰ τοὺς ἐκ τῶν πόνων καρπούς.

Πανταχοῦ διὰ δυσκολίας καὶ πόνων τοῖς ἀνθρώποις πέφυκε τὰ χρήσιμα παραγίνεσθαι.

Οἱ πόνοι τῶν ἀγαθῶν πανταχοῦ χορηγοί.

Μικρὰ ἐν πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς.

A quemadmodum præceperamus vobis, ut decenter vos geratis erga extraneos, nullaque re indigeatis.

Incerti auctoris. Quod enim labore partum est, majore lætitia accipitur, diligentiusque asservatur; quorum autem facilis est comparatio, eorum ipsorum contemnenda est possessio.

Otium profecto condemnatione et odio dignum est, quo formicis et apibus deterior homo redditur: qui quidem cum primo formatus esset, in paradiso collocatus est, ut eum excoleret et custodiret. Quare primum et maxime accommodatum est naturæ hominis operis et laboris studium, et quasi contra naturam ipsius otium.

Quid ex numero bonorum facile est? quis dormiens unquam tropæum fixit? quis in deliciis vivens et cantibus sese oblectans, pietatis coronis est unquam decoratus? Nemo qui non cucurrit palmam et bravium retulit. Labores gloriam pariunt, sudores coronas comparant.

Ut sui causa quis sollicitus sit et opus faciat, interdictum est omnino; at præceptum est divinum, ut propter proximi necessitatem et solliciti simus, et diligentissime in opus incumbamus.

Longa consuetudine exercitati labores minore molestia ab exercitatis suscipiuntur.

Ex laboribus valetudo, ex sudoribus salus.

Si quæ carni sunt molesta fugerimus, non fruemur justorum bonis.

Paululum paululo adjungere, non solum ad pecuniæ amplificationem, sed etiam ad quamcunque scientiam utile, studiosi et diligentis hominis officium est.

Theologi. Ejusdem est difficultatis aliquid boni acquirere quod nondum habeas, et acquisita tueri. Sæpe enim quod studio partum erat, negligentia perdidit: et quod negligentia perdidit, diligentia recuperavit.

Quod labore partum est, diligentius retineri solet: quod autem facile quæsitum est, quam celerrime respuitur, tanquam facile recuperari possit.

Generosa ingenia, ratione quidem moderante et dirigente, magnum habent momentum ad virtutem sequendam: 194 at si desit scientia et ratio, non minus prompte ad vitia labuntur.

S. Chrysost. Exiguo tempore, o dilecti, elaboremus, ne bonis excidamus æternis.

Brevis est temporis labor, at in sæcula multa requies.

Ubi major labor, ibi major voluptas.

Qui prudentia præditus est, ad laborem non gravate accedit, propter consequentes laborum fructus.

Utilia nusquam nisi difficultate et laboribus suppeditari solent.

Labores bonorum ubique sunt largitores.

Exigua est inter volucres apis, at inter dulcia primum locum tenet fructus ipsius.

Dionysii Alex. Fortis autem et accurata oratio amara etiam dicit esse dulcium causas [victica], et laborum fructus esse voluptates : nam sine labore nihil potest pulchri contingere.

Philonis. Principium omnis boni et virtutis, si verum fateri volumus, laborem esse Deus hominibus ostendit, quo remoto nihil boni apud genus humanum constitui potest.

Natura enim nulli mortalium boni possessionem sine laboribus largita est.

Hæc est animi rerum divinarum contemplatione versantis voluptas, ut laborare existimet dulcissimum.

Qui laborem fugit, ipsa bona fugit : qui autem toleranter et fortiter sustinet dura, ad beatitudinem festinat.

Plurima et maxima bona certationibus exercitationis plenis et virentibus laboribus acquiruntur.

Democr. Labores debemus persequi, quibus homines magnas res et splendidas sibi comparant.

Naturæ virtutem corrumpit incuria, improbitatem corrigit doctrina. Et facilia negligentibus elabuntur : difficilia vero curis capiuntur. Ut enim instrumentum quod remittitur et intenditur, jucunda voluptate oblectat : sic etiam vita hominum [etiam inter et laborem dispertienda est].

Socratis. Exerce te laboribus voluntariis, ut possis et non voluntarios tolerare.

Nullus unquam laudem est voluptatibus conte-
[cutus.
Nullus negligens gloriam magnam est adeptus ;
Sed labores fortitudinis laudem pariunt.
(*Caroini.*)

Demosthenes a quodam interrogatus, quemadmodum esset dicendi facilitatem adeptus, Plus, inquit, olei quam vini consumendo.

195 Corpus laboribus exerce, animum autem fortiter et generose pericula sustinendo.

Xenophontis. Deus sic statuit, ut illis qui nolint imperare et præscribere sibi honesta facta, alios eis imperantes inducat dominos.

Labores voluntarii, non voluntariorum perpessionem efficiunt leviorem.

Idem conspicatus juvenem industrium et laboris amantem, jucundissimum, inquit, senectuti condis obsonium

SERMO XLVI [*al.* XC].

De otiosis laborum et operum, ac pigris, nihil curantibus et incuriis.

Psal. LXXII. In laboribus hominum non sunt, et cum hominibus flagris non cædentur.

Prov. IX. Ito ad formicam, o piger, et æmulare rationem ac viam illius, sisque ea prudentior, nam cum illi desit ager quem colat, neminemque qui cogat ad opus habeat, nec sub illius dominatu vivat, parat tamen æstate cibum, multumque in messe acervat quod sibi hieme apponat. Aut accede ad apem, disceque quam sit laboriosa, quamque opus

Ὁ δέ γε ἐρρωμένος καὶ ἀκριβὴς λόγος καὶ τὰ πικρὰ εἶναί φησι τῶν γλυκέων ἐφόδια, καὶ γίνεσθαι καρποὺς τῶν πόνων τὰς ἡδονάς. Ἀκμητὶ γὰρ οὐδὲν δύναται παραγενέσθαι καλόν.

Ἀρχὴν (εἰ δεῖ τἀληθὲς εἰπεῖν) παντὸς ἀγαθοῦ καὶ ἀρετῆς ἁπάσης ὁ Θεὸς ἐνέδειξεν ἀνθρώποις πόνον· οὗ χωρὶς τῶν ἀγαθῶν οὐδέν ἐστι παρὰ τῷ θνητῷ γένει συνιστάμενον.

Θνητῷ γὰρ οὐδενὶ κτῆσιν ἀγαθοῦ δίχα πόνου ἡ φύσις δεδώρηται.

Αὕτη ἡδονὴ ψυχῆς ἀσκητικῆς ἥδιστον ἀντὶ πικροῦ τὸ πονεῖν ὑπολαμβάνειν.

Ὁ μὲν τὸν πόνον φεύγων φεύγει τὰ ἀγαθά· ὁ δὲ τελητικῶς καὶ ἀνδρείως ὑπομένων τὰ δυσκαρτέρητα σπεύδει πρὸς μακαριότητα.

Τὰ πλεῖστα καὶ μέγιστα τῶν ἀγαθῶν ἀσκητικαῖς ἀθλήσεσι, καὶ ἡδῶσι πόνοις εἴωθε περιγίνεσθαι.

Δεῖ τοὺς πόνους διώκειν, ἀνθ' ὧν τὰ μεγάλα καὶ λαμπρὰ γίνεται τοῖς ἀνθρώποις.

Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥᾳθυμία· φαυλότητα δὲ ἐπανορθοῖ διδαχή· καὶ τὰ μὲν ῥᾴδια τοὺς ἀμελοῦντας φεύγει· τὰ δὲ χαλεπὰ τοῖς ἐπιμελείαις ἁλίσκεται· ὥσπερ γὰρ ὄργανον ἄνεσιν καὶ ἐπίτασιν λαμβάνον ἡδὺ γίνεται, οὕτω καὶ βίος.

Γύμναζε σαυτὸν πόνοις ἀκουσίοις, ἵνα δόξῃς καὶ τοὺς ἀκουσίους ὑπομένειν.

Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

Οὐδεὶς ῥᾴθυμος εὐκλεὴς ἀνήρ·
Ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν.

Δημοσθένης ἐρωτηθεὶς ὑπό τινος, πῶς τῆς ῥητορικῆς περιεγένετο, ἔφη, Πλέον ἔλαιον οἴνου ἐκπνήσας.

Γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν γενναίως ὑπομένειν τοὺς κινδύνους.

Ὁ Θεὸς οὕτως ἐποίησε, τοὺς μὴ θέλοντας ἑαυτοῖς προστάσσειν ἐκπονεῖν τὰ ἀγαθὰ, ἄλλους αὐτοῖς ἐπιτακτῆρας δίδωσιν.

Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν.

Ὁ αὐτὸς ἰδὼν νεανίαν φιλοπονοῦντα, ἔφη· Κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

ΛΟΓΟΣ ΜΣ'.

Περὶ μισεργῶν καὶ ὀκνηρῶν, καὶ καταῤῥονούντων καὶ ῥᾳθυμούντων.

Ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.

Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος· ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὰ ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, πολλήν τε ἐν τῷ ἀμήτῳ πωλεῖται τὴν παράθεσιν. Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστὶ, τήν τε ἐργασίαν

ὡς ασμενὴν ποιεῖται ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται. Πενιχρὰ δέ ἐστι πᾶσι καὶ ἀτίμαστος, καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενής (τὴν σοφίαν τιμήσασα προσῆχθη). Ἕως πότε, ὀκνηρέ, κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; Ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη. Εἶτα παραγίνεταί σοι, ὥσπερ ἀγαθὸς δρομεύς, ἡ πενία, καὶ ἡ ἔνδεια ὥσπερ καλὸς ὁδοιπόρος.

Πλούτου ὀκνηροὶ ἐνδεεῖς γίνονται,
Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός.
Ὁδοὶ ἀργῶν ἐστρωμέναι ἀκάνθαις.
Ψυχὴ ἀργοῦ πεινάσει.
Ἐνδύσεται διερρηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης. B

Ὀνειδιζόμενος ὀκνηρὸς οὐκ αἰσχύνεται. ὡσαύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμητῷ.

Ἐπιθυμίαι ὀκνηρὸν ἀποκτενοῦσιν· οὐ γὰρ αἱροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι.

Προφασίζεται καὶ λέγει ὀκνηρός· Λέων ἐν ταῖς ὁδοῖς, ἐν δὲ ταῖς πλατείαις φονευταί.

Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ.

Σοφώτερος ἑαυτῷ φαίνεται ὀκνηρός.

Ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κοίτης αὐτοῦ.

Ὁδοὶ καταφρονούντων ἐν ἀπωλείᾳ.

Ἐν ὀκνηρίᾳ ταπεινωθήσεται δόκωσις, καὶ ἐν ἀργίᾳ χειρῶν στάξει οἰκία. C

Μὴ γίνου ταχὺς ἐν γλώσσῃ σου, καὶ νωθρὸς καὶ ῥαθυμῶν ἐν τοῖς ἔργοις σου.

Πολλὴν κακίαν ἐδίδαξεν ἡ ἀργία.

Ἐν νεότητί σου οὐ συνήγαγες, καὶ πῶς ἂν εὕρῃς ἐν γήρᾳ σου;

Ἐν ἀργίᾳ ἐλάττωσις πολλή· μήτηρ ἐστὶν ἡ ἀργία σοῦ λιμοῦ, ἀδελφὴ δὲ τῆς κλοπῆς.

Τῷ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ.

Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω· ἀκούομεν γάρ τινας ἐν ὑμῖν ἀτάκτως περιπατοῦντας, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. Τοὺς δὲ τοιούτους παραγγέλλομεν καὶ παρακαλοῦμεν ἐν Κυρίῳ, Ἰησοῦ ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. D

Ἀργία κακουργίας ἀρχή.

Ἴδιον τοῦτο ἀῤῥώστημα ἀργῆς καὶ ῥᾳθύμου ψυχῆς, ἐνύπνια βλέπειν ἐγρηγορότος τοῦ σώματος.

Τίς, ἐν καιρῷ σποράς οἶκοι καθήμενος, ἐνστάντος τοῦ θερισμοῦ τὸν κόλπον ἐπλήρωσε τῶν δραγμάτων; τίς ἐτρύγησεν ἀμπελῶνα, τὸν μὴ παρ' αὐτοῦ πεφυτευμένον; Ἐκείνων οἱ καρποὶ ὧν καὶ οἱ πόνοι. Αἱ τιμαὶ καὶ οἱ στέφανοι τῶν νενικηκότων εἰσί. Τίς στεφανοῖ ποτε τὸν μηδὲ ἀποδύντα πρὸς τὸν ἀντίπαλον; ὁπόταν οὐ νικῆσαι μόνον δεῖ, ἀλλὰ καὶ νομίμως ἀθλῆσαι, κατὰ τὸν Ἀπόστολον.

splendidum efficiat, cujus laboribus tum reges tum privati utuntur ad valetudinem : et ab omnibus amator et celebratur, quanquam sit robore infirmo : sapientiæ enim dedita, honestata est. Quousque, piger, decumbes? quando tandem e somno exciteberis? Paulisper dormis, paulisper sedes, paululum dormitas, admoves manus pectori, deinde paupertas velut egregius cursor ad te venit, et inopia velut celer viator.

Pigri divitiarum sunt inopes.
In cupiditatibus versatur omnis otiosus.
Viæ otiosorum spinis stratæ sunt.
Anima otiosi exuriet.
Vestietur detritis pannis somniculosus. B

Piger probris cum afficitur, non erubescit ; similiterque qui commodato accipit frumentum messis tempore.

Cupiditates pigrum interficient; non enim manus ejus volunt quidquam facere.

Causatur et dicit piger, leonem esse in viis, et in vicis sicarios.

Qui rem contemnit, contemnetur ab ipsa.

Piger sibi videtur sapientissimus.

Ut ostium volvitur in cardine, sic piger in lecto suo.

Viæ nihil curantium in perditione.

Pigritia dejicietur et diruetur tectum, et otio manuum stillabit domus (1). C

196 Ne sis lingua celeri, et in operibus languidus ac remissus.

Plurima vitia docet otium.

Eccli. XXXIII. In juventute cum nihil collegeris, quomodo invenias in senectute tua

Tobiæ. In otio multæ res imminuuntur : otium mater est famis et frater furti.

Matth. XIII. Omni qui habet dabitur, et affluet : ab eo autem qui non habet, et quod videtur habere, auferetur.

II Thess. III. Si quis operari recusat, is quoque nihil edat : audimus enim quosdam inter vos qui immoderate se gerant, nihil operis ipsi facientes, sed in aliena opera curiose inquirentes : quos monemus et hortamur per Dominum Jesum, ut quiete operantes suum ipsi panem edant. D

Basilii. Otium malefieii principium.

Propria est hæc ægritudo otiosi et desidiosi animi, ut vigilante corpore somnia videat.

Quis, sementis tempore domi sedens, instante æstate sinum suum manipulis implevit? quis vindemiavit vineam, quam ipse non conseverit? eorum sunt fructus, quorum fuerunt labores. Honores et coronæ eorum, qui victoriam obtinuerint, esse solent. Quis unquam coronandum putavit eum qui ad certandum cum adversario ne se exuerit quidem? quando non solum vincendum est, sed etiam, ut ait Apostolus, legitime certandum.

(1) *Id est*, stillicidiis plena erit propter otiosas manus.

Quis certaminum præfectus adeo careat judicio, ut lisdem coronis dignos judicet victorem et eum qui nihil certarit? Quis imperator est, qui eos qui ne visi quidem sint in prælio, ad parem victoribus spoliorum distributionem vocet?

Theologi. Quantum est malum ad pessima paratum esse, et ad optima cunctatorem et imparatum!

Honestum jam non est honestum, cum non fit honeste.

Infirma et dissoluta ingenia, tum ad virtutem, tum ad vitium, similiter remissa et languida sunt, difficiliaque ad se commovendum; in neutram partem insigniter inclinant otiosorum momenta.

Segnities somni conjux.

Æque inutilia sunt, et segnities nihil agens, et ardor sine doctrina; illa ad honesta non accedit, hæc honestum transilit, et justo justius quiddam facit.

S. *Chrysost.* Nihil est tam facile, quod non valde grave et invisum magna pigritia reddat; nec quidquam tam laboriosum et difficile, quod studium et alacritas non facillimum efficiat.

197 Qui faciunt aliquid non ut decet, illud reipsa non faciunt.

Clementis. Qui infirmi et imbecilles sunt, his vel quod mediocre est supra vires ipsorum videtur.

Philonis. Labor utilia, et facilitas nocentia comitatur; qui autem labori facilitatem præponunt, ii utilia suadentibus succensent.

Continuata exercitatio scientiam efficit firmam, sicut inscientiam nulla exercitatio adhibita; itaque innumerabiles neglecta exercitatione robur etiam naturale enervaverunt.

Consuetudine et quiete confirmatum otium insidiosum est.

SERMO XLVII [*al.* XXV].

De præstanti sensu et intellectu præditis.

Salomon. Tinea et erosio ossium est cor sensu præstans.

Sensus prudentibus facilis.

Prudentis cor sensu viget.

Eccl. XXII. Qui sensum comparavit, se ipse diligit.

Cor viri sensu præditum, anima tristis.

Sollicitudine afficietur vir intelligentia præditus.

Vir prudens, thronus intelligentiæ.

Cor sapientis intelliget, quæ ex ipsius ore proficiscentur.

Eccli. Intelligentia præditus lapsum suum agnoscit.

Si audierit scientia præditus sapientem sermonem, laudabit illum, et ad illum adjiciet.

Τίς οὕτως ἄχρηστος ἀθλοθέτης ὃς τῶν ἴσων ἀξιώσει στεφάνων τὸν νικητὴν, καὶ τὸν μηδὲν ἠγωνισμένον; Τίς στρατηγὸς εἰς τὴν μερίδα τῶν σκύλων ἐξ ἴσου ποτὲ τοῖς νενικηκόσι τοὺς μηδὲ φανέντας ἐπὶ τῆς μάχης ἐκάλεσεν;

Ὅσον ἐστὶ κακὸν ἑτοιμότης πρὸς τὸ χεῖρον, καὶ μέλλησις πρὸς τὸ βέλτιον.

Τὸ καλὸν οὐ καλὸν, ὅταν μὴ καλῶς γίνηται.

Αἱ ἀσθενεῖς καὶ διαπεχυμέναι φύσεις καὶ πρὸς ἀρετὴν καὶ πρὸς κακίαν ὁμοίως νωθεῖς, καὶ δυσκίνητοι· οὐδετέρως μέγα νεύουσαι εἰ τὰ τῶν ἀρκούντων κινήματα. (Ego legerim, Οὐδετέρωσε μέγα νεύουσι τὰ τῶν ἀργούντων κινήματα.)

Νωθεία ὕπνου σύζυγος.

Ὁμοίως ἄχρηστα καὶ νωθρότης ἄπρακτος, καὶ θερμότης ἀπαίδευτος· ἡ μὲν οὐκ ἐγγίζουσα τῷ καλῷ, ἡ δὲ ὑπερεκπίπτουσα, καὶ τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον.

Οὐδὲν οὕτω ῥᾴδιον, ὃ μὴ σφόδρα βαρὺ καὶ ἀπαχθὲς ὁ πολὺς δείκνυσιν ὄκνος· οὕτε ἐπίπονον καὶ δυσχερὲς, ὃ μὴ λίαν εὔπολον ἡ σπουδὴ καὶ ἡ προθυμία ποιεῖ.

Οἱ μὴ ὡς δεῖ ποιοῦντές τι, οὐδ' ὅλως αὐτὸ ποιοῦσιν.

Τοῖς ἀτόνοις καὶ ἀσθενικοῖς τὸ μέτρον ὑπὲρ τόνον δοκεῖ.

Πόνος μὲν τοῖς συμφέρουσι, ῥᾳστώνη δὲ τοῖς βλαβεροῖς ἕπεται. Πόνου δὲ ῥᾳστώνην προκρίνοντες, τοῖς τὰ συμφέροντα εἰσηγουμένοις ἀπεχθάνονται.

Ἡ συνεχὴς ἄσκησις ἐπιστήμην παγίαν ἐργάζεται, ὡς ἀμαθίαν ἀμελετησία. Μυρίοι γοῦν ἀθλήσεως ὄκνῳ καὶ τὴν ἐκ φύσεως ἰσχὺν ἐξέλυσαν.

Ἡ ἐξ ἔθους καὶ σχολῆς ἀργία πρᾶγμα ἐπίβουλον.

ΛΟΓΟΣ. ΜΖ'.

Περὶ αἰσθητικοῦ ἀνθρώπου.

Σὴς ὀστέων καρδία αἰσθητική.

Αἴσθησις φρονίμοις εὐχερής.

Καρδία φρονίμου κατ' αἴσθησιν.

Κτώμενος αἴσθησιν ἀγαπᾷ ἑαυτόν.

Καρδία αἰσθητικὴ ἀνδρὸς λυπηρὰ ψυχὴ αὐτοῦ.

Ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι.

Ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως.

Καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος.

Ὁ νοήμων οἶδεν ἐν τῷ ὀλισθαίνειν αὐτόν.

Λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων, αἰνέσει αὐτὸν, καὶ ἐπ' αὐτὸν προσθήσει.

ΛΟΓΟΣ ΜΗ'.

Περὶ ἀναισθητούντων.

Ἐὰν μαστιγοῖς τὸν ἄφρονα ἐν μέσῳ συνεδρίου, οὐ μὴ περιέλῃς ἀτιμάζων τὴν ἀφροσύνην αὐτοῦ.

Ἄφρων μαστιγωθεὶς οὐκ αἰσθάνεται.

Ἠσχύνθησαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν, καὶ οὐχ ὡς κατῃσχυμμένοι ἠσχύνθησαν.

Ὡς ὁ ἐξεγείρων καθεύδοντας ἐκ βαθέος ὕπνου, ὁ διηγούμενος ἄφρονι, καὶ ἐπὶ τέλει ἐρεῖ, Τί τοῦτο; καὶ ἐπὶ συντελείᾳ ἐρεῖ, Τί πρότερον;

Μετὰ ἄφρονος μὴ πορεύου, ἀναισθητῶν γὰρ ἐξουθενεῖ σου τὰ πάντα· φύλαξαι ἀπ' αὐτοῦ, ἵνα μὴ κόπον ἔχῃς.

Συγκολλῶν ὄστρακον ὁ διδάσκων ιωσόν.

ΛΟΓΟΣ ΜΘ'.

Περὶ ὀνόματος χρηστοῦ καὶ χάριν ἔχοντος.

Ἦν Κύριος μετὰ Ἰωσὴφ, καὶ κατέχεεν ἐπ' αὐτῷ ἔλεος, καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντι τοῦ ἀρχιδεσμοφύλακος.

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς· ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή.

Χάρις καὶ φιλία ἐλευθεροῖ, ἃς τήρησον σεαυτῷ, μὴ ἐπονείδιστος γένῃ.

Περιποίησαι χάριν καὶ ἔννοιαν ἀγαθὴν ἐν ὀφθαλμοῖς Θεοῦ καὶ ἀνθρώπων.

Ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν.

Φρόντισον περὶ ὀνόματος· αὐτὸ γάρ σοι παραμενεῖ ἢ χίλιοι μεγάλοι θησαυροί.

Χάρις ὡς παράδεισος εὐλογίας.

Ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν, καὶ ἀγαθὸν ὄνομα εἰς τὸν αἰῶνα μένει.

Χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ.

ΛΟΓΟΣ Ν'.

Περὶ ὀνόματος πονηροῦ καὶ χάριν μὴ ἔχοντος.

Ὄνομα πονηρὸν αἰσχύνην καὶ ὄνειδος κληρονομήσει.

Ἄνθρωπος ἄχαρις μῦθος ἄκαιρος.

Ὄνομα ἀνθρώπων οὐκ ἀγαθῶν ἐξαλειφθήσεται.

Μωρὸς ἐρεῖ· Οὐχ ὑπάρχει μοι φίλος, καὶ οὐκ ἔστι χάρις τοῖς ἀγαθοῖς μου.

ΛΟΓΟΣ ΝΑ'.

Περὶ ζυγῶν, καὶ σταθμῶν, καὶ μέτρων ἀδίκων.

Οὐ ποιήσεις ἄδικον κρίσιν ἐν μέτροις, καὶ σταθμοῖς, καὶ ζυγοῖς. Ζυγὰ δίκαια, καὶ μέτρα δίκαια, καὶ χοῦς δίκαιος ἔσται ὑμῖν.

Οὐκ ἔσται ἐν τῷ μαρσίππῳ σου σταθμίον μικρὸν καὶ μέγα· οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον μέγα καὶ μικρόν. Σταθμίον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς.

Σταθμίον δίκαιον δεκτὸν Κυρίῳ.

Ζυγὸς δίκαιος, καὶ μέτρον δίκαιον, καὶ χοῖνιξ δίκαιος ἔσται ὑμῖν.

A SERMO XLVIII [*al.* XXIX].

De nullo sensu aut intellectu præditis.

Salomon. Si flagris insipientem ceciderit in medio concilio, illi non detraxeris hac ignominia insipientiam.

Stultus flagris cæsus non sapit.

Jerem. Erubuerunt, et infamiam suam non agnoverunt, nec ut dedecore affecti vercecundati sunt.

Velut qui excitat dormientes ex alto somno, sic qui stulto aliquid narrat: qui tandem ad extremum dicet: Quid istud est? et in consummatione, Quid prius?

Cum stulto ne congreditor, nam cum sensu careat, omnia tua contemnit: cave illum, ne molestiam suscipias. B

Agglutinat testam qui stultum docet.

SERMO XLIX [*al.* CXIII].

De nomine bono et gratiam habente.

Gen. XXXIX. Fuit Dominus cum Joseph, et impertiit ei misericordiam, deditque ei gratiam apud præfectum carceris.

Prov. XXII. Magis expetendum est nomen honestum, quam divitiæ multæ: argento et 198 auro præstantior est bona gratia.

Gratia et amicitia liberum faciunt. Has igitur fac serves tibi, ne sis probrosus.

Compara gratiam et notitiam bonam in oculis Dei et hominum. C

Eccle. VII. Bonum nomen pretiosius bono oleo.

Curæ sit tibi nominis fama; ipsa enim tibi magis proderit, quam mille magni thesauri.

Gratia est veluti paradisus benedictionis.

Honestæ vitæ numerus dierum: et honesta fama æternum durat.

Gratia et misericordia in sanctis illius.

SERMO L. [*al.* CXIII].

De nomine malo et gratiam non habente.

Sirach. Nomen improbum turpitudinem et dedecus hæreditarium consequetur.

Homo gratia carens, intempestivus sermo.

Nomen virorum non bonorum delebitur.

Stultus quereturnullum sibi esse amicum, et D nullam esse gratiam in bonis suis.

SERMO LI [*al.* XLII].

De ponderibus, stateris et mensuris.

Levit. XIX. Nihil inique feceris in judicio, in mensuris, stateris et ponderibus; pondera vobis sint justa, et mensuræ et congius justus.

Deut. XXV. Non erit in marsupio tuo pondus parvum et magnum, nec mensura magna et parva domi tuæ. Pondus verum et justum erit tibi, ut diu vivas in terra.

Pondus æquum Domino est acceptum.

Ezech. XLV. Bilanx æqua, itemque mensura et chœnix æqua vobis sint.

SERMO LII (1).

De ponderibus et stateris et mensuris iniquis.

Psal. LXI. Vani filii hominum, et fallaces in ponderibus, ut injuriam faciant; ipsi ex vanitate simul. Nolite spem habere in injuria, et rapinam non desiderate; divitiæ si affluxerint, nolite cor in eis defigere (2).

Prov. X. Pondera dolosa abominanda sunt Domino.

Statera magna et parva, et gemina mensura, ambo impura sunt in conspectu Domini; quique ea facit, in suis institutis irretietur impeditus.

Detestatur Dominus duplicem stateram; et pondus dolosum in conspectu ipsius non gratum est.

Oseæ XII. Chanaan, est in manibus ipsius statera dolosa, oppressionibus delectata est, etc. Labores ejus non invenientur in eo, propter injurias quas fecit.

Amos VIII. Audite hæc omnia, qui mane pauperem conteritis, et potentia mendicos opprimitis in terra, ac dicitis illa: Quando tandem præterierit mensis, ut mercaturam nostram faciamus, et aperiamus thesauros, ut minorem faciamus mensuram, et majora pondera, et lancem faciamus iniquam, ut argento comparemus egentes, et tenues calceamentis, ex omni genere fructus mercemur?

Micheæ VI. Non justificabitur in statera iniquus, nec in sacculo ponderum dolosorum, quibus divitias impietatis coacervarunt.

ΛΟΓΟΣ ΝΒ'.

A

Περὶ δολίων ζυγῶν, καὶ σταθμίων καὶ μετρων.

Μάταιοι υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι· αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

Ζυγοὶ δόλιοι βδέλυγμα Κυρίῳ.

Σταθμίον μέγα καὶ μικρὸν, καὶ μέτρα δισσὰ, ἀκάθαρτα ἐνώπιον Κυρίου ἀμφότερα· καὶ ὁ ποιῶν αὐτὰ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ συμποδισθήσεται.

Βδέλυγμα Κυρίῳ δισσὸν σταθμίον· καὶ ζυγὸς δόλιος οὐ καλὸν ἐνώπιον αὐτοῦ.

B Χαναὰν, ἐν χερσὶν αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησε. Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται ἐν αὐτῷ διὰ ἀδικίας ἃς ἥμαρτεν.

Ἀκούσατε ταῦτα πάντα, οἱ ἐκτρίβοντες εἰς τὸ πρωῒ πένητα, καὶ καταδυναστεύοντες πτωχοὺς ἐπὶ τῆς γῆς, οἱ λέγοντες, Πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπολήσομεν, καὶ ἀνοίξομεν θησαυροὺς, τοῦ ποιῆσαι μικρὸν τὸ μέτρον, καὶ τοῦ μεγαλῦναι σταθμία, καὶ ποιῆσαι ζυγὸν ἄδικον, τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχοὺς, καὶ ταπεινοὺς ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ παντὸς γεννήματος ἐμπορευσόμεθα;

Οὐ δικαιωθήσεται ἐν ζυγῷ ἄδικος, καὶ ἐν μαρσίπῳ σταθμία δόλου, ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἔπλησαν.

C

SERMO LIII [*al.* LXXVII].

De excandescentia et ira.

Matth. V. Quisquis irascitur fratri suo temere, judicio erit obnoxius.

Ephes. VI. Omnis acerbitas et excandescentia et ira, clamor, maledictum, ac simul omne vitium, a vobis tollatur.

Sol ne occidat super irritationem vestram, nec date locum criminatori.

Salomon. Minæ conterunt cor sapientis: insipiens ne flagris quidem cæsus sentit.

Stultus eo ipso die enuntiat iram, sapiens autem paulatim promit.

Grave est saxum, et difficilis portatu arena, sed stulti ira utroque gravior; nam quo se inclinarit ira ejus ruinam dabit ipsi.

Iracundus et facile excandescens deformis est; itaque cum iracundo ne habites.

Sodalis hominis iracundi ne esto, neve contubernalis sis amico iracundo, ne quando ipsius instituta discas, et laqueos tendas animæ tuæ.

Iracundus pugnas excitat: lenis autem et eam quæ excitari videbatur, sedat.

S. Basilii. Ira excitat rixam, rixa parit convicia,

ΛΟΓΟΣ ΝΓ'.

Περὶ θυμοῦ καὶ ὀργῆς.

Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει

Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ.

Συντρίβει ἀπειλὴ καρδίαν φρονίμου· ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται.

Ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργήν. Σοφὸς δὲ ταμιεύεται κατὰ μέρος.

D Βαρὺ λίθος, καὶ δυσβάστατον ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων. Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ ἐστιν.

Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων· καὶ ἀνδρὶ θυμώδει μὴ συναυλίζου.

Μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει, φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου, μή ποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ.

Ἀνὴρ θυμώδης παρασκευάζει μάχας· μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει.

Θυμὸς ἐγείρει μάχην, μάχη δὲ γεννᾷ λοιδορίας·

(1) In editione Melissæ Stobæo subjuncta sermo iste superiori sine distinctione intermiscetur. EDIT.

(2) Hebræi habent, *Si simul ponantur in bilance ipsa vanitate leviores erunt.*

αἱ δὲ λοιδορίαι πληγάς· πληγαὶ δὲ τραύματα· ἐκ δὲ τραυμάτων πολλάκις θάνατοι.

Θυμὸς βασιλέως ἄγγελος θανάτου· ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν.

Θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος, ἐξ ἀναθυμιάσεως τῶν χυμῶν συνιστάμενος· ὀργὴ δέ ἐστιν ὄρεξις ἀντιλυπήσεως. Ὥστε ὁ μὲν ὀξεῖαν ἔχει τοῦ πάθους τὴν κίνησιν· ἡ δὲ μονιμωτέραν καὶ παρατεταμένην ἐμφαίνει τὴν ἐπὶ τὴν λύπην ἐκπλήρωσιν.

Οὔτε στέφανοι χωρὶς ἀνταγωνιστῶν, οὔτε πτῶμα χωρὶς ἀντιπάλου.

Τυφλὸν ὁ θυμὸς καὶ ἐπίλυπον, καὶ μάλιστα ὅταν τὸ δικαίως ἀγανακτεῖν παρῇ.

Πάνυ δὲ χρὴ θυμοῦ φείδεσθαι, καὶ μὴ εἰς ὀργὴν προθύμως καταφέρεσθαι, ᾗτινι ἄφρονες δουλεύουσιν.

Οὐδὲν οὕτω καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς τῆς ῥύμης φερόμενος.

Ὁ θυμὸς ὀξύς ἐστι καὶ ὀλιγοχρόνιος· ἡ δὲ ὀργὴ βραδυτέρα μὲν, μονιμωτέρα δέ.

Δύο ἐν ἡμῖν γενικὰ πάθη, φυσικώτερα τῶν ἄλλων, θυμὸς καὶ ἐπιθυμία.

Μὴ ἀποδέχου ἐγκράτειαν, διωκομένης πραότητος.

Εὐτονωτέρας ἐπὶ τῆς ὀργῆς χρῄζομεν τῆς σπουδῆς. Τυραννικὸν γὰρ τὸ πάθος, καὶ πολλάκις παρασύρει τοὺς μὴ νήφοντας, καὶ πρὸς τὸ βάραθρον αὐτὸ κατάγει τῆς ἀπωλείας.

Πρόχειρον ὡς ἐπὶ πολὺ παρὰ πάντα τὸν βίον τὸ κατὰ τὴν ὀργήν ἐστιν ἀῤῥώστημα.

Ὀργίλος εἶ; ἔσο κατὰ τῶν ἁμαρτημάτων τῶν σαυτοῦ τοιοῦτος· ἐπίπληττε τῇ ψυχῇ, μάστιζε τὸ [*f.* τὴν συνείδησιν] συνειδήσε σου. Σφοδρὸς ἔσο κριτὴς, καὶ πικρὸς δικαστὴς τοῖς οἰκείοις ἁμαρτήμασι. Τοῦτο τῆς ὀργῆς τὸ κέρδος ἐστὶ, διὰ τοῦτο ἡμῖν αὐτὴν ἐνέθηκεν ὁ Θεός.

Καθαροὶ θυμοῦ ὦμεν· οὐ γὰρ κατοικεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ἔνθα θυμός.

Οἱ θυμοὶ, καθάπερ αἱ κύνες, τυφλὰ τίκτουσιν ἐγκλήματα.

Οἱ μὲν ταχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δὲ ὀξεῖς θυμοὶ μετάγονται τοῖς λογισμοῖς.

Τὸ μὲν εὔκρατον ὕδωρ τὰς φλεγμονὰς, ὁ δὲ ἐπιεικὴς λόγος τὰς ὀργὰς διαλύει.

Ὡς γὰρ ὁ καικίας τὰ νέφη, καὶ ὁ φαῦλος βίος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας.

A convicia ictus, ictus vulnera, et sæpe vulnera mors consequitur.

Regis ira mortis nuntia : sed sapiens placabit illum.

Iracundia est fervor sanguinis, qui circumfusus est cordi, ex evaporatione succorum constans : ira autem est libido ulciscendi, et vicissim molestiis afficiendi. Itaque illa celerem habet perturbationem et motionem, hæc autem diuturniorem.

Theologi. Nec corona datur sine adversariis, neque casus et lapsus sine adversario colluctatore.

Cæca est ira, et molestiarum plena, et maxime cum causa indignandi justa subest.

Iræ maxime parcendum est, nec **200** statim decet in bilem ferri, cujus stulti servi sunt.

Chrysost. Nihil æque mentis puritatem et animi sinceritatem turbat, ac immoderata ira, quæ magno fertur impetu.

Iracundia est celeris ac brevis : ira autem tardior quidem, sed diuturnior.

Duæ in nobis sunt generales perturbationes, naturales magis quam aliæ, ira et cupiditas.

Continentiam ne probes, ubi clementia rejicitur.

In vehementiore ira summum adhibendum est studium et cautio ; est enim affectus tyrannicus. Sæpe enim non sobrios pervertit, et in barathrum exitii detrahit.

Prompta fere per omnem vitam iræ est ægritudo.

Iracundus es ? Esto in peccata tua talis : objurga animum tuum, flagris cæde conscientiam, vehemens esto judex et acerbus in propriis peccatis ; hoc enim est iræ lucrum, ob hanc causam Deus nobis eam indidit.

Alieni ab ira simus ; non enim ubi ira fuerit, habitat Spiritus sanctus.

Plutarchi. Iræ, quemadmodum canes, cæcas pariunt criminationes.

Equi duri frenis, at iræ vehementiores ratione ducuntur et regnntur.

Ut aqua tepida inflammationes, sic oratio humanitatis plena iram restinguit.

Ut enim cæcias nubes, sic improba vita in se convicia attrahit.

Euripidis. Nimirum in omnibus hominibus habitat ira : nam qui jucunda audierit, voluptate corpus implet : qui autem contraria audierit, tumore afficitur (1).

Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος Ξενοκράτους, Λαβὼν, ἔφη, τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι.

Κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος.

Ἀνὴρ κακοῦργος πρᾶον ὑπεισελθὼν σχῆμα,

Κεκρυμμένη πρόκειται παγὶς τοῖς πλησίον.

Οὐκ ἔστιν ὀργῆς, ὡς ἔοικεν, φάρμακον

Plato. Plato, servo iratus, astanti Xenocrati, Accipe, inquit, et flagris hunc cædito ; ego enim irascor.

Democriti. Castiga judicio, non ira adhibita.

Vir improbus et veterator clementiæ obrepens habitu,

Proximis quasi laqueus occultus prætenditur.

Nullum est, ut videtur, iræ remedium

(1) Locus iste deest in Græco.

Aliud, nisi apta amici oratio.

Etsi vehementer doleas, nihil irritatus temere Agas: iram enim vincere, quæ alienissima ratio-[nis est, In perturbationibus maxime sapientem decet.

(*Menandri.*)

Theognidis. Haud licet, ira, tibi concedere congrua cuncta.

Ab iis qui injuriam fecerint, jus aut rationem facti ne exigito; satis est enim illos suo premi malo.

Impius est qui non reveretur honoratum virum, nec attendit **201** ut honorem illi habeat.

Immoderatum et inexplebile otium aut stultitiam, aut insignem improbitatem procreat.

Leucippi. Dolor per pectus diffusus animæ fomitem liquat: ira autem, cor circumlatrans, furoris spuma rationem quasi undis obruit.

Ἀλλ' ἡ λόγος σπουδαῖος ἀνθρώπου φίλου. A
Εἰ καὶ σφόδρ' ἀλγεῖς, μηδὲν ἠρεθισμένος
Πράξῃς προπετῶς. Ὀργῆς γὰρ ἀλογίστου κρα-[τεῖν
Ἐν ταῖς ταραχαῖς μάλιστα τὸν φρονοῦντα δεῖ.

Οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἅρμενα πάντα.

Τοὺς ἀδικήσαντας μὴ πρᾶττε δίκας. Ἀρκεῖ γὰρ αὐτοῖς ὑπὸ τῆς ἰδίας ταπεινοῦσθαι κακίας.

Ἀσεβὴς ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου, οὐδὲ οἶδε τιμὴν θέσθαι τούτῳ.

Ἀμέτρητος οὖσα καὶ ἀκόρεστος ἡ ἀργία ἢ μωρίαν ἀπεργάζεται, ἢ κακὴν πονηρίαν.

Ἡ λύπη περὶ τὰ στέρνα διανεμομένη κατατήκει τῆς ψυχῆς τὸ ζωπυροῦν. Ἡ δὲ ὀργή, περιυλακτοῦσα B τὴν καρδίαν, ἐπικλύζει τὸν λογισμὸν τῷ τῆς μανίας ἀφρῷ.

SERMO LIV [*al.* VIII].

De simplicitate et injuriarum memoria.

Marc. x. Amen, amen dico vobis, nisi conversi fueritis, et fiatis quasi pueri, non intrabitis in regnum cœlorum.

Matth. LX. Si munus tuum obtuleris ad aram, ibique recordatus fueris fratrem tuum aliquid adversus te habere, relicto munere adito primum fratrem, eumque tibi reconciliato, deinde redito ad oblationem muneris tui.

I Thess. v. Videte ne quis malum pro malo reddat cuiquam: sed semper quod bonum est persequamini.

Sol ne occidat super iracundiam vestram.

Si alii alios mordetis et devoratis, videte ne mutuo conficiamini.

Prov. XXIV. Si ceciderit inimicus tuus, ne illius malo læteris, nec casu illius tollare: quia Dominus intuebitur, nec placebit ipsi, ac iram suam ab illo avertet.

Viæ eorum qui injuriarum sunt memores, ad mortem ferunt.

Injuriarum memor exlex est.

Eccli. XXVIII. Condona injuriam proximo tuo, et tum, te precante, peccata tua dissolventur.

S. Basilii. Non decet ut super iracundia fratris sol occidat; ne quando nox traducatur inter utrumque, et relinquat in die judicii inexcusabile crimen. D

Improbus facillime condemnat bonum, bonus autem ne improbum quidem facile.

Nemo malum malo sanat, sed bono malum.

Cum inimicus tuus inciderit in manus tuas, non vindictæ, sed salutis occasionem esse credito.

Cum mente volutamus quæ a conservis passi sumus, cogitemus etiam quemadmodum ipsi nos erga Dominum gesserimus, ac nostrorum peccatorum metu impulsi, iram ex alienis peccatis susceptam cito deponere poterimus.

Si enim licet peccatorum meminisse, nostrorum

ΛΟΓΟΣ ΝΔ'.

Περὶ ἀκακίας καὶ μνησικακίας.

Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Ἐὰν προσενέγκῃς τὸ δῶρόν σου εἰς τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ἔχει τι ὁ ἀδελφός σου κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου, ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε προσφέρῃς τὸ δῶρόν σου.

Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ ἀποδῷ τινι· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε. C

Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.

Εἰ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε.

Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου· ὅτι ὄψεται Κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ.

Ὁδοὶ μνησικάκων εἰς θάνατον.

Ὁ μνησικακῶν παράνομος.

Ἄφες ἀδίκημα τῷ πλησίον σου, καὶ τότε, δεηθέντος σου, αἱ ἁμαρτίαι σου λυθήσονται.

Οὐ δεῖ ἐπὶ παροργισμῷ ἀδελφοῦ δῦναι τὸν ἥλιον· μὴ ποτε ἡ νὺξ μεταστήσει μεταξὺ ἀμφοτέρων, καὶ καταλίπῃ ἐν ἡμέρᾳ κρίσεως ἔγκλημα ἀπαραίτητον [ἀπαραίτητον].

Ὁ μὲν γὰρ κακὸς τάχιστα ἂν καταγνοίη καὶ τοῦ ἀγαθοῦ, ὁ ἀγαθὸς δὲ οὐδὲ τοῦ κακοῦ ῥᾳδίως.

Οὐδεὶς κακῷ κακὸν ἰᾶται, ἀλλ' ἀγαθῷ τὸ κακόν.

Ὅταν ἴδῃς τὸν ἐχθρὸν ἐμπεσόντα εἰς τὰς χεῖρας τὰς σὰς, μὴ νόμιζε τιμωρίας, ἀλλὰ σωτηρίας ἐκείνου εἶναι τὸν καιρόν.

Ὅταν ἐννοήσωμεν ἅπερ ἐπάθομεν παρὰ τῶν συνδούλων, λογισώμεθα καὶ ἅπερ ἐποιήσαμεν εἰς τὸν Δεσπότην, καὶ τῷ φόβῳ τῶν οἰκείων ἁμαρτημάτων τὸν θυμὸν τὸν ἐπὶ τοῖς ἀλλοτρίοις πλημμελήμασι ταχέως ἀπώσασθαι δυνησόμεθα.

Εἰ γὰρ δεῖ μεμνῆσθαι ἁμαρτημάτων, τῶν οἰκείων

δεῖ μεμνῆσθαι μόνον· ἂν τῶν οἰκείων μνημονεύσωμεν, οὐδέποτε τὰ ἀλλότρια λογιούμεθα.

Ἂν ἀφῆτε τοῖς ἐχθροῖς ὑμῶν, ἀφεθήσεται ὑμῖν. Ἄφες δουλικὰ ἁμαρτήματα, ἵνα λάβῃς συγχώρησιν δεσποτικὴν ἁμαρτημάτων. Εἰ δὲ μεγάλα ἠδίκησεν, ὅσῳπερ ἂν μείζονα ἀφῇς, τοσούτῳ μείζονα λήψῃ τὴν συγχώρησιν. Διὰ γὰρ τοῦτο ἐδιδάχθημεν λέγειν· Ἄφες ἡμῖν καθὼς ἀφίεμεν· ἵνα μάθωμεν ὅτι τὸ μέτρον τῆς ἀφέσεως παρ' ἡμῶν πρώτων λαμβάνει τὴν ἀρχήν. Ὥστε ὅσῳπερ ἂν ὁ ἐχθρὸς ἐργάσηται, καὶ τοσούτῳ μειζόνως εὐεργετεῖ. Σπεύδωμεν τοίνυν καὶ ἐπειγώμεθα καταλλάττεσθαι πρὸς τοὺς λελυπηκότας, ἄν τε δικαίως, ἄν τε ἀδίκως ὀργίζωνται. Ἂν μὲν γὰρ ἐνταῦθα καταλλαγῇς, ἀπηλλάγης τῆς ἐκεῖ κρίσεως· ἂν δὲ μεταξὺ μενούσης τῆς ἔχθρας, θάνατος ἐπιστὰς ἀπαγάγῃ, τὴν ἀπέχθειαν μεσολαβήσας, εἰς τὸ δικαστήριον λοιπὸν ἐκεῖνο τὸ φοβερὸν εἰσαχθῆναι τὴν δίκην ἀνάγκη· καὶ τὴν ἰσχάτην δώσεις δίκην ἐπὶ τῇ ψήφῳ τοῦ δικαστοῦ πάντας ἐκείνου. Καὶ ἀμφότεροι τιμωρίαν ὑποστήσεσθε ἀπαραίτητον, ὁ μὲν ἀδίκως ὀργιζόμενος διὰ τοῦτο, ὅτι ἀδίκως, ὁ δὲ δικαίως διὰ τοῦτο αὐτό, ὅτι δικαίως ἐμνησικάκησεν.

Ὁ τοίνυν διὰ νηστείας, καὶ ὀδυρμῶν, καὶ εὐχῶν, καὶ σάκκου, καὶ σποδοῦ, καὶ μυρίας ἐξομολογήσεως μόλις ἕτεροι κατορθοῦσι, τὸ τὰ ἁμαρτήματα ἐξαλείφειν λέγω τὰ ἑαυτῶν, τοῦτο ἔξεστιν ἡμῖν ῥᾳδίως ποιεῖν χωρὶς σάκκου καὶ σποδοῦ καὶ νηστείας, ἂν μόνον ἀπὸ τῆς διανοίας ἐξαλείψωμεν τὴν ὀργὴν, καὶ μετὰ εἰλικρινείας ἀφῶμεν τοῖς ἠδικηκόσιν ἡμᾶς.

Παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρον.

Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν· ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις, καὶ ἡ πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγὴ τῆς θείας ὀργῆς γίνεται ἀπαλλαγή.

Ἐν οἷς πλήττειν ἄλλους ἐθέλεις, ἐν τούτοις βλάβην ἔλπιζε τὴν μείζονα.

Ἐχθροῦ δεηθέντος μὴ ἀποστραφῇς τὴν ἀξίωσιν· πλὴν ἀσφαλίζου σεαυτόν. Οὐδὲν γὰρ κυνὸς διαφέρει.

Σπούδαζε τὰς μὲν ἔχθρας ὀλιγοχρονίους ποιεῖσθαι, τὰς δὲ ἀγάπας πολυχρονίους.

Μνησικακίαν σβέννυσι δῶρα· καὶ πειθέτω σε Ἰακὼβ, τὸν Ἡσαῦ δόμασιν ὑπελθὼν μετὰ τριακοσίων εἰς ἀπάντησιν ἐξελθόντα. Ἀλλ' ἡμεῖς πένητες ὄντες τραπέζῃ τὴν χρείαν πληρώσωμεν.

Ὁ δαίμοσι μνησικακῶν ἀνθρώποις οὐ μνησικακεῖ· εἰρηνεύει δὲ μετὰ δαιμόνων ὁ τῷ ἀδελφῷ μηνιῶν.

Κροῖσος τῷ παιδοφόνῳ τὴν ὀργὴν ἀφεῖναι λέγεται, ἑαυτὸν παραδόντι εἰς τιμωρίαν, καὶ Κῦρος ὁ μέγας αὐτῷ τούτῳ τῷ Κροίσῳ φίλος γενέσθαι μετὰ τὴν νίκην.

A meminisse debemus solum: quod si nostrorum memores erimus, nunquam aliena supputabimus.

Si condonaveritis inimicis vestris, vobis condonabitur. Ignosce servorum erratis, ut a Domino veniam impetres **202** peccatorum. Quod si graviter peccarit, et te laeserit, quanto majora remiseris, tanto majorem impetrabis veniam. Idcirco enim docemur dicere: Remitte nobis sicut remittimus, ut intelligamus remissionis et condonationis modum a nobis primum initium capere. Itaque inimicus, quanto majori affecerit maleficio, tanto majori afficit beneficio. Festinemus igitur ac properemus, ut eos qui molestia et dolore nos afficerint, sive jure sive injuria irascantur, reconciliemus. Si enim hic reconciliatus fueris, illic judicii B condemnatione liberaberis: sin autem interea manente ira, mors adstans suo interventu abducet, interveniens simultati, in judicium illud metuendum, quod reliquum est, causam adduci necesse est, et extremo afficieris supplicio ex sententia illius omnium judicis. Et ambo supplicium subibitis inevitabile, alter injuste iratus, quia injustus: alter vero juste propter ipsam, uteunque justam, injuriarum memoriam.

Quod igitur jejunio et lamentis, precibus, sacco et cinere et infinita confitendi ratione vix alii perficiunt, ut peccata abstergeant sua, id nobis licet facile assequi sine sacco, cinere et jejunio, si modo ex animi cogitatione iram deleamus, et C omnino ex animo iis qui nobis injuriam fecerint ignoscamus.

Quovis peccato injuriarum memoria deterior est.

Cum delictorum veniam petis, fac ipse ignoscas iis qui in te peccarint, quia condonatio condonatione remuneratur, ac conservorum nostrorum conciliatio nobis fit a divina ira liberatio.

Moschionis. In quibus alios reprehendere vis, in iis detrimentum majus esse existimato.

Epicuri. Hosti procanti ne denegato quod petit: sed te ipse munito adversus illum. Nihil enim a cane differt.

Theopompi Da operam ut inimicitias suscipias breves, amicitias autem sempiternas. D

Evagrii. Injuriarum memoriam munera exstinguunt, id quod ex Jacobo discere licet, qui se in gratiam Esau fratris sui muneribus insinuavit, cum trecentis obviam occurrentis. Sed nos pauperes cum simus quæ desunt mensæ compleamus.

Martini anachoretæ. Qui memor est injuriæ dæmonum, non meminit injuriæ hominum: et pacem cum dæmonibus agit, qui fratri irascitur.

203 *Crœsus.* Crœsus filii interfectori, qui se ad supplicium offerebat, dedisse veniam dicitur: et huic ipsi Crœso magnus ille Cyrus post victoriam amicus factus esse fertur.

SERMO LV [*al.* LXXIV]. A ΛΟΓΟΣ ΝΕ'.

De proximo ; quod proximi onera ferenda sint, eique succurrendum, et quod amice reprehendere deceat, si quid indecenter egerit, non autem inimicitias cum illo gerere.

Περὶ τοῦ πλησίον· ὅτι χρὴ τὰ βάρη τοῦ πλησίον φέρειν, καὶ ἀντιλαμβάνεσθαι αὐτοῦ· καὶ ἐλέγχειν ἀγαπητικῶς τὰ οὐχ ὡς εἰκὸς γινόμενα παρ' αὐτοῦ, καὶ μὴ μνησικακεῖν αὐτῷ.

Levit. XIX. Diliges proximum tuum tanquam teipsum.

Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

Acriter redargues proximum tuum, nec illius causa scelus admittes.

Ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου· καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν.

Deut. V. Nihil eorum quæ sunt proximi tui, concupiscito.

Οὐκ ἐπιθυμήσεις πάντα, ὅσα τῷ πλησίον σού ἐστιν.

Psal. IV. Irascimini, sed nolite peccare.

Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε.

Melior est qui reprehendit et arguit, quam qui pervicax est.

Κρεῖσσον ἀνὴρ ἐλέγχων ἀνδρὸς σκληροτραχήλου.

Oseæ. Qui libere arguit, pacem conciliat.

Ὃς κρύπτει ἀδίκημα, ζητεῖ φιλίαν.

Cur ad impietatem silentio connixistis, et iniquitates ejus vindemiastis ? B

Ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε ;

Zachar. Nemo vitia proximorum in corde suo recordetur.

Κακίαν ἕκαστος τοῦ πλησίον αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν.

Misericordiam et miserationem impertimini quisque proximo suo ac fratri suo.

Ἔλεος καὶ οἰκτιρμοὺς ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ τὸν ἀδελφὸν αὐτοῦ.

Ne ob quamlibet injuriam proximo tuo irascitor.

Ἐπὶ παντὶ ἀδικήματι μὴ μηνίσῃς τῷ πλησίον σου.

Eccli. XXVIII. Remitte proximo injuriam, et tum, te precante, peccata tua delebuntur.

Ἄφες ἀδίκημα τῷ πλησίον σου, καὶ τότε, δεηθέντος σου, αἱ ἁμαρτίαι σου λυθήσονται.

Melior est minore præditus intelligentia, si metu se continet, quam abundans prudentia qui legem violat.

Κρεῖσσον ἡττώμενος ἐν συνέσει ἔμφοβος, ἢ περισσεύων φρονήσεως, καὶ παραβαίνων νόμον.

Recordare præceptum, et sic proximum tuum non negliges.

Μνήσθητι ἐντολῆς, καὶ μὴ ἀμελήσῃς τοῦ πλησίον σου. C

Recordare postrema quæ tibi evenient, et inimicitias gerere desinito.

Μνήσθητι τὰ ἔσχατά σου, καὶ παῦσαι ἐχθραίνων.

Ex teipso res proximi cognoscito.

Νόει τὰ τοῦ πλησίον ἐξ ἑαυτοῦ.

Matth. V. Si obtuleris munus tuum ad aram, et reliqua.

Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ τὰ λοιπά.

Si remiseritis hominibus delicta ipsorum, remittet etiam vobis Pater vester cœlestis delicta vestra.

Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν.

Matth. XVIII. Tum Petrus Domino dixit : Quoties peccabit in me frater meus, et remittam ei ? num usque septies ? Dicit ei Jesus : Non dico tibi usque septies, sed usque septuagies septies.

Τότε ὁ Πέτρος τῷ Κυρίῳ εἶπεν· Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

Matth. XVII. Si frater tuus in te peccarit, objurga eum ; et si pœnituerit, remitte illi ; et si septies in die peccarit in te, septiesque in die revertatur D ac dicat : Pœnitet me, remitte illi.

Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ· καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ λέγων, Μετανοῶ, ἄφες αὐτῷ.

Videte ne contemnatis unum de pusillis his : dico enim vobis, angelos ipsorum in cœlo continenter videre faciem Patris mei qui est in cœlis.

Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. Λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν τῷ οὐρανῷ διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Rom. XV. Debemus nos qui robusti sumus, infirmitates imbecillium ferre, nec nobis ipsis placere.

Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν.

Unusquisque vestrum proximo **204** placeat in eo quod bonum est ad ædificationem.

Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν.

Nemo sua quærat, sed proximi commodis quisque serviat.

Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ πλησίον ἕκαστος.

Onera portate alii aliorum, et sic explebitis legem Christi.

Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ.

Γίνεσθε οὖν εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν.

Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας.

Ἐνδύσασθε, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι, καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραΰτητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς.

Παρακαλοῦμεν ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε εἰς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας.

Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

Ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν.

Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν.

Ὥσπερ οἱ ἐπὶ τὸν αἰγιαλὸν ἑστῶτες, τοῖς ἐν θαλάσσῃ βαπτιζομένοις συμπάσχοντες, οὐ προΐενται τὴν οἰκείαν ἀσφάλειαν ἐν τῇ περὶ τῶν κινδυνευόντων φροντίδι· οὕτως οὐδὲ οἱ τοῖς ἁμαρτήμασι τῶν πέλας ἐπιστυγνάζοντες τὴν οἰκείαν ἀφανίζουσιν εὐφροσύνην· τοὐναντίον μὲν οὖν καὶ μείζονα ποιοῦσιν αὐτὴν, ὑπὲρ τῶν εἰς τοὺς ἀδελφοὺς δακρύων ἀξιούμενοι τῆς χαρᾶς τοῦ Κυρίου διὰ τὴν συμπάθειαν· ἐπειδὴ τὸ τοιοῦτον δάκρυον οἱονεὶ σπέρμα καὶ δάνεισμα γίνεται τῆς αἰωνίου χαρᾶς.

Ὁ ὑπὲρ τῆς τοῦ πλησίον ἁμαρτίας θερμὸν ἀποστάξας δάκρυον, ἑαυτὸν ἐξιάσατο δι' ὧν τὸν ἀδελφὸν ἀπωδύρατο.

Ὁ ἐφησυχάζων καὶ μὴ ἐλέγχων τὴν ἁμαρτίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ἀσπλαγχνός ἐστιν, ὥσπερ ὁ τὸν ἰὸν ἐναφεὶς τῷ δηχθέντι ὑπὸ τοῦ ἰοβόλου.

Οἶδα; τί ποιήσεις τῷ πλησίον καλόν; Ὃ σεαυτῷ βούλει παρ' ἑτέρου γενέσθαι.

Ὁ ἀγαπῶν τὸν πλησίον ὡς ἑαυτὸν οὐδὲν περισσότερον κέκτηται τοῦ πλησίον.

Ἄφες ὁ ἀφεθεὶς, ἐλέησον ὁ ἠλεημένος· κτῆσαι τῷ φιλανθρώπῳ τὸ φιλάνθρωπον.

Μὴ γελάσῃς πτῶμα τοῦ πέλας· διάβαινε δὲ ἀσφαλῆς, ὅση σοι δύναμις· ἀλλὰ καὶ δίδου χεῖρα χαμαὶ κειμένῳ.

Συγχωρήσωμέν τι μικρὸν, ἵνα μεῖζον ἀντιλάβωμεν. Ὁρᾶτε νόμους ἀθλήσεως, καὶ παλαιστῶν ἀγωνίσματα, οἳ τῷ κάτω κεῖσθαι πολλάκις, νικῶσι τοὺς ὑπερκειμένους.

Estote igitur alii in alios suaves et commodi, misericordes, condonantes vicissim, quemadmodum Christus vobis condonavit.

Estote igitur imitatores Dei tanquam filii charissimi, ac in dilectione ambulate, quemadmodum ipse Christus vos dilexit, et seipsum pro vobis offerendum et mactandum Deo tradidit in odorem suaveolentem.

Induimini ut electi Dei, sancti, ab ipso dilecti, viscera miserationis, suavitatem animi, demissionem, clementiam, lenitatem, ferentes vos invicem et mutuo condonantes, si quis cum aliquo habet expostulationem : ut Christus condonavit vobis, sic etiam vos condonare debetis alii aliis.

Hortamur vos, fratres, ut eos qui immoderato nulloque ordine servato se gerunt, admoneatis, eos qui parvo animo sunt consolemini, et debilos sustentetis, et lenes erga omnes sitis. Videte ne quis malum pro malo reddat, semperque quod bonum est, prosequimini, tum erga vos invicem, tum erga alios omnes.

Pacem cum omnibus et sanctificationem expetite, sine qua Dominum nemo visurus est.

Vitia proximi sui nemo vestrum in animo cogitet.

Peccantes coram omnibus reprehende, ut cæteri metu in officio retineantur.

S. Basilii. Ut qui in littore tuti sunt, cum eorum qui in mare demerguntur calamitate afficiuntur, suam securitatem et tutam stationem non amittunt propter sollicitudinem quam de periclitantibus suscipiunt : sic etiam qui de proximorum peccatis mœrent, suam non amittunt lætitiam, sed contra majorem eam reddunt, dum per lacrymas quas fratrum causa profuderint, Domini gaudio digni habentur, propter affectionem illam qua alienis malis afficiuntur : quia talis lacryma quasi semen et fœnus æterni gaudii est.

Qui pro peccato proximi ferventem profuderit lacrymam, hic fratrem deplorando seipse sanavit.

Qui conquiescit, nec fratris sui peccatum reprehendit, hic immisericors est, ut qui in plagam a serpente factam venenum infunderet.

Scisne quid boni proximo faciendum? **205** Quod tibi ipse vis ab altero fieri.

Qui proximum sicut seipsum diligit, is nihilo non capiseo plus quam proximus possidet.

Theologi. Remitte, cum tibi sit remissum : miserere, qui misericordiam consecutus es, humanitateque tibi humanitatem parato.

Casum proximi ne rideto : tuto autem, quoad a te fieri poterit, transito; quin etiam porrigito manum humi jacenti.

Concedamus aliquid exiguum, ut majus impetremus, nempe concordiam; patiamur nos vinci, ut vincamus. Videte athletarum consuetudinem, et luctatorum certamina, qui sæpenumero hoc ipso quod supposuti sunt, adversarios sibi incumbentes vincunt.

Bonum est mansuetudine audaciam vincere, et A meliores efficere eos qui injuriam faciunt, dum toleramus patiendo.

Unusquisque nostrum aliquid debet, et Christus multa facit nomina. Veniam demus, ut nobis remittatur.

Si Deo nihil supplicii debes,
Ipse quoque nihil afficiaris debentium miseriis;
Sin autem scis te debere, tu prior exhibe clementiam.
Pro misericordia enim vel apud Deum ipsum misericordia rependitur.

Satis est moderatis quidem injuriosos metu afficiatque ea exspectare quibus sunt digni ; quæ enim quis tanquam perpessurus metuit, eadem B patitur, etiamsi non patiatur, et forte plus a seipso punitur, quam ab iis qui cruciaturi essent.

Satis esse existimare debemus, si faciendi potestatem habemus.

Satis mihi supplicii est adversus eos qui injuriam intulerint, si ulciscendi potestas fuerit.

Et sæpenumero (1) mentionem facio veniæ dandæ, ut quæ ad salutem pudore affectum eum qui injuriam intulerit, reducat, et metu liberatam ad amorem alliciat mentem quæ non prorsus desipit.

Multo est melius dolore exiguo comparare utilitates maximas, quam voluptates sequendo summæ totius damnum inferre.

Bonis præditi moribus ad veniam dandam parati C sunt.

Ignoscamus alienis in nos peccatis, ut et ipsi veniam impetremus.

Ne te fallat inanis et stulta cogitatio ut juste persequi crimine vacare **206** credas, et injurium legibus tradere puniendum.

Ut cum ratione vincere, sic et honeste vinci didicimus.

S. Chrysost. Quanto fortior fueris, tanto æquius est te imbecilliorem ferre. Non enim sibi solum fortis esse debet qui robore præditus est, sed etiam aliis. Quod si dicis te fortem esse, et illius imbecillitatem contemnis, duplicem dabis pœnam : nam unusquisque nostrum de salute proximi sollicitus esse jure debet : itaque non tantum commoda nostra D spectare et parare jussi sumus, sed etiam proximorum. Pretio empti sumus ; qui autem nos redemit, hoc præscripsit ad communem omnium utilitatem.

Non simpliciter ad delictorum modum adhibenda est objurgatio, vel castigatio : sed delinquentium consilium etiam considerandum est : ne dum dissutum consuere vis, deteriorem efficias rupturam.

Difficile esse arbitror ut qui futurus est aliorum reprehensor et castigator, animum suum ab audacia et superbia longissime abducat, et verbis tantum, non verberibus agat.

(1) Videntur hæc jungenda præcedenti versui.

Ἀγαθὸν χρηστότητι νικᾷν θρασύτητα, καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

Ἕκαστος ἡμῶν ἐστιν ἐν ἐπιτιμίοις, καὶ ὀχεῖς [*f.* ὁ Χριστὸς] πολλὰ φέρει τὰ ὀφλήματα. Συγχωρήσωμεν οὖν, ἵνα συγχωρηθῶμεν · ἀφῶμεν, ἵνα ἀφεθῇ ἡμῖν.

Εἰ μηδὲν ὀφλεῖς τῷ Θεῷ τιμωρίας,
Μηδ' αὐτὸς ἴσθι τοῖς ὀφείλουσι συμπαθής; [*l.* ὀφειλουσ' ἐμπαθής;]
Εἰ δ' οἶδας ὀφλων, καὶ πρόχρησον τὸ πρᾶον.

Οἰκτῳ γὰρ οἰκτος καὶ Θεῷ σταθμίζεται.

Αὐταρκες τοί γε μετρίοις τὸ τῶν λελυπηκότων δέος, καὶ τὸ προσδοκῆσαι ταῦτα παθεῖν, ὧν εἰσιν ἄξιοι. Ἃ γάρ τις ὡς πεισόμενος δείδοικε, ταῦτα πάσχει, κἂν μὴ πάθῃ, καὶ πλείω παρ' ἑαυτοῦ τυχὸν, ἢ τῶν δρασόντων κολάζεται.

Αὐταρκες ἡγεῖσθαι χρεὼν τὴν τοῦ ποιεῖν ἐξουσίαν.

Λύτάρκης μοι τιμωρία κατὰ τῶν ἀδικούντων ἡ τοῦ ἀντιδρᾶν ἐξουσία.

Καὶ τὸ συγγνῶμον πολλάκις λέγω, πρὸς σωτηρίαν αἰδοῖ κατείργον τὸν ἀδικήσαντα, καὶ μετάγον εἰς φίλτρον ἐκ φόβου τὴν ἀσφαλεστέραν ἔννοιαν.

Πολλῷ βέλτιον μικρὰ λυπήσαντα μέγιστα ὠφελῆσαι, ἢ τὸ πρὸς ἡδονὴν διώκοντα ζημιῶσαι τῷ κεφαλαίῳ.

Ἕτοιμον τὸ χρηστὸν εἰς συγγνώμην.

Συγχωρήσωμεν τὰ εἰς ἡμᾶς, ἵνα καὶ αὐτοὶ τύχωμεν συγχωρήσεως.

Μή σε ἀπατάτω μάταιος λογισμὸς, ὅτι τὸ δικαίως ἐπελθεῖν ἀνεύθυνόν ἐστι, καὶ τὸ παραδοῦναι τοῖς νόμοις τὸν ἀδικήσαντα.

Ὥσπερ σὺν λόγῳ νικᾷν, οὕτως καὶ νικᾶσθαι καλῶς μεμαθήκαμεν.

Ὅσῳπερ ἂν ἰσχυρότερος ᾖς, τοσούτῳ δικαιότερος ἂν εἴης τὸν ἀσθενέστερον διαβαστάξαι. Οὐ γὰρ ἑαυτῷ μόνον, ἀλλὰ καὶ ἑτέροις ἰσχυρὸν εἶναι χρὴ τὸν ἰσχύοντα. Εἰ δὲ, λέγων ἰσχύειν, τὴν ἀσθένειαν τὴν ἐκείνου περιορᾷς, διπλῆν δώσεις δίκην. Ὑπεύθυνος γὰρ ἕκαστος ἡμῶν τῆς τοῦ πλησίον σωτηρίας ἐστί· διὰ τοῦτο οὐχὶ τὰ ἑαυτῶν σκοπεῖν μόνον, ἀλλὰ καὶ τὰ τῶν πέλας ἐκελεύσθημεν. Τιμῆς ἠγοράσθημεν· ὁ δὲ ἀγοράσας ἡμᾶς τοῦτο προσέταξεν ἐπὶ τῇ κοινῇ πάντων λυσιτελείᾳ.

Οὐχ ἁπλῶς πρὸς τὸ τῶν παραπτωμάτων μέτρον δεῖ τὴν ἐπιτίμησιν ἐπάγειν, ἀλλὰ καὶ τῆς τῶν ἁμαρτανόντων στοχάζεσθαι προαιρέσεως, μή ποτε, τὸ διερρωγὸς ῥάψαι βουλόμενος, χεῖρον τὸ σχίσμα ποιήσῃς.

Δεινὸν οἶμαι τὸν μέλλοντα ἐλεγκτικὸν εἶναι, θρασύτητος μάλιστα καὶ ἀπονοίας πορρωτάτω τὴν ἑαυτοῦ ψυχὴν ἀπάγειν, καὶ τὸ δραστήριον ἐν τῇ φύσει τῶν ῥημάτων, καὶ μὴ τῶν πραγμάτων ἐπιδείκνυσθαι μόνον.

Πιστὸς εὖ μάλα ὁ μετ' ἐπιστήμης ἔλεγχος· ὅτε καὶ τελειοτάτη ἀπόδειξις εὑρίσκεται ἡ γνῶσις τῶν κατεγνωσμένων.

Μεῖζον ἀγαθὸν τὸ ἐλεγχθῆναι τοῦ ἐλέγξαι νομίζω, ὅσῳ μεῖζόν ἐστι τὸ αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ ἄλλον ἀπαλλάξαι.

Καὶ τοὺς ἐπὶ ψεκτῆς αἰτίας περιπεσόντας, σκυθρωπῶς νουθετῶν τις, οὐκ ἂν ἐλέγξοι κατὰ λόγον κινούμενος. Τὸ γὰρ λέγειν, Διατί ἡμάρτανες; βαρὺ μᾶλλόν ἐστιν, ἢ πόνων κουφίσαι· μέγα δύναται κυρίως καὶ ὡς δεῖ προσαγόμενος ἔλεγχος.

Συγγνώμη μετάνοιαν πέφυκε γεννᾶν.

Γίνου τοῖς πᾶσιν, ὡς σὺ [*f.* σοὶ] θέλεις τοὺς πάντας.

Τὴν συγχώρησιν τῶν ἁμαρτημάτων ἡμῶν ἐν τῇ B συγχωρήσει τοῦ πλησίον εὑρίσκομεν· καὶ τὸ ἔλεος τοῦ Κυρίου ἐν τῇ ἐλεημοσύνῃ τοῦ πλησίον ἐγκέκρυπται. Διὰ τοῦτο ὁ Κύριος ἔλεγεν· « Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν, » ἐν τῷ θελήματι ὑμῶν λοιπόν ἐστιν ἡ σωτηρία ὑμῶν.

ΛΟΓΟΣ ΝϚ'.

Περὶ τῶν μὴ ἀφιέντων, ἀλλὰ μνησικακούντων.

Ὁδοὶ μνησικάκων εἰς θανάτου.

Κρύπτων ἔχθραν, συνίστησι δόλον.

Ὃς μισεῖ κρύπτειν ἀδίκημα, διίστησι φίλους καὶ οἰκείους.

Ἐμνησικάκησαν καὶ ἐξεδίκησαν δίκην. Διὰ τοῦτο C τάδε λέγει Κύριος· Ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τὴν Ἰδουμαίαν, καὶ ἐξολοθρεύσω ἐξ αὐτῆς ἄνθρωπον, καὶ θήσομαι αὐτὴν ἔρημον.

Ὁ ἐκδικῶν παρὰ Κυρίου εὑρήσει ἐκδίκησιν, καὶ τὰς ἁμαρτίας αὐτοῦ διατηρῶν διατηρήσει.

Ἄνθρωπος ἀνθρώπῳ διατηρεῖ ὀργήν, καὶ παρὰ Κυρίου ζητεῖ ἰᾶσιν· ἐπ' ἄνθρωπον ὁμοιον αὐτοῦ οὐκ ἔχει ἔλεος, καὶ περὶ ἁμαρτιῶν αὐτοῦ δεῖται. Αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, καὶ τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ; Μνήσθητι τὰ ἔσχατά σου, καὶ παῦσαι ἐχθραίνων. Μνήσθητι ἐντολῶν, καὶ μὴ μηνίσῃς τῷ πλησίον σου· διαθήκην Ὑψίστου, καὶ παρίδῃς ἄγνοιαν.

Ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ D παραπτώματα ὑμῶν.

Εἰ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε.

Πολλάκις οἱ τῷ πάθει τῆς μνησικακίας κρατούμενοι εἰς προῦπτον κακὸν ἑαυτοὺς ἐμβάλλουσι τῇ πρὸς τὴν ἄμυναν σπουδῇ τοῦ καθ' ἑαυτοὺς ἀμελοῦντες. Οἱονεὶ γὰρ οἴστρῳ τῇ μνήμῃ τῶν λελυπηκότων τηκόμενοι, σφύζοντος αὐτῶν του θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπολήγουσι, πρὶν ἤ τι κακὸν δοῦναι τῷ παροξύναντι, εἴ που καὶ προσλαβεῖν ἐὰν τύχῃ.

Οἴδαμεν ὅτι χαλεπόν ἐστι, προσφάτου τῆς ἀδικίας οὔσης, καὶ τοῦ θυμοῦ ζέοντος ἔτι, παραδεχθῆναι τοὺς λογισμούς. Τυφλὸν γὰρ ὁ θυμὸς καὶ ἡ λύπη,

Clement. Fidelis maxime, quæ scientia adhibita, fit reprehensio, quando perfectissima demonstratio est, condemnatarum rerum cognitio.

Methodii. Majus bonum esse judico reprehensionem ferre quam reprehendere, quanto majus etiam est teipsum liberari malo quam liberare alium.

Nec quisquam tetrice monens, eos qui in vituperatione dignam rem inciderint, coarguendo oratione commota utatur: nam dicere, Cur peccasti? gravius est et severius, quam laboribus levare. Multum autem valet proprie et ut decet adhibita reprehensio.

Philonis. Venia pœnitentiam generat.

Evagrii. Talem te præsta omnibus, quales tibi omnes esse vis.

Maximi. Veniam et condonationem peccatorum nostrorum in condonatione proximi invenimus. Et misericordia Domini in misericordia quæ impertitur proximo abscondita est. Quamobrem Dominus dicebat: « Remittite, et remittetur vobis, » in voluntate vestra relinquitur salus vestra.

SERMO LVI [*al.* LXXV].

De iis qui non remittunt, at injurias meminerunt.

Prov. XXVI. Viæ eorum qui injuriam meminerunt ad mortem ferunt.

Inimicitiam celans, dolum machinatur.

Qui odit occultare injuriam [acceptam], amicos **207** et familiares dissociat.

Ezech. XXXV. Injurias meminerunt et ulti sunt, quamobrem hæc dicit Dominus; Extendam manum meam adversus Idumæam, et exterminabo ex ea hominem eamque vastabo.

Sirach XXVIII. Qui se ulciscitur, eum Dominus ulciscetur, ejusque peccata sedulo observabit.

Ibid. Homo homini irascitur, et a Domino sanari quærit: homini sui simili misericordiam non impertit, et pro peccatis suis precatur; ipse caro cum sit, iracundiam retinet, et quis pro peccatis illius exorabit? Fac eorum quæ adextremum tibi eventura sunt, memineris; et desine inimicitias gerere. Recordare præcepta, proximo autem ne succenseas. Perpende pactum Altissimi, et parce inscitiæ.

Matth. VI. Si non remiseritis hominibus delicta ipsorum, nec Pater cœlestis remittet vobis peccata vestra.

I Cor. III. Si alii alios mordetis et devoratis, videte ne alii ab aliis conficiamini.

Basilii. Sæpe qui hoc morbo tenentur, ut injurias recordentur, in manifestum et certum malum se conjiciunt, ulciscendi cupiditate impulsi, ac sui omnino obliti; Etenim quasi œstro, memoria eorum qui molestia affecerint, tabescunt, et bulliente ac saliente eorum ira, non prius desistunt quam mali aliquid ei qui ipsos irritarit, dederint, sicubi forte in eum inciderint.

Theologi. Scimus difficile esse recenti adhuc injuria et ira fervente recipere rationis consilia. Cæca enim ira est et dolor, et maxime si justa fuerit indigna-

tionis causa. Sed non idcirco etiam nosipsi injuria afficiemus, nec eum qui injuriam fecit tantum oderimus, quantum nobis non expedit : nec nostram erga Deum libertatem amittamus, inimici existentes eorum qui injuriam fecerint, et supra modum indignantes.

Peccata observamus, non ut lugeamus, sed ut exprobremus : nec ut sanemus, sed ut præterea vulneremus : et proximorum vulnera pro nostrorum malorum excusatione habemus.

Æque vitiosum est obsequium immoderatum, et condemnatio omni venia semota : illud enim totas laxat habenas, hæc acerbitate præfocat.

S. Chrysost. Quid potest esse injuriarum recordatione deterius, quæ humanitatem Domini promptam revocat et amolitur ?

Cum memoria repetimus quæ a conservis passi sumus, et quæ deinceps **208** sequuntur (1).

Multi sunt pecudibus ipsis deteriores, qui ne salutare quidem dignantur priores, proximum existimantes se contumelia affici et contemni, si vel tenuem quamdam impertiant salutationem. Sed quid esse potest ista stultitia ridiculum magis ? Tum enim contumelia afficeris, tum ignominia notaris, o homo, cum prior te tuus proximus alloquitur.

Non reconciliari ei qui molestiam exhibuerit, non tam est illum ulcisci, quam contumelia Deum afficere qui hanc legem præscripsit.

SERMO LVII [al. XLIII].

De gratis et beneficia agnoscentibus.

Psal. CXV. Quid retribuam Domino pro omnibus quæ mihi largitus est ?

Psal. CXXXVI. Si obliviscar tui, Jerusalem, in oblivionem veniat dextra mea, agglutinetur lingua mea gutturi meo.

Salomon. Prudentiæ est agnocere cui debeatur gratia.

Eccli. XXIX. Qui gratiam refert in futurum prospicit, ac in tempore miseriæ suæ inveniet quo stabiliatur.

Gratia hominis tanquam pupilla oculi observanda.

Luc. XVII. Unus autem de leprosis cum vidisset se esse sanatum, cum magna voce reversus est, Deum laude celebrans, et cecidit in faciem suam ad pedes Jesu, gratias illi agens : is autem erat Samaritanus.

II Thess. V. In omni re gratias agite : hoc enim Deus requirit a vobis, qui Christum Jesum agnoscitis.

II Tim. II. Impertiatur Dominus misericordiam Onesiphori familiæ, quia sæpe me recreavit et refecit, nec catenæ meæ eum puduit : sed cum Romam venisset, summa diligentia me quæsivit, et invenit : faxit Dominus, ut illo die misericordiam consequatur.

καὶ μάλιστα ὅταν τὸ δικαίως ἀγαναχτεῖν παρῇ· ἀλλὰ μὴ διὰ τοῦτο καὶ ἡμᾶς αὐτοὺς ἀδικήσωμεν, μηδὲ τοσοῦτον τὸν ἠδικηκότα μισήσωμεν, ὅσον ἡμῖν οὐ συμφέρει· μηδὲ τὴν παῤῥησίαν τὴν πρὸς Θεὸν ἀποβάλωμεν, ἐχθροὶ τοῖς ἠδικηκόσι φανέντες, καὶ ὑπὲρ τὸ μέτρον ἀγαναχτοῦντες.

Τηροῦμεν τὰς ἁμαρτίας, οὐχ ἵνα πενθήσωμεν, ἀλλ' ἵνα ὀνειδίσωμεν· οὐδ' ἵνα θεραπεύσωμεν, ἀλλ' ἵνα προσπλήξωμεν· καὶ ἀπολογίαν ἔχομεν τῶν ἡμετέρων κακῶν τὰ τῶν πλησίον τραύματα.

Ὁμοίως γάρ ἐστι κακὸν καὶ ἄρεσις ἀσωφρόνιστος, καὶ κατάγνωσις ἀσυγχώρητος· ἡ μὲν ὅλην ἐφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφιδρῷ κατάγχουσα.

Τί ἂν γένοιτο μνησικακίας χεῖρον, ὅταν φιλανθρωπίαν ἐξενεχθεῖσαν ἀνακαλῆται Δεσπότου ;

Ὅταν ἐννοήσωμεν ἅπερ ἐπάθομεν παρὰ τῶν συνδούλων, καὶ τὰ ἑξῆς.

Πολλοὶ βοσκημάτων διακείμενοι χείρους οὐδὲ προσειπεῖν ἀνέχονται τῷ πλησίον πρότερον, νομίζοντες ὑβρίζεσθαι καὶ ἐλαττοῦσθαι, εἰ ψιλῆς τινος μεταδοῖεν προσρήσεως. Καὶ τί ταύτης καταγελαστότερον γένοιτο τῆς ἀνοίας ; Τότε γὰρ ὑβρίσθης, τότε ἠτιμάσθης, ἄνθρωπε, ὅταν ὁ πλησίον σοι πρότερον προσείπῃ.

Τὸ μὴ καταλλάττεσθαι τῷ λελυπηκότι οὐκ ἐκεῖνόν ἐστιν ἀμυνομένου τοσοῦτον, ὅσον τὸν Θεὸν ὑβρίζοντος τὸν ταῦτα νομοθετήσαντα.

ΛΟΓΟΣ ΝΖ'.

Περὶ εὐχαριστούντων καὶ εὐγνωμονούντων.

Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι ;

Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου, κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου.

Φρονήσεως καὶ τὸ εἰδέναι τίνος ἡ χάρις.

Ὁ ἀνταποδιδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ εὑρήσει στήριγμα.

Χάριν ἀνθρώπου ὡς κόρην ὀφθαλμοῦ συντήρησον.

Εἷς δὲ ἐκ τῶν λεπρῶν ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεὸν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, εὐχαριστῶν αὐτῷ. Καὶ αὐτὸς ἦν Σαμαρείτης.

Ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.

Δῴη ὁ Κύριος ἔλεος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπησχύνθη· ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιοτέρως ἀνεζήτησέ με, καὶ εὗρε· δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

(1) Vide supra in sermone 54, mox post citatum Basilium.

Πρέπουσα δοξολογίας ὑπόθεσις ἡ τῶν εὐεργετημάτων διήγησις.

Τοῖς εὐεργέταις ἑκουσίως πᾶσαν εὔνοιαν ἀποπληρῶμεν.

Ἀποδώσομεν τοίνυν σὺν τόκῳ τὸ χρέος, ἂν ἄρα τοσοῦτον εὐπορουῦντες φανῶμεν.

Ἐπειδὴ ὅσον ὀφείλομεν εἰς εὐχαριστίαν ὑμῖν εἰπεῖν οὐκ ἰσχύομεν, λέγομεν ὅσον δυνάμεθα.

Οὐδὲν οὕτως εὐάγωγον εἰς εὔνοιαν, ὡς ἡ τῶν εὐεργετημάτων εὐφημία.

A *S. Basilii.* Beneficiorum acceptorum commemoratio honesta est laudandi occasio.

Bene meritis ultro debemus omnem benevolentiam præstare.

Theologi. Reddamus igitur cum fenore debitum, si modo tanta copia abundare videamur.

S. Chrysost. Quando quantum debemus ad gratiam vobis referendam dicere non valemus, dicimus quantum possumus.

Philonis. Nihil tam valet ad benevolentiam conciliandam quam beneficiorum deprædicatio acceptorum.

ΛΟΓΟΣ ΝΗ'.

Περὶ ἀγνωμονούντων καὶ ἀχαριστούντων.

Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν.

Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην, καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.

Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ.

Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ γὰρ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ.

Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· « Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δὲ μὲ ἠθέτησαν. Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δὲ μὲ οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν.

Ἀχαρίστου ἐλπὶς ὡς χειμέριος πάχνη τακήσεται, καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

Ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον.

Ξένιεῖς καὶ ποτιεῖς ἀχάριστον, καὶ πρὸς ἐπὶ τούτοις μικρὰ ἀκούσῃ· διπλάσια γὰρ κακὰ εὑρήσει σοι ἐν πᾶσιν ἀγαθοῖς, οἷς ἐὰν ποιῇς αὐτῷ.

Δεινὸν τὸν εὐεργετηθέντα, καὶ ταῖς μεγίσταις ὑπόχρεων χάρισι, πρὸς τῷ ἀχαρίστῳ, ἔτι καὶ ὕβρεως καὶ ἀτιμίας κατάρξαι· δεινὸν μὲν, ἀλλὰ τῷ ποιοῦντι μεῖζόν ἐστι κακὸν, ἢ τῷ πάσχοντι.

Αἱ ἀχάριστοι ψυχαὶ ἐν τῇ ἀλλοτριώσει τῶν ἀγαθῶν τῆς παρελθούσης χάριτος ἐπαισθάνεσθαι πεφύκασιν. Ὅτε γὰρ ἀπέλαυον τῶν χρηστοτέρων, οὐδεμίαν χάριν τῷ δεδωκότι γινώσκοντες, μετὰ τὴν στέρησιν τὸ παρελθὸν μακαρίζουσιν.

Ὑπερβολή τοῦτό γε ἀγνωμοσύνης, τὴν φιλανθρωπίαν τοῦ εὐεργέτου ἀφορμὴν ἀχαριστίας ποιεῖσθαι.

Τὸ τῶν δυσαρεστουμένων πάσχουσιν οἱ πολλοὶ, τὸ μὲν παρὸν ἀτιμάζοντες, τῶν δὲ ἀπόντων ἐπιθυμοῦντες. Οὐ γὰρ τοὺς ὑποδεεστέρους αὐτῶν ἀπαριθμούμενοι τὴν ὑπὲρ ὧν ἔχουσιν εὐχαριστίαν ἀποπληροῦσι τῷ Δεσπότῃ, ἀλλὰ τῇ πρὸς τὸ ὑπερέχον συγκρίσει

S. Basilii. Beneficiorum acceptorum commemoratio honesta est laudandi occasio.

Bene meritis ultro debemus omnem benevolentiam præstare.

Theologi. Reddamus igitur cum fenore debitum, si modo tanta copia abundare videamur.

S. Chrysost. Quando quantum debemus ad gratiam vobis referendam dicere non valemus, dicimus quantum possumus.

Philonis. Nihil tam valet ad benevolentiam conciliandam quam beneficiorum deprædicatio acceptorum.

SERMO LVIII [*al.* XLIV].

De ingratis et beneficia non agnoscentibus.

B *Psal.* XXXIV. **209** Mala pro bonis mihi reddiderunt.

Calumniabantur me, cum diligerem eos. Ego autem precabar et mala pro bonis mihi posuerunt, et odium pro dilectione mea.

Prov. XVII. Qui mala pro bonis reddit, ex ejus familia mala non movebuntur.

Oseæ VII. Væ illis, quia resilierunt a me; infelices sunt, quia impii in me fuerunt. Ego enim redemeram eos, ipsi vero oblocuti sunt mihi falso.

Isa. I. Audi, cœlum; auribus percipe, terra, quia Dominus loquitur: Filios procreavi et evexi, ipsi vero me rejecerunt. Agnoscit bos possessorem suum, et asinus præsepe domini sui; Israel autem me C non agnoscit, et populus meus non intellexit.

Sap. XVI. Ingrati spes ut hiberna pruina liquescet, et defluet ut inutilis aqua.

Sirach XIX. Ingrata mens deseret eum a quo aliquando fuerit liberata.

Ibid. Hospitio et potu excipies ingratum, et insuper acerba audies. Duplicia enim mala comparabis tibi pro omnibus bonis quæ in eum contuleris.

S. Basilii. Indigna res, cum qui sit beneficio affectus, vel maximis oppigneratorum remissionibus et condonationibus, præterquam quod ingratus sit, etiam injuria et ignominia lacessere; indignum quidem id est, sed facienti majori est damno, quam D patienti.

Ingrati animi in alienatione bonorum præteritam gratiam sentire consueverunt. Cum enim acceperint a liberalioribus, nullam largienti habent gratiam, privati autem præterita beata prædicant.

Admiranda illa quidem ingratitudo est, quæ bene merentis benevolentiam ingratitudinis occasionem facit.

Permulti sunt morosis hominibus similes, id quod adest contemnentes, et quæ absunt requirentes. Non enim indigentiores ipsis enumerando, pro iis quæ possident gratias agunt Domino; sed comparantes sua cum excellentissimis, et quantum

vincantur cogitantes, quasi propriis careant, quod aliena non habeant, cruciantur et querantur.

S. Chrysost. Multos hominum videre licet beneficiis acceptis mancipiorum ritu de se bene meritos contemnere, et adversus illos supercilia contrahere.

Vitium maximum ingratitudo mihi videtur, indignum profecto et perquam indignum vitium. Nam beneficio aliquo affectum non velle rependere, si non licet aliter, at saltem gratias verbis agendo, aut omnino **210** stulti et beneficia non sentientis, aut ingrati hominis est.

ὅσον ἀπολιμπάνονται λογιζόμενοι, ὡς οἰκείων στερούμενοι τῶν ἑτέροις προσόντων, οὕτως ἀνιῶνται, καὶ καταμέμφονται.

Ὁρῶμεν πολλοὺς τῶν ἀνθρώπων, μετὰ τὰς εὐεργεσίας, καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶντας τῶν εὐεργετησάντων, καὶ τὰς ὀφρῦς ἀναστρώντων κατ' αὐτῶν.

Δεινόν μοι ἡ ἀχαριστία καταφαίνεται, δεινὸν, καὶ πάνδεινον. Παθόντα γάρ τι καλὸν μὴ ἀμείβεσθαι πειρᾶσθαι, εἰ καὶ μὴ ἄλλοις δυνατὸν, εὐχαριστίαις γοῦν ταῖς διὰ λόγων, ἢ ἀνοήτου παντελῶς καὶ ἀναισθήτου τῶν εὐεργεσιῶν, ἢ ἀγνώμονος.

Hic deest Sermo LIX, qui inscribitur : *De consultore et illis qui consilium et reprehensionenem admittunt, et quod intelligere oporteat qualis sit consultor.*

SERMO LX [*al.* XXXI].

De iis qui consilium et reprehensionem non admittunt.

Salomon. In aures insipientis nihil dicito, ne quando sermones tuos prudentiæ plenos irrideat.

Prov. XV. Malos ne reprehendito, ut illis odio ne sis.

Reprehensio impio est pro vibicibus.

Qui odit reprehensionem et castigationem, insipiens est.

Qui malos docet, sibi pariet dedecus.

Qui castigationes odere, turpiter vitam finient.

Imperitus non amabit castigantes ipsum.

Amos V. Oderunt in portis reprehendentem, et sanctam orationem abominati sunt.

Omnes reprehendentes in portis pro offendiculo habebunt.

Jerem. Locutus sum tibi in delicto tuo, et respondisti te non auditurum.

Hæc fatur Dominus : Ecce ego posui ante vestrum conspectum viam vitæ et viam mortis.

Eccli. Improbus vituperationem declinare solet.

Vir consilio carens, navigium est gubernatore destitutum.

Matth. XVIII. Si peccarit frater tuus, reprehende ipsum dum soli estis. Si te audierit, lucratus es fratrem tuum.

S. Basilii. Qui non recipit sibi a fratre adhibitam curationem, is secum ipse dissidet.

Theologi. Omnis anima repudians admonitiones incurabilis est.

Amice reprehendens non est extra terminos amicitiæ ejiciendus.

Nili. Inanis est omnis oratio, quæ ad corrigendum adhibetur, si auditorum voluntas et studium, ad deterius inclinans, consilio nostro adversatur.

Chrysost. Multi sæpenumero, ne viderentur alterius egere consilio, maluerunt prodere et amittere utilitatem, quæ a consilio profecta fuisset, quam audiendo admonitiones errata corrigere, et ignorare quam discere maluerunt, nescientes in di-

ΛΟΓΟΣ Ξ'.

Περὶ τῶν συμβουλὴν καὶ ἐλέγχους μὴ δεχομένων.

Εἰς ὦτα ἄφρονος μηδὲν λέγε, μή ποτε μυκτηρίσῃ τοὺς συνετούς σου λόγους.

Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε.

Οἱ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῶν.

Ὁ μισῶν ἐλέγχους ἄφρων.

Ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν.

Οἱ μισοῦντες ἐλέγχους τελευτήσουσιν αἰσχρῶς.

Οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν.

Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.

Πάντας τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσιν.

Ἐλάλησα πρὸς σὲ ἐν τῇ παραπτώσει σου, καὶ εἶπας, Οὐκ ἀκούσομαι.

Τάδε λέγει Κύριος. Ἰδοὺ ἐγὼ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου.

Ἄνθρωπος ἁμαρτωλὸς ἐκκλινεῖ ἐλεγμόν.

Ἀσύμβουλος ἀνὴρ πλοῖόν ἐστιν ἀκυβέρνητον.

Ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. Ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου.

Ὁ μὴ καταδεχόμενος τὴν παρὰ τοῦ ἀδελφοῦ θεραπείαν, προσαγομένην αὐτῷ, ἀσύμφωνός ἐστι καὶ αὐτὸς ἑαυτῷ.

Ψυχὴ πᾶσα ἀνουθέτητος ἀθεράπευτος.

Οὐ δεῖ φιλικῶς ἐγκαλοῦντα ἔξω τι τῶν τῆς φιλίας ὅρων ποιεῖν.

Περισσὸς πᾶς λόγος πρὸς διόρθωσιν, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ἀποκλίνασα σπουδὴ τοῖς κατὰ συμβουλὴν λεγομένοις ἐναντίως διάκειται.

Πολλοὶ πολλάκις ὑπὲρ τοῦ μὴ φανῆναι δεόμενοι συμβουλῆς τῆς παρ' ἑτέρων εἵλοντο προδοῦναι τὴν ὠφέλειαν τὴν ἀπὸ τῆς γνώμης, ἢ δεξάμενοι τὴν παραίνεσιν, διορθῶσαι τὸ ἁμάρτημα· καὶ μᾶλλον ἀγνοεῖν, ἢ μαθεῖν κατεδέξαντο, οὐκ εἰδότες ὅτι οὐ

τὸ μαθεῖν ἔγκλημα, ἀλλὰ τὸ ἀγνοεῖν κατηγορία· οὐ τὸ διδάσκεσθαι, ἀλλὰ τὸ ἐν ἀμαθίᾳ εἶναι, οὐ τὸ ἐλέγχεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν ἀδιόρθωτα. Ἔστι γὰρ, ἔστι παρὰ ἀνθρώπῳ μικρῷ καὶ εὐτελεῖ εὑρεθῆναί τι τῶν δεόντων ὃ παρὰ τῷ σοφῷ καὶ μεγάλῳ πολλάκις οὐχ εὕρηται.

Δαυὶδ τῆς τοῦ Ἰωὰβ παραλογισάμενος παραινέσεως, προσετίμῳ θείῳ ὑπέπεσεν.

Ῥοβοὰμ, ἀπωσάμενος τὴν βουλὴν τῶν πρεσβυτέρων, τὸν λαὸν αὐτοῦ διεσκέδασεν.

Μεῖζον ἀγαθὸν τὸ ἐλεγχθῆναι τοῦ ἐλέγξαι νομίζω, ὅτῳ μεῖζόν ἐστι τὸ αὐτὸν ἀπαλλαγῆναι κακοῦ τοῦ ἄλλον ἀπαλλάξαι.

Οὐδενὶ τῶν φαύλων ἐπιστὰς ἔλεγχος δι' ἡδονῆς ἐστι.

Περισσὸς ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν πᾶς ὁ λόγος, ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ὁμόνοια ᾖ.

ΛΟΓΟΣ ΞΑ'.

Περὶ αἰσχύνης ἀγαθῆς.

Λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον, ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανῶς, καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.

Ἔστιν αἰσχύνη, ἐπάγουσα ἁμαρτίαν· καὶ ἔστιν αἰσχύνη, δόξα καὶ χάρις.

Οὐκ ἔστι πᾶσαν αἰσχύνην φυλάξασθαι καλόν.

Ὑπὸ βροντῆς κατασπεύδει ἀστραπὴ, καὶ ἀπὸ αἰσχυντηροῦ πρωελεύσεται χάρις.

Αἰσχύνου ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας· καὶ ἀπὸ ἡγουμένου καὶ τυράννου περὶ ψεύδους· ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας· ἀπὸ κοινωνοῦ καὶ φίλου περὶ ἀδικίας· καὶ ἀπὸ τόπου οὗ παροικεῖς, περὶ κλοπῆς· ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου, καὶ ἀπὸ παριεργείας παιδίσκης αὐτῆς· ἀπὸ φίλου περὶ λόγου ὀνειδισμοῦ, καὶ ἀποκαλύψεως λόγων κρυφίων. Καὶ ἔσῃ αἰσχυντηρὸς ἀληθινὸς, καὶ εὑρίσκων χάριν ἔναντι παντὸς ἀνθρώπου.

Κακὸς δ' ἀκούων αἰσχύνου, μὴ δυσγενὴς.

Γένος γάρ εἰσιν οἱ πάλαι σεσηπότες.

Γένει προάρχειν κρεῖσσον, ἢ λύειν γένος.

Τὸν αἰσχυνόμενον ἁμαρτίαν δεῖ αἰσχύνεσθαι, καὶ τὸ τῷ Θεῷ προσκρούσαι, καὶ τὰ ποιῆσαί τι τῶν οὐ δεόντων.

Ἔστιν ἄρα καὶ τοῦτο δεύτερον ἀγαθὸν, τὸ αἰσχύνεσθαι. Τὸ μὲν γὰρ ἀναμάρτητον θείας ἀντικρὺς ἐστι καὶ μοίρας καὶ φύσεως· τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γινομένοις ἐρύθημα σωφροσύνης ἐμφαίνει χρῶμα.

ΛΟΓΟΣ ΞΒ'.

Περὶ αἰσχύνης πονηρᾶς.

Περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς. Ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν· καὶ ἔστιν αἰσχύνη, δόξα καὶ χάρις. Καὶ μὴ λάβῃς πρόσωπον κατὰ ψυχῆς σου, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου.

Ἔστιν ὅτε τις χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν.

A scendo nullum esse crimen, sed in ignorando; nec discere, sed inscitiam retinere; nec reprehendi et castigari, sed peccare ita ut corrigi nolis, vitio dari. Licet enim, **211** licet vel apud hominem infimum et abjectissimum aliquid rectum quodque deceat invenire, quod apud sapientem et magnum sæpe non reperitur.

David, Joabi monitione contempta, multæ subjacuit divinæ.

Roboam, consilio seniorum repudiato, populum suum dissipavit.

Methodii. Tanto majus bonum reprehendi, quam reprehendere arbitror, quanto majus est teipsum malo liberari, quam alterum liberare.

Philonis. Nemini improborum castigatio voluptati
B est.

Inanis est omnis ad honestatem exhortans oratio, cum audientium animi ad deterius conspirant.

SERMO LXI [*al.* XCI].

De pudore honesto.

Gen. XI. Semus et Japhetus acceptam vestem imposuerunt super dorsa sua, et aversi accesserunt, et nuditatem patris sui contexerunt : aversi igitur cum essent, nuditatem patris sui non viderunt.

Salomon. Est pudor qui peccatum adducit, est qui gloriam et gratiam.

Eccli. XXXII. Non est honestum quemvis pudorem cavere.

C Ut a tonitru confestim prodit fulgur, sic a verecundo homine proficiscetur gratia.

Verecundare coram parentibus de scortatione, coram præfecto et tyranno de mendacio, apud judicem et magistratum de errato, apud socium et amicum de injuria : in loco ubi habitas de furto verendum est : in cogitatione, de muliere nupta, et a curiosa ejus ancilla : ab amico, de verbo exprobrationis, et patefactione arcanorum sermonum, et eris vere verecundus, erisque gratiosus apud omnes.

Theologi. Malus si audis, verere, non ignobilis. Genus sunt qui pridem jam putruere.

Genus incipere, quam finire melius est.

S. Chrysost. Verecundum oportet peccatum ve-
D reri, et ne Deum offendat, et ne quid turpe admittat.

Synesii. Est igitur et hoc secundum bonum, vereri; nam nunquam peccare palam, est divini cujusdam fati et naturæ. Rubor autem qui ob non recte facta innascitur, temperantiæ indicat colorem.

SERMO LXII [*al.* XCII].

De verecundia improbanda.

Eccli. De anima tua ne verearis; est enim pudor qui peccatum inducit, alter vero gloriam et gratiam. Et ne accipias personam contra **212** animam tuam, nec vertaris in ruinam tuam.

Est qui pudoris gratiam aliquando professus amico, paravit eum sibi inimicum gratis.

Non est honestum quamvis verecundiam observare.

Ira et impudentia et pudendum quiddam est, si uxor marito necessaria præbet.

Mulieri improbæ necessarium est obsignata esse omnia : et ubi manus multæ, claudendum est : cuicunque dederis numero et pondere, et datum et acceptum omnia perscribantur.

Est qui pudore perdat animam suam et personæ acceptione perdet eam.

Philonis. Pudorem aiunt plerisque inutilem esse.

Οὐκ ἔστι πᾶσαν αἰσχύνην φυλάξασθαι καλόν.

Ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη πονηρά, ἐὰν γυνὴ ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς.

Ἐπὶ γυναικὶ πονηρᾷ καλὸν σφραγίς· καὶ ὅπου χεῖρες πολλαί, κλεῖσον· ᾧ ἐὰν παραδῷς ἐν ἀριθμῷ καὶ σταθμῷ, καὶ δόσις καὶ λῆψις, πάντα ἐν γραφῇ.

Ἔστιν ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι' αἰσχύνην, καὶ ἀπὸ λήψεως προσώπου ἀπολεῖ αὐτήν.

Τὴν αἰδὼ φασι μὴ λυσιτελῆσαι τοῖς πολλοῖς.

SERMO LXIII [*al.* LXXXV].

ΛΟΓΟΣ ΞΓ'.

De iis qui jurejurando frequenter utuntur : item non licere frustra usurpare jusjurandum, aut omnino jurare.

Περὶ τῶν τοὺς ὅρκους στεργόντων, καὶ ὅτι οὐ χρὴ μάταιον λαμβάνειν ὅρκον, ἢ ὅλως ὀμνύειν.

Exod. xx. Nomen Domini Dei tui ne in vano usurpato; non enim purum existimabit Dominus eum qui nomen ipsius in vano usurparit.

Levit. xxi. Nomen meum ne jurate in re iniqua, nec profanate nomen Domini Dei vestri.

Jurijurando ne assuefacito os tuum, et sancti nominationi non assuescas.

Eccli. xxiii. Qui multum jurat, iniquitate replebitur, nec flagellum ab illius domo recedet.

Matth. v. Audistis dictum esse antiquis, non esse pejerandum, sed reddendum Domino jusjurandum. Ego vero dico non juranduin omnino : neque per cœlum, quod thronus est Dei : neque per terram, quod est scabellum pedum ejus : sed nec per caput tuum juraveris, quia non potes capillum unum candidum aut atrum facere. Sed sit sermo vester, etiam, etiam, et non, non : quod enim præter hæc adjicitur, ex malo est.

Jac. v. Ante omnia, fratres mei, nolite jurare, neque per cœlum, neque per terram, nec ullo alio modo juratote: Sed sit vestrum, etiam, etiam, et non, non.

Theologi. Lex ait : Non pejerabis : tu vero ne ab initio quidem jurato, neque per rem minimam neque per maximam, quod jusjurandum perjurium parit.

S. Chrysost. Jusjurandum omnis controversiæ finis est ad confirmationem.

S. Gregor. Nysseni. Juramentum est oratio confirmans per se veritatem.

Philonis. Jusjurandum est testificatio Dei de re controversa.

Jusjurandum ita fugito, ut ne sancte **213** quidem jures

Socratis. Bonos viros decet, ut eos mores afferre videantur qui sint jurejurando firmiores.

Jusjurandum oblatum duabus de causis suscipito, aut te a crimine absolvens, aut amicos ex magnis periculis liberans.

Pecuniæ causa nequidquam Deum juraris, ne si sancte quidem juraturus sis : aliis enim pejerare, aliis avarus esse videberis.

Eusebii. Multi solent monere alios, ut sancte jurent ; ego vero ne ab initio quidem facile jurare licitum esse censeo.

Οὐ λήψει τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσει Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ, καὶ οὐ βεβηλώσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν.

Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, καὶ ὀνομασίᾳ τοῦ ἁγίου μὴ συνεθισθῇς.

Ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ.

Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ Κυρίῳ τοὺς ὅρκους σου. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ, μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ, μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. Ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ, ναὶ, καὶ οὒ, οὔ. Τὸ γὰρ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.

Πρὸ πάντων, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον. Ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὔ, οὔ.

Ὁ νόμος φησὶ, Οὐκ ἐπιορκήσεις· σὺ δὲ οὐδὲ ὁμῆ τὴν ἀρχὴν, οὐ μικρὸν, οὐ μεῖζον. ὡς τοῦ ὅρκου τὴν ἐπιορκίαν τίκτοντος.

Πάσης ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

Ὅρκος ἐστὶ λόγος πιστούμενος δι' ἑαυτοῦ τὴν ἀλήθειαν.

Ὅρκος ἐστὶ μαρτυρία Θεοῦ περὶ πράγματος ἀμφισβητουμένου.

Ὅρκον περίφευγε, καὶ δικαίως ὀμνύειν.

Δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους.

Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων.

Ἕνεκα χρημάτων μηδαμῶς Θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς. Δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν.

Οἱ πολλοὶ τοῖς ἀνθρώποις τοὺς [*f.* τὸ] εὐόρκους εἶναι παραινοῦσιν· ἐγὼ δὲ καὶ τὴν ἀρχὴν μηδ' εὐπετῶς ὀμνύναι ὅσιον ἀποφαίνομαι.

Τρόπου καλοκαγαθίαν ὅρκου δεῖ πιστοτέραν ἔχειν.

Morum probitatem jurejurando firmiorem habere oportet.

ΛΟΓΟΣ ΞΔ'

Περὶ πολυόρκων, καὶ τῶν τοὺς ὅρκους ἀπαιτούντων.

Ἐὰν ψυχὴ ἁμάρτῃ καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς ἢ ἑώρακεν, ἢ σύνοιδεν, ἐὰν μὴ ἀναγγείλῃ, λήψεται τὴν ἁμαρτίαν αὐτοῦ.

Ἐὰν ὅρκου προτεθέντος ἀκούσαντες μὴ ἀναγγείλωσι, φοβηθέντες, ἢ αἰσχυνθέντες ἀνθρώπους, ὑπεσκελίσθησαν.

Τάδε λέγει Κύριος· Ζῶ ἐγὼ, ἐὰν μὴ τὴν διαθήκην μου ἣν παρέδη, καὶ τὴν ὁρκωμοσίαν μου ἣν ἠτίμωσε, δώσω αὐτὰ εἰς κεφαλὴν αὐτοῦ· καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυόν μου, καὶ ἁλώσεται ἐν τῇ περιοχῇ αὐτοῦ.

Ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος. Οὐ γὰρ ἡμῶν ὀμνυμένων δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

Ὥσπερ οἰκέτης ἐξεταζόμενος συνεχῶς ἀπὸ μάστιγος οὐκ ἐλαττωθήσεται, οὕτως ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς ἀπὸ ἁμαρτίας οὐ μὴ καθαρισθῇ.

Ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, καὶ οὐκ ἀποστήσεται ἐκ τοῦ οἴκου αὐτοῦ μάστιξ.

Πιστούμενος τὸ ψεῦδος διὰ τὸν ὅρκον, κακὸν παρεμπόρευμα τῆς ἀπανθρωπίας τὴν ἐπιορκίαν προσκτᾶται.

Οὐχ οὕτως σφάζει ξίφος, ὡς ὅρκου φύσις· οὐχ οὕτως ἀναιρεῖ μάχαιρα, ὡς ὅρκου πληγή. Ὁ ὀμόσας, κἂν δόξῃ ζῆν, ἤδη τέθνηκε, καὶ τὴν πληγὴν ἐδέξατο· καὶ ὥσπερ ὁ τὸ σπαρτίον λαβὼν, καὶ πρὶν ἢ τὴν πόλιν ἐξελθεῖν, καὶ δήμιον ἰδεῖν ἑστάμενον, τέθνηκεν ἅμα τῷ τὰς θύρας ἐξελθεῖν τοῦ δικαστηρίου, οὕτω καὶ ὁ ὀμόσας ἐπὶ ψεύδει, κἂν ζῇ, τέθνηκεν.

Ἐκ πολυορκίας ψευδορκία φύεται.

Φασί τινες τὸ εὐορκεῖν οὐκ ἀπόβλητον· ἀλλ' ἤδη ὅ γε ὀμνὺς εἰς ἀπιστίαν ὑπονοεῖται.

Μαρτυρία Θεοῦ ἐστι περὶ πραγμάτων ἀμφισβητουμένων ὁ ὅρκος, μάρτυρα δὲ καλεῖν ἐπὶ ψεύδει τὸν Θεὸν, ἀνοσιώτατον.

Τὸν ὀμνύντα μάτην ἐπ' ἀδίκῳ Θεὸς ὁ τὴν φύσιν ἵλεως οὔποτε τῆς αἰτίας ἀπαλλάξει, δυσκάθαρτον καὶ μιαρὸν ὄντα, κἂν διαφύγῃ τῆς ἀπ' ἀνθρώπων τιμωρίας.

Morum probitatem jurejurando firmiorem habere oportet.

SERMO LXIV [*al.* LXXXVII].

De multum jurantibus et jusjurandum exigentibus.

Levit. v. Si anima peccarit et vocem jurisjurandi audierit, et hic testis vel vidit, vel conscius est, nisi enuntiarit, asciscet sibi peccatum illius.

Salomon. Si qui jusjurandum additum audierint, nec enuntiaverint, quod homines aut metuerent, aut revererentur, fraudem admiserunt.

Zachar. XVII. Hæc dicit Dominus : Vivo ego nisi testamentum meum quod violavit, et jusjurandum meum quod dedecore affecit, dedero in caput ejus, et extendam rete meum in eum, capieturque in munitione sua.

Sap. Inique doloseque juraverunt, sanctitate contempta ; non enim jurantium potestas, sed peccantium supplicium persequitur semper iniquorum prævaricatioñem.

Eccli. XXIII. Ut servus semper vapulans flagello non emendatur, sit jurans et appellans semper a peccato non repurgatur.

Qui multum jurat iniquitate plenus esse solet, nec ab illius domo discedet flagellum.

Confirmans mendacium jurejurando exitiosam inhumanitatis mercem, videlicet perjurium, comparat.

S. Chrysost. Non tam interficit ensis, quam jurisjurandi natura ; non tam occidit gladius, quam jurisjurandi plaga. Qui jurat, etsi videtur vivere, tamen jam mortuus est, et plagam accepit ; ac quemadmodum cui injectus est laqueus, priusquam ex urbe egrediatur et astantem videat carnificem, mortuus est simulatque januam egressus est prætorii : sic et qui falso mendaciterque juravit, etiamsi vivat, mortuus est.

Philonis. Ex frequenti jurejurando perjurium nascitur.

Aiunt quidam jusjurandum verum non esse rejiciendum : sed jam **214** qui jurarit, ejus fides in suspicionem venit.

Testificatio Dei est de rebus ambiguis jusjurandum : testem autem adhibere in mendacio Deum, summe impium est.

Frustra jurantem ob rem iniquam Deus natura placidus nunquam culpa liberabit, utpote impurum et scelestum, etiamsi hominum supplicia evaserit.

ΛΟΓΟΣ ΞΕ'.

Περὶ ζήλου ἀγαθοῦ, καὶ μιμήσεως χρηστῆς.

Εἶπεν ὁ Κύριος, Ὑπόδειγμα δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιήσητε ἀλλήλοις.

Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα.

Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

SERMO LXV [*al.* VII].

De zelo bono et imitatione bona.

Joan. XIII. Dixit Dominus : Exemplum dedi vobis, ut quemadmodum ego feci vobis, sic et vos alii aliis faciatis.

I Cor. XIV. Æmulamini dona perfectiora.

Imitatores mei estote, quemadmodum et ego Christi.

Considereremus alii alios ad charitatis provocationem et honestorum operum.

Memores estote eorum qui vobis præsunt, qui vobis verbum Dei ministrarunt, quorum contemplantes exitum conversationis imitamini fidem.

III Joan. I. Dilecte, noli tibi malum ad imitandum proponere, sed id quod bonum est. Qui bene facit, ex Deo est; at qui male, Deum non vidit.

Synesii. Imitatio conciliatio est, et conjungit cum eo quod imitandum proponitur imitantem.

S. Basilii. Si videris ethnicum vitæ temperatæ et reliquæ morum honestatis studiosum supra te, tuum etiam studium intende, ut fias assimilis fructuosæ ficui, quæ per caprifici vicinitam vires suas colligit, ac diffusionem cohibens melius suos fructus alit et producit.

SERMO LXVI [*al.* XVIII].

De zelo et imitatione prava.

Levit. XVIII. Ego Dominus Deus vester. Secundum instituta Ægypti, in qua incolæ fuistis, non vivetis : nec ex institutis Chananæorum vitam instituetis, in quorum agrum vos inducam, nec ex legibus eorum regemini, ne terra detestetur vos, sicut detestata est eos qui habitabant in ipsa.

Psal. I. Beatus qui non adiit consilia impiorum, et in via sceleratorum non stetit, et in cathedra pestilenti non sedit.

Noli æmulari scelerate viventes, nec legis violatores, quia sicut herba cito exarescent.

Salomon. Vide ne pravorum hominum decora asciscas, nec vias illorum sequaris.

215 *Proverb.* XXIV. Fili, noli æmulari improbos, nec cum illis esse concupiscas : mendacia enim meditatur cor eorum, et molestias labia eorum loquuntur.

Ne delectare malis, nec improbos æmulare.

Proverb. IV. Fili, ne legis contemptorum vias sequare; ubicunque castrametati fuerint, eo ne accedas, declina illos et præteri; non enim somnum capere solent, nisi malefecerint : detractus est illis somnus, nec dormiunt. Isti enim cibis impietatis aluntur, et vino iniquitatis inebriantur.

Impiorum vias ne ingrediaris, nec exlegum viam quæras.

Eccli. Noli æmulari gloriam sceleratorum : ignoras enim quid exitus ipsorum ferat.

Galat. IV. Semper decet æmulari honesta.

S. Basilii. Fugite imitationes condemnatorum.

Theologi. Noli quidquam æmulari eorum quibus non invidetur, sed qui odio habentur.

Noli cogitare te malis videri præstantiorem, sed tristare quod sis bonis inferior.

Κατανοῶμεν ἀλλήλους, εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων.

Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν.

Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν ἐκ τοῦ Θεοῦ ἐστιν, ὁ δὲ κακοποιῶν οὐχ ἑώρακε τὸν Θεόν.

Ἡ μίμησις οἰκείωσίς ἐστι, καὶ συνάπτει πρὸς ὃ μιμεῖται τὸν μιμούμενον.

Ἐὰν ἴδῃς ἐθνικὸν βίου σώφρονος καὶ τῆς λοιπῆς κατὰ τὸ ἦθος εὐταξίας ἐπιμελούμενον πλέον σεαυτοῦ, τὸ σπουδαῖον ἐπίτεινον, ἵνα γένῃ παραπλήσιος τῇ καρποφόρῳ συκῇ, ἐκ τῆς τῶν ἀγρίων παρουσίας συναθροιζούσῃ τὴν δύναμιν, καὶ τὴν μὲν ῥύσιν ἐπεχούσῃ, ἐπιμελέστερον δὲ τοὺς καρποὺς ἐκτρεφούσῃ.

ΛΟΓΟΣ ΞϚ'.

Περὶ ζήλου καὶ μιμήσεως πονηρᾶς.

Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν· κατὰ τὰ ἐπιτηδεύματα τῆς Αἰγύπτου ἐν ᾗ παῳκήσατε ἐπ' αὐτῆς, οὐ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσαγάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε, ἵνα μὴ προσοχθίσῃ ἡ γῆ ὑμῖν, καθὼς προσώχθισεν ἐν τοῖς καθημένοις ἐν αὐτῇ.

Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν.

Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται.

Μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν.

Υἱὲ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μηδὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν. Ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ.

Μὴ χαῖρε ἐπὶ κακοῖς, μηδὲ ζηλώσῃς ἁμαρτωλούς.

Υἱὲ, μὴ ζηλώσῃς ὁδοὺς παρανόμων, ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἀπέλθῃς ἐκεῖ, ἔκκλινον τὸν πόδα σου καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσουσιν, ἐὰν μὴ κακοποιήσωσιν. Ἀφῄρηται ὁ ὕπνος αὐτῶν, καὶ οὐ κοιμῶνται. Οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται.

Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζητήσῃς ἕδους παρανόμων.

Μὴ ζηλώσῃς δόξαν ἁμαρτωλῶν. Οὐ γὰρ οἶδας τί τέξεται ἡ καταστροφὴ αὐτῶν.

Καλὸν τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε.

Φεύγετε τὰς μιμήσεις τῶν κατεγνωσμένων.

Μὴ ζηλώσῃς τι τῶν οὐ φθονουμένων, ἀλλὰ μεσουμένων.

Μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων· λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος.

SERMO LXVII (1).

De charitate, pace, concordia et pacificis.

ΛΟΓΟΣ ΞΗ'.

Περὶ μίσους καὶ ἔχθρας καὶ τῶν μάχας συναπτόντων.

Ἀπέστειλεν Ἰεφθαὲ ἀγγέλους πρὸς βασιλέα υἱῶν Ἀμμὼν, λέγων, Τί ἐμοὶ καὶ σοὶ, ὅτι ἦκεις ἐπ' ἐμὲ, πολεμῆσαί με ἐν τῇ γῇ μου; ἐγὼ οὐχ ἡμαρτόν σοι, καὶ σὺ ποιεῖς μετ' ἐμοῦ πονηρίαν τοῦ πολεμῆσαι ἐν ἐμοί. Κρίναι Κύριος ὁ κρίνων, ἀνὰ μέσον υἱῶν Ἰσραὴλ, καὶ ἀνὰ μέσον υἱῶν Ἀμμών. Καὶ οὐκ εἰσήκουσε βασιλεὺς υἱῶν Ἀμμὼν τῶν λόγων Ἰεφθάε, ὧν ἀπέστειλε πρὸς αὐτὸν, καὶ ἐγεννήθη ἐπὶ Ἰεφθάε Πνεῦμα Κυρίου, καὶ διέβη πρὸς τοὺς υἱοὺς Ἀμμὼν, τοῦ πολεμῆσαι αὐτούς. Καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν χειρὶ αὐτοῦ, καὶ ἐπάταξεν εἰς αὐτοὺς εἴκοσι πόλεις, καὶ ἐνετράπησαν οἱ υἱοὶ Ἀμμὼν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ.

Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν· μὴ παραζήλου ὥστε πονηρεύεσθαι· ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται.

Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.

Μῖσος ἐγείρει νεῖκος.

Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία.

Ἀνὴρ θυμώδης παρασκευάζει μάχας.

Ἀντιλογίας ἐγείρει πᾶς κακός· ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμπει αὐτῷ.

Φιλαμαρτήμων χαίρει μάχαις.

Λόγος λυπηρὸς ἐγείρει ὀργάς.

Μὴ ἐπίχαιρε καὶ πρόσπιπτε εἰς μάχην ταχέως, ἵνα μὴ μεταμεληθῇς ἐπὶ ἐσχάτων σου.

Σίδηρος σίδηρον ὀξύνει· ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑτέρου.

Μὴ φιλεχθρήσεις πρὸς ἄνθρωπον μάτην, ἵνα μή τι εἰς σὲ ἐργάσηται κακόν.

Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν, καὶ οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν. Αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι ἂς ὁδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην.

Πᾶς ὁ οἶκος Ἰσραὴλ φιλόνεικοι καὶ σκληροκάρδιοι.

Ἀνὴρ ἁμαρτωλὸς παροξύνει φίλους, καὶ ἀνὰ μέσον εἰρηνευόντων βάλλει διαβολήν.

Ἔρις κατασπευδομένη ἐκκαίει πῦρ, καὶ μάχη κατασπευδομένη ἐκχέει αἷμα.

Πᾶσα βασιλεία, μερισθεῖσα καθ' ἑαυτὴν, ἐρημοῦται· καὶ πᾶσα πόλις καὶ οἰκία, μερισθεῖσα καθ' ἑαυτὴν, οὐ καθίσεται.

Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.

Εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ ἐκκλησίαι τοῦ Θεοῦ.

Ὁ ταράσσων ὑμᾶς αὐτὸς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ.

(1) Sermo iste nihil fere continet quod non legatur in sermone 26 partis primæ, ejusdem est argumenti, *De charitate* scilicet *seu dilectione, pace, concordia et pacificis.* Igitur ex duobus unum fecimus.

A

216-218 SERMO LXVIII [*al.* LXXVI].

De odio et inimicitiis, et pugnas serentibus.

Judic. II. Jephtha nuntios misit ad regem Ammonitarum, cum hujusmodi mandatis: Quid tibi mecum rei est, quod venis in fines agri nostri bellatum? nihil in te peccavi, et tu mecum malitiose agis, qui mihi bellum infers. Judicet Dominus de causa Israelitarum et Ammonitarum. Rex autem Ammonitarum non acquievit orationi Jephthæ, qua per nuntios apud illum usus erat: et corripuit Jephtham Spiritus Domini, et progressus est ad bellum inferendum filiis Ammonis, tradiditque eos Dominus in manus ei, vastavitque viginti urbes: et Ammonitæ timuerunt Israelitas.

B

David. Seda iracundiam, et iram omitte; noli ita æmulari ut improbe agas: quia improbi funditus peribunt.

Disperge gentes quæ bella volunt.

Odium excitat contentionem.

Quocunque ingressa fuerit contumelia, eo etiam ignominia.

Vir iracundus præparat pugnas.

Contradictiones excitat omnis malus: Dominus autem illi mittet angelum immisericordem.

Peccandi cupidus pugnis gaudet.

Molesta oratio excitat iras.

Ne insultes aut irruas in prælium cito, ne ad extremum te ejus pœniteat.

C Ut ferrum acuit ferrum, sic homo hominem irritat.

Noli sine causa inimicitias cum quoquam suscipere, ne quid in te mali excogitet.

Isa. LIX. Contritio et miseria in viis eorum, nec viam pacis norunt, nec est in viis eorum judicium; viæ enim quas ingrediuntur, pravæ sunt, nec pacem noverunt.

Ezech. Tota familia Israelitica ex contentiosis
219 et pervicacibus constat.

Improbus exacerbat amicos, et inter concorditer viventes injicit calumniam.

Eccli. XXVIII. Contentio festinata emittit ignem, et pugna accelerata effundit sanguinem.

D *Matth.* XII. Omne regnum secum dissidens desolatur, itemque civitas omnis ac familia divisa adversus seipsam, non stabit.

Quia multiplicabitur iniquitas, frigescet charitas multorum.

I Cor. XI. Si quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, nec ecclesiæ Dei.

Qui conturbat vos, damnationem portabit, quicunque sit.

Cum enim in vobis contentio et æmulatio et seditiones sint, nonne carnales estis, et hominum ritu ambulatis?

Jac. III. Ubi æmulatio et contentio, ibi inconstantia et omnis improbitas.

Servum Domini non decet pugnare, sed erga omnes mitem esse.

I Joan. IV. Si quis dicat se Deum diligere, et fratrem suum oderit, mendax est.

Defecit dilectio mandatorum radix.

S. Basilii. In certaminibus improbitatis miserior est qui vicerit, propterea quod peccatis onustior discedit.

Solent contentiosi minus consilio valere, et sæpe suis rebus male consulere, ut dolore afficiant suos adversarios.

Theologi. Præstat honeste vinci, quam periculose et injuste vincere.

A partibus adversariorum propemodum stant qui ingenio sunt bellicoso, gloriam suam ex publico venantes, et suo se dedecore ornantes. Nam et diabolus. *Apparet quædam deesse.*

Apertum hostem cavere facile est.

Inimicitiæ fines fac noscas, non autem benevolentiæ.

S. Chrysost. Quid inter nos temere digladiamur? quid bellamus alii cum aliis, quibus præceptum est, ut qui nos oderint, amemus?

Si inter Paulum et Barnabam angustus et pusillus animus fuit, quid mirum si etiam inter nos?

Non ubique debemus velle vincere: interdum enim victoria detrimentum affert, vinci autem utilitatem præbet.

Democrit. Seipsum vincere omnium victoriarum prima et præstantissima est; at vinci a seipso et turpissimum et pessimum.

Isocratis. Prava ingenia eadem solent esse et contentiosa, ut non prius finem faciant pugnæ et contentionis, quam letalem acceperint plagam, et supplicio memorabili afficiantur.

220 *Euripidis.* Unum consilium bonum multas vincit manus;
Turbæ vero conjuncta rudilas plus affert mali.

SERMO LXIX [*al.* LIV].

De obloculoribus, et contumelia.

Deut. Auditionem inanem ne admittas.

Psal. XIV. Qui detrahebat clam proximo suo, eum persequebar.

S. Basilii. Qui fratri adversatur, aut audit detrahentem, et sustinet, ambo digni sunt qui exterminentur.

Theologi. Nihil tam jucundum est hominibus quam de alienis rebus loqui, et maxime si favore alicujus aut odio ducantur, a quibus solet plurimum veritas occultari et supprimi.

Cum irasceris convicium facienti, probra confirmas. Quid est enim ira insipientius? Sin vero iræ parcas et lentus fueris, pudore afficis injuriam facientem, reipsa temperantiam declarans.

Ὅπου γὰρ ἐν ὑμῖν ἔρις καὶ ζῆλος καὶ διχοστασίαι, οὐ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;

Ὅπου ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.

Δοῦλον Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας.

Ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν.

Ἐκλέλοιπεν ἡ ἀγάπη, ἡ ῥίζα τῶν ἐντολῶν·

Ἐν ἀμίλλαις πονηρίας ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλέον ἔχων τῆς ἁμαρτίας.

Πεφύκασί πως οἱ φιλονεικοῦντες ἀβουλότεροι γίνεσθαι, καὶ πολλὰ τῶν ἰδίων κακῶς διατίθεσθαι ὑπὲρ τοῦ λυπῆσαι τοὺς ἐναντιουμένους.

Κρεῖττον ἡττᾶσθαι καλῶς ἢ νικᾷν ἐπισφαλῶς καὶ ἀθέσμως.

Τῆς ἀντικειμένης μερίδος ἐγγὺς οἱ πολεμικοὶ τὸν τρόπον, καὶ τὸ εὐδόκιμον τῷ κοινῷ κακῷ θηρώμενοι, καὶ τῇ ἑαυτῶν αἰσχύνῃ ἐγκαλλωπιζόμενοι· ἐπεὶ καὶ ὁ διάβολος. *Ἔοικέ τι λείπειν ἐνταῦθα.*

Τὸ προδήλως ἐχθρὸν καὶ εὐφύλακτον.

Ἐχθρας ὅρους γίνωσκε, εὐνοίας δὲ μή.

Τί μαχόμεθα πρὸς ἀλλήλους εἰκῇ; τί πολεμοῦμεν ἀλλήλοις, προστεταγμένοι καὶ τοὺς μισοῦντας φιλεῖν;

Εἰ μεταξὺ Παύλου καὶ Βαρνάβα μικροψυχία, τί θαυμαστὸν εἰ καὶ μεταξὺ ὑμῶν;

Μὴ δὴ πανταχοῦ ζητῶμεν νικᾷν. Ἔστι γὰρ ὅπου νίκη μὲν φέρει βλάβην, ἧττα δὲ ὠφέλειαν.

Τὸ νικᾷν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη καὶ ἀρίστη· τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ αἴσχιστόν τε καὶ κάκιστον.

Πεφύκασιν αἱ πονηραὶ φύσεις καὶ φιλόνεικοι μὴ πρότερον λήγειν τῆς διαμάχης καὶ ἔριδος, πρὶν ἢ καιρίαν δέξασθαι τὴν πληγὴν, καὶ ἀνεπιλήστου τιμωρίας πεῖραν λαβεῖν.

Σοφὸν γὰρ ἐν βουλευμα τὰς πολλὰς χεῖρας

Νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλέον κακόν.

ΛΟΓΟΣ ΞΘ'.

Περὶ καταλαλούντων, καὶ περὶ ὕβρεως.

Ἀκοὴν ματαίαν μὴ παραδέξῃ.

Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξολέθρευε.

Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀκούων καταλαλοῦντος καὶ ἀνεχόμενος, ἀφορισμοῦ ἄξιοι καὶ οἱ ἀμφότεροι.

Οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια, καὶ μάλιστα ἐὰν τύχωσιν ὑπ' εὐνοίας τινὸς ἢ μίσους; ἑλκόμενοι, ὑφ' ὧν φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια.

Ἐπὰν ὀργισθῇς κατὰ τοῦ λοιδορήσαντος, ἐβεβαίωσας τὰ ὀνείδη. Τί γὰρ ὀργῆς ἀφρονέστερον; Ἐὰν δὲ μείνῃς ἀόργητος, ἔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος.

Ὁ διαβάλλων τὸν πλησίον αὐτοῦ ἀδελφικὰ κρέα ἔφαγεν, ὑπόληψιν τρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος διὰ τοῦ λόγου κακά.

Ὥσπερ τὸ καλῶς λέγειν καὶ ἐγκωμιάζειν ἀρχὴ φιλίας ἐστὶν, οὕτω τὸ κακῶς λέγειν καὶ διαβάλλειν ἔχθρας καὶ ἀπεχθείας καὶ μυρίων κακῶν ἀρχὴ καὶ ὑπόθεσις γέγονεν.

Ἂν μὲν ὀνειδίσῃ σε ὁ ἐχθρὸς ἁμάρτημα, ὃ σεαυτῷ σύνοιδας, εὐ δὲ ἀκούσας, ἐκεῖνον μὲν μὴ ὑβρίσῃς, στενάξῃς δὲ πικρὸν, καὶ τὸν Θεὸν παρακαλέσῃς, εὐθέως ἀπέθου τὴν ἁμαρτίαν ἅπασαν.

Μηδέποτε αἰδεσθῇς τὸν πρὸς σὲ καταλαλοῦντα, μᾶλλον δὲ λέγε, Παῦσαι, ἀδελφὲ, ἐγὼ καθ' ἡμέραν χαλεπώτερα πταίω. Καὶ πῶς ἐκεῖνον κατακρῖναι δύναμαι; Δύο γὰρ κερδανεῖς, ἐν μιᾷ ἐμπλάστρῳ καὶ σεαυτὸν καὶ τὸν πλησίον ἰασάμενος.

Πλάτωνί τινος λέγοντος, ὅτι Τινὲς λοιδοροῦσί σε, ἔφη· Ἀλλ' ἐγὼ οὕτως διάξω, ὥστε ἀπιστεῖσθαι αὐτούς.

Ὅταν λοιδορηθῇς, σκόπει μή τί σοι πέπρακται τῆς λοιδορίας ἄξιον· εἰ δὲ οὐ πέπρακται, καπνὸν εἶναι τὴν λοιδορίαν νόμιζε.

Χαβρίας ὑπό πονηροῦ πολλὰ λοιδορηθείς, ἔφη· Κάλλιστα ἐποίησας, μηδὲν τῶν προσόντων καταλιπών.

Ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους.

Οὔτε ἀῤῥώστου πληγὴν, οὔτε ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.

Φίλιππον τὸν Ἀλεξάνδρου πατέρα ἐλοιδόρει τις τῶν κακογλώττων ἀνθρώπων· καὶ παρῄνουν οἱ φίλοι διώκειν τὸν λοίδορον. Ὁ δὲ ἔφη· Οὐκ ἔστι καλὸν τοῦτο ποιῆσαι, ἵνα μὴ ἐν πλείοσι περιεχόμενος κακῶς λέγῃ ἡμᾶς.

Ὁ αὐτὸς ἔλεγεν, ὅτι Χάριν ἔχω τοῖς λοιδοροῦσί με, ὅτι βελτίονα ποιοῦσιν. Ἐγὼ γὰρ σπουδάζων ψευδεῖς αὐτοὺς ἀπελέγχειν, εἴ τι φαῦλον ποιῶ, μεταβάλλομαι.

Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν. Οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσι.

Τινὶ σοφῷ ἔφη τις, ὅτι Ὁ δεῖνα κακῶς σε ἐλοιδόρει ἐπὶ ἐμοῦ. Ὁ δὲ ἔφη· Εἰ μὴ σὺ ἡδέως ἤκουες, οὐκ ἂν ἐκεῖνός με ἐλοιδόρει.

Λοιδορούμενός τις ὑπό τινος φαλακροῦ εἶπεν· Σὲ μὲν οὐχ ὑβρίσω, τὰς δὲ τρίχας σου ἐπαινέσω, ὅτι κακὸν ἐξέφυγον κρανίον.

Λοιδορούμενός τις ὑπό τινος ἀνεχώρει· τοῦ δὲ ἐπιδιώκοντος καὶ λέγοντος, Φεύγεις; Ναὶ, ἔφη· τοῦ μὲν γὰρ κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ ἀκούειν ἐγώ.

Πολλαχῶς τις ὀνειδιζόμενος ὑπό τινος, ἐπὶ τῷ γονέων ἀγεννῶν εἶναι, εἶπεν· Ἐμοὶ μὲν ὄνειδος οἱ γονεῖς, σὺ δὲ τοῖς γονεῦσιν.

A *S. Chrysost.* Qui fratrem suum criminatur, fraternas carnes edit, existimatione ejus læsa, et mille aliis malis lingua patratis.

Ut benedicere et laudare initium amicitiæ est, sic maledicere et criminari inimicitiæ et odii et sexcentorum malorum principium et occasio est.

Si tibi ut probrum objicit inimicus peccatum, cujus tu tibi conscius es, nec tu audiens illum contumeliose excipis, sed acerbe gemis, Deumque precaris, statim omne peccatum a te removisti.

Clement. Fac nunquam reverearis eum qui apud te alterum proscindit, sed potius illum sic moneas, dicens: Desine, frater. Ego quotidie gravius labor et pecco : et qui possum illum condemnare? B Duos enim lucraberis, uno emplastro et teipsum et proximum sanans.

Plato. Plato cum quidam ei narraret esse nonnullos qui ipsum maledictis insectarentur : At ego, inquit, sic vivam, ut illis non habeatur fides.

Cum reprehenderis convicium, vide num quid a te convicio dignum designatum sit; si nihil tale actum est, fumum esse convicium illud existimato.

Chabrias. Chabrias ab improbo quodam multis conviciis affectus : Bene, inquit, fecisti, quod nihil eorum quæ insunt prætermisisti.

Gladius secat, calumnia autem disjungit amicos.

Neque infirmi ictus, neque stulti minas metuere debemus.

C *Philippus.* Philippum Alexandri patrem convicio afficiebat quidam effreni lingua præditus; cumque amici hortarentur ut conviciatorem persequeretur: 221 Non est hoc, inquit ille, faciendum, ne amplius affectus et implicatus plura in nos jaciat maledicta.

Idem dicebat se suis conviciatoribus gratiam habere, quod se meliorem redderent. Ego enim, inquit, studens illos mendacii convincere, si quid improbe fecerim, muto consilium, et pœnitentia emendo factum.

Democrit. Vitato calumnias etiam falsas : multi enim veritatem ignorantes existimationis et opinionis rationem tantum habent.

D Cum sapienti cuidam aliquis diceret, se præsente ipsi a certo quodam convicium factum, tum ille: Nisi tu, inquit, libenter audivisses, nunquam ille mihi conviciatus esset.

Cum quidam afficeretur convicio a calvo aliquo : Tibi, inquit, contumeliam non dicam, sed capillos tuos laudabo, quod malum caput refugerint.

Convicio lacessitus quidam ab altero discedebat; cum autem conviciator persequeretur, ac diceret: Fugis? Etiam, inquit; nam tu quidem maledicendi potestatem habes, ego autem audiendi.

Cum cuidam multis modis aliquis ut probrum objiceret, quod e parentibus prognatus esset ignobilibus : Mihi, inquit, dedecori sunt parentes, tu vero parentibus.

Diogenes. Diogenes convicianti sibi, At nec mihi, inquit, credit quisquam te laudanti, nec tibi me vituperanti.

Cum sapienti quidam diceret, eum a quopiam convicio impetitum : Non præsentem, inquit, etiam verberat me.

A Διογένης πρὸς τὸν λοιδορούμενον αὐτῷ, Ἀλλ' οὔτε ἐμοί, ἔφη, πιστεύει τις εὐφημοῦντί σε, οὔτε σοὶ ἐμὲ βλασφημοῦντι.

Ἔφη σοφῷ τις, Ὁ δεινά σε ἐλοιδόρει· ὁ δὲ ἔφη, Μὴ παρόντα καὶ τυπτέτω με.

SERMO LXX [*al.* XCV].

De loquacitate et temeritate in dicendo.

ΛΟΓΟΣ Ο'.

Ἔτι περὶ γλωσσαλγίας

Matth. XII. Illud autem vobis confirmo fore ut de omni verbo otioso quod locuti fuerint homines, in die judicii rationem reddant ; nam ex verbis tuis justificaberis, et ex verbis tuis condemnaberis.

Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ.

Jac. I. Sit omnis homo velox ad audiendum, et tardus ad loquendum.

Ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, καὶ βραδὺς εἰς τὸ λαλῆσαι.

Nullus sermo spurcus de ore vestro exeat, sed is qui aptus est ad ædificationem fidei.

Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν πίστεως.

Eccli. VIII. Cum linguaci noli pugnare, nec in ignem ejus ligna congerere.

Ne festina pronuntiare verbum in conspectu Dei, quia Deus in cœlo sursum, et tu in terra deorsum.

Γλωσσώδει ἀνθρώπῳ μὴ διαμάχου, μηδὲ ἐπιστοίβαζε ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα.

Μὴ σπεύσῃς ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου τοῦ Θεοῦ, ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω.

S. Basilii. Lingua ne sis in omnibus confidenti, ne quid tibi intempestivum accidat, quemadmodum oculus totum volens intueri solem, id etiam quod habet lumen perdit.

Μὴ πάντα θάρρει τῇ γλώσσῃ, ἵνα μὴ πάθῃς ἀκαίρως, καθάπερ ὀφθαλμὸς ὅλον τὸν ἥλιον θέλων ἀποβλέψαι, ἀπόλλυσι καὶ ὃ ἔχει φῶς.

Theologi. Pernicies est lingua, quæ non ratione regitur.

Ὄλισθος ἀνθρώποις γλῶσσα μὴ λόγῳ κυβερνωμένη.

222 *Chrysost.* Multi sæpe etiam temperantes, per obscena verba ad vitiosas actiones descenderunt : anima enim nostra nec bona est natura, nec mala, sed ex instituto hoc et illud efficitur.

Πολλοὶ πολλάκις καὶ σωφρονοῦντες ἀπὸ ῥημάτων αἰσχρῶν ἦλθον ἐπὶ πράξεις πονηράς. Οὐ γάρ ἐστιν ἡ ψυχὴ ἡμῶν οὔτε ἀγαθὴ φύσει, οὔτε κακή, ἀλλὰ προαιρέσει τοῦτο κἀκεῖνο γίνεται.

Nullus sit sermo otiosus : ab otioso enim in absurdos delabimur. Non est hoc tempus ridendi, sed lugendi, afflictionum et lamentationum. Tu vero scurram agis. Quis athleta in stadium ingressus, omisso certamine cum adversario, urbana jaciat dicta ? Astat diabolus, circumit rugiens ad rapiendum, omnia movet, omnia volvit in caput tuum, et machinatur, ut e domo te extrudat ; frendit dentibus, fremit, ignem sufflat contra salutem tuam : et tu sedes, urbanis dictis te oblectans, et stulta loquens, ac ea quæ non decet ore proferens.

Μηδεὶς ἔστω λόγος ἀργός· ἀπὸ γὰρ τοῦ ἀργοῦ καὶ εἰς ἀτόπους καταπίπτομεν. Οὐ διαχύσεως ὁ παρὼν καιρὸς, ἀλλὰ πένθους, θλίψεων καὶ ὀδυρμῶν. Σὺ δὲ εὐτραπελεύῃ. Τίς ἀθλητὴς εἰς τὸ στάδιον εἰσελθὼν, καὶ τὴν ἀγωνίαν ἀφεὶς τὴν πρὸς τὸν ἀντίδικον, ἀστεῖα φθέγγεται; Ἐφέστηκεν ὁ διάβολος, περιέρχεται ὠρυόμενος ἁρπάσαι, πάντα κινεῖ καὶ πάντα στρέφει κατὰ τῆς σῆς κεφαλῆς, καὶ μηχανᾶται τῆς καλιᾶς σε ἐκβαλεῖν. Τρίζει τοὺς ὀδόντας, βρυχᾶται, πῦρ πνεῖ κατὰ τῆς σωτηρίας τῆς σῆς· καὶ σὺ κάθησαι ἀστεῖα λέγων, καὶ μωρολογῶν, καὶ τὰ μὴ ἀνήκοντα φθεγγόμενος.

Nili. Si ventrem contines, contine et linguam : ut ne sis alterius servus, alterius autem stulte liber.

Εἰ κρατεῖς γαστρὸς, κράτει καὶ γλώσσης, ἵνα μὴ τῆς μὲν ὑπάρχῃς δοῦλος, τῆς δὲ τυγχάνῃς ἀνόητος ἐλεύθερος.

Evagrii. Loquere quæ decet, et quando decet et de rebus honestis, et non audies inhonesta, quæque minime decet.

Λάλει ἃ δεῖ, καὶ ὅτε δεῖ, καὶ ὑπὲρ ὧν δεῖ, καὶ οὐκ ἀκούσεις ἃ μὴ δεῖ.

Amygdalas, quia omnium stirpium primæ florent, primo corrumpere solet : sic homines fere linguæ temeritas et præceps loquacitas.

Τὰς μὲν ἀμυγδάλας, διὰ τὸ πρὸ πάντων φυτῶν τὸ ἄνθος ἐκφέρειν, ἡ πάχνη, τοὺς δὲ ἀνθρώπους ἡ προπέτεια τῆς γλώσσης ὡς ἐπὶ τὸ πλεῖστον διαφθείρειν πέφυκεν.

Isocratis. Quidquid dicturus es, id prius in animo considerato : multorum enim lingua mentem præcurrit.

Isocrates orator, cum Caræon loquax ejus vellet frequentare scholam, duplicem petebat mercedem,

Πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ. Πολλοῖς γὰρ ἡ γλῶσσα προτρέχει τῆς διανοίας.

Ἰσοκράτης ὁ ῥήτωρ, Καραίωνος ὄντος λάλου, καὶ σχολάζειν παρ' αὐτῷ βουλομένου, διττοὺς ἤτησε μι-

σθούς· τοῦ δὲ τὴν αἰτίαν πυθομένου, Ἕνα μὲν (ἔφη) ἵνα λαλεῖν μάθῃς, τὸν δὲ ἕτερον, ἵνα σιγᾷν.

Ὃ μὴ θέλεις ἀκούειν, μηδὲ εἴπῃς· ὃ μὴ θέλεις λέγειν, μηδὲ ἄκουε. Ὤτων καὶ γλώσσης μέγας ὁ κίνδυνος.

Κρεῖττόν ἐστι τῷ ποδὶ ὀλισθαίνειν ἢ τῇ γλώσσῃ.

Πλεονεξία τὸ πάντα λέγειν, μηδὲ ἀκούειν ἐθέλειν.

Πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν ἀσφαλές.

Ἃ λόγοις ἁμάρτωμεν, ἔργοις τὴν τιμωρίαν ὑφέξομεν.

A cumque ille causam percunctaretur : Unam, inquit, ut loqui discas, alteram autem ut tacere.

Clitarchi. Quæ nolis audire, ea ne dicito : quæ nolis dicere, ea ne audito quidem. Aurium enim et linguæ magnum est periculum.

Præstat pede quam lingua labi.

Socratis. Arrogantia est omnia dicere, nihil autem audire velle.

Theophylacti. Multiloquium multum damni affert, sed tacere tutum est.

Simocatæ. Quæ verbis peccarimus, eorum supplicium factis feremus.

ΛΟΓΟΣ ΟΑ'.

Περὶ ἀντιλογίας, καὶ θρασύτητος, καὶ ἔριδος.

Σὺ τίς εἶ, ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, Τί με ἐποίησας οὕτως; ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

Σίδηρος σίδηρον ὀξύνει· ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑτέρου.

Πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνός· οὕτω πρὸ αἱμάτων λοιδορίαι.

Ἔρις κατασπευδομένη ἐκκαίει πῦρ, καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα.

Ἀντιλογίαν πραΰνει πᾶς σιγηρός.

Ἀντιλογίας ἐγείρει πᾶς κακός· ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμπει αὐτῷ.

Ἄνθρωπος συνεθιζόμενος λόγοις ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ.

Ὅπου ἔχθραι, ἔρεις, θυμοί, φιλονεικίαι, θορύβους ἀσιγήτους ταῖς ψυχαῖς ἐμποιοῦσαι, ἐκεῖ τὸ πνεῦμα τῆς πραότητος οὐκ ἀναπαύεται.

Ἡ ἀντιλογία τὸ αὐτοκρατορικὸν καὶ ἀνυπότακτον δείκνυσι, κἂν ἐν σχήματι γένηται ταπεινώσεως.

Φιλεῖ γὰρ τὰ γενναῖα φρονήματα πρὸς τὸ βίᾳ κρατοῦν αὐθαδίζεσθαι, καὶ καθάπερ φλὸξ ὑπ' ἀνέμου ῥιπιζομένη, τοσούτῳ μᾶλλον ἀνάπτεσθαι, ὅσῳπερ ἂν σφοδρότερον καταπνέηται.

Εἰ τέλος παιδείας τὸ ἑαυτὸν αἰσχύνεσθαι, ἐσχάτης ἀπαιδευσίας τὸ μηδὲ τοὺς ἄλλους αἰσχύνεσθαι.

Ἀναισχυντία μὲν ἴδιον φαύλου, αἰδὼς δὲ σπουδαίου· τὸ δὲ μήτε αἰσχύνεσθαι, μήτε ἀναισχυντεῖν, τοῦ ἀκαταλήπτως ἔχοντος καὶ ἀσυγκαταθέτως.

Ἀριστοτέλης βλασφημούμενος ἀπ' ἀνθρώπου ἀσελγοῦς, ἔφη· Σὺ μὲν ἀκούεις τὰ κακὰ ῥᾳδίως, καὶ λέγεις εὐχερῶς· ἐμοὶ δὲ καὶ λέγειν ἄηθες, καὶ ἀκούειν ἀηδές.

Τὸ μὴ αἰσχύνεσθαι κακὸν ὄντα κακίας ὑπερβολή.

Γλώσσῃ θρασείᾳ μὴ χρῆσθαι· πολλάκις γὰρ τὸ θράσος καὶ αὐτὴν διώλεσε τὴν κεφαλήν.

Θράσει μὲν οὐδεὶς οὐδέπω, πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο.

SERMO LXXI [*al.* LXXIX].

De contradictione, et audacia, et contentione.

Rom. IX. Tu quis es, qui ex adverso respondes Deo? Num dicet figmentum fictori suo : Cur me sic fecisti? annon habet potestatem figulus luti, ex eadem massa faciendi aliud vas honorificum, aliud dedecorosum?

Prov. XXVII. Ferrum acuit ferrum, homo hominem exasperat.

Ut ante ignem vapor camini et fumus præit, sic ante vulnera sanguinem convicia.

Eccli. XXVIII. Contentio accelerata ignem accendit, **223** et pugna festinans sanguinem effundit.

Dissensionem sedat omnis taciturnus.

Dissensiones excitat omnis malus : Dominus autem illi angelum immisericordem mittit.

Assuefactus verbis probrosis in omnibus diebus suis non castigabitur.

S. Basilii. Ubi odia, lites, iræ, contentiones, magnos tumultus in animis excitant, ibi Spirius mansuetudinis non requiescit.

Ipsa contradictio imperatorium quiddam et voluntatem nulli se subjiciendi indicat, etiamsi in humili fuerit habitu.

Theologi. Solent enim magno spiritu prædili violentis contumaciter prætracteque resistere, et quemadmodum flamma a vento excitata, tanto magis accendi, quanto vehementius sufflatur.

S. Chrys. Si finis doctrinæ est seipsum revereri, extremæ est imperitiæ, ne alios quidem revereri.

Philonis. Impudentia est propria sceleratorum, pudor autem bonorum. Neutro autem horum affectuum moveri, eorum est qui nihil affirmant aut assentiuntur.

Aristotelis. Aristotoles cum ab impudente quodam conviciis lacesseretur : Tu, inquit, et convicia facile audis et libenter dicis : mihi vero et dicere non consuetum, et audire injucundum.

Si quis malus cum sit non erubescit, insigniter improbus est.

Socratis. Lingua petulanti non utendum. Sæpe enim audacia ipsum perdidit caput.

Euripidis. Audacia quidem nemo adhuc virtutem comparavit, sed industria, generositate et clementia.

Theophrastus. Theophrastus adolescentulum erubescentem conspicatus : Macte, inquit, hunc enim virtus habet colorem.

SERMO LXXII [*al.* LXXVII].

De temerario et impudente, et iracundo, et effervescente ira, et extremæ bilis homine.

Gen. XLIX. Simeon et Levi fratres injustitiam perfeceruut propositi sui. In consilium eorum ne veniat anima mea, quia in ira sua interfecerunt homines, et in cupiditate sua enervaverunt tauros. Detestanda ipsorum ira est ob contumaciam, et indignatio eorum, quia induruit.

Job. Scelerati, commoti ira, imbecillos everterunt.

Impius est qui non reveretur conspectum honorati viri, nec novit ei honorem habere.

David. Fac finem iracundiæ, iramque omittito.

Ira eorum est qualis serpentis.

Qui iracundus est, agit nullo consilio 224 adhibito.

Iracundus indecore se gerit.

Gravis est lapis et portatu difficilis arena : sed insipientis ira gravior utroque.

Animosus excitat rixam, iracundus autem effodit peccatum.

Ubi non est discors, ibi quiescit pugna.

Insipientis labia in calamitatem ducunt, os autem ejus audax mortem accersit.

Os insipientis conterit ipsum, et labia illaqueant animam.

Boreas excitat nubes, facies impudens linguam irritat (1).

Ore impudenti qui est, odio habebitur.

Propter injuriam superbiens temerario est corde.

Ne festina spiritu perturbari, quia ira in sinu insipientium manet et conquiescit.

Ipsa. Nervus ferreus collum tuum, et facies tua ænea.

Jerem. Aspectus meretricis fuit tibi ; erga omnes te impudenter gessisti.

Eccli. VIII. Cum iracundo ne pugnes, nec iter facito cum illo in solitudine, quia nihili æstimat sanguinem, et ubi nullus succurrere poterit, ibi te prosternet.

Non potest animus iniquus justificari : nam commotio iræ ejus ruina ipsius est.

Æmulatio et ira dies vitæ minuunt.

Omnipotens Domine, Deus salutis meæ, ne tradas me voluntati hominis impudentis.

Temerarius ne sis, ut ne auferaris.

Matth. V. Quicunque fratri suo irascitur temere, obnoxius erit judicio.

Ephes. IV. Sol ne occidat super iracundia vestra, nec date locum calumniatori·

Omnis amaritudo et excandescentia, et ira, et clamor, et blasphemia tollantur.

S. Basili. Postquam, semel deturbata ratione, iræ perturbatio animi dominatum occupavit, hominem

ΛΟΓΟΣ ΟΒ'.

Περὶ προπετοῦς καὶ ἀναιδοῦς, καὶ ὀργίλου, καὶ θυμώδους, καὶ ὀξυχόλου.

Συμεὼν καὶ Λευὶ ἀδελφοὶ συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν. Εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου, ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταύρους. Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη.

Θυμῷ κατέστρεψαν ἀδυνάτους οἱ ἁμαρτωλοί.

Ἀσεβὴς ὃς οὐκ αἰσχύνεται πρόσωπον ἐντίμου, οὐδὲ οἶδε τιμὴν θέσθαι τούτῳ.

Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν.

Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως.

Ὀξύθυμος πράσσει μετὰ ἀβουλίας.

Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων.

Βαρὺ λίθος, καὶ δυσβάστακτον ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων.

Ἀνὴρ θυμώδης ὀρύσσει νεῖκος· ἀνὴρ δὲ ὀργίλος ἐξώρυξεν ἁμαρτίαν.

Ὅπου οὐκ ἔνι δίθυμος, ἡσυχάζει μάχη.

Χεῖλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακά· τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται.

Στόμα ἄφρονος συντρίβει αὐτόν· τὰ δὲ χείλη αὐτοῦ παγὶς τῇ ψυχῇ αὐτοῦ.

Ἄνεμος βορρᾶς ἐξεγείρει νέφη· πρόσωπον δὲ ἀναιδὲς γλῶσσαν ἐρεθίζει.

Ἀναιδὴς προσώπῳ μισηθήσεται.

Μεγαλόφρων ἐφ' ὕβρει θρασυκάρδιος.

Μὴ σπεύσῃς ἐν πνεύματί σου θυμοῦσθαι, ὅτι θυμὸς ἐν κόλποις ἀφρόνων αὐλίζεται καὶ ἀναπαύεται.

Νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ πρόσωπόν σου χαλκοῦν.

Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναίνησας πρὸς πάντας.

Μετὰ θυμώδους μὴ ποιήσῃς μάχην, καὶ μὴ διαπορεύου μετ' αὐτοῦ τὴν ἔρημον, ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτῷ αἷμα· καὶ ὅπου οὐκ ἔστι βοήθεια, καταβαλεῖ σε ἐκεῖ.

Οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι. Ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ.

Ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας.

Κύριε παντοκράτωρ, ὁ Θεὸς τῆς σωτηρίας μου, ψυχῇ ἀνδρὸς ἀναιδοῦς μὴ παραδῷς με.

Μὴ προπετὴς γίνου, ἵνα μὴ ἐξαρθῇς.

Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει.

Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ.

Πᾶσα πικρία, καὶ θυμὸς, καὶ ὀργὴ, καὶ κραυγὴ, καὶ βλασφημία, ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

Ἐπειδὰν ἅπαξ παρωσάμενον τοὺς λογισμοὺς τὸ πάθος τῆς ὀργῆς τὴν δυναστείαν τῆς ψυχῆς παρα-

(1) *Juxta Hebræos vertitur :* Ventus aquilonaris pellit pluvias, at vultus severus linguam abscondentis, *id est*, quæ clam defert.

λάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον, καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ, οὐκ ἔτι ἔχοντα τὴν ἐκ τοῦ λογισμοῦ βοήθειαν. Ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ὁ ἰὸς, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμὸς γίνεται.

Ὥσπερ γὰρ αἱ χαράδραι, πρὸς τὰ κοῖλα ῥέουσαι, τὸ προστυχὸν παρασύρουσιν, οὕτως αἱ τῶν ὀργιζομένων ὁρμαὶ βίαιοι καὶ δυσκάθεκτοι, καὶ διὰ πάντων χωροῦσιν ὁμοίως.

Οὐ πολιὰ τοῖς θυμουμένοις αἰδέσιμος, οὐκ ἀρετὴ βίου, οὐκ οἰκειότης γένους, οὐ προλαβοῦσαι χάριτες, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν τίμιον παρ' αὐτοῖς ἐστι.

Οἱ ὀργιζόμενοι οὐ πρότερον ἵστανται, πρὶν ἂν διὰ μεγάλου καὶ ἀνηκέστου κακοῦ, οἷον πομφόλυγος, τῆς ὀργῆς ἐκραγείσης, διαπνευσθῇ τὸ φλεγμαῖνον. Οὔτε γὰρ ξίφους ἀκμὴ, οὔτε πῦρ, οὔτε ἄλλο τι τῶν φοβερῶν ἱκανὸν τὴν ὑπὸ ὀργῆς ἐκμανεῖσαν ψυχὴν ἐπισχεῖν· οὐ μᾶλλόν γε ἢ τοὺς ὑπὸ δαιμόνων κατασχεθέντας, ὧν οὐδὲν αὐτοῖς κατὰ σχῆμα, οὔτε κατὰ τὴν ψυχῆς διάθεσιν, οἱ ὀργιζόμενοι διαφέρουσιν. Ὀργιζόμενοι γὰρ τῆς ἀντιλυπήσεως, περιζέει μὲν τὴν καρδίαν τὸ αἷμα, ὥσπερ βίᾳ πυρὸς κυμαινόμενον καὶ παφλάζον. Πρὸς δὲ τὴν ἐπιφάνειαν ἐξανθῆσαν, ἐν ἄλλῃ μορφῇ τὸν ὀργιζόμενον ἔδειξε, τὴν συνήθη πᾶσι καὶ γνωρίμην ὥσπερ τι πρόσωπον ἐπὶ σκηνῆς ὑπαλλάξαν.

Θυμὸν χαλίνου, μὴ φρενῶν ἔξω πέσῃς.

Οὐδὲν οὕτως καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς ἄταπτος, καὶ μετὰ πολλῆς τῆς ῥύμης φερόμενος.

Ποῖον οὕτω θηρίον ὠμὸν καὶ ἀνήμερον, ὡς δύσοργος ἀνὴρ καὶ ἀκράτῳ θυμῷ τυραννούμενος; ποῖα δὲ οὕτω θάλασσα, ῥαγδαίων αὐτῇ καταχεομένων πνευμάτων, ταῖς ἐγκειμέναις πέτραις ἐῤῥήγνυται, ὡς ἀνὴρ ἀκάθεκτος καὶ δριμὺς καὶ ἀχάλινος εἰς ὀργάς, καὶ ὅλας ὥσπερ τῷ πάθει διδοὺς τὰς ἡνίας;

Τὸ ὀργίζεσθαι παρ' ἡμῖν μέχρι τοῦ παύειν τὰ ἁμαρτήματα περιορισθήσεται. Ὀργίζεσθε γὰρ, φησὶ, καὶ μὴ ἁμαρτάνετε. Καὶ τὸ ἀκριβὲς κριτικὸν παραιτητέον, τοῦ Ἐκκλησιαστοῦ λέγοντος· « Μὴ γίνου δίκαιος πολύ. »

Θυμῷ μάλιστα δεῖ κυβερνήτῃ χρῆσθαι. Καταληφθεὶς γὰρ ἀκυβέρνητος, ἄνω καὶ κάτω κυκώμενος ὑπὸ σάλου καὶ κλύδωνος, τὴν ψυχὴν ὅλην, καθάπερ ἀνερμάτιστον σκάφος, ἀνατρέψει, συνανατρέψας καὶ τὸ σῶμα.

ΑΘΓΟΣ ΟΓ'.

Περὶ ταπεινοφρονούντων, καὶ πτωχῶν τῷ πνεύματι.

Ἀποκριθεὶς Ἀβραὰμ εἶπεν· Νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός.

Εἶπε Δαυὶδ πρὸς Ἀβεσσά· Ἄφετε αὐτὸν καταράσασθαι, ὅτι εἶπεν αὐτῷ ὁ Θεὸς, εἴ πως; ἴδοι Κύριος τὴν ταπείνωσίν μου, καὶ ἐπιστρέψει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ.

Κύφοντας ὀφθαλμοὺς σώζει ὁ Θεός.

Ἀκοὴν ὠτὸς ἤκουόν σου τὸ πρότερον, νῦν δὲ

A efferat omnino, nec hominem esse patitur; quia ratione amplius auxilium habeat. Nam quod est in venenatis venenum, id est in irritatis et acerbatis ira.

Quemadmodum enim torrentes per cava loca fluentes, quidquid occurrerit secum trahunt: sic iratorum impetus violenti sunt, talesque ut retineri non queant, ac per omnia similiter incurrunt.

Iratis non veneranda canities, non victus vitæ, non propinquitas generis, non præterita beneficia, non 225 aliud quidquam talium apud tales magni æstimatur.

Irati non prius desistunt quam per magnum et insanabile aliquod malum ira ipsorum veluti bulla erumpat, et inflammatio discutiatur. Neque enim gladii acies, neque ignis, neque aliud quidquam eorum quæ maxime timentur, ira furentem animum coercere potest: non magis quam eos qui a dæmonibus occupati tenentur, a quibus irati nihil prorsus neque habitu, neque animi affectione differunt. Cum enim ulciscendi libidine quempiam dolore afficere cupiunt, tum iis sanguis circa cor effervescit, quasi calore ignis agitatus, et ebulliens. At enim in extrema cute efflorescit, aliam irati speciem demonstrat, familiarem et notam omnibus veluti personam in scena immutans.

Theologi. Freno coerce iram, ne mente excidas.

Nihil tam puritatem et limpitudinem turbat mentis, atque ira immoderata, quæ multo impetu fertur.

C

S. Cyrilli. Quæ fera adeo crudelis et immanis est, ut iracundus, et intemperatæ iræ imperio subditus? Aut quod mare adeo vehementibus ventis agitatum et impulsum ad saxa illiditur, ut homo effrenis et asper, quique nullo modo retineri potest, quin iræ pareat, et totas libidinibus laxet habenas?

Dionysii Alex. Irasci apud nos eo usque extendatur dum peccata sedet. Irascimini enim, inquit, et ne peccetis. Et summum jus vitandum est, cum dicat Ecclesiastes: «Ne sis justus multum.»

Iræ maxime opus est gubernatore: nam si gubernatore careat, sursum et deorsum agitata fluctibus et procellis, animam totam quasi scapham D fundo carentem everlet, corpore simul everso.

SERMO LXXIII [*al.* XXXIV].

De modestis et spiritu pauperibus.

Gen. XVIII. Respondens Abrahamus: Nunc, inquit, cœpi loqui cum Domino meo, cum tamen sim terra et cinis.

II Reg. XVI. Dixit David ad Abessa: Sinite eum maledicta jacere, quia dixit ipsi Deus, si qua fieri possit ut Dominus videat humilitatem meam, et redeant ad me bona pro maledicto et exsecratione istius hoc ipso die.

Job. Demissos oculos Deus liberat.

Antea auribus te audivi, nunc vero meus oculus

te vidit : et meipse nihili feci, me terram et cinerem putavi.

Semel, Domine, locutus sum, sed iterum non loquar. Quis enim sum ut causam meam agam in conspectu tuo ?

226 *Psal.* XXI. Ego sum vermis et non homo, probrum hominum, et rejectamentum populi.

Prope adest Dominus contritis corde, et humiles spiritu salvos facit.

Sacrificium Deo spiritus contritus, cor contritum et humiliatum Deus non rejiciet.

In humilitate nostra memor fuit nostri Dominus, et redemit nos de inimicis nostris.

Prov. XXIX. Modestos ad gloriam evehet Dominus.

Superbis Dominus resistit, humilibus autem dat gratiam.

I Petr. V. Os humilium sapientiam meditatur.

Sanctum existimate eum, qui animum suum dejicit.

Isa. LXVI. Quem respiciam, nisi humilem et quietum, sermonesque meos cum tremore servantem ?

Ezech. XVII. Ego Dominus sum qui lignum excelsum humile reddo, et lignum humile exalto ; viride autem arefacio, et aridum florere facio. Ego Dominus dixi, et faciam.

Eccli. XVII. Igne probatur aurum, et homines accepti humilitatis camino.

Quanto majores, tanto submissius te geras in conspectu Domini, et gratiam nancisceris : quia magna Domini potestas est, et ab humilibus magnificabitur.

Principum thronos detraxit Dominus, et pro illis plantavit abjectos.

Matth. V. Beati pauperes spiritu, quia ipsorum est regnum cœlorum.

Amen, amen dico vobis, nisi conversi fueritis, et facti fueritis ut parvi pueri, non ingrediemini in regnum cœlorum. Qui igitur se abjecerit ut parvus puer hic, in regno cœlorum is erit maximus.

Quicumque vult in vobis magnus esse, sit minister vester : et quicunque in vobis vult primus esse, sit omnium servus et omnium postremus. Etenim Filius hominis non venit ut ipsi ministraretur, sed ut ipse aliis ministraret.

Qui se ipse elate gesserit, humilis reddetur ; qui vero submisse, in altum gradum evehetur.

Luc. V. Dixit Petrus Jesu : Exi a me, quia homo peccator sum, Domine.

Matth. Dixit centurio : Non sum dignus, Domine, ut tectum meum subeas.

Cum ab aliquo vocatus fueris ad nuptias, ne accumbas in primo loco, et quæ deinceps.

Cum feceritis omnia quæ præscripta sunt vobis, dicite : Servi inutiles sumus, quia quod debuimus facere fecimus.

227 *Rom.* II. Dico autem per gratiam mihi datam cuivis versanti inter vos, ne sentiat de se supra id quod sentire debet : sed ita sentiat, ut moderate et temperanter sentiat.

Α ὀφθαλμός μου εἶδέ σε, καὶ ἐξουθένησα ἐμαυτόν· ἡγημαι ἐμαυτὸν γῆν καὶ σποδόν.

Κύριε, ἅπαξ ἐλάλησα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω. Τίς γάρ εἰμι, κρινόμενος ἐναντίον Κυρίου ;

Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ.

Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.

Β Τοὺς ταπεινοφρονοῦντας ἐγερεῖ Κύριος εἰς δόξαν.

Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Στόμα ταπεινῶν μελετᾷ σοφίαν.

Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ.

Ἐπὶ τίνα ἐπιβλέψω ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους ;

Ἐγὼ Κύριος ὁ ταπεινῶν ξύλον ὑψηλὸν, καὶ ὑψῶν ξύλον ταπεινόν· καὶ ξηραίνων ξύλον χλωρὸν, καὶ ἀναθάλλων ξύλον ξηρόν. Ἐγὼ Κύριος ἐλάλησα, καὶ ποιήσω.

Ἐν πυρὶ δοκιμάζεται χρυσὸς, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως.

Ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σαυτὸν ἔναντι Κυρίου, καὶ εὑρήσεις χάριν· ὅτι μεγάλη ἡ δυνα- C στεία Κυρίου, καὶ ὑπὸ τῶν ταπεινῶν δοξασθήσεται.

Θρόνους ἀρχόντων καθεῖλεν ὁ Κύριος, καὶ ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτῶν.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστι μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ὃς ἐὰν ἐν ὑμῖν θέλῃ μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος· καὶ ὃς ἐὰν ἐν ὑμῖν θέλῃ πρῶτος εἶναι, ἔστω πάντων δοῦλος, καὶ πάντων ἔσχατος. Καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ D διακονῆσαι.

Ὅστις ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὅστις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται.

Δικτύῳ κομίζειν ὕδωρ, καὶ πλίνθον πλύνειν εὐπετέστερον, ἢ κακίαν φυτευθεῖσαν χρόνῳ πολλῷ ἐν ἀνθρώπου ψυχῇ ἐξελεῖν.

Reticulo aquam ferre et lateren lavare facilius est, quam vitium in hominis animo ex tempore diuturno plantatum eximere.

Οὐδὲν οὕτως ἰσχυρὸν παρὰ ἀνθρώποις, ὡς συνήθεια; παλαιᾶς τυραννίς.

S. Chrysost. Nihil tam firmum est in rebus humanis, quam veteris consuetudinis tyrannis.

Τινὲς τῶν ἔξωθεν δευτέραν φύσιν τὴν συνήθειαν ἐκάλεσαν

Externi quidam consuetudinem alteram naturam esse dixerunt.

Δεινὸν ἡ συνήθεια κατασχεῖν πρὸς ἑαυτὴν, καὶ μὴ συγχωρῆσαι πάλιν διαναστῆναι ἐπὶ τὴν πρώτην ἕξιν τῆς ἀρετῆς.

Mire efficax est consuetudo retinere, et non pati ut ad pristinum virtutis habitum aliquis revertatur.

Philonis. Diuturnus mos natura ipsa firmior est, et leviora peccata, si non prohibeas, subinde nascuntur et magnitudinem assequuntur. A

Naturam accusare non debemus, cum jucundam aut injucundam vitam omnem efficiat consuetudo.

Chariclis. Ex omnibus enim passionibus quæ cito percipitur, ei facile remedium adhiberi potest : quæ vero longo tempore innata fuerit, prope est incurabilis.

Choricii. Nacta semel delicias natura vix ad labores vult reverti.

Socratis. Nihil natura jucundum aut injucundum, sed omnia talia consuetudine fieri videmus.

Optimum vitæ genus tibi proponito ; hoc enim jucundum efficiet consuetudo.

Perdifficile est B
Ut longa consuetudo brevi tempore solvatur :
Consueta enim haudquaquam despicienda sunt.

Polyæni. Consuetudo a parvis initium capit, neglecta autem vim maximam accipit.

Ἔγχρονίζον ἦθος φύσεως κραταιότερόν ἐστιν· καὶ μικρὰ μὴ κωλυόμενα ἁμαρτήματα φύεται καὶ ἐπιδίδοται πρὸς μέγεθος συναυξάνοντα.

Μηδαμῶς τὴν φύσιν αἰτιώμεθα· πάντα γὰρ βίον ἡδὺν ἢ ἀηδῆ ἡ συνήθεια ποιεῖ.

Πάθος γὰρ ἅπαν, τὸ μὲν ὀξέως γινωσκόμενον εὐβοήθητον, τὸ δὲ χρόνῳ παραπεμπόμενον, ἐγγὺς ἀνίατον.

Λαβομένη ἅπαξ ἡδυπαθείας ἡ φύσις μόλις ἐθέλει πρὸς πόνους χωρεῖν.

Οὐδὲν οὕτως ἡδὺ ἢ ἀηδὲς τῇ φύσει ὑφέστηκεν· πάντα δὲ τῇ συνηθείᾳ γίνεται.

Βίον αἱροῦ τὸν ἄριστον. Τοῦτον γὰρ ἡδὺν ἡ συνήθεια ποιήσει.

SERMO LXXXI [*al.* CXXXVIII].

De conscientia.

Nemo liber est, qui seipse non continet.

Libertas impotens et immoderata facile amittitur.

Fieri non potest ut is liber sit, qui perturbationibus servit, et a perturbationibus vincitur.

Præstat servire decenter, quam libertate uti impudenter.

ΛΟΓΟΣ ΠΑ'.

Περὶ ἐλευθερίας.

Οὐδεὶς ἐλεύθερος ἑαυτὸν μὴ κρατῶν.

Ἐλευθερία ἀκρατῶς καὶ ἀμέτρως φερομένη εὐαφαίρετος.

Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα, καὶ ὑπὸ παθῶν κρατούμενον.

Ἄμεινον δουλεύειν ἐπιεικῶς, ἢ ἐλευθεριάζειν ἀναισχύντως.

SERMO LXXXII.

De conscientia (1).

Epicteti. Parentes pædagogo pueros nos tradiderunt, qui ubique observaret ne quid læderemur : Deus autem jam viros insitæ conscientiæ custodiendos tradit, quæ quidem custodia et conservatio nequaquam contemnenda est, quoniam et Deo displiceret, et conscientiæ ipsi nostræ hostes essemus.

SERMO LXXXIII [*al.* XCVII]. C

De benignitate.

240 *Luc.* VI. Benefacite et mutuum date, nihil inde sperantes : et erit merces vestra ampla, eritisque filii Altissimi ; quia ipse in ingratos et improbos benignus est.

Ephes. IV. Estote benigni invicem et misericordes, condonantes mutuo, quemadmodum ipse Deus vobis per Christum condonavit.

Induite viscera miserationis, benignitatem, animi humilitatem, lenitatem, clementiam.

S. Basilii. Imaginem habeo, dum rationis sum particeps : ad similitudinem autem fio, dum benignitatem colo.

Theologi. Bonitatis habet laudem mansuetudine feritatem vincere, et in meliores efficere injuriam facientes, patienter ferendo quæ nobis inferuntur. D

Omnibus esto benignus, sed maxime proximis.

Quære tibi Dei benignitatem, si benignus es.

Quodnam dogma charitatis dogmate brevius?

Talem te præbeas amicis et proximis,

Quales erga te illos esse vis.

ΛΟΓΟΣ ΠΓ'.

Περὶ χρηστότητος.

Ἀγαθοποιεῖτε καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς, καὶ ἔσεσθε υἱοὶ Ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.

Γίνεσθε εἰς ἀλλήλους χρηστοὶ καὶ εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

Ἐνδύσασθε σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, μακροθυμίαν, πραότητα.

Τὸ κατ' εἰκόνα ἔχω ἐν τῷ λογικὸς εἶναι· τὸ δὲ καθ' ὁμοίωσιν γίνομαι ἐν τῷ χρηστὸς γενέσθαι.

Ἀγαθὸν χρηστότητι νικᾷν θρασύτητα, καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας, οἷς καρτεροῦμεν τάσχοντες.

Πᾶσι μὲν ἴσθι χρηστὸς, πλέον δὲ τοῖς ἐγγισ--
Ζήτει Θεοῦ σοι χρηστότητα χρηστὸς ὤν.
Τί χρηστότητος δόγμα συντομώτερον ;
Τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας,
Οἵου ; σεαυτῷ τούσδε τυγχάνειν θέλεις.

(1) Græca desunt.

Οὐκ εὐεργετῶν μόνον, ἀλλὰ καὶ κολάζων ἀγαθός A ἐστι καὶ φιλάνθρωπος ὁ Θεός. Καὶ γὰρ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι μέγιστον εὐεργεσίας μέρος εἰσίν· ἐπεὶ καὶ ἰατρὸς, οὐχ ὅταν εἰς παραδείσους καὶ λειμῶνας ἐξάγῃ τὸν κάμνοντα μόνον, οὐδ' ὅταν εἰς βαλανεῖα καὶ κολυμβήθρας ὑδάτων, ἀλλὰ καὶ ὅταν ἄσιτον κελεύῃ διαμεῖναι, ὅταν τέμνῃ, ὅταν πικρὰ προσάγῃ φάρμακα, τότε καὶ ἰατρός ἐστιν ὁμοίως, καὶ τὴν αὐτοῦ φιλανθρωπίαν ἐπιδείκνυσι πλέον.

Ὁ τῇ φύσει ἀγαθὸς καὶ ἀγαθῶν πάντως παρεκτικός.

Ἴδιον παντὸς ἀγαθοῦ τὸ ὠφελεῖν.

Οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστὸς τρόπος πείθειν δύναται.

Οἵσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ βίος B συντέτακται.

Τέχνῃ μὲν γνωρίμους ἐκτησάμην

Πολλοὺς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

Θεμιστοκλῆς χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

ΛΟΓΟΣ ΠΔ'.

Περὶ πραΰτητος καὶ εὐλαβείας.

Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς Ἰσραήλ.

Ὁ ἄνθρωπος Μωσῆς πραΰς σφόδρα παρὰ πάντας ἀνθρώπους, τοὺς ὄντας ἐπὶ τῆς γῆς.

Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.

Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. C

Ἀναλαμβάνων πραεῖς ὁ Κύριος, ὑψώσει πρεῖς ἐν σωτηρίᾳ.

Πραΰθυμος ἀνὴρ ταχὺς ἰατρός.

Κρεῖσσον πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὕβρεως.

Μακάριος, ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν· ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται κακοῖς.

Ἀπόκρισις ὑποπίπτουσα ἀποστρέφει θυμόν.

Ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν, ἐπιγνώμων.

Λόγος μαλακὸς συγκλάει ὀστᾶ· πραΰς ἔστω μαχητής.

Τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διεξάγαγε, καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ.

Γίνου πρᾶος ἐν ἀποκρίσει λόγου, ἵνα συνήσῃς. D

Ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν. Εἰ ἔστι σοι σύνεσις, ἀποκρίθητι τῷ πλησίον.

Τέκνον, ἐν πραΰτητι τὴν ψυχήν σου δίδαξον.

Ῥίζας ἐθνῶν καθεῖλεν ὁ Κύριος, καὶ ἐφύτευσε πραεῖς ἀντ' αὐτῶν.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Non solum Deus benigne et humaniter nos tractat dum beneficiis nos afficit, verum etiam dum punit. Etenim animadversiones ejus et supplicia beneficii sunt pars maxima, quando et medicus non solum cum in hortos et prata educit ægrotum, aut in balneas et aquarum piscinas, sed etiam cum a cibo abstinere jubet, cum secat, cum amara adhibet medicamenta, tum quoque æque est medicus, suamque magis declarat humanitatem.

Greg. Nyss. Qui natura bonus est, idem et bonorum largitor omnino est.

Proprium bonorum omnium est prodesse aliis.

Non tam verba, quam boni mores persuadere possunt.

Posidippi. Quorum mores sunt moderati, eorumdem tota vita bene composita est.

Arte multos mihi familiares,

Moribus autem plurimos amicos comparavi.

Themistoclis. Themistocles prædium venditurus, jussit præconis voce promulgari, etiam bonum vicinum id habere.

SERMO LXXXIV [*al.* XCVIII].

De clementia et verecundia.

Levit. Verentes et metuentes facite filios Israelis.

Num. XII. Moses mansuetus supra omnes homines qui sunt in terris.

Psal. XXIV. Deducet et mansuetos in judicio, et docebit clementes vias suas.

Mites autem hæreditabunt terram, **241** et in summa pace vitam agent cum voluptate.

Excipiens clementes Dominus extollet, et salutem dabit.

Vir leni præditus animo celer est medicus.

Prov. XVI. Præstat leni esse animo cum humilitate, quam dividere spolia cum contumelia.

Beatus qui prudenter omnia timet: duro autem corde præditus incidet in mala.

Prov. XV. Responsio submissa iram avertit.

Qui cavet quo minus verbum emittat durum, prudens est.

Joel et *Prov.* XXV. Mollis oratio confringit ossa; mitis esto pugnator.

Eccli. Fili, in lenitate fac opera tua perficias, et ab homine spectato diligeris.

Esto lenis in responsione, ut intelligas.

Cum sapientia da responsum. Si intelligentiam habes, responde proximo.

Eccli. X. Fili, in lenitate animum tuum monstrato. (Alias, δόξασον, id est *glorifica.*)

Ibid. Radices gentium detraxit Dominus, et in locum illarum plantavit mansuetos.

Matth. V. Beati clementes, quoniam ipsi terræ hæreditatem capient.

Matth. XI. Accipite jugum meum super vos, ac ex me discite, quoniam mitis sum et humilis corde, et animis vestris requietem invenietis.

Coloss. IV. Sermo vester semper in gratia, sale conditus, ut quemadmodum unicuique respondere convenit, sciatis.

Modestia vestra nota sit omnibus.

S. Basilii. Quasi fundamentum quoddam est ad perfectionem verecundia cum metu.

Cani senum clementia.

Juvenis mansuetus multa sustinet.

Nulla de virtutibus sic solet sapientiam parere, ut clementia.

S. Ignatii. Clementia egeo, qua evertitur princeps hujus sæculi diabolus.

Bonos remunerator, malos despice,
Ut eos quoque bonos reddas tempore.

Clementium benignitas largitio est honesta.

S. Chrysost. Modestia nihil potentius, atque hoc declarans quidam, dicebat oratione molli ossa confringi : atqui quid esse durius? Verum etsi quis adeo durus fuerit et minime flexibilis, facile tamen benignitate corrigitur.

Cyrilli. Exemplum summæ omnium clementiæ ipsam habemus omnium Servatorem Christum, quem a tergo sequi debemus, et alii aliorum injurias necessario ferre; nam de illo scriptum est : cum contumelia vexaretur, non vicissim contumelia et convicio affecisse; dum pateretur, non minitatum, sed ei qui juste judicat, tradidisse judicandum.

Juvenis lenis multa ferre solet : at 242 senem angusti animi quis ferat? Iracundum senem vidi sublatum in thronum suum; major tamen de juvene spes habebatur, quam de illo.

Philosophus quidam cum uxorem haberet improbam, et garrulam, et ebriosam, percontantibus eur talem ferret : Ut domi, inquit, habeam philosophiæ gymnasium et palæstram. Ero enim erga cæteros lenior, hac quotidie institutus. Sunt etiam qui ipsum ob hanc ipsam causam illam duxisse dicant.

SERMO LXXXV [*al.* VI].

De viro simplici et innocente.

Gen. XXV. Jacobus erat simplex minimeque fictus, domi se continens.

Job VIII. Dominus innocentem non repudiabit.

Psal. Serva innocentiam, et vide æquitatem rectam, quoniam sunt reliquiæ homini pacifico.

Deus stabilit in domo constantes et integræ indolis homines.

Dominus cum innocentia viventes bonis non privabit.

Salomon. Qui simpliciter ambulat, ambulat fidenter.

Quandiu innocentes justitiæ adhærescunt, non afficientur pudore.

Qui aspicit benigne, misericordiam consequetur : qui recte ambulat, Dominum metuit.

Laudabilis est anima omnis simplex.

Simplex cuivis sermoni credit.

Prov. III. Benigni erunt terræ possessores, et innocentes in ea superstites erunt : quia recti corde terram inhabitabunt.

A Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν.

Ὕλονεὶ κρηπὶς καὶ βάθρον ἐστὶ πρὸς τὴν τελείωσιν ἡ εὐλάβεια.

Πολιὰ γερόντων πραΰτης.

Νέος πραῦς πολλὰ ὑπομένει.

Οὐδεμία τῶν ἀρετῶν οὕτως πέφυκε τίκτειν σοφίαν, ὡς πραότης.

Χρῄζω πραότητος, ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου διάβολος.

Καλοὺς ἀμείβου, τοὺς κακοὺς περιφρόνει·
Ὡς ἂν καλοὺς καὶ τούσδε ποιήσῃς χρόνῳ.

Τῶν πραέων [ἡ] χρηστότης καλὴ δόσις.

Οὐδὲν ἐπιεικείας δυνατώτερον, καὶ τοῦτο δηλῶν τις ἔλεγεν, ὅτι λόγος μαλακὸς συγκλᾷ ὀστᾶ· καίτοι τί ὀστοῦ σκληρότερον; Ἀλλ' ὅμως κἂν οὕτω τις B σκληρὸς ᾖ καὶ ἀκαμπής, ῥᾳδίως ὁ μετ' ἐπιεικείας αὐτῷ χρώμενος διορθοῖ.

Ὑποτύπωσιν τῆς ἀνωτάτω πασῶν πραότητος αὐτὸν ἐσχήκαμεν τὸν τῶν ὅλων Σωτῆρα Χριστόν· οὗ δὴ κατόπιν ἰέναι σπουδάζοντας καὶ ἡμᾶς ἀλλήλοις ἀνεξικακεῖν ἀναγκαῖον. Γέγραπται γὰρ περὶ αὐτοῦ, ὅτι λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως.

Νέος πραῦς πολλὰ ὑποφέρει, ὀλιγόψυχον δὲ γέροντα τίς φοίσει; Εἶδον ὀργίλον γέροντα ἐπαιρόμενον ἐν θρόνῳ αὐτοῦ· ἐλπίδα μέντοι μᾶλλον ἔσχεν ὁ νέος αὐτοῦ.

Φιλόσοφός τις, μοχθηρὰν ἔχων γυναῖκα, καὶ φλύαρον, καὶ πάροινον, πρὸς τοὺς ἐρωτῶντας, τίνος ἕνεκεν τοιαύτην ἔχων ἀνέχεται, εἶπεν· Ὅστε γυμνάσιον καὶ παλαίστραν ἔχειν φιλοσοφίας ἐπὶ τῆς οἰκίας. Ἔσομαι γὰρ τοῖς λοιποῖς πραότερος, φησὶν, ἐν ταύτῃ καθ' ἑκάστην παιδευόμενος τὴν ἡμέραν. Τινὲς δὲ καὶ διὰ τοῦτο ἀγαγέσθαι αὐτὴν αὐτὸν λέγουσιν.

ΛΟΓΟΣ ΠΕ'.

Περὶ ἁπλοῦ καὶ ἀκάκου τὸν τρόπον.

Ἰακὼβ ἦν ἁπλαστος, οἰκῶν οἰκίαν.

Ὁ Κύριος οὐ μὴ ἀποποιήσεται τὸν ἄκακον.

Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐθύτητας, ὅτι ἔστιν ἐγκαταλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

D

Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοὺς πορευομένους ἐν ἀκακίᾳ.

Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς.

Ὅσον χρόνον ἔχονται ἄκακοι τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται.

Ὁ βλέπων λεῖα ἐλεηθήσεται· πορευόμενος ὀρθῶς φοβεῖται τὸν Κύριον.

Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ.

Ἄκακος πιστεύει παντὶ λόγῳ.

Χρησταὶ ἔσονται οἰκήτορες γῆς· ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ, ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν.

Καὶ ἦν Ἐφραὶμ ὡς περιστερὰ ἄνους, μὴ ἔχουσα A καρδίαν.

Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. Ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται.

Διττῶς νοοῦμεν τὴν ἀκακίαν· ἢ γὰρ κατὰ τὴν ἀπὸ τῆς ἁμαρτίας ἀλλοτρίωσιν λογισμῷ κατορθουμένην, καὶ διὰ μακρᾶς προσοχῆς καὶ μελέτης τῶν ἀγάθῶν οἱονεὶ τὴν ῥίζαν τῆς κακίας ἐκτεμόντες· ἢ κατὰ στέρησιν αὐτῆς παντελῆ, τὴν τοῦ ἀκάκου προσηγορίαν δεχόμεθα. Καὶ πάλιν ἀκακία ἐστὶν ἡ μήπω τοῦ κακοῦ ἐμπειρία, διὰ νεότητα πολλάκις ἢ βίου τινὸς ἐπιτήδευσιν, ἀπείρως τινῶν πρός τινας κακίας διακειμένων, οἷον ὁ παῖς οὐκ οἶδεν ὑπερηφανίαν, οὐκ B οἶδε δόλον ἢ ῥᾳδιουργίαν. Τοὺς τοιούτους ἀκάκους λέγομεν, οὐχ ὡς ἐκ προαιρέσεως κακίας κεχωρισμένους, ἀλλ' ὡς μήπω εἰς πεῖραν τῆς πονηρᾶς ἕξεως ἀφιγμένους. Χαρακτηρίζει οὖν τὸν ἄκακον ἡ ἁπλότης τοῦ τρόπου.

Τὸ ἁπλοῦν καὶ ἄδολον τοῦ ἤθους εὐκόλως ἐξαγορεύει τὰ ἀπόῤῥητα τῆς ψυχῆς.

Ἀφύλακτον ἡ ἁπλότης, καὶ ἥκιστα κακίαν ὑφορᾶται τὸ κακίας ἐλεύθερον.

Βραδὺ πρὸς ὑπόνοιαν κακοῦ τὸ πρὸς κακίαν δυσκίνητον.

Τὸ εἰς κακίαν οὐχ ἕτοιμον οὐδὲ εἰς ὑπόνοιαν εὐχερές. C

Τὸ κακίας ἐλεύθερον καὶ ὑφορᾶσθαι κακίαν ἀργότερον.

Χαρακτηρίζει τὸν ἄκακον ἡ ἁπλότης τοῦ λόγου.

Ἡ ἁπλότης τιμιωτέρα παρὰ Θεῷ. Τὸ γὰρ πανοῦργον, εἰ καὶ δεκτόν ποτε ἐν τοῖς κατὰ Θεὸν σπουδάσμασιν, ἀλλ' οὐδαμῶς εἰς ἀρετῆς εὐωδίαν καταλογισθήσεται.

ΛΟΓΟΣ ΠΣ'.

Περὶ πανούργου, καὶ δολίου, καὶ σκολιοῦ τὸν τρόπον,

Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορῥήμονα.

Τὸ στόμα σου ἐπλεόνασε κακίας, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. D

Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν.

Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας.

Διεστραμμένη καρδία τεκταίνεται κακά· ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει· διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ Θεός.

Λόγοι ἀσεβῶν δόλιοι.

Ψυχαὶ δικαίων πλανῶνται ἐν ἁμαρτίαις.

Ὁ σκολιὸς ἐπὶ τὸ ἑαυτοῦ στόμα φορεῖ τὴν ἀπώλειαν.

Ἀνὴρ σκολιὸς διαπέμπεται κακὰ, καὶ διαχωρίζει φίλους.

Osee VII. Et erat Ephraim velut columba stolida et carens corde.

Matth. X. Estote prudentes sicut serpentes, et simplices ut columbæ.

Matth. VI. Lucerna corporis tui est oculus. Si igitur oculus tuus simplex fuerit, totum corpus tuum lucidum erit.

S. Basilii. Dupliciter innocentiam intelligimus; aut enim ab alienatione a peccato, quæ ratione dirigitur, ac per longam attentionem et exercitationem bonorum quasi radice vitiorum excisa; aut ex omnimoda malitiæ privatione simplicis et innocentis appellationem accipimus. Et rursus, innocentia est ea quæ mali imperita est, ut sæpe propter ætatem juvenilem, aut propter vitæ genus nonnulli imperiti sunt aliquarum improbitatum et vitiorum; ut puer non novit superbiam, non novit dolum aut versutiam. Tales simplices dicere solemus, non quod ex instituto a malo et vitio sint separati, sed quod nondum senserint aut experti sint malam animi affectionem. Format **243** igitur simplicem morum simplicitas.

Simplicitas et mores minime dolosi facile animi secreta enuntiant.

Theologi. Incauta est simplicitas, minimeque mali quidquam suspicatur, qui a malo liber est.

Tardus est ad mali suspicionem, qui ad malum ægre impellitur.

Qui ad malum suscipiendum paratus non est, is ne ad mali quidem suspicionem facilis est.

S. Chrysost. Qui a malo liber est, is ad malum suspicandum tardior.

Orationis simplicitas simplicem declarat.

S. Cyrilli. Maximi est pretii apud Deum simplicitas; nam etsi versutia aliquoties non rejicitur in rerum divinarum studiis, haudquaquam tamen in virtutis suaveolentis numerum reponetur.

SERMO LXXXVI [*al.* XVI].

De versuto, et doloso, et perversis moribus prædito.

Psal. XI. Disperdet Dominus omnia labia dolosa et linguam magnifica loquentem.

Os tuum malitia redundavit, et lingua tua dolos connexit.

Viri sanguinarii et dolosi dimidium vitæ tempus non implebunt.

Libera, Domine, a labiis iniquis animam meam, et a lingua dolosa.

Salomonis. Perversum cor architectatur mala: in omni tempore talis turbas suscitat civitati, quamobrem repente aderit internecio ejus, quod is omnibus delectetur quæ odit Deus.

Sermones impiorum insidiosi.

Animi justorum errant in peccatis.

Pravus in ore suo fert exitium.

Vir pravus immittit mala, et dissociat amicos.

Pravis pravas vias mittit Deus.

Sermones adulatorum molles, sed intimas partes feriunt.

Tortuosis viis ambulans implicabitur.

Luc. XVI. Filii hujus sæculi in genere suo filiis lucis sunt prudentiores.

S. Basilii. Duo significat *astuti* vocabulum : alter enim ad nocendum aliis solertia ingenii utens improbus est : alter laude dignus, qui acute et prudenter sibi accommodatum bonum reperit, dolosa autem et insidiosa incommoda et detrimenta quæ ab aliis afferuntur, declinat. Observa igitur diligenter astutiæ vocabulum, ac medium quemdam id habere habitum intellige ; qua qui ex instituto sano ad utilitatem proximi sui usus fuerit, probandus est : at qui ad proximorum perniciem eam exercet, condemnandus, quod ea arte tanquam perditionis **244** occasione et materia utatur.

Fuge varietatem et multiplicitatem ingenii. Serpens enim varius ob id ad serpendum damnatus est.

Dolus est curiositas vitiosa ad parandas insidias parata, cum quis boni aliquid præ se fert, idque quasi escam prætendit ut insidias struat.

Occulta malitia est perniciosior quam aperta.

Philonis. Quibus vires desunt tyrannicis viris, ii rem astu et insidiis moliuntur.

SERMO LXXXVII [*al.* LXXXII].

De puro corde et cogitationibus, et de iis qui puram habent conscientiam.

Job XXVII. Non loquentur labia mea legi adversa, nec anima injusta meditabitur.

Purum cor meum verbis, et sagacitas labiorum meorum pura intelliget.

Psal. XXXVI. Laudabuntur omnes qui corde sunt recto.

Res pretiosa vir integer.

Prov. IV. Omni cautione cor servato : ex hoc enim sunt exitus vitæ.

Cor viri æqua cogitet, ut a Deo gressus ejus dirigantur.

Cogitationes justorum judicia sunt.

Ut probatur argentum et aurum in fornace ignis, sic corda electa apud Deum.

Cogitationibus suis implebitur vir bonus.

Viæ vitæ, consilia sapientis.

Diligit Dominus corda pura, ac illi accepti sunt omnes, qui tales sunt ut reprehendi non possint.

Eccli. II. Ambula in cordis tui via sine reprehensione, et scito te in omnibus his adductum iri a Domino in judicium.

Eccli. XXXVIII. Remove iram a corde tuo, et malitiam repelle a carne tua.

Beatus quem suus animus non condemnat.

Πρὸς τους σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ Θεός.

Λόγοι κερκώπων μαλακοί· οὗτοι δὲ τόπτουσιν εἰς ταμεῖα σπλάγχνων.

Ὁ σκολιαῖς ὁδοῖς ἐμπορευόμενος ἐμπλακήσεται.

Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν αὐτῶν εἰσιν.

Δύο σημαίνει ἡ τοῦ *πανούργου* προσηγορία. Ὁ μὲν γὰρ ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ κεχρημένος, πονηρός· ὁ δὲ ἐπαινετὸς πανοῦργος, ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐξευρίσκων, καὶ τὰς δολίως καὶ ἐπιβούλως παρ' ἑτέρων βλάβας αὐτῷ σκευωρουμένας ἀποδιδράσκων. Πρόσεχε οὖν ἀκριβῶς τῷ τῆς πανουργίας ὀνόματι, καὶ γίνωσκε ὅτι μέση τίς ἐστιν ἕξις· καθ' ἣν ὁ μὲν ἐκ προαιρέσεως ὑγιοῦς ἐπ' ὠφελείᾳ τῶν πλησίον αὐτῇ κεχρημένος ἀπόδεκτος, ὁ δὲ ἐπὶ βλάβῃ τῶν πέλας μεταχειριζόμενος αὐτὴν κατεγνωσμένος, ἀφορμῇ πρὸς ἀπώλειαν τῷ ἐπιτηδεύματι χρώμενος.

Φεῦγε τὸ παντοδαπὸν καὶ πολλαπλοῦν τοῦ τρόπου. Ὁ ὄφις ποικίλος διὰ τοῦτο καὶ ἕρπειν κατεδικάσθη.

Δόλος ἐστὶ τὸ ἐκ κακίας πρὸς ἐπιβουλὴν περίεργον· ὅταν τις ἀγαθόν τι σχηματισάμενος, καὶ τοῦτο ὥσπερ δέλεάρ τι προθεὶς, διὰ τοῦτο τὰ τῆς ἐπιβουλῆς κατεργάσηται.

Λανθάνουσα πονηρία τῆς προκεκηρυγμένης βλαβερωτέρα.

Οἳ ἰσχὺς οὐ πρόσεστι τῶν τὰς φύσεις τυράννων, πανουργίαις τὰς ἐπιβουλὰς κατορθοῦσιν.

ΛΟΓΟΣ ΠΖ'.

Περὶ καθαρᾶς καρδίας, καὶ τῶν λογισμῶν, καὶ τῶν συνειδὸς καθαρὸν ἐχόντων.

Οὐ λαλήσει τὰ χείλη μου ἄνομα, οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.

Καθαρὰ καρδία μου ῥήμασι, σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει.

Ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

Κτῆμα τίμιον ἀνὴρ καθαρός.

Πάσῃ φυλακῇ τήρει τὴν καρδίαν· ἐκ γὰρ ταύτης ἔξοδοι ζωῆς.

Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ἀπὸ θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ.

Λογισμοὶ δικαίων κρίματα.

Ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Θεῷ.

Ἀπὸ τῶν διανοημάτων αὐτοῦ πλησθήσεται ἀνὴρ ἀγαθός.

Ὁδοὶ ζωῆς διανοήματα σοφοῦ.

Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι.

Περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος, καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ Θεὸς εἰς κρίσιν.

Ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ πάραγε πονηρίαν ἀπὸ σαρκός σου.

Μακάριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐταῦ.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. A

Ἡ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁγιότητι καὶ εἰλικρινείᾳ Θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλὰ ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς.

Ἀδελφοὶ, προσεύχεσθε περὶ ἡμῶν. Πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι.

Ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεὸν, καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.

Πρῶτον μακαριστὸν τὸ ἐν τῇ διανοίᾳ ἡμῶν καθαρὸν, ἐπειδὴ ῥίζα τῶν διὰ τοῦ σώματος ἐνεργειῶν B τὸ ἐν τῇ καρδίᾳ βούλευμα.

Καθαρὸς τῇ καρδίᾳ ἐστὶν ὁ μὴ λαμβανόμενος ἑαυτοῦ ἐπὶ ἐντολῇς Θεοῦ ἀθετήσει.

Οὐκ ἐν μικροῖς τὸ εὐσεβὲς, οὐδὲ ἐν τῷ κατηφεῖ τὸ φιλόσοφον, ἀλλ' ἐν ψυχῆς στερρότητι, καὶ διανοίας καθαρότητι, καὶ γνησίᾳ τῇ πρὸς τὸ καλὸν νεύσει.

Οὐδὲν οὕτως ἡμᾶς εὐφραίνειν εἴωθεν, ὡς συνειδὸς καθαρὸν καὶ ἐλπίδες ἀγαθαί.

Τὸ συνειδὸς ἀγαλλόμενον συγκαλλωπίζει ἑαυτῷ καὶ τὸ πρόσωπον, καὶ ἄρδει τὰς παρειὰς ἡ τῆς ψυχῆς εὐρωστία, καὶ οὐχ ἁπλῶς εἴρηται τῷ σοφῷ· Καρδίας εὐφραινομένης πρόσωπον θάλλει.

Οἱ λαμπροὶ τὴν συνείδησιν υἱοὶ φωτὸς καὶ ἡμέρας ἀναγορεύονται. C

Οὐχ ἡ τῶν πράξεων ἀποχὴ δικαιοῖ τὸν πιστὸν, ἀλλ' ἡ τῶν ἐννοιῶν ἁγνεία καὶ εἰλικρίνεια ἀκραιφνής.

Καὶ λόγος καθαρὸς, καὶ βίος ἀκηλίδωτος, θρόνος καὶ ναός ἐστιν ἀληθινὸς τοῦ Θεοῦ.

Ἀπαθῶν καὶ καθαρῶν ἐστιν ἡ σωτηρία.

Σώφρων καρδία λιμὴν θεωρημάτων.

Οὐκ ἐκριζωτὴς τῶν παθῶν, ἀλλ' ἀνταγωνιστής ἐστιν ὁ λογισμός.

Ἐπειδήπερ ἀοράτως εἰς τὸν τῆς ψυχῆς χῶρον εἰσδύεται ὁ Θεὸς, παρασκευάζωμεν τὸν τόπον ἐκεῖνον ὡς ἔνεστι κάλλιστον, ἀξιόχρεων, ἐνδιαίτημα Θεοῦ γενησόμενον. Εἰ δὲ μὴ, λήσεται μεταναστὰς εἰς D ἕτερον οἶκον ὁ Θεός.

Οἶκος Θεοῦ σοφοῦ διάνοια· τούτου καλεῖται Θεὸς ἰδίως ὁ τῶν συμπάντων, ὥς φησιν ὁ προφήτης, ὡς Θεὸς ἐμπεριπατεῖ οἷα βασιλείῳ.

Ὀφθαλμοῖς μὲν τὰ ἐν φανερῷ καὶ τὰ ἐν χερσὶ καταλαμβάνεται· λογισμὸς δὲ ἀκέραιος φθάνει καὶ πρὸς τὰ ἀόρατα καὶ μέλλοντα.

ΛΟΓΟΣ ΠΗ'.

Περὶ καρδίας πονηρᾶς, καὶ συνειδότος κακοῦ.

Ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου.

Διεστραμμένη καρδία τεκταίνεται κακά.

Matth. v. Beati puro corde, quia ipsi Deum videbunt.

II Cor. I. Gloriatio nostra hæc est, testimonium conscientiæ nostræ, quod in sanctitate et sinceritate Dei, non in sapientia carnali, sed in gratia Dei in mundo versati sumus, sed multo magis apud vos.

Fratres, precamini pro nobis. Confidimus enim nos bonam conscientiam habere, in omnibus honeste versari volentes.

Joan. Si cor nostrum non condemnat nos, ad Deum libere accedimus, et quidquid petimus, ab illo accipimus : quia præcepta ejus servamus, quæque illi grata sunt, facimus.

S. Basilii. Primum beatissimumque est quod in **245** corde nostro purum : quia radix est omnium corporis actionum cordis consilium.

Puro corde est is qui se ipsum non convincit præceptorum Dei contemptu.

Theologi. Non est pietas in reous parvis, nec philosoph a in vultus demissione, sed in animi firmitate et cogitationis puritate et vera ad res honestas propensione.

Nihil est quod sic nos delectare soleat, ut conscientia pura et spes bona.

Conscientia læta et exsultans sibi etiam vultum hilarem reddit, ac genas rigat animi bona valetudo, nec sine causa dictum est a sapiente : Ubi cor lætatur vultus florescit.

Greg. Nyss. Qui præclara sunt conscientia, filii lucis et diei prædicantur.

Non facinorum abstinentia fidelem justificat, sed cogitationum castitas et pura sinceritas.

Oratio casta, et vita nulla labe contaminata thronus et verum Dei templum est.

Evagrii. Salus est eorum qui perturbationibus carent et puri sunt.

Josephi. Cor temperans doctrinarum portus est.

Non exstirpatrix perturbationum est, sed adversatrix ratio.

Philonis. Quia nobis non videntibus in animi locum intrat Deus, præparemus locum illum, quam licet pulcherrimum et ideneum maxime, futurum Dei habitaculum. Sin secus, nobis non sentientibus in aliam domum Deus migrabit.

Domus Dei cogitatio sapientis, ac hujus proprie vocatur Deus, qui universorum est (ut inquit propheta), quod Deus tanquam in regia in ea ambulet.

Oculis quæ aperta sunt, quæque in manibus sunt, comprehenduntur ; sed ratio sincera penetrat etiam quæ sub oculos non cadunt et futura sunt.

SERMO LXXXVIII [*al.* LXXXIII].

De corde versuto, deque mala conscientia.

Psal. XVIII. Ex occultis meis purga me, et ab alienis parce servo tuo.

Prov. VI. Distortum cor perficit mala.

Qui duro corde præditus est, ei bona non obtin- A gunt.

In corde bono conquiescet sapientia; at in corde insipientium non dignoscitur.

Insipientes mala in animo volutant.

Duro corde præditus in miserias incidet.

Detestanda est apud Dominum iniqua cogitatio.

Mich. II. Molesta cogitabant, et mala designabant in cubilibus suis, et simul ut illuxerat, ea perficiebant.

246 *Isa.* Cogitationes eorum sanguinariæ.

Eluito a malitia cor tuum : quousque tandem in animo volutabis dolores et molestias?

Sap. Stultus stulta loquitur, et cor ejus in vanis elaborat.

Pravæ cogitationes a Deo sejungunt.

Eccli. III. Cor durum gravabitur molestiis.

Ut in motione cribri remanet fæx, sic rejectamenta hominis in cogitatione ipsius.

Ut vasa figuli probat fornax, sic distrahitur homo in cogitatione sua.

Matth. XV. Quidquid intrat in os, in ventriculum descendit, et in secessum ejicitur : quod autem ex ore exit, ex corde profiscitur, atque id coinquinat hominem; nam ex corde exeunt pravæ cogitationes, cædes, adulteria, scortationes, furta, falsa testimonia, maledicta : hæc sunt quæ hominem impurum reddunt.

Ex cordis abundantia os loquitur. C

Jac. IV. Repurgate manus, scelerati, purificate corda, duplicis animi homines.

Theologi. Illud solum non potest evitari, internum et in nobis ipsis situm tribunal.

Cum turpe aliquid cogitas, complures adesse existimato ac teipse reveretor.

Greg. Nyss. Malum esse in ipsa solum voluntate positum est, sæpeque satis est ad vitii perfectionem cogitatio.

Ipsum per se malum nusquam reperitur extra voluntatem privatim subsistens, sed tum demum procreatur, cum animo instituimus illud.

Nulla res æque impudentes facit atque mala D conscientia.

S. Cyrilli. Principium et radix et quasi fons et procreatio nostrarum perturbationum est ad malum propensus appetitus, ad ipsas invitans mentem ac primo præstigiis illudens, postea vim adhibens et concutiens.

Siquidem fumi more, vel etiam quemadmodum vapores quidam insitarum voluptatum appetitus in nobis nascuntur. Sed qui temperans est et fortis, motus increpat, nec longius progredi sinit, faciles infirmos adhuc perturbationis motus superat. Iners autem et negligens voluptatum principia admittit, quasi cogitationes nudas, cumque permiserit in latitudinem progredi, difficillimum erit resistere :

Ὁ σκληροκάρδιος οὐ συνανεῖ ἀγαθοῖς. A

Ἐν καρδίᾳ ἀγαθῇ ἀναπαύσεται σοφία· ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.

Οἱ ἄφρονες διαλογιοῦνται κακά.

Ὁ σκληρὸς τῇ καρδίᾳ ἐμπεσεῖται κακοῖς.

Βδέλυγμα Κυρίῳ λογισμὸς ἄδικος.

Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά.

Οἱ διαλογισμοὶ αὐτῶν λογισμοὶ ἀποφόνων.

Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, ἵνα σωθῇς· ἕως πότε ὑπάρχουσιν ἐν σοὶ διαλογισμοὶ πόνων σου;

Ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μά- B ταια πονήσει.

Σκολιοὶ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ.

Καρδία σκληρὰ βαρυνθήσεται πόνοις.

Ἐν σείσματι κοσκίνου διαμένει πυρία, οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ.

Σκεύη κεραμέως δοκιμάζει κάμινος, καὶ περισπασμὸς ἀνθρώπου ἐν διαλογισμῷ αὐτοῦ.

Πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται· τὸ δὲ ἐκπορευόμενον ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνο κοινοῖ τὸν ἄνθρωπον· ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται πονηροὶ λογισμοί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι· ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.

Ἐκ τοῦ περισσεύματος τῆς καρδίας λαλεῖ τὸ C στόμα.

Καθαρίσατε τὰς χεῖρας, ἁμαρτωλοί, ἁγνίσατε τὰς καρδίας, δίψυχοι.

Τοῦτο μόνον οὐκ ἔστι διαφυγεῖν, τὸ ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς δικαστήριον.

Ὅταν ποτὲ αἰσχρὸν ἐννοῇς, νόμιζε πολλοὺς παρεῖναι, καὶ σεαυτὸν ἐντρέπου.

Τὸ γενέσθαι κακὸν ἐν τῷ προελέσθαι μόνον ἀπόκειται· καὶ ἤρκεσε πολλάκις πρὸς τελείωσιν κακίας ὁ λογισμός.

Αὐτὸ οὖν καθ' ἑαυτὸ κατ' ἰδίαν ὑπόστασιν ἔξω προαιρέσεως οὐδαμοῦ τὸ κακὸν εὑρίσκεται κείμενον, ἢ ὑφεστὼς, ἀλλὰ τότε εἰς γένεσιν παράγεται, ὅταν ἐλώμεθα αὐτό.

Οὐδὲν οὕτως ἀναισχυντὸν ποιεῖ, ὡς πονηρὸν συνει- D δός.

Ἀρχὴ καὶ ῥίζα καὶ οἷον πηγὴ, καὶ γέννησις τῶν ἐν ἡμῖν ἐστι παθῶν ἡ πρὸς κακίαν ὄρεξις, ἐπ' αὐτοῖς καλοῦσα τὸν νοῦν, καὶ καταγοητεύουσα μὲν ἐν ἀρχαῖς, βιαζομένη δὲ μετὰ τοῦτο καὶ κατασείουσα.

Καπνοῦ μὲν γὰρ δίκην, ἢ καὶ ὥσπερ τινὲς ἀτμοὶ, τῶν ἐμφύτων ἡδονῶν ἀνίσχουσιν ἐν ἡμῖν αἱ ὁρέξεις· ἀλλ' ὁ μὲν σώφρων καὶ νεανικὸς ἐπιτιμᾷ τοῖς κινήμασι, καὶ παραστέρνει προελθεῖν οὐκ ἐᾷ· ᾧ καὶ ἀδρανὲς ὂν ἔτι τὸ πάθος ἡττᾶται ῥᾳδίως· ὁ δέ γε ῥᾴθυμος καὶ κατημελημένος εἰσδέχεται μὲν τὰς τῶν ἡδονῶν ἀρχὰς, ὡς ἐννοίας ἔτι ψιλὰς, ἐπιτρέψας δὲ προελθεῖν εἰς πλάτος, δυσχερεστάτην εὑρήσει τὴν

ἀντίστασιν. Ὁ γὰρ προαλοὺς καὶ προηττημένος οὐ A nam qui ante captus est et jam occupatus, is consiliorum suorum non est dominus, imo magis victrici perturbationi quasi barbaro alicui subjicietur.

τῶν ἰδίων ἐστὶ θελημάτων κύριος, ὑποκείσεται δὲ μᾶλλον, καθάπερ τινὶ βαρβάρῳ, τῇ νικήσαντι πάθει.

Ἡ ἁμαρτία οὐκ ἐν μόναις ἂν γένοιτο ταῖς ἐπιθυμίαις, ἀλλ' ἐν ταῖς ἐκβάσεσι τῶν ἀποτελεσμάτων. Καὶ ἕως μὲν ἔστιν ἐν ὠδῖσι τοῦ νοῦ τὸ κακὸν, οὔπω νέκρωσις, οὔπω θάνατος.

Peccatum non erit in ipsis solis cupiditatibus, sed in ipsis effectorum exitibus; ac quandiu quidem est malum in mente parturiente, nondum 247 est extinctio, nondum mors.

Αἱ συνεχεῖς ὑπομνήσεις τῆς κατὰ τὸ πάθος φαντασίας, τύπους ἐγχαράττουσαι τρανεῖς, βλάπτουσι τὴν διάνοιαν, καὶ (ἃ ἤκουσαν) αὐτὴν πολλάκις περιτρέπουσιν· ἐν δὲ τούτοις σωτήριον ἡ φυγή· τὸ δὲ ὑπομνήσκεσθαι, καὶ ἀναγγέλλειν, καὶ ἀναπολεῖν, κρατεῖ καὶ δουλοῦται βιαίως τὸν νοῦν.

Philonis. Perpetuæ recordationes et imaginationes perturbationum claras species imprimentes mentem lædunt, et cedentem sæpe illam pervertunt. In istis igitur rebus salutaris est fuga : recordari autem, et in ore habere, ac in animo volutare, id vincit et violenter mentem in servitutem redigit.

Τῷ μὲν ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι συγγνώμη παρεισέρχεται· ὁ δὲ ἐξεπίτηδες ἀδικῶν B ἀπολογίαν οὐκ ἔχει, προσαλωκὼς ἐν τῷ συνειδότος δικαστηρίῳ.

Peccanti virtutis ignoratione venia parata esse debet : at qui de industria injuriam facit, excusationem non habet, quippe qui prius judicio conscientiæ damnatus sit.

Τῷ ἔνδον οἰκείῳ δικαστηρίῳ πᾶς ἄφρων ἁλίσκεται.

Interno ac domestico judicio quilibet insipiens damnatur.

Ἡδονὴ οὐ παρέχεται πόνον, οὐδὲ λύπην χαρὰ, οὐδὲ κατήφειαν εὐφροσύνη.

Nili. Voluptas dolorem non exhibet, nec mœrorem gaudium, nec tristitiam lætitia.

ΛΟΓΟΣ ΠΘ'.

Περὶ ὑπομονῆς καὶ μακροθυμίας.

Εἶπε Δαυΐδ, Ἄφετε τὸν Σεμεΐ καταράσασθαι, ὅτι εἶπεν αὐτῷ ὁ Θεὸς, εἴ πως ἴδοι Κύριος τὴν ταπείνωσίν μου, καὶ ἐπιστρέψει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ.

Ἐὰν ὑπομείνῃς, ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς. C

Πάντες οἱ ὑπομένοντές σε, Κύριε, οὐ μὴ καταισχυνθῶσιν.

Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν.

Ἀνὴρ φρόνιμος πολλὰ ὑποφέρει.

Μακρόθυμος ἀνὴρ κατασβέσει κρίσεις, ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον.

Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος ἰσχυρὸς ἄφρων.

Κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ· ὁ δὲ κρατῶν ὀργῆς κρείσσων καταλαμβάνοντος πόλιν.

Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτὸν, ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.

Ὑπόμεινόν με, λέγει Κύριος, ἐν ἡμέρᾳ ἀναστάσεώς μου εἰς μαρτύριον.

Χρηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν καιρῷ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν.

Οἱ ὑπομένοντες τὸν Κύριον ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοὶ, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται καὶ οὐ πεινάσουσιν.

Ἀγαθὸς Κύριος τοῖς ὑπομένουσιν αὐτόν.

Τεκνία, μακροθυμήσατε τὴν ἐπελθοῦσαν ὑμῖν ὀργήν.

Ἕως καιροῦ ἀνέξεται μακρόθυμος, καὶ ὕστερον ἀναδώσει αὐτῷ εὐφροσύνη, ἕως καιροῦ κρύψει τοὺς

SERMO LXXXIX [*al.* LXXII].

De patientia et lenitate, vel longanimitate.

II Reg. XVI. Sinite, inquit David, maledicta jaciat Semei, quod Deus ipsi jusserit, si qua ratione Dominus abjectionem meam videat, et ad me redeant bona pro exsecratione istius.

Job XXII. Si patiens fueris, fructus tuus in bonis numerabitur.

Psal. III. Quicunque patienter te exspectant, Domine, ii nunquam dedecore afficientur.

Prov. XIV. Patienter Dominum exspectato, et viam ejus observato, et ipse te extollet, ut terram possideas.

Prudens multa fert.

Leni animo præditus lites accensas extinguit, sed impius magis excitat.

Longanimis multum prudentiæ habet : pusillanimis autem valde stultus est.

Lenis forti præstat : et iræ qui imperat major est urbium expugnatore.

Nahum. Si tardaverit, tamen exspectato, quia D certo veniet, nec procrastinabit.

Exspecta me, inquit Dominus, in die resurrectionis meæ in testimonium.

Malach. III. Benignus est Dominus iis qui ipsum exspectant cum premuntur, et agnoscit timentes eum.

Isa. XL. Qui Dominum spectant, vires renovatas accipient ; aquilarum more renovabuntur eis alæ : current, nec fatigabuntur : deambulabunt, nec esurient.

Bonus est Dominus iis qui ipsum exspectant.

Baruch. IV. Filioli, leniter ferte iram super vos venturam.

Eccli. Ad tempus patientiam præstabit leni præditus animo, postea ei afferetur lætitia, tempore

postulante occultabit sermones suos, et multorum labiis enarrabitur prudentia ejus.

Qui metuunt Dominum, præparant animas suas, ac in conspectu ejus humiliabunt animas suas, et lenitate utentur usque ad tempus visitationis ejus.

248 Fili, si servire Domino instituis, ad tentationem animum tuum præparato : rectum cor habeto, et perdurato.

Vide ne festines tempore calamitatis ; exspectato patienter Deum, ac illi adhærescito, ut ad extremum bene tibi cedat.

Lenitate in respondendo utitor.

Haudquaquam tardabit patientia pii.

Eccli. x. Qui perseverarint usque in finem, is salutem consequetur.

Luc. xxi. Patientia vestra nitentes, possidete animas vestras.

Ephes. iv. Obsecro vos, fratres, ego qui captivus sum et vinctus Domini nomine, ut, sicuti est vocatione vestra dignum, ambuletis cum omni modestia, mansuetudine et lenitate, ferentes vos invicem in charitate.

Facite ne vestram in dicendo libertatem amittatis, quæ magnam habet mercedem. Patientia enim vobis opus est, ut voluntati divinæ obtemperantes, promissiones accipiatis.

Certus est sermo : si commortui sumus, convivemus etiam : si patimur patienter, una etiam regnabimus.

Omne gaudium existimate, fratres mei prædilecti, si in tentationes varias incideritis, illud non ignorantes, probationem fidei vestræ patientiæ effectricem esse : patientia autem perfectum habeat opus, ut perfecti sitis et integri, nulla re indigentes.

Beatus qui tentatur et patienter fert : quia probatus cum fuerit, vitæ coronam accipiet, quam Deus iis promisit, qui diligunt ipsum.

II Petr. ii. Hoc gratia est, si bona conscientia quis dolores patiatur inique. Quæ enim gloria est, si peccantes colaphis cædimini et patimini? Sed si benefacientes cruciati patienter fertis, id sane gratum est Deo.

Si justus vix salutem consequitur, sceleratus et impius ubi comparebit?

S. Ignatii. Firmiter dum cæderis, ut incus stato. Generosi est athletæ cædi et vincere : maxime vero propter Deum nobis omnia ferenda sunt, ut ipse nos ferat.

Patienter alii alios cum mansuetudine patimini, ut semper Deus vos leniter ferat.

S. Basilii. Qui demissione animi suas cogitationes præmunierit, apud Deum minus dedecoris inveniet quam revera habeat : ac ex patientia sibi coronam parabit, alterius insaniam suæ securitatis et quietis causam faciens.

Cum igitur ad convicia incitaris, teipse in judicium adductum existimato : utrum ad Deum per

A λόγους αὐτοῦ, καὶ χείλη πολλῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ.

Οἱ φοβούμενοι τὸν Κύριον ἑτοιμάσουσι τὰς ψυχὰς αὐτῶν, καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσι τὰς ψυχὰς αὐτῶν, καὶ μακροθυμήσουσιν ἕως ἐπισκοπῆς αὐτοῦ.

Τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον.

Μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· μεῖνον τὴν ἀναμονήν, καὶ κολλήθητι αὐτῷ, καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου.

Ἐν μακροθυμίᾳ φθέγγου ἀπόκρισιν.

Οὐ μὴ καθυστερήσῃ ὑπομονὴ εὐσεβοῦς.

Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

B

Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ.

Μὴ ἀποβάλητε τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μεγάλην μισθαποδοσίαν. Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὰς ἐπαγγελίας.

Πιστὸς ὁ λόγος. Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν.

C Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου ἀγαπητοὶ, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες ὅτι δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν, ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.

Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

Τοῦτο χάρις, εἰ διὰ συνείδησιν ἀγαθὴν ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. Ποῖον ὑμῖν κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομένετε; Ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομένετε, τοῦτο χάρις παρὰ Θεῷ.

D Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς καὶ ἀσεβὴς ποῦ φανεῖται;

Στῆκε ὡς ἄκμων τυπτόμενος. Μεγάλου ἀθλητοῦ ἐστι δέρεσθαι καὶ νικᾷν· μάλιστα δὲ ἕνεκεν Θεοῦ πάντα ἡμᾶς ὑπομένειν δεῖ, ἵνα καὶ αὐτὸς ἡμᾶς ὑπομείνῃ.

Μακροθυμεῖτε μετ' ἀλλήλων ἐν πραΰτητι, ὡς ὁ Θεὸς μεθ' ἡμῶν διαπαντός.

Ὁ τῇ ταπεινοφροσύνῃ τοὺς ἑαυτοῦ λογισμοὺς προκαταισχὼν πᾶσαν ἀτιμίαν ἐλάττονα εὑρήσει τῆς ἀληθείας· καὶ τὸν ἀπὸ τῆς ὑπομονῆς προξενήσει ἑαυτῷ στέφανον, τὴν ἑτέρου μανίαν ἀφορμὴν οἰκείας ἀσφαλείας ποιούμενος.

Ὅ [*f.* ὅταν] οὖν σοι κινηθῇ ὁ τῆς λοιδορίας πειρασμὸς, νόμιζε κρίνεσθαι ἑαυτὸν πότερον διὰ

μακροθυμίας προσχωρήσῃς τῷ Θεῷ, ἢ διὰ τῆς ὀργῆς ἀποτρέχῃς πρὸς τὸν ἀντίπαλον.

Τοῖς εὐσεβέσιν ἀγωνισταῖς προλαβὼν ὁ προφήτης ὑπέδειξεν ἐν ἀρχῇ τοῦ ψαλμοῦ τὸ μακάριον τέλος, ἵνα τῇ ἐλπίδι τῶν ἀποκειμένων ἀγαθῶν ἀλύπως τοῦ βίου τὰ ἀλγεινὰ φέρωμεν· οὕτω καὶ ὁδοιπόροις τραχεῖαν ὁδὸν πορευομένοις καὶ δύσβατον κουφίζει τὸν μόχθον, ἐπιτήδειον αὐτοῖς προσδοκηθὲν καταγώγιον. Διὸ καὶ ὁ κοινὸς τοῦ βίου διορθωτὴς, ὁ μέγας διδάσκαλος, τὸ Πνεῦμα τῆς ἀληθείας, σοφῶς καὶ ἐντέχνως τοὺς μισθοὺς προεβάλετο, ἵνα ὑπερκύπτοντες τοὺς ἐν χερσὶ πόνους, τῇ διανοίᾳ πρὸς τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν ἐπειγώμεθα.

Οὐ γὰρ ὁ ἀπορῶν τῶν ἀναγκαίων καρτερικὸς, ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς.

Σωφρόνων ἀνδρῶν τὸ μὴ κινδύνοις ἐπιῤῥίπτειν ἑαυτούς· γενναίων δὲ καὶ φιλοσόφων τὸ ἐμπεσόντας φέρειν γενναίως.

Ἔστι τι παρὰ τῷ μύθῳ φυτὸν, ὃ θάλλει τεμνόμενον, καὶ πρὸς τὸν σίδηρον ἀγωνίζεται, καὶ (εἰ δεῖ παιητῶν μεμνῆσθαι λόγου) θανάτῳ ζῇ, καὶ τομῇ φύεται, καὶ αὔξεται δαπανώμενον. Ταῦτα μὲν ὁ μῦθος, καὶ ἡ αὐτονομία τοῦ πλάσματος· ἐμοὶ δὲ δοκεῖ σαφῶς τοιοῦτο εἶναί τι ὁ φιλόσοφος, ὃς εὐδοκιμεῖ τοῖς πάθεσι, καὶ ὕλην ἀρετῆς ποιεῖται τὰ λυπηρὰ, καὶ τοῖς ἐναντίοις ἐγκαλλωπίζεται, μήτε τοῖς δεξιοῖς ὅπλοις τῆς δικαιωσύνης αἰρόμενος, μήτε τοῖς ἀριστεροῖς καμπτόμενος· ἀλλ' ὁ αὐτὸς ἐν τοῖς οὐκ αὐτοῖς διαμένων ἀεὶ, ἢ καὶ δοκιμώτερος, ὥσπερ ἐν καμίνῳ χρυσὸς, εὑρισκόμενος.

Βέλτιον τοῦ τάχους ἡ μακροθυμία, καὶ τῆς αὐθαδείας ἡ συγκατάβασις.

Ἀγαθὸν χρηστότητι νικᾷν θρασύτητα, καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες.

Οὐδὲν ἰσχυρότερον τῶν πάντα φέρειν ἑτοίμων.

Ἀργοῦσι καὶ οἱ τῷ κόσμῳ προστετηκότες, καὶ πολλῷ πλέον τῷ Θεῷ δουλευόντων· ἀλλὰ μισθὸς αὐτοῖς τὸ ἀλγεῖν· ἡμῖν δὲ καὶ τὸ πάσχειν ἐμμισθον, ὅταν διὰ τὸν Θεὸν καρτερῶμεν.

Μὴ γενώμεθα δοῦλοι κακοὶ, ἀγαθύνοντι μὲν ἐξομολογούμενοι τῷ Δεσπότῃ· παιδεύοντι δὲ, μὴ προστιθέμενοι. Καίτοι ποτὲ κρεῖσσον ὑγείας πόνος, καὶ ὑπομονὴ ἀνέσεως, καὶ ἐπίσκεψις ἀμελείας.

Οὐδὲν οὕτως αἰδεσίμους ποιεῖ, ὡς ὑβριζομένους φέρειν.

Καθάπερ τοῖς μετανοοῦσιν ἡ τοῦ Θεοῦ μακροθυμία ὠφέλιμος, οὕτω τοῖς ἀνενδότοις καὶ σκληροῖς μειζόνων γίνεται κολάσεων πρόφασις.

Ἔθος τῷ Θεῷ μὴ ἐκ πρυοιμίων τὰ δεινὰ καταλύειν, ἀλλ' ὅταν κορυφωθῇ ἢ αὐξηθῇ, ὅταν σχεδὸν μηδὲν ὑπολελειμένον ᾖ τῆς τῶν πολεμούντων κακίας, τότε ἀθρόως πάντα μεταβάλλει ἐπὶ τὸ γαληνὸν, καὶ πρὸς ἀπροσδοκήτους τινὰς καταστάσεις αὐτὰ πραγμάτων ἄγει.

Ὅταν τις ἐπηρεάζῃ, μὴ πρὸς αὐτὸν ἴδῃς, ἀλλὰ πρὸς τὸν κινοῦντα δαίμονα, καὶ τὴν ὀργὴν ἅπασαν

A lenitatem accessurus sis, an per iracundiam ad adversarium recurras.

249 Piis certatoribus Propheta inde a principio Psalmi beatitudinis finem ostendit, ut bonorum spe futurorum molestias vitæ non gravate feramus. Sic et iter facientium laborem asperæ et salebrosæ viæ levat commodi exspectatio diversorii. Quocirca communis vitæ rector, et magnus doctor Spiritus ille veritatis, sapienter et arte maxima præmia proposuit, ut ultra labores et dolores præsentes prospicientes, cogitatione properemus ad sempiterna bona perfruenda.

Non enim rerum necessariarum egens patiens est, B sed qui in abundantia voluptatum perfert malum.

Temperantium est non se in pericula conjicere, sed fortium et philosophorum est, si inciderint, ferre fortiter.

Theologi. Est in fabulis, plantam quamdam esse, quæ cum inciditur germinet, quæque cum ferro certare dicatur, ac si poetarum more loqui licet, quæ morte vivat, et incisione nascatur, et consumptione augeatur. Talis mihi videtur esse sapiens et philosophus, qui in perturbationibus claritatem consequitur ; cui virtutis materia est molestia, et adversis ornatior redditur, nec dexteris justitiæ armis tollitur, nec sinistris flectitur aut dejicitur, sed idem semper manet non iisdem, aut etiam probatior, C quemadmodum aurum in fornace.

Melior lenitas celeritate, et consensus quam contumacia.

Utile est audaciam mansuetudine vincere, et meliores reddere injuriam facientes, quæ nobis inferuntur patienter ferendo.

Nihil est fortius iis qui ferre omnia parati sunt.

Dolent etiam qui orbi præfecti sunt, ac multo magis quam qui Deo serviunt, sed præmium illis est dolor : nobis vero etiam pati, non caret mercede, dummodo propter Deum patiamur.

Videndum est ne servi mali simus : et benigne quidem facienti Domino gratiæ a nobis sunt agen- D dæ ; et castigante etiam eo, non ægre ferendum est. Etenim præstat aliquoties valetudini morbus, et patientia remissioni, et animi intentio negligentiæ.

S. Chrysost. Nulla res æque facit venerabiles, atque injuriam sustinere.

Quemadmodum pœnitentibus divina prodest lenitas, sic obstinatis et pertinacibus graviora affert supplicia.

Solet Deus non a principio mala avertere, sed cum usque ad summum venerint et creverint, cum fere nihil intentatum fuerit ab hostibus, tum simul omnia in summam tranquillitatem convertit, **250** ac præter omnium exspectationem res ipsas optime constituit et firmat.

Cum quis te offendit, noli ad ipsum aspicere, sed ad dæmonem impellentem, et iram totam in il-

lum effundito, illius autem miserere qui a dæmone impellitur.

Non enim solum dum boni aliquid facimus, sed etiam dum mali patimur aliquid, magna præmia exspectare debemus : id quod Jobus ostendit, qui ex malis et rebus adversis magis quam a recte factis, clarus evasit.

Nulla profecto res est, quæ tam splendidos efficiat et imitatione dignos, ac bonis et commodis afficiat innumeris, quam multæ et variæ tentationes et afflictiones, pericula, labores, tristitiæ et continenter insidiis appeti vel ab iis qui minime debebant, sed omnia leniter ferre.

Quidquid enim a quocunque injuste patimur, aut ad peccatorum remissionem Deus nobis injuriam illam imputat, aut ad mercedis remunerationem.

Qui meditatas habet afflictiones, non fastidiet cum opprimetur.

S. Nili. Contemnere et nolle pati calamitates magnæ et varlæ est insipientiæ proprium.

Pythagoræ. Magnam eam peritiam existimato, per quam ferre possis imperitiam.

Glyconis. Notio Dei per lenitatem et clementiam in homines declaratur.

Metrodori. Sperare non debes ut ea quæ fiunt, quemadmodum velis fiant : sed quemadmodum res ipsæ accidunt, ita accipere debes.

Josephi. Nihil tam plagas reprimit, quam eas ferre : et injuriam accipientium patientia quieta injuriam facientibus pudorem affert.

SERMO XC [*al.* LXXIII].

De non patientibus et animo parvo præditis.

Salomon. Parvo animo præditus valde est insipiens.

Animi virum angusti quis ferat ?

Eccli. II. Væ vobis qui patientiam perdidistis ! quid facietis cum Dominus ad res inspiciendas veniet ?

S. Basilii. Si irasceris conviciantl, convicia approbasti. Quid enim ira insipientius ? Sin vero nihil moveris iram, injuriam facientem pudore affecisti, reipsa temperantiam manifestans.

Evidentibus argumentis Dominus noster patientiæ viam nobis monstravit, leniter mansueteque percutientem ferens, nihilque se commovens. Effector enim cœli terræque et Dominus ab omnibus creatis adorandus, qui fulcit omnia verbo virtutis suæ, eum a quo alapa cæsus fuerat, haudquaquam vivum ad **251** inferendos dehiscente terra demisit, sed monuit et docuit, dicens : « Si male sum locutus, testare de malo : sin autem bene, cur me cædis ? » Si enim assuefactus fueris omnium postremus esse, quemadmodum præceptum est Domini, nunquam indignaberis, quasi præter dignitatem tibi contingat injuria.

Theologi. Ex iis qui tentantur, alii mihi videntur lo morem levissimorum lapillorum et inanium conchularum rapi, ac ne ad brevissimum quidem tem-

κατ' ἐκείνου κίνωσον · αὐτὸν δὲ καὶ ἐλέει τὸν ὑπ' ἐκείνου κινούμενον.

Οὐ γὰρ τὸ ποιῆσαί τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν τι κακὸν πολλὰς ἔχει τὰς ἀμοιβάς· καὶ δείκνυσιν Ἰὼβ, ἀπὸ τῶν παθημάτων μᾶλλον ἢ ἀπὸ τῶν κατορθωμάτων εὐδοκιμήσας.

Οὐδὲν γὰρ οὕτω λαμπροὺς ποιεῖ καὶ ζηλωτοὺς, καὶ μυρίων ἐμπίπλησιν ἀγαθῶν, ὡς πειρασμῶν πλῆθος, καὶ κίνδυνοι, καὶ πόνοι, καὶ ἀθυμίαι, καὶ τὸ διηνεκῶς ἐπιβουλεύεσθαι, καὶ παρ' ὧν οὐδαμῶς ἐχρῆν, καὶ πράως ἅπαντα φέρειν.

Ὅπερ γὰρ ἂν πάθωμεν ἀδίκως παρ' ὁτουοῦν, ἢ εἰς ἁμαρτημάτων διάλυσιν ὁ Θεὸς ἡμῖν λογίζεται τὴν ἀδικίαν ἐκείνην, ἢ εἰς μισθοῦ ἀντίδοσιν.

Ὁ μεμελετηκὼς θλίβεσθαι οὐδὲ ἀποδυσπετήσει πρὸς τὸ πιέζεσθαι.

Τὸ ὀλιγωρεῖν καὶ μὴ θέλειν ὑπομένειν συμφορὰς μεγάλης καὶ ποικίλης ἀφροσύνης ἴδιον.

Μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσει φέρειν ἀπαιδευσίαν.

Γνῶσις Θεοῦ διὰ μακροθυμίας καὶ πραότητος εἰς ἄνδρα γνωρίζεται.

Μὴ ζήτει γενέσθαι τὰ γινόμενα ὡς θέλεις, ἀλλὰ θέλε ὡς ἂν τὰ γινόμενα γίνηται.

Οὐδὲν οὕτω τὰς πληγὰς ἀναστέλλει, ὡς τὸ φέρειν· καὶ τὸ τῶν ἀδικουμένων ἡσύχιον τοῖς ἀδικοῦσι γίνεται διατροπή.

ΛΟΓΟΣ ϟ.

Περὶ τῶν μὴ ὑπομενόντων, ἀλλ' ὀλιγοψυχούντων.

Ὀλιγόψυχος ἰσχυρὸς ἄφρων.

Ὀλιγόψυχον ἄνδρα τίς ὑποίσει ;

Οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν ! καὶ τί ποιήσετε, ὅταν ἐπισκέπτηται Κύριος ;

Ἐὰν ὀργισθῇς κατὰ τοῦ λοιδορήσαντος, ἐβεβαίωσας τὰ ὀνείδη. Τί γὰρ ὀργῆς ἀφρονέστερον ; Ἐὰν δὲ μείνῃς ἀόργητος, ἴσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος.

Δι' ἐναργῶν ὑποδειγμάτων ὁ Κύριος ἡμῶν ἐπαίδευσεν ἡμᾶς τὴν τῆς ὑπομονῆς ὁδὸν, πράως καὶ ἀκινήτως ἐχόμενος τοῦ τύπτοντος. Ὁ γὰρ οὐρανοῦ καὶ γῆς ποιητὴς καὶ Δεσπότης, ὁ παρὰ πάσης τῆς κτίσεως προσκυνούμενος, ὁ φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχὶ ζῶντα ἔπεμψε τὸν ῥαπίσαντα εἰς τὸν ᾅδην, τῆς γῆς ὑποῤῥαγείσης· ἀλλ' ἐνουθέτει καὶ ἐδίδασκε, λέγων· « Εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις ; » Ἐὰν γὰρ ἐθισθῇς πάντων ἔσχατος εἶναι, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, οὐποτε ἀγανακτήσεις, ὡς παρ' ἀξίαν τῆς ὕβρεως ἀπαντώσης.

Τῶν πειραζομένων οἱ μὲν ἐδόκουν μοι ὡς τὰ κουφότατα καὶ ἄπνοα τῶν καχλήκων, καὶ τῶν κηρυκίων παρασύρεσθαι, καὶ οὐδὲ μικρὸν ἀντέχειν πρὸς

τὰς ἐπηρείας δυνάμενα· οὐδὲ γὰρ ἔχουσιν ἐν ἑαυτοῖς στερρότητα καὶ βάρος λογισμοῦ σώφρονος καὶ προσπίπτουσιν ἀντιβαίνοντος. Οἱ δὲ εἶναι πέτρα, τῆς πέτρας ἐκείνης ἄξιοι, ἐφ' ἧς βεβήκαμεν, καὶ ἣν λατρεύομεν· ὅσοι φιλοσόφῳ χρώμενοι λόγῳ, καὶ ὑπεραναβάθηκότες τὴν τῶν πολλῶν ταπεινότητα, πάντα φέρουσιν ἀσείστως καὶ ἀτινάκτως, καὶ διαγελῶσι μᾶλλον, ἢ ἐλεοῦσι τοὺς σειομένους, τὸ μὲν ὑπὸ φιλοσοφίας, τὸ δὲ ὑπὸ φιλανθρωπίας. Αὐτοὶ δὲ τῶν αἰσχρῶν τίθενται ἀπόντα μὲν τὰ δεινὰ περιφρονεῖν, μᾶλλον δὲ μηδὲν οἴεσθαι, παρόντων δὲ ἡττᾶσθαι, καὶ ταῦτά τινων τῶν παρερχομένων· καὶ τοῦ καιροῦ μὲν ἔξω φιλοσοφεῖν, ἐν δὲ ταῖς χρείαις ἀφιλοσόφους φαίνεσθαι· ὥσπερ ἄν εἴ τις ἑαυτὸν νομίζει τῶν ἀθλητῶν, μηδὲ καταβαίνων εἰς τὸ στάδιον, ἢ κυβερνήτην τῶν εὐδοκίμων, ἐν μὲν ταῖς εὐδίαις τῇ τέχνῃ μεγαλοφρονοῦντα, ἐν δὲ ταῖς ζάλαις μεθιέντα τοὺς οἴακας.

Τὸ ὀλιγωρεῖν καὶ μὴ θέλειν ὑπομένειν συμφορὰς μεγάλης καὶ ποικίλης ἀφροσύνης ἴδιον.

ΛΟΓΟΣ ΚΑ'.

Περὶ πολιτείας σεμνῆς καὶ ὑπακοῆς.

Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· τῷ αἰτοῦντί σε δίδου, καὶ τῷ θέλοντι ἀπὸ σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς.

Ἐάν τίς με ἀγαπᾷ, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Ταῦτα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, μηδὲν κατ' ἐριθείαν, ἢ κενοδοξίαν.

Μὴ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνησθε πρὸς αὐτάς. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν· καὶ πᾶν ὅ τι ἂν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι παρὰ τοῦ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς.

Ἄδικον οὐδὲν ἦν ἐν χερσί μου, εὐχὴ δέ μου καθαρά.

Οἱ ὀφθαλμοί σου ἐρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια.

Ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς παῖδας καταλείψει.

A pus insultum sustinere posse : neque enim in se possident rationis temperatæ soliditatem et gravitatem, quæ casibus irruentibus obsistat. Alii vero similes videntur petræ, illa petra digni in qua stamus, quamque colimus, quicunque ratione utentes sapientiæ studiosa, vulgi excellunt humilitatem, et omnia ferunt æquo animo et infracto, ac rident magis, quam miserentur alios, qui vexantur : illud per philosophiam, hoc vero per humanitatem. Ipsi autem turpe existimant, quæ absunt pericula contemnere et nihili æstimare, præsentibus superari, et præsertim prætereuntibus : et non in tempore philosophari, in ipso autem usu philosophiæ expertes deprehendi, tanquam si quis se velit athletam existimari, qui nunquam in stadium descenderit, aut B egregium gubernatorem qui in serenitate magnos ob artem sibi sumat spiritus, intempestatibus autem gubernacula deserat.

Proprium est insignis stultitiæ, adversas res parvi facere, et nolle cum accidunt pati.

SERMO XCI [*al.* C].

De republica honesta, et de obedientia.

Matth. v. Audistis dictum esse antiquis : Oculum pro oculo, et dentem pro dente. At ego dico vobis, non esse malo resistendum ; sed qui alapam tibi incusserit in malam dextram, obvertito ei et alteram ; volentique tecum certare et tunicam auferre tuam, permitte et pallium : et si quis te adegerit ire miliare unum, cum eo duo pergito : petenti a te dato, et volentem abs te mutuum sumere ne aversator. C

Si quis me diligit, sermonem meum servabit, et Pater meus diliget eum, et ad eum veniemus, et apud eum manebimus.

Philipp. II. Hæc facite sine murmuratione et disputatione, nihil per contentionem, aut inanem gloriam.

Ne murmuremus, sicut quidam illorum murmuraverunt et perditi sunt a perdente.

Uxores, subjectæ viris estote, sicuti decet propter Dominum. Viri, diligite **252** uxores, nec erga illas acerbi sitis. Liberi, obedite parentibus in omnibus, quia hoc Domino pergratum est. Patres, nolite liberos vestros irritare, ne illi despondeant animum. D Servi, subjecti dominis carneis estote, non ad oculum servientes, quasi qui hominibus placere studeatis, sed in simplicitate cordis Deum metuentes ; et quidquid facitis, id ex animo exsequi debetis, quasi in conspectu Domini, non hominum, non ignorantes futurum esse, ut a Domino remunerationem hæreditatis acceptori sitis. Quod justum et æquum est, domini, servis tribuite, quod sciatis vos habere Dominum in cœlis.

Job XXXI. Iniquum nihil fuit in manibus meis, precatio autem mea pura.

Prov. IV. Oculi tui recte aspiciant, et palpebræ tuæ æqua nutent.

Qui sine reprehensione in justitia versatur, liberos relinquet beatos.

Senectus honorata, non quæ multos habet annos, nec numero annorum metienda est, sed vita intaminata.

S. Basilii. Fac discas, o homo, ac docearis evangelicam conversationem, oculorum eruditionem, linguæ continentiam, corporis servitutem, animi humilitatem, puritatem mentis, iræ extinctionem. Cum aliquid abs te exigitur, etiam amplius adde: cum fraudatus fueris, judicium ne petito: si te quis odit, amato: si persequitur, sustineto: si conviciis proscindit, obsecrato.

Factum tacitum dicto præstat infecto.

Nemo sine actione adhuc probatus est,
At absque verbis argute prolatis quam plurimi.
Non enim loquentibus, sed recte viventibus gratia [debetur.

Ubi res ipsæ comparent, longa supervacua est oratio.

S. Chrysost. Vita potentior oratione verbisque mores, et operum demonstratio verborum doctrinæ præponitur.

Philipp. II; *Psal.* II. Audi Apostolum dicentem, Cum timore et tremore vestram ipsorum salutem efficite: omnia facite sine murmurationibus et disputationibus, ut sitis simplices ac tales de quibus conqueri possit nemo, filii Dei sine reprehensione. Quin etiam vates David, Servite, inquit, Domino cum metu, quia ubique est Deus, audit omnia, omnia videt, non modo ea quæ aguntur et dicuntur, verum etiam ea omnia quæ in cordibus volutantur, vel quæ sunt in fundo cordis: ipse enim est cupiditatum et cogitationum cordis judex et cognitor.

253 S. *Nili.* Præstantioribus subjectum esse utilissimum est.

Infinita sunt mala quæ commaculant animum, a quibus expurgari et elui omnino non licet: necessario enim relinquuntur cuivis mortali sordes, quæ leviores fieri posse videntur, tolli autem omnino non possunt.

Obedientia juncta continentiæ vel bestias subigit.

SERMO XCII [*al.* C].

De republica vituperanda, et inobedientibus ac rebellibus, deque iis qui moribus improbandis præditi sunt.

Quia noluerunt mea sequi consilia, sed increpationes meas deriserunt, viæ suæ fructibus fruentur, et cupiditatibus suis explebuntur.

Jerem. Populo huic fuit cor inobediens et rebelle: omnes inobedientes sunt et per ambages ingrediuntur.

Ad quem loquar et testabor, ut audiat? Ecce aures eorum incircumcisæ sunt, nec possunt audire.

Ezech. III. Qui audit me, audiat; et qui non paret, ne pareat.

Basilii. Ubi inimicitiæ, lites, iræ, contentiones,

Γῆρας τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μετρεῖται, ἀλλὰ βίος ἀκηλίδωτος.

Μάθε, ἄνθρωπε, διδάχθητι τὴν εὐαγγελικὴν πολιτείαν, ὀφθαλμῶν ἀκρίβειαν, γλώσσης ἐγκράτειαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότητα, ὀργῆς ἀφανισμόν. Ἀγγαρευόμενος πλέον ἐπίθες, ἀπατώμενος μὴ δικάζου, μισούμενος ἀγάπα, διωκόμενος ἀνέχου, βλασφημούμενος παρακάλει.

Ἄφωνον ἔργον κρεῖσσον ἀπράκτου λόγου.
Βίου μὲν οὐδεὶς πώποθ' ὑφώθη δίχα·
Λόγου δὲ πολλοὶ τοῦ καλῶς ψοφουμένου.
Οὐ γὰρ λαλούντων, εὖ βιούντων δ' ἡ χάρις.
(*Theologi.*)
Φαινομένων ἔργων περιττόν ἐστι μακρολογία.

Βίος λόγου δυνατώτερος, καὶ τρόποι ῥημάτων, καὶ ἡ διὰ τῶν ἔργων ἐπίδειξις τῆς διὰ τῶν λόγων διδασκαλίας.

Ἄκουσον τοῦ Ἀποστόλου λέγοντος· Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε· πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα. Ἀλλὰ καὶ ὁ θεσπέσιος Δαυὶδ φησι· Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ. Πανταχοῦ γὰρ πάρεστιν ὁ Θεὸς, πάντα ἀκούει, πάντα ὁρᾷ οὐ τὰ πραττόμενα μόνον καὶ λεγόμενα, ἀλλὰ καὶ τὰ ἐν καρδίαις ἅπαντα, καὶ τὰ ἐν τῷ βάθει τῆς καρδίας. Κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.

Τὸ ὑποτάττεσθαι τοῖς κρείττοσιν ὠφελιμώτατον.

Ἄπειρα τὰ καταῤῥυπαίνοντα τὴν ψυχὴν κακὰ, ἅπερ ἐκνίψασθαι καὶ ἀπολούσασθαι παντελῶς οὐκ ἔνεστιν· ἀπολείπονται γὰρ ἐξ ἀνάγκης παντὶ θνητῷ κῆρες. Λωφῆσαι μὲν γὰρ εἰκὸς, ἀναιρεθῆναι δὲ εἰσάπαξ ἀμήχανον.

Ὑπακοὴ μετὰ ἐγκρατείας ὑποτάσσει καὶ θηρία.

ΛΟΓΟΣ ΚΒ'.

Περὶ πολιτείας ψεκτῆς, καὶ ἀνυποτάκτων, καὶ ἀποβλήτων τὸ ἦθος καὶ τοὺς τρόπους ἐχόντων.

Ἐπειδὴ οὐκ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, ἐμυκτήρισαν δὲ ἐμοὺς ἐλέγχους· τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς, καὶ τῆς ἑαυτῶν ἐπιθυμίας πλησθήσονται.

Τῷ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος καὶ ἀπειθής· πάντες ἀνήκοοι, πορευόμενοι σκολιῶς.

Πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι, καὶ ἀκούσεται; Ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν.

Ὁ ἀκούων μου ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπειθείτω.

Ὅπου ἔχθραι, ἔρεις, θυμοὶ, φιλονεικίαι, θορύ-

δου; ἀσιγήτους ταῖς ψυχαῖς ἐμποιοῦσαι, ἐκεῖ τὸ πνεῦμα τῆς πραότητος οὐκ ἀναπαύεται.

Κρεῖσσον οἶμαι ἐπιτιμηθῆναι παρὰ πατρὸς καὶ δεσπότου, ἢ ἀπωσθῆναι.

Ἀναιδὲς βλέμμα, καὶ μετέωρος αὐχὴν, καὶ συνεχὴς κίνησις ὀφρύων, καὶ βάδισμα σεσοβημένον, καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων ἐρυθριᾷν, σημεῖα ψυχῆς ἐστιν αἰσχίστης, τοὺς ἀφανεῖς τῶν οἰκείων ὀνειδῶν τύπους ἐγγραφούσης τῷ φανερῷ σώματι.

Ἀεὶ γὰρ ἀπειρήτων νόος ἀνδρῶν

Δύσμαχος, οὐδὲ θέλουσι καὶ ἀτρεκέεσσι πιθέσθαι.

ΛΟΓΟΣ ΙΓ'.

Περὶ ἀμοιβῆς τῶν εὖ καὶ κατ' ἀρετὴν βιωσάντων ἐν ἀπεράντῳ μακαριότητι.

Ὁ Θεὸς ὁ φυλάττων τὴν διαθήκην αὐτοῦ, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ, εἰς χιλίας γενεάς.

Δίκαιοι κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Τοὺς δικαίους καταλήψεται ἀγαθά.

Ὁ πορευόμενος δικαίως βοηθηθήσεται.

Χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ· ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψεται αὐτῶν βάσανος.

Τάδε λέγει Κύριος, Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε.

Ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαὸς πᾶς ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῇ βίβλῳ ταύτῃ, καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι, ἐξεγερθήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου.

Ἀγαθὰ τοῖς ἀγαθοῖς ἐκτίσθη ἀπ' ἀρχῆς.

Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν.

Πρόκειται ἀνάπαυσις αἰωνία τοῖς νομίμως τὸν ἐνταῦθα διαθλήσασι βίον, οὐ κατὰ ὄφλημα τῶν ἔργων ἀποδιδομένη, ἀλλὰ κατὰ χάριν τοῦ μεγαλοδώρου Θεοῦ τοῖς εἰς αὐτὸν ἠλπικόσι παρεχομένη.

A quæ in animis tumultus inexplicabiles excitant ibi spiritus clementiæ non requiescit.

Theologi. Præstat, opinor, a patre et domino objurgari, quam abdicari.

Impudens oculus, cervix erecta, continua superciliorum motio, incessus fastuosus, et ob nullam rem improbam erubescere, animi fœdissimi signa sunt, occultas probrorum suorum formas conspicuo corpori inscribentis.

Oppiani. Semper enim imperitorum mens viro-
[rum
Expugnatu difficilis est; nec volunt etiam veris
[fidem habere.

SERMO XCIII [*al.* CLVII].

De remuneratione eorum qui bene et ex virtute vixerunt, in beatitudine sempiterna.

B *Deut.* XXVIII. Deus qui servat testamentum suum, et misericordiam diligentibus ipsum iisque qui mandata ipsius exsequuntur, in mille ætates.

Psal. XXXVI. Justi hæreditatem terræ accipient, ac in ea in sæculum sæculi habitabunt.

Misericordia autem Domini continuatur per sæcula iis qui ipsum metuunt.

Salomon. Justi optime excipientur.

Qui juste vivit, ei auxilium non deerit.

Benigni terræ erunt possessores, et innocentes in ea relinquentur; nam qui recti sunt, habitabunt terram, ubi abierit dolor, tristitia et gemitus.

C **254** Justus si extremum vitæ diem confecerit, in requiete futurus est.

Justorum animi in manu Dei sunt, nec tanget illos cruciatus.

Isa. LXV. Hæc Dominus sunt verba: Ecce, inquit, servi mei edent, vos autem esurietis. Ecce servi mei bibent, vos autem sitietis. Ecce qui serviunt mihi, lætabuntur, vos autem pudore afficiemini.

Dan. XII. In tempore illo salutem consequetur omnis populus, qui fuerit inventus in hoc libro scriptus: multique eorum qui dormiunt in terræ tumulo, excitabuntur ad vitam sempiternam, et qui intelligunt splendebunt quasi splendor firmamenti.

D *Sap.* V. Justi æternum vivunt, et in Domino merces eorum, et de ipsis sollicitudo apud Altissimum. Itaque regiam magnificam et decorum diadema accipient de manu Domini.

Eccli. XXXIX. Bona bonis jam inde ab initio condita sunt.

Matth. XXV. Tum dicet rex iis qui fuerint ad dexteram: Adeste, vos benedicti a Patre meo, possidete paratum vobis regnum a mundi constitutione. Esurivi enim, et dedistis mihi edere.

S. Basilii. Proponitur requies æterna iis qui legitime in hac vita decertarint, quæ non ex debito operum redditur, sed ex Dei magnorum donorum largitoris gratia, iis qui in ipso spem habuerint, præbetur.

Justorum corona Spiritus est gratia, quæ et copiosior et perfectior conceditur, cum pro ratione fortium factorum spiritalis gloria cuique dispertiatur. In splendoribus enim sanctorum multæ sunt mansiones apud Patrem. Hæc sunt quæ dignitatum differentiam efficiunt.

Theologi. Ac alios quidem lumen inenarrabile excipit, ac sanctæ et regalis Trinitatis contemplatio, quæ lucidius et purius illustrat, quæque tota menti permista est: quod ipsum solum et maxime regnum cœlorum existimo.

Præmium virtutis deum fieri, et purissima luce collustrari.

Non qui non supplicio dignus, idem continuo et honore: quemadmodum et præmio indignus non statim supplicium meretur.

S. Chrysost. Regnum cœlorum non est terra fluens melle et lacte, nec viridis senecta, nec liberorum copia, non cibus, non vinum, non ovilia, non bubilia, sed cœlum ac ea bona quæ in cœlo sunt, et adoptio et fraternitas cum Unigenito, et communio hæreditatis, et una cum illo gloria affici et regnare, et sexcenta talia præmia.

Intelligere debemus eos qui ex parte **255** mandata exsecuti fuerint, juxta eamdem rationem in regnum cœlorum ingredi; qui autem ad perfectum venire volunt, necesse habent omnia prorsus exsequi; continet autem omnia mandata animæ abnegatio, quæ est mors.

SERMO XCIV [*al.* CLVII].

De remuneratione eorum, qui in vitio et illicite vixerint: perpetuumque illis et interminatum propositum esse supplicium.

Deut. XXVIII. Ut non perdat sceleratus innocentem, nolet Deus illi placari, sed exardescet ira Domini, et æmulatio ejus in hominem illum.

Job. XVIII. Qui sementem absurdam fecerint, dolores sibi metent.

Impiorum lucerna exstinguetur. Veniet conversio eorum, et similes erunt paleis, quæ a vento dispelluntur.

Paululum cæsus es flagellis ob ea quæ peccasti.

Psal. X. Pluet in improbos laqueo, igne, sulphure et vento procelloso.

Facies Domini in eos qui mala patrant.

Mors sceleresorum mala.

Ut cera igne liquefit, sic peccatores interibunt.

Reddet illis Dominus iniquitatem ipsorum, et pro ratione malitiæ illorum Dominus Deus exterminabit eos.

Manasse. Ira tuarum in sceleratos minarum intoleranda est.

Prov. Promptum est impiorum exitium, de quo inimici lætantur.

In supplicio scelerosorum non est ullum remedium.

Vitam impiorum Dominus evertet.

Τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις, δαψιλεστέρα τε καὶ τελειοτέρα παρεχομένη κατὰ τὴν ἀναλογίαν τῶν ἀνδραγαθημάτων τῆς πνευματικῆς δόξης διανεμομένης ἑκάστῳ. Ἐν γὰρ ταῖς λαμπρότησι τῶν ἁγίων πολλαὶ μοναὶ παρὰ τῷ Πατρί. Ταῦτ' ἐστὶν ἀξιωμάτων διαφοραί.

Καὶ τοὺς μὲν τὸ ἄφραστον φῶς ὑποδέχεται, καὶ ἡ τῆς ἁγίας καὶ βασιλικῆς Τριάδος θεωρία, ἐλλαμπούσης τρανότερόν τε καὶ καθαρώτερον, καὶ ὅλης ὅλῳ νοῒ μιγνυμένης, ἣν δὴ καὶ μόνην καὶ μάλιστα βασιλείαν οὐρανῶν ἐγὼ τίθεμαι.

Ἆθλον ἀρετῆς θεὸν γενέσθαι, καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι.

Οὐ γὰρ ὅστις οὐ κολάσεως ἄξιος, ἤδη καὶ τιμῆς· ὥσπερ οὐδὲ ὅστις οὐ τιμῆς, ἤδη καὶ κολάσεως.

Οὐκ ἔστιν ἡ βασιλεία τῶν οὐρανῶν γῆ ῥέουσα μέλι καὶ γάλα, οὐδὲ γῆρας λιπαρὸν, οὐδὲ πολυπαιδία, οὐδὲ σῖτος καὶ οἶνος, καὶ προβάτια καὶ βουκόλια, ἀλλ' οὐρανὸς καὶ τὰ ἐν οὐρανοῖς ἀγαθὰ, καὶ υἱοθεσία καὶ ἀδελφότης ἡ πρὸς τὸν Μονογενῆ, καὶ κοινωνία κληρονομίας καὶ τὸ συνδοξασθῆναι καὶ συμβασιλεῦσαι, καὶ τὰ μυρία ἔπαθλα ἐκεῖνα.

Εἰδέναι χρὴ ὅτι καὶ οἱ μερικῶς τὰς ἐντολὰς ἐργασάμενοι κατὰ ἀναλογίαν εἰς τὴν βασιλείαν εἰσέρχονται· οἱ δὲ βουλόμενοι εἰς τὸ τέλειον φθάσαι ὀφείλουσι περιεκτικῶς πάσας ἐργάσασθαι. Περιεκτικὴ δὲ πασῶν τῶν ἐντολῶν ἐστιν ἡ τῆς ψυχῆς ἄρνησις, ὅ ἐστι θάνατος.

ΛΟΓΟΣ ϙΔ'.

Περὶ ἀμοιβῆς τῶν ἐν κακίᾳ καὶ ἀθέσμως βιωσάντων· καὶ ὅτι διηνεκὴς καὶ ἀπέραντος ἡ ἀποκειμένη αὐτοῖς κόλασις.

Ἵνα μὴ ἀπολέσῃ ὁ ἁμαρτωλὸς τὸν ἀναμάρτητον, οὐ μὴ θελήσει ὁ Θεὸς ἱλασθῆναι αὐτῷ· ἀλλ' ἐκκαυθήσεται ὀργὴ Κυρίου, καὶ ὁ ζῆλος αὐτοῦ ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ.

Οἱ σπείροντες τὰ ἄτοπα ὀδύνας θερίζουσιν ἑαυτοῖς.

Ἀσεβῶν λύχνος σβεσθήσεται. Ἐλεύσεται δὲ ἡ καταστροφὴ αὐτῶν, καὶ ἔσονται ὥσπερ ἄχυρα ὑπὸ ἀνέμου.

Ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι.

Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδα, πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος.

Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά.

Θάνατος ἁμαρτωλῶν πονηρός.

Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί.

Ἀνταποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεός.

Ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου.

Πρόχειρος καὶ ἐπίχαρτος γίνεται ἀσεβῶν ἀπώλεια.

Ἐν ἐπαγωγῇ ἁμαρτωλῶν οὐκ ἔστιν ἴασις.

Ζωὴν ἀσεβῶν ἀναστρέψει Κύριος.

Δικαίως ἀσεβῶν εἰς θάνατον.

Ἑτοιμάζονται ἀκολάστοις μάστιγες.

Οἱ ἄνομοι διελεύσονται ἀγαθά, καὶ οὐκ εἰσελεύσονται εἰς αὐτά.

Φῶς ἀσεβῶν σβέννυται.

Ἁμαρτάνοντας καταδιώξεται κακά.

Ἡ καταστροφὴ τῶν παρανόμων κακή.

Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν.

Οἶκοι ἀσεβῶν ἀφανισθήσονται.

Στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς κακά, καὶ οὐκ εἰς ἀγαθά.

Ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ τῆς γῆς, λέγει Κύριος παντοκράτωρ.

Ἰδοὺ ἡμέρα ἔρχεται ὡς κλίβανος καιομένη, καὶ φλέξει αὐτούς, καὶ ἔσονται πάντες οἱ ἄνομοι καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ· καὶ οὐ μὴ ὑπολειφθῇ αὐτοῖς ῥίζα, οὐδὲ κλῆμα.

Συντέλεια ἐπὶ ἁμαρτωλοὺς ἥξει.

Ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται μετὰ θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς.

Οὐαὶ τῷ ἀνόμῳ! πονηρὰ κατὰ τὰ ἔργα αὐτοῦ συμβήσεται αὐτῷ.

Κατακαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων.

Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ.

Πῦρ, χάλαζα, καὶ λιμὸς, καὶ θάνατος, πάντα ταῦτα εἰς κόλασιν ἁμαρτωλῶν ἐκτίσθη.

Ἐκδίκησις ἁμαρτωλῶν πῦρ καὶ σκώληξ· ἐπὶ ἁμαρτωλοὺς κατακαύσῃ ὁ θυμὸς αὐτοῦ.

Ὥσπερ συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ καίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου· ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ ἐμβαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Τότε ἐρεῖ ὁ βασιλεὺς καὶ τοῖς ἐξ εὐωνύμων, Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.

Τοὺς πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, εἴτε φαῦλον.

Ἓν καὶ τοῦτο τῆς τοῦ διαβόλου μεθοδείας, τὸ τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὥσπερ ἐπιλαθομένους τῶν τοσούτων καὶ τοιούτων τοῦ Κυρίου ἀποφάσεων, τέλος κολάσεως ἑαυτοῖς ἀπογράφειν, καὶ εἰς τὸ μέλλον κατατολμᾷν τῆς ἁμαρτίας. Εἰ γὰρ τῆς αἰωνίου κολάσεως ἔσται ποτὲ τέλος, πάντως ἥξει καὶ

A Impiorum afflictio mortifera.

Præparantur intemperantibus flagella.

Exleges præteribunt bona, et non ingredientur in ea.

Lumen impiorum extinguitur.

Peccantes mala persequentur.

Exitus iniquorum miser.

Exsecratio Domini in domibus impiorum.

Domus impiorum exterminabuntur.

Amos IX. Defigam oculos meos in illos ad calamitates inferendas, non prosperitates.

Sophon. III. Infirmi erunt impii, et de terra tollam iniquos, Dominus ait omnipotens.

Malach. IV. Ecce dies veniet quasi clibanus exardescens, et cremabit eos, eruntque omnes iniqui B stipula similes, et incendet eos dies illa quæ ventura est, dicit Deus omnipotens, neque relinquetur nec radix nec ramus.

256 *Habac.* Consummatio in scelerosos veniet.

Isa. XIII. Ecce dies Domini veniet cum vehementi ira, ut totum orbem desertum efficiat, et ex eo tollat scelerosos.

Væ iniquo! mala, sicut opera ipsius requirunt, accident ei.

Exurentur iniqui et scelerati simul, nec exsistet quisquam qui ignem exstinguat.

Vermis eorum non morietur, nec ignis ipsorum restinguetur, eruntque omnibus spectaculo

C *Eccli.* XVI In consilio scelerosorum ignis exardebit.

XXXIX. Ignis, grando, et fames, et mors, hæc omnia ad sceleratorum supplicium condita sunt.

Matth. XIII. Vindicta scelerosorum ignis et vermis : in scelerato ira illius exardescet.

Quemadmodum colliguntur zizania, et igni exuruntur, sic fiet in hujus sæculi consummatione; mittet Filius hominis angelos suos, et ex regno ipsius colligent omnia offendicula, eosque qui iniqua segerunt, et conjicient in fornacem ignis, ubi futurus est fletus et stridor dentium.

Tum dicet rex iis, qui erunt ad sinistram : Discedite a me, exsecrati, in ignem sempiternum, qui D diabolo et angelis ejus paratus est.

II Petr. II. Novit Dominus pios ex tentatione eripere, iniquos autem in diem judicii cruciandos servare.

II Cor. V. Ad tribunal Christi ut sistamur omnes oportet, ut auferat quisque pro suis actionibus, quas in corpore gessit, sive bonum, sive malum.

S. Basilii. Ex insidiis diaboli sunt etiam istæ, ut multi homines, quasi obliti tot et talium Domini sententiarum, finem supplicium sibi circumscribant, quo in futurum audacius peccent. Si enim æterni supplicii futurus est aliquando finis, omnino et vita æterna finem habitura est. Quod si hoc de vita

æterna non probamus, qua ratione supplicio sempiterno finem concedemus? nam in utroque æternitatis vocabulum æque additum est. « Abibunt enim, inquit, isti in supplicium æternum ; justi vero in æternam vitam. »

O quam te ipse laniabis! quam suspirabis et genies frustra! sero scilicet plorans, rebus jam constitutis nec mutationem admittentibus, cum videris justorum splendorem in illa magnifica donorum distributione, et scelerosorum in profundissimis tenebris demissionem et tristitiam.

Peccati labores tristis et laboriosa manet gehenna.

Suæ quisque actionis fructus in illo remunerationis die agnoscet.

Theologi. Quam melius est nunc castigari et perpurgari, quam in illum cruciatum **257** venire, cum judicii, non purgationis tempus erit.

Non enim licet iis qui ad inferos descenderint confiteri et se corrigere. Conclusit enim Deus hic vitam et actionem, illic autem rerum gestarum examinationem, post quam non restat judex major, non per secunda opera defensio; non oleum a prudentibus virginibus, aut a vendentibus, lampadibus quæ jam exstinguuntur, comparari potest. Nulla est pœnitentia divitis, qui flammis exuritur, et domesticis suis correctionem inquirit : non relinquitur ad emendationem dies, sed solum hoc et supremum et formidolosissimum judicium exstat.

O diem mihi infelicem! ubi illum effugiam?
Et qualis fiam? Metuo enim sterilis,
Metuo spinis et Gomorræ labruscis
Refertus apparere, quando judicans Christus
Deus, assignabit pro dignitate d s
Locum, prout quisque lucis splendorem sustinet.

S. Chrysost. Non solum bonorum, sed etiam improborum immortalia surgunt corpora; sed honor hic sceleratis supplicii et cruciatus occasio est; immortalia enim resurgunt, ut semper ardeant. Nam cum ignis ille sit talis, ut nunquam exstinguatur, ei talibus opus est corporibus, quæ nunquam conficiantur.

'Excitamur ergo æterna habentes corpora, sed non omnes similia. Sed si quis est justus, is corpus spirituale accipit, ut digne cum angelis versetur. At si quis scelerosus est, corpus accipit quod peccati supplicia pati possit, ut igni sempiterno ardens conficiatur nunquam. Atque id justissime Deus utrisque ordinibus constituit, quod sine corpore a nobis gestum est nihil.

SERMO XCV [*al.* CLXXV].

Quomodo subjici quis debeat, et valedicere mundo et postea exercere.

S. Basilii. Debent igitur qui in ascesi et meditatione volunt vitam degere (ut qui in balneum ingrediuntur, omnem vestitum exuunt), omni materia negotiorum vitæ nudati, intra septa philosophicæ vitæ se abdere.

A ἡ αἰώνιος ζωή. Εἰ δὲ ἐπὶ τῆς ζωῆς τοῦτο οὐ καταδεχόμεθα, ποῖον ἔχει λόγον τῇ αἰωνίᾳ κολάσει τέλος δοῦναι; ἡ γὰρ τοῦ αἰωνίου προσθήκη ἐφ' ἑκατέρων ἐπίσης κεῖται. «Ἀπελεύσονται γὰρ, φησὶν, οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. »

Ὦ πόσα σπαράξεις ἑαυτόν! ὦ πόσα στενάξεις ἄπρακτα! μεταχλαίων ἐπὶ τοῖς ἤδη βουλευθεῖσιν, ὅταν ἴδῃς τὴν λαμπρότητα τῶν δικαίων, ἐν τῇ λαμπρᾷ διανομῇ τῶν δωρεῶν, καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ βαθυτάτῳ.

Τοὺς τῆς ἁμαρτίας καμάτους τὸ τῆς γεέννης ἐπίπονον καὶ σκυθρωπὸν ἀναμένει.

Ἕκαστος τῆς οἰκείας ἐργασίας ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως τοὺς καρποὺς ἐπιγνώσεται.

B Ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι καὶ καθαριοθῆναι, ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κρίσεως καιρὸς, ἀλλ' οὐ καθάρσεως.

Οὐκ ἔστι γὰρ τοῖς ἀπελθοῦσιν ἐν ᾅδῃ ἐξομολόγησις καὶ διόρθωσις· συνέκλεισε γὰρ ὁ Θεὸς ἐνταῦθα μὲν βίον καὶ πρᾶξιν, ἐκεῖ δὲ τὴν τῶν πεπραγμένων ἐξέτασιν. Μεθ' ἣν οὐκ ἔστι κριτὴς ὑψηλότερος, οὐκ ἀπολογία δι' ἔργων δευτέρων, οὐκ ἔλαιον παρὰ τῶν φρονίμων παρθένων, ἢ τῶν πωλούντων, ταῖς ἐκλειπούσαις λαμπάσιν· οὐ μεταμέλεια πλουσίου φλογιζομένου, καὶ τοῖς οἰκείοις ἐπιζητοῦντος διόρθωσιν, οὐ προθεσμία μεταποιήσεως, ἀλλὰ καὶ μόνον καὶ τελευταῖον καὶ φοβερὸν τὸ κριτήριον.

Φεῦ ἡμέρας μοι τῆς κακῆς! ἦν ποῦ φύγω;
C Καὶ τίς γένωμαι; ὡς δέος ἀκαρπίας,
Δέος δ' ἀκανθῶν, καὶ Γομόῤῥας βοτρύων
Πλήρη φανῆναι, Χριστὸς ἡνίκα κρίνων
Θεὸς, θεοῖς δίδωσι τὴν πρὸς ἀξίαν
Χώραν, ἑκάστῳ φωτὸς ὡς ὄψις φέρει.

Οὐ μόνον τῶν δικαίων, ἀλλὰ καὶ τῶν ἁμαρτωλῶν ἄφθαρτα τὰ σώματα ἀνίστανται· ἀλλ' ἡ τιμὴ αὕτη τοῖς ἁμαρτωλοῖς ἐφόδιον κολάσεως· καὶ τιμωρίας γίνεται· ἄφθαρτα γὰρ ἀνίστανται, ἵνα διὰ παντὸς καίηται. Ἐπειδὴ γὰρ τὸ πῦρ ἀσβέστον ἐκεῖνο, τοιούτων αὐτῷ δεῖ σωμάτων, μηδέποτε δαπανωμένων.

Ἐγειρόμεθα τοίνυν, αἰώνια μὲν ἔχοντες τὰ σώματα, οὐ πάντες δὲ ὅμοια. Ἀλλ' εἰ μέν τίς ἐστι δίκαιος, λαμβάνει σῶμα πνευματικὸν, ἵνα δύνηται μετὰ ἀγγέλων ἀναστρέφεσθαι ἀξίως. Εἰ δέ τις ἁμαρτωλός ἐστι, λαμβάνει σῶμα ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν, ἵνα ἐν πυρὶ αἰωνίῳ καιόμενος μηδέποτε καταναλωθῇ. Καὶ δικαίως· ἀμφοτέροις τοῖς τάγμασιν ὁ Θεὸς παρέχει τοῦτο· οὐ γὰρ χωρὶς σώματος ἡμῖν πέπρακταί τι.

ΛΟΓΟΣ ΚΕ'.

Περὶ ἀποταγῆς, καὶ ὑποταγῆς, καὶ ἀσκήσεως.

Χρὴ τοίνυν, καθάπερ οἱ ἐπὶ τὸ λουτρὸν εἰσιόντες γυμνοῦνται παντὸς περιβλήματος, οὕτως καὶ τοὺς τῇ ἀσκητικῇ προσερχομένους ζωῇ, πάσης ὕλης βιωτικῆς γυμνωθέντας, ἐντὸς τοῦ κατὰ φιλοσοφίαν γενέσθαι βίου.

Ἡ δὲ ἀληθὴς καὶ τελεία ὑπακοὴ τῶν ὑποχειρίων πρὸς τὸν καθηγούμενον ἐν τούτῳ δείκνυται, ἐν τῷ μὴ μόνον τῶν ἀτόπων κατὰ τὴν συμβουλὴν τοῦ προεστῶτος ἀπέχεσθαι, ἀλλὰ μηδὲ αὐτὰ τὰ ἐπαινετὰ χωρὶς τῆς ἐκείνου γνώμης ποιεῖν. Ἡ γὰρ ἐγκράτεια καὶ πᾶσα ἡ σωματικὴ κακοπάθεια πρός τι χρησίμως ἔχει· ἀλλ' ἐάν τις ταῖς ἰδίαις ὁρμαῖς ἀκολουθῶν τὸ ἀρέσκον αὐτῷ ποιῇ, καὶ συμβουλεύοντι τῷ προεστῶτί τι μὴ πείθηται, μεῖζον τοῦ κατορθώματος ἔσται τὸ πλημμελούμενον. Ὁ γὰρ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκε· καὶ ὁ τῆς ὑπακοῆς μισθὸς μεῖζων τοῦ κατὰ τὴν ἐγκράτειαν ἐπικατορθώματος. A

Ἡ ἄσκησις τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ πρὸς τὸν Θεὸν εὐαρεστήσεως ἐν τῇ ἀναχωρήσει τῶν μεριμνῶν τοῦ κόσμου, καὶ τῇ παντελεῖ ἀλλοτριώσει τῶν πειρασμῶν ἡμῖν κατορθοῦται. Ὡς εἰ μή γε ἀποξενώσαιμεν ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον κόσμον διὰ τῆς σχέσεως μεταβάντες, κατὰ τὸν εἰπόντα· « Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει· » ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως, τοῦ Κυρίου ὁριστικῶς εἰπόντος, ὅτι « Οὕτως πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής· » καὶ ἀλλαχοῦ, « Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν. » Ἄρνησις δέ ἐστιν ἑαυτοῦ ἡ παντελὴς τῶν παρελθόντων λήθη, καὶ ἡ τῶν θελημάτων ἑαυτοῦ ἀναχώρησις. B

Τὸ μέντοι γε ἐπιτεταγμένον οὐ χρὴ ἀντιλέγειν. Ἡ γὰρ ὑπακοὴ μέχρι θανάτου ἔχει τὸν ὅρον. C

Ἀρετὴ ἀρχομένου καὶ τιμὴ τὸ μένειν ἐπὶ τῆς ὑπακοῆς.

Ἐὰν ἔχῃ τις πίστιν εἰς τινά, καὶ δίδωσιν ἑαυτὸν ὑποταγῆναι αὐτῷ, οὐ χρείαν ἔχει προσέχειν ἐντολαῖς Θεοῦ, ἀλλὰ τῷ πατρὶ αὐτοῦ συγχωρεῖν τὰ θελήματα αὐτοῦ, καὶ ἔγκλημα οὐκ ἔχει παρὰ Θεοῦ.

Ἀνάπαυσον τὸν πατέρα σου, ἵνα ὅταν ἀπέλθῃ πρὸς Κύριον, παρακαλέσῃ ὑπὲρ σοῦ, καὶ εὖ σοι γένηται.

Σφόδρα ζηλοῦσιν οἱ δαίμονες τοὺς ἐν ὑποταγῇ πατρὸς ἀστράπτοντας, καὶ τρίζουσιν κατ' αὐτῶν τοὺς ὀδόντας, ὅτι ἐν τῇ ὑποταγῇ τὴν ἀποταγὴν ἀμερίμνως ἐζύγωσαν, καθ' ὧν καὶ προφάσεις ἀκριβολογοῦντες, παροξυσμὸν ἀρτύουσι, καὶ τῇ συμβαινούσῃ ὀργῇ τὴν μῆνιν ἐγλύφουσιν, ἔπειτα δὲ καὶ μῖσος πρὸς τὸν πατέρα τὸ κατ' ὀλίγον ἔψουσιν, ὡς ἄτε δῆθεν ἀδίκως ἐπιπλήττοντος, καὶ κατὰ πρόσωπον προσέχοντος, ἵνα ἐκ διαφόρων τρόπων τὴν ψυχὴν περιτινάξαντες τῶν πατρικῶν ἀγκαλῶν σκορπίσωσι.

Ὁ βάλλων ἑαυτὸν εἰς ὑπακοὴν πατέρων ἀμεριμνίαν καὶ ἀνάπαυσιν ἔχει.

ΛΟΓΟΣ ΚΕ'.

Περὶ προεστῶτος.

Ὑπεύθυνος οὖν ἐστιν ὁ ἐφεστὼς τῇ ἀδελφότητι ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν, καὶ μεριμνᾷν τὰ πρὸς σωτηρίαν αὐτῶν, ὡς λόγον ἀποδώσων· καὶ

Cæterum vera et perfecta subjectorum erga ductorem obedientia in hoc ostenditur, ut non solum ab absurdis, præfecti consilio obtemperantes, abstineant, sed etiam ut ne illa quidem quæ laudabilia sunt sine illius consilio suspiciant. Continentia enim ac quævis corporalis afflictio ad aliquid utilis est : sed si quis, proprios appetitus sequens, quod sibi placet, **258** faciat, et præfecto consilium danti non obtemperet, majus erit peccatum, quam officium. Qui enim resistit potestati, Dei ordinationi resistit : ac obedientiæ præmium quam continenter facti majus est.

Exercitatio vitæ ex Evangelio Christi institutæ ut Deo accepti simus, hæc est, ut secedamus ab omnibus mundi solicitudinibus, et omnino a tentationibus alieni simus. Nam nisi abducamus nosipsos ab omni carnis cognatione et vitæ communione, quasi ad alterum mundum migrantes per meditationem, sequentes consilium illius, qui dixit : « Nostra enim conversatio in cœlis est, » omnino fieri nequit, ut propositum teneamus quo volumus Deo accepti esse, cum Dominus definite dicat sic : « Quicunque ex vobis non valere jusserit omnia sua, non potest meus esse discipulus. » Et alibi : « Si quis me sequi vult, abneget semetipsum. » Abnegatio autem sui ipsius est perfecta præteritorum oblivio, et a sua voluntate omnino abalienatio.

Quod imperatum fuerit et præscriptum, non est recusandum : nam obedientia vel ad mortem usque extenditur.

S. Chrysost. Virtus subjecti et honor est in obedientia persistere.

Si quis fidem habet in aliquem, ac seipsum tradit illi subjiciendum, nihil ei est opus, ut mandatis Dei mentem adhibeat, sed ut patri suo omne voluntatis suæ studium deferat, et apud Deum crimine vacabit.

Refice patrem tuum, ut cum ad Dominum abierit, pro te roget, et tibi bene sit.

Vehementer oderunt dæmones eos qui in subjectione patris eminent, et adversus eos dentibus frendent, quod cum obedientia renuntiationem copulaverunt, idque omni solicitudine posita : adversus quos, meditatas rationes comminiscentes, irritationem instituunt, ac iræ jam innatæ adjungunt iracundiam, deinde etiam odium in patrem paulatim coquunt, quasi pater inique objurget, et personam respiciat, ut ex dissidentibus moribus animum agitatum ex ulnis paternis extortum dissipent. D

Dorothei. Qui se in patrum obedientiam committit, secure et quiete vivit.

SERMO XCVI [*al.* CLXXII].

De præfecto.

S. Basilii. Ex officio incumbit præfecto fratrum sodalitati, ut vigilet pro animis eorum, ac de salute ipsorum sit solicitus, quasi qui rationem sit

redditurus. At ita debet de animis illorum solicitudinem suscipere, ut ad mortem usque studium pro illis suum probet et declaret, non solum ex mandato Domini quod **259** ad omnes pertinet, ut animam suam quis ponat pro amicis suis, verum etiam ex privato et proprio illius qui dixit (*I Thess.* II): « Studiosi vestrum ex animo cupiebamus impertire vobis, non solum Evangelium, verum etiam nostras ipsorum animas. »

Sic igitur persuasus esse debet præfectus, futurum ut, nisi cum ratione præsit fratribus, ea res ipsi gravem et inevitabilem iram adducat; nam sanguis ipsorum de manibus ejus requiretur, quemadmodum scriptum est. Subjectus autem sic paratus esse debet, ut ad nullum præscriptum et præceptum vel difficillimum pigritetur, ea spe fretus, quod merces ampla sit in cœlis.

Obedientem spes consoletur vitæ, ut cum omni gaudio et patientia opus Domini fiat.

Testificare populo isti, inquit propheta, et si non audierint, tu culpa vacabis.

Solent subjecti quam celerrime præfecti sui vitiis inficl, atque id multo facilius quam contraria vitiis virtute imbui. Facile enim est et promptum vitia imitari, nec quidquam est tam facile, quam fieri malum, etiam si nemo ad illud nos invitet et ducat.

Vitiorum apud vulgus celebratio multos ad simile vitæ genus attrahit, eorum maxime qui lubrici et inconstantes sunt.

S. Chrysost. Rectum non est ut leo pascat oves; nec tutum est ut qui adhuc perturbationibus ducitur, iis præsit qui iisdem moventur.

Capite enim male affecto, corpus etiam reliquum imbecillitatem participare necesse est.

Maximam affert subjectis utilitatem præfecti reverentia.

Vita præfectorum gravis, talisque quæ reprehendi non possit, subjectis pro eruditione est.

SERMO XCVII [al. CLXXVII].

De iis qui ob cibos offenduntur, et de mensarum differentia.

Coloss. II. Nemo igitur judicet vos in cibo et potione, aut in parte diei festi, aut novilunii, aut Sabbatorum, quæ sunt umbra futurorum, corpus autem Christi.

I Cor. VIII. Cibus nos non commendat Deo; neque enim si non edamus, inferiores sumus, neque si edamus, superiores.

I Tim. IV. Quæcumque Deus condidit, ut sumantur cum gratiarum actione a fidelibus, ea tangere fas est; quidquid enim Deus condidit, bonum, nec quidquam rejiciendum est, si modo cum gratiarum actione sumatur: sanctum enim efficitur per sermonem Dei et precationem.

260 *Rom.* XIV. At qui discernit, si ederit, condemnatus est, quod non ex fide.

Noli destruere opus Dei propter cibum: omnia

A μεριμνᾷν ὑπὲρ τῶν ψυχῶν αὐτῶν ἐπὶ τοσοῦτον, ὡς καὶ μέχρι θανάτου τὴν παρ' αὐτῶν σπουδὴν ἐνδείκνυσθαι, οὐ μόνον κατὰ τὸν κοινὸν πρὸς πάντας τοῦ Κυρίου λόγον, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ, ἀλλὰ καὶ κατὰ τὸν ἴδιον τοῦ εἰπόντος· « Ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ Εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς.

Χρὴ οὖν τὸν προεστῶτα πεπεῖσθαι, ὅτι τὸ μὴ κατὰ λόγον προστῆναι τοῦ ἀδελφοῦ βαρεῖαν αὐτῷ καὶ ἀπαραίτητον τὴν ὀργὴν ἐπάγει· τὸ γὰρ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητήσεται, καθὼς γέγραπται. Καὶ τὸν ὑπήκοον οὕτως παρασκευάζεσθαι, ὡς πρὸς μηδὲν ἐπίταγμα, μηδὲ τὸ χαλεπώτατον ἀποκνεῖν, πεπεισμένος ὅτι ὁ μισθὸς πολὺς ἐν τοῖς οὐρανοῖς.

Τὸν μὲν ὑπακούοντα εὐφραινέσθω ἡ ἐλπὶς τῆς ζωῆς, ἵνα πάσῃ χαρᾷ καὶ ὑπομονῇ τὸ ἔργον Κυρίου γένηται.

Διαμάρτυραι τῷ λαῷ τούτῳ, φησὶν ὁ προφήτης, κἂν μὴ ἀκούσωσιν, αὐτὸς ἀνεύθυνος ἔσῃ.

Φιλεῖ τάχιστα τῆς τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον, καὶ πολλῷ γε ῥᾷον ἡ τοῦ ἐναντίου τῆς ἀρετῆς. Εὐζήλωτον γάρ τι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ γενέσθαι κακὸν, καὶ εἰ μὴ τύχῃ πρὸς ταύτην ἡμᾶς ἄγων μηδείς.

Τὸν ἐν κακίᾳ περίβλεπτον πολλοὺς εἰς τὸν ὅμοιον βίον τῶν εὐολισθήτων ἐφέλκεται.

Οὐκ εὐθὲς λέοντα πρόβατα νέμειν· καὶ οὐκ ἀσφαλὲς ἐμπαθῆ ἔτι ἐμπαθῶν ἄρχειν.

Κεφαλῆς γὰρ κακῶς διακειμένης, μεταλαγχάνειν ἀνάγκη τὸ σῶμα τῆς ἀσθενείας.

Μεγίστην φέρει τοῖς ὑπηκόοις ὠφέλειαν ἡ τοῦ προεστῶτος εὐλάβεια.

Ὁ σεμνὸς καὶ ἀνεπίληπτος τῶν προεστώτων βίος παίδευμα γίνεται τοῖς ὑποτεταγμένοις.

ΛΟΓΟΣ ΚΖ'.

Περὶ τῶν ἐπὶ βρώμασι σκανδαλιζομένων, καὶ διαφορᾶς τραπεζῶν.

Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει καὶ πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ Σαββάτων, ἃ ἐστι σκιὰ τῶν μελλόντων.

Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ. Οὔτε γὰρ ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα, οὔτε ἐὰν φάγωμεν, περισσευόμεθα.

Ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, ἅπτεσθαι ἑκάστου χρή. Πᾶν γὰρ κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον. Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

Ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως.

Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ.

Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ, τῷ διὰ προσκόμματος ἐσθίοντι.

Τράπεζαν ἡδίστην οὐκ ἐδεσμάτων πολυτέλεια ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τῶν κεκλημένων ὄρεξις.

Οὐ τῇ φύσει τῶν ἐδεσμάτων, ἀλλὰ καὶ τῇ διαθέσει τῶν ἐσθιομένων ἡ πολυτέλεια κρίνεται τῶν τραπεζῶν.

Λαμπρὰ τράπεζα εὐτελὴς φαίνεται, ὅταν μὴ μετὰ τοῦ πεινῆν προσβάλωσιν οἱ πεινῶντες· καὶ εὐτελὴς πάλιν πολυτελὴς δείκνυται, ὅταν πεινῶντας λάβῃ τοὺς δαιτυμόνας.

Ψυχὴ γὰρ, φησὶν Ἰὼβ, ἐν πλησμονῇ οὖσα, κηρίοις ἐμπαίζει· ψυχῇ δὲ ἐνδεεῖ καὶ τὰ πικρὰ γλυκέα φαίνεται· οὐ τῆς φύσεως τῶν προκειμένων μεταβαλλομένης, ἀλλὰ τῆς διαθέσεως τῶν ἑστιωμένων κλεπτούσης τὴν αἴσθησιν.

Σὺν πλήθει βρωμάτων καὶ περιεργείᾳ πρὸς ἡδονὴν μετασκευάζων τοῦ ἀδελφοῦ σου τὴν τράπεζαν, κατηγορεῖς αὐτοῦ φιληδονίαν, καὶ κατηχεῖς αὐτοῦ γαστριμαργίας ὀνείδη, ὧν κατασκευάζεις, ἐλέγχων αὐτοῦ τὴν περὶ ταῦτα ἡδυπάθειαν.

Καθόλου τὸ ἐπιζητεῖν βρῶμα παρ' ἐντολήν ἐστιν τοῦ Κυρίου εἰπόντος· « Μὴ ζητεῖτε τί φάγητε, καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε. Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ. »

ΛΟΓΟΣ ΙΗ'.

Περὶ τοῦ μὴ σκανδαλίζειν μήτε κρίνειν τινά.

Ἔδει παραδοθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀλλ' οὐαὶ δι' οὗ παρεδόθη. Καὶ τὰ σκάνδαλα ἐλθεῖν ἀνάγκη, ἀλλ' οὐαὶ δι' οὗ ἔρχεται.

Συνέφερεν αὐτῷ, εἰ μύλος ὀνικὸς περιέκειτο περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ἔρριπτο εἰς θάλασσαν, ἢ ὅτι ἐσκανδάλισεν ἕνα τῶν μικρῶν τούτων.

Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν τῷ στόματι αὐτοῦ στατῆρα, τοῦτον δὸς αὐτοῖς ὑπὲρ ἐμοῦ καὶ σοῦ.

Εἰ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκ ἔτι κατὰ ἀγάπην περιπατεῖς. *Καὶ μετ' ὀλίγον*· Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ.

Ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ προστιθέναι πρόσκομμα τῷ ἀδελφῷ εἰς σκάνδαλον.

Οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

Ἀπρόσκοποι γίνεσθε, καὶ Ἰουδαίοις, καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ.

Μὴ πρὸ καιροῦ τι κρίνετε ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. Τάδε τοῦ Θεοῦ κρίματα ἐκδικεῖν ἀπαραίτητος ἀνάγκη, ἵνα μὴ ἀπολαύσῃ τῆς ὀργῆς τοῦ Θεοῦ ὁ ἐφησυχάζων.

Μὴ ταχὺς εἶναι εἰς κρίσιν ὑπὸ τῆς Γραφῆς νενουθέτημαι.

quidem pura, sed malum est homini, qui per offendiculum edit.

S. Basilii. Non solum ciborum sumptuosus apparatus, verum etiam invitatorum appetitus, mensam efficit jucundissimam.

Non natura ciborum, sed appetitu et affectione edentium apparatus judicatur mensarum.

Opipara mensa tenuis videtur, cum non exspectata esurie cibum sumunt : et contra vilis sumptuosa fit, cum esurientes accesserint convivæ.

Anima enim, ait Jobus, in rerum abundantia versans, favis illudit ; animæ autem indigenti amara dulcia videntur, non quia appositorum natura mutata sit, sed quia convivantium affectio sensum fallit.

Multitudine ciborum et supervacanea copia ad voluptatem apparans fratri tuo mensam, facite cum accusas quod voluptarius sit, et effundis in eum gulositatis probra, ipsa præparatione tua ceu delicatum eum arguens.

Matth. VI. Generatim cibum quærere contrarium est mandato Domini dicentis : « Nolite quærere quid edatis, et quid bibatis, et quid induatis : hæc enim omnia gentes mundi requirunt. »

SERMO XCVIII [*al.* CLXXVI].

De non offendendo nec judicando quoquam.

Luc. XXII. Oportebat prodi Filium hominis, sed væ illi per quem proditus est : et offendicula venire necesse est, sed væ illi per quem veniunt.

Matth. XVIII. Utilius esset ut mola asinaria collo ejus circumdaretur, et ipse in mare projiceretur, quam ut unum ex istis parvis offendat.

Ut autem eos ne offendamus, jace hamum in mare, et eum qui primus ascenderit piscem tolle, et in ore ejus invenies staterem, quem illis dato pro me et pro te.

Rom. XIV. Si propter cibum frater tuus dolet, non ex charitate id agis. *Et paulo post :* Bonum est non edere carnes, et vinum non bibere, nec quidquam quo frater tuus impingat, aut offendatur, aut infirmetur.

Sed illud judicate magis ne quid committatis quo frater offendatur.

Sic enim peccantes in fratres, et verberantes eorum infirmam conscientiam, in Christum ipsum peccatis.

Tales vos præstate, ut neque Judæis, neque Græcis, neque Christi Ecclesiæ offendiculo sitis.

Nolite quidquam ante tempus judicare donec venerit Dominus, qui et illustrabit **261** et in apertum proferet quæ sunt occulta in tenebris, et cordium consilia patefaciet. Hæc Dei judicia ulcisci necesse est omnino, ne experiatur iram Dei etiam ille qui fuerit quietus.

Theologi. Ne velox sim ad judicandum, a Scriptura admonitus sum.

S. Chrysost. Omnia ergo ita geramus, ut ne proximus offendatur. Vita enim quamvis recte instituta fuerit, si offendiculum aliis præbeat, omnia perdidit.

Qui vult igitur viam charitatis ingredi, nullius hominis suscipiet curam, ut neminem judicet, sive rectus et bonus sit, sive secus.

Πάντα τοίνυν πράττωμεν, ὥστε μὴ σκανδαλισθῆναι τὸν πλησίον. Βίος γὰρ κἂν σφόδρα ὀρθὸς ᾖ, σκάνδαλον ἑτέροις παρέχων τὸ πᾶν ἀπώλεσεν.

Ὁ θέλων οὖν ἐλθεῖν ἐπὶ τὴν ὁδὸν τῆς ἀγάπης ἀμεριμνήσει ἀπὸ παντὸς ἀνθρώπου τοῦ μὴ κρίνειν τινά, εἴτε καλός ἐστιν, εἴτε μή.

SERMO XCIX.

De negligentibus et inertibus : et quod, si vigilemus, nihil nos diabolus possit lædere.

S. Basilii. Omnino ipsum per se Satanam nemini peccati auctorem esse posse arbitror, sed illum conari ut nos non vigilantes nec sobrios in sua abducat ex moribus, qui in nobis interdum naturales, interdum etiam licet vetiti, nostro tamen arbitrio usurpati sunt.

S. Chrysost. Canis ritu diabolus insultat divitibus quasi qui a puero tenente offam aut placentam auferre velit.

Diabolus cum animadvertit se nihil proficere, in posterum desistit, metuens ne aliarum nobis auctor sit coronarum.

Diabolus sibi malus est, non nobis. Nos enim si velimus, magnas per ipsum capiemus utilitates. Metuentes enim illius insidias, vigilamus et continenter Dei meminimus.

Novit enim, novit artifex varius diabolus vel per bonas actiones suum interspergere venenum.

Solent dæmonia non solum inter se mutuis uti ministeriis, verum etiam improbis hominibus pro instrumentis ad sui generis hominibus insidias ponendas.

Noli igitur exspectare, ut cum remissione et incuria cœlum videas ; non enim licet ; nemo speret se cum deliciis per angustam viam ingredi posse ; id enim fieri nequit ; nemo per latam ingrediens, speret se vitam consecuturum.

Non remissorum et securorum est regnum cœlorum, sed violentorum.

Arena est hæc vita : in arena autem et certaminibus non potest remisse agere qui coronandus est.

Adhære igitur sedulo virtuti : sic enim, etiamsi novitius abieris, cum magna copia ibis, duplicemque semper vitæ festivitatem habebis, et a vitio abstinens, et virtutem exercens.

Remissionem ne quæramus ; afflictionem enim suis discipulis promisit 262 Christus ; et Paulus : « Qui volunt, inquit, in Christo vivere, persecutionibus vexabuntur. » Generosus athleta in stadio balnea non requirit, nec mensam cibis et vinis onustam. Hoc enim non est athletæ, sed mollis et ignavi. Nam athleta pugnat cum pulvere, oleo, solis calore, sudore multo, afflictione et angustia : certaminis hoc est et pugnandi tempus, ergo etiam vulneris accipiendi, dolendi, et sanguinis effundendi tempus est. Audi quid beatus dicat Paulus : « Sic certo, non quasi aerem verberans. » Omnem ergo vitam certaminis tempus esse existimemus :

ΛΟΓΟΣ ιθ'.

Περὶ ἀμελῶν καὶ ῥαθύμων· καὶ ὅτι ἐὰν νήφωμεν, οὐδὲν ἡμᾶς ὁ διάβολος βλάψαι δύναται.

Καθόλου οἶμαι, ὅτι αὐτὸς καθ' ἑαυτὸν ὁ Σατανᾶς γενέσθαι αἰτιός τινι ἁμαρτίας οὐ δύναται· τοῖς δὲ ἐνυπάρχουσι ποτὲ μὲν φυσικοῖς κινήμασι, ποτὲ δὲ καὶ ἀπηγορευμένοις πάθεσι συγχωρουμένοις δι' αὐτῶν, καὶ εἰς τὰ οἰκεῖα πάθη ἀπάγειν ἐπιχειρεῖ τοὺς μὴ νήφοντας.

Καθάπερ κύων, οὕτως ἐνάλλεται τοῖς πλουτοῦσιν ὁ διάβολος, ὥσπερ ψωμὸν ἢ πλακοῦντα παιδίου κατέχοντος ἀποσπᾶσαι θέλων.

Ὁ διάβολος ὅταν ἴδῃ ἑαυτὸν μηδὲν ἀνύοντα, ἀφίσταται λοιπόν, δεδοικὼς μὴ πλειόνων ἡμῖν στεφάνων αἴτιος γένηται.

Ὁ διάβολος ἑαυτῷ κακός, οὐχ ἡμῖν. Ἡμεῖς γὰρ εἰ βουλοίμεθα, καὶ πολλὰ καρπωσόμεθα δι' αὐτοῦ καλά. Δεδοικότες γὰρ αὐτοῦ τὰς ἐπιβουλὰς, νήφομεν, καὶ μεμνήμεθα τοῦ Θεοῦ διηνεκῶς.

Οἶδε γὰρ, οἶδεν ὁ πολυμήχανος διάβολος καὶ διὰ χρηστῶν πράξεων τὸν ἑαυτοῦ παρασπείρειν ἰόν.

Ἔθος τοῖς δαιμονίοις, οὐ μόνον ἀλλήλοις ὑπηρέταις, ἀλλὰ καὶ πονηροῖς ἀνθρώποις ὀργάνοις πρὸς τὴν τῶν ὁμοφύλων αὐτῶν ἐπιβουλὴν κεχρῆσθαι.

Μὴ τοίνυν μετὰ ἀνέσεως προσδοκάτω τις τὸν οὐρανὸν ὄψεσθαι, οὐ γὰρ ἔνι· μηδεὶς μετὰ τρυφῆς ἐλπιζέτω τὴν στενὴν ὁδεύειν ὁδὸν, οὐ γὰρ δυνατόν· μηδεὶς τὴν εὐρύχωρον βαδίζων τὴν ζωὴν ἐλπιζέτω.

Οὐκ ἀνέτων καὶ ἀμεριμνῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ βιαστῶν.

Σκάμμα ἐστὶν ὁ παρὼν βίος· ἐν δὲ τῷ σκάμματι καὶ τοῖς ἀγῶσιν οὐ δύναται ἀνέσεως ἀπολαύειν ὁ στεφανοῦσθαι μέλλων.

Ἔχου τοίνυν τῆς ἀρετῆς. Οὕτω γὰρ, κἂν νέος ἀπέλθῃς, μετὰ πολλῆς ἕξεις τῆς εὐπορίας, καὶ διπλῆν ἑορτὴν διὰ παντὸς ἕξεις τοῦ βίου, κακίας τε ἀπεχόμενος καὶ ἀρετῆς ἐπιμεμελημένος.

Μὴ ζητῶμεν ἄνεσιν. Θλῖψιν γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς ἐπηγγείλατο ὁ Χριστός· καί φησιν ὁ Παῦλος, Οἱ θέλοντες ζῆν ἐν Χριστῷ διωχθήσονται. Οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν πλήθουσαν σιτίοις καὶ οἴνῳ. Τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακοῦ. Ὁ γὰρ ἀθλητὴς μάχεται ἐν κόνει, ἐλαίῳ, ἀκτῖνος θερμότητι, ἱδρῶτι πολλῷ, θλίψει καὶ στενοχωρίᾳ. Ἀγῶνος οὗτός ἐστιν καὶ τοῦ πυκτεύειν ὁ καιρὸς, οὐκοῦν καὶ τοῦ τραύματα λαμβάνειν, καὶ αἱμάττεσθαι, καὶ ἀλγεῖν. Ἄκουσον τί φησιν ὁ μακάριος Παῦλος, « Οὕτως πυκτεύω ὡς οὐκ ἀέρα δέρων. » Πάντα τὸν βίον ἀγώνιον εἶναι νομίσωμεν, οὐδέποτε θλιβόμενοι ξενοπαθήσωμεν· εἰπερ μὴ

πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. Ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως καιρός. Διὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ· εἰ καὶ μὴ διωγμός ἐστι, μηδὲ θλίψεις αἱ καθ' ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι. Εἰ δὲ ταύτας οὐ φέρομεν, σχολῇ γε ἐκείνας ἐνέγκαιμεν ἄν. « Πειρασμὸς ὑμᾶς οὐκ εἴληφε, φησίν, εἰ μὴ ἀνθρώπινος. » Εὐχώμεθα οὖν τῷ Θεῷ μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες δὲ φέρωμεν γενναίως.

Οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν· οἱ δὲ τὰ μὴ τοιαῦτα, ἐν τοῖς οὐρανοῖς. Τὸ γὰρ μαλακὸν ἱμάτιον καὶ τὴν αὐστηρὰν ἐκλύει ψυχὴν, διακλᾷ, διαχεῖ· κἂν τραχὺ λάβῃ σῶμα καὶ σκληρὸν, ταχέως διὰ τῆς τρυφεραγωγίας μαλακὸν ποιεῖ καὶ ἀσθενές. Ἐξ οὗ καὶ αἱ ἐπὶ τῶν ἀγρῶν τρεφόμεναι γυναῖκες τῶν ἀστικῶν ἀνδρῶν εἰσιν ἰσχυρότεραι. Τοῦ δὲ σώματος γινομένου μαλακωτέρου ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαυειν τῆς λύμης· τὰ γὰρ πολλὰ καὶ συνδιατίθενται αὐτῆς αἱ ἐνέργειαι τῇ τοῦ σώματος διαθέσει.

Τίς οὖν ὁ τῆς κακίας δημιουργός; τίς δὲ ἄλλος ἀλλ' ἢ ῥᾳθυμία τῆς προαιρέσεως;

Ἡ ἄνεσις καὶ ἡ ἀμεριμνία καὶ ἡ ἀνάπαυσις χαυνοῦσι καὶ διαχέουσι τὴν ψυχήν· οἱ δὲ πειρασμοὶ συσφίγγουσιν αὐτὴν καὶ ἑνοῦσιν αὐτὴν τῷ Θεῷ, ὡς λέγει ὁ Προφήτης· « Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου. »

Ἐὰν ἴδῃς ἑαυτὸν ἐν καιρῷ ἀναπαυόμενον ἀπὸ τῶν παθῶν, μὴ πιστεύσῃς σεαυτῷ, διότι στέλλουσιν ἑαυτοὺς οἱ ἐχθροὶ πρὸς καιρὸν ἐν πανουργίᾳ· ἴσως ὁ ἄνθρωπος ἀπολύσει τὴν καρδίαν αὐτοῦ, νομίζων ὅτι ἀνεπαύθη· καὶ ἄφνω εἰσπηδήσουσιν ἐπὶ τὴν ταλαίπωρον ψυχὴν, καὶ πάσουσιν αὐτὴν ὡς στρουθίον.

Τοῖς μὲν κοσμικοῖς οἱ δαίμονες διὰ τῶν πραγμάτων μᾶλλον παλαίουσι, τοῖς δὲ μοναχοῖς ὡς ἐπὶ τὸ πλεῖστον διὰ τῶν λογισμῶν· πραγμάτων γὰρ διὰ τὴν ἐρημίαν ἐστέρηνται. Καὶ ὅσον εὐκολώτερον τὸ κατὰ διάνοιαν ἁμαρτάνειν τοῦ κατ' ἐνέργειαν, τοσοῦτο χαλεπώτερος ὁ κατὰ διάνοιαν πόλεμος τοῦ διὰ τῶν πραγμάτων συνισταμένου. Εὐκίνητον γάρ τι πρᾶγμα ὁ νοῦς, καὶ πρὸς τὰς ἀνόμους φαντασίας δυσκάθεκτος.

A nec unq[illegible] admiremur aut stupeamus; nam neque pugil, dum in certamine est, adversum aliquid sibi accidere miratur. Non hoc, sed aliud est recreationis tempus. Hic sane in afflictionibus perfectio nobis conquirenda est; quamquam illi casus quos experimur quotidie, persecutio et afflictio dici non debeant. Quod si tamen hos non ferimus, vix illas feremus. « Tentatio vos non apprehendit, inquit, nisi humana. » Precemur igitur a Deo in tentationem ne incidamus; sin inciderimus, fortiter feramus.

Qui molli vestitu utuntur, in aulis regum versantur; qui vero non tali vestitu sunt, in cœlis sunt. Nam mollis vestitus vel austerum animum solutiorem facit, frangit, diffundit; et si corpus asperum et durum nanciscatur, continuo deliciis emollit et infirmius reddit. Ex quo fit ut mulieres quæ ruri vivunt, viris in urbe degentibus sint robustiores. Atqui corpore molliore reddito, necesse est etiam animum illius corruptionis esse participem, propterea quod ipsius animi actiones fere ad corporis affectionem consensu mutuo formentur.

Quis igitur est vitii artifex? quis alius erit quam voluntatis desidia?

Dorothei. Remissio, securitas, requies, hæc emolliunt et diffundunt animum; tentationes autem consolidant, ac cum Deo conjungunt; quemadmodum Propheta dicit: « Domine, in calamitate meminimus tui. »

Si animadverteris teipsum aliquo tempore perturbationibus solutum, vide ne tu tibi fidas, quia parant se hostes ad tempus opportunum versutiæ; fortassis homo soluto erit animo, omnia sedata esse credens, et repente in miserum animum insilient hostes, et quasi passerculum devorabunt.

Evagrii. Cum mundanis dæmones per res ipsas magis luctantur, cum monachis autem fere per rationum disputationes; negotiis enim et operibus propter solitudinem soluti sunt. At quanto **263** facilius est mente peccare, quam externa actione, tanto est animi bellum difficilius, quam ipsarum rerum. Est enim mens quiddam quod facile movetur, et ad contrarias legi phantasias effrenata.

ΛΟΓΟΣ Ρ'.

Περὶ τῆς μεταλήψεως τῶν θείων τοῦ Χριστοῦ μυστηρίων.

Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.

Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς

SERMO C [*al.* CLXXXII].

De participatione divinorum Christi mysteriorum.

I Cor. II. Quicunque panem hunc ederit, aut biberit poculum Domini indigne, reus erit corporis et sanguinis Domini; probet autem seipse homo, ac sic de illo pane edat, et de poculo bibat. Qui enim edit et bibit indigne, judicium sibi edit et bibit, non dijudicans corpus Domini.

Si quis legem Mosis rejecisset, sine misericordia, duobus aut tribus convictus testibus, morte afficiebatur: quanto graviore dignus erit supplicio, qui Filium Dei conculcarit, et sanguinem testamenti communem duxerit, per quem sit ipse sanctifica-

tus, quique Spiritum gratiæ contumelia affecerit! Novimus enim eum qui dixit : « Mea est vindicta, ego retribuam, dicit Dominus. » Ac rursus : « Dominus judicabit populum suum : terribile est incidere in manus Dei viventis. »

S. Basilii. Impurum appropinquare sanctis mysteriis vel ex Veteri Testamento horrendum esse judicium docemur. Quod si amplius est hic templo, perspicuum est magis horrendum esse, id quod docet nos Apostolus dicens : « Qui edit et bibit indigne, judicium sibi edit et bibit. »

S. Chrysost. Tempus communionis non festus dies et celebris, sed conscientia pura, et vita criminibus libera. Et quemadmodum eum qui sibi nihil male conscit, decet quotidie accedere : sic peccatis præoccupatum, nec pœnitentia mutatum, ne in festo quidem die tutum est accedere. Nam ut semel in anno licet cum dignitate accedere, non liberat nos a peccatis : ita hoc ipsum magis condemnat, quod semel tantum accedentes ne tum quidem pure id faciamus. Quamobrem vos omnes obsecro, ne simpliciter propter festi necessitatem adeatis : sed si quando hujus sanctæ participes oblationis esse velitis, multo ante vos ipsos purgare debetis per pœnitentiam, precationem et eleemosynam, et rerum spiritalium studio, nec rursus reverti canis ritu ad proprium vomitum.

Ad divina Christi mysteria negligenter accedere, supplicium intolerabile meretur : et si vel semel in anno hoc quis audeat, ignis spiritualis plena est ipsa mensa. Et quemadmodum **264** fontes naturaliter aqua scaturiunt, sic et hæc mensa flammam quamdam ineffabilem fovet. Cave igitur accedas cum stipula, lignis et fœno, ne majus efficias incendium, et animum qui fit ejus particeps, exuras. Regem excepturus es per communionem ; Rege autem in animum intrante, magna esse debet tranquillitas, magna quies, alta summaque cogitationum pax.

Migraturi hinc si mysteriorum fuerint participes, pura conscientia, cum extremum edituri sunt spiritum, stipatores habent angelos, qui ipsos propter id quod sumpserunt, hinc deducunt.

S. Athanasii. Si quis gulositate aut turpium consensu cogitationum, quasi luto contaminatus est, si quis odio et injuriarum recordatione quasi vertigine affectus est, si quis invidia aut ira perturbatus est, si quis superbia et arrogantia victus tenetur, is ad divina et pura hæc mysteria accedere ne ausit, priusquam per pœnitentiam convenientem eluerit et purgarit seipsum ab omni carnis et spiritus inquinamento.

A χάριτος ἐνυβρίσας; Οἴδαμεν γὰρ τὸν εἰπόντα, « Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, » λέγει Κύριος· καὶ πάλιν, « Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ· φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. »

Τὸ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς ἁγίοις μυστηρίοις καὶ ἐκ τῆς Παλαιᾶς Διαθήκης φοβερὸν διδασκόμεθα τὸ κρίμα. Εἰ δὲ πλέον τοῦ ἱεροῦ ὧδε, φοβερώτερον δῆλον, ὅ τι παιδεύσει ἡμᾶς ὁ ἀπόστολος εἰπών· « Ὁ ἐσθίων καὶ πίνων ἀναξίως κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. »

Καιρὸς κοινωνίας οὐχ ἑορτὴ καὶ πανήγυρις, ἀλλὰ συνειδὸς καθαρὸν, καὶ βίος ἐγκλημάτων ἀπηλλαγμένος. Καὶ καθάπερ τὸν οὐδὲν ἑαυτῷ συνειδότα φαῦλον καθ' ἑκάστην δεῖ προσιέναι τὴν ἡμέραν, οὕτω
B τὸν ἐν ἁμαρτήμασι προκατειλημμένον, καὶ μὴ μετανοοῦντα, οὐδὲ ἐν ἑορτῇ προσιέναι ἀσφαλές. Οὐ γὰρ δὴ τὸ ἅπαξ τοῦ ἐνιαυτοῦ ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς, ἀναξίως [*f.* ἂν ἀξίως] προσίωμεν· αὐτὸ δὴ [*f.* δὲ] τοῦτο μειζόνως καταδικάζει, ὅτι ἅπαξ προσιόντες, οὐδὲ τότε καθαρῶς προσίωμεν. Διὰ τοῦτο παρακαλῶ πάντας ὑμᾶς μὴ ἁπλῶς διὰ τὴν τῆς ἑορτῆς ἀνάγκην τῶν θείων ἅπτεσθαι μυστηρίων, ἀλλ' εἴποτε μέλλοιτε τῆς ἁγίας ταύτης μεθέξειν προσφορᾶς, πρὸ πολλῶν ἡμερῶν διακαθαίρειν διὰ μετανοίας καὶ εὐχῆς καὶ ἐλεημοσύνης, καὶ τῆς περὶ τὰ πνευματικὰ σχολῆς, καὶ μὴ πάλιν ἐπιστρέφεσθαι καθάπερ κύων ἐπὶ τὸν ἴδιον ἔμετον.

Τὸ ῥᾳθύμως προσιέναι τοῖς θείοις τοῦ Χριστοῦ
C μυστηρίοις κόλασιν ἀφόρητον ἔχει· κἂν ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο τολμᾷ τις, πυρὸς αὕτη γέμει ἡ τράπεζα πνεύματι Κυρίου. Καὶ καθάπερ αἱ πηγαὶ φύσει ὕδατος ἐναβλύζουσιν, οὕτω καὶ αὕτη φλόγα τινὰ ἔχει ἄῤῥητον. Μὴ τοίνυν προσέλθῃς καλάμην ἔχων, ξύλα καὶ χόρτον, ἵνα μὴ πλείονα τὴν ἐμπρησμὸν ἐργάσῃ, καὶ κατακαύσῃς τὴν μεταλαμβάνουσαν ψυχήν. Βασιλέα ὑποδέχεσθαι μέλλεις διὰ τῆς κοινωνίας· βασιλέως δὲ ἐπιβαίνοντος τὴν ψυχὴν, πολλὴν εἶναι δεῖ τὴν γαλήνην, πολλὴν τὴν ἡσυχίαν, βαθεῖαν τῶν λογισμῶν τὴν εἰρήνην.

Οἱ μέλλοντες ἐνθένδε ἀπαίρειν, ἂν τύχωσι τῶν μυστηρίων μετασχόντες ἐν καθαρᾷ συνειδήσει, ὅταν ἀποπνέειν μέλλωσι, δορυφοροῦντες αὐτοὺς δι' ἐκεῖνο τὸ ληφθὲν, ἀπάγουσιν ἐνθένδε ἄγγελοι.

D Εἴ τις ὑπὸ γαστριμαργίας, ἢ συγκαταθέσεως αἰσχρῶν λογισμῶν βεβορβόρωται, εἴ τις ὑπὸ μίσους ἢ μνησικακίας ἐσκότωται, εἴ τις ὑπὸ φθόνου ἢ ὀργῆς τεθόλωται, εἴ τις ὑπὸ ὑπερηφανίας ἢ ἀλαζονείας κεκράτηται, μὴ τολμήσῃ προσελθεῖν τοῖς θείοις καὶ ἀχράντοις μυστηρίοις, πρὶν ἢ διὰ προσηκούσης μετανοίας ἀπονιψάμενος καθαρίσῃ ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος.

ADDENDA

MONITUM.

Eustathii epistolas, quæ profani omnino vel familiaris sunt argumenti, omittere statueramus; at, re maturius perpensa, ne antiquitatis studiosi nobis succenseant, quod tanti viri monumentum litterarium, etiam in familiaribus scriptis ludentis, resecare ausi fuerimus, eas in fine voluminis Eustathiani addimus, sed Græce tantum. Operosissimam enim rem, nostra quidem sententia, in se susciperet, operæ pretium forsitan non facturus, qui id genus opus Latine vertere aggrederetur. EDITOR.

ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΚΥΡΙΟΥ

ΕΥΣΤΑΘΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ.

SANCTISSIMI THESSALONICENSIUM METROPOLITÆ

[DOMINI]

EUSTATHII

EPISTOLÆ.

'.

Τῷ . . . . . .

Βότρυς οὗτος· ἀλλὰ μενέτω μὲν ἐπὶ χώρας τὸ κάλυμμα τῇ καλάθῳ, καὶ τέως ἀπεριέργαστα φυλαττέσθω τὰ ἔνδον. Ἐγὼ δέ σοι ἐρῶ, καὶ τίνων οὗτος ὁ βότρυς· ὅτι οὐ σταφυλῆς ῥαγῶν (οὔπω γὰρ ἐκεῖναι οὐδὲ περκάζειν ἔτι μεμελετήκασιν)· ἀλλὰ μήλων οὗτος βότρυς. Ἁδρὸς ὁ βότρυς. Περσικὰ τὰ μῆλα· ἐσμὸς ὀπώρα; ἀλληλουχούμενος. Ἀλλὰ ταῦτα μὲν στέξας ὁ κλάδος ἐβοτρυοφόρησέ σοι· τὰ δὲ λοιπά, τῇ ῥοπῇ βαρυνθέντα, διεξέπεσον τοῦ σμήνους, καὶ εἰς καλὸν μονῆρες περιεγράφησαν, οὐ θέλοντα καὶ εἰσέτι συνδεῖσθαι, οὐδὲ θλίβειν καὶ ἀντιθλίβεσθαι· ἀλλ' εἰς ἄνετον ἐκδραμόντα, καὶ εἰς μοναδικὴν ἐλευθερίαν τὸν ἐν αὐτοῖς σύνδεσμον λύσαντα. Καλὰ ταῦτα πάντα, καὶ οἷα, κἂν ὁ Μῶμος ἰδὼν ἐπιμύξῃ, καὶ τὸ Α χεῖλος ἐνδακὼν συγκλείσῃ, καὶ τὸ ἄγος ἔσω καταπέψῃ, καὶ τῆς ὀπώρας οὐ καταχασμήσεται. Οὐ μῆλα ταυτὶ Ἐσπερίδων, ἃ μῦθος θρυλλεῖ καὶ φυτηκομεῖ πρὸς ἄθλον τῷ Ἡρα[κλεῖ]· ἀλλ' εἰκάσαις ἂν αὐτῶν ἕκαστον πρὸς δίσκον ἡλίου φαέθοντος, ὁπηνίκα καὶ χρυσοῖς ἐκεῖνος ὑπερεύθεται νέφεσι· μᾶλλον δ' ἂν εἴπῃς, τὴν Ῥοδοδάκτυλον ἐπαφωμένην ἐναφεῖναι αὐτοῖς τὸ τοῦ χρώματος ῥόδειον. Οὕτω πῇ μὲν λευκὸν παμφαίνουσι, πῇ δὲ πρὸς ῥόδον πορφύρεον βάπτονται. Ἀλλά τί μοι πρὸς ταῦτα ῥόδου μεμνῆσθαι, τῆς καλοῦ πρὸς ὄσφρησιν, δέον Ἀφροδίτης αὐτὸ προσρίπτειν ποσίν, ἵνα μὴ ποδῶν ἰχῶρες κατεπαίρωνται κεφαλῆς; Ῥόδου μὲν γὰρ ὄσφραν ὀκνοίη ἄν τις, συννοούμενος ἕλκος ἐκεῖνο τὸ Ἀφροδίσιον. Τουτὶ δὲ τὸ ἕ[λκος] οὔτε ἐκ τραύματος, οὔτε τοῦ ἐκεῖθεν αἵ- Β ματος· ἀλλὰ ἐξ ἡλίου ἄνωθεν, καὶ σφαίρας ἐκείνης,

•Ex editione Theoph. Lucæ Frid. Tafel. Lipsiæ, 1838.

ἢ συγγενὲς τὸ περιηγμένον τῆς κεφαλῆς. Καὶ ἥκοι ἂν οὕτω τὸ τῆς ὀπώρας ταύτης καλὸν τοῖς ὀσφραινομένοις, οἰκοθεν οἰκαδε. Τοιοῦτον τὸ ἐμὸν κήπευμα· τοιοῦτος Ἔρως ἐπορχεῖται τῷ δώρῳ· καὶ μήποτε φιλοῦντες Ἔρωτες πυρσοῖς τοῖς χείλεσιν, ἐνεμάξαντό τι αὐτόθι τῆς τῶν χειλέων βαφῆς. Τί μοι βουκολικὰ λέγεις· κρήνας, αἷς αἱ Ὧραι πρὸς κάλλος τὸν γρῶτα λούουσι; καὶ τὴν ὀπώραν ταύτην ἐναποπλύ-[νεσθαι λέγεις] εἰς ὠραϊσμόν; ἐξὸν ἐκεῖνο μᾶλλον εἰπεῖν, ὡς ἄρα τοῦ κάλλους ἐπεσταλάχθη τῇ ὀπώρᾳ ταύτῃ κατὰ τὴν Ὁμήρου μοῦσαν· *Εὐστέφανος Κυθέρεια χρίει τὸ πρόσωπον*. Τὰ μὲν οὖν μέχρι δεῦρο τοιαύτης παρ' ἡμῖν ὀπώρας ἐνυμφοκομεῖτο κόριον, ὑπ' ἀμφιλαφεῖ παστάδι φύλλων θαλαμευόμενον. Τὰ νῦν δὲ καὶ ἡλίῳ δίδοται· καὶ εἰ βούλει, τὸ παραπέτασμα τοῦ λοιποῦ περιελὼν, μάθε, ὡς οὐ ψευδόμεθα. Εὑρήσεις γὰρ αὐτὸς Ἐρώτων ἄθυρμα, Χαρίτων μέλημα, Κάλλους, ὄχημα.

Β'.

Ἐμὰ καὶ ταῦτα τά τε μῆλα τῆς Περσέας καὶ ὁ χρυσοειδὴς κρόκος, καλὸν ἐπὶ καλῷ (ἀπεναντίας τῇ παροιμίᾳ) κείμενος. Τί οὖν ἂν ἴδοις ἐν τῇ Μεγαλοπόλει καινότερον; Ἐν ἀγροῖς μὲν τάχ' ἂν εὐπόρως τῶν τοιούτων σχοίη τις· ἐνταῦθα δὲ, καὶ μάλιστα περὶ τὴν καθ' ἡμᾶς ταύτην μοῖραν, ὅτι μάλα πολλὴ σπάνις τούτων ἔστι. Καινὰ δὲ καὶ ἄμφω διὰ τὴν ὥραν. Ὀπώρα τε γὰρ τοιαύτη ἐν βαθεῖ φθινοπώρῳ ξενίζει· καὶ ἄνλος ἐν μετοπώρῳ, σπανίζον ἂν εἴη θέαμα.

Γ'.

Ὁ πάνσοφος Κομνηνός· ἡ πανσέβαστος κεφαλή. ὁ χρυσοῦς, οὐ μόνον τὴν κόμην καὶ τὴν τοῦ προσώπου χάριν, ἀλλὰ καὶ μάλιστα τὴν ψυχὴν τὴν ὄντως ἀρρύπαρον καὶ στιλπνὴν ἀρεταῖς· οὐ χρυσῷ μόνον καὶ ἀργύρῳ βρίθειν ἐπάξιος, ἀλλὰ καὶ πᾶν ἔχειν ἄλλο, εἴ τι κατὰ κόσμον τιμαλφεῖται, καὶ πολλοῦ ἄξιον κρίνεται· οὐκοῦν καὶ τοιούτοις δεξιωτέος, ἃ δὴ τιμῶνται πολλοῦ. Ἀλλ' ἡμεῖς ὀφειλέται μὲν αὐτῷ πολλῶν δεξιώσεων· οὕτω δὲ τὸ τῆς χειρὸς ἡμῖν οὐ πέπλησται, ὡς μηδὲ μικροῖς τισιν ἔχειν ἀφοσιώσεσθαι τὸ δεξίωμα. Ὁρᾷς γὰρ, ὅπως εἰς τοσοῦτο δραπέτης τὰ εἰς ἡμᾶς ὁ χρυσὸς, ὡς μηδὲ τὴν ἐξ αὐτοῦ παρωνυμουμένην ὀπώραν ἀφεῖναι παρ' ἡμῖν εἶναι· ἀλλ' ἀντ' αὐτῆς ἐκπεπέμφθαι τῇ σῇ μεγαλυπερόχῳ λαμπρότητι σταφυλὰς μὲν καὶ ταύνας· οὐ μὴν καὶ χρυσᾶς, ὁποῖα τὰ ἐν ὑποσχέσει. Φθονεραὶ γὰρ καὶ αὗται καὶ φυγάδες ἡμῶν κατὰ τὸν ἐπιστατοῦντα τῇ σφῶν κλήσει χρυσόν. Οὐκουν ἡμῖν σταφυλαὶ αὗται χρυσαῖ, εἴδους δέ τινος ἑτεροίου· ἃς ἡ χύδην ῥέουσα γλῶσσα *κουκούβας* καλεῖ· ταὐτὸν δὲ *γλαῦκας* εἰπεῖν· καὶ οἶμαι διὰ τὸ τοῦ χρώματος· ὅμοιον, καὶ (ὡς ἂν εἴπῃ τις) *γλαυκωπόν*· ὑπογλαυκίζουσι γὰρ καὶ αὗται, ὅτε τις αὐτὰς τὸ πρῶτον δρέψεται. Καθάπερ οὖν ἐκεῖναι κιρράζουσι, καὶ δι' αὐτὸ αὖται μὲν ἐπωνυμίας κληροῦνται *γλαυκὸς*, ἐκεῖναι δὲ διὰ τὸ κιρρὸν τοῦ χρώματος ἐπονομάζονται τῷ χρυσῷ. Μικρὰ μὲν οὖν ἡμῖν ἡ δόσις· ἀλλ' ἐκείνη πάντως ὡς ἐπὶ γένους, ἣν ἐγὼ μὲν ὑπεσχ[όμη]ν, ἔστερξας δὲ αὐτός.

A Εἰ δὲ τοῦ εἴδους οὔτι που ἐκὼν ἔψευσμαι, ἀλλ' ὀρᾷς. ὅπως καὶ αὗται τῷ χρυσῷ προίκοψαν εἰς ἐκείνας τὰς ἐπιδόξους· καὶ τὸ ἐκ φύσεως οἷον ἀπονιψάμεναι χρῶμα ἢ ἐπικρύψασαι, τῷ χρυσοειδεῖ ἐπέγραψαν ἑαυτάς· καὶ καθά που τὰ χολοβάφινα, οὕτω δὴ καὶ αὗται καπνώδεσιν ἀτμοῖς φαρμαχθεῖσαι τὰ πρόσωπα, χλωρότητι χρυσίου σώζονται, καί πως εἰσὶ καὶ αὗται χρυσαῖ. Ἐοίκασιν οὖν, τὸ ἀγεννὲς ἐκκλίνουσαι, τὴν τῆς κλήσεως, ἐς χρῶμα τοιοῦτο μεταβάπτειν ἑαυτὰς, ὡς ἂν ἔχοιεν παράγειν οὕτω τὸν βλέποντα καὶ δοκεῖν εὐγενεῖς· ἢ τί καὶ βουλόμεναι μετεχρώσθησαν; Ἀλλὰ μὴν τοῦτο καὶ πᾶσα πέπονθε σταφυλὴ, ὑποξανθίζουσά πως τῷ χρώματι, καὶ καπνῷ πυρσουμένη πρὸς τὸ χρυσοειδές· ἢ καὶ ἄλλως εἰπεῖν, ὠχριῶσα κατὰ χρυσὸν ταῖς ἐκ καπνῶν ἀτμιδώσεσι.
B Καὶ τοῦτο ἄλλος μὲν ἄν τις εὗρε πόρισμα πρὸς χρυσοῦ σεμνολόγημα· καὶ εἶπεν ἄν, ὡς ἄρα χρυσοῦ δοκεῖ πάντα ἐφίεσθαι καθά τινος ἐφετοῦ ἄκρου· εἴ γε καὶ σταφυλαὶ χρυσὸς οὐκ ἔχουσαι εἶναι, ἄλλον τρόπον ὑποκρίνονται τὸν χρυσόν. Ἐγὼ δὲ εἰς ᾠόγον καὶ τοῦτο μεταγράφω τοῦ βιοφθόρου χρυσοῦ, εἴ γε καὶ σταφυλὴ φθίνουσα εἰς χρυσοῦ χρῶμα βάπτει τὸ πρόσωπον, καθὰ καὶ θρὶξ ἀργυρίζουσα τῷ μακρῷ τοῦ χρόνου εἰς τοιοῦτο χρῶμα μετέπεσεν. Ἀλλὰ ταῦτα μὲν εἰρήσθω μοι ταύτῃ, ὡς ἂν ἡ σεμνὴ ἐκείνη σταφυλὴ ἔχῃ ἐγκαλύπτεσθαι, καὶ τοῦτό γε τῆς ἐξ ἡμῶν ἀποκρυβῆς κερδάνῃ τὸ μὴ μεγάλα τῇ χρυσωνυμίᾳ σεμνύνεσθαι. Αὗτη δέ μοι ἡ τῶν βοτρύων στοιβὴ, εἰ καὶ μὴ σωρὸς ψεύστης χρυσοῦ κατ' ἐκείνας τὰς χρυσᾶς σταφυλὰς, ἀλλ' ἔστιν ἄλλως; ἀληθῶς·
C ὑπὲρ ἐκείνας, ἀπόθετον καλὸν, φθινάδος ὥρας ἀντίπαλον, μόνιμον ἀγαθὸν, ἀμβροσίας συρμάδες, γλαυκῆς ὀπώρας γλυκύτης· κἂν τὸ πρόσωπον αὐτοῖς ὕδατι ῥύψῃς, ἀποπλυνοῦνται μὲν τὸ νόθον χρῶμα καὶ πρόσθετον, δι' οὗ μάτην σεμνοπροσωπεῖν τέως βούλονται· ἐκφανοῦνται δέ σοι γλαυκώπιδες, καὶ ἑαυτὰς οὐκέτι ψεύσονται. Ἄλλος μὲν οὖν ἐπὶ σταφυλῆς κάλλει δύσερως, καὶ τὰ μικρὰ πρὸς πολὺ λαῶν μέγεθος, τὰς ῥάγας ταύτας, καὶ πιθάκνας ἂν ὠνόμασε γλυκάζοντος γεύματος, καὶ πλήθοντος γλεύκους ἀσκοὺς, καὶ μέλιτος ἀποθήκας, καὶ χαρίτων δεξαμενὰς, καὶ δοχεῖα τρυφῆς. Ἀλλ' ἐγὼ τῶν τοιούτων μεθέμενος, σωρόν τινα καλοῦ, καὶ τιθωνὸν ἡδονῆς, καὶ ταμεῖον γλυκύτητος τὴν ὀπώραν ταύτην
D ἐρῶ· καὶ ἤθελον δεδόσθαι, καθάπερ Ὁμήρῳ τῷ σοφῷ, βοτρυδὸν εἰπεῖν τὰς μελίττας πέτεσθαι, οὕτω κἀμοὶ τοὺς βότρυας τούτους φάναι μελισσηδὸν σεσωρεῖσθαι, ὡς ἂν ἔσχον καὶ οὕτω σεμνῦναι τὸ δῶρον. Ἀλλ' ἐπεὶ οὔ μοι δέ[δοται] ὀνομάτων θέσεσιν ἐγχειρεῖν, ἄλλως γοῦν μεταχειριστέον τὸ νόημα, καὶ ῥητέον, ὡς ἄρα σμῆνός τι καὶ οἱ βότρυες οὗτοι, καὶ ἐπισωρεύονται καὶ αὐτοὶ, καθάπερ αἱ μέλισσαι, καὶ τιθαιβώσουσιν ἡμᾶς ἄλλο τι μέλι, καὶ χλωρὸν καὶ γλυκύ· ὃ νῦν μὲν εἰς νεκτάρεον πέπηκται, δύναται δὲ καὶ ἐκ πηκτοῦ ῥυτὸν γενόμενον εἰς ἀμβροσίας ῥυῆναι σταγόνας· ὡς ἔχειν τούτῳ τῷ λόγῳ τὸν Θήβηθεν λυρικὸν ποιητὴν εὐστοχώτατα τῆς *Δήμητρος πύρεθρον* εἰπεῖν τὸν τῆς σταφυλῆς δοτῆρα Διόνυσον, οἷα τῆς ὀπώρας ταύτης καὶ εἰς τροφὴν συντε-

λούσης τὴν οὐχ ὑγρὰν, καὶ εἰς πόσιν δὲ συνεισφε-
ρούσης τὸ χρήσιμον· ἃ δὴ καὶ ἄμφω ἀνεῖται τῇ
Δήμητρι, καὶ αὐτῆς ἐστιν ἔργον ἐξαίρετον. Τούτου
μοι τοῦ καλοῦ σμήνους ἡ γλυκύτης μὲν ἄντικρυς
μελιτόεσσα· τὸ δὲ κέντρον ἐξῄρηται, καὶ τοῦτο
πλέον ἔχειν τοῦ μελισσόου κηρίου μοι φαίνεται. Εἰ
δὲ τὸ στέγον ἐνταῦθα τὸ γλυκύτατον σχῆμα οὐ δοκεῖ
σεμνῶς ἔχειν, ὥστε μὴ ἑστεγάνωται κατὰ τὰς ἐξα-
γώνους τῶν μελισσῶν σήραγγας, ἀλλὰ θεωρητέον,
ὡς ἐσχημάτισται σεμνότερον ἄλλως· κατὰ τὸ πᾶν,
καὶ ἡ τὸ σύμπαν ἔσω σφίγγουσα σφαῖρα καὶ τὴν
ὀπώραν ταύτην ἐπικοσμεῖ, καὶ οὕτω γίνεται τοῦτο
τὸ καλὸν στεγανώτερον. Κἀντεῦθεν ἔστι τὸ μέν τι
τῶν καθέκαστον σφαιριδίων τούτων ἀπολαβεῖν καὶ
φαγεῖν, εἴτε καὶ ἐναυξήσαντα ἐκπιεῖν· τὸ δέ τι καὶ
ἀφεῖναι ἐσνέωτα, μηδέν τι τοῖς λοιποῖς λυμηνάμενον.
Τῶν δὲ τοῦ μέλιτος σχημάτων οὐκ εὐχερὲς ἀπο-
σπάσαι τινὰ, μὴ περιθλίψαντα τὰ λοιπὰ γωνιάματα.
Πλὴν ἀλλὰ τί μοι σεμνολογεῖν τὸ δῶρον; ὅπερ, εἰ
καὶ διὰ τὰ ῥήματα καλὸν καὶ κόσμιον καὶ θαυμά-
σιον, ἀλλὰ τρόπον ἕτερον ἐν μικροῖς τέτακται διὰ τὸ
τοῖς πολλοῖς τιμᾶσθαι μὴ πολλοῦ. Ἄφες, Εὐστάθιε,
σοφιστεύειν μακρά· εἰπὲ δὲ μόνον ἐκεῖνο πανάλη-
θες, ὡς ὅτι πέπομφά σοι τοῦτο τὸ δῶρον, αὐτὸ δὴ
τοῦτο καὶ μόνον ἔμφασιν ἀμυδρὰν τῆς ἀπειροπλη-
θείας τῶν εἰς ἡμᾶς σου καλῶν. Οὐ γὰρ εἰς ὅσας
δ.ἵσταται ῥάγας ὁ τῶν βοτρύων τούτων ἐσμὸς, ἀλλὰ
πλειστάκις ὑπὲρ αὐτὰς τῶν σῶν ἀγαθῶν ἡμεῖς ἀπο-
λαύομεν· ἀνθ' ὧν ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ χρα-
τῆρ σωτήριος σταίη σοι παρὰ τῷ παναγάθῳ Θεῷ.

Δ'.

Κατὰ ξιφῶν ἐν καιρῷ, κατὰ κρημνῶν, κατὰ κυμάτων, κατὰ χιόνος βαθείας, κατὰ παγετοῦ κακεντρεχείας· καὶ πάντα ταῦτα διὰ φιλίαν, εἴ τις
ὀρθὰ φρονοίη· οὐ μὴν ἔτι καὶ διὰ κοιλίαν, εἰ μή τις
παρασιτεῖσθαι μεμάθηκεν. Οὐ πολλαὶ πρὸ ταύτης
ἡμέραι· καὶ ὁ μὲν νιφετὸς ἐτυράννει τόν τε ἀέρα,
τήν τε γῆν· τὸν μὲν συγκρύπτων, τὴν δὲ συγχέων·
καὶ τὰ τῆς Σκυθικῆς ἐρημίας πτερὰ φαντάζων ἡμῖν,
ἅπερ ἐκ τῆς Ἡροδότου Μούσης ἔστιν ἀναλέξασθαι.
Ἦσαν ταῦτα· καὶ ὁ Εὐστάθιος ἐθρασύνετο τὴν ὁδὸν,
καὶ εἰς τὸν τοῦ Κομνηνοῦ παρέκυψεν οἶκον, χιόνι
βρύων, καὶ τῷ κρύει πεπηγώς· βαμβαίνων ὑπὸ τοῦ
ψύχους, καὶ (ὡς εἰπεῖν) ἡμίνεκρος. Καὶ ἦν τοῦτο,
θέλωμεν εἰπεῖν, φιλίας (εὐλαβοῦμαι δὲ τὸν φιλόσοφον
κανόνα διὰ τὸ ἐν ἡμῖν ἀσύμμετρον)· ἦν τοῦτο τοί-
νυν, ἵν' ἀσφαλῶς εἴπω, πίστις ὑπολήψεως εὐχαρί-
στου καὶ ἐν εὐχρήστῳ κειμένης, καὶ ἦν οὐκ ἄν τις
μέμψαιτο. Μετ' ἐκείνην ἡμέραι δύο πρὸ τῆς ἄρτι·
καὶ τὸ πολὺ μὲν τοῦ νιφετοῦ ἀπῆλθε τακέν. Τοῦ δὲ
λειπομένου τὸ μὲν πλέον μετὰ τηκεδόνα εἰς παγετὸν
πυκνωθὲν τῷ τριβομένῳ τῆς λεωφόρου σταθηρῶς
ἀπέμεινε· τὸ δέ τι μένον ἐπὶ τῆς φύσεως, τεῖχος
οἷόν τι ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων τοῖς πα-
ροδεύουσιν ἀνεστοίβαστο, ἀνέμου χεάνοις, ὅπῃ τύχῃ,
διαῤῥιπισθέν. Καὶ ἦν κἀντεῦθα πάλιν θρασὺς ὁ Εὐ-
στάθιος, καὶ κατετόλμα τοῦ παγετοῦ· καὶ εἶχεν
αὐτὸν αὖθις ὁ οἶκος τοῦ Κομνηνοῦ θαῤῥήσαντα τὴν
ὁδόν. Δεῖγμα καὶ τοῦτο, οὖκουν (οὐδὲ νῦν λέγω)
φιλίας (ὁ γὰρ λόγος ὑπὲρ ἐμὲ), ἀλλ' εὐγνώμονος διαθέσεως, εἴτουν δουλόφρονος σχέσεως. Ἀρκείτω τοῦτο τὰ μέχρι τούτου. Τὸ δὲ καὶ διὰ χόρτασμα καὶ φόρτον σώματος κατατολμῆσαι τῶν οὕτω μοι φοβερῶν, οὐκ ἐμόν ἐστιν· ἀλλ' εἴ τις ὀψόδουλος, καὶ εἰς γαστέρα μαργαίνων, καὶ κινδύνου τὸ σπαταλᾷν ἀλλαττόμενος. Ἦ πῶς ἂν καὶ θαῤῥεῖην εἰσαῦθις ὀδεύειν, ὅς γε καὶ νῦν ὀφείλω μεγάλα σῶστρα Θεῷ τῷ περισωσαμένῳ με; Ἡ μὲν γὰρ πρώτη μοι ἐκείνη ὁδὸς εἰ καὶ διὰ τελμάτων ἐγίνετο, ἀλλ' εἰς χιόνα κατεχωννύμην, καὶ οὗ μοι πολὺ τὸ ἐν ἐλπίδι κακὸν ἐτύγχανεν· ἀπαλὴ γὰρ ἡ χιὼν ὑπέστρωτο, καὶ οἷα ἐγκαθευδῆσαι ἂν τὸν περιπεπτωκότα· καὶ εἰ μὴ, κατὰ τὴν ποίησιν, εἰς ὕπνον λιαρὸν, ἀλλ' οὖν εἰς ναρκωδές που πάθος κατενεχθῆναι, καὶ κεῖσθαι γοῦν ἄνθρωπον. Τὸ δὲ ἐναγχος βαδίσαι, κατὰ βοθύνων ἦν βαίνειν, κατὰ βαράθρων, κατὰ χαρωνείων, χασμάτων, κατὰ λάκκων ὀλέθρου, κατὰ στόματος ᾅδου. Τὸ μὲν γὰρ πολὺ τοῦ παγετοῦ συνεχῶς τε εἶχε, καὶ εἰς πάνυ στερέμνιον ἐσκληρύνετο, καὶ οὐκ ἐξεπιπολῆς λεῖον ἦν καὶ ἐξέστιλβεν· ὡς εἶναι πᾶσαν ἀνάγκην, τοὺς δυστυχεῖς ἡμιόνους διολισθαίνειν, οὐκ ἔχοντας ἐκτραχύνειν οὐδὲ διαιρεῖν ὄνυξι τὸ πατούμενον. Τὰ γὰρ σεληναῖα σφίσιν, εἰπεῖν δὲ σαφέστερον, τὰ ὑπὸ πόδα τοῖς ζώοις ἐκπέταλα σιδήρια, ὁμοιά τινι σιδήρῳ ἀντιτυποῦντι, καὶ λεῖα ταῦτα λείῳ τῷ παγετῷ ἀντιπράττοντα, οὐκ εἶχον ὅ τι καὶ δράσουσιν· ἀλλ' ἦσαν καθ' ἑαυτὰ οὐκ ἔχοντα δράττεσθαι. Ἔστιλβε κατὰ τὸν ὑελὸν ὁ παγετός· μικροῦ δὲ ὑπὲρ τὸν σίδηρον ἐπεπύκνωτο. Καὶ τῷ μὲν λείῳ εἶχε τὸ ὀλισθηρὸν καὶ ἀπρόσψαυστον, τῷ δὲ πυκνῷ τὸ ἀνύπεικτον· ὅθεν καὶ νῦν μὲν ἀνὰ πόδας ἐχώρει τὸ ὑποζύγιον, νῦν δὲ καὶ εἰς ἑκάτερον ἐταλάντευε τὸ πλάγιον, καὶ μόλις εἶχεν ἐρείδεσθαι καὶ προβαίνειν τοῖς ἐφεξῆς· καὶ ἐῴκει νηῒ πασχούσῃ τὴν τῆς ἐχενηίδος ἐπιβολὴν, καὶ μᾶλλον, ἔνθα που τόπος ἀνώῤῥοπος· τοῖς δὲ καταφέρουσι παρῄγετο εὐπετῶς, ὡς οὐδ' ἂν σφαῖρα κατὰ πρανοῦς. Ἐξεφόβει δὲ τοὺς ἡμιόνους οὐχ ἧττον καὶ ἡ τοῦ δούπου καινοφωνία. Οὐ γὰρ ἦν κόναβος γῆς, οὐ τὸν εἰσαεὶ χρόνον πεπείρανται, ἀλλ' ἐκάρκαιρε κατνότερον ἐνταῦθα τὸ ὑποκείμενον· καὶ τῷ τραχυτέρῳ τοῦ ψόφου τὰ ζῶα πρὸς θυμὸν ἐταράττετο, καὶ ὁ ἐπιβάτης ἐκυμαίνετο. Καὶ τοιοῦτο μὲν τὸ πλεῖον τοῦ παγετοῦ καὶ τὸ λεῖον. Ὅτε δὲ καὶ τὴν ἀτράχυντον ταύτην παρέλθοιμεν ἀτραπὸν, διεδέχοντο ἡμᾶς πῇ μὲν Ὑσθυνοι [*al.* βόθυνοι] μέγα τι χαίνοντες, ὕδατος πλήθοντες, παγετῶν ἀπορῥῶγας ἑκατέρωθεν ὅσα καὶ ὄχθας προβεβλημένοι, καὶ μέχρι καὶ εἰς γαστέρα τοὺς ἡμιόνους βυθίζοντες· πῇ δὲ βοθρεύματα, εἰς βάθος μὲν οὐκ ἂν ἄξιον λόγου κοιλαινόμενα, τῆς δὲ λοιπῆς διαστάσεως εὐπεριγράπτως ἔχοντα, ὁποῖα τὰ τῶν ἀγγείων σύστομα. Εἶπες ἂν τὸν παγετὸν τοῦτον ἰδὼν, εὖ μάλα συνεσκευάσθαι πρὸς ἀλόγων ζώων ποδάγραν· εἰς τοσοῦτο γὰρ ἠνοίγετο, εἰς ὅσον ἄν τις ἵππος χαλάσῃ τὸν ὄνυχα. Μηχανὴ χειμῶνος αὕτη ζώοις ἐπίβουλος, μαγγανεία τις ταθεῖσα πρὸς θήρατρον· ποδοκάκη ψύχους, ἐκποδὼν πειρωμένη θέσθαι τὰ ὑποζύγια. Ἐνταῦθα ἡμῖν ἡ Δημήτηρ οὐκέτι μήτηρ ἦν, ἀλλ' εἰς μητρυιὰν μεταπέπτωκεν·

οὐκέτι ζωογόνος, οὐκέτι φυσίζωος· ἀλλὰ ζωοφθόρος, ἀλλὰ φθισίμβροτος. Τοιαῦτα κακὰ ἦν ἡμῖν ἐμποδὼν τῇ μετὰ τὴν πρώτην ὁδόν· τοιούτῳ κλύδωνι ἐφορούμεθα, ἕως τῆς φίλης ἐγενόμεθα γῆς, καὶ τῆς συντρόφου ἀγορᾶς, καὶ τῶν καπνορρ[οῶν] οἰκιῶν, καὶ τοῦ συνήθους πηλοῦ. Καὶ τὸ ἐντεῦθεν εἶχεν ἡμᾶς ὁ λιμὴν, καὶ σωζόμεθα. Οἴμοι τοίνυν τῆς σῆς αἰθρίας· τῆς ἀκάπνου ἑστίας· τῶν καθαρῶν ἀέρων· τῶν παγετῶν, εἴτουν παγίδων, ἃς ἡμῖν ἔπηξεν ὁ χειμών. Τί μοι τῆς πολλῆς χιόνος; ἥ τις ὑμῖν μὲν ἀπερρύη τοῖς ἀστικοῖς, ἡμῖν δὲ τοῖς ἐρημάζουσι καὶ ὑπὲρ τὰ Ῥιπαῖα πεπλήθυνται· παρ' οἷς, εἴπῃ ἄν τις, περιξέων τὴν ποίησιν, τὴν μὲν θερμότητα καθάπαξ πτερυξαμένην ἄνω που μένειν ἐν Ὀλύμπῳ, τὴν δὲ ψυχρότητα [πτεροῖσι κατα]πτῆν[αι] λευκοῖσι, καλυψαμένην τοῖς ἐκ χιόνος φαρέεσιν. Οὐκ ἂν τὰ καθ' ἡμᾶς οὐδὲ ὁ τοῦ θέρους καύσων ἀπαλλάξῃ, τοῦ ψύχους τὸ ἀκμαῖον πυρούμενος· καὶ μόγις μέν που καὶ εἰς φθινόπωρον καταστήσεται ὁ χειμών· ἔαρος δὲ δοκῶ μοι ἐξ ὀνόματος καὶ μόνου μεμνήσεσθαι. Οὕτως ἡμῖν ἡ χιὼν σεσώρευται εἰς δαψίλειαν, οὐ μόνον (ὅπερ ἐστὶ) μένουσα, γινομένη δὲ καὶ πλεῖον κακόν. Τὸ μὲν γὰρ αὐτῆς ἤδη τέτηκε, καὶ εἰς κρυσταλώδη σύστασιν πέπηγε, καὶ κατὰ τὰς ἐκ μαρμάρου λίθου[ς] κατέστρωται, καὶ φυλάσσει τὴν γῆν ὑποζυγίοις ἀπρόσβατον· τὸ δέ τι συντέτηκε μὲν οὐδέπω πρὸς πλάκα μί[αν, καὶ συγ]κέχυται, ἀλλὰ διέχει, καὶ εἰς κρυσταλώδεις θρόμβους διέστηκε· τὸ δὲ λοιπὸν ὑπερκάθηται, χιὼν ἀκραιφνὴς μίμ[νουσα], ὅσον καταβησομένη πρὸς τηκεδόνα καὶ ἐπαυξήσουσα, εἴ που τὸ ἐκ κρυστάλου λιθόστρωτον ὑπορρεύσειε. Καί εἰσι τ[αῦτα] *κακὰ ἐπὶ κακοῖς*, κατὰ τὴν παροιμίαν· ἢ καὶ ἄλλως, *διάδοχα κακῶν κακοῖς*, ὡς ἡ τρ[αγῳδία φ]η[σί]. Φείδου τοίνυν μὴ μόνον τῶν ὑποζυγίων ἡμῶν, ἀλλὰ καὶ ἡμῶν αὐτῶν. Οὐ γὰρ δέον ἂν γένοιτο, καὶ ἡμᾶς διὰ γεῦσιν τοῦ [ζῆν] ἐκπεσεῖν· εἰ δὲ τὸ στόμα πλῆσαι χρεὼν, ἔχομέν σου τὰς κειμηλίους τροφὰς, ἐξ ὧν τὴν τρυφὴν ἀποπλήσομεν. Οὐ γὰρ κατὰ τὸ παλαιὸν μάννα ἡμέραις ἡμῖν ὀλί[γαις] τὰ σὰ μεμέτρηται ἀγαθά· οὐδὲ περὶ τῆς αὔριον μόνης ἡμῖν αὐτὸς μεριμνᾷς· ἀλλ' ὑπερβαίνεις εἰς μακρὸν ταῦτα· καὶ ἔστιν ὁ γλυκ[ασμὸς] ὁ σὸς πολυχρόνιος, καὶ ἡ μέριμνα περὶ μακρῶν ἡμῖν τῶν ἐσύστερον. —' Αλλ', ὦ τοῦ θαύματος! ἔτι μοι [ταύτην] ὑπαγορεύοντι τ[ὴν] γραφὴν, ἐπεψέκασας ἄλλο τοῦτο καλόν· καὶ ὁ πολλάς μοι βρέξας πετεινῶν πτερωτῶν σάρκας, ὃ δὴ γέγραπται, ἐπέσταξας καὶ ἄρτι ὄρνιν ταύτην ἀνθόχυμον, διακολυμβῶσαν οἷον ἐν νέκταρι, καλὸν ἀλλόκοτον, τεράστιον γλύκασμα· ἣν οὐκ οἶδα. Καὶ φῶ νῦν μοι πρώτως εἴς τε ὄψιν ἐλθοῦσαν, καὶ πεσοῦσαν εἰς τράπεζαν. Ταύτην διαψηλαφῶν, τὰ μὲν ἐσημαινόμην, τὰ δ' ἐξεπεπλήγμην· καὶ ἐδόκουν μετὰ χεῖρας ἔχειν αἴνιγμα, καὶ ὄρνιν ταύτην ὁρᾷν καὶ οὐκ ὄρνιν. Ὅσον μὲν γὰρ εἰς δέρμα ἐξήνθει, καὶ εἰς ὀστᾶ πτερύγων ἐσκληρύνετο καὶ ποδῶν, τὴν ὄρνιν ὑπέφαινε· τοῖς δὲ λοιποῖς ἀνόστεος ἦν καὶ οὐδὲν ὄρνιθος. Περικύψαντι δὲ καὶ εἰς τὰ ἐντὸς, πολλὴν εἶχε τὴν σύγχυσιν καὶ τὴν κατεργασίαν ἀξύμβλητον. Ἀμυγδάλων γὰρ δίχα, τὸ λοιπὸν ἅπαν εἶχεν ἀδιευκρίνητον. Συχνὰ γὰρ δὴ ἐπιλέγοντες καὶ ἡμεῖς, τί τοῦτο; καὶ ὑδεριῶντι στόματι τὸ βλεπόμενον παρεικάζοντες, ἐπιβάλλομεν χεῖρας· καὶ τὸ πτηνὸν διέσπαστο. Καὶ οὔτε αὐτὸ κατείχομεν, ἀλλ' εἰς γαστέρα κατέσπαστο· καὶ οὐδὲ τὴν πρὸ αὐτοῦ γνῶσιν εἴχομεν, ἀλλὰ καὶ εἰσέτι ζητοῦμεν. *Καὶ τὸ τί τοῦτο* περιμένει ἡμῖν, καὶ πυκνὰ ἐκκαλεῖται ὁ ἐπῳδὸς τοῖς ᾄδουσιν· *ἡμεῖς δὲ τί καὶ πρὸς ταῦτα;* Οὐδὲν, ἀλλ' ἢ πάντως, ὅπερ καὶ ἐσαεὶ, τὸ εὐχάριστον καὶ τὰ τῆς εὐχῆς, ἃ καὶ μόνα τῶν ἡμετέρων ἀντιδόσιμα πρὸς τὸ σὸν μεγαλόδωρον. Τὰ πτηνὰ ταῦτα τὰ ὀλίγα τὰ ἰξωτὰ πρὸς μὲν ἐκείνην τὴν τὸ πᾶν ἐν ὄρνισι λογισθεῖεν ἂν ἄτομα· εἰ δέ τις αὐτοῖς τὸ γένος λογίζοιτο, εἶεν ἂν ἄξια καὶ ταῦτα πολλοῦ, καθά γε καὶ ὁ χρυσὸς, πρὸς ὃν εὖ μάλα τὸ γένος τοῦτο χρώζεται. Χρύσεον ὁ μῦθος ἔπλασε γένος ἀνδρῶν· καὶ ἔστιν ἐν παροιμίαις ἐκεῖνο πρὸ πάντων ἀγόμενον. Πολλῷ δὴ πλέον τῷ γένει τούτῳ τὴν τιμίαν ὕλην προσάψει τις, τὸ τῆς πτερώσεως λογισάμενος χρύσεον· εἰ δὲ καὶ χρυσαῖ νεφέλαι χρυσὸν καταβρέξαι που λέγονται, χρύσεος ἂν λέγοιτο κἀκεῖνος ἀὴρ, δι' οὗ τὰ τοιαῦτα πτηνὰ χρύσεα στέλλονται. Ἔχουσιν οὖν τι διὰ ταῦτα σεμνὸν καὶ αὐτά· εἰ δὲ μὴ τοῦτο, ἀλλά γε διὰ τὸ πρὸς δύναμιν ἡμέτερον εὔγνωμον.

Ε'.

Ἀγέλην σοι ὅλην ταύτην στέλλω κολυμβάδα πτηνῶν εὐγενῶν. Ὁρᾷς, ὅπως μὲν πίονα, ὡς εἴπερ μετὰ σφαγὴν καὶ ἀφέψησιν τροφὴ δαψιλὴς αὐτοῖς παρεβάλετο φυσῶσα πρὸς πιμελήν; Ὅπως καὶ λευκὴν, λελουμένην, ὡς ὁ ποιητὴς ὠκεανοῖο λέγει τὸν ἥλιον, οὕτω δὲ καὶ αὐτὴν οἴνοιο; Ὅπως δ' εὐπρόσωπον καὶ καλήν; Εἴποις ἂν αὐτὴν ὁποῖά τινι περιθέτῳ λευκάζοντι χρώματι τῇ πιμελῇ κεχρῶσθαι καθ' ὅλου τοῦ σώματος, ὑποφαίνειν δέ τι καὶ τῆς εὐγενοῦς μίλτου, ὑπογραφομένην οἷον ἠρέμα πρὸς ἔρευθος ἐπιπολῆς τῷ τοῦ οἴνου ἐμβάμματι· οὐ προκαλυπτομένην παραπετάσματι πτερῶν φθονερῶν, ἃ τὸ κάλλος ἔνδον ἐναποκρύπτουσιν, ἀλλ' ἀποθεμένην τὸ περιττὸν καὶ τὸν τοῦ πτερώματος τύπον κάτω βαλοῦσαν, ὃς ἦρε πρὶν εἰς ὕψος αὐτήν· καὶ οὕτως οἷον ἀπαυτομολοῦσαν εἰς τράπεζαν, καὶ τὸν δαιτυμόνα τῷ σχήματι κολακεύουσαν. Καλαὶ μὲν αἱ στρουθίδες ἀκανθίδες αὗται· εἰσὶ δ' ὅμως ἀντὶ ἀγαθῶν ἀγαθίδες. Τί γάρ μοι τούτων τῶν σκιῶν πρὸς ἥλιον εὐεργεσιῶν; τί μοι τῶν ψαμμίων πρὸς τοὺς προβλῆτας; τί δὲ τῶν Πυγμαίων πρὸς τοὺς Γίγαντας; Ἵνα γὰρ τἄλλα σου παρῶ, τὰ δὲ τῆς ἡμέρας ἐρῶ, ἔπλησάς μοι τὸν οἰκίσκον ἀγριμαίων θηρίων, ἄλλων ἄλλοις ἐπισωρευομένων, καὶ πάντων εὖ διατιθεμένων τὴν τράπεζαν, ὅσα τε τὴν χέρσον ἀεὶ περιβόσκεται, καὶ ὅσα περὶ τὴν ἐξ ὑγρῶν θήραν τὰ πλεῖστα πονεῖ. — Ἀλλ' ὅτε καὶ ἐπανέλθω τῇ μνήμῃ πρὸς τὴν καινὴν σκευωρίαν ἐκείνου τοῦ ἔναγχός που περιτεθέντος δαιτρεύματος, ἀλλ' ἐνταῦθα τό τε πρᾶγμά μοι μέγα, καὶ ὁ λόγος οὐκ εὐχερῶς ἔχει περιμετρεῖν ἑαυτὸν τῇ χάριτι. Οὐκ ἄχαρι δ' οὖν ἴσως αὐτὸ καὶ περιηγήσασθαί μοι, καθ' ὅσον οἷόν τε· ὡς ἂν εἴη καὶ τοῦτο τῆς νῦν πανηγύρεως τῆς εἰς κοιλίαν ἐπεισόδιον, ἢ καὶ παράρτυμα· οὐχ ὥστε σε καὶ μαθεῖν ἀγνοοῦντα

τὸ πρᾶγμα, ὃ δὴ τέλος οἶδα περιηγήσεως, ἀλλ' ἵν' ἐμαυτὸν δοκιμάσω, εἴ τί που ἔχω πρὸς λεκτικὴν ἔτι ἐπιστήμην εὐφυῶς. Σταλτινὸν φύραμα, εἰς βάθος μὲν κοιλανθὲν, εἰς σφαῖραν δὲ γυρωθὲν, καλὴν ἐφθὴν ὄρνιν ἐθαλάμευεν εἴσω. Καὶ ἴδοι τὴν τοιαύτην σφαῖραν ἀνακαλυφθῆναι π[αρ'] αὐτοῦ τοῦ ἐπιθέματος, ὃ περιῆκτο εἰς ἡμισφαίριον, καὶ τὴν ὄρνιν (καλόν τι χρῆμα) ἐκκύψασαν ὄψον τοῖς τῶν ὁρώντων ἢ τρωγόντων ὄμμασιν ἢ στόμασιν ἐμπεσεῖν· πίονα μὲν ἰδεῖν, τρυφερὰν δὲ θιγεῖν, τακερὰν δὲ φαγεῖν. Τὸ δὲ φύραμα καὶ εἰς χύτραν ὠπτήθη τῷ ζώῳ. Ἐν αὐτῷ γὰρ ἀνεφήθη, καὶ εἰς πινακίσκον ἐπλάσθη. Ἐπ' αὐτοῦ γὰρ παρετέθη· ὡς εἶναι τὸ παράθεμα *πάνθ' ὁμοῦ χρήματα ταῦτα*· χύτραν, πινακίσκον, ἄρτον, προσόψημα. Ἐστεγανοῦτο μὲν γὰρ τὸ περιέχον, καὶ οἷον εἰς χύτραν ἦν ὀστρακούμενον. Ἔσω γοῦν αὐτοῦ πύριφ, καθώς τις ἔφη, μαλακῷ προσομιλήσαν κατειργάσθη τὸ ζῷον πρὸς ἕψησιν, πλὴν ὅσον οὐκ ἐσκυθρώπαζε τὸ ἄγγος πρὸς πῦρ μελανθέν· ἀλλ' ἐγέλα καπυρὸν, καὶ τοῦτό γε τὴν χύτραν ἐψεύδετο. Ἦν δὲ καὶ ὡς εἰς πίνακα ὑποκείμενον. Ἐπ' αὐτοῦ γοῦν ἡ ὄρνις εἰς βρῶσιν παρέκειτο· τὸ δ' ἐντὸς καὶ κοῖλον τοῦ περιέχοντος εἰς ἄρτον ἁπαλὸν ἐμαλάττετο, ζωμῷ δυσωποῦμενον ζέοντι. Τὸ δὲ λοιπὸν ἐντὸς ὄρνις ἦν, ὄψων, ὧν ἂν εἴπῃ τις, ἥδιστον. Καὶ ὅπερ ἄρτοις τοῖς ἄλλοις αἱ ψίχες, τοῦτ' ἐκείνῳ τῷ ὑποκρινομένῳ τὸν ἄρτον ἡ ἐντὸς πυκτζομένη ὄρνις ἐτύγχανε, καὶ πρὸ γεύσεως τὴν ὄσφρησιν γοητεύουσα· ἡδὺ μάλα [πν]εῖουσα, καὶ κατ' ἐκεῖνα τῶν ζώων, ὁπόσα τῇ εὐοδμίᾳ τῆς ἀποφορᾶς τὴν αὐτοῖς ἐπιβάλλουσαν θήραν ἀνύουσιν, οὕτω δὴ καὶ αὕτη ὀσφρήσει θηρωμένη τοὺς ἐντυγχάνοντας. Ὀσφρησάμενος, εἶπες ἄν, ἀρκεῖν σοι τὸ καλόν· οὕτω καλὸν ὤζε τοὐρνίθιον. Γευσάμενος οὐκ ἂν ἀπέστης, μέχρις ἂν καὶ ἐς αὐτὸν τῇ χειρὶ τὸν παθμένα κατέδυς· οὕτω πολὺ τὸ ἀπαγωγὸν εἶχεν ὁ πολυσύνθετος ἐκεῖνος χυμός. Τὸ δὲ καὶ πάλιν ἦν εἰς ἄλλων τροφὴν ἐξαρκοῦν. Ἦσαν γὰρ ἐκεῖ τά τ' ἐντὸς τά τε θύραζε καὶ βρώσιμα καὶ καλά. Καὶ ἡ μὲν ἱστορία τῇ μνήμῃ τῶν πολλῶν περιπῆγνυσι τραπέζας ἐκείνας, ἃς [οἱ] ἀμφὶ τὸν Ἀγχίσου Αἰνείαν λιμῷ κακῶς ἔχοντες κατὰ χρησμὸν ἐθοινήσαντο· τὰ δ' ἦσαν ἄρτον καὶ μάνον, καὶ σεμνὸν πλέον οὐδέν. Ἐνταῦθα δὲ τὸ πρᾶγμα τεράστιον. Ἔστι γὰρ αὐτὴν τῷ λογίσασθαι καὶ ὡς ἐπὶ τράπεζαν, καὶ μὴν καὶ ὡς χύτραν καὶ πίνακα· καὶ ἑνός τις ὄψου τούτου γευσάμενος, λέγοιτ' ἂν ταῦτα πάντα καταθαυμήσασθαι. Ἔστι γὰρ καὶ, ὡς οὕτως εἰπεῖν, πανδαισία τὸ πρᾶγμα· καὶ δέον ἐστὶν ὁμοῦ εἶδος ἓν ἐδέσματος τοῦτο περιτεθῆναι, καὶ πάντ' εὐθὺς περικεῖσθαι τὰ πρὸς τὸ καίριον ἐρύφιμα· καὶ ἀκολούθως ἓν τοῦτο φαγεῖν, καὶ πάντα τὰ τοιαῦτα φαγεῖν· ὡς εἶναι καὶ πλάσασθαί τι ἐντεῦθεν αἴνιγμα, γλαφυρὸν μὲν εἰπεῖν, συμβαλέσθαι δὲ δυσχερές. Φέρε γάρ, εἴ τις ἔροιτό σε· τί ποτε ἂν εἴη ταὐτὸν καὶ ἓν ἀριθμῷ, πίναξ καὶ χύτρα καὶ ὄψον καὶ ἄρτος καὶ τράπεζα; καί που καὶ εἰς ἰαμβεῖον αὐτὸ τοιοῦτον εὐρύθμως συνθήσει·

τράπεζα, πίναξ, ψωμὸς, ὄψον καὶ χύτρα·

οὐκ ἂν δυσχερῶς ἀναπεμπάσῃς τὸ πρᾶγμα; Ἐπὰν δὲ εἰς νοῦν ἀναβῇ σοι, τότ' ἂν θαρρούντως τὰ πρόβλημα τὴν τοιαύτην ὑπαινίττεσθαι προφὴν ἀποφήναιο. Ὁποῖον δέ τινα ὁ σὸς κωμικὸς ἀναπλάττει τὸν αὐτοῖς ταλάροις τὸν τυρὸν κατεσθίοντα, οὕτω δὲ καὶ ὁ ταύτῃ προσπεσών· αὐτῇ χύτρᾳ, αὐτῷ πινακίσκῳ, αὐτῇ τραπέζῃ τὸν ὄρνιν κατέσπακεν. Εἰ δὲ καὶ τοῖς ῥητορικοῖς ἀδύτοις ἔγκειται μέθοδος, τὰ γελοῖα τῶν νοημάτων εἰς τὸ σπουδαῖον μετάγουσα, ἢ καὶ τὰ σκυθρωπὰ πρὸς τὸ ἱλαρώτερον, ἔχω τῆς ὄρνιθος ταύτης ἀπονάμενος πρὸς ὑπόδειγμα θατέρου μέρους τοῦ θεωρήματος. Δαῖτα γὰρ Ἀγαμεμνόνειον οἶσθα μὲν ὅ τί ποτε βούλεται λέγειν ὁ τοῦ Σοφίλου, προσαρμόσαις δὲ τὴν παροιμίαν καὶ ταύτῃ τῇ ὄρνιθι. *Χρυσόθεμιν* γὰρ οἱ τῶν ὄψων δαιδαλοὶ ταύτην καλοῦσι *παῖδα*· καὶ πάντως οἶδας τὴν Χρυσόθεμιν Ἀγαμέμνονος. Οὕτω τὸ πρᾶγμα σεμνὸν καὶ εἰς ὄνομα. Καὶ τοῦτο μὲν τοιοῦτο, ἵνα μὴ περὶ τὸ ἐφετὸν ἐπιπλέον ἔχω λιχνεύεσθαι. Ἐγὼ δὲ ἅμα τε πρὸς τὸ ἐξ ἀρχῆς ἐπάνειμι, καὶ τὴν ἐπιστολὴν συντελῶ, ἵνα μή σοι πλείω γράφων παρενοχλῶ. Βραχύτατόν σοι τοῦτο μεγάλων δώρων ἀντίδομα. Καὶ τοῦτο ἄλλος μὲν ἂν ὤκνησεν ἴσως τολμῆσαι· ἐγὼ δὲ (εἴτε θάῤῥους αὐτὸ θείη τις εἴτε καὶ ἀγροικίας ἀπαιδαγωγήτου ἔνδειξιν) καὶ τεθάῤῥηκα καὶ πεποίηκα· ἐφ' ᾧ εἰ μὴ διαχεθείης τε καὶ γελάσειας, ἀλλ' οὖν τέως οὐδὲ δυσχερανεῖς. Τὸ γὰρ καὶ ἐπικερτομῆσαι οὔτε σὸν ποιῆσαι, οὔτ' ἐμὸν ὑπονοῆσαι.

Γ'.

Τῷ αὐτῷ. Μέχρι τίνος ἐγὼ διὰ τὰς σὰς καλάνδας, αὐθέντη Κομνηνὲ, ἐπ' ἐμαυτὸν ἀσκήσω τηλικούτους ἐχθρούς; ἕως τίνος τοὺς βριαροὺς Γηγενεῖς, τοὺς καταράτους μύας; πελωρίους ἐκθρέψω κατ' ἐμαυτοῦ; εἰς οὓς μὴ καὶ Σμινθέως δεήσαι τινὸς, ὃς ἐκποδών μοι ποιήσεται τὸ κακόν; Οὐκ ἂν πολεμίοις τοιούτοις πολιορκεῖσθαι ξυναίμην, οὐκ ἂν ἔχοιμι καὶ εἰσέτι θηριομαχεῖν! Τοιοῦτο κακόν μοι περιεστοίχισαι κάρχαρον· τοσοῦτο στῖφος θηρίων, καὶ τούτων ἀπροσμαχήτων. Οὐ μόνον ἡ γῆ, καθά που λόγος ἔχει παθεῖν τὸν ἱστορούμενον Κρίνιδα, ἀλλὰ καὶ τεῖχος καὶ στέγη καὶ πᾶς ὁ οἰκίσκος ἐξεῖρψέ μοι οὐχ ἧττον, ἢ τοὺς βατράχους πάλαι ποτὲ Αἰγυπτίοις ἡ κατ' αὐτούς. Τοιαύτην πληγὴν τοὺς μύας τούτους ἐγὼ δυστυχῶ· οἵπερ οὐ μόνον ἐκδαπανῶσι τὰ τοῦ ζῆν ἐπιτήδεια, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ ὕπνου μοι παραπρώγουσιν. Οὐδὲ γὰρ οὐδὲ ὑφ' ἡμέρᾳ τὸ πολέμιον ἐπιτίθεται, ἀλλά μοι καὶ αὐτοὶ νυκτερινὸς φόβος εἰσίν. Οὐδὲ ὑπὸ ἡλίῳ μοι προσβάλλουσι λαμβάνειν, ὅτε τις εἶχεν ἂν αὐτοὺς ἐκσοβεῖν· ἀλλὰ νυκτὸς ἐπιφύονται, ὡς ἂν λανθάνειν πάντοθεν ἔχοιεν διά τε τὸ τοῦ περιέχοντος ἀφώτιστον καὶ τὸ τοῦ σφῶν χρώματος νύκτερον. Διογένης μὲν οὖν εὐτυχῶς ἔχειν ἐδόκει, μύας ὁρῶν (κακὸν τὠθασσὸν) τὴν τράπεζαν ὑποτρέχοντας. Ἐώκει γὰρ παρασίτους τινὰς ὁρᾶν ὑπ' αὐτῷ οἷα τρυφῶντι λιχνευομένους, καὶ ἀγειρομένους, καὶ τῆς εὐδαιμονίας συναπολαύοντας. Καὶ τοιούτοις σύνδειπνος τὰ τῆς πενίας παρεμυθεῖτο δεινά. Ἡμῖν δὲ οὐκ ἔστι τοιαῦτα πάσχειν, οὐδὲ τούτων ἐγγύς. Οὐδὲ γὰρ οἱ καθ' ἡμῶν μύες οὗτοι παράσιτοι· κατάσιτοι μὲν οὖν, εἴπερ ἦν ἡμῖν ὀνοματοθετεῖν. Κατασιτοῦνται

γὰρ οἵτοι τὰ περιπίπτοντα· εἰ δ' οὖν, ἀλλ' ἡμεῖς ἐκείνων μᾶλλον παράσιτοι, τοῖς αὐτῶν λειψάνοις παρατρεφόμενοι. Οὐκ ἔστι κατ' αὐτῶν μηχανή. Τὰ τῶν παγίδων εἰς κενὸν διαχάσκει, καὶ τέλεον ἀπρακτεῖ. Ὁ ἐκ ξύλου τοξότης Σμινθεὺς εἰς μάτην ἐντείνεται· καὶ ὅλως εἰς κενὸν ἡμῖν αἱ κατ' αὐτῶν πᾶσαι σκάζουσι μηχαναί. Καὶ ἔστιν ὡς ὄντως ἀμήχανον τὸ κακὸν, ἐκεῖνό με καὶ μόνον περιμυθούμενοι, ὅτι μὴ τὸν οἰκίσκον ἐν μονίμῳ ἱστασθαι οἰωνίζονται. Εἰ γὰρ καμνούσης οἰκίας, ὡς λόγος, ἐκφεύγουσιν, ἐστηξομένῃ πάντως προσμένουσιν. Οὐδὲν δὲ παρέλκον, καί τι τῶν ῥᾳδιουργημάτων αὐτοῖς τῷ λόγῳ περιδηλῶσαί μοι. Ἀγγεῖον οἰνοδόχον· ἄνωθέν ποθεν ἡμῖν ἀπηώρηται παττάλου τινὸς, ἐξότου μῆνες συχνοί· καὶ ὁ τῆς ἀπαιωρήσεως σχοῖνος ἀδρὸς, καὶ ὅσος ἂν εἰς μικροῦ δακτύλου διαστάσεις παχύνοιτο. Εἰς τοῦτο ἐκ μετεώρου μῦς χαλάσας ἑαυτὸν (ὡς ἂν εἰδείη ἐκεῖνος ὁ καταιβάτης, ὁ νυκτιλόχος;), καὶ νύκτα μίαν ἐπιφυλάττων τῷ πλάγματι, οὐκ ἔσχεν εἰς τέλος ἀποφυγεῖν. Ὁ γάρ τοι τῶν ὀδόντων τριγμὸς ἐξέκρουσέ με τοῦ ὕπνου, καὶ ἀφυπνίζων ἐξήγειρε. Καὶ ἦν μοι λύχνος ἐν μιᾷ ταὶν χεροῖν, καὶ λύγος ἐν θατέρᾳ. Καὶ ὁ κάκιστος ἐδραπέτευε, τραπεὶς μὲν εἰς φυγὴν, τρέμειν δὲ ὥσπερ ἀφεὶς τὸ ἀγγεῖον· ἐπὶ πολὺ γὰρ ἐκεῖνο μετεφέρετο κραδαινόμενον. Καὶ τοῦτο μὲν πρὸ τρίτης. Ἀλλὰ τὴν χθὲς ἡ[ν]υσται τὸ ἄθλον τῷ καρτερσδό[ν]τῃ. Καὶ κατελθὼν βαθείας νυκτὸς, καὶ λαθὼν, καὶ ἐντραγὼν τὸ σχοινίον ὁ κάρχαρος τρώκτης, τὸ ἄγγος κατέῤῥιψε. Καὶ αὐτὸ μὲν ἀπηχρείωσεν· ἡμᾶς δὲ τοῦ ὕπνου ἐκπατάξας ᾤχετο μεταβαίνων, καὶ ὑποτρύλων, ὡς οἷα χαίρων, καὶ παιᾶνα μέλπων, ἐφ' οἷς ἔπαιξε καθ' ἡμῶν, ἄλλο μὲν οὐδὲν ἀπονάμενος τοῦ μακροῦ πολέμου καὶ τοῦ τῶν ὀδόντων καμάτου, αὐτὸ δὲ, ὡς ἔοικε, τοῦθ', ὅτι περ ἡμῶν κατωρχήσατο. Καὶ τοῦτο μὲν τοιοῦτο. Ἐκεῖνο δὲ μὴ καὶ τοῖς περιδόξοις ἐντάττειν ἀκούσμασιν ἔχοι τις. Κάλαμος, ὡς εἰς ὀργυίας μῆκος τοῖς ἄκροις διεστηκώς· ἔτι δὲ καὶ ξύλον ἐξ ἀκοντίου θρωσθὲν, ἰσοδιάστατον τῷ καλάμῳ τοίχου τινὸς παρ' ἡμῖν ἐξάπτοντος πλάγια· ὁ μὲν κάλαμος ὑπερκείμενος· τὸ δ' αὖ ξύλον ὑποκείμενον τῷ καλάμῳ βραχύ τι κατά τινα καθέτου ἰσότητα. Τούτων ἀπῃώρητό μοι κατὰ ζυγὰς κείμενοι βότρυες, οὐ μεγάλοι μὲν, ἀντίπαλοι δὲ χρόνου τροπαί· οὔτε εὐρωτιᾶν εἰδότες, καὶ πρὸς πλαδασμὸν δὲ καὶ σῆψιν ἀντίμαχοι, μέχρι καὶ εἰς ἔαρ παραγγέλλειν μοι νομιζόμενοι· οὓς ἡ δημοτικὴ λεκτικὴ *κρυσταλίνους* ἀποκαλεῖ· τάχα μὲν διὰ τὸ ἐν κρύει τὰ πολλὰ τούτους τρυγᾶσθαι, τυχὸν δὲ καὶ διὰ τὸ καθαρσίῳ ἔχειν τοῦ φαινομένου κατὰ κρυστάλου τινὰ ὁμοιότητα. Τούτοις ἐπιβουλεύσας εἴ τις, οὐκ οἶδ' ὅπως ὁρμητίας, ἢ καὶ καταῤῥάκτης, καὶ ἄνωθεν καταπηδῶν εἰς αὐτοὺς, τὰ μὲν πρῶτα περιῶν, τὰς κρείττους τῶν ῥαγῶν ἀπελέγετο, τὰς μὲν ὅλας ἀποτρώγων, τῶν δὲ καὶ ἀπεκμυζῶν ἅπαν τὸ νόστιμον, τὰς δὲ καὶ ἄλλως ταῖς τῶν ὀδόντων θήξεσιν ἀχρειῶν. Καὶ ταῦτα μὲν τὰ πρῶτα. Τὰ δ' ἐντεῦθεν τὸ πονηρὸν ἐκεῖνο θηρίον οὐκέτι κατὰ ῥάγας δεῖν διέγνω τοῦ καλοῦ ἀποδρέπεσθαι, ἀλλ' ὅλον ἀπενεγκάμενον οἴχεσθαι τὸν καρπὸν, διά τε τὸ φύσει λίχνον, διά τε τὸ δυσχερὲς τῆς καταπηδήσεως. Ἔστι γὰρ οὗ κατευστοχεῖν μὲν οὐκ εἶχεν εὐχερῶς τοῦ σκοτοῦ, ἀλλὰ τὰ μὲν πολλὰ δεξιοῦ δίκην κέλητος περιέβαινε τὴν τῶν βοτρύων κρεμάθραν· ἔστι δ' ὅτε καὶ κάτω που ἀπωλίσθαινε. Καὶ τοῦτο οἱ ἐκεῖθεν δοῦποι νυκτὸς ἡμῖν ὑπεσήμαινον. Κάτεισι τοίνυν ἐν μιᾷ που· καὶ τοῦ ὑπερκειμένου καλάμου προσπιβὰς, καὶ λαβόμενος μηρίνθου μιᾶς, ὑφ' ἧς δύο τινὲς ὑπανείχοντο βότρυες, ἀνάγειν ἤθελε τούτους ὑφοῦ, ὅποι ποτὲ ἤθελεν. Ἐπεὶ δὲ τεράστιον ἦν τὸ τολμώμενον, καὶ οἷον ὑπερβαίνειν χεῖρα μυὸς (δώσεις γάρ μοι, καὶ χεῖρα προσπλάσαι τῷ οὕτω παλαμναίῳ καὶ δραστηρίῳ, καὶ τολμῆσαι καὶ ὀξυλάβην εἰπεῖν αὐτὸ καὶ χειρίσοφον), βρίθει τε κάτω τὸ ἁρπαγὲν, καὶ τὰ βοτρύδια (οὕτω γὰρ ἐκ βοτρύων κατασχεθὲν πρότερον ὁ δάπανος τὸ ζευκτήριον ὑπεκόρισεν) ἐκπίπτουσι τῶν τοῦ ἅρπαγος ὀνύχων· καί πως κατὰ κρείττω τύχην πίπτουσιν οὐκ εἰς γῆν, ἀλλὰ περιβάντα τὸ ὑποκείμενον ξύλον ἐκρέμαντο. Κτύπος ἐπὶ τούτοις, καὶ νυκτεγερσία πάλιν. Καὶ ἡμεῖς αὖθις ὡς ἐν νυκτὸς φυλακῇ τοῦ προτέρου λύχνου καὶ τοῦ λύγου γενόμενοι, τὸν μὲν ἅρπαγα οὐκ ἐξεύρομεν (ᾤχετο γὰρ μῦς, χανὼν εἰς μάτην, ποδῶν κτύπῳ τὴν φυγὴν ὑπεμφαίνων ἡμῖν), τὸ δὲ ἅρπαγμα εἴδομεν ὅπως τε ἄνωθεν κατέσπαστο, καὶ οἷας ἐν ἑκάστῃ τῶν ῥαγῶν εἶχε τὰς ἀμυχὰς, ἔτι καὶ κραδαινόμενον. — Τοιαῦτα ἡμῖν ἐπικατερράγησαν τὰ κακὰ, δεινὰ φαγεῖν, ἄλλεσθαι δεξιὰ, πολυβόρα, παμφάγα, φυγῆς καὶ μίσους ἄξια. Οὐκέτι γοῦν οἷοι τοιούτοις ἀντέχειν ἐσμὲν, μὴ καὶ λάθωσι καταφαγόντες ἡμᾶς. Καὶ ταῖς μὲν στα-φυλαῖς οὕτως ἐπιβεβουλεύκασιν οἱ ἐχθροί· τοῖς δέ γε μεσπίλοις τοσοῦτο ἐπέθεντο, ὡς μηκέτι παρεσθίειν αὐτῶν, ἀλλ' ἀραμένους ἀπάγειν ὅλα κατὰ τοὺς ἀχθοφορεῖν δεξιοὺς, καὶ καθεκάστας ἡμέρας οὕτω τὸν ἀριθμὸν αὐτοῖς καθυφίεσθαι. Τοῖς δὲ κυδωνίοις μῆλοις ἐμφωλεύουσιν οἱ κάκιστοι, πρὸς καταδύσεις αὐτὰ σπηλαιώδεις κοιλαίνοντες. Ἔχε τοίνυν δ' ἀνάγκην πρὸ ὥρας τὰ σά. Καί μοι τῶν καλανδῶν προαπόλαυε· καὶ κακῶν ἡμᾶς τοιούτων ἀπάλλαξον· καὶ κῆρας τὰς οὕτω πολυβόρους, τὰς γαμψωνύχους, τὰς μικροῦ δεῖν κατὰ τὴν παροιμίαν ἀναρπαξάνδρους, ἀπάμυνον. Δεδοίκαμεν οὖν, μήποτε τοῦ ποθουμένου στερέντες, ἡμῖν αὐτοῖς οἱ παρ' ἡμῖν οὗτοι παμφάγοι θῆρες ἐπιβουλεύσωσιν. Ἔπεισι δέ μοι θαῤῥεῖν ἄλλως, ὡς ἅρα τῇ κνίσῃ τεκμαιρόμενοι κατ' ἴχνος φιλουμέναις ὁπώραις ἐφέψονται, καὶ ἀφίξονται παρὰ σέ· καὶ μάθοις ἂν τηνικαῦτα ἔργοις αὐτοῖς, οἷα τὰ τῆς μάχης ἡμῖν· οὐ πρὸς γερόντους, ὡς ἂν ἡμῶν αὐτὸς καταπαίξειας· ἀλλὰ στρατὸν γεγενῆ, οὗ περιγενέσθαι μέγα ἔργον, καὶ οἷον ἱστορίᾳ δοθῆναι, καὶ λόγοις συγγραφέων σεμνύνεσθαι, εἴ τι προσεκτέον τῷ πάλαι λόγῳ, ὃς περὶ τὴν Χρύσαν. Τρωϊκὸν δὲ ἦν ὅτε αὖτη πολίχνιον ἰδρύσθαι ξύλινον λέγει, καὶ σμίνθον ἔχειν τοῖς ποσὶν ἐπικείμενον. Ἔστι δὲ ἅρα ὁ μὲν Σμινθεὺς εἰς νῦν μεταλαμβόμενος κατὰ γλῶτταν ἐγχώριον· ὁ δέ γε πατῶν ἐπ' αὐτὸν Ἀπόλλων σεμνὸς, ὅτι τοιοῦτο θηρίον ἐνίκησε. Καὶ οὐκ ἐπαισχύνεται τὴν νίκην, ἀλλὰ καὶ χαίρει Σμινθεὺς ἐντεῦθεν καλούμενος.

Z'.

Τῷ αὐτῷ. Τὰς νῦν *καλάνδας* πανηγυρίζουσι πάντες, οἷς τὰ Ῥωμαίων πρεσβεύεται, καὶ τῶν εἰς χαρμονὴν συντελουσῶν ἡμερῶν ταῖς μεγίσταις ἐγκρίνουσι· καὶ οὐκ ἔσθ' ὃς αὐτὰς οὐκ ἄγει γλυκεῖαν ἑορτήν, εἰ μὴ βούλεται καὶ αὐτὸς ἡδυσμά τι παρακεῖσθαι τῇ πανηγύρει, καὶ τῇ τῶν ἑορταστῶν ἱλαρότητι παραρτύειν τὸν γέλωτα· αὐτὸς μὲν σεμνυνόμενος καὶ συνάγων εἰς σκυθρωπότητα τὰς ὀφρῦς, τοῖς δὲ θεωμένοις καθά που καὶ τοῖς Ἕλλησι Θερσίτης ποτὲ πλατὺν ὑπανοίγων τὸν καγχασμὸν, ὡς ἐν θιάσῳ μέσῳ χορευόντων χαρμόσυνα, ἐπίκλαυστον ᾄδων αὐτὸς, ὡς ἀνέορταστος, ὡς ἀνέραστος τοῦ καλοῦ, ὡς ἄντικρυς ἀχαρίτωτος, πέτρας (εἴπῃ τις ἂν) ἀ[γ]ελάστου κατὰ τὴν παροιμίαν ἀπόκομμα. Ἄγουσι μὲν οὖν τὰς *καλάνδας* ἐν λόγῳ πανηγύρεως ἅπαντες· ἄγουσι δὲ ἄλλα ἄλλοι, ὡς ἕκαστος οἶδεν ἔχειν ἢ τοῦ βούλεσθαι, ἢ τοῦ δύνασθαι. Καὶ ὁποῖόν τι καὶ ἡλίκον ταῖς *καλάνδαις* κατὰ τῶν ἄλλων ἡμερῶν τὸ ἐκνίκημα, ὁ Σῦρος ἔχει παραστῆσαί σοι σοφιστὴς, ᾧ τὴν κλῆσιν ἐπέπνευσεν ὁ πυρίπνους ἐγχώριος Λίβανος, ὁ τῆς τῶν Σύρων γῆς ὑπερτέλλων, καὶ κάτω που κεῖσθαι αὐτὴν ἐν κοίλῳ ἀφείς. Ἀλλά τί σοι περιπλέκειν δοκῶ περιφράζων τὸν ῥήτορα, καὶ σοφιστικῶς τὴν τοῦ ὀνόματος παρωνυμίαν μεταχειριζόμενος; καὶ πῶς παρασύρω τὸν ἄνδρα τῷ Λιβάνῳ τῷ ὄρει, καὶ οὐκ ἐξάγω τῆς λόχμης, καί σοι παριστῶ τὸν δεινὸν σοφιστὴν τὸν Λιβάνιον; Φράζει γοῦν ἐκεῖνος, εὖ μάλα κατὰ τέχνην περιηγούμενος, ὁπόσα τῶν καλῶν τελοῦνται περὶ αὐτὰς, τοὺς κρότους, τοὺς ὕμνους, τοὺς παιᾶνας, τὰ δῶρα, τἄλλα τῆς ἡμέρας ἀγαθὰ, ἃ στόμα Λιβανίου τεχνικῶς διαμασησάμενον ἐλέανέ τε καὶ τροφὴν ἐνέθετο τοῖς προτελουμένοις ἔτι καὶ βρεφοκομουμένοις οἷον τὰ εἰς ῥητορικήν. Ἓν δή τι τῶν τῆς ἡμέρας ταύτης καλῶν καὶ τὸ δωρεῖσθαι καὶ ἀλλήλοις τι συντελεῖν, οὐ τοὺς αὐτοὺς τοῖς αὐτοῖς (συνάλλαγμα γὰρ τοῦτο τοιοῦτον οὐκ εὐγενὲς, φρενὸς κερδαλέας τέχνασμα· κέρδους ἀγεννοῦς ἐμπόρευμα, ψυχῆς οὐ φιλικὰ φρονούσης ἐμπόλημα), ἀλλ' ἄλλους ἄλλοις· καὶ πάντας ἀλλήλοις, ἄλλον ἄλλο τι χαρίζεσθαι· ὡς ἔστι μὲν οὗ τὴν χάριν ἀνακάμπτειν, καὶ πρὸς τὴν κατάρξασαν στρέφεσθαι· ἔστι δ' ὅτε καὶ εὐθυωροῦσαν προβαίνειν κατ' εὐθεῖαν μετάδοσιν, οὔκουν ἀντίδοσιν· καὶ προῤῥέειν τὰς χάριτας, πῇ μὲν ἀνὰ κύκλον, καὶ (ὡς εἰπεῖν) ἀψορρόους, πῇ δ' ἰθύ πως τὸν ῥοῦν εὐθυῤῥόους προβάλλεσθαι. Τὴν γὰρ παροιμιακὴν ἀνάγκην διαγραπτέον ἐνταῦθα, *Δός τι καὶ λάβε τι*, λέγουσαν. Ἐξοστρακιστέα γὰρ αὕτη, πολιτείας ὑγιαινούσης τὸ ἀνεμπόρευτον κοινωνικὸν ἀναιροῦσα, καὶ τὴν φιλίαν ἐξ ἀνθρώπου βάλλουσα. Ἡμεῖς οὖν ἀπέχομεν ἤδη μυρία τῶν σῶν ἀγαθῶν, ἃ καταντλεῖς ἡμῶν ὁσημέραι· δεῖ δὲ καὶ ἡμᾶς κατὰ τὰς ἐν συμβόλων γραφαῖς ὑμνουμένας χάριτας τῶν σῶν ἐπιστρόφους γενέσθαι χαρίτων, οὐ διδόντας, ἀλλὰ μεγάλων προϋπαρξάντων ἀντιδόντας μικρά· καὶ χεῖρας χερσὶν ἐμβαλεῖν, καὶ καλοῦ τούτου κύκλου χορείας Χαρίτων κατάρξασθαι. Καὶ δὴ γίνεται τοῦτο πρὸς δύναμιν. Ἄλλοι μὲν οὖν ἄλλως ἀφοσιούσθωσαν τῷ καιρῷ τὰ τῆς χάριτος, εἴτε μὴν ἀντιχάριτος· ἡμεῖς δὲ οἱ λόγου, εἰ μὴ τῷ ὄντι θεραπευτικοὶ, θεράποντες δὲ ὅμως, τάχα δὲ καὶ ὀτρηροὶ τὴν τιμίαν σε κεφαλὴν καὶ τοῦ παντὸς ἀξίαν τῷ παρ' ἡμῖν τιμίῳ δεξιωσόμεθα λόγῳ, συνθέντες τοῦτον ἔσω πίπτοντα τοῦ καιροῦ· οὔκουν κατὰ τὸν σοφιστὴν, ὃν ὁ λόγος ἄνω σοι παρεστήσατο. Ἦν γὰρ ἐκεῖνος ἐᾴδισεν, αὐτὸς τεμών, ἔτριψε μόνος. Οἱ δ' ἄλλοι δοκῶ μοι ἂν τὴν τοιαύτην ὀκνήσωσιν ἀτραπόν· οὐ γὰρ ἔσται σφίσι κατ' ἴχνος βαίνειν τοῦ ῥήτορος. Γράφομεν δὲ κατ' ἔφοδον ἄλλην, δι' ἧς τὰ τῆς ὥρας οὐκ ἐκφράσομεν, ἀλλὰ φράσομεν, τοῖς ἑαυτῶν τὴν ἡμέραν σεμνύνοντες, καὶ τῷ περὶ *καλανδῶν* λόγῳ ἑξοσιούμενοι τὴν κατ' ἐκείνας πανήγυριν. Ἔσται δέ σοι κἀντεῦθέν τι βραχὺ προσωφέλημα· κἂν εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' ὅτι περ, ἃ πολλοῖς ἑδαφίοις βίβλων κατέσπαρται, ἡμεῖς ἀποτεμόμενοι, καθάπερ ἀδρά τινα ὁράγματα, ὡς εἰς εὕρεῖαν πανδεχῆ καλοῦ παντὸς αὔλακα, τὴν σὴν φιλολόγον ψοχὴν φέροντες ἐντιθέαμεν, θέρος σοι τοῦτο σχεδιάζοντες εὔδαιμον ἐν μέσῃ χειμῶνος ὥρᾳ· ὃ σὺ τάχ' ἂν καὶ εἰς χρυσοῦν θέρος ἐγγράψας εἰκάσειας· οὐχ ὅτι τοιοῦτο, ἀλλ' ὅτι περ οὕτω σοι ταλαντεύεται τὰ ἡμέτερα, καὶ τιμᾶται πολλοῦ. Λέγομεν οὖν ἔνθεν ἐλόντες, [ὡς] οὐκ εἰς ἕνα τινὰ καιρὸν τὸ τῆς *καλάνδης* ἀγαθὸν στενοχωρούμενον περιγράφεται· συνεπιμερίζεται δὲ τοῖς δώδεκα μεγάλοις τμήσασι τοῦ ἐνιαυτοῦ, ἃ κινούμενος ἥλιος καὶ παρελαύνων τὸ τοῦ ζωδιακοῦ λοξοῦ κύκλου δωδεκατημόριον ἕκαστον τέμνει· καὶ τὸν ἐνιαυτοῦ στέφανον οὕτω περιάγων, γράφει τὸν κύκλον ὁλοτελῆ· καὶ ὅσαι νεομηνίαι ὑπανακύπτουσιν, ἀρχὰς ἐνδιδοῦσαι τοῦ χρονικῶς τρέχειν ταῖς ἐφεξῆς, τοσαῦται καὶ *καλάνδαι* συνεκπίπτουσιν, ἑκάστου τῶν μηνῶν προεξάρχουσαι. Καὶ τάχα εἰς πολυωνυμίαν τὸ τῶν λέξεων χρῆμα συνάγεται· καὶ ἔστι ταυτὸν εἰς πράγματος φύσιν, *καλάνδας* τε καὶ *νουμηνίας* ἢ *ἱερομηνίας* εἰπεῖν· ὥσπερ δή που καὶ *ἐνιαυτὸν* καὶ *ἔτος*, ἤδη δὲ καὶ *χρόνον*, ὡς ἡ κάτω κειμένη καὶ ταπεινὰ φθεγγομένη διάλεκτος ἂν ὑποφθέγξηται. Οὐχ ὑποπέπτωκε δὲ ταιαύτη λέξις ἀρχῇ, οὐδ' ἔστι πρωτόθετος· ἀλλ' ἐκ τοῦ *καλεῖν*, οἷά τινος ἀρχῆς, εἴτε μὴν ὕλης ἀρχεγόνου παράγεται. Καὶ ἔστι μὲν ἀληθῶς Λατίνων ἐγχώριος ἡ φωνὴ, καὶ ἔξω που τῆς Ἑλλήνων αὐλῆς θυραυλεῖ. Καὶ εἰδεῖεν ἂν ἀκριβῶς ἐκεῖνοι τὸ ῥῆμα, ὅ τί ποτε βούλεται. Φέρεται δ' ὅμως λόγος, ὡς ἄρα τὸ *καλεῖν* ὄνομα τὰς *καλάνδας* παρήγαγεν. Ὁ γάρ τοι — εἴτε καὶ *Λατῖνος*, εἴτε καὶ *Ῥωμαῖος*, βούλει λέγειν — ἱερεὺς ἐν αὐταῖς *περικαλῶν* τὸν ὄχλον κηρύγματι, τάς τε *νόννας* τοῦ μηνὸς, πηνίκα χρὴ ἄγειν, ἐξεβόα, καὶ τὰς *εἰδοῦς* δὲ προανέκραζε. Τίνες δὲ αὗταί εἰσι, βουλομένῳ ἔστιν ἀκοῦσαι· τέως δ' ἀναμένειν χρεών. Ἤγοντο μὲν οὖν πᾶσαι *καλάνδαι* διὰ τιμῆς, καὶ ἦραι ἦσαν ἡμέραι, ὅτε καὶ νεομηνίαι· καὶ τὸ τῆς ἀρχῆς οὕτω θεῖον ἀνέφαινον. Ἔδοξέ δέ πως τὰς Ἰαννουαρίους *καλάνδας* προέχειν τῶν ἄλλων, καὶ τὸ τῶν λοιπῶν πρεσβεῖον ἐξιδιώσασθαι, καὶ ἀποκρύψαι τὰς ἄλλας τῷ θαύματι· ὡς καὶ σεσιγῆσθαι τὰς λοιπὰς, καὶ μηδ' ὄνομα γοῦν *καλάνδης* ἐν

ἄλλῳ μηνὶ φέρεσθαι· τάχα μὲν οὖν, οὐκ ἐξαρκούντων τῶν πολλῶν, οὕτω συχνὰς τὰς ἐν δώροις φιλοφροσύνας ποιεῖσθαι, ἃς ἡ τῶν ἡμερῶν ἀπαιτεῖν οἶδε λαμπρότης· τάχα δὲ καὶ, ὅτι τὸ τὰς ἑορτὰς ἄλλας ἐπ' ἄλλαις ἐπιτελεῖν συνεχῶς οὐκ ἔξω σκώμματος ἔπιπτεν. Ἦν γὰρ ἀργίας τὸ πρᾶγμα τεκμήριον, καὶ τὸ τῆς πανηγύρεως ἀλλεπάλληλον ἀναπτώσεως ἐκρίνετο σύμβολον. Σημεῖον δέ· καὶ γάρ τις κωμῳδεῖται πόλις ἐν ἱστορίαις, ὅτι πλείους τῶν ἐργασίμων ἦγε τὰς ἑορτάς. Ὅπως δ' ἂν ἔχῃ τὸ πρᾶγμα, συνεῖλε πᾶσαν τὴν τῶν *καλανδῶν* τιμιότητα ὁ *Ἰαννουάριος* εἰς ἑαυτὸν μὴν, πλεονεκτήσας τοὺς ἄλλους, καὶ τὸ κοινὸν ἐξιδιωσάμενος. Ὁ μὲν ἐκ Χαιρωνείας φιλόσοφος ἐξιστόρηκεν, ὡς ὅτι ἔδοξε Ῥωμαίοις πάλαι ποτὲ καὶ, νέου ἔτους ἀρχὴν τὸν μῆνα τοῦτον προτίθεσθαι καὶ [προ] τιμᾶσθαι τ[ῶν] ἄλλ[ων] μην[ῶν] ὑπερέκεινα, ὅτι αὐτός τε ὁ μ[ὴν οὗτος] ἦν ὅτε ἐνέστη, καὶ οἱ μὲν οὐκ εὖ παρ' αὐτοῖς μοναρχοῦντες τῆῦ κρατεῖν παρελύθησαν, ἡ δὲ τῶν βελτίστων ὑπάτων ἀρχὴ ἐντεῦθεν ἀρχὴν ἐκληρώσατο. Προσεπιτίθησι δὲ τῇ ἱστορίᾳ καί τινα Ῥωμαίοις τὴν κλῆσιν μὲν *Ἴανναν*, τὰ δὲ πρὸς γεωργίαν καὶ τἄλλα, ὅσα πόλιν τε οἶδε συνιστᾷν καὶ βίον πολιτικὸν συγκροτεῖν, ἄνδρα χαρίεντα, ὃς καὶ τοὔνομα ἐγκατατίθεται τῷ μηνὶ, ὁπολά τινι, κενηρίῳ σεμνῷ· εἰπὼν, εἶναι τὸν *Ἰαννουάριον* *Ἰάνου* ἐπώνυμον. Σεμνύνει δὲ καὶ ἄλλως τὸν καιρὸν τοῦτον ἐκεῖνος, ὅτι περ ἐκ τῶν νοτίων αὐτὸς ἡμῖν ἐπανέγει τὸν ἥλιον, καὶ τῆς μακρᾶς ἀποδημίας στήσας ἐπανακάμπειν ποιεῖ, καί πως τὸ ἔαρ ἡμῖν ὑπανοίγει· καὶ μικρὸν ὅσον ἀναπετεννύμενος καὶ ὑπαύξων τὸ φῶς καὶ χρονίζειν ὑπὲρ γῆς τὸν ζωογόνον φωσφόρον ποιῶν, ἀρχάς τινας ἤδη γονίμους ἐνδίδωσι τῇ γῇ, καὶ ἠρέμα πρὸς γονὰς ἀνοίγει, θύρα τις ὥσπερ γινόμενος ἐκείνῳ πρὸς γένεσιν. Τὸ δ' ἐντεῦθεν ὁ Συροφοινιξ Πορφύριος ἀλληλουχεῖ μοι τὸν λόγον, καὶ ὡς ἔκ τινος βαλβίδος — τῆς θύρας ταύτης διεκδραμὼν, ἄλλον τρόπον αὐτὸς θυροκοπεῖ τὸν *Ἰαννουάριον*. Καὶ στρέφεσθαι μὲν οὐκ ἀνέχεται κάτω, καὶ τόπους τρίβειν ἱστοριῶν· τὸ δὲ τῶν νοημάτων τούτων βρῖθος ἀποσεισάμενος, καὶ (ὡς οἴεται) πτερυξάμενος ὑπερνέφελος Ἴκαρος προσπελάζει τῇ ἁπλανεῖ. Κἀκεῖθεν βούλεται μέν τι λαλεῖν, οὐκ ἔχει δὲ τὸν ἀκούοντα· οὐχ ὅτι πολὺ καὶ οὐ σύμμετρον ἀκοῇ τὸ μεσιτεῦον τοῦ διαστήματος· ἀλλ' ὅτι τερατώδης ὁ λόγος, καὶ οἷος εἰς ψυχὴν εὖ λογιζομένην μὴ παρεισδύεσθαι, ἀλλ' ἄξιος εἶναι τῷ πεπτωκότι ἄνωθεν ἐωσφόρῳ συγκαταφέρεσθαι. Καταβάσεις γάρ τινας ἐξ οὐρανοῦ ὑποθέμενος καὶ ἀναβάσεις αὖθις ψυχῶν, καί τι νομίσας συμπράττειν ἐνταῦθα καὶ τὴν τοῦ ἄστρου θέσιν, ὃ παραμείβων ὁ ἥλιος τὸν *Ἰαννουάριον* ἐκμετρεῖ, εἴτουν ὑπ' αὐτοῦ ἔχει μετρούμενος· ἐντεῦθεν καὶ τὸν μῆνα παρονομάζει *Ἰαννουάριον* μὲν Ῥωμαίοις εἰπὼν καλεῖσθαι τὴν *θύραν*· ἐκεῖθεν δὲ τῷ καιρῷ τούτῳ τὴν κλῆσιν τερατευόμενος διεκπεσεῖν, ὡς εἶναί τινα *θυραῖον* αὐτὸν ἀνόδῳ τοιᾷδε καὶ καθόδῳ διακονούμενον, αἷς καὶ θύρα τίς που συνεξακούεται. Πορφύριος μὲν οὖν χαιρέτω, πτερυσσόμενος ἅμαξα· καὶ τὸ πτερὸν λύσας Ἁρπυίᾳ φερέσθω. Προσεκτέον δὲ μᾶλλον τῷ Χαιρωνεῖ. Τρίβων γὰρ (εἴπερ τις ἄλλος) Ῥωμαϊκῆς ἱστορίας ὁ ἀνὴρ, καὶ ἀνθρωπικώτερον φθέγγεται, καὶ γῦθιν λαλεῖ· καὶ ἐκ τῶν παρ' ἡμῖν λαμβάνων πιστοῦται τὰ καθ' ἡμᾶς. Τὸν *Ἴανναν* γὰρ ἐκεῖνον, οὗπερ αὐτὸν μεμνῆσθαι προεξεθέμεθα, οἴδασι καὶ ἄλλοι λόγοι Ἑλληνικοὶ, καὶ θρηνοῦσιν οἱ πάλαι τὸν ἄνδρα, καὶ τῶν Ἀβοριγίνων (Λατίνων δὲ οὐ μικρά τις αὕτη ἀπόμοιρα) κατάρξαι φασί. Δοιάζουσι δὲ αὐτῷ καὶ τὸ πρόσωπον, καὶ τῷ ἑνὶ καὶ φυσικῷ καὶ δεύτερον προσπλάττουσι πρόσθετον, διπρόσωπον αὐτὸν ἀναπλάττοντες· ἄνθρωποι αὐτονομίας ποιητικῆς βαθὺν κρατῆρα συστησάμενοι, καὶ πολὺν μυθικῆς ἀδείας ἄκρατον σπάσαντες, καὶ ὥσπερ τῷ ψεύδει μεθύοντες· ὡς ἐντεῦθεν αὐτοὺς οὐχ ἁπλᾶ τὰ κατὰ τὸν ἕνα καὶ μονοφυῆ φαντάζεσθαι ἄνθρωπον, ἀλλ' ἢ φιλοτιμεῖσθαι πλείω τῆς φύσεως πόρια, πενίαν οἶμαι κατεψηφισμένους αὐτῆς· ἢ συντιθέναι προσφύσεις, ἃ μὴ πέφυκε γίνεσθαι. Οὕτω τοὺς Ἱπποκενταύρους ὁ παλαιὸς Ἕλλην ἐξ ἀλλοφυῶν σωμάτων συνήγετο· οὕτω τὸν Κέχροπα ὄφεως ὀλκῷ συναπέπλεξεν· οὕτω τοὺς Μολιονίδας ἐπηνεδίπλασιν. Ἐντεῦθεν ὁ πολύχειρ Ἑκατόγχειρ, ἡ πολυκέφαλος Ὕδρα, Ἄργος ὁ μυριόμματος. Προσεπεδίπλασαν δὲ διφυῆ καὶ Ἰάνῳ τὰ πρόσωπα, φαῖεν ἂν οἱ τὸ τοῦ μύθου νοσοῦν θεραπεύοντες, διὰ τὸ τοὺς τρόπους οὐχ ἁπλοῦν εἶναι τὸν Ἴαννον, ἀλλὰ κατὰ τὸν Πρωτέα πολύτροπον. Ὁ μὲν οὖν Ἰαννουάριος ἐντεῦθέν ποθεν ἴσχει τὴν ἐπωνυμίαν· αἱ δὲ περὶ αὐτὸν *καλάνδαι*, καὶ ὅσα σεμνὰ τελοῦνται περὶ αὐτὰς, Ῥωμαίων προσεξευρήματα καὶ αὐτά· ἐν αἷς ἄλλα τε ἐτελοῦντο ἄξια λόγου, καὶ ὑπὲρ ὑγείας εὐχαὶ τοῖς κρείττοσιν ἀνετείνοντο. Ἐξῆν δὲ καὶ δούλοις, δεσπότας συνεορτάζειν, καὶ ἀλῶν τε κοινωνεῖν αὐτοῖς καὶ δὴ καὶ τῆς ἐλευθερίου στολῆς. Πρὸς τί μοι ταῦτα; Ὡς ἂν ἔχῃς μαθεῖν, ὅτι καὶ τὰ νῦν ἐφ' ἡμῶν τελούμενα τοιούτου τινὸς ἐξέχονται λόγου. Τἆλλα τε γὰρ οὐ μακρὰν ἐκείνων πίπτουσι, καὶ συμμετέχειν ἔστιν ἡμῖν ἀλλήλοις τῶν παρ' ἑκάστοις, καὶ κοινωνίαν φιλικὴν συνιστᾷν, ἢ φράζειν ἐν τῷ παρόντι· φιλοτιμία τις ἄκαιρος καὶ ἐπιστολῶν νόμοις ἀντίθετος. Ὅτι δὲ καὶ *νόννας* καὶ *εἰδοῦς* ὑποτυπώσαντες οὐκ ἐντελῶς ὡς ἐν ὑπογραφῇ τινι προεθέμεθα, ὑπαθετέον καὶ χρῶμα τῷ ὑπογραμμῷ, καὶ τὴν εἰκόνα τοῦ λόγου συντελεστέον σοι. Ὁ μὴν καθάπερ ὁλότης εἰς τρία παρὰ Ῥωμαίοις διῃρεῖτο τὰ τμήματα· τῶν δὲ τμημάτων τὸ μὲν κατάρχον τὴν κλῆσιν εἶχε τῶν *καλανδῶν*· διέχουσαι δὲ μετ' αὐτὴν ἡμέραι τινὲς ὡρισμέναις ταῖς *νόναις* ἐπέβαλον· ἕδει δ' αὖθις μετὰ τὰς *νόνας* διασχεῖν ἡμέρας τοσάσδε, καὶ τὰς *εἰδοῦς* ἐπιστῆναι. Καὶ οὕτως ἀεὶ κατὰ τὰς ἑξῆς ὁ ἐπιὼν μὴν τὰ ἴσα ἔπασχε διαιρέματα· καὶ εἶχέ πως καταρχούσας μὲν τὰς *καλάνδας*, μετ' ὀλίγον δὲ τὰς *νόνας*, παρηχουμένας ἐκ τῆς νεότητος τοῦ κατὰ σελήνην φωτὸς ἔτι προσαυξανομένου καὶ εἰς ἐπίδοσιν ἥκοντος· καὶ μετ' αὐτὰς τὰς *εἰδοῦς*, ἐν αἷς ἤδη τὸ οἰκεῖον εἶδος, εἴτουν κάλλος ὁ σεληνιακὸς ἀπελάμβανε δίσκος. Καὶ πάλαι μὲν οὕτω τοιαύτην εἶχον τὴν σε-

μασίαν καὶ οὕτως ἀλλήλων διεστέλλοντο ταυτὶ τὰ ὀνόματα. Νῦν δ' ἄλλα τὰ τῆς κοινῆς ἐκείνης συνθήκης παρεσπονδήθη· καὶ ἡ τῶν ἀχεδικῶν νοημάτων τύραννος ἀνάγκη τὴν παλαιὰν χρῆσιν βιασαμένη περινομεῖ, *εἰδοῦς* τε καὶ *νόννας* καὶ τὰς ἁπλῶς ἡμέρας ἄγουσα εἰς ταὐτόν. Καὶ ἔπαθον ταὐτὸν οἱ γραμματικοὶ ἄρτι, ὃ καὶ οἱ πασύνετοι ὑπὸ πολιορκίαν πολυετῆ. Ἐκεῖνοί σε γὰρ ἐν στενῷ κομιδῇ καθειργμένοι, ἔστιν οὗ πιεσθέντες ἐνδείᾳ, οὐδὲ τῶν ἀψύστων ἀνειμένῃ γλώσσῃ σωμάτων ἀπέσχοντο, λιμοῦ κἀνταῦθα δαιταλουργοῦντος αὐτοῖς· καὶ αὐτοὶ τῷ λαβυρίνθῳ τῶν σχεδικῶν ἐλιγμῶν ἐναπειλημμένοι, καὶ λέξεων εὐπόρως οὐκ ἔχοντες, ἀλλ' ὡς εἰπεῖν λιμώττοντες, αἷς περιεργότερον χρήσονται, καὶ τῶν τοιούτων κατεξανέστησαν, καὶ χορεύσαντες οἱονάδιαφόρως αὐτὰς συνέλλον εἰς ἕν. Ταῦτά σοι καὶ περὶ τούτων. — Ἐπεὶ δὲ (ἃ καὶ γένοιτο, Χριστὲ βασιλεῦ), καὶ ζωῆς μακρᾶς ἐπιμετρουμένης σοι ἀνόοιτο ἐπὶ μήκιστον) πρὸς ἄλλαις βίβλοις σοφῶν καὶ τοιαῦταί τινες εἰς χεῖρας πεσοῦνταί σοι, ἐν αἷς εὑρήσεις προγεγραμμένον, ὡς ἄρα τόδε τι κατεπράχθη πρὸ τόσων *καλανδῶν* Ἰαννουαρίων τυχὸν, ἢ ὅτι πρὸ τόσων Ἰουλίων (ὑποθετέον *νόννων ἢ εἰδῶν*) ὁ δεῖνα τὰ καὶ τὰ διεπράξατο· καὶ ἔστιν ἐλπὶς, ἐπιστῆσαί σοι τοῖς τοιούτοις ποσοῖς πρὸς ἐκείνους τοὺς τῶν συγγραφῶν τόπους γενόμενον· εἰδέναι σε θέλω, ὅτι καινοτέρα τοῖς τοιούτοις καὶ ἀκριβὴς ἀπαρίθμησις ἐπεγκέθηται· ἀναμνήσω δέ σε καὶ, πρὸς ἀκριβῆ ὁμοιότητά τινα προεκθέμενος. Οἶδας παρὰ τοῖς Ἀττικοῖς μέχρι καὶ ἐς τὰ εἴκοσιν τοῦ κατὰ σελήνην μηνὸς τὴν κατ' ἀριθμὸν πορείαν εὐτάκτως κατ' εὐθεῖαν βαίνουσαν φυσικὴν, μετὰ δὲ αὐτὰ ἀνὰ πόδας χωροῦσαν, καὶ οἷον ἀνακωχεύουσαν, ἢ καὶ κατὰ τοὺς ὀπισθονόμους βόας τὴν ἐπὶ τὰ ἔμπροσθεν ἀπαναινομένην εὐοδον πρόοδον. Μετὰ μέντοι τὰς εἴκοσιν *ἐννάτην* ἠκηκόεις ἐκεῖ *φθίνοντος*· εἶτα δὴ μετ' αὐτὴν, *φθίνοντος ὀγδόην μηνός*· καὶ ἐπ' αὐτῇ τοιαύτην *ἑβδόμην*· καὶ ἑκάστην ὁμοίαν ἐχομένην αὐτῆς· καὶ τοῦθ' οὕτως, ἕως καὶ εἰς τὴν νουμηνίαν ἦλθες αὐτὴν, ἀνὰ πόδας τῇ ἀναριθμήσει χωρῶν. Καὶ ἐξέπληττε μέν σε τὸ ἀλλόκοτον ἐκείνης τῆς ἀριθμήσεως· ἐπέγραφες δὲ τὸ πρᾶγμα νόμῳ συνηθείας Ἀττικῆς. Ἤκουες δὲ καὶ αἰτίαν ἴσως οὐκ ἄμουσον, ὡς ἄρα τὸ τοιοῦτο ἀρίθμημα, μέχρι τινὸς κατ' εὐθυωρίαν δραμὸν, καὶ ἐπὶ τὰ κατόπιν χωρῆσαν, τὴν τῶν πλανήτων ὑπαινίττεται κίνησιν, πῇ μὲν τὸ ἑαυτῶν φερομένων, πῇ δὲ κατ' ἄλλο κινήσεως εἶδος, εἴτουν ἀντὶ περιφορᾶς συμπεριφερομένων τῇ ἀπλανεῖ. Οὕτω δὴ κἀν ταῖς τοιαύταις τῶν παλαιῶν βίβλων γραφαῖς ἔθος Ῥωμαίοις ἀρέσαν, τὸ τοῦ ἀριθμοῦ παρεισήγαγεν ἕναλλον. Τὴν γάρ τοι τοῦ μηνὸς αὐτὴν δευτέραν καὶ τρίτην, καὶ εἴ τις ἄλλη *νόννας* μεσολαβεῖ, οὕτω προέφερον· *πρὸ τεσσάρων* τυχὸν *νόννης*, εἶτα *πρὸ τριῶν*. Καὶ οὕτω πως ἕως καὶ εἰς αὐτὴν ἦλθον τὴν *πρὸ μιᾶς νόννων*· κἀντεῦθεν εἰσέβαινον καὶ εἰς τὴν *νόννην* αὐτὴν. Εἶτα μεταβάντες εὐτάκτως, καὶ ὡς ἐξ ὑπαρχῆς προϊόντες ἄλλης, *πρὸ ἕξ εἰδῶν*, ἂν οὕτω τύχῃ, ἔλεγον· τὴν δ' εὐθὺς μετ' αὐτὴν *πρὸ πέντε εἰδῶν*· μετὰ δὲ *πρὸ τεσσάρων*, καὶ ἑξῆς ὁμοίως, ἄχρις ἂν ὁδῷ μετροῦντες καὶ κατιόντες, ὡς ἂν εἴπῃ τις, ἄνω, ἢ καὶ τὸν ἀριθμὸν συντιθέντες κατὰ ἀνάλυσιν, ἀνέβησαν εἰς τὴν *πρὸ μιᾶς εἰδῶν*, καὶ ἀπ' αὐτῆς μετανέβησαν εἰς αὐτὰς τὰς *εἰδοῦς*· μεθ' ἃς τῇ αὐτῇ πάλιν ἐφόδῳ *πρὸ τόσων καλανδῶν* ἠρίθμουν, οἷον *πρὸ ἕνδεκα τάχα Ἰαννουαρίων καλανδῶν*, καὶ ἑξῆς *πρὸ ἐννέα τῶν αὐτῶν καλανδῶν*· καὶ ὁμοίως τὰς μετ' αὐτὰς, ἕως ἀνέλθοιεν εἰς αὐτὴν τὴν *πρὸ μιᾶς Ἰαννουαρίων καλανδῶν*. Εἴη δ' ἂν αὕτη ἡ τοῦ Δεκεμβρίου ἐσχάτη· ἤτις τὸν παροιχόμενον ὅλον Δεκέμβριον μῆνα συγκλείσασα, τὴν τῆς ἑξῆς νεομηνίας ὑπανοίγει θύραν τῷ ἐρχομένῳ, καὶ τὰς προκηρυσσομένας *Ἰαννουαρίας καλάνδας* εἰσῆγεν, ἤτοι τὴν *νουμηνίαν* αὐτήν. *Καλάνδας* γὰρ καὶ *νουμηνίαν* ἀδελφονοεῖν, φθάσαντες εἴπομεν, ἴσως μὲν καὶ περὶ τὸ *καλεῖν* οὕτω λεγομένας, ὡς καὶ προείρηκειται. Πλουτάρχῳ μέντοι ἄλλο τι ἀρέσκει. Βούλεται γὰρ ἐκεῖνος, ἣν ἂν εἴπῃ τις *νεομηνίαν*, οὕτω καλεῖσθαι συγγενῶς τῷ κατὰ σελήνην μετρουμένῳ μηνί. Ἐκείνη τε γὰρ ὑποκλέπτει τὸ ἡλιακὸν φῶς, καὶ ὀφέλκεται λάθρα πρὸς ἑαυτὴν, ἡλίῳ συνοδεύσασα. Καὶ Ῥωμαῖοι δὲ ἐπὶ τοιούτων πράξεων κατὰ τὴν σφῶν διάλεκτον τὸ *κλὰμ* τίθεσθαι βούλονται, ἀφ' οὗπερ αὐτὸς καὶ τὰς *καλάνδας* καλεῖσθαι νομοθετεῖ καιρὸν, καθ' ὃν *λανθάνει* σελήνη, φῶς ἡλιακὸν ἐπισπωμένη πρὸς ἑαυτήν. Λέγεται δὲ καὶ αἰτία τῆς ξενιζούσης ταύτης καὶ εὐθυπορούσης ἀναμετρήσεως. Ὅτι δέ μοι οὐ πάνυ τι ἤρεσκεν, οὐκ ἐξεγραψάμην σοι ταύτην. — Τοῦτό σοι παρ' ἡμῶν *καλάνδαις* πρέπον δῶρον, οὗτοι ἀπόβλητον, οὐδὲ μὴν δύσδωρον (ἐχθροῖς γὰρ ἡ παροιμία τὴν τοιαύτην λέξιν ἐπέρριψεν)· ἐρικυδὲς δέ. Ἀλεξάνδρῳ μὲν τῷ Πριάμου δοτέον εἰπεῖν· ἐφιλοτιμεῖτο γὰρ ὁ ἀνὴρ εὖ μάλα τοῖς δώροις τῆς φύσεως· καὶ ὅτι περ εὖ εἶχεν αὐτῶν, οὐκ ἠγνόει. Ἡμεῖς δὲ οὔπω θαῤῥοῦμεν εἰπεῖν, ἐφ' οἷς λελαλήκαμεν, ἕως καὶ τὴν σὴν ἱερὰν κεφαλὴν ἐπινεύσασαν μάθοιμεν.

η

Μικροῦ ἐκπεπάταγμαι, αὐθέντη Κομνηνέ· καὶ καθά τις ἐμβρόντητος, οὕτω καὶ αὐτὸς διάκειμαι. Ἀλλὰ τίς ὁ πάταγος; τίς δὲ ἡ βροντὴ, δι' ὧν ἐγὼ τοῦ κατὰ φύσιν ἔχειν ἐκτέτραμμαι; Ὁ τοῦ καλλίστου Δούκα ὀνειδισμὸς, ὃν ἀκούσας ἐγὼ (ἐπόμνυμι τὴν σὴν ἱερὰν κεφαλὴν) ἀχανὴς εὐθὺς ἔμεινα· καὶ οὔτε λαλεῖν εἶχον, καὶ ὁ νοῦς δέ μοι πολλοὺς κύκλους ἔστρεφε λογισμῶν. Ἐρώτησον αὐτὸν ἐκεῖνον τὸν Δούκαν, τὸ ἐμὸν θαῦμα, τὸν τῆς φύσεως γνώμονα, εἰ μὴ οὕτω με διατεθειμένον κατα[κεπάτα]χεν. Ὁ μὲν γὰρ περί τινά που στενωπὸν ἐμπεριτυχών μοι, καὶ δεξιώτατα σχηματίσας τὸν λόγον, ὠνείδισεν, ὅτι ἐλθὼν ἔξωθεν οὔπω εἶδεν ἐμὲ ἄχρι τῆς ἄρτι, ἀλλὰ καὶ νῦν ἐκ τοῦ παρατυχόντος. Ἐγὼ δὲ οὐκέτι ζῆν ἐπὶ τούτοις ἤθελον· οὐδὲν γὰρ πάντως, ἀλλ' ἢ οὐ χρηστότητα ὑπολήψεως ἐπ' ἐμοὶ εὐσχημόνως ὁ λόγος ἠνίττετο. Οἷος μὲν οὖν ὠχρὸς ἔδαψεν ἂν μου τότε τὸ πρόσωπον, ἢ καὶ τυχὸν ὅπως ἔσχον τοῦ ἐρυθριᾶσαι, εἰδείη ἂν ὁ τηνικαῦτά μοι ἐνιδών. Ἃ δὲ ἐγὼ σύνοιδα ἐμαυτῷ, τοιαῦτα ἦν.

Ἔβλεπον ὑπόδρα, τὴν ὄψιν ῥίψας εἰς γῆν. Καὶ λαλῆσαι μὲν οὐκ εἶχον, ὡς οἷα καταβροντηθεὶς τῇ φωνῇ (ἦν γὰρ ἡ μέμψις οὐδὲ ἔξω λόγου)· ἀλλ' ἔμεινα μηδὲν εἰπών, ὡς δῆθεν οὐδὲν ἀκηκοώς. Ἐπεὶ δὲ καὶ εἰς δεύτερον ἐνήχθη μοι ἡ βροντή, ἐνταῦθα ἐπὶ πλέον παθὼν τὴν ψυχὴν (συνῄδειν γὰρ ἐμαυτῷ, εἰ καὶ μὴ ἐκ προθέσεως, ἀλλ' ὅμως ἔσω κείμενος μέμψεως), ἐλάλησά τι ὀλίγον· καὶ οὐδὲ ψευδὲς ἐκεῖνο. Τὸ δ' ἐντεῦθεν οὐδέν τι ἔχαινον εἰπεῖν. Ἀλλὰ καρδιώξας, καὶ ἐμαυτοῦ καταγνοὺς, οἷα πάσχω διὰ τὸ ἐμοὶ ἀρέσκον — ὡς μὲν ἐγὼ κρίνω, ἁπλοῦν οὕτω καὶ οὐ περίνουν· ὡς δὲ τὰ πράγματα διαδείκνυσι, ῥᾴθυμον καὶ δυστράπελον — ἐνεὸς ἦν, οὐδὲν εἰς ἀπολογίαν λαλῶν, ἀλλὰ τήν γε ψυχὴν τεταραγμένος, καὶ τὴν φωνὴν ἐπεσχημένος διὰ τὸν ἔνδον τάραχον. Εἶπες ἂν ἰδὼν τηνικαῦτα τὸν Ὁμηρικὸν *ζάκοτόν τε καὶ ἄφορτα* καθορᾷν. Βραχὺ δέ τι διαγαγὼν, καὶ μόλις ἐμαυτὸν συναγαγὼν, καὶ συντάξας εἰς προσκύνησιν, καὶ τὸ δέον ἀφοσιωσάμενος, εἰχόμην τῆς ἐφεξῆς ὁδοῦ, μένων ἐπὶ σχήματος, ἕως ἦλθον εἰς τὸν φίλον ἡγούμενον· ἔνθα καὶ ἐκλαλήσας τὸ πρᾶγμα, ἔσχον μὲν κουφότερον. Οὕπω δὲ διαγεγένημαι· οὐδὲ μὴν ἀναπαύσομαι τοῦ ταράχου, πρινὴ τὴν ἀπὸ τοῦ συμπαθεστάτου Δούκα σχολὴν γαλήνην, καὶ συγγνωμονηθείην, ἐφ' οἷς — ἀλλὰ πῶς ἂν ἀσφαλῶς εἴπω; — οὐκ εὖ πεποίηκα. Σὺ δέ μοι, ὦ καὶ τὴν ψυχὴν ἄριστε καὶ τὰ εἰς τέχνην λόγου σοφώτατε, κατάπραξαι καὶ τὴν συμπάθειαν ταύτην· ἄνοιξόν σου τοῦ λόγου τὸν θησαυρὸν, καί τι καὶ αὐτοῦ δαπάνησον δι' ἡμᾶς· ἔνδος τοῖς λόγοις προρρέειν· ἐπάφες τῷ Δούκᾳ τὴν γλῶσσαν ὑπὲρ ἡμῶν· κάθισον κριτὴν τὴν ἀλήθειαν, καὶ ὑπ' αὐτῇ τὸ δίκαιον βραβευούσῃ λάλησον. Ἔχεις ἐπιχειρῆσαι πολλαχόθεν· οἶδας, ὅπως ἐγὼ δουλόσυνα φρονῶ εἰς ὑμᾶς (ὃ δή σοι καὶ εὐπορηθήσεται εἰς προοίμιον)· οἶδας, ὅπως θᾶττον ἂν ἐμαυτοῦ λαθοίμην, ἢπερ τῆς χρυσῆς ταύτης ὑμετέρας; σειρᾶς· οὐ λέληθέ σε, ὅπως καὶ εὐρυθόας καὶ ἀληθὴς κήρυξ ἐγὼ τῶν ὑμετέρων καλῶν. Κἂν γὰρ αὐτὸς σιωπῶ, οὐ μόνον οἱ λίθοι τοῦ ἐμοῦ τούτου οἰκίσκου κεκράξονται, ἀλλὰ καὶ ἡ λοιπὴ ἀποσκευή μοι τοῦ ζῆν. Ἵνα γάρ τι καὶ σοφιστεύσωμαι ἐν καιρῷ· εἴ μοι τὰ περιόντα φωνὴν τεραστίως ἦν ἀναλαχεῖν, καὶ ἀνακράξαι, πόθεν μοι περίκεινται, ὑπερεκραύγασαν ἂν τὰ ἐξ ὑμῶν καλὰ τὴν ἔτέρωθέν μοι κτῆσιν, καθὰ καὶ βροντῆς βόμβος ὑψόθεν ὑπερφωνήσῃ ἂν πάντας κτύπους τοὺς ἀπὸ γῆς. Προσεπιτοῦτοις ῥητόρευσον καὶ, οἷος ἐγὼ πρὸς τὸν Δούκαν, καὶ ὅπως αὐτὸν πνέω, καὶ φρενῶν δέλτοις ἐγγράψας ἔχω μνήμοσι· καὶ ὡς τὰ τούτου καλὰ τοῖς εἰσαεὶ ἐπαίνοις ἀποσεμνύνω· καὶ φύσεώς τε αὐτὸν ὀνομάζω καλλιτέχνημα, καὶ καλὸν πολυσύνθετον, καὶ τά τε ἐντὸς τά τε θύραζε κάλλιστον· ἐντὸς τὰ εἰς ψυχὴν, θύραζε τὰ τοῦ σώματος. Οὐ γὰρ μόνον τὴν ἀνδρείαν ἐστὶ στερέμνιος, καὶ τὴν φρόνησιν στάσιμος, καὶ τὴν ἀγχίνοιαν πάγιος, καὶ τὴν μεγαλοψυχίαν ἡρωϊκὸς, καὶ τὸ ἐλευθέριον δαψιλὴς, καὶ τἆλλα τῶν εἰς ψυχὴν ἀγαθῶν εἰς ὑπεροχήν· ἀλλὰ καὶ τοῖς περὶ σῶμα εὖ μάλα, καὶ ὡς οὐκ ἂν εἴη κάλλιον, συγκεκρότηται· πολὺς τὴν ῥωμαλεότητα, ὑφ' ἧς καὶ ξίφος οἷδε καταγαγεῖν ἐμβριθέστατα, καὶ τὸν τοξότην ἠκρίβωσε, καὶ τὸν αἰχμοφόρον οὐ ψεύδεται· λαμπρὸς τὸ κάλλος, καὶ οἷον ἂν ἀγαλματίσῃ καλλιτεχνία φύσεως; ἀπασχολήσασα ἑαυτὴν εἰς ἔργον, καὶ τοῦ τελείου κατευστοχήσασα· στρογγύλος τὴν γλῶσσαν· γλυκὺς εἰπεῖν· καὶ τῷ κάλλει τῶν νοημάτων τὴν ἐν φωνῇ καλλιέπειαν πλουτῶν συνεκτρέχουσαν. Ταῦτα δὴ καὶ τὰ ἄλλα τὰ πολλὰ συναγαγὼν, ἔκθου τῷ Δούκᾳ, ἐφ' οἷς αὐτὸν ἀεὶ ἐκθειάζων, οὐκ ἂν ἄρτι τὸ πρὸς αὐτὸν σέβας θείην ἐν οὐδενί. Προσεπίθες, εἰ βούλει, τῷ λόγῳ, καὶ ὅτι μὴ πάνυ τι βαδιστικὸς ὁ Εὐστάθιος, ὅτι μηδὲ στρατιωτικός· καὶ ὅτι ἅπαξ καὶ δὶς που περιβαλὼν, ἀναβάλλεται τὰ συχνὰ ἐφεξῆς, μὴ καί φορτικὸς κριθείη, μοχθῶν ἐπὶ θυρῶν ἐκτριβαῖς· καὶ στέργει μὲν τὸ φιλοῦν, καὶ σέβεται τὸ εὐεργετοῦν· τὰς δὲ συχνὰς ἐντυχίας εὐλαβεῖται ὡς τὰ πολλά. Μεταχείρισαί μοι τὸν λόγον ἔτι ῥητορικώτερον καὶ ὡς ἐπὶ στοχαστικῆς τινος ὑποθέσεως, ἐπεὶ καὶ ἡμῶν ὁ μεμψάμενος περιφρόνησιν κατεστόχασται, καὶ οὐκ ἐξ ἀναντιῤῥήτων ὥρμηται. Κεφαλαίωσαι τεχνικῶς παρὰ σαυτῷ τὸν τῆς βουλήσεως τόπον, ὡς οὐκ ἂν τοῦ εὐγνώμονος Εὐσταθίου βουληθησομένου τὴν ὑπονηθεῖσαν αἰτίασιν· εἶτα καὶ μετάθες ἡμᾶς ἐκ ταύτης τῆς αἰτίας, καὶ χρῶσαν αὐτὴν εἰς τὸ χρηστότερον. Ἔχεις γὰρ μυρίας τὰς λαβὰς τῆς ἐπιχειρήσεως. Ἔστι σοι καὶ τὸ πιθανὸν τῆς ἀπολογίας ἐκ τοῦ μὴ ἀντιστρέφοντος. Εἰ γὰρ καὶ ὁ περιφρονῶν οὐ προσκυνεῖν οἶδεν, ἀλλ' οὐκ ἤδη καὶ ὁ τὴν προσκύνησιν εἰσάπαξ που μὴ ἀφοσιωσάμενος εἴη ἂν περιφρονητικός· καί σοι κἀνταῦθα κεῖται πλοῦτος ἐπιχειρημάτων πολύς. Τούτοις τοῖς κεφαλαίοις ἐμπλατυνάμενος, φύλαξον σεαυτὸν μόνου τοῦ ἐξεῖναι· ὃ δὴ ἀπονενέμηται μὲν εἰς κεφάλαιον τῷ φεύγοντι ἀντιληπτικῶς· ἐμοὶ δὲ ἔστιν οὐ ταλαντὸν οὐδ' εἰπεῖν. Εἰ γὰρ καὶ πάντα μοι ἔξεστιν, ἀλλ' ἔστιν ἐνταῦθά τι οὐκ εὐξύμφορον. Οὐ γάρ μοι καὶ ἀφραίνειν ἔξεστι, καὶ τῶν εὐεργετούντων ἐκλανθάνεσθαι. Εἰ δὲ τυχὸν ὁ Δούκας κατά τινα λόγον βαρύτητος τὸ τοιοῦτο νόημα δεινότατα προχειρίσεται, καὶ εἰρωνείας λόγῳ λαλῶν δῆθεν ὑπὲρ ἡμῶν ἐξεῖναι εἴπῃ, ὥσπερ παντὶ, οὕτω δὴ καὶ τῷ Εὐσταθίῳ, ποιεῖν, ὃ βούλεται, ἐνταῦθα σὺ ἐξ ἀντιστρόφου μεταβαλὼν, καὶ οἷον στραφεὶς εἰς κατήγορον, τὸ πρᾶγμα μετάβαλε καὶ τὸ πρόσωπον κατὰ κανόνα ῥητορικῆς μεταλήψεως, καὶ εἰπὲ, μὴ ἂν ποτε τὸν Εὐστάθιον ἐπὶ τοιούτῳ ἀπονυστάξαι πράγματι. Καὶ οὕτως ἀγωνισάμενος, εἶτα δὴ ἐπιλογικώτερον τῶν τοιούτων ἀνθρώπων κατάδραμε, καὶ πανωλεθρίαν τοῖς περιφρονοῦσι τοὺς εὐεργέτας ἐπάρασαι. Καὶ ταῦθ' οὕτω διασκευάσας, καὶ ταῖς σαῖς μεθόδοις ἐπικοσμήσας; ῥητορικώτερον, ἢ πείσεις τὸν Δούκαν, καὶ οὐκ ἀναμενεῖ τὴν ἀπόφασιν· ἢ ἀλλ' ὁ δικαστὴς, ἡ ἀλήθεια, τὸ ἑαυτῆς ἀποφανεῖται· καὶ τὸ ἀποφανθὲν πάντως ἔσται ὑπὲρ ἡμῶν· καὶ τοῦ γνωματεύματος οὐ κατακαυχήσεται ἔφεσις, ταὐτὸν δ' ἂν εἴη εἰπεῖν, ἔκκλητος. Εἰς τίνα γὰρ ἔτι μείζονα ἐφίτην τὰ τῆς ἀληθείας ἐκκλητευθήσεται; — Ταῦτά σοι δικηγορήσαντι σοφώτατον ὑπὲρ ἡμῶν ὁ μὲν μέγας καὶ ὑπὲρ τὸν ὑλικὸν μισθὸς κείσεται, ὅθεν σοι καὶ

τὰ ἄλλα καλά. Εἰ δὲ καὶ πρὸς ὕλην ἀπονεύεις, ἰδοὺ σταφυλῶν οὗτοι βότρυες τῶν σοι φιλουμένων, λύγου ἀπηωρημένοι. Σωρὸς μὲν οὗτος εἷς τῷ καλλίστῳ Κομνηνῷ, τῷ τὴν ἐμὴν ταύτην δίκην εὖ ἀγορεύσαντι· ἕτερος δὲ τῷ ὑπερκάλῳ Δούκᾳ, ἐὰν ἡμῖν εἰς ἓν συμβαίνῃ, καὶ ἀπολύῃ τῆς μέμψεως, πρινὴ τὸν δικαστὴν ἀποφήνασθαι, Ὡς εἶγε μὴ τοῦτο ποιεῖ (τάχα δὲ οὐ ποιεῖ· οὐ λέληθε γὰρ οὐδ' αὐτὸν τάληθὲς), ἔσται σοι καὶ τοῦτο τὸ βοτρυηφόρον καμακίδιον εἰς ἐπιθήκην μισθοῦ. Τί γὰρ δεῖ ψωμίζειν καὶ τοὺς ἐχθρούς; Ἵνα δὲ μάθοι ὁ λαμπρότατος καὶ κάλλιστος καὶ συνετώτατος Δούκας, καὶ ὅπως ἐγὼ τοὺς γαύρους ἀνθρώπους μισῶ καὶ τοὺς ὀκνοῦντας τὸ προσκυνεῖν, ὑπανάγνωθι αὐτῷ λόγον κατὰ τῶν τοιούτων, ὃν ἐγὼ ἄρτι παλαιᾷ μυθικῇ ζύμῃ ἐφυρασάμην· ὃς εἰς μειδίαμά τι λεπτὸν καὶ σὲ προκαλέσεται. Τὸ γὰρ ἀκραιφνὲς τοῦ γέλωτος τῷ πολυημέρῳ τῆς νόσου ἀπέσβηκε. Παρῆγεν ὁ Προμηθεὺς ἄνθρωπον, καὶ τὸ σῶμα ἔπλαττε μὲν ἀπὸ γῆς· θείᾳ δὲ ἔχριεν ἀλοιφῇ. Καὶ τοῦτο ἦν ἡ ψυχή. Ὅσα δὲ καὶ θείῳ πράγματι, τῷ σκεύει τοῦ σώματος, ἐνετίθει καὶ φρονήσεως ἀμβροσίαν. Καὶ ὥριζεν εἰς μέτρον τὸ πολυτίμητον τοῦτο ὑγρόν. Καὶ ἔδει τοὺς δεχομένους πεπλῆσθαι τοῦ ἐντιθεμένου, ἢ ἀλλὰ καί τι πλεῖον αὐτοῖς προσεπιστάζειν τοῦ θείου ὑγροῦ. Πᾶσιν οὖν τῆς τοῦ φρονεῖν ἀμβροσίας ὁ Προμηθεὺς ἐγχεάμενος, εἶτα καθίζει ἑαυτὸν ἐσκευασμένος εἰς τὸ στμνότερον· καὶ μετακαλεῖται τοὺς τὸ ἀμβρόσιον ἐκεῖνο δεδεγμένους ὑγρόν. Καὶ ἦν ἀνάγκη, ἕκαστον ἐπικύπτοντα δεικνύειν τὸ σκεῦος, τὸ σῶμα, διὰ τῆς κορυφῆς, εἴτε μεστὸν, εἴτε καὶ ἄλλως ἔχον ἐστίν. Ὅσοις μὲν οὖν ἐπιστεφὴς φρονήσεως ἡ κεφαλὴ, κατέκυπτον ἐπιδεικνύντες ἑαυτοὺς ἀνενδεῶς ἔχοντας· καὶ ἦν τοῦτο προσκυνεῖν, καὶ τὸν εὐεργέτην Προμηθέα φιλεῖν. Οἱ δὲ μήπω μεστοὶ, ἀλλ' ἐπιδεεῖς ἀμβροσίου ἐπιῤῥοῆς, ἀτενεῖς ἦσαν, καὶ ἀκλινῶς εἶχον, καὶ οἷον ἀνεσταλοῦντο εἰς ὄρθιον. Καὶ ἦν τοῦτο ἀλαζονεύεσθαι, καὶ οὐκ εἰδέναι χάριν τῷ εὖ ποιήσαντι. Ἐκεῖθεν τοίνυν καὶ εἰς ἡμᾶς τὸ μὲν τὴν κεφαλὴν ἐν δέοντι κλίνειν, φρονήσεως αὐτὴν γέμειν περιδηλοῖ, καὶ εἰς εὐγνωμοσύνης ἔνδειξιν τάττεται: τὸ δὲ ἐπὶ σχήματος ἵστασθαι, καὶ τὴν κλίσιν ὀκνεῖν τῆς κεφαλῆς, μωρίας γραφὴν ἀποφέρεται, καὶ εἰς ἀχαριστίαν ἐγγράφεται.

Θ'.

Διαπόντιός σοι ἐξ ἡμῶν αὕτη ἐπιστολή. Καὶ εἰ μὲν ἀποδεκτέα καὶ φίλη τῇ σῇ μεγαλοδοξότητι, οὔπω θαῤῥήσαιμ' ἂν δισχυρισάμενος ἀποφήνασθαι· εἰ μὴ καὶ ἀντιγραφὴν χειρισαίμην, καὶ ὅπως αὐτῇ προσηνέχθης, ἐκεῖθεν μάθοιμι. Ὅτι δὲ ἐκ φίλου τὸ γράμμα, τοῦτο δέ γε οὐκ ἐγὼ μόνος θαῤῥούντως ἀπισχυρίζομαι, ἀλλὰ πρὸς μυρίοις ἄλλοις, ὅσοις καὶ αὐτὸς ἤδη πεπληροφόρησαι. Ἀλλά που θαῦμά σε ἤδη περιέρχεται, καί τι γλυκὺ καὶ ἱλαρὸν ἐπιμειδιᾷς, ἐὰν ὁ τὰ πολλὰ σιγῶν Εὐστάθιος, ὁ τὰς γραφὰς ὀκνῶν, ὁ καὶ πρὸς τοὺς ἐγγὺς ἐχέμυθος, δι' οὗτω μακροτάτου διαστήματος φθέγγεται· καὶ ὃν ἐν τῇ Νικομηδέων τὴν δουκικὴν ἐναγχός που περιεζωσμένον ἀρχὴν οὐ προεῖπε γράψαι, νῦν ἐν τῇ τῶν Κώων νήσῳ διατρίβοντα προσφωνεῖ, καὶ ὑπερόριον οὕτω γραφὴν διαπέμπεται. Καὶ ἀληθῶς, αὐθέντη μου, πολλάκις μὲν καὶ πολλοῖς οὐκ ἐνδήμοις φίλοις ἐπιστολῶν λόγους ἐπαφῆκα· οὔπω δέ μοι μέχρι καὶ ἐσάρτι ὁ πτερωτὸς οὗτος Ἑρμῆς δολιχεύσας εἰς μακρότερον ἔλυσε τὸ πτερὸν, οὐ κατὰ τὸν Ὁμηρικὸν Ἑρμῆν ἐς τὴν τῆς Καλυψοῦς πλαστὴν νῆσον στελλόμενος, ὃν μῦθος ποιητικὸς εἰς λευκὸν ὄρνιν μεταπλάσας ἐπαφῆκε τοῖς κύμασιν· ἀλλ' ἄλλον τρόπον τῷ λευκῷ τούτῳ βιβλίῳ οἷά τινι πορθμείῳ ἐμβιβαζόμενος, καὶ πρὸς τὴν διὰ σὲ ὀλβιωτάτην ταύτην νῆσον ἄρτι πεμπόμενος. Ζηλωτὸν μὲν γάρ τι χρῆμα ἦν ὅτε ἡ νῆσος αὕτη, καὶ γενναίων ἀνδρῶν οἰκητήριον· εἰ δὲ καὶ ληστρικὸν, ἔχει καὶ τοῦτο ποικίλην ἱστορίας τριβήν. Γέγονε δέ ποτε καὶ τῷ ἐκ Διὸς Ἡρακλεῖ περιμάχητος, ὅτε καὶ τοὺς ἐνοικοῦντας ἀνδρικώτερον ἐκεῖνος ἐπιθέμενος ἐχειρώσατο. Μέροπες δὲ οἱ ἄνδρες, οὕτω πρὸς κλῆσιν ἐθνικὴν γνωριζόμενοι, καὶ τὸ πρόσθεν αὐτοῖς σεμνὸν ἐπὶ πλέον οὕτω προσαύξοντες· τὴν γὰρ ἀνθρώπου παντὸς ἐν κοινῷ κλῆσιν εἰς ἑαυτοὺς μεθειλκύσαντες. Καὶ ἅμα τις ἔλεγε *Κῶους*, καὶ ἐπεκάλει τοὺς *Μέροπας*· καί που τῆς κοινῆς τῶν μερόπων ἀνθρώπων κατεξαναστάντες, ὡς ἄν τις εἴπῃ, προσωνυμίας, ἐλήστευσαν καὶ αὐτὴν οἷον καὶ ἐξιδιώσαντο. Εἰ δὲ καὶ ἀγαθὴ ἐνοικεῖν ἡ γῆ αὕτη, Ὁμήρου ἀναλεκτέον, εὖ *ναιομένην* πεποιηκότος αὐτήν. Εἰ δὲ καὶ καρποὺς φέρειν ἐστὶν εὐφυὴς, καὶ ζώων γόνιμος εὐγενῶν, ἄλλοι; ἱστορεῖν δίδωμι· οἱ τὴν Μεροπηΐδα ταύτην νῆσον τὴν Κῶ αὐχεῖν εἶπον καὶ τοὔνομα, διὰ τὸ τυχὸν πάνυ τι πολύζωον καὶ ἀγαθοθρέμμονα (*κῶον* γὰρ κατὰ διάλεκτον τὸ πρόβατον εἶναι τίθενται)· καὶ δὴ καὶ τὴν νῆσον ταύτην, ὡς τοιούτοις ζώοις ἐνευθηνουμένην, τὴν πρὸς τὸ ζῶον ὁμωνυμίαν λαβεῖν βούλονται. Καλὰ μὲν οὖν οὕτω καὶ τἄλλα τῆς νήσου. Ὅτι δέ σε πλουτεῖ εὐτυχῶς τῶν κατ' αὐτὴν ἐξάρχοντα, οὐδὲν ἂν εὐδαιμονίας ἔχοι λειπόμενον. Καὶ προσεπιγράψεται αὐτῇ μετὰ τῶν ἄλλων καὶ τοῦτο μέγα καλόν· καὶ λαμπρυνεῖς αὐτὴν τῇ σελασφορίᾳ τῆς σῆς καλλονῆς, οὐχ ἧττον ἢ καὶ ὁ καλὸς Ἥλιος τὴν περίπυστον Ῥόδον, αὐτῇ ἐπιφημιζόμενος. — Ἀλλ' οὕτω μὲν (ὅπερ ἔφην) ἐπιστολιμαῖον Ἑρμῆν οὕτως ὑπερόριον ἀφῆκα φέρεσθαι, φειδόμενός μοι τοῦ κήρυκος. Νῦν δὲ διεπεμψάμην, λογισάμενος, ὡς αὐτός τε σχοίη ἂν πάντως πτερύξασθαι πρὸς τὴν σὴν μεγαλοδοξότητα, καὶ ἡμῖν δέ τις ἕτερος αὐτόθεν ἀντιπτερύξεται, καὶ διδάξει, περιγενέσθαι καὶ πρὸς σὲ ἀφικέσθαι τὸν ἡμέτερον τοῦτον Ἑρμῆν, καὶ μὴ περί που μέσον τὸν πλοῦν καταπεσεῖν καμόντα τὴν πτῆσιν, καθά που λόγος ἔχει τὸν Ἴκαρον, οὗ περίθετον ἐκ κηροῦ καὶ ἡλίῳ λυτὸν τὸ πτερόν· ὡς εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν ἐθάῤῥησα τὴν ἐπιστολήν. Καὶ ἄλλως δὲ τὸν μὲν ἄλλον καιρὸν ῥᾷον ἐνῆν ἡμῖν μαθεῖν τὰ κατὰ τὴν σὴν μεγαλοδοξότητα, διαχειριζομένην τὰς ἀρχὰς ἄγχιστα τῆς Μεγαλοπόλεως, καὶ οὐδὲν ἔδει τότε γραφῶν· εἴχομεν γὰρ αὐτόθεν, ὅπερ ἠθέλομεν. Νῦν δὲ ἀχανὴς μεταξὺ χύσις θαλάσσης· κἀντεῦθεν ἡμῖν ἡ περὶ σοῦ φήμη ἀνίσχει βράδιον, ἢ ὁ παρ' Ἡσιόδῳ τοῖς Πανέλλησιν ἥλιος. Ὅτι οὖν πο-

λὺς ἤδη χρόνος, ἐξ οὗπερ οὐκ ἦλθεν ἡμῖν αὐτόθεν φήμη σαφὴς, προκαλούμεθα ταύτην διὰ τῆς παρούσης γραφῆς. Τὸν δέ γε διακονοῦντα τῇ παρούσῃ γραφῇ τίνος ἂν καλοῦ τιμησαίμην; τίνι ἂν ἀμειψαίμην; τί διαθέμενος; ἀγαθὸν, τυχεῖν ἐξισχύσω τοῦ πρέποντος; Οὐδὲν πάντως, ἀλλ' ἢ τῇ σῇ μεγαλοδώρῳ αὐτὸν παρεθέμενος, ὃν εὐεργέτην μὲν ἡγοῦμαι καὶ φίλτατον, ὅτι μοι τῇ ἀγγελίᾳ ταύτῃ ἐξυπηρετήσατο. Ζηλῶ δὲ τῆς μακαριότητος, ὅτι σοι ἐντυχὼν ἀνθ' ἡμῶν, προσκυνήσει τε καὶ προσείπῃ, καὶ γλυκείας ὁμιλίας ἀκοῦσει, καὶ τῶν σῶν κατατρυφήσει καλῶν· περὶ οὗ καὶ δυσωπῶ. Δυσωπῶ δὲ ὁλοψύχως, ὡς ἂν ἀντιλήπτωρ χρηματίσας ἐπὶ τοῖς αὐτόθι πράγμασι τῆς ἁγίας τοῦ φιλανθρώπου μονῆς· ἧς ἄγιον θρέμμα καὶ αὐτός ἐστι καὶ τίμιον. Προσενεχθῆς αὐτῷ δικαίως διὰ τὸν δίκαιον κριτὴν, φιλανθρώπως διὰ τὸν φιλάνθρωπον, πρᾴως δὲ διὰ τὴν αὐτοπρᾳότητα. Συνδυσωπεῖ δὲ ταῦτα καὶ αὐτὸς ὁ τιμιώτατος καθηγούμενος τῆς τοῦ φιλανθρώπου Σωτῆρος μονῆς, φίλος μοι ἀνὴρ καὶ φίλων ἁπάντων ὁ βέλτιστος, ὃν ἐκ καινῆς ποιμένα τῷ ἑαυτοῦ σεβασμίῳ ποιμνίῳ περιπεποίηται ὁ φιλάνθρωπος, τῶν πρὸ αὐτοῦ καινότερον ἐκλεξάμενος ἐπιλογῇ βασιλικῆς διακρίσεως. Τούτῳ συνδέομαι, ὡς ἂν περιέπῃς τὸν παρόντα μοναχὸν καὶ τὰ τῆς μονῆς· καὶ γένοιο δεξιὰ τῆς ἡγουμενείας ταύτης ἀρχὴ, καὶ δείξαις κἀνταῦθα τὸ σὸν μεγαλοπρεπές. Εἴη οὖν ἡμῖν τοεντεῦθεν μαθεῖν ἀγαθά. Ποῖα ταῦτα; Τὴν σὴν ὑγίειαν, τὴν ἀλυπίαν, τὴν ἐπὶ τοῖς ἀνὰ χεῖρα πρακτέοις σὺν Θεῷ εὔοδον πρόοδον, καὶ ἐπὶ πᾶσι τὸ ἔμπρακτον τῆς ἡμετέρας ταύτης γραφῆς.

Ι'.

Πανσέβαστέ μοι αὐθέντη· εἰ καὶ *μιᾶς χελιδόνος μὴ ποιεῖν ἔαρ* ἡ παροιμία φησὶν, ἀλλ' ἡμῖν ἡ σὴ μία χελιδὼν, τὸ βραχὺ ἐπιστόλιον, ἔαρ ἐν αὐτῷ χειμῶνι ὑπήνοιξεν ἡδονῆς· χελιδὼν, οὔτε στωμύλα κωτίλλουσα, ἀλλ' οὐδὲ μὴν τὸν Τηρέα περιτραυλίζουσα καὶ τῆς ἐκείνου παρατρώγουσα κλήσεως (καθάπερ ἐκεῖνος τὴν τῆς ποτε ἀνθρώπου Χελιδόνος γλῶτταν ἐκαινοτόμησε)· μικρὰ δὲ φθεγγομένη καὶ τορὰ, καὶ (τὸ ὅλον εἰπεῖν) ἡμῖν προσφυῆ, ὅπως ἂν καὶ ἔχῃς νοῆσαι τὸ *προσφυὲς*, εἴτε διὰ τὸ ῥᾳ, εἴτε διὰ τὸ τῶν τοῦ σώματος διαστημάτων μικροφυές. Ἀλλ' ἐπίπεμψον ἡμῖν καὶ ἑτέραν χελιδόνα, καὶ αὖθις ἄλλην· καὶ ποίησον ἡμῖν τὸν οἰκίσκον — οὐ λέγω χελιδόνων μουσεῖα (μαινοίμην γὰρ ἄν), ἀλλὰ μουσείων ἀντικρυς, καὶ ἀηδόνων λόχμην, ἢ νῆσον Σειρήνων, ἢ καταγώγιον ὀρφανικόν· ὡς ἂν οὕτω καὶ τὸ ἔαρ σταθηρὸν ποιήσῃς, καὶ δὴ καὶ ἐς θέρος τερψίθυμον παρεγγελῶμεν. Ποῖον ἐκεῖνο; Τὰς ἐπὶ τῇ σῇ πανσεβάστῃ ὑπεροχῇ χρηστὰς ἐλπίδας, ἃς καὶ εἰς τέλος ἀγάγοι Θεὸς τῇ αὐτοῦ χάριτι.

ΙΑ'.

Ἐκεῖνος αὐτὸς, αὐθέντη Κομνηνὲ, ὁ διακονήσας τῷ τῆς ἀγγελίας μοι σκυθρωπῷ, εὐάγγελος γίνεται, καὶ λελῦσθαί σοι τὴν μέμψιν μηνύει, καὶ τὴν τῆς μικρᾶς ἐκείνης ἀναπτώσεως ἀπαλειφῆναι γραφὴν, ἣν ἐγράψαμεν ἂν σε δριμέως παρ' εὐγνώμοσι δικασταῖς, εἰ μὴ τὸν ἔλεγχον φθάσας τὴν τοῦ κατηγόρου γλῶτταν ἐνέκλεισας. Ἔχεις οὖν τὸν γραμματοφόρον σου Βελλεροφόντην, ὑπὲρ αὐτοῦ κομίζοντα γράμματα. Ἐκεῖνα γὰρ ἀπήγγειλεν, ὧν ἤκουσε· μᾶλλον δ', ἐφ' οἷς ἐν μέρει καὶ αὐτὸς τὴν κατηγορίαν ἀπεμερίσατο· σοὶ μὲν βραχύ τι γεῦμα κομίσας, αὐτὸς δὲ τὴν ὅλην κύλικα τῆς μέμψεως προεκπιών. Καί σοι γέγονεν ὁ ἀνὴρ, εἰ καὶ μὴ εὐάγγελος, ἀλλ' ἑτήτυμος ἄγγελος, οὐκ ἐπιχρώσας τὸ τοῦ λόγου πρόσωπον ψεύσματι. Εἰ δὲ δεῖ τι καὶ περὶ τῆς ἡμετέρας (εἰ χρεὼν οὕτως εἰπεῖν) μικρολογίας ἀπολογήσασθαι, ταύτόν τι καὶ αὐτὸς, αὐθέντη, πέπονθα, ὡς εἴπερ πέπλῳ λαμπρῷ, καὶ φαεινῷ στίλβοντι, καὶ καλὸν ἡλίου ὡς μαρμαρύσσοντι, ῥύπου μὲν ὅλως οὐδὲν, ἀμυχὴν δέ τινα βραχεῖαν ἢ κόνεως ἐπιφόρησιν ἰδὼν, οὐ φορητὸν νομίσει τὸ πρᾶγμα, ἀλλὰ καὶ τὸ βραχὺ τοῦτο καὶ τοῦ μηδὲν ἄξιον λόγου ἀκοσμίαν οὐ μικρὰν τοῦ πέπλου νομίζειεν. Ἔγνως, ὃ βούλομαι λέγειν. Οὐ βούλομαι, αὐθέντη Κομνηνὲ, ἐφ' οὕτω μεγάλῃ ἀπουδῇ, ὅτε καιρὸς ἀγωνίας (εἴπερ ποτὲ), ὅτε ὅλαις χερσὶν ἀνθεκτέον τῶν ἔργων, τὴν χεῖρα βλέπειν τὴν σὴν ἀποκάμνουσαν. Καὶ βραχεῖα μὲν (εἴποις ἄν) ἡ ἀργία. Καὶ γὰρ (νὴ τοὺς λόγους) ἠλήθευσας. Ἀλλ' ἐμοὶ μέγα τὸ πταῖσμα· οἶμαι δ', ὅτι καὶ σοί. Οὕτω καὶ ἀλείπτης, ἰδὼν τὸν γυμναζόμενον ἐφ' ἓν τι βῆμα ποδὸς ἢ καὶ χειρὸς ἀνάτασιν ἑαυτὸν οὐκ εὐρύθμως συντείνοντα, εἰ μὴ ἔργοις, λόγοις δ' οὖν οὐκ ἀγαθοῖς ἀμείβεται τὸν ὑπαλειφόμενον. Μάθοις δ' ἂν καὶ στρατηγὸν, κἂν ἐπὶ βραχὺ τὸν στρατιώτην, ὃν αὐτὸς ἀλείφει πρὸς πόλεμον, ἀπονυστάζαντα μάθῃ, σφοδρῶς αὐτοῦ καθικνούμενον. — Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα. Σοὶ δὲ εὖ γένοιτο, ὅτιπερ εὐαισθήτως ἔχεις σαυτοῦ, καὶ ἐπὶ τοιούτοις δάκνῃ τὴν ψυχὴν, καὶ καθυπεμφαίνεις ταῖς τοιαύταις ἀρχαῖς, ὁποία σοι ἐς τομετέπειτα ἡ ἀγαθὴ τῆς ψυχῆς ἐσεῖται προσαύξησις.

ΙΒ'.

Εὖ μοι τῆς ἡμέρας ταύτης, αὐθέντη πανσέβαστε, καθ' ἣν τὸ σὸν γράμμα κεκόμισμαι· εὖ μοι τῆς Ῥοδοδακτύλου, καθ' ἣν εὐήμερον ἡμῖν ὑπηύγασε μήνυμα, ὑγιαίνειν σὴν σὴν ἀντίληψιν. Καὶ ἐπανατέλλοι, θεὲ σῶτερ, ἡμῖν συχνὰ τὸ τοιοῦτο ἀγαθὸν, καὶ διασκεδάζοι πᾶσαν τὴν ἐκ λύπης ζοφερὰν ἐπισύστασιν. Ὑγιαίνομεν τέως καὶ ἡμεῖς, χαίροντες — εἰ μὲν ἐπὶ τοῖς καθ' ἡμᾶς νομίσαις, οὐχί· μόνοις δὲ, οἷς τροπαιουχεῖν τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα ἐμάθομεν. — Τὰ κατὰ τὸν ἡγούμενον ᾠκονόμηται, ὡς ἦν δυνατόν· οὐ δι' ἄλλο τι, ὡς ὁ Θεὸς οἶδεν· ἀλλὰ τὸ πλέον, ἵνα μὴ πράγματα ἔχῃ, ἐφ' οἷς οὐκ ἐχρῆν, ἡ σὴ ἀντίληψις, διὰ τὸ τῶν ὑποθέσεων ἀμφίλογον. — Προσκυνοῦσι τὴν ἀντίληψίν σου σὺν ἡμῖν ἅπαντες οἱ ἡμέτεροι, ἐπευχόμενοι τὴν μετὰ ὑγείας αὐτοπρόσωπον ἔντευξιν, τὴν ζῶσαν, τὴν γλυκεράν. — Ὑγιαίνει καὶ ὁ σὸς μικρὸς, ὁ ἡμέτερος μαθητής. Ἀλλ' οὕπω τὴν γλῶσσαν ἔστρεψα πρὸς τὸ σαφές. Οἶμαι γὰρ, ὅτι τὸν καλὸν ἐννοεῖς· τὸν ἔτι μὲν φύσει μικρὸν, ἡμῖν δὲ μέγαν Ἰωάννην, ὃν οὐκ ἀνίης ἐπιγραφόμενός μοι μαθητήν. Ἀλλὰ καὶ ἐκεῖνος μὲν ὑγιαίνει· καὶ εἴη οὕτως ἔχων, καὶ μετὰ ὑγείας ὑψηλὴν ἀνάγων βλάστην ἕως εἰς τέλειον. Καί

σοι τὰ εἰς ἐκεῖνον οἱ εἰωθότες γραφέτωσαν. Ἐμοὶ δὲ περὶ τοῦ κατὰ ἐνέργειαν μαθητοῦ τοῦ μικροῦ ἡ μνήμη, ὃς καὶ αὐτὸς προσκυνῶν, οὐκ ἀόκνως μὲν εἶχεν εἰς γραφήν· ἔγραψε δὲ ἰδοὺ κατὰ τὴν σὴν πρόσταξιν, ὅσα οἱ ἐδόκει. Καὶ ἐγὼ μὲν ἤδη παύομαι, ζωῆς σοι πολυχρόνιον ἐπευξάμενος· ὁ δὲ ὑποταττέτω τὰ ἑαυτοῦ.

ΙΓ'.

Τίς ἂν εἴην ἐγὼ, ὅτι καὶ ἐμοῦ λόγον ἐξ οὗτω μακρᾶς ἀποδημίας τίθεται ὁ τῷ ὄντι πανσέβαστος; οὗπερ ὁ νοῦς μὲν οὐκ ἂν εἰπεῖν ἀρκέσῃ μοι μόνον ὡς αἰθέριος, ἀλλὰ καὶ ὡς ἐγγίζων Θεῷ κατ' ἐκείνους νόας, οἷς τὸ τοιοῦτο πεφιλοτίμηται ἀγαθόν· ἡ δὲ γλῶσσα ἐντελῶς διακονουμένη τοιούτῳ νοΐ, καὶ τῶν ἀδελφῶν μεγαλοφυῶν νοημάτων εὐγενὴς ἐξάγγελος· ὡς τὸν μὲν κόπον καὶ πολλὰ καὶ καλὰ· τὴν δὲ, διασεξαμένην αὐτὰ, ἐπιμελῶς μαιεύεσθαι καὶ προάγειν εἰς ἔκδηλον, καὶ διατυποῦν σωματικώτερον μέν· οὐ μὴν, ὡς καὶ ἀπελέγχειν τὸ νοερὸν, ὁποῖα συμπίπτει πολλοῖς, ἐφ' ὧν ἡ γλῶσσα τὸν νοῦν πολλάκις ἀπηχρείωσε καὶ κατῄσχυνεν· ἀλλὰ προσεπιτιθεῖσα καὶ αὐτὴ καὶ προσεπαύξουσα τὸ καλὸν, καὶ τὸ τοῦ νοὸς λαμπρὸν διεκφαίνουσα κατ' ἐκεῖνα τῶν περιβλημάτων, ὅσα λεπτουργηθέντα ἰσχνότερον, οὐκ ἂν κάλλος σώματος ἐπικρύψωσιν, ἀλλ' εἰς χάριν ὄψεως διεκφήνωσιν· αἱ δὲ χεῖρες ἡρωϊκαὶ, καὶ μεγάλων ἔργων ἐπιτελεστικαί· καὶ οὐ μόνον μεγαλουργοὶ καὶ πρὸς ἀνδρείαν κατηρτισμέναι καὶ ἀπηκριβωμέναι εἰς ῥωμαλεότητα, ἀλλὰ καὶ τὴν καλλιγραφίαν καλλιτεχνήσασαι, καὶ τῇ παγκάλῃ γλώσσῃ, καὶ ἣν εἰκότως σεβοίμεθα, πρέπουσαι καὶ συντρέχουσαι· ὡς εἶναι τὴν πανσεβάστην ταύτην κεφαλὴν πάντῃ πάντως ἀνενδεᾶ τοῖς καλοῖς, νοὸς μὲν πλουτοῦντος τοῖς εὐγενέσι νοήμασι, γλώσσης δὲ καὶ χειρῶν — τῆς μὲν περιτράνυς τὰ νοήματα κηρυκευούσης εἰς ἀκοὰς, τῶν δὲ τὸ καλὸν ἀποτιθεμένων ταῖς ὄψεσιν εἰς τρυφὴν ψυχῆς καὶ μνήμην διηνεκῆ. Ἀλλὰ τίς μέν εἰμι ἐγὼ, οἷδα ἐγώ· οἶδα δὲ, ὅτι τὸ μηδέν. Ὁ δέ μου μνησθεὶς, εἴη ἂν καὶ τοῦτο ποιῶν κατὰ μίμησιν Θεοῦ· οὗ τὰ τῆς προμηθείας ἕως καὶ εἰς αὐτὰ κινεῖται τὰ πάντῃ σμικρότατα. — Ἀλλ' ἀπαναγάγοι σε Θεὸς τάχιον, τὴν πανσεβάστην μοι κεφαλήν· εἰ μὲν καὶ ἡμῖν περιοῦσιν ἔτι, εὔχομαι καὶ μάλιστα· εἰ δ' ἄλλως εὐδοκηθὲν συμπέσειται τὰ καθ' ἡμᾶς, τοῖς γοῦν λοιποῖς ἅπασι, τοῖς πνέουσί σε, ὅτι καὶ πολλῷ πρότερον τῷ μεγίστῳ αὐτοκράτορι, οὗ σὺ θεράπων τῷ ὄντι πιστότατος.

ΙΔ'.

Καὶ ἄλλως μὲν ἐν τῇ ψυχῇ φέρω ἀναγραπτον τὴν πανσεβάστην σου ὑπεροχήν· καὶ οὐκ ἔστιν, ὅτε ἡ λέγων ἢ γράφων ἔξω μνήμης αὐτὴν τίθεμαι. Ἀλλ' ὥσπερ ὀφθαλμὸς ἐνεργῶν οὐκ ἴσθ' ὅπως οὐ δι' ἀέρος ἐνεργεῖ, οὕτως οὐδ' ἡ ψυχὴ Εὐσταθίου τοῦ σοῦ, ἐνεργοῦσα τὰ κατ' αὐτὴν, ἑαυτῆς ἔξωθέν τι τίθησι τὴν σὴν καλλονήν· ἀλλ' ὀπηνίκα καὶ γραφὴν τῆς σῆς ἀντιλήψεως ἀνὰ χεῖρας δεξαίμην, τηνικαῦτα οὐκ ἔστιν εἰπεῖν, ὅση χαρμονὴ τῇ ἐμῇ ψυχῇ ἐνσταλάττεσαι. Αὐτὸν γάρ σε βλέπειν δοκῶ, τῷ χρυσῷ σου στόματι φωνὰς γλυκείας μοι ἀναφθεγγόμενον. Καὶ προσκυνῶ τὸν ἐν χερσὶ χάρτην, καὶ ὡς ἐμοὶ σεβαστὸν κατασπάζομαι, ὅτι τὰ τῆς σῆς ψυχῆς γεννήματα καὶ βουλεύματα φέρων ἀγγέλλει μοι. Εἶης οὖν πολυχρόνιος. Καί σοι, καθὼς ἡμεῖς εὐχόμεθα, διαθείη τὰς ἀναβάσεις Θεὸς, καὶ ἀπὸ δόξης εἰς δόξας μεγίστας ὑψώσειεν, διά τε τὰ ἄλλα σου καλὰ, καὶ ὅτι τὴν ἐμὴν οὐδαμινότητα λόγου καταξιοῖς, Θεοῦ πρᾶγμα ποιῶν· ὃς ἐκ τοσούτου θεότητος ὕψους καὶ τὰ ταπεινότατα ἐφορᾷ. — Περὶ ἧς ἡ ἀντίληψίς σου ἔγραψεν ἡμῖν ὑποθέσεως, ἐφροντίσαμεν ἅμα τῷ δέξασθαι τὴν γραφήν σου· καὶ συνελόντα τὸ πρᾶγμα εἰπεῖν, ὁ ἄνθρωπος, ὃν οἶδας, ὅλος εἶπεν εἶναι τῆς σῆς ἀντιλήψεως· ἀκούσας καὶ πάλιν ἀφ' ἡμῶν, ἅπερ καὶ ἤκουσε φθάσας, καὶ πείρᾳ μεμάθηκε. Στοχάζομαι δὲ, ὅπερ οὐδὲ τὴν σὴν ἐν καιρῷ λάθοι ἀντίληψιν, ὅτι ἴσως οὐκ ἔσται σοι διὰ παντὸς παραμόνιμος διὰ τὸ ὀρίγεσθαι τῆς ἐπὶ τὸ μεῖζον βάσεως ἡ μεταβάσεως. Ἀλλὰ τί τούτου μέλον τῇ αὐθεντείᾳ σου; Ἐλθέτω· ποιησάτω, ὃ θέλεις. Χρησιμευσάτω, ἕως οὗ δέον ἐστί. Περιμεινάτω τὸν δέοντα καιρόν. Γενέσθω ἡ ναῦς ἀγωγίμων λογικῶν κατακώχιμος· μεθῇ ἐὰν ὁ κυβερνήτης θέλῃ, ἀναπαυσάσθω. Τελεσφορηθήτω τὸ θέρος· καὶ ὁ γεωργὸς μετὰ τοῦτο ὑπὸ σκιᾷ καθήσθω, εἰ βούλοιτο. Ἀνυσθήτω ἡ ὁδὸς, καὶ ἀναπαυέσθω ὁ ὁδηγός. — Καὶ ταῦτα μὲν οὕτως· ἡμεῖς δὲ καὶ πάλιν ἐν ὀχλήσεσιν, οἱ μηδὲν ἔχοντες. Καί σοι τὰ καθ' ἡμᾶς ἐρεῖ ὁ Καλοβασίλειος· ἐφ' οἷς καὶ ὑπομνηστικὸν ἀπεστείλαμεν, θαῤῥοῦντες εἰς τὴν ἀντίληψίν σου. Καὶ τὴν δυνατὴν δικαίαν ζητοῦμεν βοήθειαν. Ἐὰν δὲ καὶ τὸν ἐπηρεάζοντα ἡμῖν ἀπηνία τε κρατερόν τε ἰδοῦσα ἡ σὴ αὐτόθι ἀντίληψις, ἀναμνήσῃ τε καὶ ὀνειδίσῃ, ὅτι οὐ καλὸν πρᾶγμα ἐποίησεν, εὐχαριστῶ καὶ ὑπὲρ τούτου. Διέσεισε γὰρ οὐχ ἁπλῶς, ἀλλὰ φανερῶς ἠδίκησε, βουλλιώσας, καὶ εὐθὺς αὐτῇ τῇ ὥρᾳ ὑποχωρήσας ἀνέτῳ χαλινῷ· ὥστε τῇ ἐπαύριον ἀποσταλέντα πατριάρχῃ θουλευτὴν, μὴ φθάσαι καταλαβεῖν αὐτὸν, ἀλλὰ μαθεῖν, ὅτι ἐν τῇ Σηλυμβρίᾳ μέλλει καταλῦσαι. Εἶτα καὶ ἀποθήκην ἐβούλλωσε, πανταχόθεν εὐεπιβούλευτον· ὡς εἶναι πᾶσαν ἡμῖν ἀνάγκην, φυλακὴς ποιεῖσθαι νυκτὸς, μὴ ἀπολέσωμεν τὸ βραχὺ ἐκεῖνο οἰνάριον. Καὶ τὸ μεῖζον, κακὸν ὅτι τῶν χωριτῶν ἁπάντων φεισάμενος, ἡμᾶς καὶ μόνους εἰς διασεισμὸν ἀπελέξατο, μήτε εἰδῆσιν δοὺς, μήτε ἄλλο τι ποιήσας ἀνθρωπικόν· ἀλλὰ καὶ, πλησιαστῶν βαρυβλαβῶν ὄντων κύκλῳ τοῦ ἐρειποτοπίου, εἰς ὅπερ ἡμᾶς διασείει (ὧν εἰσι καὶ οἱ παντοκρατορινοὶ), τῶν μὲν ἄλλων ἀπέσχετο, ἡμῖν δὲ ἐνεκάθισεν. Ἀλλ' αὐτὸν μὲν ἴδοιμι πάσχοντα, ὧν ἐστιν ἄξιος· σὲ δὲ ὁ Θεὸς ποιήσαι πολυχρόνιον.

ΙΕ'.

Εἰ μὲν καὶ ἄλλῳ τινὶ τύχῃ βάσκανος ἐπικωμάζει, τί μοι λέγειν; Ἐμοὶ δὲ ἀντικρυς ἄρτι ἐπεκώμασε. Καιρὸς ἦν μοι ἀρίστου· καὶ ἡ τραποῦς πτωχικῶς μὲν, ἐξηρτύετο δ' οὖν. Καὶ ἤδη ἐγγὺς ἦμεν πληρώματος. Αἴφνως δέ μοι πατάσσει τις τὴν θύραν, Καὶ αὐτὸς ἐρωτῶ· *Τίς ἐσθ' ὁ πόπτων τὴν θύραν;* Καὶ μανθάνω τὸν κρούσαντα, καὶ ὅτι γράμμα μοι κομίζων ἥκει σεβαστόν. Κἀγὼ μὲν ἔνθους ὑφ' ἡδονῆς γεγονὼς, τάς τε θύρας ἀναπετάσαι κελεύω, καὶ

ἡδίως τὸν τῆς γραφῆς διάκονον ἀναδέχομαι. Ἐπεὶ δὲ καὶ εἰς χεῖρας τὸ γράμμα λάβοιμι καὶ ἀναπτύξας διέλθοιμι, γίνεταί μοι κατὰ τὴν παροιμίαν *ἀναλλα τὰ τοῦ πράγματος*· καὶ οὐ μόνον οὐκ ἔνθους ἔτι, καὶ ὀλιγοπόθης γε εἶναι μεμένηκα. Καὶ ἦν εἰκὸς τὸ πάθος. Κατὰ γὰρ τὸν τοῦ Σοφίλου σοὶ μὲν εὖ πράττοντι χαίρω· εἰ δέ σοι τὰ τῆς τύχης ἔμπαλιν φέρεται, μέγαν ὄγκον ἔχω καὶ πεφόβημαι. Τοιοῦτόν μοι κῶμον ἐπεισήγαγε τῇ τραπέζῃ τύχη τις φθονερὰ ὑποκαθημένη· οὕτω μοι ἐπεκώμασε σφοδρὰ καὶ ἀκάθεκτος· καί μοι τό τε στόμα συμπιέσασα ἐπέσχε τοῦ ἐνεργεῖν, καὶ τὰς χεῖρας παρῆκε· καὶ τί ποτε ἄρα ὁ τῶν Ἀρπυιῶν βούλεται μῦθος, αὐτοῖς ἔργοις μοι παρεστήσατο. Ἐκεῖναι γὰρ τὸ προστυχὸν ἁφαρπάζουσι, καὶ αὐτοῦ Φινέως τῶν τε χειρῶν τῆς τε τραπέζης καὶ τοῦ στόματος ἀφαιρούμεναι τὸ σῖτον, ἐξίπταντο· καὶ οἱ τοῦ σοῦ δὲ γράμματος πτερόεντες οὗτοι λόγοι οὐδέν τι κρεῖττον Ἀρπυίας διέθεντο τὰ κατ' ἐμέ. Καὶ ἦν μοι τοῦτο κακὸν ἀντίσταθμον τῶν σῶν μυρίων καλῶν, βασκάνου τινὸς ἀντισηκώσαντος δαίμονος. Ὁ γάρ μοι πολλάκις καρυκεύμασιν, οὔτε λόγῳ ῥητοῖς, οὔθ' ὑποπίπτουσι μέτρῳ, διασκευάσας τὴν τράπεζαν, ἀπεκόσμησάς μου τὴν εὐωχίαν, καὶ πικρίαν κατασκευάσας, ἄβρωτά μοι πεποίηκας τὰ τῆς τροφῆς. Τί ἂν οὖν ἔχοις ἀκοῦσαι καλὸν ἐξ ἀνθρώπου, ὃς πεινῶν ἰδεῖν σε, καί σου τὴν θέαν διψῶν, νῦν ἄλλως διά σε πεπείνηκέ τε καὶ δεδίψηκε· καὶ οὐκέτι σοι χάριτας ὀφλεῖ, οὕτως; νῦν δὲ ἄλλως ἐπικαθήμενος τοῖς εἰς τὸ ζῆν; Μέμνημαι γὰρ εἰσέτι καὶ τῶν ἐφόδων ἐκείνων καὶ τῶν ζημιῶν, ἃς ὑπομεμένηκέ μοι τὰ τοῦ ἅλσους, καὶ οἷα πέπονθε τὰ δεινά. Ἀλλὰ μὴ οὕτω μέχρι τέλους· γένοιτο δέ μοι καλόν τι παθεῖν, καὶ γλυκείας ἀγγελίας ἐπισταλαχθῆναί μοι νέκταρ ὀψέ ποθεν, ὑφ' ἧς τὰ τῆς πικρίας ἀνασταλήσεται. Καὶ τότε ἂν ἀνοίξω τὸ στόμα, καὶ τορὸν ἀναφθέγξομαι. — Καὶ σὺ μὲν οὕτως. Ἀλλ' ἐγὼ τὸ σὸν ὕψος οὐ τοῖς ἴσοις ἀμείψομαι, ἀλλὰ τῇ πικρίας ἀντιδώσω γλυκύτητα· καὶ ἀνθ' ὧν ἐπίκρανάς μοι τὸ ἄριστον, γλεύκους πληρώσω σοι τὸ ἑστίαμα. Ἔχω γὰρ στείλας οἰνούτας, ὀλίγας μέν, ἀλλ' ἀγαπητάς· ἃς οἶδ' ὅτι ἀποδέξῃ, οὐ μόνον ὡς δῶρον ἡμέτερον, ἀλλὰ καὶ, ὅτιπερ ἔξω καιροῦ, ἢ πρὸ καιροῦ. — Ἔμφροντις ὢν ταῦτά σοι γραφω, πανσεβάστη μοι κεφαλή, καὶ οὐδ' ἐμαυτοῦ σχεδὸν ὤν. Αἰτῶ τοίνυν συγγνώμην, εἰ μήτε μακρολογῶ, μήτε καλλιλογῶ. Ἀντιπροσαγορεύω τὸν ὅμοιον.

ΙϚ'.

Ἀρκετὸν ἡμῖν εἰς τὸ εὖ ἔχειν, πανσέβαστέ μου αὐθέντη, τὸ οὕτως ἐν μνήμῃ κεῖσθαι περὶ σοί, καὶ λόγου τυγχάνειν τοσούτου· ὃ δὴ καὶ ἄλλως μὲν ἐγνωσμένον, παραστὰν δὲ καὶ ἄρτι διὰ γραφῆς, ἀνασφῆλαι τῆς νόσου πεποίηκεν ἡμᾶς καὶ ἀνακομισθῆναι μικρόν τι δοσον ἐπὶ τὰ πρότερα. Γίνωσκε, ὡς οὔπω μέχρι καὶ σήμερον ἀκραιφνὲς ἡμῖν τὸ τῆς ὑγείας ἐπεμειδίασεν ἀγαθόν· οὐδὲ τὰ τῶν κυμάτων κατεστόρεσται τέλεον, οὐδὲ ὁ χειμὼν εἰς ἔαρ ἐγαλήνιασεν. Ἀγαπητὸν δὲ, ὅτι τοῦ κακοῦ ἐπανακληθέντες μόλις γεγόναμεν ἑαυτῶν, καὶ λαλοῦμεν, καὶ βαδίζειν ἔχομεν, καὶ εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν ἀπέρχεσθαι, καὶ τῶν αὐτῆς ἐπαπολαύειν καλῶν. Τὴν δὲ σὴν πανσεβάστην κεφαλὴν ἀντὶ τῶν εἰς ἡμᾶς σου ἀγαθῶν ἀμείψαιτο ὁ θεὸς, οἷς ἄξια ἐστὶν (ἔστι δὲ, οὗ ἂν εἴποι τις, καλοῦ)· καὶ ἔοικέν σε ἔχοντα, ὥσπερ εὐχόμεθα. Ἡμῖν ἤδη μέλει καὶ τῆς εἰς τρυγητὸν ἀπελεύσεως, ὅπως ἂν ἔχωμεν, εἰ καὶ μὴ καλῶς. Οὐδεὶς γὰρ τῶν τοῦ ἡμετέρου κελλίου, ὅστις ἂν μὴ τοῖς ἡμετέροις κατακολουθήσῃ ἴχνεσιν· ἀλλὰ πάντες τοῦ αὐτοῦ κρατῆρος ἡμῖν ἐπερρόφησαν· ὧν οἱ μὲν μικρόν τι ἀνεκουφίσθησαν, οἱ δὲ καὶ εἰσέτι βαρύνονται, φιλονεικοῦντες, ἐμποδὼν ἡμῖν γενέσθαι τοῦ ζῆν· εἰ καὶ ἡμεῖς [καρδοκοῦμεν τὸν θάνατον, καὶ παντὶ τρόπῳ τῶν ἄνω γινόμεθα. Οἱ δὲ τοιοῦτοι καὶ οὕτως ἔχοντες, ὅμως καὶ αὐτοὶ προσαγορείας ἀξιωθέντες οὕτω σεβασμίας, προσκυνοῦσι καὶ αὐτοὶ σὺν ἡμῖν τὸν τὴν προσαγορείαν διαπεμψάμενον, καὶ τὰ ὅμοια συνεπεύχονται. — Προσαγορεύομεν ἅπαντες τούς τε εἰδότας ἡμᾶς πάντας καὶ ἀγαπῶντας ἐκ τῶν τῆς ὑποταγῆς· καὶ τὸν ἀγαπητὸν κύριον Νικήτην, τὸν εἴτε Ἀάκωνα εἴτε Τίμωνα τά γε εἰς ἡμᾶς, ἢ ἐπιλελησμένον· ἢ ἀλλ' ἐπέλιπέ μοι τὰ τῆς κλήσεως. Τὸν γὰρ συνήλικα τί ἂν καλέσαιμι; ὃς ὡς ἐξ ἅρματος βραχύ τι ἀπαστράψας ἀπέσβεσε, καὶ οὐκέτι ἔφανεν ἡμῖν μιᾶς ἀξιώσας προσλαλιᾶς· ὃν ἀμύναιτο Θεὸς τῇ στερήσει τῆς φιλουμένης θήρας αὐτῷ. Καὶ αὐτὸς μὲν αὐτόθι πομπεύσοι, τὰ φίλα ποιῶν· τὰ δὲ φίλτατα πτηνὰ περιδράμοιεν αὐτὸν, ἐν χερσὶν ἄλλων πίπτοντα, καὶ τοῖς ἐνταῦθα ποριζόμενα πρὸς δαψίλειαν· ὃ καὶ γίνεται. — Ὁ ἱεροψάλτης μοναχὸς χάρις μὲν ὅτι τῷ τυρῷ φθάσας προσεῖπεν ἡμῖν — ἔκτοτε δὲ τῇ σῇ καὶ μόνῃ πρόκειται εἰς ἐντρύφημα πανσεβάστῳ ὑπεροχῇ — μηδέποτε προσαγορεύσας ἡμᾶς· εἰ τέως καὶ ζῇ.

ΙΖ'.

Τοῦ αὐτοῦ, γεγονότος ἐπὶ τῶν δεήσεων.

Ἔχεις ἰδού, πανσέβαστέ μου αὐθέντη, πρώτην τὴν τοῦ Εὐσταθίου δέησιν· καί σοι ἐγκαινίζω εὐτυχῶς τὸ ὀφφίκιον. Δεήσομαι γὰρ, καὶ λυθήσεταί μοι τὰ τῆς δεήσεως. Καὶ ἔσται τοῦτο ἐμοὶ μὲν ἄλλως χρηστὸν, τῇ δὲ σῇ πανσεβάστῳ ὑπεροχῇ οἰωνὸς ἀγαθός. Ἀλλὰ τίς ἡ δέησις; Περιέτυχον καθ' ὁδὸν τῷ καλλίστῳ αὐταδέλφῳ τῆς σῆς μεγαλυπερόχου λαμπρότητος· καὶ ἐπεὶ μὴ περιέργους ἔχω πάνυ τοὺς ὀφθαλμούς, ἄλλως τε καὶ ἐπ' ἀρισφαλοῦς βαδίζων ὁδοῦ, οὐκ ἔσχον ἐξακριβώσασθαι, ὡς ἄρα ὁ κάλλιστος ἀνθρώπων εἴη ὁ Δούκας, τὸ τῆς ὁδοῦ ἀγαθόν μοι συνάντημα. Ἐπλάνησε δέ με καὶ τὸ τῆς προόδου ἀπέριττον· εἷς γὰρ καὶ μόνος ἐκείνου προώδευε, καὶ ἐκεῖνος ἐκ μακροῦ διαστήματος· ὥστε ἔδοξά τινα εἶναι τῶν ἄρτι λαμπρειμονούντων διὰ τὴν τῆς ἡμέρας φαιδρότητα. Ὅθεν καὶ παρῆλθον αὐτὸν ἀπροσφώνητον, βραχύ τι ὡς μὴ γινωσκομένῳ ἐπικλίνας τὴν κεφαλὴν, καὶ ὡς ἀλλοτρίῳ ἀφοσιωσάμενος τὴν προσκύνησιν. Ἐπεὶ δὲ εἶχέ με τὸ βραχὺ (ὡς αὐτὸς ἂν εἴποις) ὁ μικρὸς ἐμὸς οἰκίσκος, καὶ ἀνεκλίθην ἐπιτραπέζιος, καὶ ἤδη καὶ ἡ χεὶρ εἰς τὴν

μαγειρείαν ἐδάπτετο, καὶ οἱ ὄρτυγες, οὓς ἐξηγορασάμην σοι, ἐπτερύσσοντο κατὰ τῆς τραπέζης, καὶ τὸ ἐνταῦθα ὁ σπανὸς Ἰωάννης ὡς ἐξ ἐνέδρας μοι ἐπιφύεται, καὶ δριμὺς ἐπιπεσὼν, τί ἐποίησας; ἀναβοᾷ· διὰ τί τὸν Δούκαν οὐ προσεφθέγξω; ἐγὼ δὲ (μὰ τὴν κεφαλήν σου, καὶ μὰ τὴν σωτηρίαν τῆς ψυχῆς μου) εὐθὺς ἐπατάχθην ὡς ἐπὶ καινοτάτου ἀκούσματος. Καὶ τάς τε χεῖρας ἔσχασα, καὶ ἐξεπλάγην ἐπὶ τῇ ἀκοῇ. Καὶ ἰδοὺ δέομαί σου, ζητῆσαί μοι καταλλαγὴν καὶ συμπάθειαν, καὶ σπουδάσαι ταύτην μοι καταπράξασθαι. Μάρτυς γὰρ ὁ Θεός· ἐβαρύνθην πρὸς ἐμαυτὸν, ὅτι οὕτως ἀπροσέκτως ἔσχον ἐπὶ τῷ πράγματι. Πλὴν οὐ πάνυ ἔπταισα, δι' ἃς εἶπον αἰτίας, καὶ διότι οὐ συχνοτέρως ἐντυγχάνω τοῖς ἄλλοις, ὥστε καὶ ἀκριβεστέρους φέρειν τοὺς τῶν ὄψεων χαρακτῆρας· ὡς εὐθὺς ἅμα τῇ θέᾳ καὶ ἐκ πρώτης εἰσβολῆς καταλαμβάνειν τὸ θεαθέν. Προσκυνῶ οὖν, καὶ τίθημι μετάνοιαν, καὶ ζητῶ συγγνώμην. Ἔστω δὲ τῇ πανσεβάστῳ σου ἐνδοξότητι μεσιτευτήριον δῶρον, τὰ μῆλα ταῦτα τὰ Περσικὰ, τὸ ἐμὸν κήπευμα· ὧν ἀπομερίσαις ἂν τὰ ἡμίση τῷ παγκάλῳ Δούκᾳ εἰς μείλιγμα καὶ συμπάθειαν ἐμήν.

ΙΗ'.

Διέτριβεν ἐκτεθεὶς πρὸς Ἕλλήνων περί που τὴν Λημνίαν ἀπάνθρωπον ἔρημον Φιλοκτήτης, ὁ Ποίαντος. Καὶ ὄφεσι μὲν πέτραν αὐτόροφον, ὑπετρίφετο δὲ ὅσα καὶ θήρ· ὕδωρ δὲ διῴκει τοῦτον οὐκ ἀένναον οὐδ' ἀπόῤῥυτον, ἀλλ' ὄμβρου λείψανον σεσηπὸς, γῆς ἐναπομεῖναν κοιλώμασι καὶ κηρίοις, ὅσοις ἐπάλαιε, τοῖς δεινοῖς· ἄλλως τε οὐδ' ἀρτίπους ὤν, ἀλλὰ κατὰ γῆς ἕρπων, καὶ τοῦτο δὴ τὸ μέρος τὴν ἐκδακοῦσαν τοῦτον μιμούμενος ἔχιδναν. Ἀλλ' ὅμως οὔτε τὸ τῆς τροφῆς τοῦτον ἐλύπει δυσπόριστον, οὔτε τὸ στατὸν ὕδωρ, οὔτε τὸ τῆς ἐχίδνης φόνιον χάραγμα. Ἐπειδὰν δέ τις χρόνιον ἐνδημήσας προσείποι μὲν ἐκεῖνον καὶ δεξιώσαιτο, καὶ τέλος ἀναγόμενος πιστευθείη μὲν πρὸς ἀνδρὸς ἐπιστολὴν ὡς τοὺς οἰκείους, εἶτ' ἀμελήσοι — ἀλλ' ἦν τοῦτο τῷ Φιλοκτήτῃ πάντων δεινότερον. Ἔγνως, ὃ λέγω, καὶ φθάσας τοὺς λόγους ἀφήρπασας. Οὕτω σοι νοῦς ὀξύτατος· καὶ εἰ μὴ κωμικὸς ἦν ὁ λόγος, κυνηδὸν ἂν φαίην σε τὸν λόγον σιτήσασθαι. Καὶ γάρ τοι καὶ κύνες πτῶμα ῥιπτούμενον ἀέριον, πρινὴ κατὰ γῆς πεσεῖν, φθάνουσι καταφαγεῖν. Ἀλλ', ὦ δαιμόνιε, ἔασον ὅλον με τὸν λόγον εἰπεῖν. Δυπεῖ καὶ ἡμᾶς τὸ τῆς ἡμετέρας ἐρήμου ἀπόκροτον, καὶ τὸ τῆς τροφῆς μεμετρημένον, καὶ τὰ τῆς καθ' ἡμᾶς ἐχίδνης χαράγματα· ἀλλ' ἔδακε πλέον τούτων ἡμᾶς, ὅτι περὶ τὰς πρός σε δυστυχοῦμεν γραφὰς, καὶ γράφοντες δοκοῦμεν μὴ γράφειν. Καίτοι τίνι ἄλλῳ [τὴν πρός σε γραφὴν ἐνεπιστευσάμην, ἢ τῷ τοῦ δεσπότου τοῦ διδασκάλου ἀδελφῷ καὶ θείῳ σῷ; Ἀλλ' (ὡς ἔοικε) δεύτερα τὰ ἡμέτερα θέμενος, τὸν οἰκαδε ἤπειγε πλοῦν, ἵνα ἡμῖν ὁ πᾶς εἴη λόγος τραγῳδικός. Οὕτως ἡμεῖς δυστυχοῦμεν, ἐφ' οἷς εὐτυχοῦμεν. Μὴ γοῦν ἡμᾶς μέμφου· κατατοξάζου δὲ τῆς οὕτω βαρείας τύχης, δι' ἣν ἡμῖν οὐκέτι οὐδ' οἱ λόγοι πτερόεντες, ἀλλὰ βραχύτερον πτερυξάμενοι πτεροῤῥυοῦσιν αὖθις, καὶ περὶ μέσην που τὴν ὁδὸν τῆς πτήσεως παύονται.

ΙΘ'.

Τῷ κριτῇ τοῦ βήλου, κυρίῳ Γρηγορίῳ τῷ Ἀντιόχῳ.

Τί δῆτα οὐκ ἂν ἐργάσαιτο ἄνθρωπος; Παλαιὸς ἐν τῷ καθόλου καὶ οὐκ ἐμὸς ὁ λόγος οὗτος. Οὗτός γε μὴν ἐμὸς, οὐ πρὸς γνώμην (κατ' ἐκεῖνον), ἀλλ' ἴδιος· τί οὐκ ἂν ἡ ἐνεργὸς γλῶσσα, ἡ ἐντρεχὴς φρὴν, ὁ κοινὸς ἀγαθὸς ἑταῖρος, ὁ κύριος Μιχαὴλ καταπράξηται; Εἰ δὲ κἀμὲ ἴσχυσε πεῖσαι, τὴν γραφὴν ταύτην θαῤῥῆσαι, καὶ μένους καὶ θάρσους ὑποπλήσας ὄκνον οὕτω βαθὺν ἐῤῥιζωμένον ἐξέσπασε τῆς ψυχῆς, καὶ ἀναπεπτωκότα ἐπιῤῥώσας ἐπέσπασε, καὶ ἀναβεβλημένον ἐπώτρυνε, μᾶλλον μὲν οὖν δεδιότα ἐθάῤῥυνεν. Ἦ γὰρ οὐκ ἐφίλουν ἀεὶ τὸν πολὺν ἐμόν σε Γρηγόριον; Μισοίην ἂν ἐμαυτὸν (εἰ δὲ τοῦτο, καὶ μαινοίμην), ἐὰν ἄλλως ἔσχον ἐπί σοι διακείμενος. Οὐκ εἶχον ἐν ψυχῇ σε ἀναγραπτον ἐν μοίρᾳ κρείττονι; Ἐξαλειφείην τῆς τῶν ζώντων βίβλου, εἰ σοὶ μὴ πᾶσαν πτύχα τῆς καρδίας ἀνέῳξα. Πότε μοι τοῦ στόματος ὁ ὑπέρ σου λόγος ἀπέπτη; Πότε τὰ τῆς μνήμης ἀπέλιπε; Τίνα ποτὲ τῶν περὶ σὲ ἀφιξομένων συνήθων ἰδὼν, οὐκ εὐθὺς τοὺς περὶ σοῦ λόγους διακινήσας, τό τε χαίρειν διεπεμψάμην, καὶ τὸν διάκτορον ἐξεπεμψάμην, τὸ πτερὸν ἀέριον λύσαντα; Ἐπίδημος ὤν, τὴν ἐμὴν ψυχὴν ἔχεις οἰκῶν· ἀποδημίαν στειλάμενος, ἐν ἐμοὶ ἐναπέμεινας· καί πως ψυχὴν νεμόμενος, ἔχεις τὸ ἐν ἐμοὶ νοερὸν καταγώγιον. Ἀλλ' ὅμως καὶ τοιοῦτον ὄντα σε παρ' ἐμοὶ, ὀλίγον προσεῖπον ἐν γράμμασι· καί σοι μετρητά τινα γράψας ἐν πίνακι τυκτῷ (εἴπῃ ἂν Ὅμηρος) ἐξέστειλα. Διὰ τί ποτε αἴτιον; Διὰ δειλίαν, ἣν φθάσαντες — ὁ λόγος μὲν ἀνθωμολογήσατο, ὁ δὲ κύριος Μιχαὴλ τῆς ψυχῆς μοι ἀπώσατο. Ἀλλὰ τίς ἡ δειλία; Ὅτι ὁ μὲν εἰς ἀέρα χαόμενος λόγος, καὶ ὑπὸ διακόνοις ἑτέροις διαπεμπόμενος στόμασιν, οὐ ῥᾳδίως ἐλέγχειν θέλει τοὺς στέλλοντας· ἀλλὰ καὶ ὁ πολὺς καὶ ὁ ἀστεῖος ἐνταῦθά γε τὸ ἴσον ἀποφέρονται, παρὰ τοσοῦτον διαφέροντες, παρ' ὅσον ἔχουσι μνήμης ἢ καὶ λεκτικῆς ἐπιστήμης οἱ καθυπουργοῦντες σφίσι καὶ ἀναφέροντες. Καὶ ἔστιν ἐνταῦθα παρὰ τοῖς διακονοῦσιν ἢ τὸ διακινδυνεῦσαι, ἢ τὸ τυχεῖν· τὸ γὰρ τῆς προσφωνήσεως δεξιὸν εἴτε καὶ μὴ αὐτοῖς ἐπιγράφονται. Καὶ ὁ μὲν τὴν προσλαλιὰν ἐπιστείλας ἀμάρτυρα ἔχει, ὁποι ποτὲ ἄρα καὶ πέσοι τὰ τῆς προσαγορείας· ὁ δὲ δρῶν τῷ προσαγορεύοντι τὸ πᾶν εἰς ἑαυτὸν ἀνεδέξατο. Καὶ τοιαῦτα μὲν ἐκεῖνα. Ὁ δέ γε ἐν σωματίοις κείμενος λόγος οὐκέθ' ὑπὸ ἀγγέλου προάγεται στόματι, οὐδ' ἐν ἑτέρων χείλεσι διακινδυνεύεται· ἀλλ' ἔστι ψυχῆς τῆς ἐπιστειλάσης ἄντικρυς κύημα, τοῦ δὲ ὑποδεξαμένου κώδικος μαίευμα, σπαργανοῦντος οἷον αὐτὸν, καὶ οἷος ἐξέφυ περιφυλάττοντος, καὶ τῷ φίλῳ παρακομίζοντος, ὡς εἰκόνα τοῦ στείλαντος. Εἰ δὲ τοιαῦτα δύνανται τὰ τῶν ἐπιστολῶν, καὶ κατηγορεῖν οἷδε τὸν ἐπιστείλαντα, οἷος τὰ ἐς λόγους ἐκεῖνος, καὶ οἷα τὰ τῆς ψυχῆς αὐτῷ ἐστι γεννήματα, πῶς ἂν αὐτὸς εὐσόλ-

μως ἔχοιμι, τὲς ἐμὰς πιθηκίδας πρός σε τὸν ἐν ῥητορείαις αἴθωνα λέοντα προάγων περιγυμνοῦν, καὶ τῆς ἐμῆς ἀγροικίας ἐνδαψιλεύεσθαι; Οὐκ ἀντιλέγομεν, ἐγχειριδίους καὶ κειμηλίους ἐλέγχους ἀποτίθεσθαι τοῖς τέως οὐκ εἰδόσι τὰ καθ' ἡμᾶς, καὶ κατηγορίας ἐγχαράττειν καθ' ἡμῶν αὐτῶν, ὡς ἂν καὶ τοῖς ἐπιγόνοις ἔχοιμεν περιδεγματίζεσθαι. Ἄλλοις μὲν οὖν τισι τάχα ἂν γράφων τεθάρρηκα, καὶ οὐχ ὑπεστάλην ἂν τὰ τῆς ἐπιστολῆς. Πρὸς σὲ δὲ — ἀλλὰ καὶ νῦν δέος, μὴ τὰ τῆς γραφῆς ὄργανα σχάσαντα, τὸ ἔργον ἄτελές μοι προλίπωσιν. Οὕτω σε τέθηπα, οὕτω σου τὸ τῆς ῥητορικῆς ἐμπύριον πέφρικα. Καὶ Ῥωμαίῳ μὲν ἀνδρὶ (Ἀντωνίῳ, οἶμαι) λόγος ἐῤῥέθη ποθὲν, ὡς ἄρα ὁ δαίμων αὐτῷ τὸν ἑτέρου τινὸς πεφόβηται δαίμονα· ἡμῖν δὲ δαίμων μὲν φοβερὸς, εἴτουν τύχη μορμολυττομένη τὸ ὅμοιον, οὔτι δεδόξασται. Πῶς γὰρ ἂν καὶ εἴη τοιαύτη τύχη παρ' ἡμῖν, οἷς τὰ πάντ' ὁ Θεός; ὅπου τῶν Ἑλλήνων ὅσοι σοφώτεροι εὔνοιαν θειοτέραν τὴν τύχην ὁρίζονται, καὶ εἰς ταυτὸν αὐτὴν τῷ καλῷ τῆς εὐδαιμονίας συνάγουσι. Τύχη μὲν οὖν ἡμῖν οὔτε ἐστὶν οὕτως, οὔτε πεφόβηται. Ὁ δέ μοι λόγος φρίττει τὸν σόν· καὶ που περιτυχὼν αὐτῷ, συσταλεὶς καταδύεται· καὶ καθά που λόγος ἔχει, σωμάτων κτύπους τινὰς ἑτέροις εἶκειν, καὶ τούτων ἠχούντων ἐκείνους σιγᾶν, οὐκ ἔχοντα; ἀντηχεῖν, οὕτω καὶ, τοῦ σοφοῦ Γρηγορίου τὸ σύντονον ἐν ῥητορείαις ᾄδοντος, ἡ τοῦ Εὐσταθίου λαλιὰ σὐδ' εἰς τονιαῖόν τι ἀπήχημα ὑποφάλλεται. Ἔτι μοι τῆς ἐπιστολῆς ἐκείνης ἐνδάλματα προτρέχει τῶν ὀφθαλμῶν, ἣν οὐ πρὸ πολλοῦ μετὰ χεῖρας ἠῦχουν· καὶ με τοῦ γράφειν ἐκκρούει ἐκθροοῦντα οὐχ ἧττον, ἢ τὸν θρυλλούμενον ἀντιφέροντα τὰ ἐκείνου ἐκδειματοῦντα ἐνδάλματα. Ἔτι με ὁ γλυκὺς ἐκεῖνος ῥυθμὸς ἐπικρατεῖ· ἔτι με περιάγει τὸ κάλλος· τὸ τῶν νοημάτων ὕψος, ἡ πυκνότης, ἡ στρυφνότης· ἡ αὐταῖς ἀνακεκραμένη γλυκύτης· ἡ τῆς λέξεως χάρις· ἡ ἐν σχήμασι ποικιλία· τἄλλα πάντα καλὰ, ἵνα μὴ καὶ φορυτὸν ἄλλως ὀνομάτων ἐπισυνάγειν δόξαιμι. Ἀλλὰ τί μοι ἐπιστολῆς ἐκείνης τῆς μιᾶς, εἰ καὶ λίαν καλῆς; Τί μὴ τὸν σοφὸν τὴν χεῖρα Πρωτογένην οὐκ ἐκ τῶν μεγάλων ἔργων, ἀλλ' ἐκ τοῦ παρέργου καλοῦ πέρδικος ἐπαινῶ; Ἐπὶ νοῦν λαμβάνω τὴν σὴν καλλιγραφικὴν λογογραφίαν, [καὶ] θαυμάσας ὡς ἔνι μάλιστα, καὶ ἑαυτοῦ ἀπογνούς, σχασάμενος τὴν τοφιστικὴν, ἄλλοις ἀντεπεξάγεσθαι πρὸς σὴν σὴν (εἰ βούλοιντο) ῥητορείαν ἀφίημι. Καὶ ἤθελον ἰδεῖν τοὺς τοιούτους, οἵτινες ἄρα καὶ εἶεν· ὡς ἂν εἶχον εὐθύμως, ἰδὼν ἠττώμενόν σε τὸν ἐμοὶ φοβερόν. Οἱ δὲ — ἀλλὰ καὶ αὐτοὶ ὡς λέοντα μηκάδες αἶγες πεφόβηνται. Καὶ σὺ μὲν κατὰ τὸν Ὁμηρικὸν Ἕκτορα πάντας καθίζων τοὺς ῥητορεύειν δεινοὺς, εἶτα τὸν ἀντίπαλον μονομάχον ζητεῖς· οἱ δὲ σιωπῶσι, καὶ οὐ θαῤῥοῦσι τὴν ἐπεξέλευσιν. Κἂν τις αὐτοῖς καθ' Ὅμηρον ἀλλ' *ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε* ἐπιφθέγξηται, εἰ δὴ τὸν ἕνα τοῦτον δεδίττεσθε αὐτοὶ, οὐδ' οὕτως εἰς τόλμαν ὀξύνονται, οὐδ' ἐννέα πάντες ἀνθίστανταί σοι· ἀγαπητὸν γὰρ, εἰ καί τινα ἕνα, καὶ αὐτὸν οὐ κατὰ τὸν μέγαν Αἴαντα, ἐγεροῦσιν ἀντίμαχον. Οὕτω σου πάντες ἠττήμεθα· καὶ ἐσμεν — ὁ μέν σου τὸ δευτερεῖον, ὁ δὲ, ὅ τι τύχοι τῆς ἐπὶ τόδε φερόμενος; τάσεως. Ὦ λόγων ἄκρον γάργαρον· ὦ πλοῦτος ἐπιχειρήσεων, κατὰ χύσιν ἄμμου ἐκνενημένης· ὦ ἀριθμὸς ἐνθυμημάτων ἀστείων πολύχους· ὦ πληθυσμὸς ὑψηλῶν νοημάτων, ἀστέρων δίκην εἰς πλῆθος ἐμπλατυνόμενος καὶ εἰς λαμπρότητα ᾀδουχῶν, κατὰ ὄμβρους ὑψόθεν οἷον καταῤῥηγνύμενος ὡς ἐν κατακλυσμῷ — δᾴδ' ἂν εἴπῃ — ὑδάτων πολλῶν· ὦ ῥεῦμα λόγου δαψιλὲς, ἐπιῤῥέον ἅτε πόντου κύματα Ἰκαρίοιο, ἔπεα νιφάδεσσιν ἐοικότα. Ἔπεισί μοι τὸ τῆς Συρακουσίου Μούσης εἰπεῖν, *ὅσος ὄχλος, μυῤμηκες ἀνάριθμοι*, εἴτουν μυρμηκιὰ λόγων σοφῶν. Εἶτα θυρύβους προβάλλῃ, καὶ πραγμάτων ἐπίχυσιν καὶ βίου σύγχυσιν, καὶ βλάβας οἵας καὶ τύρβας ὅσας, ὑφ' ὧν τοῦ φίλου λόγου περικεκίνησαι; Καὶ οὐκέτι ᾖς οὔτε ταῖς πάλαι ποτὲ λάλαις; ὁμοία, οὔτε βίβλοις προστετηκέναι, οὔθ' ὅλως ἐκεῖνο εἶναι, ὃν ἡμεῖς οἴδαμεν; Ὦ τῆς καθ' ἡμῶν σκηνῆς. Ἡ σκη[νοβα]τήσει ὁ λόγος; Ἐσχημάτισται, ἤνθισται. Ἐπικρύπτεις ἡμῖν σεαυτὸν, οὐκ οἶδ' εἴτε κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα, ἢ εἴ τις κατ' ἐκεῖνον τὴν ἑαυτοῦ κρύψιν ἐσκηνοβάτησεν· εἴτε κατὰ τὸν ἐν σοφίσμασιν ἐγκεκαλυμμένον, ὡς ἂν ὕστερον ἐκφήνας τὰ κατά σε, εἰς ἀνηφάσεως μοχθηρίαν συνελάσῃς ἡμᾶς, εἰδότας ἅμα καὶ οὐκ εἰδότας σε. Ὦ τῆς εἰρωνείας! Μυκτῆρα γὰρ εἰπεῖν τὸ πρᾶγμα, οἶμαι οὐκ ἀσφαλές· καὶ μὴν οὐδὲ ἀκκισμὸς ἡ θρύψις τὸ πάθος ἐστί. Τάχα δὲ κἀκεῖνα διαγραπτέον μοι, καὶ πόῤῥω τοῦ λόγου θετέον· κατεπεῖν γάρ σου φορτικὰ πρὸς ῥῆσιν, πάνυ βαρύ. Οὔτε γὰρ τὸ σκηνικῶς ὁμιλεῖν ἐν τοιούτοις σπουδαῖον κρίνεται, καὶ τὰ τῆς εἰρωνείας; ἓξ ἐν κακίας μοίρᾳ βέβληται. Ὦ τοίνυν τοῦ ἐπιστικοῦς· ὦ καθυφέσεως, εἰς ἣν ὁ ὑψηλὸς καὶ πολὺς τὴν σοφίαν κατήνεγκας σεαυτόν. Ὦ τοῦ μετρίου φρονήματος, ὑφ' οὗ περιμετρεῖς σεαυτὸν τοῖς πολλοῖς. σημεῖον εἰς βάθος καὶ εἰς ὕψος ἄλλον τρόπον καὶ αὐτὸς αἰτησάμενος καὶ λαβὼν ἐκ Θεοῦ· βάθος, τὸ διὰ ταπείνωσιν κάτω· ὕψος, τὴν κατὰ λόγους ἀνάβασιν. Ἐγὼ δὲ ἠξίουν σεαυτὸν εἰδέναι, καὶ μὴ τοιαῦτα καταγράφειν σεαυτοῦ. Οὐ γὰρ τὸ παλαιὸν ἐκεῖνο γράμμα στενοχωρῶ, τὸ, *Γνῶθι σαυτόν*, ἀλλ' εἰς πάντας ἀνθρώπους πλατύνω, καὶ συνεπιμερίζω τὸ ῥητὸν τοῖς καθέκαστα· ὡς δέον ὄν, ἕκαστον ἑαυτὸν εἰδέναι· ἵνα μήτε ὁ τὸ μηδὲν ὢν ὑψιστόν τι φρονῇ, μήτε ὁ ὑπερύψηλος οὕτω πρὸς γῆν ἑαυτὸν κατασκῇ. Ἀλλὰ ταῦτα μὲν ἄλλην ἔχει τριβὴν, εἴθ' οὕτω ποιητέον, εἴτε καὶ μή. Σὺ δὲ τί ποτε φῄς, ἀνδρῶν λογιώτατε; δυστόκως ἔχεις περὶ νοημάτων γονάς; καὶ ὃν ἰδρὼς συνεχὴς καὶ θερμότης ἐντρεχὴς καὶ ἔννους εἰς κοπίδα φιλοσοφουμένην ἐστόμωσεν, ἀντιτυπία πραγμάτων ἐπήμβλυνε; νενίκηκέ σε τύρβη φροντίδων; περιγέγονέ σου; καθεῖλε τοῦ ὕψους; ἀπέσπασε; καταβέβληκεν; Οὐκέτ' ἐκεῖνος εἶ ὁ πάλαι Γρηγόριος; ἐς καὶ καταλογάδην περιπτύσας τι λόγιον, ἢ καὶ παραῤῥίψας στιχίδιον σχίδιον, εἰς ἀμίμητον αὐτὸ καὶ μέγα τοῖς ῥητορεύειν θέλουσιν ἐλεπτούργησας σκάριφον. Οὕτως ἐν λόγοις ἄπειρος εἶῃ· πεινῴμην οὕτω σοφίας· τοιαύτη με λάχοι περὶ λό-

γους ἔνδεια. Ὦ πράγματα, λάβοιτέ με· ὦ φροντίδες, ἔχοιτέ με· ὦ τύρβαι καὶ ὄχλοι, ἀμφί μοι γένασθε κύκλῳ, εἰ οὕτω καὶ τεχνοῦν οἶδατε καὶ ἐν καθεστῶτι φυλάττειν τοὺς ῥήτορας. Ἄλλος μὲν οὖν τις, μέσος; ἐναποληφθεὶς πραγμάτων οὕτω μεγάλων, ἔπαθεν ἂν ἀληθῶς, ἅπερ οὐκ ἀληθῶς αὐτὸς ἐπιγράψω σαυτῷ· οὐχ οἷος εἰ[ης], προσθέμενος λέγειν, ἀλλ' οἷος ἂν τις γένοιτο, τηλικούτοις πράγμασιν ἐνσχεθείς. Σὺ οὖν οὐκουν τοιοῦτος οὔτε γέγονας, ἀλλ' οὐδὲ μελλήσεις ἔσεσθαι. Αἴτιον δ', ὅτε πρὸς ὑπεροχὴν τῆς ἐν λόγοις ἐλήλυθας ἕξεως, καὶ πρὸς ἐπιστήμης τέλος ἐλήλακας. Οὐκοῦν εἰς ἄκρον σοι σοφίας ἥκοντι ῥᾴδια ἔπειτα καθ' Ἡσίοδον, ἡ πρώην χαλεπὴ γέγονε· καί σοι διὰ ταῦτα ἄπονος ἡ ἐνέργεια, καὶ τὰ τῆς μεταχειρίσεως ἄμοχθα. Καὶ ἔχει φύσεως· οὕτω τὸ πρᾶγμα. Οὐκ ἔστιν, οὐκ ἔστιν ἐδραῖόν τινα κατ' ἐπιστήμην γενόμενον, μετακινηθῆναι τοῦ ἀγαθοῦ. Ἐπ' οὐδενὸς τῶν, ὅσοι πρὸς ἕξιν ἐλήλακασι λόγου καὶ τελειότητα πραγμάτων, ἐπιῤῥυὴ τὴν τοιαύτην ἀπήλλαξε τῆς ψυχῆς. Ἀλλὰ μή μοι τὴν Ἑρμογένους πρόφερε κῆρα· ἢ εἴ τις ἄλλος κατ' ἐκεῖνον τῇ εἰς ἄκρον εὐεξίᾳ σφαλεὶς ἐξεκρούσθη τοῦ εἰδέναι, καὶ δι' ὀξύτητα φύσεως ταχὺ καὶ ἤνθησε καὶ ἀπήνθησε. Τὰ γὰρ τοιαῦτα τῶν περιδειγμάτων καὶ σπάνια, καὶ οὐδ' ἀσυμφανεῖς τὰς αἰτίας ἐσχήκασιν. Οὐκοῦν καὶ αὐτὸς εἰς τοσοῦτον ἕξεως ἦκων, καὶ δευσοποιὰ τῇ ψυχῇ τὰ τῆς σοφίας ἐντήξας χρώματα, ἀναπόπλυτον ἔχεις τὸ ἄνθος καὶ λαμπρὸν οἷον προλάμπον ποικίλμασι γνώσεως. Ἔχεις κρατῆρας, ῥητορικοῦ πυρὸς μένος ἀφιέντας· καὶ οὐκ ἔστιν αὐτοὺς ἐπιλιπεῖν, κἂν που δόξωσι διαλιπεῖν. Ἀλλὰ τὸ νοερὸν αὖθις πνεῦμα προσβάλλων αὐτοῖς ἀνίησι, καὶ εἰς ποταμοὺς πυρὸς ἐκφυσᾷ λαμπρὸν ἐπιλάμπον σοι τοῦ λόγου τὸ φῶς. Ἐντεῦθεν οὐδέ σοι (παροιμιακῶς εἰπεῖν) ὁ λόγος σβέννυται. Στῦλος πυρὸς ὁ λόγος προτρέχει σοῦ· πῶς ἂν οὖν ὑπὸ σκότει γένοιο; Πῦρ οὐ κατὰ τὸ ἐν Ἀθήναις μυστικὸν ἄσβεστον ταμιεύεις, Ἀττικῆς δὲ σοφίας ἄλλως ἐμπύρευμα, κἂν δὴ καὶ διακοπείη σου τὰ τῆς φαύσεως· ἀνάγκη γάρ ποτε ἀνθρώπῳ γε ὄντι. Ἀλλ' οὐκ εἰς τέλος ἐκεῖνο τὸ πῦρ ἀπέσβεσται· ὑποσώζεται δὲ ζωπυρούμενον, καί τινος ἀρχῆς λαβόμενον ἐπεγείρεται, καὶ ἀνάπτεσαι, καὶ εἰς λαμπρὸν πυρσὸν αἴρεται. Τοιαῦτα πυρὰ πολλὰ, ἐξυποσμύχοντα, ἀναλάμποντα· ἐξ ὧν ἡμῖν ἀπόθετον τῷ λόγῳ φυλακτέον τὴν τίτανον, ἥπερ ἐπιχυθέντος ὕδατος ἐνεργεῖ κατὰ πῦρ. Λέγεται δὲ καί τις τέχνη τὰς παπύρους ἅμα τε εἰς ὕδωρ βάπτουσα, καὶ ἀχρόνως εἰς πῦρ ἀνάπτουσα. Καί μοι τὴν τέως ἀπόθετον τίτανον ἐν τῷ πρὸς αἰτιολογίαν λαβὼν, μεταχείρισαι· ἐκείνη γὰρ ὑποκαθημένη ἐντὸς, τὸ πῦρ τοῦτο κατά τινα μηχανὴν ταῖς παπύροις ἀφίησιν. Οὕτω δὲ καί σε τὸν ἐμπύριον ῥήτορα βραχύτατόν τι χρὴ ἐνιδρῶσαι τῷ λόγῳ· καὶ ἡ νοτὶς αὕτη αἰθέριον τὸν τοῦ λόγου πυρσόν σοι ἔνδοθέν ποθεν ἀνεκαλέσατο. Μεσορραγῆ κενεῶνες γῆς διασχόντες ἦν ὅτε ὕδατος ἐνεκολπίσαντο χάσματα, καὶ εἰς θαλάσσας ὑπτιάσθησαν· καὶ τὸ ἐντεῦθεν αἰῶνες ἔξ ὅλοι, καὶ τὸ ὑπὲρ αὐτοὺς, καὶ οὔτε τὸ εἶναι οὔθ' ἡ κλῆσις τὴν θάλασσαν ἐπιλέλοιπεν. Οὕτω δὲ ἄρα καὶ σὺ τὸ τοῦ νοῦ — εἴτε κύτος φάναι χρὴ, εἴτε ἄβυσσον, εἴτε καὶ χάος διὰ τὸ τοῦ νοεροῦ τούτου χωρίου πολυχανδὲς — εἰς ὑποδοχὴν πάσης χρηστοηθείας ἐξέθου, καὶ δὴ πάσας λόγου πηγὰς καὶ πάντας ποταμοὺς εἰσεδέξω. Καὶ οὐκουν εἰς θάλασσαν πέρας εἰδυῖαν, ἀλλ' εἰς ὠκεανόν μοι τὰ καλὰ ταῦτα συνέῤῥευσαν χεύματα, καὶ τοῦτον ἀψόῤῥοον, καὶ εἰς ἑαυτὸν κατὰ νοερὰν κύκλωσιν ἐπανιόντα, καὶ κατά τινα στροφὴν ἀκάματον ἑλιττόμενον, καὶ οὐκ εἰδότα πέρας. Οὐκουν τὸ χεῦμα τοῦτο λίποι ἄν σέ ποτε, οὐδ' εἰ βούλοιο, ἅπαξ ἐνδόσιμον. Τὸ κινεῖσθαι λαβὼν ὁ οὐρανὸς, οὐ παύει τὴν κίνησιν. Οὕτω δὲ καὶ ὁ σὸς οὐράνιος νοῦς οὐ παύσεται κινούμενος, κἂν πάθῃ κατὰ τὴν ἀνωτάτω ποτὲ σφαῖραν βραχεῖαν ἀντέκρουσιν· ἀλλὰ μικρὸν, καὶ γίνεται τῶν προτέρων αὖθις, καὶ ὀξυῤῥοπώτερον φέρεται. Γινώσκει καὶ ὁ σὸς ἥλιος νοῦς δύσιν ποτὲ (κατὰ τὸν αἰσθητὸν ᾄδειν Δαυΐδ) καὶ δύεται, εἰς ἑαυτὸν σταλείς· ἀλλὰ μετ' οὐ πολὺ ἀνέσχε, καὶ τὴν προτέραν φαῦσιν ἀπέλαβεν. Ὦ ἡμεῖς, οἷς βράδιον τοιοῦτος ἥλιος φαίνει, καὶ πολυμήνους, οὐκουν ἐξαμήνους τὰς νύκτας τελεῖ· καί τι βραχὺ ἀναλάμψας, καὶ ὅσον ἂν εἰς Θούλην χειμέριος ἀΰθης δύεται. Σὺ δὲ (ἵνα τὴν τροπολογικὴν σκευωρίαν ἀφεὶς, αὐτοῖς ψιλοῖς ἐπιβάλω τοῖς πράγμασι) καὶ σπεύδων τοῖς ἄλλοις, μένεις ἀξύμβλητος, καὶ ῥᾳστώνην ἄγων ἀήττητος· καὶ εἰς ἔργον ἦκων, εἴτε μὴν ἐκ παρέργου τι μετρῶν, τῶν ἄλλων ὑπέρκεισαι· σαυτῷ μέντοι περιμετρούμενος, ὑπεραίρεις, οἷς σπουδάζεις, τὰ πάρεργα. Μὴ τοίνυν τοιαῦτα γράφε, ἀλλ' ἄφιει τὴν γλῶτταν· πλήμμυρε, ὁ ἡμέτερος ὠκεανός· λάμπε, ὁ καθ' ἡμᾶς ἥλιος· καὶ ποίει τὰ σεαυτοῦ. Ὅστις δέ ποτε εἶ, σὺ μὴ· λέγε· ἐροῦσι δὲ ἄλλοι, καὶ οὐδὲ τὰς ψέφους δικάσουσιν· ἐροῦσι δὲ, ὅτι κατὰ πάντων ῥητόρων (ἀλλ' ἀπέστω φθόνος) φέρεις τὰ νικητήρια. Σὺ γὰρ οὐ με ἀρέσκεις· ἀλλ' οὐδὲ πείθεις μὲ, τοιαῦτα κρίνων κατὰ σαυτοῦ. Ἡ Ἀνάχαρσις μὲν, λαμπρὸν ἀττικίζων, τὸν Σκύθην περὶ τοῖς ἀκούουσι ψεύδεται· Γρηγόριος δὲ, ὑπερφωνῶν τοὺς ὅπη ποτὲ ῥήτορας, τὸν οὐκ εἰδότα οὐ ψεύσεται; Τὸν Τυρταῖον ἡ καλλιῤῥημοσύνη μετέγραψε καὶ μετέθετο εἰς Θεόφραστον· καὶ ὁ βοὴν ἀγαθὸς Γρηγάριος εἰς ἄφωνον βάτον γεγράψεται, καὶ ὁ καλλιβόας ἐν ἀφώνου μοίρᾳ τετάξεται; Καὶ τίς ἂν εἴπῃ ταῦτα, καὶ τοῖς αὖτως ἀτίμοις συνθήσεται; Ἔλεγέ ποτε καὶ Σωκράτης, εἰδέναι μηδέν· προσεῖχε δὲ οὐδεὶς ἐκείνῳ τὸν νοῦν. Διάπειρα γὰρ ἐξήλεγχε, σοφὸν ἀποφαίνουσα. Οὐ λέληθας οὖν οὐδ' αὐτὸς, εἰς τοιαύτην πίπτων σοφίαν. Ἑρμῆς ἡμῖν ἄνευ ᾠόγου τετράγωνος ἵδρυσαι. Μὴ γοῦν δέδιθι τὴν μετάπτωσιν· μενεῖς γὰρ εἰς τὸ πᾶν ἑδραῖος, καὶ οὐκ εὐμετακίνητος. Μουσῶν οἰκητήριον εἶ· οὐκ ἂν οὖν σε προλίποιεν, ἐπαναπεπαυμέναι καθάπαξ ἐν σοί. Ἡ Ἑλικὼνα μὲν καὶ Λειβηθρίους οὐκ ἤθελον προλιπεῖν, οὐκ ἄξια λόγου χωρία, Μούσαις ἐπονομαζόμενα· σὲ δὲ, καλὸν οὕτω λόγου χωρίον εὑροῦσαι, προλείψουσιν; Οὐχὶ πάντως· ἀλλὰ καὶ μένοντι συμπαραμενοῦσι, καὶ ἀποδημοῦντι συνεκδημήσουσι, καί σε τοῖς πάλαι ποτὲ σοφοῖς κἂν τοῖς τοιούτοις

ἀνείμμαν θήσουσιν· εἴπερ οὐ μόνον οἶκοι μένοντες, ἀλλὰ καὶ ὅπη ποτὲ ἀπιόντες, Ἑρμῇ καὶ Μούσαις ἐμέλοντο. Ἐξεστρατεύετό ποτε Περικλῆς· οὐδὲν δὲ ἧττον ἐβρόντα τοῖς λόγοις, ὥσπερ ἀγοράζων ἐν εἰρήνης καιρῷ, οὕτω δὲ καὶ στρατοπεδευόμενος. Ὑπερόριον πόλεμον ὁ γλυκὺς ἐπονεῖτο Ξενοφῶν, καὶ πολλὴν γῆς ἐμέτρει περίοδον· εἶχε δὲ συμπαριπτάμενον τὸν Ἑρμῆν, καὶ ὁ τῶν Μουσῶν αὐτῷ συνεσκήνου χορός· καὶ οὐδέν τι τοῦ λόγου παρέσπαστο, οὐδὲ χρόνιος ὢν τοῖς βαρβάροις, τῆς Ἑλληνίδος παιδείας ἐξέπεσεν ὑπερόριος. Ἔφευγέ που Δημοσθένης ἐξ Ἀθηνῶν· ἀλλὰ τὸν ῥήτορα συνεπήγετο. Τί σοι δοκεῖ τὸν ποιητὴν τὰ μακρὰ τῆς ἀποδημίας περὶ τὸ μεγαλόφωνον εἰνασθαι; Εἰ μὴ ἄρα καὶ πρὸς ὕλην λόγου λαμπρὰν τῇ ποιήσει συνελαμβάνοντο. Οὐδὲ Θεμιστοκλέους τὴν γλῶτταν ἡ περὶ τὰ τοιαῦτα φροντὶς ἐβαρβάρωσε. Μικροῦ δεῖν ὁ τῶν ἄλλων κορυφαῖος Πλάτων, Ἀθήνηθεν τὴν εἰς Σικελίαν στελλόμενος, ἔλαθεν ἂν παρεκκλίνας τὴν μάχην. Ἀλλ' ἰδοὺ ὡς ὑπὸ πειρατῇ τῷ λόγῳ καί σοι πάρεστιν ἐξελέγχειν, εἴ τι τὸν ἄνδρα τὸ ἀπόδημον βλάψοι. Καὶ μὴν οὔτε παρενεπόδισε τὸν τῆς σοφίας κρατῆρα, ὑπὲρ δὲ τὸν Αἰτναῖον (ὡς ἄν τις εἴπῃ) προσεξεφύσησε, καὶ ἀνῆψε φανότερον. Οὔκουν οὐδέ σε τυχόντα τὰ πράγματα τῆς ὀρθοῦ κατὰ φιλοσοφίαν ὁδοῦ περιπλάγξουσιν, οὐδ' ὡς τὰ τῶν ἀνερματίστων, καὶ ὅσα μὴ φόρτῳ βριθᾶται, σαλεύειν βιάσονται. Ὑπὸ καλῷ σκίπωνι βαίνεις. Ἑρμαϊκὴ βακτηρία τὰς βάσεις ἐν ἀσφαλεῖ σοι καθίστησιν. Οὐ τοίνυν πρόσκομμα πάθοις, κἂν ἐρισφαλές σοι τὸ τῆς ὁδοῦ. Πολλοῖς ἀγωγίμοις βρίθεις· ὑπ' ἀγαθῷ ἀρχιτέκτονι ἐκπεπόνησαι. Κατατόλμα γοῦν τῶν πραγμάτων· ὀρχοῦ κατὰ κυμάτων, ἐκπετάσας ἱστίον πόμπιμον. Διακυβέρνα σαυτὸν ἀῦπνοις τοῖς κατὰ ψυχὴν καὶ νοουμένοις ὄμμασιν, ἅπερ ἐγὼ πλείω περί σε θεωρῶ, ἢ περ ὅσα κατὰ σῶμα περὶ τὸν ἀλλοφυῆ Ἄργον, τὸ πολυωπὸν τέρας, ἐπέμφαινον· ὃν ἡ ποιητοῦ πλαστικὴ εἰς πολλοὺς ἤνοιξεν ὀφθαλμούς, καὶ βρύειν ὥσπερ πολλαῖς ἐποίησεν ὄψεσιν, εἰς μυρία ὄμματα κατατρήσασα, ὡς διαῤῥεῖν οὕτω τὸ ὀπτικὸν τοῦ ὅλου σώματος, ὡς ὅτε πολυτρήτου τινὸς ἀναγωγέως ὕδωρ πολύῤῥουν ἐξακοντίζεται. Ἀλλὰ ταῦτα μὲν οὕτω πρὸς τὸ πέρας πέπαικται. Σὺ δὲ εἰ καὶ μὴ οὕτω πολυόμματος, ἀλλ' ἄλλῳ τρόπῳ τῷ συνεχεῖ καὶ ἀκαμάτῳ τῆς θεωρίας ὑποβάλλει; τὸν Ἄργον· οὐδέ σοι ὕπνος ἐπὶ βλεφάροις κεῖται (τοῦτο δή κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα), οὐ Πλειάδας εἰσοχῶντι καὶ Ὑάδας καὶ σθένος Ὠρίωνος (καὶ ταῦτα μὲν γὰρ θεωρητικώτερον), ἀλλ' ἐπὶ μᾶλλον βίβλοις προστετηκότι, καὶ τὰ ἐν αὐταῖς οὐράνια κάλλη προσβλέποντι ἀνακεκραμένῳ καὶ ἀγρύπνῳ τῷ ὄμματι· ἀφ' ὧν ἅπλετος ὅση φωτὸς οὐσία ἐπεισκέχυταί σοι χάριτι τοῦ μεγάλου τῶν φώτων πατέρος. Μή μοι τοίνυν πρόφερε ζάλας, ὁ τὰ ἐνταῦθα τεχνικῶς διακρινόμενος κύματα· μὴ ταράχους, ὁ καθιστῶν ἑαυτὸν, ὅπῃ καὶ βούλοιο· μὴ φροντίδας, ὁ πολύφρων τε καὶ ἀγχίνους· μὴ τὸ ἄσχολον, ὁ θεωρητικώτατος· μὴ ὁ πραγματικώτατος πράγματα· μήπου, εἴ τι καὶ λέγειν ἔχεις τοιοῦτον, ὁ κατὰ πάντων πολὺς, καὶ οὗπερ μηδέν τι τῶν ἁπάντων τὴν ἐν λόγοις εὐτεχνίαν ἐκκρούεται· μηδέ, ὅτι μακρὰν γίνῃ τῶν βίβλων, προῖσχου, βίβλος ἢ ζῶσα καὶ ἔμψυχος· μᾶλλον μὲν οὖν, ἡ τῶν λόγων πλήθουσα γάζα, τὸ πολυτίμητον βιβλιοφυλάκιον. Ἡ γὰρ ἂν αὐτὸς ἀποσταίης σαυτοῦ, εἰ τοῦτο πείσεις ἡμᾶς. Πείσεις δὲ ο[ὐκ]. Οὐδὲ γὰρ ἂν οὐδὲ αὐτὸς ἀποσταίης τὴν καινὴν ταύτην ἀπόστασιν. Τετόλμηκα, λελάληκα, προσπεφώνηκα τὸν ἐν λόγῳ πολὺν ὁ ἐλάχιστος· μᾶλλον μὲν οὖν τὸν ἐν σοφίᾳ πάνυ ὁ τὸ μηδέν. Καὶ οἶδα μὲν, ὅτι φίλα σοι ἀφίξονται, τοῦ μέλλοντος ἐντρεπόμενος, εἰ καὶ διαδόσιμα τοῖς ἄλλοις ποιήσεις, καὶ δημοσιεύσεις τὰ καθ' ἡμᾶς, καὶ ἀπελέγξεις, ὅσους ἡττώμεθά σου· καὶ οὕτω λαμπρὸν θρίαμβον καταγάγῃς ἡμῶν. Ὡς δ' ἂν ἔχοι, χαῖρε ἐν Κῷ, μεμνημένος ἡμῶν ἐπ' ἀγαθῷ, φίλτατε.

Τοῦ αὐτοῦ ἠθοποιΐα.

Ποίους ἂν εἶπε λόγους Ὁμωκήσων, δτε τῇ ἐκαύριον μετὰ θάνατον τοῦ πολλὰ σφεργετήσαντος αὐτὸν ἀγιωτάτου πατριάρχου κυρίου Μιχαὴλ, τοῦ τοῦ Ἀγχιάλου, λουόμενος ἀφῃρέθη ἐξ ἀποστολῆς τοῦ μεγάλου οἰκονόμου τοῦ παντεχνῆ τὸ ἔξω στρῶμα καὶ τὰ ἱμάτια καὶ λοιπὰ, τὰ ἀστείως αὐτίκα δοθέντα πτωχοῖς.

Ἀνεξίκακε σῶτερ, ἀνέχου, μὴ καὶ κακὸν μοι γένοιτο πλεῖον· ἀλεξίκακε Θεὸς, ἀποσοβηθείη καὶ ἡ φαινομένη αὕτη κάκωσις. Ἀλλὰ τί δή ποτε τὰ παρόντα; Φαντασία τις ἄλλως καὶ δόκησις, ἢ πρὸς ἀλήθειαν ὑφεστήκασιν; Ὅναρ ἀναπλάττεται, ἢ ὕπαρ τοῖς ὀφθαλμοῖς παρίσταται; Εὐσχήμων ἦλθον· κοσμίως εἶχον, περιβολήν τε φέρων, ὁπόση τρυφερευόμενον σῶμα παράκειται, καὶ λαμπρότητα καὶ ἄλλην ὑπὲρ ἀξίαν (ἀλλ' ὅμως) ἐπαγόμενος. Τάπης ἀνθηρόχρους ὑφήπλωτο, λειμώνος περιφαίνων ὄφιν, οἷς ὅσα καὶ ἄνθεσι ποικίλοις διελάμπετο βάμμασι. Στρῶμα ὁ τάπης ἀνεῖχεν, οὐ Μιλησίοις ἐστοιβασμένον ἐρίοις, ὁποῖα καὶ ταῦτα εὐαφῆ καὶ ἁγαθὰ μαλακῶς ἐγκαθεύδειν· ἀλλὰ σεσαγμένον ἔνδον ἄνθεσι φυτῶν, ἃ σπείροντες ἄνθρωποι, εἶτα τὸ ἐπανθοῦν ἐριῶδες [σὺν] πόνῳ συλλέγουσι, παρευδοκιμοῦν τὴν τῶν ἐρίων χρῆσιν τὰ εἰς τρυφὴν ἀνακλίσεως. Τὸ δὲ ἐπιπολάζον λίνεαν, ὡς ἐπεγξύειν τὸ στρῶμα, ἐχρῆν μὲν εἰς μελανίαν βεβάφθαι σκυθρωπότερον, διά τε ἐμὲ βίου τοιούτου ἄνθρωπον, καὶ διὰ τὸ πάθος, ἧ καὶ πένθος, ὃ μοι ἄρτι προσήρμοττε· τὸ δὲ, ἀλλὰ λευκὸν μὲν ἦν, ὡς ὁ ἥλιος, τὴν λεπτουργίαν, ὁποῖον ἀράχνης τεχνάζεται. Ἦν καὶ ἡ τῆς κεφαλῆς ἀνάπαυσις τοῦτῳ ἐφάμιλλος, ὡς ἀνακείμενόν με μὴ ἐπιφαίνεσθαι, ἀλλὰ τῇ τῶν ὑποκειμένων ἀπαλότητι ἐγκαταδύεσθαι, ἢ, οὗ καὶ μᾶλλον ἐγὼ ἐπάξιος δοκεῖν, μνημείῳ τινὶ ἐγκαταχώννυσθαι. Ἦσάν μοι ταῦτα οὕτω σεμνά. Αἱ δὲ σινδόνες (τὸ παραπέτασμα τῆς στρωμνῆς) ἄκραι μὲν Σηρικαῖς ἐνέλαμπον κρόκαις, καὶ ταύταις ἀλουργοῖς, καὶ οἷαις οὐκ ἂν ἀπαξιώσῃ τρυφῶν ἀνήρ. Εἶπεν ἄν τις βλέπων αὐτὰς μὲν Ἰρίδων δίκην παραλλήλους κεῖσθαι, τὸ δὲ μέσον, φῶς οἷον εἶναι· οὕτως ἀκράτως ἦν λευκόν. Ἡ δὲ λεπτότης — ἀλλ' οὐκ ἂν εἶπεν ὁ ἰδὼν ὑφασμα βλέπειν, ἀλλὰ πεφωτισμένον ἠλίῳ ἀέρα, ἀμεσολάβη-

τον σώματι. Ἡ δὲ στιλπνότης ἀπολείβειν (ὅ φασιν) A σύνης γὰρ οὐ νόσος ἀντεδόθη πρὸς κόλασιν, ἀλλ' ἐξω-
δόκει ὑγρὸν ἔλαιον. Καὶ ἐκεῖνος χρῆμα καλὸν ἐπὶ τερικοῦ κόσμου ἀφαίρεσις. Μήποτε δὲ καὶ ὡς οἷά τι
καλῷ τῷ στρώματι αἱ σινδόνες, δυσωπούμεναι τὸν φυτὸν ἀχαριστίας τῶν ἐπανθούντων περιθέτων, ὅσα
θεατὴν, πόῤῥω που μένειν, ὡς μὴ ὅτι γε ἐγκαθευ- καὶ φύλλων, ἀπογεγύμνωμαι· ἢ καὶ ἄλλως εἰπεῖν,
δῆσαι, ἀλλὰ μηδὲ εἰς τὸ πᾶν ψαῦσαι, μὴ καὶ χραν- φυλλορῥοῶ τὴν εὐκλειαν· τάχα καὶ ὡς παραδείσου
θείη τὰ οὕτω τίμια. Τὸ δὲ ἐπικείμενον, εἴτε δάπιδος τρυφῆς ἄξιος ἐκπεσεῖν. Τὴν παροῦσαν ἐπέγνων
αὐτὸ εἴτε καὶ κοινῶς ἁπλώματος νοήματι σεμνύναι γύμνωσιν· μή μοι δὲ γένοιτο καὶ εἰς τὸ ἀρχαῖον
χρὴ, οὐκ ἂν ἄχρι ταχείαν ἐκφρασιν· ἐκεῖνο δὲ εἰπεῖν ἀποκατάστασις. Πένθος χθὲς καὶ ἦχος κλαιόντων
ἀρκεῖ, ὡς ἄρα, ὃν τρόπον ὑπερθεν τῶν λοιπῶν ἔκειτο, καὶ βαρυθυμία· καὶ ταῦτα περὶ ὅλην τὴν τοῦ Θεοῦ
οὕτω καὶ τῶν λοιπῶν ὑπερέκειτο. Σκεύη ἐπὶ τούτοις ἐκκλησίαν· καὶ ἡ κατάστασις αὕτη καὶ σήμερον.
τὰ μὲν ἀπὸ γυμνοῦ χαλκοῦ, τὰ δὲ καὶ γεγανωμένα Ἀλλὰ καὶ εἰς μακρὸν ἔτι παραμενεῖ. Καὶ ἡμεῖς μὲν
κατειτέρου φανότητι, καὶ τὸν ἄργυρον καθυποκρινό- ἐν τρυφαῖς, οὓς ἔδει λίαν ἄζεσθαι δάκρυσιν. Οὐκοῦν
μενα. Εἶπεν ἂν ὁ ὁρῶν, αὐταῖς ἐναπομένειν τὴν ὄψιν. ἐνδίκως ἡ δίκη μετῆλθεν ἡμᾶς. Κεῖται ἀνὴρ αὐτό-
Ἔστιλβον γὰρ καὶ ὑπὲρ αὐτὰ κάτοπτρα. Θήκη μύρου χρημα σοφία καὶ ἁγιωσύνη, οὗ τὸ μεγαλεῖον οὐ μό-
στακτοῦ, ὁποῖόν τε ἀποβλύζει ῥόδων, καὶ ὅπερ οἶνος νον εἰς ἀρχιερατικὸν θρόνον ἀνυψωθέντος ἐξεφάνη,
σκευωρεῖ φαρματεύμενος εὐώδεσι μίγμασιν. Ἀνάφο- B ἀλλὰ καὶ πρὸ αὐτοῦ τὴν οἰκουμένην ἐπλήρου. Καὶ οἱ
ρον καλὸν ἰδεῖν, πλατὺ χωρῆσαι. Καὶ ἦν αὐτὸ θήκη μὲν ἄλλοι ἐννοούμενοι τὸ πάθος δάκρυσι λούονται,
χιτῶνος, ὃν οὐκ ἂν εἴποί τις χεῖρας καμεῖν, καὶ ὑφ- καὶ τὸν πανθητήριον ῥόδουσιν· ἡμεῖς δὲ τὸ ἐμπαλιν
ασμάτων δὲ λασίων (ὡς ἂν εἴποιμεν) τῷ ἀπὸ λίνου τρι- σκεύσαντες αἰσχύνην ὄφλομεν. Ἑδράμομεν βίου
χώματι, ἃ χρὴ τὸν ἤδη λουσάμενον περιτίθεσθαι, ὡς ὁδὸν, ἐφ' ᾗ οὐκ ἔστιν ὃς οὐκ ἂν νεμεσήσειε· καὶ
ἀπομάττεσθαι τὴν ὑγρότητα. Καλὰ τὰ πάντα, καὶ βραβεῖον ἡράμεθα, καὶ τὸν ἀγωνοθέτην περιόντα διὰ
τιμὴν πολλὴν εὑρίσκοντα. — Ταῦτα ἐκλεξάμενος θαύματος ἤγαμεν· ὡς δὲ ἀπῆλθε λυθέντος τοῦ θεά-
(πολλὰ δέ μοι παράκειται, καὶ αὐτὰ τεραστίως, καὶ τρου ἐκεῖνος, ἐξελαθόμεθα. Οὐκοῦν θέατρον γινό-
ὡς οὐκ ἂν ἤλπιζον), εἰχόμην τὴν εἰς τὸ βαλανεῖον. μεθα ἐπὶ γέλωτι, καὶ γυμνικὸν οἷον ἄθλον τοῦτον
Καὶ τέως ἡ ὁδὸς εὐθεῖα, καὶ εἶχέ με τὸ κατάντημα· ἀσχημοσύνης ἀνύομεν. Ὦ ἡμερῶν ἐκείνων, ἐν αἷς
καὶ σωρὸς τῶν σκευῶν ἔκειτο· καὶ [αὐ]τὸς ἀποδυσά- ἦμεν περίβλεπτοι τῷ λαῷ, τοῖς τοῦ ἱεροῦ συλλόγου,
μενος, καὶ τὴν στοιδὴν ἐπαυξήσας, οἷς προσεθέμην τοῖς; ἐν ἀξίαις βασιλικαῖς· τὸ πᾶν εἰπεῖν, τοῖς ἅπασι.
τὰ τοῦ ἱματισμοῦ, ἐχώρουν ἔσω. καὶ τῶν θερμῶν Νῦν δὲ οὐκ ἔστιν εἰπεῖν, ὅσον περιπεφρονήμεθα. Ὦ
ὑδάτων γίνομαι. Καὶ τὸν ῥόπον ἀποσύρας, καὶ εἰς χρυσὸς ἐκεῖνος ὁ καθημέριος, οἷοικα; ἤδη θέλειν ἐπι-
καλλονὴν καταστὰς ἡλίῳ ἀντίρριμον, ὃς καὶ αὐτὸς C λείπειν ἡμᾶς. Ἡμεῖς δὲ ἄλλως; τῆς ἐλπίδος εἴχομεν.
λαμπρὸν παμφαίνει ὠκεανοῦ λουόμενος; ὕδασιν, ἐζή- Ὦ τιμαὶ καὶ θρόνων παραχωρήσεις καὶ ὁδῶν ὑπεκ-
τουν ἀναδῦναι μὲν τοῦ ἔνδον ἁλαμποῦς, ἀνατεῖλαι δὲ στάσεις, καὶ ὅσσις ἄλλοις ἡμεῖς χθὲς που καὶ πρῴην
οἷον φαυστήριος. Καὶ τοῦτο μὲν εἶχον αὐτόθι. Ζητη- ἦμεν ἐμπρέποντες· οὐκ ἐκληρονομήσαμεν ὑμῶν. Οὐ
θὲν δὲ τὸ λουτήριον, τὸ περίβλημα, ἔστιν οὐδαμοῦ· παρεμείνατε καὶ εἰς τέλος, ἀλλ' ἤδη ἀναχωρεῖτε,
ἀλλὰ καὶ αὐτὸ ἄφαντον, καὶ ἡ λοιπὴ δὲ ἀποσκευή. ἀλλὰ δραπετεύειν ἔοικατε. Νῦν ἐμαυτοῦ γέγονα· νῦν
Τί δὴ ταῦτα; Πόθεν μοι τὸ κακόν; Ἅρπυιαι ἀνε- ἐπανῆλθον εἰς νοῦν. Μόλις ἔγνων, οἷου ἀγαθοῦ ἐστέ-
ρείψαντο, καὶ οὐκ ἂν πτερωταὶ παρεισθῦσαι ἐλάνθα- ρημαι, οἵας εὐετηρίας ἐκπέπτωκα. Οὐκέτι ἀποβλέ-
νον· ἀλλὰ χανοῦσα γῆ ὑπεδέξατο. Καὶ οὐχ οὕτως πομαι· μενοῦν γε καὶ περιβλέπομαι. Εἶλκον πολλὰ
ἡμεῖς τοῦ κατὰ σεισμὸν πάθου; δυσαίσθητοι· ἀλλὰ τῶν ἀλλοτρίων περὶ ἐμέ· νῦν δὲ καὶ τὰ παρόντα
πῦρ ἀνάλωσε, καὶ ἤλεγχεν ἂν τέφρα τὸ τοῦ πυρὸς οἴχεται. *Γυμνοτέρους ὑπέρου* λόγος παλαιὸς φη-
ἔργον. Τί δὲ ἀλλὰ φῶρες λαθόντες ἀπήγαγον τὰ ζη- σιν· ἡμεῖς δὲ οὐκ οἶδα εἰ καὶ αὐτοὶ κεισόμεθα εἰς
τούμενα; πῶς δὲ ἂν κλοπεὺς τοσοῦτον ἄχθος; οὕτω παροιμίαν, οὕτω καταπαιχθέντες; εἰς γύμνωσιν. Κα-
λαθὼν μέσης ἡμέρας ἄροιτο; Ἀπαγωγὴ τὸ πρᾶγμα λὸν ἡ καλαιὰ ἡμῶν γυμνιτεία μακαρισμοῦ εἶχε
λῃστρικὴ, ἐφόδου πολεμικῆς ἔνδειξις, θαῤῥαλέου πλάσμα· ἐχρωμάτιζε τὸν ἐν βίῳ σπουδαῖῳ ἀπέριτ-
ἅρπαγμα. Οὐ ταῦτα δόλος, οὐ λαθραία ὑφαίρεσις· D τον. Ἡ δὲ γύμνωσις αὕτη κατὰ τὴν ἐκ κοιλίας μη-
ἀλλὰ μελέτη, ἀλλὰ σκέμμα· καὶ ἡ βίας ἔργον, ἡ τέρος καθίσταται. Ἤδη τις καὶ γυμνοσοφιστεύειν
παίγνιον. Σκοπητέον· καὶ δὴ μὴ μόνον, πόθεν μοι τὸ ἡμᾶς; μυκτηρίσειεν. Ἔστιν ἄρτι καιρὸς λέγειν·
κακὸν, ἀλλὰ καὶ τὸ αἴτιον. — Ὦ μοι· συνῆκα τοῦ ἐξεδυσάμην τὰ ἱμάτιά μου· πῶς; ἐνδύσομαι αὐτά;
ἀτοπήματος, ὅθεν βέβλαμμαι. Ἡρὸ ὀφθαλμῶν ὁ ἔλεγ- Φαῦλος οἰωνὸς τὰ παρόντα, μὴ καὶ εἰς τὴν λοιπὴν
χος. Γυμνὸν ὥσπερ μοι τὸ σῶμα, οὕτω καὶ τὸ τῆς οὐσίαν μοι τὸ κακὸν διαβήσεται, καὶ ἀρχὴ ταῦτα
ψυχῆς πταῖσμα, καὶ ἡ καταδίκη ἔξω μέμψεως. Ἀγα- μειζόνων ἔσται κακῶν. Ἰωσὴφ ἐγυμνοῦτο-μὲν, ἄλ-
πητὸν, εἰ μὴ προοίμια ταῦτα κακὰ μεγάλων ἀγώ- λον δὲ τρόπον ἐσεμνύνετο· ἐμοὶ δὲ οὐκ οἶδ' ὅπως ἂν
νων. Ἀγαπήην ἄν, εἰ μέχρι τούτου μοι ὥρισται τὸ τὸ πάθος τις ἐγγράψηται. Χιτῶνα πολυτίμητον εὐ-
κακόν. Δίκη τὰ παρόντα θεόθεν· τοῦ πλεονεκτεῖν φροσύνης περιετιθέμην· ἀλλ' ὅτι τὸν ἐξυφάνατα
ἀνταπόδομα· ψυχῆς οὐκ εὐχαρίστου ποινή· ἀδικίας περιπεφρόνηκα, ὅτι γυμνῇ τῇ κεφαλῇ (ὅ φασιν) ἀπη-
ἀντέκτισις· ψυχῆς χ[ώλωμα] ἐφαμάρτου ὀξύῤῥοπον, ναιδευσάμην, πάσχω τὴν ἐν γελοίῳ ταύτην γύμνω-
ὡς τὰ πολλὰ ἔχει τὴν κάκωσιν. Καὶ αὐτὸ μὲν οὐκ σιν. Ἐχρῆν δὲ ἄρα τὸν σπεύδοντα πληροῦν τοὺς
ὀρθὰ βαδίζει, τὸ δὲ σῶμα σφαλλόμενον σκύλλεται· κώλπους, ὧν μὴ ἐχρῆν, αὐτοῖς κώλποις τὴν ἅπασαν
ἀλλ' ἐμοὶ φιλανθρωποτέρα ἡ ἐπεξέλευσις. Ἀγνωφο- ἐλέσαι σκέπην, καὶ εἰς τοῦτο καταστῆναι γυμνώ-

σεως. Ὦ μοι γέλωτος· οἷον ὑθρίσθην ἄρα. Ταύτην Α ἐγὼ τὴν γύμνωσιν καὶ ὑπὲρ ἐκείνην ἡγοῦμαι, ἣν γελάσας χαμαὶ ἐπέστραπτο. Κριτήριον φρικτὸν ἐκεῖνο τὸ ἐπὶ πᾶσιν, ἐν ᾧ τὰ γυμνὰ καὶ τετριχηλισμένα. Ἐγὼ δὲ καὶ αὐτὸς ἄρτι παρὰ ἀγαθοῖς κριταῖς τοιαύτῃ γυμνάτῃσι κατακέκριμαι. Λιχνείας ταῦτα ποινὴ λυπήματα. Οὕτω τοὺς παραπεσόντας γυμνοῦν ἐγώ ποτε ἤθελον. *Ἱμάτιον ἔχεις· ἀρκητὸς ἡμῶν γενοῦ.* Ἀλλ' οἱ τεταγμένοι παρ' ἐμοὶ τὸ ἀνάπαλιν ἐπιφωνήσουσιν. Ὁ τῆς ἐκκλησίας κόσμος ὑπαλλαγεὶς μετεκοσμήθη, καὶ τὸ κατ' ἐμὲ σχῆμα μετέλαβεν ὁ ἰσόγγελος τὸ ἀγγελικὸν, ὁ τῷ Θεῷ ἐγγίζων τὸ εἰς Θεὸν ἀνάγον. Οὐκοῦν ἐχρῆν ἐμὲ μηκέτι μένειν ἐπὶ τοῦ αὐτοῦ, ἀλλὰ μεταχρωσθῆναι, ἀλλὰ μεταθέσθαι τὴν θέαν, μή καὶ κοινόν τι φαινοίμην μηδ' ἐνταῦθα πρὸς ἐκεῖνον ἔχων. Καὶ τοίνυν διεξέπεσον παντὸς περιβλήματος. Ὃ μὲν γὰρ εἶχον, οὐκέτι ἔπρεπεν. Ἐκανακάμπτειν δὲ εἰς τὰ πρῶτα, οὐκ εὐχερές. Ὅτι μὴ γυμνὸς ἦν τῇ ἁπλότητι, ἀλλ' ἐβαθυνόμην εἰς ὕστερον, κατεκρινόμην τὰ τῆς βλεπομένης γυμνώσεως. Γυμνὰ; οἱ ζωγραφοῦντες τὰς Χάριτας γράφουσι· καὶ τοῦτο αὐταῖς συμβάλλου] παράσημον. Ἀλλ' ἡμῖν αὐκ ἐπίχαρις ἡ γυμνότης, ἀλλ' ἔξω χάριτος. Ἔοικε νόμος οὗτος εἶναι καὶ τῆς μετὰ βίον θαλάττης, τοὺς ἐν αὐτῇ γυμνουμένους ἐγκοβιστᾶν. Κυβιστῶ δὲ ἄρα κατὰ τοὺς ναυαγοὺς, οἷς παντελῶς ἐπιλέλοιπε τὸ περίβλημα. Μακαριώτατε καὶ ἀγχίθεε δέσποτα, δι' ὃν ἡμῖν ταῦτα ἐπεύδυτης οἷον μόνος παράκειται, καὶ πολὺς κλύδων οὗτος περὶ ἡμᾶς, εἰ καὶ θερμὸς, ἀλλὰ ῥιγεδανὸς ἄλλως, καὶ διὰ τὸ φρικαλέον ψυχρὸς — οὐκοῦν ὀφέ ποτε φρονοῦντα περίσωζε, καὶ ὡσεὶπερ ὀλιγοπίστους ῥύου τῆς ζάλης, ἣν πάσχομεν· μὴ ἐξομοιωθῇς, οἷς πταίομεν. Ταχὺ ἐπελαθόμεθά σου· ταχὺ τὰς εὐεργεσίας σου ἀπηλείψαμεν τῆς μνήμης. Οὐ δεισαποιοὺς ἀνεμαξάμεθα εἰς ψυχήν· θᾶττον ἡ λόγος ἡ χάρις; τέθνηκε. Σὺ δὲ ἀλλὰ βραδὺς γενοῦ πρὸς ἀντίποιναν. Τρόπον τινὰ καὶ αὐτὸς ἀγνωμόνως ἐτύφλωττον· νῦν δὲ ἀλλὰ λουσάμενος; καὶ παθὼν, ἅπερ ἐχρῆν, ἀνέβλεψα· καὶ προκαλοῦμαι τὸν σώζοντα, καὶ τῇ ἀγνωμοσύνῃ μου συγγνωσόμενον. *Λούσασθε· καθαροὶ γένεσθε.* Ἀλλ' ἐμοὶ οὕτω λουσαμένῳ ῥύπος ἐντέτριπται καὶ σπίλος ἀνέκπλυτος. Ὕδατα πηγάζοντα πιστεύσαντες ἑαυτοὺς, ἀλέθριον αὐτὸ εὑρομεν. Κοινοῦμαι τὸ πάθος τῷ ἐξ Ἰθάκης Ὀδυσσεῖ, γυμνῷ κατὰ θαλάττης φερομένῳ, καὶ καραδοκοῦντι κίνδυνον καὶ τὸ ἐξ ἁλμης ἀνέκβατον. Εἰ δὲ τὸ τῆς Ἰνοῦς ἐκεῖνον ὑπὸ τὸ στῆθος ἔσκεπε κρήδεμνον, ἰδοὺ βραχύ τι καὶ ἡμῖν τὸ σκέπον περιλέλειπται. Κινδυνεύομεν ἐν γῇ ταύτῃ, ὡς οἱ ναυτιλλόμενοι περὶ θάλατταν. Ὦ εὐσχημοσύνης τῆς πρώην, ὦ ἀσχημοσύνης τῆς ἄρτι· ὦ τιμῆς ἐκείνης, ὦ ταύτης ἀτιμίας· ὦ τοῦ παλαιοῦ πρέποντος, ὦ οἷα ἡ παροῦσα ἀπρέπεια. Ἀντεκυλίσθη μοι ὁ τοῦ βίου τροχὸς· γυμνωθεὶς αἰσχύνην ἐνδέδυμαι. Τί πλέον πάθοιμι ἂν τεθνηκὼς, ἐὰν ἐπίθωνται λωποδύται τυμβωρυχήσοντες; Δοκῶ μοι τὸν ἁφαρπάσαντα μὴ πρὸς κέρδος οἰκεῖον ταῦτα νοσφίσασθαι, ἀλλὰ διαδοῦναι τοῖς ἐν ἐνδείᾳ, καὶ τὸ ἐμοὶ ἐνδέον ἀποπληρῶσαι, καὶ ἀντισηκῶσαι τὸ ἀμεταδότον. Οὕτω σοφίζεταί μοι ἡ τύχη· οὕτω δυστυχῶς μεθοδεύομαι. Προορῶμαι διαμαρτιζόμενόν μου τὸν ἱματισμὸν, χάριν, εἰ καὶ ἀνθρώπους, εἰς οὓς ἐγὼ πεπανούργηκα. Τάχα γὰρ οὕτω παρδάνανες κωφήσουσι τοῦ θυμοῦ, καὶ τῆς κατ' ἐμοῦ ὀργῆς σχάσουσιν· ὡς, εἰ μὴ τοῦτο, τῶν γε παρόντων (φεῦ μοι) ἐστέρημαι, καὶ οὐδὲ εἰς τὸ μέλλον τὸν ὄγκον ἀποστείσομαι. Τί τοίνυν καὶ βουλεύσωμαι; Ἀνακαλέσομαι τὴν ἐθάδα τέχνην, καὶ τοῦ νοσφίζεσθαι γένωμαι; Περιβαλοῦμαι πορισόμενος ἑτέρωθεν κλέμματα, καὶ τάχα φωραθεὶς δίκην δώσω μείζονα; Οὐκ ἔστι μοι. Ταῦτα θερμὰ ὕδατα ερυφῶντος ἀνδρὸς καὶ χαίροντος, ψυχροῦ δὲ οἷον ἀπορρῶγες ἐλέξοντες. Χαρώνεια λουτρὰ τεθνεῶσι προστήκοντα, οὐ γλυκέα· πικρᾶς δὲ ἅλμης ἀπόῤῥοια, οὐ λοστρὰ θυμήρη κατεχεάμενα· κύματα δὲ ὥσπερ κατὰ κρατός γε κατ' ὤμων οὐχ ἡδὺ κελαρύζοντα. Ναυαγός τις ἐγὼ δυστυχὴς. Πολὺς μέν μοι ὅλμος· ἀλλ' ἐγὼ τὰ παρεσχόμενα θρηνῶ, οὐ μόνον οἷς ἐκ παλαιοῦ ἐνεῤῥίγωσα (οἶχεται), ἀλλὰ καὶ τὰ πρὸ μικροῦ θέλποντα· καὶ ἀνάγκη πᾶσα, ἑτέρως χρήσασθαι. Καὶ ἔστι μοι τοῦτο ταυτὸ καὶ θανεῖν. Κατακερύψαι γὰρ θησαυρὸν, καὶ αὖθις ἐκφῆναι, ἄριστον, ὡς εἴ τι καὶ νεκρὸν ἡλίῳ δεῖξαι τις. Μήποτε καὶ κολοιῷ, τῷ τοῦ μύθου, παρόμοια πέπονθα· καὶ τίνας μὲν τῶν ἐπτερωτισμένων πτίλων, μικρὸν δὲ ὅσον καὶ τῶν ὑποκροπτοσμένων γυμνὸς περιελεύσομαι. Πῦρ οἷον τὸ θερμὸν ὕδωρ τοῦτο τοῖς ἐγκάτοις μου ὑπανάπτεται· ὅσσον ὁ πελάσας θερμαῖς τούτοις ὕδασι ταυτὸν πάσχειν, ἐφ' οἷς περιβέβληται, ὁποῖον καὶ τὰ ζῶα τὰ ἁλιπτόμενα ζέουσιν ὕδασιν. Ὁ πλούσιος, πυρὶ τηγανιζόμενος μετὰ θάνατον, οὐκ ἂν ἔχοι τὸ μεῖζον πάθος ἡμῶν. Ἐγγὺς Ἀγαμεμνονείων τὰ τοιαῦτα λοῦτρα, εἴγε μικροῦ καὶ θανάσιμα· πλὴν ὅσον Ἀγαμέμνονι μὲν εἶχεν, ὃ ἐπενδύσεται· ἡμᾶς δὲ τὸ πᾶν ἐπιλέλοιπεν. Ἄκοντες ἰδοὺ τάχα σωζόμεθα, ἤδη καὶ τὴν ἐντολὴν ὑπεραίρομεν, οὐ μερίζοντες ἐκ δύο χιτώνων εἰς δόσιν τὸν ἕτερον, ἀλλὰ καὶ τῶν ὅλων στερούμενοι. Εὔθετοι πρὸς τὴν στενὴν καὶ τεθλιμμένην γινόμεθα, οὐχ ὅτι μὴ σαρκῶν ἡμεῖς ἔμφορτοι· οὐχ ὅτι σφηκώδεις· οὐχ ὅτι τὴν πεμελὴν ἀπέριττοι (ταῦροι πίονες εἶεν ἂν τοιοῦτοι), ἀλλ' ὅτι τῶν προσθέτων γυμνούμεθα. Τάχα καὶ κατὰ τὸν ὄφιν εἰς οὐχ ἑκούσιον συνελαυνόμεθα φρόνησιν, τὸν ἱματισμὸν λεθηρίζοι δίκην ἀποθέμενοι. Ὄχλος οἱ λουόμενοι καὶ οἱ πλείους ἀπέρχονται, γέλωτα συμφορησάμενοι· καὶ τὸ εἰς ἐμὲ κακὸν οὕτω κηρύσσεται, καὶ τῇ φήμῃ πανταχοῦ σκίδναται· καὶ λουτροῦ πρόσφασιν δῆμος οὗτος μυρίος ὅσος περὶ ἐμὲ, καὶ περιεργάζονται τὰ ἄνω, τὰ κάτω, τὰ ἐκ δεξιῶν, τὰ εὐώνυμα. Περί που δὲ τὸ μέσον οἱ ὀφθαλμοὶ τούτοις πεπήγασι· τὰ χείλη ἐνδάκνονται· τὸ πρόσωπον εἰς ἔκπληξιν ἐσχημάτισται· ὑποβάλλονται οἱ ὀφθαλμοὶ, καὶ διάκεινται ὡσεὶ καί τι τέρας βλέπουσι. Καὶ τῷ μὲν βαλανεῖ πληθύνεται ὁ μισθὸς, ἐμοῦ δὲ πλήθων κατάγεται θρίαμβος, καὶ εἰς ἀχαριστίαν σκαπτόμενος θεατρίζομαι. Εἶθε μοι λογισμὸς ἐπῆλθε, βαλεῖν ἐμαυτὸν κατὰ τ..... τῶν θερμῶν τούτων ὑδάτων, ὡς ἂν ὑπαλλάξαντα τὸ πάλαι ῥηθὲν εἰπεῖν· *ἐξεπωλήθην, ἐπεὶ πίον* ὕδωρ

γλυκύ. Νῦν δὲ οὐ μοι θυμὸς τοιοῦτος ἐνίησι, μαινη- A
μένῳ τῶν ἀποθέτων κρατήρων, οὓς ἐπιστεφὰς
φερομένους ἀναπολῶ. Ὁ ἐνδύων τὰ κρίνα τοῦ ἀγροῦ,
τί μὴ καὶ ἡμᾶς ἐπενδύεις, ἀλλὰ ἀνάγκην ἐπιτίθης,
δαπανᾷν χρήματα εἰς ἱματισμὸν, καὶ τὸ ζωτικὸν
ἐκκενοῦν, καὶ τὴν ψυχὴν ἐκχέειν, καὶ ὑποῤῥέειν ὡς
εἰς φθοράν; Ἄνθρωπε, ὅστις ποτὲ εἶ, ὁ λωποδυτή-
σας ἡμᾶς (οἶμαι δὲ, εἶναί σε τῶν καὶ μεγάλων καὶ
τῶν τοῦ βήματος· οὕτω γὰρ ὑποψιθυρίζει τὸ τῆς
ψήμης στόμα), δίκαια ταῦτα; Ἐρεῖς μὲν, οἶδα, δί-
καια· ἐγὼ δὲ ἀλλὰ εἰπεῖν μὲν ἄλλως οὐδὲ αὐτὸς ἔχω,
ταμιεύσομαι δὲ ὅμως ἄμυναν. Μικρὸν ὅσον, καὶ
ψῆφοι καὶ πολυπραγμοσύνη καὶ βίων πράσεις, ὧν
ἐγὼ δὲ ἄλλα εἰπεῖν μὲν ἄλλως οὐδὲ αὐτὸς ἔχω, τα-
μιεύσομαι δὲ ὅμως ἄμυναν. Μικρὸν ὅσον, καὶ ψῆφοι B
καὶ πολυπραγμοσύναι καὶ βίων πράσεις, ὧν ἐγὼ
ὑπερίσταμαι· καὶ ζήτησις τοῦ τὸν ἱερὸν ἀναβησομέ-
νου θρόνον· καὶ οὐκ ἔναρθρα μὲν, βοήσομαι δ' οὖν,
ῥήματα, ὁποίοις ἐντέθραμμαι· καταβοήσομαι· συμ-
φορήσω συκοφαντίας· ψεύδη συμπλάσομαι. Ἰδιω-
τεύω μὲν τἄλλα, οὐδὲ Λειβήθριοι οὕτως ἔξω σοφίας·
οὐχ οὕτω βαρβαρόφωνοι Κᾶρες οἱ περιλαλούμενοι·
οὐκ ἐμμούσως ἔχω τῆς γλώττης· ἀλλὰ τὰ μὲν τοιαῦ-
τα σοφίσομαι. Ὦ δεινὴ τύχη, τοιούτῳ κακῷ με περι-
βαλοῦσα. Καὶ κυβιστῶν ποτε ἄνθρωπος ὑφαιρεῖται
τὸ ἄμφιον, καὶ κίνδυνον ἔχει, ἀμφοτέραις ἐπικρύ-
πτειν, ἃ μὴ θεᾶσθαι ἄξιον· ἀλλ' οὐδ' αὐτὸς αἰδοῦς
τοσαύτης ἐμπέπλησται. Ὦ οἱ περὶ ἐμὲ οὗτοι ἄνθρω-
ποι, τί δή ποτε τοσοῦτος ὄχλος ἐπισυνίστασθε μω-
κησόμενοι; Τί μοι τὴν θλῖψιν ἐπαύξετε; Τίνα δο- C
κεῖτε βλέπειν; Ἢ ὡς ἐπὶ θέαν ἥκετε, δραμούμενον
γυμνικῶς θεασόμενοι; Ἄνθρωπος ἐγὼ χθὲς μὲν ἐν
τιμαῖς περίβλεπτος· αἱ δὲ ἦσαν οὐ φύσει. Ἀλλ' ἐγὼ
ἠπατώμην. Καὶ τοίνυν αἱ μὲν οἷον πτερυξάμεναι
οἴχονται, αὐτὸς δὲ παραδειγματίζομαι. Ὦ οἱ τὸν
ἱματισμὸν τὸν ἀλλότριον μερισάμενοι, σποδὸν ἀντὶ
ἄρτου φάγοιτε· χολῆς γεύσοισθε· πικρία τὰ βρώ-
ματα τῷ ὑμῶν εἴη λάρυγγι. Τί γὰρ ἐμοὶ καὶ ἡμῖν;
Πτωχοί ἐστε· σκελετοὶ γένεσθε. Λιμώττετε· μὴ κό-
ρος ὑμῖν ποτε γένοιτο βρώσεως. Γυμνητεύοιτε· πῦρ
ἢ παγετὸν ἐνδύσοισθε. Ἐν φυλακῇ ἐστε· βυθισθείητε
καὶ εἰς τέταρτον. Μὴ γὰρ ἂν ἐμοὶ ἀρέσκοι, ὑμᾶς
ἐπιακέψασθαι. Ὑμῖν ἐγλιαχρευόμην· ὑμῖν ἐθηαύ-
ριζον· ὑμῖν ἐμισθάρνουν. Μηδὲ ἐγὼ ὑμᾶς ἐγέννησα.
Οἴχεσθε, τὰ ἐμὰ κατασπάσαντες. Εἶτα ὁ κατάρατος D
βαλανεὺς καὶ τὸ ἐμὸν λοῦμα ψηφηφορήσει, καὶ κα-
λαμήσεταί με ὀβολοὺς προσαπαιτῶν. Ἄλλος μοι
τοῦτο θάνατος. Ὅμοιον γὰρ, ἀποβαλέσθαι ψυχὴν,
καὶ καταβαλέσθαι δραχμήν. Ἐγὼ δὲ ἀνταπαιτήσω
μὲν, ἃ οἱ κακῶς ἐν φυλακῇ ὀλόμενοι κατεβρόχθισαν·
ὁ δέ που καὶ πληγὰς κατὰ κόρης ἐντρίψει μοι. Φι-
λητέον, εἰ μὴ προσαπαιτοίη, καὶ ὧν φθάσας ἐστέρη-
ται. Ὅλας ἀεὶ δεξαμενὰς θερμῶν ὑδάτων ἀπήντλουν·
καὶ ὁ μὲν ἐξήτει μισθὸν τοῦ λούματος, ἐγὼ δὲ καὶ
χάριτας ἐποφείλειν μοι ἤθελον. Νῦν δὲ μέσος ἔχομαι,
καὶ εἰς εὐθύνην πρόκειμαι. Ὁ δὲ σκώμματα ἐπαφή-
σει μοι, κωμῳδῶν εἰς τὸ φιλόλουτρον· καί που καὶ
εἰς ἵππον στατὸν παραβαλεῖ, εἰωθότα ποταμῷ λούε-
σθαι. Ὁμηρικὸς, φησὶν, οὗτος ἵππος, ὅστις ποτὲ ὁ
λῆρος οὗτος Ὅμηρος· καὶ ἦν ἄρα γελοῖον ἀληθῶς
τὸ πρᾶγμα. Βρέφος ἐγενόμην, καὶ τάχα ἦν μοι τότε
λούεσθαι. Ὑπερανέβην τὴν βρεφικὴν ἡλικίαν, καὶ
οὐκέτι, ἀλλ' εἰ ἄρα ἐν ποταμοῖς. Ἠκμαζον, καὶ ἦν
ἐν τοῖς αὐτοῖς· εἶλκον οὕτω τὸν βίον ὁμαλῶς. Ὡμί-
λησα τῷ ὑστέρῳ βίῳ. Πακτωλὸς ὅλος περὶ ἐμὲ,
χρυσῷ ῥέων. Ἐγενόμην τοῖς ἀγαθοῖς ὑπέραντλος,
καὶ τοῦ λοιποῦ κόρον οὐκ εἶχον τοῦ καταλούεσθαι.
Οὐκοῦν καλῶς αἰσχύνη μου καταχέεται. Εὔκταιον
δή μοι, μέχρι τοσούτου στῆναι τὰ λωπηρὰ (ὡς ἔγωγε
καὶ τὸ εἰσέτι μέλλον φαντάζομαι), μὴ καὶ περιάγων
με ὁ τοῦ βίου τροχὸς εἰς ταυτὸν ἀγάγοι πάθος τῷ
θρυλλουμένῳ Ἰξίονι. Πολλοὶ κατ' ἐμοῦ δαψιλὲς τὸ
μῖσος ἐθρέψαντο· πολλοῖς ἐνεργασάμην πικρίαν
ἄκρατον· οὐκ ὀλίγοις ἐπετέθην βαρύς· οὐδενὸς τῶν
ἁπάντων ἐλογιζόμην εἶναι δεύτερος. Οἱ γένους εὐ-
χοῦντες λαμπρότητα μισθωτοῦ δίκην ἐξουθενοῦντό
μοι· ἀπηξίουν, ἐντίμως τοῖς ἐν ἀξίαις προσφέ-
ρεσθαι. Λογίου δὲ ἀκοῦσαι φωνήματος, ἀλλὰ τοῦθ'
ὅμοιον παρ' ἐμοὶ, ὡσεὶ καὶ ἵππου χρεμετισμός. Στερ-
κτέον οὖν, εἰ μὴ τὸ ἱμάτιον ἀποδυσάμενος ἕκαστος,
εὐσταλὴς ἔσται, λίθους ἐπαφιέναι μοι, καὶ χιτῶνα
σοῦτον (ὃ δὴ λέγεται) ἐνδύσουσί με λίθινον· καὶ νο-
μιστέον, εἰς ἀγαθόν μοι τὰ παρόντα γενέσθαι. Οἴχε-
ται τὰ λαμπρὰ στρώματα· καὶ καλῶς. Οἴχεται ὁ
ἱματισμός· ὡς εὖ γε. Οὕτω γὰρ κούφως δραμοῦ-
μαι, καὶ λαθὼν διαφεύξομαι ἢ αἰκασθῆναι, ἢ ἀλλ' εἰς τὸ
βάραθρον.

ιθ'.

Τί ὅτι, ἁγιώτατέ μου δέσποτα, τῷ μύρμηκι λέον-
τος προσπλάττεις ἀλκήν; ἢ τῷ σκώληκι ταχύτητος
ἀρετήν; Μᾶλλον μὲν οὖν, ἵνατί τὸν σκώληκα τάττεις
εἰς ἄνθρωπον, καὶ τὸ μηδὲν εἰς ἴσον ἄγεις τῷ ὄντι;
ἤδη δὲ καὶ τιμίοις ἐγκατατάττεις τὸν οὐδενὸς λόγου
πεμπόμενον; λογίζῃ καὶ ἡμᾶς μετὰ ἀνθρώπων;
ἀριθμεῖς μετὰ τῶν ἀξίων λόγου τινός; ἀγαθόν τι
φαντάζῃ περὶ ἡμῶν; Μὴ σύ γε, ἁγιώτατε δέσποτα·
ἀλλ' εὔχου μόνον ὑπὲρ ἡμῶν. Ἡμᾶς δὲ, οἷοί ἐσμεν,
οἶδε μὲν ὁ Θεός· οἶδε δὲ καὶ ὁ παρ' ἡμῖν κριτὴς, ἡ
συνείδησις. Οὐ λανθάνομεν δὲ οὐδὲ τοὺς ἀκριβεῖς
ἐξεταστὰς τῶν καθ' ἡμᾶς. — Ὅσα δὲ ἐψυχαγωγή-
θην, τὴν γραφὴν δεξάμενος τῆς σῆς ἁγιότητος, οἶδεν
ὁ πάντα εἰδὼς Θεός. Ἀντίκρυς γὰρ αὐτῇ ἔδοξα ἐν-
τυχεῖν τῇ ἁγιωσύνῃ σου, καὶ τῆς γλυκείας ἀπο-
λαύειν θέας τε καὶ φωνῆς· ἧς ἐπιβραχὺ καταξιω-
θείς, ἀνάγραπτον αὐτὴν ἔσασι φέρω ἐν τῇ ψυχῇ.
Ποίει οὖν οὕτως, ἅγιε δέσποτα, καὶ ψυχαγώγει διὰ
γραφῶν· ὡς ἂν εἴη καὶ τοῦτο ἡμῖν τὸ καλὸν ἐκ
Θεοῦ, ὑφ' οὗ μυρία εὐεργετήμεθα.

κ'.

Εἶπον ἂν ὀκνεῖν τὸ γράφειν, ἡγιασμένε μοι δέ-
σποτα, εἰ μὴ τὴν πολλήν σου φιλίαν εἶχον ἐποτρύ-
νουσάν με, καὶ πρὸς τὴν γραφὴν ἐρεθίζουσαν. Ἦν
δ' ἂν μοι τοῦ ὄκνου πρόφασις, ὅτι μὴ τοῦ τυχόντος
νῦν λόγου παρὰ τῆς σῆς ἁγιωσύνης ἠξίωται τὰ καθ'
ἡμᾶς· ὅπερ εἰ εὖ ἔχει, παρά σοι κείσθω κριτῇ.
Ἀλλ' οἶδα ἐν κενοῖς ὑπογογγύσας, καὶ τὸν ἀναίτιον
αἰτιασάμενος. Οὐδὲν καινὸν, δέσποτά μου, πεποίη-
κας ἢ πέπονθας. Ἐγὼ γὰρ αὐτὸς, ἐν τοσούτοις

ἔτυχον ἐναπειλῆφθαι πράγμασιν, ὑπόσα τὴν σὴν ἁγιωσύνην περιειλήφασιν, ἐξελαθόμην ἂν καὶ αὐτοῦ τοῦ ὀνόματος. Οὐκοῦν καινοπραγεῖς, ἀλλὰ συνεκτρέχεις τῇ φύσει τοῦ πράγματος. Ὑγίαινε οὖν· εὖ ἴσχε· μένε ἄλυπος· εὖ σοι πιπτέτω τὰ τῶν πραγμάτων. Ἡμῖν δὲ ἀρκεῖ, ἂν ἐν ζωπύρῳ καὶ μόνῳ φυλαττοίμεθα παρὰ τῇ τῆς σῆς ψυχῆς ἑστίᾳ, καὶ μόνον ἔστιν ὅτε διὰ μνήμης φεροίμεθα. — Περὶ τοῦ καλοῦ φίλου, τοῦ λογιωτάτου κυρίου Γεωργίου, ὅτι μὲν δεινὰ ἐνόσησεν, ἐμαθον· εἰ δὲ καὶ ἀπηλλάγη τοῦ κακοῦ, ἐμαθον οὐδέν. Διὸ καὶ συμμερίτης ἐκείνῳ τοῦ δεινοῦ γίνομαι διὰ λύπην, καὶ ἄλλως οὐ καλὰ πάσχων οὐδ' αὐτὸς διὰ νόσον ἐμὴν δεινήν τε καὶ πολυήμερον· ἧς μόλις ἀνασφῆλαι δεδύνημαι.

ΚΑ'.

Δοκῶ μοι βλέπειν τὴν ἁγιωσύνην σου, ἁγιέ μου δέσποτα, μηδὲ λαβεῖν ἐπὶ χεῖρα θέλουσαν τὴν ἐμὴν ταύτην γραφὴν ὡς ὀφείσασαν, καὶ μετὰ πολὺν οὕτω καιρὸν γενομένην παρὰ τῇ σῇ ἁγιότητι. Καί που καὶ γραφὴν τοῦ ἀμνηστεῖν φιλίας ἐπιγράφῃ ἡμῖν· καὶ οὕτω διατιθέμενος ἔχεις, ὡς εἰκὸς τὸν ἐπὶ πολὺ πρός του τῶν φίλων ἀπροσφώνητον μείναντα. Ἀλλὰ μή, ἁγιέ μου δέσποτα· συνήθως δὲ ἀμνησικάκει καὶ νῦν ἡμῖν· καὶ μαθὼν τὴν αἰτίαν, μὴ ὅτι γε ἄχθου καθ' ἡμῶν, ἀλλὰ καὶ σκυθρώπασον ὑπὲρ ἡμῶν, καὶ εὖξαι διὰ τὸν Θεόν. Ἰούλιος μὴν κατέκλινεν ἡμᾶς· καὶ οὔπω μέχρι καὶ σήμερον (ἔστι δὲ ἀρχὴ τοῦ ὀκτωβρίου) καθαρὰν ὑγείαν εἴδομεν. Τίνος οὖν οἴει, ἁγιώτατε δέσποτα, ἡμᾶς ἐν τοσούτῳ ἐπιστρέφεσθαι τῶν ἐν βίῳ πράξεων; Ἢ τούτου πάντως καὶ μόνου τοῦ, πῶς ἂν ἀνασφήλωμεν, καὶ ἡμῶν αὐτῶν γενώμεθα· ὃ καὶ γίνεται διὰ τῶν σῶν ἁγίων εὐχῶν. Διὰ ταῦτα ἐμεμνήμεθα μὲν ἴσασι τῆς σῆς ἁγιότητος, καὶ τὴν τῶν σῶν ἁγίων εὐχῶν ἐπικουρίαν ἀνεζητοῦμεν, ὡς καὶ ὁ καλὸς οἶδε Δομέστικος· γράφειν δὲ οὐκ εἴχομεν, ὅτι μηδὲ ζῆν καθαρῶς. Συνέγνως, οἶδα, ἡμῖν, ἁγιε δέσποτα· ἱλαρύνθης· ἀπέθου τὴν καθ' ἡμῶν σκυθρωπότητα· καὶ δόξα τῷ Θεῷ. Εὔχου τοίνυν τὰ ὑπὲρ ἡμῶν, καὶ γενήσεται ἡμῖν εὖ διὰ τῆς σῆς θεοκλύτου εὐχῆς, λιτῆς γενομένης διὰ παρουσίας τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, οἷα οὐδέποτε γέγονεν. Ὁ κόσμος τε γὰρ (ὡς εἰπεῖν) ὅλος παρῆν, ὡς καὶ πάντα στενοχωρεῖσθαι τῷ ὄχλῳ, καί τινας καὶ ἐκλιπεῖν τῷ πολλῷ τοῦ σφιγμοῦ. Καὶ δάκρυα κατὰ ποταμὸν ἐχύθησαν· καὶ νηστεία ἐπετάχθη τε καὶ κατεπράχθη, καὶ πάντα προέβη, ὅσα καὶ ἐπὶ Νινευίταις ἱστόρηται· ταυτὸν δὲ εἰπεῖν, οἷς ἐξιλεοῦται Θεός.

ΚΒ'.

Ὡς ἐξ ἡμῶν τὸν δεῖνα· εἰπὲ τῷ δεῖνι· προσαγορευθήτω ὁ δεῖνα. Οὕτω γράφουσιν οἱ γράφοντες λόγον· οὕτω μνημονεύουσιν οἱ φιλοῦντες φίλον· οὕτως ἐν γραφῆς παρέργῳ τοῦτον τιθέασιν ἢ εἰς ἀντλίαν, ἢ εἰς πρώραν κατὰ τὸν ἐν τῇ τραγῳδίᾳ Φιλοκτήτην. Μνηστέον γὰρ ἐν καιρῷ πρὸς τὸν τὰ φιλικὰ χωλεύοντά σε. Εἰ δὲ καὶ ὁ προσαγορευόμενος Ἑρμοῦ θεράπων λογίου, βαβαὶ τῆς ὕβρεως.— Φέρε, διέλωμαί σοι τὴν προσηγορίαν. Ὁ προσαγορευόμενος ἢ οὐ πάνυ τι φιλεῖται, καὶ ἀρκεῖ αὐτῷ τὸ γοῦν μνείας τυχεῖν· ἢ οὐκ ἔστι τῶν περὶ λόγους· καὶ τί πρὸς κῦμα πολλὰ λαλητέον κωφόν; ἢ πολλάκις ἐπεστάλη αὐτῷ· καὶ τί δεῖ πάλιν καὶ πάλιν γράφειν; Ἢ δεξάμενος συχνὰς τὰς ἐπιστολάς, οὐ τὴν ἴσην ἀντιγραφὴν καὶ αὐτός· τί γοῦν δεῖ κάμνειν τὴν χεῖρα γράφοντα, καὶ προσλαλεῖν τὸν μηδὲ γρῦ ἀντιφθεγγόμενον; Προσάγαγε τοῖς καθ' ἡμᾶς τὴν διαίρεσιν. Μὴ ἔγραψας, οὐκ ἀντεγράφαμεν δέ; Ἡ φῄς, ὡς οὔτε ἔγραψας, οὔτε ἔγραψα; Καὶ ψεύδῃ. Τρίτον γὰρ ἡμέτερον τοῦτο γράμμα πρὸς σέ. Ἐπέστειλας συχνάκις, καὶ λέγειν ναρκεῖς; Καὶ πῶς ὁ μηδὲ τὸ τῆς Ἠχοῦς μιμησάμενος ὑστερόφωνον; Ἀλλ' οὐ τῶν περὶ λόγους ἡμεῖς; Ἀλλ' ὦ λόγοι, καὶ μοῦσαι, καὶ χρόνοι, καὶ ἱδρῶτες· καὶ ἐπὶ πᾶσιν, ὦ διδάσκαλοι, σύμφατε τῷ κυρίῳ Γεωργίῳ καὶ ὑμεῖς. Ἔν ἔτι τῶν δισκελῶν τῆς διαιρέσεως λείπεται. Φιλοῦμεν, καὶ οὐ φιλούμεθα. Ἐντεῦθεν γράφομεν, καὶ ὁ ἀντιγράφων οὐδείς. Ἀλαλοῦμεν, καὶ οὐ προσφωνούμεθα. Τί οὖν σκιὰν διώκεις, Εὐστάθιε; Τί τοὺς χάρτας ἐν κενοῖς ἀναλοῖς; Σχάσον τὸ γραφεῖον· μὴ στώμυλλε. Κἂν που γράφοντί τινι ἐντύχῃς, ἐκείνου τὴν ἐπιστολὴν ἐπιδύου καὶ αὐτός· καὶ προσαγορεύων μόνον ἀρκοῦ. Τί γὰρ ἄλλου; μὲν λακωνίζειν χρή, σὲ δὲ μακροὺς κατατείνειν λόγους; Καὶ ἀρκτέον ἐντεῦθεν· *προσαγορεύω σε*, αὐθέντη μου.

ΚΓ'.

Ὅμοιον ἐρῶ σοι αἴνιγματι. Ἐν ταυτῷ ἥττημαι καὶ νενίκηκα· κατόπιν ὢν ἔμπροσθεν γέγονα. Λύσω σοι τὸ αἴνιγμα. Ἥττημαι τοῦ κυρίου Δημητρίου ἐπιστολῆς κάλλει τε καὶ τάχει. Κατῆρξε γὰρ γράψας, καὶ γράψας ἔλαμψε. Νενίκηκά σε κάλλει μὲν γραφῆς οὐ (μὴ οὕτω μανείην, ὥσθ' οὕτω φρονεῖν), τάχει δέ. Κατῆρξα γάρ. Κατόπιν ἦλθον τοῦ γράμματος ἐκείνου· φθάνω τὸ σόν. Ὥρα γοῦν, μή σοι δεήσοι περιπλοκῶν τῷ γράμματι, εἰ μὴ κατὰ πόδας ἐπιστείλῃς, καὶ κἂν γοῦν δευτέρας ἔλθῃς· ὡς ἡμεῖς γε καὶ πλατυτέραν δευτέραν μετ' οὐ πολὺ καὶ τρίτην σοι στελοῦμεν γραφήν· ὡς ἐντεῦθεν δεύτερόν σε ἢ τρίτον διεκπεσεῖν, ὃ σὺ μὴ ἀνάσχῃ. Εἰ δὲ μή, τύπῳ περιγραπτὴν ἐρῶ τὴν φιλίαν· καὶ τοσοῦτον σκώψας πεπαύσομαι.

ΚΔ'.

Κάλλιστε καὶ πανσέβαστέ μου αὐθέντη. Ἡμᾶς, ὡς ἔοικεν, οὐκ ἔστιν ἐπιλιπεῖν ποτε τὰ δυσχερῆ· τὰ μὲν αὐτοῖς ἡμῖν ἐπιγινόμενα, τὰ δὲ καὶ τοῖς ἀναγράπτοις ἡμῖν εἰς ψυχήν· ἐφ' οἷς καὶ αὐτοῖς ὡς ἐπὶ ἡμετέροις κακοῖς διετιθέμεθα, καὶ λυποῦμεθα μὰ τὴν κεφαλήν σου, ἣν οὐκ ἂν ὀμόσας ψευσαίμην ποτέ. Μικροῦ δεῖν ὁ χάρτης ἀπερρύη μου τῶν χειρῶν ἐπιόντι μοι καὶ ἀναλεγομένῳ τὰ ἐν αὐτῷ. Καὶ οὐαὶ τῷ φθόνῳ· οὐ γὰρ ἂν ἄλλο τι τοιοῦτον αἰτιάσωμαι. Ἡ δὲ αὐθεντία σου εὐχαριστείτω ἐπὶ πᾶσι τῷ Θεῷ, καὶ αὐτὸς ποιήσει — ὀψὲ μέν· ἀλλ' οὖν ἡμεῖς προσκυνοῦμεν τὴν ἀντίληψίν σου, ὑγιαίνοντες μόνον, ὁμοίως καὶ πάντες οἱ τοῦ καλλίου μου.

ΚΕ'.

Μεγάλε, ἐπιφανέστατέ μου αὐθέντα. Γλίσχρως ἔχω τὰ ἐς ἐπιστολήν, καὶ κατὰ τοὺς ἀτέχνους τῶν ζωγράφων διάκειμαι· οἱ οὐκ ἂν γράψειαν, εἰ μὴ

πρὸς ἀρχέτυπον γράφοιεν. Κἀγὼ, εἰ μὴ τὰς ὑμετέρας ἐμαυτῷ κατ' ὄμμα προβαλοῦμαι γραφὰς, οὐκ ἂν ἄλλως σχοίην γράφειν. Στείλατε οὖν τὸ ἀρχέτυπον, πρὸς ὃ τὸ γραφεῖον κινήσομεν· ὡς ἡμῖν οὐκ ἄλλοθεν ἢ ἐκεῖθεν ἔσται τὸ ἐνδόσιμον· οὐδ' ἂν ἄλλως τὸ ἡμέτερον ἠχήσῃ χαλκεῖον, εἰ μὴ γραφικὴν ὑμεῖς αὐτόθεν ἄνεμον σχεδιάσετε. Πνεύσατε οὖν, καὶ χαλκὸς ἠχήσει. Ἡ δὲ ἠχὴ φθάσει μέχρι καὶ ἐς ἡμᾶς, καὶ περικτυπήσει τὰς ἀκοάς. Εἰ οὖν μὴ βαρεῖα, πάλιν πνεύσατε, καὶ πάλιν ἠχήσει, καὶ αὖθις, καὶ πάλιν. Καὶ μὴ τοῦτο εἰς ἄπειρον, Χριστὲ βασιλεῦ· συντόμως γὰρ ἴδοιμεν ἀλλήλους καὶ ὁμιλήσαιμεν, μὴ μεσιτεύοντος γράμματος. — Ἀλλ' ὁρᾷτέ μοι τὴν δεινότητα τῆς ἐπιστολῆς, ἣ μικροῦ με διέφυγεν; Ἀμφοτέρους μιᾷ ταύτῃ δεξιοῦμαι. Καὶ τυχὸν μὲν οὐκ ἔξω λόγου, οὓς καὶ τρόπος καὶ χρόνος καὶ πᾶσα περίστασις ἥνωσεν, ἑνοῦν καὶ τῷ γράμματι. Ἀλλὰ σεμνύνω μᾶλλον τὸν χάρτην, καὶ ποιῶ τοῦτον πανήγυριν. Οὐ γὰρ εἷς περὶ τοῦτον πονήσεται, ἀλλὰ χεῖρες τούτου δράξονται τέσσαρες· καὶ ὄμματα περιβλέψονται τοσαῦτα· καὶ χεῖλη τούτου περιλαλήσουσι τοσαυτάριθμα· καὶ καινὸς οὗτος δρόμος ἐν σταδίῳ τούτῳ βραχεῖ ὀμμάτων ἔσται καὶ χειλέων· κἀνταῦθα καὶ μόνον τὸ τῆς θέας ἔνθεον τάχος ἀνισασθῇ πως τοῖς χείλεσι, προθεούσης μὲν καὶ ἀκαρῆ τὸ θέατρον ὀργώσης περιελθεῖν, παρομαρτούσης δ' ὅμως καὶ συγχρονιζούσης τοῖς χείλεσιν. Ὡς εὐτυχὴς, ὦ χάρτα. Νῦν μὲν οὖν ὡς τοὺς Μολιονίδας ἥνωσα γράψας· μικρὸν δὲ καὶ ὡς Ὀρέστην διαθήσω καὶ Πυλάδην ὑμᾶς. Καὶ οὕτω γὰρ κἀκείνως μένει τὰ τῆς φιλίας, ἣ συνετάκητε.

ΚΣ'.

Αὐτάρκης μὲν τὴν ἀρχὴν ὁ ἄνθρωπος πέπλασται, αὐτὸς ὀφείλων ἑαυτῷ ἐπὶ ταῖς κατὰ τὸν βίον πράξεσιν ἐπαρκεῖν. Τρυφὴ δὲ παρεισπεσοῦσα τῷ βίῳ, ἢ καὶ ἄλλως νωθρεία τις ἐν τοῖς πρακτέοις καὶ ἀνάπτωσις, τὸ τῆς θητείας ὄνομα παρεισήγαγε· δι' οὗ ἡμεῖς μὲν ἀναπεπτωκότες ἡσυχίαν ἄγομεν, οἱ μισθαρνοῦντες δ' ἀνθ' ἡμῶν εἵλκον τὴν ἀθλιότητα. Ἐπεὶ δὲ καλῶς ἔδοξε τὰ πράγματα ἔχειν, καὶ τὸ θητεύειν φερεπόνως ἔχειν ἡμᾶς ἐποίει, μηχανώμεθα καὶ δουλείαν, ὡς ἂν ἔχοιμεν τὸ θητεύειν αἰώνιον. Ἔστι γὰρ ἡ δουλεία θητεία τις ἀμισθός τε καὶ πολυχρόνιος. Κἀντεῦθεν τὸ τοῦ δουλεύειν εἰς τὸν βίον παρεισερρύη κακὸν, φύσει μὲν ἀγνοούμενον, πλεονεξίᾳ δὲ ἀνθρωπίνῃ παρευρεθέν. Ἦν ἂν οὖν ἀρέσκον Θεῷ τὸ τῆς δουλείας εἰς τὴν ἀρχαίαν ἐλευθερίαν ἀποκαθιστᾷν, καὶ τὸ τῆς πλεονεξίας ἁμάρτημα ἐπανισοῦν φυσικῇ ἀδελφότητι. Καὶ γὰρ οὐκ ἂν συγγνώμης εἴημεν ἄξιοι, εἰ Θεὸς μὲν ὁ φύσει Δεσπότης τοὺς δούλους ἡμᾶς ἀνάγει πρὸς ἀδελφότητα, καὶ καλεῖν ἀδελφοὺς οὐκ ἀπαξιοῖ· ἡμεῖς δὲ τοὺς ἀδελφοὺς ἐκ τοῦ τῆς ἰσότητος ὕψους εἰς δουλείας βάραθρον κατάγειν ἐθέλομεν. Ταῦτα καὶ αὐτὸς ἐννοούμενος, τὰ κατὰ ἀκολουθίαν ἀνθρώποις συνήθη καὶ χρόνῳ πολλῷ κραταιωθεῖσαν περιελθόντα μοι ψυχάρια [ἐλεῶ, ἃ] ἐν αὐτῷ τῷ χρόνῳ τῆς δουλείας ἐτερπλα τῶν κατ' ἐμὲ ψυχῆς ἐλογίζοντο (φύσει γὰρ ἐλεύθερον ζῶον ἅπας ἄνθρωπος)· καὶ ὁπότε τὴν καθ' ἡμᾶς ζωὴν ἀποθέ-

μενος πρὸς τὴν ἐκεῖσε λῆξιν μετάρω, ὑπὸ μηδενὶ δεσπότῃ δούλους τυγχάνειν βούλομαι. Ἀλλὰ μέχρι μὲν αὐτὸς ἐν τοῖς ζῶσίν εἰμι, μετ' ἐμοῦ ἔσονται, καὶ τῆς ἐξ ἔθους μοι κηδεμονίας ἀξιωθήσονται· ἣν οὐκ οἶδα εἴπερ κρείττονα παρὰ τοῖς οἰκείοις ἂν ἔσχον γονεῦσί ποτε, οἷσπερ μένοντες. Ὁπηνίκα δὲ τοῦ μεθ' ἡμᾶς μετάξομαι βίου, ἄδεια τὸ ἐντεῦθεν αὐτοῖς ἐνδοθήσεται, διάγειν, ὡς ἐλευθέροις ἐφεῖται Ῥωμαίοις, ἔνθαπερ ἂν βούλοιντο· καὶ οὐδεὶς οὔτε τῶν κατὰ γένους αἱμά σοι προσηκόντων, οὔτε τῶν ἄλλως οἰκείων τε καὶ γνωρίμων, ὡς δούλοις ἐγχειρήσει αὐτοῖς· τοῦ παρόντος ἐγγράφου μου ἀρκέσαντος αὐτοῖς ἀντὶ ἀσφαλείας ἁπάσης πρὸς ἀποτροπὴν παντὸς βουλησομένου καταδουλῶσαι αὐτοὺς, τοῦ δὲ εἰδέναι ὀφείλοντος, ὅτι σὺν τῷ μηδὲν ἀνῦσαι καὶ τῇ τοῦ μεγάλου Θεοῦ ἀρᾷ καθυποβληθήσεται ὡς ἀντιβαίνειν ἐθέλων δικαιοτάτῳ καὶ θεοφιλεῖ οὕτω θελήματι· ὅπερ διὰ πλείονα βεβαίωσιν καὶ τῷ ἱερῷ ἐκδικείῳ ἐμφανισθῆναι ἠθέλησα, ὡς ἂν αὐτόθι ἐπιγνωσθὲν εἰς ἐκδίκησιν τοῖς ἐμοῖς γενήσεται δούλοις, τῷ τε δεῖνα καὶ δεῖνα, εἴ ποτέ τις τυχὸν μετὰ τὸν ἐμὸν θάνατον τῇ αὐτῶν ἐλευθερίᾳ ἐμποδὼν γενέσθαι βούλοιτο.

ΚΖ'.

Οὐκ εἶπον, καὶ ἰδοὺ τετέλεσται. Τετέλεσται δὲ, οὐχ ὅτιπερ εἶπον (μὴ οὕτω μανείην, ὡς καὶ τοῖς ἐμοῖς λόγοις οἴεσθαι κατ' ἴχνος συνεκτρέχειν τὰ πράγματα)· ἀλλ' ἔχω μαθὼν τῇ συχνῇ πείρᾳ τὰ κατ' ἐμὲ, καὶ μάντεων ὑπέρτερον φθάνων αὐτὰ προσημαίνομαι. Χθὲς κῦμα κωφὸν, ἡ τῆς νόσου μοι πλημμυρὶς ἀνεσάλευε, λιγέος ἀνέμου τινὸς ἐκδεχόμενον κέλευθον· σήμερον κατερράγη τὸ πνεῦμα, καὶ οὐκέτι κῦμα κωφὸν, ἀλλὰ βαρὺ βρέμον, τὴν ἐμὴν ταύτην ἐκμαίνει τοῦ κατάρρου θάλασσαν. Χθὲς λεπτή τις ὑπέτρεχεν ἐπιφρὶξ, ὑφ' ἧς ἠρέμα τὸ τοῦ χυμοῦ βάθος ἐπόρφυρεν ἐπιπολῆς· σήμερον ὅλον ἐγείρεται κῦμα, αὐτὸ μὲν οὔκουν κυρτὸν, ἡμᾶς δὲ τῆς ὀρθῆς περικινοῦν στάσεως, καὶ κλίνον ἐπὶ κεφαλήν. Ἐν προοιμίοις ἡ νόσος ἐναγχος, καὶ παρὰ πόδας ὁ ἀγών· τοῖς προοιμίοις ἀναλογῶν οἷον νέφος ἐκεῖνο τῇ προτεραίᾳ, βραχὺ τὴν διάστασιν, οὐ παχὺ τὴν σύστασιν· ἀλλὰ τὸν ἐκνεφίαν ἡμῖν οἷον ἐξεφύσησεν, ἀλλὰ τὸν χειμῶνα πηλίκον ἐξέῤῥηξεν. Εἰς τί μοι ταῦτα; Κείμεθα νοσοῦντες, αὐθέντα Κομνηνὲ, μικροῦ σπινθῆρος ἐκείνου μεγίστην ἡμῖν πυρὰν ὑπανάψαντος πυρετοῦ. Οὔκουν ἔστι τολμῆσαι τὴν μετακίνησιν, μὴ καὶ λάθοιμεν τοῦ κακοῦ μεταδόντες τοῖς προστυγοῦσι· καθάπερ λόγος ἔχει ὁρᾷν τὸν κατώβλεπα, θηρίων ἐκεῖνο, οὗ πυρὸς κρατῆρες (εἴποι τις ἄν) οἱ ὀφθαλμοί· οἳ ἅμα τε εἶδον ἄνω, καὶ πῦρ ἠκόντισαν ἢ ἐξετόξευσαν· καὶ τὸ προστυχὸν οὐκέτι ἀκτῖνες περικίχυνται ὀπτικαὶ, ἀλλὰ φλόγες ὀξεῖαι βάλλουσι· καὶ τὸ βληθὲν κεῖται καυθέν. Ἀναδιδάσκομεν οὖν, ὅπως ἔχει τὰ καθ' ἡμᾶς, τὸν διὰ τὸ φύσει καλὸν τοῦ τρόπου καὶ τὸ τῆς ψυχῆς, μᾶλλον μὲν οὖν τὸ πάντα πάντως καὶ τὸ πάντοθεν εὐγενὲς, ἐν λόγῳ τιθέμενον τὰ καθ' ἡμᾶς.

ΚΗ'.

Οὐκ *εἰς πλῆθος* τὸ δῶρον, αὐθέντα Κομνηνέ.

Ἐρεῖς δ' ἂν αὐτὸς τυχὸν, ὡς *εἰς πλῆθος*. Καὶ καλῶς ἐρεῖς. Καὶ τοῦτό γε πάντως ἢ σοφίσει, ἢ κατασοφίσῃ σὺ τὸν διδάσκαλον. Τάλαρος γὰρ οὗτος εἷς, δεύτερος ἐκεῖνος, τρίτος ἄλλος· τρεῖς οὗτοι. Καὶ πλῆθος ἰδού. Ὁ γὰρ *τρία* ἢ πλῆθους ἀρχή, ἢ πλήθους πυθμήν. *Εἰς πλῆθος* μὲν οὖν διὰ ταῦτα τὸ δῶρον μεταβαλλόμενος διὰ τὴν σὴν σοφιστικὴν, ἐρῶ καὶ αὐτός· οὕκουν δὲ καὶ *εἰς πληθυσμόν*. Ἐν μετοπώρῳ γὰρ οὐ μόνον καινὸν, ἐὰν (ὡς ἡ παροιμία) ἄνθος ἀναφυῇ, ἀλλὰ καὶ ἐὰν κατ' Αἰσχύλον ἀρτίδροπος ὀπώρα νεάζουσα τρυγηθῇ. Τοὺς μὲν οὖν σικύους τούτους στγῶ· καὶ οὐ λέγω, οὔτε ἐὰν σπερματίαι καὶ τοῖς χρῄζουσι φαγεῖν ἀγαθοὶ, οὔτε ἐὰν τὸ πράσιον ἀκραιφνὲς σώζωσι χρῶμα· ἀλλ' οὐδ' εἰ φρίσσουσιν ὀξυκόμοις ἀκάνθαις, ὁποῖα δορυφόρους τοῖς ἐπιβούλοις αὐτὰς προβαλλόμενοι. Οὐ μὴν ἀλλ' οὐδὲ τὰ σῦκα ταῦτα σεμνύνω, κἂν τοῦ μέλιτος παραπτύωσι· κἂν γλυκὺ σεσηρότα, καὶ οἷόν τινα ὑπανοίγοντα χείλη, ταυτόν τι καὶ τὸν θεατὴν ἐπ' αὐτοῖς προκαλῆται ποιῆσαι. Ἔπτηλος ἡ ὀπώρα, καὶ τῆς ἐμῆς ξένη γῆς, καὶ οὐκ ἰθαγενής· ἐμὴ δ' ὅμως. Παρὰ φίλου γάρ μοι τὸ δῶρον· ἐγὼ δ' ἄλλος ἐκεῖνος. Ὁ δέ γε τῆς Περσαίας καρπὸς, ἀλλ' οὗτος αὐτόχθων ἐστὶν, ἐμὸς αὐτόχθων ἐστί· γέννημα γῆς ἐστιν ἐμῆς· κατοικίδιος ὀπώρα, οὐ μεταφορητὴ, οὐ πολλῶν πειραθεῖσα χειρῶν· κορίσκη σώφρων, χθὲς ἀποσπασθεῖσα τῆς μητρὸς, ἀχυμένης τάχα, ὅτι ταύτης ἐστέρηται· ἄρτι τὴν τροφὸν παραμείψασα, ἄρτι τοῦ θαλάμου προκύψασα· οὐ πλανῆτις, οὐκ ἀγοραία, οὐ δημόσιον ἀγαθόν· ἐμὸν τὸ μέλημα· χειρὸς ἐμῆς μέλημα. Καρπὸς οὗτος, ὁρᾷς, ὅπως, ὅτε τοῖς ὁμογενέσιν ἡ τῶν φύλλων καταῤῥεῖ οὐλη, τῇ λάχνῃ αὐτὸς πυκαζόμενος, ἕουλον πρῶτον ἐκφύων, ὅτε τοὺς κατ' αὐτὸν τὸ γῆρας οἴχεται κατασπᾶσαν· νεάζων, ὅτε πᾶς τοιοῦτος ἄλλος ἐστὶν ἐν παρακμῇ· μᾶλλον μὲν οὖν οὐδαμοῦ· ἐνεαρίζων ἐν μετοπώρῳ, ἢ πρόδρομος τῶν λοιπῶν, ἐὰν ἄρτι παρὰ τοῖς προθύροις θῶμεν εἶναι τοῦ ἐνιαυτοῦ· ἢ ἐὰν αὐτὸς περιπλόμενος ἐκτετέλεσται, ἐπίγονος οὗτος καρπὸς, ἔκγονον ὀψίγονον εὐγενὲς, ἐνιαυτοῦ τηλύγετος παῖς. Εἰ δέ τι καὶ ψόγου μικρὸν ἐπισύρεται, ἀλλ' ἡ φυταλιά μοι πάγκαλος. Πρωτοτόκον ἐστί μοι τὸ δένδρον· ἄρτι πρώτως ὀπώρας μήτηρ ἐκλήθη· ἄρτι καρπὸν προσβάλετο. Οἷον οὖν ἐς νέωτα προενέγκῃ καρπὸν, ἐντεῦθεν ἔστι τεκμήρασθαι. Δέξαι γοῦν τοῦτον πρῶτον, ὡς πρωτογέννημα, ὡς ἀπαρχὴν, ὡς ἀρχὴν, ὡς διαθέσεως οὐ φαύλης θαλύσιον. Εἰ δέ γε θελήσεις, ὅπερ οὐκ ἂν βουλοίμην, τοῦ λόγου κατανεανιεύσασθαι, εὑπορήσεις μὲν εὖ οἶδ' ὅτι (πολὺς γάρ σοι ἐπέων νομὸς· στρεπτὴ δ' ἀνθρώπου γλῶσσα καθ' Ὅμηρον)· ἐγὼ δὲ μᾶλλον ἂν ἐνέγκοιμι, αὐτὸς οὐ καλῶς ἀκούων, ἢ τὴν τρόφιμόν μου μανθάνων ὀπώραν οὐ καλῶς ἀκούουσαν.

ΚΘ'.

Τῷ δισυπάτῳ καὶ τῷ φουρνητάρῃ.

Ἄπαντ' ὁ *μακρὸς καναρίθμητος χρόνος*, καὶ τὸ ἐχόμενον, ὡς λόγιοι ὑφηρπάσατε. Ἐξέφηνεν ὁ τοιοῦτος καὶ ὑμᾶς· οὐκ οἶδα μὲν, εἰ καὶ χείρονας· ὀλιγώρους δὲ πάντως ὅτι μάλιστα καὶ μικροφυεῖς τὴν ψυχήν· οἳ παραστάται τὰ εἰς φιλίαν ὄντες, εἶτα μικρόν τι διαλιπόντων ἡμῶν καὶ ἀποστρεψάντων ἀλλαχοῦ τὴν θέαν, ἠφαντώθητε δυσχεράναντες, ὅτι μὴ τοὺς ὀφθαλμοὺς ἐφ' ὑμᾶς μόνους ἐπεστηρίξαμεν, ὦ ἄνθρωποι ἀξιόλογοι. Τί δὲ οὐ στρεπτὸς ὁ τράχηλος, ὡς ὧδε καὶ ἐκεῖ μεταστρέφεσθαι; Ὀφθαλμοὺς δὲ τί ποτε ἡ φύσις ἡμῖν δύο ἀπεκλήρωσεν, εἰ μὴ πρὸς διάφορα μερίζειν τὴν θέαν ἐμέλλομεν, ἀλλὰ πρὸς ἕν τι ἀπερείδειν ἀεὶ τὰς τῶν ὀμμάτων βολάς; Τί δὲ μὴ καὶ τοὺς *πόδας* ἀξιοῦτε στηρίζειν, ἢ καὶ εἰς μίαν τινὰ ὁδὸν ὑποτείνεσθαι, καὶ δι' αὐτῆς ἀνακάμπτειν διηνεκῶς; Ἄγε δὴ καὶ τὰς χεῖρας τῶν διαφόρων ἐπίσχετε πράξεων, καὶ τὸ πολύχρηστον ὄργανον εἰς μονοχρηστίαν τινὰ περιστήσατε. Ἦ γὰρ οὐ τοιαῦτα καταμηχανᾶσθαι τῆς φύσεως θέλετε; Ἢ πρὸς μόνους ἑαυτοὺς ὑμᾶς ἀπασχολεῖν βούλεσθε, τυραννοῦντες τὴν λαλιὰν, καὶ μόνον οὐ βοῶντες· *Ἡμῖν λάλει καὶ μόνοις· καὶ ὁ τῆς Μούσης κάλαμος ἀγέτω μὲν ἀπὸ τῶν ἄλλων σχολὴν, ἐμπνεέσθω δὲ εἰς μόνην ἡμετέραν ἀκοήν*. Ἀδικεῖτε, ταῦτα λέγοντες, οὐ μόνον τὴν ἑταιρίαν, ἀλλὰ δὴ καὶ ἡμᾶς· ἐκείνους μὲν, ὅτι ἀπροσφωνήτους ἐᾶτε, οἷς βούλεσθε· ἡμᾶς δὲ, ὅτι πρὸς ἀφιλίαν ἕλκετε. Εἰ δέ ποτε προσφωνούμενοι καὶ ἐν ἑτέρων γραφαῖς, δυσχεραίνετε, καὶ παραῤῥιπτεῖσθαι νομίζετε, ἀξιοῦντες ὁ καθένα προαλγεῖσθαι ἰδιαίτατα γραφῇ, ὅτι καὶ ὑμεῖς οὕτω φατὲ δεξιοῦσθαι ἡμᾶς, οὐδ' ἐνταῦθα καλῶς λογίζεσθε. Σκέψασθε γὰρ τὸ τοῦ πράγματος ἔξω τόπου. Τὸ μὲν ὑμῶν ἑκάστου πρὸς ἕνα ἔρχεται ἰδίᾳ κατ' αὐτὸν, ἐμὲ δηλαδή· καὶ πάντες (τραγῳδικῶς εἰπεῖν) ὥστε τοξόται τοῦ σκοποῦ ἐμοῦ καταστοχαζόμενοι, πέμπετε τὰς γραφάς. Εἰ δὲ καὶ ἐγὼ πρὸς ἕκαστον ἐμαυτὸν ἐπιμερίσω τοῖς γράμμασιν, ὑμῶν ἂν εἴη μετρῆσαι καὶ τὸν καιρὸν καὶ τὰ γράμματα. Τάχα γὰρ οὐδὲν ἄλλο μοι διὰ βίου ἔργον ἔσται, ἢ γραφὰς διαπέμπεσθαι. Δότε μοι πυθέσθαι πρὸς ὁμοιότητας ἔργου. Περιεστοίχισέ τινα ὄχλος μάλα πολύς· καὶ ἐλάλει οὐχ ὁ μὲν τοῦτο, ἕτερος δέ τις ἕτερον, καὶ ἄλλος ἄλλο, καὶ οἱ πάντες ἀνόμοια· ἀλλὰ τὸ τοῦ λόγου τέλος εἰς νοῦν ἕνα ἀπέκυε. Τί δή ποτε οὖν ὁ τοιοῦτος ἄνθρωπος ἑκάστοις ἐπιμερίζει τὸν λόγον; Οὐκ οἶμαι, εἰ μὴ τὸν πνεύμονα πονεῖν ἔλοιτο· ἀλλ' ἑνὶ λόγῳ τοὺς πάντας ἀμείψεται. Οὕτω καὶ αὐτὸς, εἰ μὲν ὑμᾶς ἐώρων διασκιδναμένους εἰς ἑτεροίους λόγους, εἶχον ἂν πάντως· ἀνάγκην, πρὸς ἑκάστους ἰδίᾳ λαλεῖν. Ὅτι δέ μοι πάντες τὸ αὐτὸ ἀναφωνεῖτε (λύπην, ἐφ' οἷς ἄπειμι· χαρὰν, ἐάν ποτέ με ἴδητε· ὑγείας εὐχὴν, καὶ ὅσα ἄλλα τοῦ στοίχου τούτου), περικόπτετέ μοι τὰς πολλὰς γραφὰς, καὶ τὴν πολυλογίαν συντέμνετε. Καὶ διὰ ταῦτα συνάγω ὑμᾶς τῷ λόγῳ εἰς ἕν· καὶ οὔτε συχνὰ γράφω, οὔτε πολλὰ, καὶ οὐδὲ πρὸς ἅπαντας· καὶ οὐδὲ ἔχω ἄλλως εἰπεῖν, κἂν εἰ καὶ πολλὰ μέμφοισθε. Σκέψασθε γὰρ, ὁπόσος τις χαρτίων ἐπιστοιβασθήσεται σφάκελος, ἐὰν ἐπιστέλλειν τοῖς καθένα ὑμῶν ὅσαι ἡμέραι βουλοίμην· τοῖς πολλοῖς Μιχαὴλ, τοῖς τοσούτοις Ἰωάννας, τοῖς Βασιλείοις, τοῖς λοιποῖς, ὧν τὰ ὀνόματα

στενοχωρεῖ μοι τὴν γλῶτταν, ἐκπηδῶντα τῆς ψυχῆς, καὶ διὰ τῶν χειλέων ὅσα καὶ θυρῶν προΐέναι θέλοντα. Ἀλλά με τυχὸν μονόστιχον ὁ καθένα ἐπιστόλιον ἀπαιτήσετε, ὡς καὶ ἐκεῖνο ἀρκοῦν ἀποπλῆσαι τὴν τῆς προσλαλιᾶς ἔφεσιν; καὶ εἰς ταυτὸν ἥκετε πάλιν. Ἀνάγκη γάρ με τῶν ἄλλων ἀφέμενον μόνου τοῦ ὑμῖν καὶ οὕτω γράφειν γίνεσθαι, ὅτι καὶ ὑμᾶς εἰς χορὸν ἡ φιλία πολυχώρητον ἀπεκύλισεν. Ἡ ἐπ' ἄλλων μὲν σωμάτων μικρὸν ἐπὶ σμικρῷ τις θαμὰ κατατιθέμενος ταχὺ μέγα ἐποίησε τὸ ἐπισύνθημα· ἐνταῦθα δὲ τὰ τῆς ἐπιθήκης ἄλλως ἔχουσι. Καὶ μὴν καὶ οἱ στιχηροὶ, ὧν γράμματα, εἴτε ὄρχατοι, εἴτε ὄγμοι (καθ' ὑμᾶς εἰπεῖν), τοὺς τῆς Καλλιόπης - - πυκνοὶ ἐπισυντιθέμενοι — μικροὺς βίβλων λειρῶνας ἁπλώσαντο. Ὦ Καλλίμαχε πολέμαρχε, ὡς οὐδὲν ἄρα ἦς παρὰ τοιούτοις κριταῖς, πολλὰ μὲν βέλη πρὸς τῶν βαρβάρων δεξάμενος, ὡς εἰ καὶ πρὸς δουροδόκην τινὰ ἢ φαρέτραν ἐστέλλοντο, μὴ τοσαῦτα δὲ αὐτὸς ἐκείνοις ἀντεπιφείς. Ἀχιλλεὺς δὲ ὁποῖός τις ἂν τοῖς τοιούτοις κριθήσεται, νιφάδας βελῶν καταπεμπομένων βλέπων, αὐτὸς δὲ μίαν μελίαν ἀντιπέμπων αὐτοῖς. Εἶτα σὺ μὲν, ὁ δεῖνα, καὶ ἕτερός τις, καὶ τρίτος ἄλλος, καὶ λοιποί τινες ὁ καθένα βραχύ τι γράψαντες ἀναπαύεσθε· ἡμᾶς δὲ ἀξιώσετε διὰ βίου κυπτάζειν περὶ γραφάς. Καὶ ὑμεῖς μὲν λακωνίσετε· ἡμεῖς δὲ λόγους κατατενοῦμεν μακρούς. Τί δὲ μὴ καὶ ὑμεῖ; ὡς ἀπὸ συνθήματος τὰ γραφεῖα χειρισάμενοι πάντες, καὶ τόμους ἐπιστολῶν καταρτίσαντες, εἶτα εἰς φόρτον σκευασάμενοι διαπέμπεσθε, ἵνα καὶ ἡμεῖς ἀνταποδιδόντες τὰ ἴσα εἰς τὰ ὅμοια διασκευάζωμεν ἑαυτούς; Ἔοικε δὲ ὑμῖν μὲν κεῖσθαι νόμος, ἕκαστον ἐν μέρει λαλεῖν, ὅτε καὶ βούλοιτο· ἡμᾶς δὲ ἀεὶ καὶ πρὸς πάντας γράφειν, καὶ εἰς λαλιὰν μακρὰν γυμνάζεσθαι· εἰ δὲ μὴ οὕτω ποιοῦμεν, μεμεῖσθαι. Ἀκούετε ὀνομάτων, οἷς ῥᾳδίως μετρητοῖς ἐκ πολλάκις τοσούτων ἔδει τὰς ἀπαιτουμένας ἐπιστολὰς διαπέμπεσθαι. Προσαγορευθήτω ἀφ' ἡμῶν ὁ πανεντιμότατος ὁ δεῖνα, ὃν οὐκ οἶδα, ποῦ ποτε ἐντρανίσας ἀναλαμβανόμενον ὄψομαι· διὸ οὐδὲ τὴν κλῆσιν τῆς εἰς τιμὴν ἀναβάσεως ἐξεθέμην, ἀγνοῶν τὴν ἀνύψωσιν. Ὁμοίας προσαγορείας καταξιώσατε καὶ τὸν κάλλιστον ἐν φίλοις τὸν δεῖνα· ὃς οἶδα μὲν ὡς δυσχεραίνει, μὴ προσφωνηθεὶς ἐπιστολικῶς· στέργειν δὲ ἀξιῶ, καθὰ καὶ ἡμεῖς. Ἅπαξ γὰρ ἐλάλησε, καὶ ἅπαξ ἤκουσεν. Ἡμεῖς δὲ οἱ γέροντες τὸ ἔθος οὐχ ὑπερέβημεν, ἀλλ' ὑπερανέβημεν. Πρόσρησις φιλικὴ γενέσθω καὶ πρὸς τὸν θεοσεβέστατον ἐκδικον τὸν δεῖνα, ὃς καὶ ἀξιωθήτω ἡμῶν ὑπερεύχεσθαι. Χαιρετισμὸν δι' ὑμῶν ἀποστέλλω καὶ τῷ ἡγιασμένῳ δεσπότῃ μου τῷ δεῖνι, περὶ οὗ καὶ μαθεῖν ἀξιῶ ἢ ἐξ ἐκείνου, ἢ ἀφ' ἡμῶν, πῶς ποτε ἔχων ἐστί. Τῶν λογιωτάτων γραμματέων, τοῦ ἁγιωτάτου δεσπότου, τῶν φιλτάτων μοι Γρηγορίων ὁ μὲν εἷς, ᾧ καὶ πλεῖόν τί ἐσμεν προσήκοντες διὰ τὸ ἐντόπιον, ἠξίωσε τάχα ἡμᾶς λόγου βραχέος διαμηνυσάμενος γράφειν αὐτῷ, καὶ ταῦτα ὀκνοῦντι ποιῆσαι τὸ ὅμοιον· ἡμεῖς δὲ προσαγορείας ταύτης δι' ὑμῶν ἀνταξιοῦμεν αὐτὸν, μεῖζόν τι ποιοῦντες.

Τὸ μὲν γὰρ ἡμέτερον ἴδοι βέβαιον· τὸ δὲ ἀπ' αὐτοῦ τάχα ὁ ἐλθὼν εἰς ἡμᾶς ἐπλάσατο, οἰκειούμενος ἑαυτῷ μεγάλου ἀνθρώπου γνωριμότητος. Ὁ δὲ ἕτερος κύριος Γρηγόριος, καὶ ταῦτα Μουσῶν Ἀττικῶν ἔκγονος ὢν καὶ γῆς, ἐξ ἧς οἱ λόγοι, οὐδένδς σὐδὲ τοιούτου ἡμᾶς ἠξίωσεν οὐδὲ ἐν προσχήματι. Ἡμεῖς δὲ ἀσπαζόμεθα προσαγορευτικῶς· ὁμοίως καὶ τὸν δεῖνα. Προσείπατε καὶ τοὺς ἐλάττονας δομεστίκους, τὸν δεῖνα καὶ δεῖνα. Καὶ οὗτος μὲν πολλάκις ἔγραψεν ἡμῖν, καὶ μεμνῆσθαι ἡμῶν ἔδειξε· καὶ τύχοι μνήμης θείας ἐπ' ἀγαθῷ· ἐλεήσαι αὐτὸν ὁ Θεός· καὶ γραφέτω πάλιν ἔχων καλῶς, πεπληροφορημένος, ὅτι οὐκ ἐπιλήσμονες φιλίας ἡμεῖς, ὡς διαδείξει καιρός· ὁ δὲ ἕτερος καὶ ὀνειδισθήτω, οἷα μηδέποτε μνησθεὶς ἡμῶν. Εἰ δὲ διὰ τοῦτο ἡμεῖς ἀνάξιοι μνήμης, ὅτι μὴ κατ' ἐκεῖνον τὸν πρὸ ἡμῶν μακάριον ἀρχιερέα βρίθομεν ταῖς χερσὶν, ἀλλ' ἀναμνησθήτω, ὅτι παλαίτατος ἀφ' οὗ χρόνος καὶ ἡμᾶς ἐν τῇ τοιαύτῃ ἀνομοιότητι καὶ ἠσπάζετο καὶ ἐγνώριζε. Τί δὴ νῦν, εἰ μὴ λύπη τις ὑποσμύχεται, τὸν δεῖνα μικροῦ ἂν ἐξελαθόμην προσφωνῆσαι; Διατί; Ὅτι καὶ αὐτὸς ἡμᾶς. Κατάρχω δὲ ὅμως, αἰδούμενος ἀντ' αὐτοῦ· ἠγγάρευσα δὲ ἂν αὐτὸν λαλιὰν ἐξ ὑμῶν προσαγορευτικὴν κομίσαι καὶ τῷ οἰκείῳ ἀδελφῷ, τῷ λογιωτάτῳ καὶ ἐνεργεστάτῳ καὶ καλλίστῳ φίλῳ. Ἀλλ' ὁ μὲν οἶδα ὡς ὀκνήσει ἀκκιζόμενος· καὶ (οἷος αὐτὸς) τὰ πολλὰ παραιωρήσει μὲν, τὰς χεῖρας ὑποσείων ἠρέμα ἐν τῷ βαδίζειν, παρακλινεῖ δὲ καὶ τὴν κεφαλὴν ὡς οἷα τρυφερευόμενος, καὶ παραδραμεῖται καὶ αὐτὸν τὸν ἀδελφόν. Ὑμεῖς δὲ ἀναπληρώσατε κἀνταῦθα τὸ αὐτοῦ μὲν ἔλλειμμα καὶ ἡμέτερον θέλημα. Οἶδατε, οἷος φίλος ἡμῖν ὁ δεῖνα· ὅτι δὲ καὶ γέμει τῶν πιττακίων αὐτοῦ ὁ ἡμέτερος κόλπος, ἰδοὺ ἀναδιδάχθητε καὶ αὐτό. Καὶ ὅμως ἀρκέσει αὐτῷ, προσαγορευθῆναι ὑφ' ἡμῶν. Αἴτιοι δὲ ὑμεῖς, τὸ τῆς γραφῆς πλῆρες εἰς ἑαυτοὺς καθελκύσαντες. Τί δὲ ὁ δεῖνα, ὁ τὰ πάντα καλός; ὁ καλὸς παπᾶς; ὁ καλὸς ῥήτωρ; ὁ πάνσοφος; Πόσων γραφῶν ἡμετέρων ἄξιος, ὅτι καὶ αὐτὸς οὐκ ἀνῆκεν, εἰς ἡμᾶς τοῦτο ποιῶν; Ἀλλ' εἰς ἡμετέραν πομπὴν εἰπεῖν καὶ ταυτὸ θρίαμβον, ἀρκεσθήτω προσαγορευόμενος· μὴ καὶ ὄκνος δὲ αὐτοῦ καθίκοιτο ἐπιστέλλειν, καθὰ καὶ πρότερον. Τέως μὲν γὰρ προσηγορεύσαμεν· ἄλλοτε δὲ καὶ πλατὺ γράψομεν. Τὸν ὑπέρκαλον φίλον ἡμῶν, ὦ Κυριωάννη, τὸν αὐθέντην σου, ἄσπασαι ἀφ' ἡμῶν, καὶ ἀξίωσον μεμνῆσθαι ἡμῶν· καὶ σὺ δὲ τὸν οἰκεῖον, ὦ κῦρ Βασίλειε, τὸν δεσπότην μου, τὸν δεῖνα μαῖστορα. Εἰ μὲν καὶ ὀνειδίσεται τῆς εἰς ἡμᾶς ἀμνηστίας, οὐ λυπήσετε ἡμᾶς· κάλλιον δὲ ποιήσετε, προσεικόντες τὰ συνήθη. Θέλω δὲ ὑμᾶς ἐξειπεῖν τῇ αὐτοῦ ἀγάπῃ, ὅτι φορτικὸν οἶμαι τὸ μὴ γραφῆς ἀξιοῦν τὸν μεγαλοδοξότατον Δούκαν ἡμῶν, τὸν φίλον αὐτοῦ. Ἐὰν δὲ τυχὸν εἴπῃ οὕτω ποιεῖν, τότε δὴ βαρεῖς ὑμεῖς ἐπιπεσόντες αὐτῷ ἐμπλέξατε, καὶ πλατύνατε τὸν ὀνειδισμὸν, φάμενοι, διατί μὴ καὶ ὁ Θεσσαλονίκης τοῦτο ἐγίνωσκεν. Ἐγίνωσκε δὲ ἄν, ἐὰν σὺ μὲν πρὸς τὸν φίλον ἔγραφες, αὐτὸς δὲ ἐξ ἐκείνου τοῦτο ἐμάνθανε. Νῦν δὲ ἡ οὐ γράφει; τῷ φίλῳ, καὶ κακὸν πρᾶγμα

ποιεῖς· ἢ γράφων ἀμνηστεῖς τοῦ Θεσσαλονίκης· καὶ οὐδὲ τοῦτο καλόν. Ὁ Περατικὸς μέγας παπᾶς μαθέτω, ἡμᾶς μὲν καλῶς ἔχειν, τὸν δὲ υἱὸν αὐτοῦ περιαῤῥωστεῖν· καὶ εὐχέσθω ὑπέρ τε ἡμῶν καὶ ἐκείνου. Εἰ δὲ θέλων ἐλθεῖν εἰς ἡμᾶς πτοεῖται τὸ τῆς θαλάσσης ὄχημα, ἡμεῖς ἄλλο τι τό γε νῦν ποιῆσαι οὐκ ἔχομεν, ἕως ἂν τεκτήνηταί τις ἡμῖν ἵππον δούρειον, ἢ καὶ εἰς τέτρωρον ἐλεφάντων εὐπορήσωμεν. Ὁ τοῦ δεῖνα πατὴρ εἴθε ὑγιαίνοι. Καὶ ἀναδιδαχθήτω, οὕτως ἔχειν καὶ ἡμᾶς, Θεοῦ βοηθοῦντος. Τοὺς σοφωτάτους θεοφιλεστάτους μου ἀδελφοὺς προσκυνῶ, τὸν δεῖνα καὶ δεῖνα (ποίοις δὲ τῶν ὀνομάτων ἀγορεύσω αὐτούς, ἀγνοῶ· ἀναδιδαχθείην δὲ τὰ κάλλιστα)· ὡσαύτως καὶ τὸν καλόν μού ποτε ἀρχιδιάκονον. Οὐκ ἂν δὲ ἐνταῦθα λαθοίμην οὐδὲ τοῦ θαυμασιωτάτου δευτερεύοντος, ἀλλὰ προσκύνησιν καὶ αὐτῷ δι' ὑμῶν διαπέμπομαι. Φιλικῆς προσρήσεως ἀναμνήσατε καὶ τὸν .... ἀῤῥ.... βινδηνὸν (εἴθε καὶ μὴ λύσοι τὴν γλῶσσαν, καὶ οὕτε ἡμᾶς ἀφήσει τοῦ κατακλῦσαι, καὶ ἡμεῖς αἰσθησόμεθα)· ὁμοίως καὶ τὸν ἀδελφὸν καί ποτε σύντροφόν μου τὸν δεῖνα, τὸν καὶ αὐτὸν ἐκ τῆς ἑβδομάδος μου· ἔτι γὰρ οἰκειοῦμαι αὐτήν, καὶ οὐδὲ παύσομαι οἰκειούμενος, καὶ ἐπ' αὐτῇ καυχώμενος. Προσφωνήσατε δικαίῳ ἡμῶν καὶ τοὺς τοῦ μακαρίτου Λήμνου· καὶ τοὺς καλούς μού ποτε συντρόφους, τοὺς τῆς εὐεργέτιδός μου ἁγίας Εὐφημίας κληρικούς· οἵ καὶ γινωσκέτωσαν, ὅτι, ὥσπερ οὐκ ἐμαυτοῦ, οὕτως οὐδὲ αὐτῶν ἐπιλανθάνομαι. Εἰ δὲ μὴ καὶ πρὸς πρᾶγμα ἐκφαίνειν τοῦτο δεδύνημαι, οὐδὲν θαῦμα· οὔπω γὰρ καιρός. Τὸν πανεντιμότατον δεσπότην μου τὸν σακελλίου καὶ παρὼν ἐσεβαζόμην, καὶ νῦν οὐκ ἄλλως διάκειμαι. Δηλώσατε οὖν τοῦτο τῇ αὐτοῦ τιμιότητι προσκυνητικῶς. Γινωσκέτω δὲ, ὅτι, περὶ οὗ παρηγγέλθημεν, ζητοῦντες οὐκ ἀναπίπτομεν· ὃ δὲ θέλομεν, οὐχ εὑρίσκομεν· ἀλλὰ ἐλπίδας μὲν οὐ στερρὰς ἔχομεν ἐξευρίσκειν, ἐντελέστερον δὲ οὔπω οὐδὲν ἔχομεν. Ὁ λογιώτατος διδάσκαλος ὁ δεῖνα εἰ καὶ κατανωτισάμενος ἡμᾶς ἔοικε, λέγειν αἰδῶς ἐν ὀφθαλμοῖς· ἀλλ' ὑμεῖς ἡμετέραν αὐτῷ διακομίσασθε πρόσρησιν, ἅμα καὶ ὑπολαλοῦντες ὀνειδιστικώτερον, ὅτι οὐκ εἶναι πάντη ψευδὲς ἔοικε τὸ τοῦ Εὐσταθίου ὑπονόημα, ὅτι τὰ τελευταῖα τοῦ φίλου ἀποθύμια ἦσαν αὐτῷ· οὐ γὰρ ἂν εἰς τοσοῦτον ἐσίγησε, καὶ τὸν πάνυ γνώριμον οὕτω ταχὺ ἀπέμαθεν. Ἕδει με τοῦ ποτε ἐν τοῖς πρώτοις τῶν φίλων, τοῦ λογιωτάτου δεῖνος, μηδὲ μνησθῆναι τὸ σύνολον, πρᾶγμα παθόντος ἢ καὶ ποιήσαντος ἡμῖν ἀκαραδόκητον, τὴν εἰς τοσοῦτον λήθην καὶ τοσαύτην σιγὴν καὶ ἀνάπτωσιν. Τί γὰρ καὶ προβαλεῖται, εἰ μὴ τυχὸν τῆς Μεγαλοπόλεως; γέγονεν ἔκδημος; Τοῦτο γὰρ καὶ μόνον αὐτῷ πρὸς ἀπολογίαν ἱκανὸν ἐκκείσεται. Ἀλλ' ἐγὼ μέμνημαι, καὶ οὐδὲ παύσομαι οὕτω ποιῶν· καὶ γενέσθω τοῦτο δῆλον τῇ ἀγάπῃ αὐτοῦ. Ἀκούετέ που περί που τὰ τοῦ φόρου νοτάριον τὸν δεῖνα, γνώριμον ἡμῖν ἐκ παλαιοῦ. Οὗτος οὐκ ὤκνησε δι' ἐπιστολῆς προσφωνῆσαι ἡμᾶς. Ἀμειβόμεθα οὖν καὶ ἡμεῖς αὐτὸν τοῖς ἴσοις διὰ τῆς ὑμετέρας ἀγάπης. Νομίζω, τοῖς πανιερωτάτοις δεσπόταις μου, τῷ δεῖνι καὶ δεῖνι, διαλείπειν ἄρτι τὴν ἐν τῇ Μεγαλοπόλει διατριβήν, στοχαζόμενος ἀφ' ὧν εἰκός· εἰ δὲ ἔχει τούτους ἡ μεγίστη τῶν πόλεων, προσκυνῶ καὶ δηλοποιῶ δι' ὑμῶν, ὅπερ αὐτοὶ διὰ τὴν κατὰ Θεὸν ἀγάπην ὑπὲρ ἡμῶν εὔχονται, τὴν ἐν τοσαύταις μερίμναις καὶ κόποις θεόθεν ὑγείαν καὶ ὑπομονήν. Ἀλλ' ἡμεῖς πλεονάζομεν ἰδοὺ κἀνταῦθα τὴν φιλίαν, καὶ προσλαλοῦμεν τὸν ἄφιλον. Εἰσὶν ἡμῖν καὶ ἕτεροι Ἀσκληπιάδαι φίλοι. Ἀλλὰ τούτων ὁ μὲν δικαίως προσαγορεύεται παρ' ἡμῶν, ὁ δεῖνα· πολλάκις μὲν γὰρ ἔγραψεν. Ὁ δὲ δεῖνα ἐς κόρακας, ὁ κακός· οὐδὲ γὰρ, ὅτι ζῇ, ἀνέμνησεν ἡμᾶς. Τύχα δὲ, εἰ παρῆν ὁ θεῖος αὐτοῦ, ὤθησεν ἂν αὐτόν. Ἦν δὲ καὶ τότε χωρὶς ἐκείνῳ. Ὃν ἀφῆκα θεοφιλέστατον διδάσκαλον, τὸν Ῥαδηνὸν, οἶμαι καταμέμφεσθαι ἡμῶν, τὸ μὴ γράψαι αὐτῷ. Ἀλλ' αὐτὸς μὲν ἀναμνησθείς, ὅτι οὐ τοιοῦτος εἰς ἡμᾶς, παύσει τὴν μέμψιν· ἡμεῖς δὲ καινίζοντες τὴν ἀγάπην, ποιοῦμεν, ὅπερ οὐκ ἐκεῖνος, προσαγορεύοντες αὐτόν. Ἀλλ' οἷός με διεξέφυγε παρὰ βραχὺ Ῥαδηνὸς, ὁ κάλλιστος φίλος, ὁ καὶ γλυκὺς εἰπεῖν, καὶ πρᾶξαι ταχὺς καὶ ἐπιτυχής· ὁ θερμὸς εὐεργετῆσαι, καὶ εἰς ἀντιληπτικὴν χειραγωγίαν εὔδρομος. Ἀλλ' εἰς τοῦτον οὐδὲν χρὴ κοπωθῆναι ἡμᾶς. Ἀλλ' ὁ κύριος Στέφανος τὴν ἐξαδελφότητα δυσωπηθείς, ἀμυδρᾷ μὲν καὶ φειδομένῃ τῇ φωνῇ, προσαγορεύσει δ' οὖν, ἀφ' ἡμῶν ἀπαγαγὼν τὴν χεῖρα βραχύ τι τοῦ στόματος. Ὁ Ἀντιοχείτης εἰς μελαντηρίαν ἐπὶ τούτοις βάπτεται, πολὺν προβεβλημένος τοῦ προσώπου τὸν ὦχρον. καὶ τοὺς ὀφθαλμοὺς ἀγριοῖ συνάγων εἰς ὀργήν, καὶ παραβλέπει τὴν ἐπιστολήν, ποῦ ποτε αὐτῆς κεῖται. Καὶ ἰδοὺ καὶ αὐτὸς καὶ ἐχέτω καλῶς, βοηθούμενος ἐκ Θεοῦ, καὶ μεμνήσθω ἡμῶν. Ἐὰν δὲ προσκυνήσῃ ἀφ' ἡμῶν τὸν παναγιώτατόν μου δεσπότην, τὸν πατριάρχην θεουπόλεως, καὶ ἐξαιτήσηται ἡμῖν εὐχήν, εὐχαριστοῦμεν αὐτῷ, ὡς ἀντὶ βραχυτάτης ταύτης ἐπιστολῆς ἐπιστολὴν ἀντιδόντι ἁγιασμοῦ. Πραγμάτευσαί μοι καὶ σὺ, ὦ κύριε Ἰωάννη, εὐχὴν ἁγίου ἀνδρὸς, τοῦ Τετραγωνίτου, διὰ μέσου τοῦ φίλου, τοῦ μαθητοῦ ἐκείνου· ὃν καὶ πρόσειπε ἀφ' ἡμῶν. Οὕτω δὲ καὶ τὸν γενόμενόν ποτε Ξανθείας· εὑρήσεις γάρ που καὶ αὐτὸν, καὶ ἀναδιδάξεις, ὅτι ὑγιαίνομεν, μεμνημένοι αὐτοῦ, ὅπερ διὰ γραφῆς ἡμετέρας μαθεῖν ἠξίωσεν. Εἰ δὲ καὶ τὸν δεῖνα ἰσχύσεις που ἰδεῖν, μὴ ὀκνήσῃς προσειπεῖν, ὅτι μηδὲ αὐτὸς ὤκνησεν ἐγγράφως μεμνῆσθαι ἡμῶν. Ὀκνεῖτε, οἶμαι, τὰς ἀγγαρείας ταύτας, ὦ σπουδαιότατοι, καὶ ἀναπίπτετε· καὶ ταῦτα οὔτε σταδίοις οὔτε μιλίοις ὁριζομένας, ἀλλὰ τὰς πλείους ἐνοδίους γενησομένας. Ἐὰν δὲ ὑμεῖς οὕτω, τίς ἂν εἴη ὁ πρὸς τοσούτους μέλλων ἐγχαράττειν γραφάς; Ἐμοὶ δὲ οὔπω πέρας τὰ φιλικὰ ὀνόματα ἔσχεν, ἀλλ' ἐπιῤῥέει οὐχ ἧττον ἢ τῷ Ὁμηρικῷ Λαερτιάδῃ τὰ τῆς νεκυίας εἴδωλα· εἴδωλα γάρ πως καὶ αὐτὸς τῆς τῶν φίλων οὐσίας καλῶ τὰ ὀνόματα. Οὐκοῦν κατ' ἐκεῖνον ἕλκω καὶ αὐτὸς τὸ ξίφος τὸ τμητικὸν τῆς ἐπιστολῆς, καὶ ἀποσοβῶ τὰ ἐπερχόμενα, καὶ παύω ὑμᾶς τοῦ ἀσχάλλειν. Καὶ ἐγὼ μὲν οὕτω, δεδοικὼς τὴν ὑμετέραν Κίρκην, ἥτις ῥᾳδίως οὕτω τοὺς ἀνθρώπους ἀποθηριοῖ, ὅσοι

μὴ προσφθέγγονται ἡμᾶς· ἤδη δὲ καὶ ὁ δεῖνα, ὃν ὑμεῖς κατ' ἐκείνην τὴν πάλαι τῷ καθ' ὑμᾶς κυκεῶνι εἰς χοῖρον μετεσκευάσατε. Ἄλλον γάρ τινα τῶν ὑμετέρων, μὴ γένοιτο ὑμῖν. Ἀρκούντως γὰρ οἱ λοιποὶ τὸ τοῦ Ἑρμοῦ μῶλυ φέρουσι φωνήν, καὶ αὐτὸς ἀναλαμβάνει. Καὶ οὐ κατὰ τὸν Γρύλλον τοῦ Χαιρωνέως σοφοῦ, ἀλλὰ κατὰ τὸν ὄντως ἄνθρωπον φθέγξεται· καὶ τὸν κυκεῶνα ἡμῖν περιτρίψει, καὶ ποιήσει, μὴ τοιαῦτα αὐτοῦ καταφθέγγεσθαι. Καὶ (νομίζω) εὔξησθε ἄν, σιγᾷν αὐτὸν διὰ βίου, ἢ θέλειν γράφειν. Εἶδον γὰρ αὐτὸν κατὰ τὴν κωμῳδίαν ὀξυλάλον ὀδόντα θήγοντα, καὶ θυμοῦ πνέοντα. Ὁ Θεὸς φυλάξαι ὑμᾶς ὑγιεῖς καὶ παντὸς κακοῦ ἀπαθεῖς. Καὶ ἀντιγράψοιτε ἡμῖν, εἴ τι καλόν· καὶ πρὸ πάντων εἰς πλάτος τὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως ἀριστεύματα· ἃ περιᾴδονται μὲν, B σὺκ εἰς εὐδιάρθρωτον δὲ ἡμῖν ἔτι περιηχοῦνται. Φθονεῖτε γὰρ ἡμῖν (οἶμαι) τοῦ καλοῦ, ἵνα μόνοι καταπολαύοιτε· οὐκ εἰδότες, ὅτι καὶ ὑμῶν ἀκόντων αὐτὰ περιηχησόμεθα, καὶ ὑμῖν χάριν οὐδεμίαν οὐδὲ ἐντεῦθεν εἰσόμεθα. Ὦ μοι τῆς λήμης, ὦ μοι τῆς παρρᾳσεως, ἐὰν ἄλλοις μὲν τῶν φίλων ἐνετράνισα, τὸν δὲ λογιώτατον δεῖνα ἀφῆκα ἰδεῖν· ὃν ὑμεῖς ἦὖν τε μέγαν τε προσφωνοῦντες οὐ ψεύδεσθε· ὅμοιον, ὡς ἐὰν καὶ ἐπὶ τῶν παρ' Ὁμήρῳ Παναχαιῶν τοὺς μὲν ἄλλους προσέβλεπέ τις, ὁ δὲ μείζων Αἴας αὐτὸν ἐλάνθανε. Καὶ τάχα παρέδραμεν ἂν καὶ ἐμὲ, καθὰ καὶ ἐν τῇ περαίᾳ τῆς βασιλίδος τῶν πόλεων τοὺς τιτυσκομένους κατ' αὐτοῦ, εἰ μὴ τῇ διανοίᾳ καταστοχασάμενος αὐτοῦ ἔτυχον. Καὶ ἰδοὺ κατέχω αὐτὸν τῇ ψυχῇ, καὶ χαίρειν προσφωνῶ, καὶ ἀξιῶ C μνήμην ἔχειν ἡμῶν, στέλλων καὶ προσκύνησιν δι' αὐτοῦ τῷ πανεντιμοτάτῳ δεῖνι. Πρόσθετε τῇ ὁμάδι τῶν προσαγορευομένων ἀδελφῶν καὶ τὸν λογιώτατον δεῖνα, τὸν καλὸν ἡμῖν μέχρι Θεσσαλονίκης. Τὸ γὰρ ἐντεῦθεν συνταξάμενος ὥσπερ ἀφῆκεν ἡμᾶς. Ἤθελον δὲ, εἰ ἐπεστράφη καὶ προσέβλεψεν· οὐ γὰρ δήπου δέδοικεν ὀξαλατισθῆναι τῇ ἐπιστροφῇ.

Λ'.

Τῷ Αὐτωρειαρῷ κυρίῳ Μιχαήλ.

Ὡς ἀγαθόν ἐστιν, ἐπωνυμίας πολλὰς ἔχειν, εἶπεν, ὃν οἶδας. Ἐπὶ δέ γέ σοι τὸ τοιοῦτον ἀποβῆναι εἰς οὐκ ἀγαθὸν ἔοικεν. Ἕως μεν γὰρ πρωτονοτάριος ἦς, ἄλλος ἡμῖν ἐφαίνου· ἐπεὶ δὲ πρὸς ἑτέραις ἀξιώσεσι καὶ τὸ ἐκπροσωπεῖν ἔχρωσέ σε πρὸς τὸ σεμνότερον, καὶ ὀνόμασιν ἐπεγράφης λαμπροτέροις καὶ πλείοσι, δέομαι, ὅτι ἐκ προσώπου σου ἐξῆλθεν ἡ φιλία ἡμῶν. Τί σκυθρωποὺς ἡμῖν παραυγάζεις τοὺς ὀφθαλμούς; τί τὸ πρόσωπον συννεφοῖς; Οὐκέτι ἀληθῶς τίθης ἡμᾶς ἐν λόγῳ τῷ πρίν. Καὶ εἰ μὲν διὰ τὰ ἐκλαβόντα σε πράγματα, τοῦτό σοι τάχα αἰτίας ἀπόλυσις· εἰ δὲ ἄλλο τι τὸ ἀπαλεῖψαν ἡμᾶς τῆς σῆς ψυχῆς, ἀλλ' ἐγὼ οὔτε σύνοιδα πταίσας· καὶ ὅτι δὲ ἀπηλίφην, ἐξέδραμέ μοι τοῦ στόματος οὔτι που καθ' ἑκούσιον. Οὐ πιστεύω γὰρ οὕτω παθεῖν, εἰ μὴ καὶ τῆς βίβλου τῶν ζώντων πολλῷ πρότερον ἀπαλιφήσομαι.

ΛΑ'.

Τῷ καλῷ Καιρῷ τῷ ἐξ Εὐρίπου.

Ἀεὶ σὺ οὐ μόνον μεμνῆσθαι ἡμῶν, ὃ πάνυ μέγα A ἡμεῖς οἱ μικροὶ ἔχομεν, ἀλλὰ καὶ μετὰ δώρων μεμνῆσθαι, καὶ τούτων μεγαλοπρεπῶν καὶ ἀξίων πολλοῦ· καὶ οὐδέποτε παύσῃ, τῶν Εὐβοϊόθεν ὡραίων καρπίμων, ὅσα τοῖς κατὰ τὴν Βύζαντος .... τιμῶνται, ἡμῖν κατὰ ποταμοὺς ἐπαντλῶν. Οὕτως εὐδαιμονοῦμεν ἡμεῖς διὰ σέ· οὕτως ἀναπληροῖς ἡμῖν τὸ ἐνδέον· οὕτως εἰς Εὔβοιαν μετασκευάζει: καὶ μεταποιεῖς ταύτην τὴν καθ' ἡμᾶς· οὕτω τὰς ἀποθήκας ἀνευρύνομεν διὰ σὲ, καὶ ἔχομέν σε ἄντικρυς ἐτήσιον ἄφενος, ἢ Δήμητρος καινοτάτην ἀκτήν. Οὐ μὴν ἀλλὰ καὶ Κυκλώπειος ὄμβρος ὥριος ἡμῖν ἐπιῤῥήγνυταί σοι, ἄσπαρτα καὶ ἀνήροτα πάνθ' ἡμῖν αὐτόθεν ἀνιεὶς τὰ ἀγαθά. Τί μοι ὁ καθημέριος τῆς ποιήσεως; βότρυς; ὃν ἀλλαχοῦ τε γῆς βλαστάνειν ὁ γέρων μῦθος σεμνολογεῖ, καὶ ναὶ δὴ καὶ περὶ ταύτην ἦν ὅτε τὴν B κατὰ σὲ, ἀφ' οὗπερ ὀσημέραι σπονδὰς οἱ ἐγχώριοι τῷ Διονύσῳ ἀπέθλιβον. Ἀλλ' ἐκεῖνος, εἴ τι καὶ πειστέον τῷ μύθῳ, βότρυς ἦν, καὶ βότρυς εἷς, καὶ οὗτος τυχὸν ὁ ὀμφακίας· καὶ τὸ ἐκεῖθεν θλιβόμενόν τε καὶ ἀποῤῥέον, ὅσον ἂν ἀποστάξειε βότρυς· ὡς μόλις ἂν τὸ ἐκεῖθεν ἐκπιεζόμενον, εἴ τις ἐφ' ὅλον ἔτος εἰς ἄγγος ἂν ἐπισυνάγειν ἐθέλοι, μίαν ἐπιχειλῆ ποιήσασθαι λάγυνον. Σὺ δ' ὅλους ἡμῖν αὐτόθεν ἀμφορεῖς Διονύσῳ τελουμένους ὁσῶραι ναυστολεῖσθαι ποιεῖς, καὶ τούτους νέκταρος ἐρυθροῦ καθ' Ὅμηρον ἀποῤῥῶγας, καὶ τοῦ Ἰσμαρικοῦ, ὃς καὶ τὸν ἄγριον ὑπέσανε Κύκλωπα, μηδὲν ἀποδέοντας. Σιγῶ τὰς κολυμβάδας· ἐῶ τὰ ὀξωτά· τὰ τῷ κιτρίῳ εὖ μάλα κατηρτυμένα καὶ πρὸς ἡδονὴν ἐσκευωρημένα σκευάρια. Τί γάρ μοι τούτοις ἐνδιατρίβειν, ἐξὸν ἐκεῖ ο εἰπεῖν, ὅτι περ ἀποπλουτεῖς ἡμῖν, καὶ ὅτι κατὰ τὸν Ἀλεξάνδρου ὅρον ἔοικεν ἐν σοὶ κεῖσθαι ἡμῖν ὁ θησυρός; Εἴην ἂν ἐγὼ προσήκων μᾶλλον, ἤπερ Διομήδης ἐκεῖνος, σεμνύνεσθαι, ἢ ὁ τούτου δορύξενος; Γλαῦκος, ὅτι σε ξεῖνον φίλον τοιοῦτον οὐκ ἐν Ἄργει μέσῳ, ἀλλ' ἐν Ἑλλάδι μέσῃ ηὑτύχησα. Ἡμεῖς δὲ τί σοι πρὸς ταῦτα; Τί δ' ἂν σχοίημεν ἀντιμετρῆσαι τοῖς ἀγαθοῖς σου; Ἡμεῖς μὲν οὐδαμῶς· ὁ δὲ Θεός σοι ἀντιδοίη τὰ ὧν ἄξιος εἶ. Εἰ δὲ τοῦ παντὸς, ἀνθρώπων πάντων κάλλιστος ὢν καὶ ἐλευθεριώτατος, καὶ τὸν ἑταῖρον μὴ ψευδόμενος· καὶ τί γάρ, ἢ Ἑρμοῦ παῖς, καὶ Μουσῶν ὑποφήτης, καὶ Χαρίτων πασῶν μέλημα, καὶ τῆς Ἑλληνικῆς ἐκείνης τῆς παλαιᾶς εὐγενείας σπινθήρ; Ἡμεῖς δέ σοι ἐκεῖνο προσεπασόμεθα, ὃ καὶ πάλαι τις τῶν ὑπεραντλουμένων εὐτυχίαις ἀνέκραγε, μικρὸν παραποιήσαντες· στῆσόν ποτε τὴν χεῖρα· ἅλις ἡμῖν τῆς σῆς ἀγαθοχυσίας. Ὅσον γὰρ ἡμῖν ἐπιδαψιλεύῃ τὰς χάριτας, τοσοῦτον τὴν ἡμῶν στηλιτεύεις οὐθένειαν. Οὐδὲ γὰρ ἔχομεν, ὅ τι τῆς πρὸς ἡμᾶς σου χρηστῆς διαθέσεως ἐνδειξόμεθα ἄξιον.

ΛΒ'.

Τῷ οἰκουμενικῷ.

Ἦλθόν μοι πρόσφατοι Θεοῦ φωναὶ· θεόφθογγα ὡς ἐξ οὐρανοῦ μοι κατεπέμφθησαν ῥήματα. Μάννα μοι ἐπεβρέχθη θεῖον, καὶ τοῦτο συχνὸν καὶ ἄλλο ἐπ' ἄλλῳ, καὶ τὴν πρώην πεῖναν ἠκέσατο. Φωτεινός τις ἦλθε, φέρων μοι τοιαύτην παραψυχὴν, γράμμα δεσπότου· ἐν ᾧ καὶ προσταγθεὶς περὶ ὀφφικίου, ἅμα

ἐπῆλθον τὰς περὶ τούτου προσκυνητὰς συλλαβάς, καὶ αὐτίκα (ἔτυχε γὰρ ὥσπερ κατὰ θεῖον σφραγίδων τοιούτων καιρὸς) ἐπλήρωσα τὸ προσταχθὲν, εἰς ὅσον δύναμις· θατέρᾳ μὲν ταῖν χεροῖν ὀχῶν ἔτι τὸν τίμιον χάρτην εἰς βάσταγμα, θατέρᾳ δὲ τὴν σφραγῖδα διατυπούμενος. Μικρὸν καὶ ἕτερος ἄγγελος ἦλθέ μοι χαρμονῆς, ὁ σύνδουλός μου ὁ ἐκκλησιαστικὸς, διάκονος ὁ δεῖνα· καὶ τὸ μίννα τῆς ἡδονῆς ἐπληθύνετο. Κἀντεῦθεν, εἴ πού τις πικρία ὑπῆν, οὐκέτι ἦν. Σῶζοιό μοι ἐπὶ μακρὸν, οὐράνιε, τὴν ἀρετὴν πανάγιε δέσποτα· καὶ ἐπιβρέχοις ἡμῖν τὰ ἀγαθά· εἰ δὴ τοιοῦτον χάρμα τῷ δούλῳ σου τὸ ὀλιγοσύλλαβον τῆς γραφῆς, πηλίκον τὸ πολύστιχον; Πλάκες μοι ταῦτα θεῖαι. Ἐκεῖνο βιβλίον τὰ θεῖα ψωμίζον με· ἀνεῳγότος ὄμβροι μοι τοῦτο. Ἐκεῖνο Χαρίτων ὠκεανός· τὸν ἐπὶ τῇ εἰσόδῳ τῆς νηστείας λόγον φημί. Ὢ οἵου καλοῦ ἄγευστος ἐγώ! ὢ οἵας σοφίας ἀνήκουστος! Ἦν ὅτε καιρὸς, ὅτε καὶ ἀνθρωπίνως ἐλάλουν, τὰ ἐμὰ φθεγγόμενος· ἀλλὰ καὶ ἀγγέλου γλώσσῃ ἐλάλουν, τοῖς τοῦ μεγίστου δηλαδὴ ἀρχιερέως ὑποφητεύων διδάγμασι. Νῦν δὲ τὸ μὲν ἐμὸν οὐκ οἶδα εἰ περιλέλειπταί μοι, τὸ δὲ ἀγγελικὸν ἐπιλέλοιπε φώνημα· καὶ ὅμως μακαρίζεταί μοι τὰ τοῦ λαλεῖν ὄργανα, δι' ὧν ἐκεῖνο τὸ μέλος ἔῤῥεε τὸ γλυκὺ, ὡς ἐὰν καὶ σωληνά τις ἐν μακαρισμῷ τιθείη, δι' οὗ καλὸν ὕδωρ διωχετεύετο. Γένοιτό μοι πεσεῖν καὶ τὸ τοιοῦτον καλὸν ἐπὶ χεῖρας, καὶ ἁγιασθῆναί μοι τὸ πᾶν· τὰς χεῖρας ἀνελιττούσας καὶ διαψηλαφώσας τὸ ἅγιον· τὰ ὄμματα περιιόντα, καὶ ταῦτα ἑκατέρας ἐννοίας· τὸ μὲν τῇ κατὰ ἀνάγνωσιν ἐπελεύσει τὰ ἐκτὸς, τὰ δ' ἐντὸς τῷ φωτὶ τῆς θείας ἐναυγάζομαι γνώσεως· τὰ χείλη πτυσσόμενα, καὶ αὖ πρὸς ὑποδοχὴν ἁγιασμοῦ ἀνοιγόμενα· τὸ στόμα πληρούμενον τοῦ ἐκεῖθεν γλυκάσματος καὶ τῆς ἐπὶ τούτῳ αἰνέσεως· τ[ὸ] ὅλ[ον] ἐντὸς, τὸ διὰ παντὸς αὐτοῦ ἰκνεῖσθαι τὰ τῆς διδασκαλίας καλά. Καὶ τοῦτο μὲν ἐπετάχθη γραμματικὸς σύνδουλός μοι· εὖ οἶδα, καὶ γίνεται. Καὶ ἐγὼ εἰδείην ἂν ἐκείνῳ χάριν ἤματα πάντα, εἰς τοιοῦτόν μοι ἀγαθὸν ὑπουργήσαντι. Ἐγὼ δὲ καὶ ἔτι τολμῶν δέομαι. Ἐπί τινων πρὸ ἐμοῦ τοῦ ἀχρειοτάτου ἁγίων ἀρχιερέων παρεχωρήθησαν Ἑβραῖοι πλατυνθῆναι· οὐκ οἶδ', εἴτε κατὰ λήθην, εἴτε καὶ κατὰ εἴδησιν ἐκείνων, εἴτε καὶ κατὰ θείαν τινὰ κέλευσιν. Τοῦτο δὲ οὐχ εὑρίσκεται. Καὶ ᾤκησαν οἱ μὲν ἐν ἐρειποτοπίοις Χριστιανικοῖς, ἀνοικισθεῖσιν ὑπ' αὐτῶν· οἱ δὲ καὶ ἐν οἰκήμασιν, ἐν οἷς ᾤκουν Χριστιανοί· ὧν οἰκημάτων τινὰ καὶ θείοις εἰκονίσμασιν ἠγλαΐζοντο καὶ ἐψάλλοντο· καὶ οὐδεὶς ἦν ἕως καὶ χθὲς ὁ λαλῶν. Ἄρτι δὲ ἔκ τινος ἐριθείας ἐλαλήθη τὸ πρᾶγμα· καὶ ἐμοῦ τὸ ἐντεῦθεν ἀναγκαίως ὑποκινήσαντος, ἐδόθη πρός τινων καὶ κατάστιχον· καὶ ἔχουσι τοιαῦτα οὐ μόνον ἡ μητρόπολις, ἀλλὰ καὶ ἕτερα πρόσωπα. Ὅτι γοῦν ἐμοὶ οὐκ ἐγενήσεται, εἰς τὸ πᾶν κατορθῶσαι, εἰ μὴ ἐκ τῆς μεγάλης ἁγιωσύνης σου συνετισθῶ, ἵνα καὶ ὑπακούωμαι· τολμῶ καὶ ἐρωτῶ, τί ὀφείλω ποιῆσαι; ἵνα προσκυνήσας ἐγχειρήσω καὶ τελειώσω εἰς ἀγαθόν.

ΛΙ'.

Καὶ παντὸς μὲν τέλους ἀποτυχία λυπεῖ ἄνθρωπον· ἡ δὲ τοῦ ἀγαθοῦ καὶ μάλιστα τὸν οὐκ ἔξω νοὸς ῥεμβόμενον. Τί δὴ πάσχειν ἐμὲ εἰκὸς, τοῦ ἐμοὶ δεόντως ἐφετοῦ ἀποτυγχάνοντα (εἰ μὴ ἐκπίπτω, λογισμῷ ἀδιοίκητος), ἢ πάντως πάσχειν λύπην τὴν ἐπὶ μάλιστα; Πᾶσαν μὲν γραφὴν, ἣν ἂν ἐκ χειρῶν ἀπέρχεσθαι ἀφήσω, ἐφίεμαι ἀπελθεῖν, ἔνθα ἔσταλται· οὐχ ἥκιστα δὲ, ἣν τολμήσας ἐντελοῦμαι πορευθῆναι πρὸς τὴν μεγίστην ἁγωσύνην σου. Καὶ οὐ λέγω, καθάπερ εἴ καὶ τοξότης βέλος ἀφεὶς ἐφίεται βαλεῖν κατὰ σκοποῦ (τὸ γὰρ τοιοῦτον οὔπω τι μέγα βούλεται· ἀλλ' ὥσπερ ὁ εὐχόμενος εἰς Θεὸν τὴν προσευχὴν ἐθέλει κατευθύνεσθαι, καὶ μὴ κενεμβατεῖν ἀτέλεστα εἰς μόνην λαλιάν. Καὶ ἐμοὶ μὲν οὕτως ἐστὶν ἐφίεσθαι· βλέπω δὲ, ὡς διαπίπτω τὰ πολλὰ τοῦ κατὰ ὀρθότητα ὀρεκτοῦ. Καὶ ἐγὼ μὲν ἀνοίγω στόμα πρὸς ἀναφοράν· καὶ ἵνα μὴ κατακαυχῶνται Ἅρπυιαι, εἰς αὖραν ἀναῤῥίπτουσαι τὸ τῆς φωνῆς λεπταλέον καὶ πνευματικὸν, καταβαρύνω ταύτην, εἰς ὅσον δύναμις, παχύνων εἰς σῶμα, καὶ κατάγων εἰς ἀφὴν, καὶ διφθέραις ἐντιθείς· ὡς ἂν ἐκφύγοι μὲν τὸ ἀνωφορεῖσθαι, καὶ εἰς ἀέρα σκεδάζεσθαι, φέροιτο δὲ ἰθυτενῶς, ἢ καὶ πέτοιτο κατὰ τὴν ἱστορουμένην [ποτὲ] Θετταλικὴν μελίαν εἰς τὰς μακαριωτάτας χεῖρας, δι' ὧν καὶ ἐμοὶ πᾶσα εὐλογία καὶ τῷ κόσμῳ τὸ θεόθεν ἐξίλασμα. Οὐκ ἔχω δὲ διὰ τέλους, ὃ θέλω· ἀλλὰ τὰ πλείω πλάζομαι. Τεκμήριον δὲ ὁ σύνδουλός μου καὶ ποτε συνδιάκονος, ὁ δεῖνα· ἐμὸν θρέμμα, καὶ ἀγαθὸς ὑπογραμματεὺς, φίλου πιστοτάτου ἀνεψιός· ὃν ὁ φιλάνθρωπος ζῶντα μὲν εἰς ἡτοιμένον ἐκάλεσε, θανόντα δὲ ἐν σκηναῖς ἁγίων (πεποιθὼς λέγω) ἀνέπαυσεν. Οὗτος δὴ ὁ σύνδουλός μου προεκλήθη δι' εὐχῶν τῆς μεγάλης ἁγιωσύνης σου εἰς ὄνομα ὑψηλὸν, ψήφου θείας μνησθείσης αὐτοῦ εἰς ἐπίσκοπον. Ὅτι δὲ οὐκ ἐχρῆν ἄλλως αὐτὸν τελεσφορηθῆναι ὑφ' ἡμῶν, εἰ μὴ καὶ τὴν τοιαύτην ἡμῖν τελεσιουργίαν εὐλογήσασα ἡ μεγάλη ἁγιωσύνη σου πλείω τὸν ἁγιασμὸν ἐπιπέμψει αὐτῷ, καὶ τὸ ἐπὶ κεφαλῆς μύρον καταβῆναι ποιήσει πλημμύρον ἐπὶ πώγωνα καὶ ἐπὶ πᾶν, ὃ δὴ τούτου πέπλασται δεκτικὸν, ἀνηνέγκαμεν δεητικῶς. Ἀλλ' αἱ δεήσεις, τάχα κατὰ τὰς λογοποιουμένας λιτὰς χωλαὶ καὶ αὗται διεκβᾶσαι, κατέπεσόν μου, καὶ οὐκ ἔσχον ἐξικνεῖσθαι, ὅπη παρ' ἡμῶν ἐπέμφθησαν. Καὶ ἐγὼ μὲν ὑπὲρ τούτου τρὶς τὸν κύριόν μου, παναγιώτατον δεσπότην, παρεκάλεσα· οἱ δὲ (τί ἂν εἴπω;) διακονοῦντές μου ταῖς δεήσεσιν, ἀφῆκαν καραδοκεῖν τὴν λύσιν, οὐκ οἶδα πηνίκα ἐλευσομένην μοι· ὅμοιον, ὡς εἴ καὶ ἐξανοίξας τις τὸ στόμα εἰς ἔνθεσιν, εἶτα διατριβὴν τοῦ ἐλπιζομένου δυστυχῶν κάθηται, διαχάσκων εἰς ἄνεμον, ἢ καὶ τὴν κεφαλὴν ὑποκύψας καὶ ἀνακαλύψας εἰς εὐλογίας ὑποδοχήν. Ἐπὶ μακρὸν δὲ ταύτην ὁρῶν διαμέλλουσαν, μένει ἐπὶ σχήματος, ἀφέμενος τῆς ὀρθότητος. Ἀλλ' ἰδοὺ καὶ ἡ ἐλεημοσύνη τοῦ ἁγιωτάτου αὐθέντου καὶ εὐεργέτου πολλὴ περὶ ἐμέ. Καὶ τί δὴ κωλύει, καὶ τέταρτα δεηθῆναί με; Τυχὸν οὐ ψεύσεταί με. Ὁ γοῦν ταύτην κομίζων τὴν δέησιν γενήσεται ἡμῖν τὸ καλόν· καὶ ἐπὶ πλέον οὐκ ἀναρτησόμεθα. Τολμῶν οὖν καὶ πάλιν σου δέομαι, ἀκοῦσαι σύνδουλόν μου τὸ *εὐλογήθητε*· καὶ ἔσται εὐλογημένος, εἰς ἣν πρὸς Θεοῦ ἐκλήθη ἐπισκο-

πην. Ἔτι δέομαι τῆς μεγάλης ἁγιωσύνης σου καὶ δέησιν ὀλόψυχον, καὶ ἦν ἂν καὶ Θεοῦ, μεμνῆσθαι τῆς ἐμῆς ταπεινότητος πρὸς τὸν ὕψιστον Θεόν, ὅταν ἐκεῖνος τὴν ἡμῶν σωστικὴν μεγάλην ἁγιωσύνην σου"". Πάνυ γὰρ τῆς τοιαύτης εὐκτηρίου μνήμης δέομαι· καὶ χωρὶς αὐτῆς οὐκ ἂν συνίστασθαι ἔχοιμι.

ΛΔ'.

Τῷ πανσεβάστῳ σεβαστῷ καὶ ἐπὶ τῶν δεήσεων.

Ὀχληρὸς, ὡς ἔοικεν, ἐγὼ πάντοτε. Τοῦτο δὲ, οὐχ ὅτι καὶ πᾶσι, ὡς ἂν εἴποιεν οἱ πολλοί· ἀλλ' ὅτι θαρρῶ ἐπὶ τῇ ἀντιλήψει σου. Εἰ δὲ ἁπλῶς φορτικὸν τὸ ἐνδελεχὲς τοῦ αἰτεῖσθαι, μήποτε καὶ τῶν συνεχῶν εὐχῶν αἰτιαθείημεν, ἃς ὑπὲρ τῆς σῆς πανσεβάστου ὑπεροχῆς τῷ Θεῷ ἀναφέρομεν. Ἀλλ' οὔτε Θεὸς ἐνταῦθα βαρύνοιτο ἄν, (τίνι γὰρ ἑτέρῳ τὸ τοιοῦτον τῶν ἐφ' ἡμῖν ἀναπεμφθείη ἄν;) οὔτε ἡ ἀντίληψίς σου βαρέως ἂν ἐνέγκοι, αἰτουμένων ἡμῶν. Τίνα γὰρ ἂν προσκαλεσώμεθα ἡμῶν ἀντιλαβέσθαι πλέον αὐτῆς; Ὃ δὲ ζητοῦμεν, καθέλκει μὲν ἡμῖν εἰς ὄγκον εὐεργεσίας βαρύν· ἀβαρὲς δὲ ἄλλως ἐστὶ καὶ ἐλαφρότατον τῇ ἀντιλήψει σου. Εὔκταιον ἡμῖν, προσκυνῆσαι τὸν πάντιμον κραταιὸν ἡμῶν καὶ ἅγιον βασιλέα· καὶ τὸ στερεῖσθαι τῆς αὐτοῦ ὄψεως ὅμοιον ἡμῖν κρίνεται, ὡς εἰ καὶ τοῦ καλῶς ζῆν ἐκπίπτομεν. Ὅτι δὲ ἡ νόσος καθάπαξ ἐνδακοῦσα ἐνερείδει τοὺς ὀδόντας, καὶ οὐκ ἀνήσειν βούλεται, ἀθέτως ἔχομεν πρὸς τὴν ἕδραν, ἐκεῖνο ὑπολογιζόμενοι, ὡς οὐδὲ εἰς ὅλον μῆνα ῥᾷον ἡμῖν ἔσται καταντῆσαι εἰς τὸ ποθούμενον. Περικαλοῦμεν οὖν μαθεῖν ἀπὸ τῆς ἀντιλήψεώς σου, ἐὰν ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ἐλπίζηται πρὸς τὰ τῆς δύσεως ἐλθεῖν μέρη· ἵνα οὕτω στηρίξαντες χαρτερήσωμεν, καὶ ἐπιτεμοῦμεν, καθὼς ἐγχωρεῖ τὰ τῆς ὁδοῦ· ὡς, ἐὰν αὐτόθι ἐμβραδῦναι μέλλῃ, οὐκέτι μενετέον ἡμῖν, ἀλλὰ σταλτέον τὴν ἐπὶ τὰ αὐτόθι, κἂν ἐπὶ φορείου χρὴ στέλλεσθαι. Τοῦτο μὲν οὖν ἡμῖν ἓν εὐεργέτημα, ἐὰν γένηται· ἕτερον δὲ οὐδὲν αὐτοῦ ἔλαττον τόδε.

ΛΕ'.

Τῷ Γουδέλῳ κυρίῳ Λέοντι.

Ἐνεαρίζειν ὥσπερ ἡμῖν πάρεστι τῷ γράμματι τῆς ἀγάπης σου, τοῦ χειμῶνος ἐκλαθομένοις, ὃν καθ' ἡμῶν ἡ βαρυτάτη νόσος ἐξέμηνε. Συνεχύθημεν δὲ ἄλλως, ὅτι μηδ' ἐνταῦθα τὸ ἔαρ ἡμῖν καθαρῶς αἰθριάζον ἦν καὶ ἀνέφελον· ἀλλ' εἶχε μὲν ὁποῖά τι ῥόδου ἄνθος ἐναστράπτον χάριεν, τὴν σὴν ὑγίειαν· ὑπεκέντει δὲ ἡμᾶς καθαπερεί τις ἀκανθώδης ἀκμὴ τὰ θλιβερὰ τὰ ἐπὶ σὲ, καὶ ἡ τῆς λύπης ὀξύτης καὶ ἡ ἐντεῦθεν ἀλγηδών. Ταῦτα δὴ τὰ κακῶς διατιθέντα καὶ τὸ εἰλικρινὲς τῆς εὐζωΐας ἐπιθολοῦντά σοι. Ἀλλ' εἰ καὶ οὕτω ταῦτα, ἡμῖν δ' οὖν ἦρκεσε τὸ ἄνθος εἰς παραψυχὴν, εὖ εἰδόσιν, ὡς οὐκ ἔστιν ἐνταῦθα μὴ περιπεφυκέναι καὶ ἄκανθαν. Ἢ τίνας οἴει, καλέ μου δέσποτα, τῶν ἐν ἅπαντι τῷ βίῳ, μὴ ὅτι γε τῶν ἀστικωτέρων, ἀλλὰ καὶ τῶν ἐπ' ἐρημίας μοναζόντων, καθαρὰν προσκομμάτων τρίβειν τὴν τοῦ βίου ὁδόν; Καὶ εἴθε μηδεὶς μεγάλοις τισὶ προστρίβοιτο κακοῖς. Εἰ δὲ μικρός τις παραχάσκοι βόθυνος, ἢ καὶ λίθος βραχεῖα τοῖς ποσὶν ἐπιτροχάζει ἐπίβουλος, ὁποῖος ὁ Συρακούσιος ποιητὴς *ὑπὸ ταῖς ἀρβύλαις δείδειν πταιούσας* φησίν· ἢ τρίβολος καὶ βάτος τις ὑποκάθηται, ἀλλὰ ταῦτα παρ' οὐδὲν θετέον, ὑπερπηδῶντας, ἢ καὶ ἄλλως ἀποποιουμένους τὰ ἐμπόδια. Ἐρεῖς, μὴ τοιαῦτα εἶναι τὰ κατὰ σὲ, ὡς βοθρίσκοις παρεικάζεσθαι, καὶ λιθιδίοις παραβάλλεσθαι, καὶ ἀκάνθαις παρομοιοῦσθαι, ὁποῖα ἄν τις καὶ παρβλέψηται. Ἀλλ' ἐγὼ τοιαῦτα πάντα τἄλλα φημὶ, παρατιθεὶς αὐτὰ πρὸς τὸ τῆς ὑγείας καλόν· ἣν ἔχων εὐχαρίστει Θεῷ, ἀναθέμενος τὰ πάντα τῇ ὄντως μεγαλοδυνάμῳ Θεομήτορι. Εἰ δὲ μέχρι καὶ τοσούτου τῶν περιττῶν ἐψίλωσαι, ὡς καὶ περὶ αὐτὸ τὸ τοῦ ἐνδύματος τύπρεπὲς ἀχρεῖως ἔχειν, ἀλλ' ὁ τὰ κρίνα κοσμῶν, καὶ τὸ ῥόδον ἀντεπαύξων ἡλίου λαμπρότητι, καὶ δένδροις χορηγίαν βύσσου φιλοτιμούμενος, καὶ σκώληκας μηρύεσθαι διδοὺς τὰ τοῖς πολλοῖς τίμια· καὶ ἐκ λειμωνίδος, καθά πού τις ἔφη, πῶς ἐξυφαίνεσθαι ποιῶν, ὁποῖα οὐδὲ ἀράχνης ἂν λεπτουργήσειεν, οὐκ ἂν οὐδὲ σοῦ ἀμελήσειεν, ὅτι μηδὲ ἡμῶν, οὐδέ τινος ἄλλου τῶν καθ' ἡμᾶς. Χαῖρε οὖν ὑγιαίνων, καὶ φυλάττοιτό σοι τοῦτο τὸ ἀγαθὸν μέχρι παντός. Προσαγορεύουσιν οἱ ἡμέτεροι πάντες ἅμα ἡμῖν τὸν κύριον Μιχαὴλ, τὸν (ὡς αὐτοί φασι) Τεῦκρον. Διατί τοῦτο; Διότι, φασὶν, ὑποδυόμενος, ὅσα καὶ ἀσπίδα τινὰ, τὴν σὴν ἐπιστολὴν, καθάπερ ἐκεῖνος τὴν τοῦ Τελαμωνίου ἐπταβόειον, ἐκεῖθεν ὑποφαίνεται· καὶ μικρόν τι φανεὶς καθ' ἑτερόν τινα παλαιὸν, ἀποκρύπτεται, ὡς οἷα δεδιώς, μὴ καὶ φανεὶς ἐπὶ πολὺ βασκανθείη, εἴτε καὶ βληθείη, καί τι πάθοι μέγα κακὸν, ἢ καὶ μακρότερα λαλήσας ἀπορρεύσοι τὴν λαλιάν· οὐκ εἰδὼς, ὅτι καταισχύνει ἐπὶ πλέον τὴν Ἀττικὴν, ῥήτωρ μὲν εἰς αὐτὴν κατεληλυθὼς, ἀποκαταστὰς δὲ εἰς ἄφωνον. Ὁ παρὼν (οὐκ οἶδ') εἴτε ἡλιόκαυστος, εἴτε καὶ ἄλλως εἰπεῖν μελανόχροος ἀρχὴν (τὴν γλῶσσαν χἀρ οὐ περιεργάζομαι, ἀλλὰ τοῦ προφαινομένου μόνου γίνομαι), ὃς ἤδη ἐλθὼν εἰς ἡμᾶς, καὶ ὡς ἐκ φίλων ἀποδεχθεὶς, τὸ μὲν πρῶτον εἰς μαυροκαλόγηρων ἐτιμήθη, ἄρτι δὲ καὶ εἰς μαυρηγούμενον. Τοῦτο δὴ τὸ ἐν προθύροις τῆς Μεγαλοπόλεως· καὶ διὰ τοῦτο ἐπὶ μνήμης ἡμῖν. Ἐὰν δὲ ζῶσιν ἡμῖν ἐπανέλθῃ, τάχα ἂν εἰς Αἰθίοπα Μωσῆν αὐτὸν μεταμείψωμεν. Εἰς γὰρ τὸν καλὸν δημαγωγὸν Μωϋσῆν οὐκ ἂν λευκανθήσεται. Εἰ δέ τι ἄλλο ὑμεῖς προσευπορήσαντες δηλώσετε ἡμῖν μετ' αὐτοῦ, ἐκεῖνο καλέσομεν αὐτόν. Εὔχομαι δὲ, εὐήμερον φάος ἐξ ὑμῶν αὐτὸν ἀναγγεῖλαί μοι· μὴ καὶ δόξω, νύκτα ἐπιπέμψαι ὑμῖν· ἢ καὶ ἀκούσομαι, ὅτι ἐγεννήθη ὡς νυκτικόραξ ἐν οἰκοπέδῳ ὑμῶν. Φωνῆς ἐθάδος ἀπόρροιαι ταῦτα ἐκ φίλου, παραμυθουμένου καὶ ἑαυτὸν καὶ ὑμᾶς.

ΑϚ'.

Τῷ πρωτονωβελισσίμῳ ὑπερτάτῳ καὶ λογοθέτῃ, τῷ Ἀγιοθεοδωρίτῃ.

Μετὰ τὰς ὑπὲρ τῶν ἁγίων βασιλέων ἡμῶν ἐνδελεχεῖς εὐχὰς ἔργον ὅμοιον ἡμῖν ἐπιτάσσει τὸ καλὸν καὶ ἀγαθὸν τῆς σῆς ἀντιλήψεως. Καὶ γίνεται τοῦτο διχόθεν· ἔκ τε τοῦ εἰς κοινὸν καθήκοντος, ἔκ τε τοῦ ἰδίᾳ πρέποντος. Ἐκεῖνο μὲν, ὅτι χρὴ τοῖς ἐγγυτάτω παραστατοῦσι τῷ θεοειδεστάτῳ ἡμῶν αὐτοκράτορι,

καὶ τῆς ἐκείνου θέας καὶ θεραπείας ἀξιωθεῖσι, κοι- A
νῶς ἡμᾶς ἀφοσιοῦσθαι τὰ τῶν εὐχῶν. Τίς δέ ἂν
προσήκων εἴη τοιούτοις σεμνοῖς ὑπερθεν τῆς σῆς
ἀντιλήψεως; εἴπερ ὁ κράτιστος ἡμῶν βασιλεὺς, ὥσ-
περ ἐκεῖνον Θεὸς, οὕτω καὶ αὐτὸς εὕρηκε σέ θερα-
πεύειν τὸ αὐτοῦ ἔνθεον ἱκανώτατον· ὡς τὸν μὲν
αὐτοκράτορα βασιλέων ὑπερῆρθαι πάντων, οὓς ἔσω
μεγάλου θαύματος ὁ μακρὸς χρόνος ἔθηκε· τὸ δὲ σὸν
μεγαλοφυὲς ὑπερκεῖσθαι πάντων, ὅσους οἱ πατέρες
ἡμᾶς ἐδίδαξαν, καὶ οἷς ὀφθαλμὸς αὐτόπτης ἐπέβαλε.
Καὶ οὕτω μὲν ἡμῖν ἐκεῖνο γίνεται τὸ ἐκ τοῦ κοινοῦ,
καὶ οἷον εἰπεῖν τὸ κατὰ περίληψιν τῆς εὐχῆς. Τὸ δὲ
ἰδιάζον ἔχομεν αὐτοὶ ἐκ τῶν εἰς ἡμᾶς, ἀγαθῶν τῆς
σῆς ἀντιλήψεως· ὧν ἡμῖν τὸ ῥεῦμα, ὡς καὶ εἰς ἀέν-
ναον ἐξαρκεῖν, ἐπεπλήμμυρεν. Ἀλλὰ τοῦτο μὲν τὸ
τῆς εὐχῆς οὕτως εἰσαεὶ γίνεται, καὶ οὐδὲ λήξει γι- B
νόμενον, ἕως ἂν καὶ ὁ νοῦς ἐν τῷ καθεστῶτι μένῃ,
καὶ τὸ στόμα πρὸς λόγους ἀνοίγηται. Εἶδε δὲ ἦν καὶ
ἐπὶ τάδε τοῦ χρόνου τοῦτο γίνεσθαι. Ἡμῖν δὲ, ὅτι
γράμμασι προσκυνήσαντες, καὶ διὰ προσώπων οὐκ
ἔξω λόγου πιπτόντων ὁμοίως προσενεχθέντες, οὐκ
ἴσχομεν μαθεῖν, εἰ τὸ ἡμῶν ἀξίωμα εἰσῆλθεν ἐνώ-
πιον τῆς σῆς ἀντιλήψεως, εὐλαβεῖσθαι περιγίνεται
καὶ τὸ πολὺ τοῦ θαῤῥεῖν ὑποτέμνεται, μήποτε παρὰ
θύρας (ὅ φασιν) ἤκομεν τῆς σῆς ἁγίας ψυχῆς, καὶ
εἰς ἀποθυμίους πίπτομεν· ὅπερ μὴ ἡμῖν, κύριέ μου,
μὴ ἡμῖν· μὴ ἡμῖν, ἀντιλῆπτόρ μου· πρὸς τῆς σῆς
ἁγίας ψυχῆς· πρὸς τοῦ πλάτους τῆς σῆς ἀγαθότητος,
ἣν οὐκ ἔστι στενοχωρήσασθαι· πρὸς τῆς μνήμης.
Ἀλλ' ὦ μοι, τί ἔπαθον, ὅτι τοιαύτην μνήμην οὔπω C
δέον ἂν κεκλήρωται, ἂν ἔδει ζῶντα τοῖς μὲν ἐντυγχά-
νουσιν ἀσπασίως βλέπεσθαι, τοῖς δὲ λοιποῖς διὰ γλυ-
κείας μνήμης φέρεσθαι, καραδοκοῦσι τὴν εἰς νέωτα
ἔντευξιν; Μὴ ἡμῖν, πρὸς τῆς μακαρίας μνήμης
ἐκείνου τοῦ ὄντος μακαρίτου ἀρχιερέως, τοῦ δεσπό-
του μου· οὗ κατὰ σῶμα μὲν τάφος εἷς· αἱ δὲ πάν-
των ψυχαὶ, οἷς ἔγνωστο (ἔγνωστο δὲ****) ἐγκείμενον
φέρουσιν, οὐχ οἷά τινα κενήρια καὶ μέχρις ὀνόμα-
τος· ἀλλὰ θειότερον, ὅτι πρὸς πρᾶγμα καὶ νοερῶς.
Ἀλλὰ τί δή ποτε αὐτῷ μὲν ἐμοὶ ἐξευρίσκω μηχανὴν
παρήγορον, τὸν δὲ ἐλεοῦντα ἐκτήκω τοῖς δάκρυσι,
μνήμῃ φιλτάτου ὀνόματος; οὔ στερεῖσθαι ταυτὸν
ἂν εἴη τῷ μεμνημένῳ, ὡς ἐὰν καὶ ψυχῆς. Τί δὲ τὸ
πρὸς ἡδονῆς ἐμοὶ θηρώμενος, τὸ πρὸς ἐλεημοσύνην
ἐπίστροφον, κρατῆρα λύπης ἐπιστέφω τῷ ἐνδιψι- D
λευομένῳ τὸν Ἔλεον, ἀντιμετρῶν οὐκ ἀγαθὰ, οὐδὲ
τῶν κρειττόνων ἀντικαταλλασσόμενος ὅμοια; Φέρε
δὴ περιμετρήσω τῷ βλίβοντι τὰ ἱλαρά· ψυχαγωγή-
σω τὸν μικροῦ καὶ ἐκλείπαντα· ἀντιστήσω τὸ τέρ-
πον τῷ λυπηρῷ· ἀντισταθμήσω τὸ γλυκάζον τῷ
πικραίνοντι, καὶ μνήμῃ γλυκυτάτου ὀνόματος κα-
ταχεράσω τὸ πικράζον ἐκεῖνο, καὶ ἀνασκευάσω, πρὸς
ὅπερ ἐχρῆν. Πρὸς τῆς ἐνθέου καὶ ἁγιωτάτης βασι-
λικῆς κεφαλῆς, ὑφ' ἧς τὸ πᾶν τῆς οἰκουμένης σῶμα
καὶ συνέχεται καὶ ἀνέχεται, εἰσελθέτω ἐνώπιόν σου
ἡ δέησίς μου· δηλωσάτω ἡμῖν ὁ τὸ γράμμα περικο-
μίζων τῆς ἡμῶν ταπεινότητος τὸ τῆς σῆς ἀντιλή-
ψεως περὶ ἡμᾶς εὐμενὲς, καὶ ζησόμεθα· ὡς νῦν γε
παρατρώγεταί τι τῆς ζωῆς ἡμῖν, καὶ δεδοίκαμεν,
μὴ καὶ παμφαγήσῃ τὸ λυποῦν, εἰ μὴ τὸ σὸν ἱλαρὸν
κατὰ στόμα προσυπαντῆσαν παύσει τῆς βορύτη-
τος.

ΛΖ'.

Τῷ Μυστικῷ.

Ὁ Θεὸς, ὁ τοὺς ἁγίους ἡμῶν βασιλεῖς καὶ στερεώ-
σας καὶ στερεῶν, καὶ ἀεὶ ἀνυψῶν καὶ ἐπαυξάνων
τὴν ἔνθεον βασιλείαν αὐτῶν, ὧν σὺ θεράπων ἐγγί-
ζων τε καὶ πιστότατος, ἐκεῖνος προσθείη μακροὺς
χρόνους τῇ σῇ ζωῇ· ἵνα ἔχῃ σε ὁ κόσμος εἰς κοινὸν
ἀγαθὸν, καὶ ἀξιωθείης, ὥσπερ ἐνταῦθα μεγίστων
τιμῶν, οὕτω καὶ ἐν τῷ ἐκεῖ αἰῶνι τῆς πρὸς τὸν
παμβασιλέα Θεὸν ἐγγύτητος· ὅπερ καὶ θάῤῥει σὺν
Θεῷ. Εἰ γὰρ καὶ ἄλλοις κίνδυνος ὑπεστὶν ἀκοῦσαι,
ὅτι *Τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου ἀπέλαβες*,
ἀλλὰ σὺ, ὡς πάντα ἐν Θεῷ πράττων, καὶ πρὸς
ἐκεῖνον ἀφορῶν, καὶ τῆς ἐκεῖ δόξης ἐφιέμενος, δι'
ἣν καὶ πάντα ποιεῖς τὰ πρὸς θεραπείαν Θεοῦ· καὶ
ὧδε τὰ ἐξ ἐκείνου ἔχεις ἀγαθὰ, καὶ ἐκεῖ δὲ ἀκού-
σεις· *Εἴσελθε, δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου
σου.* Ὁ θαυμασιώτατος καθηγούμενος ὁ δεῖνα, ὁ
ἐνδιάθετος καὶ θερμότατός σου εὐχέτης καὶ κῆρυξ
τῶν σῶν ἀγαθουργιῶν διαπρύσιος, ἐπηύξησέ μοι
τὴν εὐχαριστίαν, ἀναδιδάξας με, ὅτι ἐκ Θεοῦ ὁδηγίας
ἐμνήσθης πρὸς αὐτὸν τῆς ἐμῆς ταπεινότητος. Διὸ
καὶ θαῤῥήσας περικαλῶ, ἵνα διὰ τὸν Θεὸν, ὃν ὑπερ-
βαλλόντως ποθεῖς, καὶ διὰ τὸ δίκαιον, οὗ ὑπερμα-
χεῖς, ἐάν τις τῶν τοῦ κελλίου μου ἔχων δυσκολίαν
ἐξ ἀδικίας προσκαλῆται εἰς βοήθειαν τὴν ἀντίληψίν
σου, ἐμπαρέχῃς αὐτῷ τὴν ἐπὶ δικαίῳ βοήθειαν. Καὶ
πάντως δώσει ὁ Θεὸς καὶ ὑπὲρ τούτου τὴν ἀξίαν
ἀμοιβὴν τῇ ἀντιλήψει σου.

ΛΗ'.

Τῷ Σερῶν.

Ἐπεθύμησα, ὥσπερ τοῦ ἰδεῖν σε, οὕτω καὶ τοῦ
διὰ γραφῆς προσειπεῖν τὴν σὴν ἁγιότητα. Καὶ τοῦ
μὲν πρώτου αἴτιοι οὔτε ἐγὼ, οὔτε μὴν ἡ ἁγωσύνη
σου· οὐ γὰρ θαμίζειν πρὸς ἀλλήλους ἔχομεν. Τοῦ δὲ
δευτέρου ἡ μὲν ἁγιωσύνη σου πῶς ἄν; τάχα δὲ οὐδὲ
ἐγὼ, ἀλλὰ τὰ περὶ ἐμὲ πράγματα. Πληροφορήθητι
γὰρ, ὅτι τοσοῦτος ὄχλος φροντίδων ἀμφέπει με,
ὡς ἀπὸ φυλακῆς πρωΐας ἕως καὶ εἰς ἥλιον οὐ κατα-
δύντα μόνον, ἀλλὰ καὶ τοῖς ὑπὸ γῆν ἐμβαθύνασι,
τρίβεσθαι εἰς ἐντυχίας πραγματικὰς, ὧν ἀμελῆσαι
μὲν οὐκ ἀρχιερατικὸν, ἐπιμεληθῆναι δὲ καλὸν μέν·
ἀλλ' ἀπογείης οὐ μόνον ἀναγνώσεως, ἀλλὰ καὶ τῆς
εἰς τοὺς φιλοῦντας προσφωνήσεως. Ἡ γοῦν παροῦσα
γραφὴ, πρωΐθεν ὑπισχνουμένη, παρέτεινεν ἕως καὶ
εἰς ἀέρα λαμπάδι φωτίζεσθαι θέλοντα. Διὸ καὶ
ἀπεστένωται, καὶ βραχέα λαλεῖ· καίρια μέντοι γε,
καὶ ὧν ἡμεῖς ἐφιέμεθα. Ὑγίαινε, καὶ μέμνησο ἡμῶν
ἐν ταῖς πρὸς Θεὸν ἀγωγοῖς σου ἐντεύξεσιν, ὑγιαινόν-
των καὶ αὐτῶν ταῖς σαῖς ἱεραῖς εὐχαῖς, καὶ ἐπικα-
λουμένων τὴν ἐντεῦθεν θεόθεν βοήθειαν. Τὸν θαυμα-
σιώτατόν μοι φίλον, τὸν γραμματικὸν τῆς ἁγιωσύ-
νης σου, προσαγορεύω· ὃς ἀδικεῖ μὲν, καὶ αὐτοῦ
καθείργων εἰς ἀφωνίαν τὴν γλῶσσαν καὶ τοῦ ῥητο-
ρεύειν ἀπείργων, ὡς εἰ καὶ σιγᾷν κατεκέκριτο·

ἀδικεῖ δὲ καὶ ἡμᾶς, μὴ γλυκαίνων, οἷς γράφει, τὰς ἀκοάς.

ΛΘ

Τῷ Μετρητοπώλῃ.

Εἶθε μὴ ἔγραψας ἡμῖν, μηδὲ ἔδακες ἡμῶν τὴν ψυχὴν διὰ τῆς γραφῆς. Ἥρκει γὰρ μεμνῆσθαι ἡμῶν τὴν ἀγάπην σου, καὶ ὑπερεύχεσθαι. Μάρτυς ὁ Θεὸς, ἡ ἀλήθεια· ἅμα ἔμαθον τὸν θάνατον τοῦ καλλίστου σου γαμβροῦ, καὶ οὕτως διετέθην, ὡς ἐὰν ἀπέθανεν ἐμοὶ γνήσιος συγγενής. Ὦ καλόν μου παιδίον, ὦ ἀγαπητόν· ὦ θαυμάσιον. Ὦ περιμυθία τοῦ καλοῦ μου κυρίου Ἰωάννου· ὦ ἄνθος μαρανθὲν ἄωρον. Ἐνθυμοῦμαι τὴν ἐκείνου παίδευσιν, τὴν κατάστασιν, τὴν πρὸς σὲ τιμὴν καὶ ἀγάπην, τὸ τοῦ βίου προνοητικὸν, τὴν γεροντιαίαν ἐν νεότητι φρόνησιν, τὸ τοῦ ἤθους γαληνὸν, τὰ ἄλλα πάντα τὰ ὑπὲρ τὴν ἐκείνου ἡλικίαν· καὶ δάκνομαι μὲν καὶ αὐτὸς τὴν ψυχὴν, ἐνθυμοῦμαι δὲ καὶ σὲ, τί μέλλεις πάσχειν· καὶ διπλάζω τὴν λύπην, καὶ ταλανίζω τὸν βίον· καὶ τὰς ἐλπίδας ἡμῶν ἐννοούμενος, οἷα μὲν ἐλπίζομεν, οἷα δὲ ἐξ ἀποτυχίας πάσχομεν. Ἔδοξας εὐτυχῆσαι καὶ ἐντυχεῖν εὑρέματι, ὅτε τὴν ἀρχὴν εὗρες τοιοῦτον γαμβρόν· καὶ εἶχεν οὕτω τὸ πρᾶγμα. Νῦν δὲ οἷον ἔπαθες, ὀλίγον γευσάμενος τοῦ τοιούτου γλυκυτάτου, εἶτα διὰ τῆς στερήσεως αὐτοῦ πικρανθεὶς πλείονα· καὶ οὐ λέγω διὰ τὸ βάρος τῆς τροφῆς τῆς ἀθλίας ἐκείνου γυναικὸς καὶ τῆς τῶν βρεφυλλίων ἀνατροφῆς, ἀλλὰ διὰ τὴν ἐκείνου στέρησιν. Λυπεῖσθαι μὲν οὖν σε διὰ τὸ αὐτοῦ στέρεσθαι οὐ μὴ κωλύσω, ἵνα μὴ δόξω ἀπάνθρωπος καὶ ἀνάλγητος· ὅπου γε καὶ αὐτὸς ἐγὼ οὐ μόνον, δεξάμενος τὴν γραφήν σου, καὶ ἀναμαθὼν τὸν ἐκείνου θάνατον, ἄφωνος ἔμεινα ἐφ' ἱκανὸν, ἀλλὰ καὶ εἰσέτι, ὁσάκις ἐκεῖνον ἐνθυμηθῶ, τὰ ὅμοια πάσχω· καὶ ἐπὶ τὰ ἑξῆς δὲ οὐδέποτε αὐτοῦ ἐπιλήσομαι. Διότι ἐγγεγραμμένον εἶχον αὐτὸν εἰς ψυχὴν ὡς [πλείστου] ἄξιον. Ἀξιώσω δέ σε, μὴ παντελῶς ἐνδοῦναι τῇ λύπῃ, καὶ βυθισθῆναι ὑπὸ τῶν θλίψεων, ἀλλ' ὑπανέχειν σεαυτὸν καὶ ἀνακουφίζεσθαι. Ἀρκέσει σοι γὰρ ὁ ἐλευσόμενος καιρὸς εἰς τὸ θλίβεσθαι. Περιμυθοῦ δὲ καὶ τὴν ἐλεεινὴν ἐκείνου γυναῖκα τρόπος ἄλλοις τε, καὶ διὰ τοῦ φαίνεσθαί σε μὴ πάντοτε κλαίοντα καὶ λυπούμενον. Οὕτω γὰρ καὶ ἐκείνη περιμυθίαν τινὰ λήψεται.

Μ'.

Ὑγιαίνοντες τῇ τοῦ Θεοῦ βοηθείᾳ, εὐχόμεθα ὑγιαίνειν καὶ τὴν ἀγάπην σου· ὃ δὴ καὶ μανθάνομεν. Ἐὰν δὲ θλιβερά σοί τινα ἐπιγίνωνται, τοῦτο τῇ τοῦ βίου προσλογίζου ἀνωμαλίᾳ. Οὐδὲ γὰρ δυνατὸν, ἄνθρωπον ἐν βίῳ τυγχάνοντα διαφυγεῖν, ὥσπερ οὐδὲ τὰς μερίμνας, οὕτως οὐδὲ τὰς λύπας. Καὶ τοῦτο μὲν οὐκ ἔχει τι παράδοξον. Τὸ δὲ ὑπολαμβάνειν σε, ὅτι ἐπελαθόμεθά σου, καὶ ὅτι μὴ φιλοῦντες οὐ γράφομεν, τοῦτο παράδοξον ἡμῖν ἔδοξε διά τε ἄλλα πολλὰ, καὶ διότι τὸ μὲν γράφειν καὶ βλέπειν ἀλλήλους ἔστι που φιλίας ἐνδεικτικόν· οὐκ ἤδη δὲ τὸ μὴ γράφειν, μηδὲ εἰς ἐντυχίαν ἔρχεσθαι, ἀφιλίας λογίζεται ἔνδειξις. Ἐνθυμήθητι, ὅτι, ὁπηνίκα ἦμεν ἔνδημοι τῇ Μεγαλοπόλει, βραχὺ διάστημα ἐμέσαζεν ἡμῖν τὰς οἰκήσεις· καὶ πολλάκις καιρὸς πολύμηνος διήρχετο, καὶ ὁ κύριος Κωνσταντῖνος ὤκνει τὴν εἰς τὸν Εὐστάθιον ἐπέλευσιν· καὶ ἐρωτώμενος, διατί τοῦτο ποιεῖ, ἐλάλει τὰ εἰκότα, καὶ ἔπειθε. Πῶς δὴ νῦν αὐτὸς οὐκ ἐννοεῖται περὶ ἡμῶν τὰ ὅμοια, ἐπικλᾷ δὲ ἡμῖν ἀμνηστίας αἰτίασιν; Ἡμεῖς ἐδοκοῦμεν ἀντιγραφῆς ἀρκεῖν καὶ τὰς προσηγορείας, ἃς μυριάκις ἐστέλλομεν. Ἐὰν δὲ ἐσιγῶντο, ψόγος τοῖς ἁμαρτάνουσιν· ἡμεῖς δὲ ἀκαταιτίατοι. Περὶ τῶν σῶν οὐκ ἔγραψας ἡμῖν, ὅπως ἔχουσι. Καὶ εἰ μὲν εὖ, οὐ καλῶς ἐποίησας, μὴ θέλων συμμερίτας ἡμῖν ἔχειν τῆς χαρᾶς· εἰ δὲ ἄλλως, ὅπερ ἀπευχόμεθα, σὺ μὲν εἴποις ἄν, ὅτι οὐκ ἐπέστειλας, οἷα μὴ θέλων θλίβειν ταῖς κακαγγελίαις ἡμᾶς. Ἡμεῖς δὲ οὐδὲ οὕτως αἰτιάσεως ἀπολύσομέν σε, ὡς μὴ τὴν κοινὴν πεῖναν τῆς εὐκολίας εὖ διακρίνοντα.

ΜΑ'.

Τῷ πανσεβάστῳ σεβαστῷ καὶ μεγάλῳ ἑταιρειάρχῃ.

Μία χελιδὼν ἐφ' ἡμᾶς γραφὴ πανσέβαστος τῆς σῆς ἀντιλήψεως (καὶ αὐτὴ οὐ δυσαχθὴς, ὅτι μηδὲ λάλος· καὶ οὐδὲ οἷα κατὰ τὴν παροιμιαζομένην φωνεῖν βάρβαρα· μεμετρημένη δὲ τὴν γλυκεῖαν λαλιάν, ὁποῖος οὗτος νόμος ἐπιστολῆς, καὶ πρὸς Ἑλληνίδος γλώσσης ἀπεξεσμένη εὐγένειαν) — μία μὲν οὖν, ὅπερ ἔφην, αὕτη χελιδὼν ἐπετάσθη ἡμῖν· ἀλλ' αἰθριάζον ἔαρ ἐποίησε. Τί δὲ, ἐάν ποτέ τις δευτέρα ἐπιφανείη; Ἡ πάντως χρυσοῦν θέρος τηνικαῦτα μηνύσει ἐσόμενον. Ἔλθοι τοίνυν, καὶ ἡμεῖς οὐκ ὀκνήσομεν τὰ συνήθη ἐπιμέλψαι αὐτῇ. Τοιοῦτόν τι καὶ παρὰ τοῖς πάλαι ἦν γινόμενον· καὶ δὶς κατ' ἀρχὴν ταῖς χελιδόσι τοῦ φαίνεσθαι ἦν τὴν πρώτην ἢ καὶ δευτέραν, λόγοις ἐδεξιοῦντο συγκειμένοις πρὸς ἐμμέλειαν. Ἔσται οὖν τοῦτο καὶ ἡμῖν, οἳ οὔτε νῦν ἠμελήσαμεν, ἀλλ' ἐπεκροτήσαμεν καὶ ᾠδικῶς ἐσκιρτήσαμεν, καὶ ὑγείαν καὶ πᾶν ἕτερον ἀγαθὸν τῇ ἀντιλήψει σου ἐπηυξάμεθα καὶ εἰς τὸ ἐπιὸν δὲ τοιοῦτοι ἐσόμεθα· ὡς τάχιον ἂν διεκπεσεῖται ἡμῖν ἡ γλῶσσα τοῦ στόματος, ἥπερ αὐτὴν ἐπιλείψει λαλοῦσαν ὁ λόγος ὁ περὶ τῆς σῆς ἀντιλήψεως. Τὸ δὲ λοιπὸν τοῦ καιροῦ εἰς ψυχὴν αὐτὴν ἀνάγραπτόν σε φέρομεν· καὶ τῶν τε εὐχῶν καὶ τῆς λοιπῆς μνήμης φέροις παρ' ἡμῖν τὰ πρωτόλεια. Ἐπακούοι δὲ Θεός.

ΜΒ'.

Τῷ φιλανθρωπίνῳ παλατίνῳ, κυρίῳ Ἰωάννῃ, τῷ καὶ ὕστερον καθηγουμένῳ.

Νῦν ἔγνων, ὅτιπερ ἐν οὕτω καλοῖς τὸ ἐμὸν ἄλσος κεῖται, καὶ δένδροις εὐγενέσι κομᾷ, καὶ θαύματος ἀξίοις ἐνευθηνεῖται καρποῖς, καὶ πολλοῖς θάλλει τοῖς ἀγαθοῖς· καὶ ἐξαίρω τῶν ἄλλων τὸ ἐμὸν τοῦτο καλὸν, καὶ γῆν αὐτὸ κρίνω μακάρων· ὅτε καὶ τὸ τῆς σῆς ἁγιωσύνης μακάριον εἰς πόθον ἐξεκαλέσατο· ὅς γε καὶ κατασκόπους ἐπιπέμπεις, τῶν ἐμῶν ἀγαθῶν τι προδώσοντας ἢ καὶ περισυλήσοντας, δύο τούτους, δεινοὺς ἐπιβουλεῦσαι, σοφοὺς τεχνάσασθαι, δεξιοὺς κατασκέψασθαι. Οὕτω ποτὲ καὶ Ἰησοῦς, ὁ τοῦ Ναυῆ, τῆς ὑμνουμένης Ἰεριχοῦντος ἐπιβαλόμενος, κατασκόπους ἐξέστειλε δύο· οἳ καὶ παρεισπεσόντες ἔνδον τῆς πόλεως, καὶ πᾶν, ὅπερ ἐβούλοντο, πρὸς τέχνην

καταργαζάμενοι, μεγάλῳ τῷ στρατηγῷ, πρὸς ὅπερ
ἤθελε, συνεβάλοντο. Καὶ μὴν ἡ πόλις ἐκείνη μεγάλη
ἦν, καὶ καλὴ ἦν, καὶ πολλὰ εἶχε τὰ ἐπαγωγά· καὶ τοῦ-
το οὔτε τοὺς ἐπιβουλεύοντας, οὔτε μὴν πολλῷ πρότερον
τοὺς ἐνοικοῦντας ἐλάνθανεν. Ἐμοὶ δὲ μόνῳ τῶν
ἄλλων (ὡς ἔοικε) μέχρι καὶ ἐσάρτι τὸ κήπιον οὐ
πάνυ τι ἐν ἀριθμῷ ἦν· οὐδ' οὕτω περιέργως ἐνέ-
βλεπον τοῖς αὐτοῦ· οὐδ' ὑπερλίην ἐμελέ μοι τῶν
κατ' αὐτό. Ἐκρύπτετο γάρ με τάχα καὶ τὸ κάλλος·
οὐχ ὑπεξέφαινεν, οὐδὲ παρεγύμνου τὰς χάριτας. Σὲ
δὲ οὐκ ἐλάνθανεν· ἀλλ' ἡ παρ' Ἡσιόδῳ πολυλάϊος
φήμη τὴν τούτου σοι ἀλήθειαν παρεκόμιζε, καὶ
πρὸς φίλτρον ἐξέκαεν. Ἀμέλει καὶ τοὺς ἐπιβούλους
εὖ μάλα καταρτίσας ἐπαφῆκας ἡμῖν· φθονῶν μὲν
— οὐκ ἂν εἴποιμι (τοῦ γὰρ περὶ σὲ χοροῦς τῶν
ἀρετῶν ὑπερόριος ὁ φθόνος ἐξώρισται)· νέμεσιν δ'
αὖ προσμαρτυρῆσαι τῷ πράγματι οἰκεῖῳ κατ'
ἐμαυτοῦ. Νεμεσᾶσθαι γὰρ οὔκουν βεβούλημαι.
Κρίνω γοῦν, ὅτι ζῆλος ὁ κρειττων ἐκκάει σε,
καὶ ἡ τοῦ κήπου χάρις ἐφέλκεται. Καὶ ἐπεὶ μὴ
μεταστῆσαί μοι τὸ ἅλσος ἔχεις ἐπισπάστρῳ τινὶ
καλαμναίῳ, μηδὲ μετακινῆσαι ἀνάγκῃ τινὶ μηχανῆς
ἐκστόγχειρος, αὐτὸ μὲν καὶ ἄκων ἐᾷς ἐπὶ χώρας
μένειν, καὶ παρ' ἡμῖν εἶναι· ἐπισπᾶσθαι δὲ μελετᾷς
ἄλλως εὐμηχάνως τὴν εὐδαιμονίαν τούτου πρὸς
ἑαυτόν· καὶ ὅτι μὴ αὐτὸ περιαγαγεῖν ἔχεις, μετάγειν
θέλεις τὰ ἐν αὐτῷ. Οὕτω μοι καλὸς ὁ κῆπος· οὕτω
πίων· οὕτως εὐθαλής· οὕτως εἰς καρπογονίαν εὐφυής·
οὕτως εἰς καλὸν ἅπαν εὔθετος. Οἷος οὖν εἰς
ἀφέλειαν ἔγωγε, εἴπερ αὐτὸς μὲν τοιούτου καλοῦ
ἐπήβολος ὢν οὐκ ἔσχον ἐπίστασθαι, ἄλλοι δὲ τὸ
ἐμὸν ἀγαθὸν πόρρωθεν φαντασόμενοι ἐμοῦ μᾶλλον
ἐξηκριβώσαντο. Οὕτω; ἀμαθὴς ἐγὼ τοῦ δέοντος,
καὶ προσήκων ὑποδιδάσκοντει τάττεσθαι, καὶ τὸ
γινώσκειν ἀεὶ παρ' ἄλλοις ἔχων κείμενον. Ἀλλὰ τί
πρὸς ἄλλοις γίνομαι, τοὺς δεινοὺς κατασκόπους
ἀφείς; τοὺς ὑποφήτας τῆς μηχανῆς; τοὺς ὑποδρη-
στῆρας τῆς ἐπιβουλῆς; τοὺς τῆς ἐμῆς φυταλιᾶς
βαρεῖς ἐπιβούλους; τοὺς τὰ μὲν ἄλλα κοινοὺς
ἑταίρους καὶ ὡς ἐπὶ σταθμοῦ τὴν φιλίαν ἐν ἰσότητι
ταλαντεύοντας, ἐνταῦθα δὲ πρὸς ῥοπὴν ἑτερόζηλον
τὴν πλάστιγγα μεταστήσαντας, καὶ πρὸς τὸ μὴ
καλὸν ἑαυτοὺς καθελκύσαντος; ὃ δὴ προδοσίας
νόμος, εἰ καὶ ὄκνος εἰπεῖν. Τί δὴ τοὺς τοιούτους
παραδραμὼν, ὡς ἔφθην εἰπὼν, περὶ ἄλλα τὸν λόγον
πλανῶ; οἷ μικροῦ οἷον ἂν με διέθεντο. Ἡμέρα
ἐπέλαμπεν ἤδη, καὶ οἱ κατάσκοποί σου, τοῦ κατὰ
λόγον ὑψηλὸν νοουμένου μοι θείου καὶ θεόθεν δημα-
γωγοῦ, ἐπιστάντες τῷ ἅλσει, περιεργάζονται τὰ
κατ' αὐτό· ὁ μὲν πολιὸς ἤδη, καὶ χρόνῳ τὴν ἐμπειρίαν μακρὰν συλλεξάμενος· ἡδὺς εἰπεῖν, ταχὺς
ἐπιτελέσαι· ὀξὺς προϊδεῖν, βριθὺς ἐπιθέσθαι·
σφοδρὸς τὴν ῥύμην, πτηνὸς τὸ τάχος· ἀετὸς ὥσπερ
ἄνωθέν ποθεν καταῤῥάξας ἡμῖν. Ὁ δέ γε λοιπὸς καὶ
δεύτερος ἀετιδεὺς, τοῦ προφρασθέντος ἔκγονος·
οὕπω μὲν τὰ πτίλα πρὸς ὀξυκινησίαν κατὰ τὸν
ἀετὸν εὐθετισμένος πατέρα, γαμψοὺς δὲ ὅμως ὑπέ-
χων τοὺς ὄνυχας καὶ οἷους ἁφαρπάζειν τὸ προστυ-
χόν. Τούτους σου τοὺς κατασκόπους οὐ πόρνη κατὰ
τὴν ὀνομαζομένην Ἱεριχουντίαν ἐκείνην τῷ τοῦ ἐμοῦ
τόπου καλῷ παρενέβριψε (φιλία τις δηλαδὴ πολυ-
ρέμβαστος καὶ καλὸν δοκοῦσα — εἴποι ἂν ἡ Σαπφὼ
— δημόσιον)· ἀλλὰ καὶ καθαρὰ, καὶ κατὰ τὴν παρ'
Ἡσιόδῳ Δίκην παρθένος, καὶ πολλοῖς ἀνομίλητος.
Οὗτοι περιελθόντες ἅπαν μοι τὸ κήπιον, εἴ που μὲν
μεῖζον ἦν ἑκάτερον· ὅσον τε ἐκ Περσέως ἔχει τάχα
μὲν καὶ τὴν γένεσιν, τὴν δὲ παρωνυμίαν, ὡς οὐκ ἂν
εἴη ἀμφίβολον· καὶ ὅσον δὲ τὴν ἁπλῶς τοῦ μήλου
κλῆσιν ἔλαχεν ἀσυνδύαστος; πρὸς ἐπίθετον· ἀλλὰ
ταῦτα παρ' οὐδὲν ἐτίθεντο. Παρήρχοντο δέ μοι καὶ
τὰς εὐγενεῖς σταφυλὰς, ὅτι ὄμφακες· καὶ τὰς καλὸν
λαμπούσας ῥοιὰς, ὅτιπερ ἐν κενοῖς λεπύροις ἔτι
καὶ κάλυξιν. Οὐ προσεῖχον δὲ τὸν νοῦν οὐδὲ ταῖς
συκαῖς· οὔπω γὰρ τὰ τῶν σύκων μέλι προὐβέβλητο,
οὐδ' εἰς ὁμιλίαν οἷον ὑπέχαινον. Τί μοι μακρὰ
λέγειν; Πάντα τὰ ἐκεῖ περιδραμόντες τὰ καλὰ, τὰ
πολλὰ, τὰ λαμπρὰ, ἑνὸς ἐγίνοντο καὶ μόνου τοῦ
περιπύστου δένδρου, τοῦ ἐπιφθόνου· καὶ τῶν ἄλλων
ἀποκρίνοντες τὴν καλὴν μητέρα, τὴν ἀμυγδαλὴν,
περὶ τὸν αὐτῆς γόνον, τὸν ἕνα, τὸν ἀγαπητὸν
ἐκεχήνεσαν· καὶ ἰδόντες τὸ ποθούμενον, ἀποσχέσθαι
οὐκ ἤθελον, ἀλλ' ὅλοι περὶ αὐτὸ ἦσαν. Καὶ ῥητὰ
ῥητοῖς συνέβαλλον φίθυρα· καὶ οὐκ ἔθ' ὑπὸ κόλπῳ
συνεῖχον τὰς χεῖρας, ἀλλὰ παρεγύμνουν ἠρέμα,
δεικνύντες ἡλίῳ. Καὶ εἶχον ἐν ἑτοίμῳ δράττασθαι
τοῦ καρποῦ, ὅπως ἂν καὶ ἔχοιεν, εἴτε πρὸς βίαν εἴτε
καὶ δόλῳ περιγενόμενοι· κἂν ἐξέπραξαν, εἰ κατη-
μέλησα ἐγώ. Καὶ ᾖχοντο ἄν, ἁφαρπάσαντες· καὶ
εἶδεν ἂν ἥλιος ἁρπαγὴν, καὶ ταύτην, ἣν οὐκ ἦν ἔξω
ἐμοί γ' οὖν λόγου πεσεῖν. Νῦν δέ με περιελθὼν ὡς
τάχος πτερόεις τις λογισμὸς, καὶ κατειπὼν τὴν
ἐπιβουλὴν, παρέστησέ τε τοῖς ἐπιβούλοις καὶ
ἀπεῖρξε τοῦ ἐγχειρήματος, ἐλεγχομένους, καὶ τῆς
ἐπιβουλῆς ἐξάρνους μὴ γινομένους. Ἐνταῦθα εἴ τι
καὶ περιαυτολογῆσαί με χρὴ, τεθαύμακα ἐμαυτὸν,
ὅτι πραῢθυμήσας καὶ μὴ θυμομαχήσας καὶ ἐκπεσὼν
ἐμαυτοῦ, κακὰ διεθέμην τοὺς τὴν ἐμὴν γῆν ταύτην
περιεργασαμένους οὐκ εὔσκοπα. Καλὰ γοῦν μοι
ταῦτα οἴκοθεν πολιορκουμένῳ, καὶ ἀφ' ἑστίας ἔχοντι
τὰ τῆς ἐπιβουλῆς. Τί οὖν ἂν ἔτι μοι παρὰ τῶν ἀλλο-
δαπῶν μήκιστον γένηται, εἰ τοὺς ἐμοὺς ἐν οὕτω
καιρίοις ἐπιβούλους ἐξεύρηκα; Τί δ' ἂν εἰς ἀπο-
φυγὴν ἐνέδρας αὐτὸς μηχανήσωμαι, τοὺς συμμάχους
αὐτομόλους καθ' ἡμῶν ἐξευρών; Οὐδὲν ἄλλο πάντως,
ἀλλά σοι ἀποπληρώσω τὸ θέλημα, καὶ τὸ ἐπιβου-
λευόμενον ἑκὼν ἀέκων σοι διαπέμψομαι. Οὕτω γὰρ
τούς τε κατασκόπους ἀμυνοῦμαι, καὶ ἀπὸ θυμοῦ
πεσεῖν σοι ποιήσω, διαπεσόντος αὐτοῖς τοῦ σκοποῦ·
καὶ οὐδ' ἀντιστήσομαί σου τῷ βουλήματι, ὅτι μηδὲ
πάρος ποτὲ τῆς σῆς ἀπεστάτουν φρενός (τοῦτο δὴ τὸ
Σοφόκλειον). Ἔχεις οὖν καὶ δὴ τὸ ἐμὸν τοῦτο καλὸν,
τὸ μέγα, τὸ μονῆρες· ὃ τάχα μόνον ἓν εἶχεν ὁ καθ'
ἡμᾶς ἄρτι βίος, ὡς τὸν τοῦ Περιόζου ποτὲ μέγαν
καὶ κάλλιστον μάργαρον. Ἔχεις τὸ τοῦ κατ' ἐμὲ
ἅλσους ἀγλάϊσμα, τὴν τοῦ ἐμοῦ κήπου καλλιτεχνίαν,
εἰς ὃ τὴν πᾶσαν καλλιτεχνίαν ἡ φύσις φιλοτίμως
ἐγκαταβέβληται· οὗπερ τὰ καλὰ τὴν πρὸς τὰ ὁμο-
νενῆ ἐκπέφευγε συμβολήν. Τούτου στερηθεὶς ἐγὼ

τὰ μὲν ἄλλα δυσφόρως ἔσχον· ὅτι δὲ ἡ μήτηρ (τὸ A
ξένδρον) οὐκ ὀλίγο· τοῦ βάρους ἀπεφορτίσατο, τοῦτό
μοι τὸ μόνον ἐλογίσθη παρήγορον· ὡς, εἰ μὴ τάχιον
ἐκκοπὲν ἀπεγένετο, κατέσπακεν ἄν τι τῆς μητρὸς
τῷ βάρει, καὶ εἰς τὰς ἐξῆς γονὰς ἀπηχρείωσε. Καὶ
μὴν ἡ μήτηρ, εἰ καὶ τὸν φόρτον οὐκ ἔχει, ἀλλ'
ὅμως ἐῴκει θρηνεῖν (εἶποι ἂν ὁ Θεόκριτος), τὸν ἕνα
τὸν γλυκὺν τοῦτον ἀφαιρεθεῖσα. Καὶ μεγάλην τὴν
ἐκκοπὴν τοῦ καρποῦ κραδαινόμενος ὁ ἀκρέμων
οὗτος, καλὸν κάρπιμον, ἐξεκρέματο. Σαλεύειν ἐδόκει,
καὶ ὡς ἐν πένθει κατασείεσθαι, καὶ τὰ κάτω νεύειν
ἐκεῖνος. Ἐκουφίσθη μὲν, οἰχομένου τοῦ καρποῦ, τὸ
τοῦ βάρους πολὺ ἀποθέμενος· τὸ δ' ἦν οὐ κουφισμὸς
ἀληθῶς, ἀλλὰ φυγή τις καὶ ἀνοικισμὸς καὶ εἰς
ὕψος ἀποκατάστασις, μὴ καὶ αὐτῷ τὰ τῆς ἐπιβούλου
χειρὸς κακόν τι διάθωνται προσαψάμενα· ἐπεὶ B
οὐκέτι πιστὰ τά γε εἰς αὐτήν. Καὶ μὴν ἄλλως
ἡμέρως εἶχον καὶ ὁ φέρων ἀκρέμων καὶ ὁ καρπὸς ὁ
φερόμενος· ὃς καὶ κάτω προκύπτων ἤθελεν ἐπα-
φᾶσθαι, καὶ τῶν ὑπερχομένων δράττεσθαι. Καὶ ἦν
ἐθὰς ἀνθρώπων κεφαλαῖς, καὶ χείλεσιν ὡμίλει (ἤδει
γὰρ, ὅτι καὶ φιλεῖσθαί ἐστιν ἄξιος)· καὶ ὀφθαλμοῖς
ἐνέπιπτε, καὶ γάρ τοι καὶ ἀξιοθέατος. Καὶ ὅλως ἦν
φιλάνθρωπον τὸ καλόν. Ὅτε μέντοι κατεσκάσθη τὰ
τοῦ καρποῦ, καὶ ὁ κλάδος ἀφῃρέθη τὸ ποθητὸν
φόρημα, τότε δὴ ἀναίνεται τὸ χειρόηθες· καὶ δρα-
πέτης οἰχόμενος ἀναχωρεῖ, καὶ εἰς τὰ αὐτοῦ
ἀναλύσας ὑψοῦ ὅσον τάχος αἴρεται, ὡς ἔκ τινος
μηχανῆς· οὐκέτι φιλῶν ἀνθρώπους, οὐδὲ κατα-
ψᾶσθαι θέλων ἀνθρώπων χερσὶν, ὑφ' ὧν ὁ καλὸς C
ἐπιβεβούλευται τοκετός. Οὕτω καὶ πέρδιξ, ἁλόντος
τοῦ νεοττοῦ, αὐτὸς πτερυξάμενος ᾤχετο. Κατὰ τὰ
αὐτὰ δέ που καὶ λέων, ἐπὰν ὁ λεοντιδεὺς αὐτῷ
ἀνθρώποις λάθοι πεσὼν ὑποχείριος, ἁλκῆς λαθόμενος
ἐδραπέτευσε. Βαθαὶ οἷος μὲν πέρυσι χρόνοις ἀπειρο-
πληθὴς καρπῶν τὴν προσενεγκοῦσαν κατέστεφε, καὶ
ὥσπερ ἐντὸς ἐπύκαζεν· ὡς δοκεῖν μὴ δένδρον εἶναι
τὸ πρὸς θέαν ἐκκείμενον, ἀλλὰ βουνὸν ὅλον καρπῶν!
Οἷος δὲ ἄρτι ἀντὶ πολλῶν ἐκείνων εἰς αὐτὸν κατε-
κόσμησεν, ἀξιόχρεως ἀντὶ μυρίων εἰς καλλιτεκνίαν
τῇ μητρί! Καὶ πρώην μὲν πολυτοκοῦσα τὸν θεατὴν
ἐμέριζεν εἰς πολλὰ, ἀμηχανοῦντα, τίνος ἂν γένοιτο
τῶν πολλῶν· νῦν δὲ παραξέσαντα τὴν παλαιὰν
ταύτην παροιμίαν, εἰπεῖν· *Οὐ πολλοὺς ἔτεκε,*
τεκοῦσα δὲ μέγαν ἔτεκε. Καὶ τάχα φιλοσοφεῖν D
ἔοικεν ὁ ἐμὸς οὗτος καρπὸς, νῦν μὲν ὅσα καὶ φύλλα
διδοὺς ἑαυτὸν εἰς τρυφὴν τῇ μητρὶ, αὖθις δὲ εἰς
ἕνα καὶ μόνον προβεβλημένος, ὡς ἂν ἐντρέψας
ἐκείνην πεῖσῃ, μὴ ἐπὶ πολυγονίᾳ μέγα φρονεῖν, ἀλλ'
εἰς τὴν ἀρχὴν ἐπεστράφθαι, καὶ ἑαυτὴν εἰδέναι, ὡς
ἐξ ἑνὸς τὴν ἀρχὴν μόνου καὶ τοιούτου εἰς τηλικοῦτον
δένδρον προήχθη, καὶ τὸ μέγα καὶ πολυπληθὲς κατε-
πλούτησε τῆς πολυτεκνίας σεμνόν. Καὶ μήποτε διὰ
τὸ νῦν μου ἄδικον καὶ οὕτως ἀχρειῶδες τοῦ καρποῦ
οὐδὲ ἐς τροφὴν ἀπαχρήσεσθαι χρὴ τῇ μονάδι ταύτῃ,
οὐδὲ τὸ φύσει τίμιον αὐτῇ περιποιήσεσθαι καὶ εἰς
ἀρχὴν ὁμοίως γενέσεως ταμιεύσεσθαι, καὶ σπέρμα
εὐγενὲς αὐτὸ ἐκθεῖναι εἰς γῆν, ἀφ' οὗ γενήσεται
ὅμοιον, καὶ πληθυνθεὶς τὸ καλὸν αὐξηθὲν ἐπὶ γῆς.

Τὰ μὲν οὖν ἄλλα τῶν δένδρων καρποῦ ἐναγχος
εὐφορήσαντα κέκμηκε τέλεον εἰς ἔτος, οἷα τὴν
ὕλην τοῦ γεννᾷν δαπανήσαντα, καὶ τὴν γένεσιν (ὡς
ἂν εἴπῃ τις) κατασωτευσάμενα· καὶ οὐκέτ' ἔχει
καρπὸν οὐδένα προφέρειν. Μένει δὲ γονίμης φύσεως
ἀσυντελῆ, φύλλοις εὐθηνούμενα μόνοις· ὡς ἔργον
εἶναι, διαγνῶναι τὸν θεατὴν, εἴτε φύσεως ἡμέρου
τὸ φυτὸν, εἴτε καὶ καθάπαξ οὐ γόνιμον ἡμέρου
καρποῦ. Τὸ δὲ ἐμὸν τοῦτο φυτὸν, ἡ καλὴ ἀμυγδαλὴ,
τὸ νεαλὲς, τὸ πέρυσι καὶ πρωτοτόκον καὶ πολυ-
τόκον, ὅτε τὰ αὐτὰ νῦν ἕδει καὶ μάλιστα τοῖς ἄλλοις
παθεῖν, καὶ πρὸς γένεσιν ἀποκαμεῖν, οὐ κατ'
ἐκεῖνα τέλεον λανθάνεται τῆς γονῆς· ἀλλ' ἀντὶ τῆς
πάλαι μυριοπληθείας ἄρτι τὴν μονάδα προῖσχεται,
καὶ τοκάδα πληροφορεῖ τέως ἑαυτὴν εἶναι γόνιμον.
Ἔτι γε μὴν κάνταῦθα φιλοσοφεῖ, ἀνιοῦσά τε τῷ
καρπῷ, καὶ αὐτῷ ὑποκαταβαίνουσα, καὶ ποτὲ μὲν
πλῆθος προῖσχομένη ἀνάριθμον, ποτὲ δὲ τὸ ἓν αὐτὸ
τὸ στοιχειωδέστατον, οὗ πᾶν πλῆθος μετέχειν πη
δεδιδάγμεθα· καὶ οὐδέποτε τὸ ἔργον τοῦτο ἀριθμοῦ
ἐστιν ἀνεπίγνωστον, ἢ τοῦ κατὰ παραύξησιν εἰς
πολλὰ, ἢ τοῦ εἰς ἓν κατ' ἀνάλυσιν. Σὺ δὲ ἄρα τὸ
σὸν φυτὸν ἐπαινεῖν ἔοικας, ὃ χθὲς εἰς ἐπίδειξιν πολ-
λοῖς φιλοτιμηταμένοις ἀριθμοῖς, σήμερον τοῦ παντὸς
ἐξελάθετο. Ὡς εὐγενής τις ἀληθῶς ἀναχώρησις αὕτη
τοκετοῦ, καὶ (ὡς εἰπεῖν) ἀνάπαυλά τις γενέσεως·
καὶ οὐ κατὰ τὴν τῶν λεόντων συμπέρασμα φύσεως.
Τοῖς μὲν γὰρ ἐκ πολλῶν γεννημάτων εἰς ἕνα τελευτᾷ
σκύμνον ὑποκαταβαίνων ὁ τοκετός· καὶ τῷ σκύμνῳ
τούτῳ εὐθὺς καὶ ἡ γένεσις ἐπεσφράγισται, συγκλει-
σθείσης τῆς φύσεως. Τῷ δὲ ἐμῷ δένδρῳ ὑποκατα-
βαίνοντι τὸ ἓν τοῦτο οὐ τελευτὴ γονιμότητος, ἀλλὰ
μονότης καὶ στάσις καὶ (ὡς φθάσας ἔφην) ἀνάπαυλα,
καὶ ἐπαγγελία καρπῶν φιλοτιμοτέρων ἐς νέωτα. Οὐ
γὰρ ἀπέκαμεν ἡ φύσις τοῦ δένδρου, ἀλλὰ νῦν ἀκμά-
ζειν ἀπάρχεται, καὶ πολυγονεῖν μελετᾷ, καὶ ἐγγυᾶ-
ταί μοι τὴν πολυγονίαν εἰσέπειτα. Καί μοι τὸν ἕνα
τοῦτον τὸν μέγαν καρπὸν προενεγκὼν εἰς ἀρχέτυπον
ὁποῖα, καρποδοτήσει πρὸς τὸ ἐπιόν. Ἀσχολεῖται
περὶ κλάδων βλάστην, καὶ στελέχους αὔξην, καὶ
φλοιοῦ παχύτητα, καὶ πρέμνου στερρότητα· ὡς ἂν
τοῦ ἐπιόντος ἔτους (ἀλλ' ἐπέστω βάσκανος ἀκοὴ) τὸν
πολὺν καρπὸν στέγειν, καὶ τὸ ἐκεῖθεν ὑπανέχειν βά-
ρος δυνήσεται. Εἰς διαστάσεις εὐρύνεται, εἰς εὐρυ-
χωρίαν ἐκτείνεται, εἰς τοπικὴν εὐφυΐαν δίστεται.
Ἀνατέλλει μοι κάμακας, ὧν ὁ καρπὸς ἐκεῖνος εἰς
τὸ μέλλον δαψιλὴς ἀπαιωρηθήσεται. Προνοεῖται τοῦ
ἔπειτα στερεμνίου, ὡς ἂν μὴ τὸ πολὺ βρῖθος τῆς πο-
λυτοκίας αὐτὸ κατακάμψειε. Τόπους παράγει, οἳ τὴν
εὐδαιμονίαν χωρήσουσι. Σημαίας ὑψοῖ, ἐφ' ὧν τὸ
ἑαυτῆς ἀναστηλώσει καλὸν, καὶ θριαμβεύσει τοῦ
τοκετοῦ θεατρικῶς τὸ καλλίστευμα. Καὶ οὕτω μὲν
εἰς ὕψος μηκύνεται· τῇ δὲ εἰς πλάτος διαστάσει εἰς
ὄροφον ἐκπετάννυται, καὶ σκιὰν ἔνδοθεν ὑποθαλα-
μεύει, καλὴν τῷ βουλομένῳ ὑποκαθῆσθαι, καὶ ἡλίοις
ἀνεπιβούλευτον. Καὶ ταῦτα νῦν τὸ ἐμὸν τεχνασάμε-
νον δένδρον εἰς ἔτος ἄλλο καὶ τῷ καρπῷ πολλῷ καλ-
λυνεῖται, καὶ ὡς ἡ Ξέρξου πλάτανος πρότερον εἰς
εὐφυῆ νυμφικῶς ἑαυτὴν ἀναδρομὴν σκευάσασα, καὶ

εἰς εὐγενὲς εὐσταλῶς μέγεθος διαστήσασα· εἶτα δὲ καὶ κόσμῳ οἷον χρυσέῳ τῷ λαμπρῷ τοῦ καρποῦ στολισθήσεται· ὡς νῦν γε οὐκ ἐξαρκεῖ τὸ νεοτήσιον τοῦτο τοῦ δένδρου κάλλος μερίζεσθαι πρὸς πολλά, οὐδ' αὐτάρκως ἔχει φύσεως πρός τε διαστάσεις ἀξιολόγους καταμερίζεσθαι, καὶ τῷ καρπῷ πολλῷ καταβρίθεσθαι. Καὶ ἡ αἰτία παρὰ τὸν χρόνον. Οὐ γὰρ ἡλίου πολλαῖς ἀποκαταστάσεσιν ἡ τούτου γένεσις συμμεμέτρηται, ἀλλὰ πέμπτον ἢ ἕκτον ἔτος τὸ τούτου θάλος μετρεῖ. Ἔχεις οὖν, τιμιωτάτη ψυχὴ καὶ τοῦ παντὸς ἀξία μοι κεφαλή, τὸ ἓν καὶ πᾶν τῆς ἐμῆς κηπαίας, τὸν ἐγγυητήν μοι τῆς εὐφορίας, τὸ καλόν μοι ἐν ἐλπίδι πληροφορίας ἀρχέτυπον, τὸν τῆς εἰσαῦθις καρποφορίας μοι πρόδρομον. Φύλαξον οὖν αὐτὸν ἀπόθετον, καὶ ὡς ἀρχὴν περίεπε, καὶ ὡς κειμήλιον σύνεχε, καὶ ὡς ἐγγυητὴν περίστελλε· ἤδη δὲ καὶ ὡς ἔλεγχον σύγκρυπτε. Καί μοι πρὸς αὐτὸν ἐν καιρῷ συγκρίνας τὸ ἐσόμενον τοῦ καρποῦ, καὶ μαθὼν, εἰ ψεύσομαι, ἀπέλεγξόν τε καὶ ἐπιτίμησον. Εἰ δὲ καὶ μεταλαβεῖν αὐτοῦ βούλοιο (οἶδα γὰρ, οἷον τοῦ καρποῦ τὸ ἐπαγωγὸν), μήτε μόνος τὸ καλὸν ἀπολαβὼν ἔχε, μήτε ἄθρουν τὸ μέγα τοῦτο προσφέρου (τί[ς] γὰρ ἂν οὕτως αὐτοῦ κατακαυχήσηται, εἰ μὴ αὐτὸ τοῦτο βουθοίνας εἴη ἐκεῖνος;)· κατάτεμε δὲ κερματίσας εἰς πλείω, καὶ τοῖς τὸ καλὸν εἰδόσι καὶ φιλοῦσι διάνειμαι. Ἀποχρήσει γὰρ οἶδα τοιούτοις πολλοῖς· εἰ καὶ μὴ πάντως πρὸς τροφὴν πλησμίαν, ἀλλά γε τρυφήν· εἰ μὴ πρὸς κόρον, ἀλλὰ πρὸς χάριν· εἰ μὴ πρὸς πανδαισίαν, ἀλλὰ πρὸς ἡδιστον ἄρτυμα. Καὶ ἔσται τοῖς μὲν φιλοκάλοις ὡς ἡδυσμα· τοῖς δὲ ὀψοφάγοις ὡς ὄψον, ἔχον τι χάριτος. Τούς γε μὴν χαριεστέρους λυπήσει κατατμηθὲν οὕτω τοῦτο τὸ τίμιον κάρπιμον. Θεωρήσουσι γὰρ τοῦτο κατά γε τοὺς ἄνω λόγους καὶ ὡς ἀρχὴν, καὶ ὡς κειμήλιον, καὶ ὡς ἐγγυητήν· ὧν οὐδενός ἐσμεν ἀνεπίστροφοι ἄνθρωποι. Ἥ τε γὰρ ἀρχὴ ἐν τιμητοῖς σπουδαίοις, καὶ τὸ κειμήλιον συνέχεται, καὶ ὁ ἐξεγυωμένος περιέπεται. Μεμνήσεται δὲ ὁ τοῦ καλοῦ τούτου φαγὼν τῆς ἡδύτητος, ὡς εἰ καὶ λωτοῦ ἐνεφορήθη, εἴτε μὴν ἀμβροσίας καὶ νέκταρος

ΜΓ'.

Τῷ δισυπάτῳ.

Ἄλλο οὐ γράφεις; Οὐκέτι λαλεῖς; Τοῦτο κατάντημα τῶν συχνῶν ἐκείνων λόγων, τὸ μηδ' ὅλως λαλεῖν; Ἐχρῆν ἀσί[γητον] λιάζειν, καὶ ἀεὶ τοῦτο ποιεῖν, ἥπερ ἀλάμενον τοσάδε (θετέον δ', ὅτι καὶ μακρὰ), εἶτα συμποδισθῆναι καὶ ἀκινητίζειν εἰς τὸ πᾶν. Καὶ τοῦ σωλῆνος καλὸν τὸ σύστομον, ὡς ἂν τὸ ἐπιῤῥέον ὕδωρ πνιγόμενον ῥέῃ παράμονον· ἐὰν δὲ πλατὺ χαίνῃ [ἀνεφγμέ]νον, τὸ πᾶν ἐξήμεσε, καὶ οὐκέτ' ἐκεῖνος εὔχρηστος. Συῤῥετώδης μὲν, οὐκ ἄχαρις δὲ λόγος, ὃς φιλεῖ καλὸν τὸ ὀλίγον καὶ πάντοτε. Εἰ δὲ τὸ Δωδωναῖόν μοι περιφέρεις χαλκεῖον, ἀλλὰ φλύαρος ἐκεῖνος ὁ ἦχος, καὶ οὐδέν τι προσήκει ταῖς φιλουμέναις ἐπιστολαῖς. Εἰ δὲ μὴ θαμίζειν ἐς φίλου, μηδὲ συχνὰ τοῦτο ποιεῖν, ὁ ἐξ ἀγορᾶς λόγος λαλεῖ· ἀλλ' οὔτε περὶ τῶν ὡς ἀληθῶς φίλων ἡ γνώμη, καὶ οὐδὲ ταυτὸν ποσὶ θαμίζειν καὶ γράμμασι. Τάχα τοίνυν ἀπέστερξας ἡμᾶς· οὐ γὰρ δήπου φείδεσθαί σε τῶν χαρτιδίων φήσομεν, εἰ περὶ ταῦτα καὶ τῷ τιμιωτάτῳ δεσπότῃ μου τῷ δείνι, καὶ τῷ καλῷ δείνι. Καὶ ἴσως οὐκ ἐπαινέσονταί σε, ὧν ποιεῖς· εἰ δὲ εὐλογήσουσί σε, σχάσας τὴν γραφίδα, μένε ἄφωνος.

ΜΔ'.

Τῷ νέῳ Πατρῶν κυρίῳ Εὐθυμίῳ.

Πανιερώτατε ἅγιέ μου δέσποτα· οὐδὲ τὰ ἄλλα εὖ πράττων, δυσπραγῶ κἀνταῦθα, ὅτι λύπην κατ' ἐμαυτοῦ τρέφειν τὴν σὴν ἀγωσύνην πεπληροφόρημαι. Καὶ ἤθελον μὲν μὴ λέγειν, ὅτι οὐ καλῶς· οὐκ ἔχω δὲ μὴ εἰπεῖν. Καὶ πῶς γὰρ ἂν καλῶς; εἶγε τὸν ἀναίτιον ἐν αἰτίᾳ τίθεσθαι κρίνεις, καὶ ἀποστέργεις τὸν πνέοντά σε, καὶ ἀπραγμόνως ἀποδοκιμάζεις τὸν ἐκ μακροῦ δόκιμον. Εἰ δ', ὅτι μὴ ἐπιστέλλω συχνὰ, τοῦτό σε δοκιμάζει καθ' ἡμῶν, εἶχον μὲν καὶ αὐτὸς ἀντεπαγαγεῖν τι τοιοῦτον· μή μοι δὲ γένοιτο. Τό τε γὰρ ἐν τοῖς τοιούτοις ἀμυντικὸν οὐ πρὸς ἀγαθοῦ ἀνδρὸς, καὶ οὐδὲ τεκμήριον σταθηρὸν τὸ γράμμε φιλίας. Ἀλλὰ καλὸν μὲν, εἰ πέμποιτο· μὴ στελλόμενον δὲ διά τι παρεμπίπτον ἀνάγκης, οὐδὲν τὴν φιλίαν ἐλύπησεν, οὐδὲ παρενεπόδισεν. Οὐκ ἀντεπάγομεν οὖν διὰ ταῦτα τὸ ἴσον τῆς αἰτιάσεως. Ἀπολογοῦμαι δὲ, ὑποφητεύων τῇ ἀληθείᾳ· καὶ πέποιθα, μὴ ἂν ἀλῶναι ψεύδους, ἐφ' οἷς ἐρῶ. Οὐκ ἐπιστέλλω, δέσποτα, διὰ τοὺς φαύλως διακονοῦντας τοῖς γράμμασι, καὶ τὸν κοινὸν ἀδικοῦντας Ἑρμῆν· οἳ χειρίσασθαι μὲν ἐπιστολῶν ἀετοὶ ὠκυπετεῖς ἐφίπτανται, κομίσαι δὲ τῷ φίλῳ καὶ ὑπὲρ τοὺς δύνους νωθρεύονται. Κερδαλέοι τινὲς, οἶμαι, οὗτοι ἄνθρωποι, πρὸ ἔργου τιθέμενοι, χαρτάρια ἐπισωρεύειν συχνὰ, καὶ εἰς ὀψαρτυτικὴν ἐμπορίαν φορτίζεσθαι· τρυφῆς ἐπιβολὴν εὐπόριστον, ἐμπολὴν τρυφαῖς ἀγώγιμον, ὡς ἂν ἔχοιεν τοῖς ὄψοις ἡδύσματα καταλλάττεσθαι. Ἤ τί καὶ βουλόμενοι ἕτερον φορυτοὺς ἐπιστολῶν ἀγείρουσι μὲν, ἐπέχουσι δέ; Ὅ δὲ τοῦ πράγματος φορτικώτατον, ἐκεῖνό ἐστιν, ὅτι πολλοὶ τῶν ταῖς γραφαῖς ὑπουργούντων καὶ ἐν ἀξιώσεως τίθενται μέρει τὸ πρᾶγμα, καὶ λιτάζονται χειρίσεσθαι γράμμα, καὶ ἐξαίρουσι τῷ λόγῳ τὸν ἀπόδημον, καὶ φίλον ἑταῖρον ἐπιγράφονται· καὶ ἢ μὴν παρ' αὐτὸν κατὰ σπουδὴν ἐλθεῖν βεβαιοῦνται, ὡς ἐκ πελάγους εἰς λιμένα, καὶ ἐξ ὁδοιπορίας μακρᾶς εἰς ἀνάπυλαν. Καὶ ἡμεῖς τηνικαῦτα πρὸς αὐτοῖς ἔχομεν τὸν νοῦν, καὶ δοκοῦμεν ἑρμαίῳ ἐντυχεῖν, καὶ ἐπιτρέχομεν τῷ φαινομένῳ. Τὰ δὲ ἦσαν οὐδὲν, ἀλλ' ἡ χάρις γλώσσης, καὶ εἰς ἀέρα ψόφος, καὶ κόμπος κενός. Καὶ αὐτοὶ μὲν γράφομεν τὰ δοκοῦντα, καὶ ὅσα εἰσὶν ἐν ἀνάγκῃ, τεθαῤῥηκότες τῇ ἐπιπολαζούσῃ τῷ ἀγγελιαφόρῳ χρηστότητι· ὁ δὲ τὰ πολλὰ ἐκεῖνα λόγους κενοὺς εἶναι πραγμάτων ἀφεὶς, ἀτελεσφόρητον ἔθετο τὴν ἐλπίδα τῷ στείλαντι. Ὁ μὲν γὰρ ἐν ἐλπίδι φέρει τὰ τῆς γραφῆς, τὴν φιλτάτην ὄψιν αὐτόθι καραδοκῶν οἷον ἐνοπτρίσασθαι· τὸ δ' ἄλλως πίπτει. Καὶ οὔτε τὸ ποθούμενον γίνεται, καὶ ἡ φιλία διαβάλλεται. Τίνι γοῦν τοὺς τοιούτους τιμησάμενός τις κρίνῃ ἂν εὐθύτατα, ἢ τάχα ἂν θανάτῳ; Καὶ μὴν οὐχ ἱκανὸς ἀνδρὶ τοιούτῳ θάνατος εἷς, οὕτω τοὺς φίλους διιχάζοντι. Ἐπίβουλοι φιλίας οἱ τοιοῦτοι, ἀληθείας ἱερόσυλοι, κακόξενοι· ἀδικοῦσι τὸν Ἑταιρεῖον, ψεύδονται

τὸν Ἑρμῆν, τὸ τῆς ἀγγελίας κιβδηλεύουσι καθαρόν. A Οὐδὲν ὅλως εἰσὶν ὑγιές· οἱ καὶ ἡμῖν τὰ παρόντα ἐπήγειραν πράγματα, πολλὰ μὲν λαβόντες γράμματα πρὸς τὴν σὴν ἁγιότητα παρ' ἡμῶν, ἀποδόντες δὲ οὐδὲ ἕν, καὶ διὰ τοῦτο ναρκᾷν ἐπὶ τοῖς ἐφεξῆς πεποιηκότες ἡμᾶς, ὡς τὰ τῆς προσφωνήσεως ἡμῖν ἐν ψιλαῖς καὶ μόναις κεῖσθαι προσαγορεύσεσιν· εἴ πού τις ἐνταῦθα γοῦν δίδωσι τὰ πιστά, ὡς ἔγωγε οἶμαι, οὐδ' ἂν τοῦτό μοι συμπεσεῖν εὐτυχῶς. Ἔοικε γὰρ οὐδὲ προσκύνησίς ποθεν οὐδὲ λόγος ὁστισοῦν ἐξικνεῖσθαί σοι ἀφ' ἡμῶν· οὐ γὰρ ἂν οὕτως ἡμᾶς διέγραφες τῆς ψυχῆς. Μάρτυρες δέ μοι τούτου — τοὺς μὲν ἄλλους τί καὶ λέγειν ἐχρῆν; ὁ δὲ τιμιώτατος κύριος Ἰωάννης, ὁ δευτερεύων πάντως καὶ ἀπαράγραπτος· ὃς διαφόρους ἐμὰς γραφὰς ἀναδεξάμενος, ἐξέστειλε γράψας καὶ αὐτός. Ἀλλ' οὔτε αὐτὸς ἤνυσε B τὰ τοῦ σκοποῦ, καὶ ἡμεῖς συνεξεπέσομεν. Ἔχει καὶ αὐτὸς ἀπαριθμεῖσθαι, πόσα ἔγραψεν ἐν κενοῖς, καθὰ καὶ ἡμεῖς. Τοῦτό μοι τὸ τοῦ μὴ γράφειν αἴτιον, ἅγιέ μου δέσποτα· ὡς, εἴ γε θαῤῥοῦντί μοι ἦν, μὴ τοῦ ποθουμένου ἐκπίπτειν, δυσχερῶς ἂν ἔφερες ὄχλον πάσχων, οἷς εἶχον γράφειν συχνά. Οὔκουν ἂν δικαίως αἰτίαν ἔχοιμεν, οἷς οὐ γράφομεν. Τὸ δὲ καὶ ὀνειδίζειν, τῦφον ἡμᾶς παθεῖν, ἐφ' οἷς τῷ σοφιστικῷ βαθμῷ προσέβημεν, μὴ σύ γε ἔτι. Τοῦ παντὸς γὰρ δέομεν τοιοῦτόν τι παθεῖν· οἵ γε καὶ φαινόμενοι ἐρυθριῶμεν, καὶ ῥαββίον τὰ εἰς ῥητορείαν καλούμενοι, ἐγκαλυπτόμεθα, καὶ μόνον οὐ προβαλλόμεθα τῆς ὄψεως θοιμάτιον· ὃ δὴ τοῖς ἁπλουστέροις αἰδοῦς προκάλυμμα γίνεται. Οἶδεν ὁ Θεὸς, ὅτι οὐ ψεύδο- C μαι. Οἶδας τὸ ἐμὸν οὐ πάνυ τι περιπόνηρον· τὸ ἐπὶ προόδοις οὐκ ἐντρεχές· τὸ ἐπὶ ταῖς ἀνυψώσεσιν εὐλαβές· τὸ ἐπὶ τοῖς ὑψουμένοις ἀφθόνητον· τὴν σπουδὴν τοῦ λανθάνοντα ζῆν, ἢ μηδὲ ζῆν. Πῶς ἂν οὖν τυφωθείην, καὶ οὐ μᾶλλον ἀχθοίμην, οὗ μὴ ἐμαυτὸν ἀξιοῦν εἶχον τούτου τυχών; Πολλοὶ πολλάκις ἀνεπτέρουν ἡμᾶς· ἀλλ' ἡμεῖς ἐβρίθομεν κάτω, καὶ τὴν πρὸς γῆν διατριβὴν ἐστέργομεν. Ἀνεμίμνησκον μακάρων τρυφῆς· ἡμῖν δὲ ἤρεσε καὶ ὁ πρὸς ἡμέραν, εἴ που καὶ ἀρκῶν εἴη, ὁ κατάβλωμος. Ἤθελον ἡμᾶς οἱ φιλοῦντες αὐξάνεσθαι καὶ ἀνδρίζεσθαι· ἡμᾶς δὲ οὐκ ἐλάνθανεν, ὅτι κώνωπες ἡμεῖς, ὅτι μύρμηκες, καὶ εἴ τί που τούτων ἔλαττον εἰς εὐτέλειαν, κάτω συρόμενον, ἢ ἄνω φερόμενον. Καί που καὶ τοιαῦτ' ἤκουε πρὸς ἡμῶν ὁ τὸ ἡμέτερον ἐπισπεύδων ὕψωμα· ἔασον D ἡμᾶς, ὦ οὗτος, μένειν κάτω. Οὐ θέλομεν ὑψοῦσθαι· οὐ φιλοῦμεν αὐξάνεσθαι. Ηὐξήμεθα, ἐφ' ὅσον ἔδει αὐξηθῆναι καὶ μύρμηκα· ἔδει δὲ πάντως οὐκ εἰς λέοντας, μήποτε ἄρα τὸ τῆς γραφῆς μυρμηκολέοντες ὀλοίμεθα παρὰ τὸ μὴ ἔχειν τροφήν. Καὶ ἄλλως δὲ οὐαὶ μύρμηκι πτεροῖς ἀρθέντι, ὡς ἡ ἐξ ἀγορᾶς παροιμία λαλεῖ. Κώνωπες δὲ, εἰ μὴ περίγειοι πέτοιντο, οὐκ ἂν τῆς πτήσεως εἰς καλὸν ἀπόναιντο, ἁρπαχθέντες ἀνέμοις καὶ ἀπαλλαχθέντες εἰς ὄλεθρον. Ἄφες οὖν ἡμᾶς ἐν βίῳ εἶναι, καὶ μὴ ταῖς Ἁρπυίαις ἀνερείψασθαι δοίης ἡμᾶς. Ἐγὼ δὲ τὸν Τάνταλον ἄνθρωπον οἶμαι πάλαι ποτὲ γενέσθαι, πέρα τοῦ δέοντος ὑψωθέντα· ὃς οὔτε τοῖς κάτω σύνεστι, καὶ οὐδὲ τῶν ἀνωτάτω ψαύειν ἔχων, πάσχει κακῶς. Οὐκ ἔχω φιλεῖν οὐδὲ τὸν Βελλεροφῶντα, ὃς ἀέρια [χαλκω]θεὶς ἔπαιζε κατὰ Πίνδαρον. Εἶχε γὰρ αὐτὸν ὕστερον τὸ Ἀλήϊον, κάτω πεζεύοντα καὶ κατεπιχειροῦντα τῆς ψυχῆς, καὶ τὴν μετ' αὐτῶν συναναστροφὴν ἐκτρεπόμενον. Τὸ δὲ τοῦ Ἰκάρου ὕψος κατενεχθὲν εἰς ταπείνωσιν, παροιμίαν ὥσπερ καθ' ὕδατος ἔγραψεν. Εἶναι δὲ ἔοικεν οὐδ' ἐκεῖνος ἄνθρωπος προσηκόντως ἔχων εἰς ἔξαρμα· ἐντεῦθεν οὐδὲ τετελεσφόρηκε τὰ τοῦ σκοποῦ. [Ἐξ] ἐ[ναν]τίου [μοι] τοίνυν, εἴ πού τις, Δαίδαλος· τῷ τοιούτῳ γὰρ προσήκει τὸ τῆς πτήσεως. Λυέτωσαν [α]ὕραις οἱ Βορεάδαι τὸ πτε[ρὸν,] φ[ι]λ[οτιμ]οῦντες τὸ τοιοῦτον καλόν. Οὐδὲ τὸν Περσέα μέμψομαι, θαῤῥοῦντα τὴν πτῆσιν· ἦν γὰρ ἐκεῖνος πτερωτὸς τὰ εἰς βάδισιν, [εἴτουν, καθ]ά τις λόγος ποιεῖ, ἀρβυλόπτερος. Ἡμᾶς δὲ κάτω τις ἐάτω μένειν, καὶ τῶν τῆς γῆς καλῶν χορτάζεσθαι, εἴτουν κατὰ τὰς [χαμαὶ] φύσεις ἐρέπτεσθαι. Εἰ δέ ποτε καὶ δεήσει πτερύξασθαι, ἀγαπητὸν, εἰ κατὰ τὴν Λιβυκὴν στρουθὸν τὰ πολλὰ τῆς γῆς ἐφαπ[τοίμεθα. Καὶ μὴν] ἔχει καὶ ὁ Ἑρμῆς πράγματα, διὰ τὸ πτερὸν ἀστατῶν, καὶ νῦν μὲν χθόνιος, νῦν δὲ αὖθις οὐράνιος ὤν. Τὰς δὲ Σειρῆνας [ὁ πάλαι μ]ῦθος αὐτὸς καὶ παρέλυσε τοῦ πτεροῦ καὶ κἀτέπνιξεν. Ὁ γοῦν ταῦτα λέγων Εὐστάθιος καὶ πολλῷ πρότερον οὐ μέγα φρον[ήσας], πανιερώτατέ μου δέσποτα, οὐκ ἂν πάντως ἔχοι τυφοῦσθαι, τοῦ ποθουμένου βίου μεταναστάς· στέργοι δ', εἰ [μετὰ] τὴν φίλην γῆν [ποτε] αὐτὸν οὐρανὸς ἐλαφρίζοιτο. Ἀπολελόγημαι ἤδη, δέσποτα, [οὐ] μό[νον] ἱκανῶς ἀλλὰ καὶ ἀληθῶς· προσθήσω δὲ τῇ λοιπῇ [μου γραφ]ῇ καὶ τὴν κορωνίδα. Εἴ σου ἐπελαθόμην, λάθοιτό μου Θεός. Ὅτι δὲ οὐδὲ φίλον ἐπιγράφομαί τινα κρείτ[τονα] τῆς [σῆς ἁγιότη]τος, οἶδε μὲν καὶ τοῦτο Θεός· οὐ λανθάνει δὲ, οἶμαι, οὐδέ τινα τῶν, ὅσοι Εὐστάθιόν τε τοῦτον ἀκριβῶς οἴδασι, καὶ τὸν πανιερώτατον μητροπολίτην Πατρῶν. Εὔχου ἡμῖν, ἅγιέ μου δέσποτα. Εὐχόμεθα καὶ ἡμεῖς πᾶν ἀγαθὸν τῇ σῇ ἁγιότητι· συνευχόμεθα δὲ καὶ ἰδεῖν αὐτὴν χαίρουσαν, καὶ τὰ φιλικὰ ἐν ὄψεσι προσειπεῖν. Τῷ τέως δὲ λύσον τὴν γλῶσσαν, καὶ ἀντιφώνησον· καὶ οὕτως ἡμῖν τὴν ἐκ λύπης διάλυσιν συνόχει.

ΜΕ'.

Τῷ αὐτῷ.

Ἤγειρας ἡμᾶς, οἷς ἐλάλησας· ἀνέστησας, οἷς ἐφώνησας. Ὦ λόγος γλυκύς! ὦ γλῶσσα Χαρίτων γέμουσα! ὡς ἄρα σὺ μόνος ἐν τοῖς ἄρτι λαλεῖς, ὁποῖα φθέγξεται σοφὸς ἄνθρωπος. Ἰδὼν μὲν τὴν γραφὴν τῆς σῆς ἁγιότητος (ἐπιμαρτυρέσθω μοι τοῖς λόγοις ὁ τῆς ἀληθείας Θεὸς), καὶ τὸν τίτλον ταύτης περιελθὼν, ἐξελαθόμην τῆς ἀσθενείας, ἥ με περιεκέχυτο. Ὡς δὲ καὶ ἀνέπτυξα, καὶ τοῦ ἀναγινώσκειν ἐγενόμην, ὅτι μὲν ἡ ἁγιωσύνη σου πράγμασι περιεστοιχίσθη, οὐ μάλα με ἐλύπησε (δύνασαι γὰρ Θεοῦ χάριτι τῶν τοιούτων ἐλαφρότατα ὑπερπέτεσθαι)· ὅτι δὲ ὑγιαίνειν ἔλαχες, τοῦτο εἰς ἐμὴν ἐλογισάμην ὑγίειαν· ὃ καὶ φυλάττοιτό σοι διὰ βίου εἰς κοινὸν ἀγαθόν. Βραχὺ δὲ τῆς ἀναγνώσεως γενόμενος, καὶ μηκέτ' ἔχων διδόναι τοὺς ὀφθαλμοὺς τῷ γράμματι (οὕτω γάρ με ἡ νόσος διέθετο), εἶτα ἑτέρῳ δοὺς ὑποβάλλειν μοι τὰ τῆς ἐπιστολῆς ὡς ἐγένετο ἐκεῖνος τῇ ἀνα-

γνώσει περὶ τὰ Σέρβια, ἐνταῦθα καὶ ἀνωρθώθην τοῦ κεῖσθαι, καὶ κατέχειν ἐμαυτὸν οὐκ εἶχον ὑφ' ἡδονῆς. Ὦ τῆς τῶν νοημάτων γλυκύτητος! Σάλπιγξ μοι ὁ τόπος οὗτος ἐφάνη τοῦ γράμματος, κατὰ λόγον τῆς τελευταίας ἐκείνης ἀνιστώσά με τῆς νεκρώσεως. Εἰ δὲ καὶ σάλπιγγες κατὰ λόγον ἄλλον αἱ τοιαῦται τοῦ γράμματος ἔννοιαι, κατὰ τὰς τοῦ Ἰησοῦ, τὰς ἐπάλξεις τοῦ νοσήματος κατερείπουσαι, δώσεις μοι καὶ τοῦτο θαῤῥούντως εἰπεῖν, ὡς εἶναι διὰ ταῦτα τὴν γραφὴν τῆς σῆς ἁγιότητος εἰς πτῶσίν τε καὶ ἀνάστασιν· ταύτην ἐμήν· ἐκείνην τοῦ ἀῤῥωστήματος. Φυλάττοι Θεὸς ἐπὶ χρόνους μακροὺς τὴν γλῶσσαν ταύτην, καὶ τὸν ταύτης ἐπιστάτην νοῦν, καὶ τὸν σύνολόν μου δεσπότην· τὴν ἀναπνοήν μου, τὴν παρηγορίαν, τὴν ἀναψυχήν, τὸν μόνον ἐμόν. Ἀπαλλάττοι δὲ αὐτὸν ἀεὶ καὶ τῆς τῶν Κιμμέρων Σερβιωτῶν γῆς, ἀποκαθιστῶν εἰς τὴν Ἑλλαδικὴν, τὴν ἡλιώδη, τὴν αἰθριάζουσαν· ὁδηγοίη δὲ καὶ μεμνῆσθαι ἡμῶν, ἵνα ὀψέ ποτε ὦμεν τοῖς καθαρῶς ζῶσιν ὁρίθμιοι. Νῦν γὰρ ἡμεῖς οὐδὲ ἡμίβιοι, ὡς οὕτως εἰπεῖν. Ἡ κλίνη μὲν γὰρ ἡμᾶς οὐκ ἀεὶ ἔχει, ἀλλὰ πρὸς ὥραν ταύτης ἀπαλλαττόμεθα· τὰ δὲ λοιπὰ, οἷα οἱ πόδες κατὰ τοὺς τῶν βρεφῶν ὀκλάζουσιν· οὐχ ὅτι τὰ ἄνω βαρεῖς καὶ νανώδεις ἡμεῖς, ὡς ἐπιπίπτειν αὐτοῖς ἐκεῖθεν καὶ βιάζεσθαι τὴν ὑπένδοσιν (περιεπτίσμεθα γὰρ κατὰ τοὺς παρὰ τῷ Κωμικῷ σφηκώδεις, καὶ — ὡς ἐκεῖνος τοῦτο λέγει — διὰ δακτυλίου ἂν ἑλκυσθείημεν)· ἀλλ' ὅτι ἀνεῖνται τὰ νεῦρα, καὶ ὁ φυσικὸς ἐξητόνησε σύνδεσμος. Ὁ στόμαχος οὔτε τῇ φυσικῇ ταμιουχίᾳ στέργει, ἀλλ' ἀναβάλλειν ἐθέλει τὰ ἐντιθέμενα· κἂν στέρξῃ, παρενοχλεῖ, καὶ ὀδύνας ἄγει· καὶ χεῖρον τοῦτο δοκεῖ ποιεῖν ἐκείνου τοῦ κακοῦ. Αἱ χεῖρες — γελάσειας ἄν, γλυκύτατε δέσποτα, ἰδὼν, ὅπως ὑπότρομοι γραφὰς ὑποσημαίνονται, δεῆσάν ποτε. Οὐδ' ἂν παῖς ἀναλφάβητος, παίζων γραφίδι καὶ μέλανι, τοιαύτας ἀνάγῃ γραφάς μου. Ἡ κεφαλὴ — συνέπεσέ τι μικροῦ τινος λόγου ἄξιον, καὶ ἀνέστρεψεν ἅπαν τὸ ὑποκείμενον· λόγου γὰρ ἀκοῦσαι σπουδαίου καὶ περινοίας δεομένου, ἢ βιβλίον χειρίσασθαι, ἢ ἑτέρου τοῦτο ποιοῦντος ἀνέξεσθαι, τοσοῦτον ἀποδέομεν, ὅσον καὶ οἱ τοῦ ἀγροῦ. Τί οὖν ζῶμεν, ἅγιε δέσποτα; Τὸ μεῖζον ἡμῖν πάντων τῶν κακῶν· τρεῖς ἤδη σχεδὸν μῆνες, καὶ ὁ μυροβλύτης ἄποπτος ἡμῖν. Καὶ οἱ μὲν ἄλλοι πάντες τῆς εὐωδίας ἐκείνου καταπολαύουσιν, ἡμεῖς δὲ δεδιώγμεθα, χοῖροι πάντως βορβόρου ἄξιοι. Εὔχου ἡμῖν, ἅγιε δέσποτα, ἀπαλλαγὴν τῶν παρόντων κακῶν, ἢ γοῦν ἀλλὰ τὴν ἑτέραν ἀπαλλαγήν. Χάριτι μὲν γὰρ ἡμῖν ἡ προτέρα· εἰ δὲ κίνδυνος εἴη οὕτω ζῆν, εὐκταῖον πρᾶγμα καὶ ἡ λοιπή.

ΜΘ'.

Ὅσα μὲν ἄχρι καὶ τῆς ἄρτι περὶ τῆς ἀγάπης σου ἐμανθάνομεν, λογιώτατε καὶ ἠγαπημένε μοι δέσποτα, δυσαχθῆ μὲν, ἄλλως δὲ οὐ πάνυ τι φορτικὰ ἡμῖν κατεφαίνοντο. Ἥ τε γὰρ νόσος διὰ τὸ εὐανακόμιστον ἐλπίδας ἀγαθὰς ἡμῖν ὑπέτεινε· καὶ τὸ λυπεῖσθαι δὲ ἐπὶ θανάτῳ συγγενικῷ εἶχον ἀπόλογον. Καὶ διὰ ταῦτα οὐκ ἐδόκουν ἡμῖν αὐτὰ πολὺν τὸν φόρτον ἔχειν καὶ ἀπαραμύθητον. Ὃ δὲ σήμερον ἔμαθον, ἀλλὰ τοῦτο μήτε ἀληθὲς εἴη, μήτε δευτερόν μοι πεσεῖν γένοιτο εἰς ἀκοάς, ὅτι διὰ τὸ τοῦ πένθους ἄκρατον καὶ ἄμικτον πρὸς παρηγορίαν κίνδυνός ἐστι θανάτῳ πελάσαι καὶ σέ. Τί σοι κέρδος τοῦ ἀσιτεῖν; καὶ βρωμάτων μὲν ἀπέχεσθαι εἰς τὸ παντελὲς, δακρύων δὲ ἄρτους ψωμίζεσθαι; καὶ λιμῷ μὲν τήκεσθαι, πένθους δὲ ἀφορήτου κορέννυσθαι; Ἡ φαῦλος ἐν σοφοῖς ὁ εἰπὼν, μὴ δεῖν εἶναι τοὺς τεθνεῶτας γαστέρι πενθεῖν. Ἐπαινετέον ἄρα καὶ τοὺς ἀπαγχομένους, ἐφ' οἷς ἐπὶ νεκροῖς ἄχθονται· ἑλκυστέον δὲ καὶ τὸν σφαγέα καθ' ἑαυτῶν δίχα ψόγου παντὸς τοὺς, ὅσοι ἐπὶ τοῖς οἰχομένοις παθαίνονται. Σοὶ δὲ ἀρκέσει καὶ λύπη βραχεῖα πρὸς τὸ μεμισημένον κατάντημα, οἷα τεταριχευμένῳ τῇ νόσῳ, καὶ οὐ καλῶς ἐχοντι. Εἰ δὲ καὶ τὴν τροφὴν ἐπίσχῃς ἐπὶ πλέον, κακῷ τὸ κακὸν ἰώμενος, ὥρα σοι μηκέτι εἶναι, τὸ πάντων ἡμῖν ἀπευκταιότατον. Ἐπαρτῶμέν σοι τὸ ἐκ Θεοῦ κρίμα· στεροῦμέν σε δὲ καὶ τῶν γονίμων σου εὐχῶν τῆς ἐπαινουμένης θερμότητος, οὕτω παραπειθούσης ἡμᾶς, ἐὰν καὶ εἰσέτι σεαυτὸν περιτείνῃς, καὶ οὐκ ἀνενέγκῃς μετρίως τοῦ σάλου τῆς θλίψεως. Νήστευσον, λυπήθητι, κλαῦσον· ἀλλὰ καὶ φάγε, καὶ πίε, καὶ πάντα μετρίως καὶ κατὰ καιρόν. Οὐ γὰρ ἀπαθῶς ἀξιοῦμεν διακεῖσθαί σε, καὶ τὸν φιλάδελφον ψεύδεσθαι. Τί δὲ, ἐάν τινα φιλούμενον ὁμοίῳ εἶδες περιπεσόντα, εἶτα δὴ κατὰ σὲ διατιθέμενον, ἐπῆνεσας ἄν; Οὐ δοκῶ πάντως. Οὐδὲ ὁ ἀδελφὸς φιλοίη ἂν οὕτω σε διακείμενον. Ἱκανῶς ἐβυθίσθης τῷ κακῷ· ἀνάγαγε τοίνυν σεαυτόν. Κατεπόθης· ἀνάνευσον. Διάκρουσαι τὴν πολυκυμίαν τῆς θλίψεως· καὶ εἰ μὴ ἐν παντελῶς γαληναίῳ, ἀλλ' ὡς ἐν ὀλιγοκυμάντῳ κατάστηθι. Φύλαξαι σεαυτῷ τὸ δύνασθαι τιμᾷν ἐπὶ μακρὸν τὸν ἀδελφὸν πένθει τῷ προσήκοντι. Ἐὰν δὲ οὕτω ταχὺ σεαυτὸν καταπονήσας ἐκτήξῃς, οὔτε εἰς ὃ ποιεῖς ἐπαρκεῖς, καὶ ἐλέου ἐστέρησαι, καταβάλλων ἐκὼν σεαυτόν. Εἴθε μὲν οὖν εἴχομεν καὶ ποσὶ χρήσασθαι, καὶ ἐλθεῖν παρὰ σέ· οὕτω γὰρ ἂν τὸ πᾶν ἡμῖν ἦνυστο. Νῦν δὲ δοκεῖ μέρος τι τοῦ παρ' ἡμῖν ἐνδιαθέτου ἀπεσπᾶσθαι, καὶ τῇ γραφῇ ταύτῃ ἐγκεῖσθαι, καὶ δι' αὐτοῦ σε περικλητεύεσθαι. Πείσθητι οὖν διὰ τὸν Θεὸν, ἵνα μὴ, πρὸς οἷς ἄλλοις ἐγκαλοῦμεν, προσεγκαλέσωμέν σοι καὶ τὸ θέλειν, ἐφ' οἷς οὐ δεῖ, θλίβειν τοὺς ἀγαπῶντάς σε.

ΜΖ'.

Τῷ Λαχανῇ.

Οὐ ψεύσομαι, οὐδὲ τὰ ὑπὲρ ἐμὲ κομψεύσομαι. Λαλῶ μὲν, ἀλλ' οὔτε ῥύδην, καὶ οὐδὲ τορὸν καὶ γλυκύ· καὶ γράφω μὲν πρὸς ῥητορείαν, ἀλλὰ σχολαίως, καὶ ταῦτα τοῖς κατασκατοῦσι. Ἄλλοις μὲν γὰρ ἐνδειξάμην, καὶ τὴν ἐμὴν θεατρίσαιμι μουσικὴν, οἳ ταύτης οὐδὲν μᾶλλον ἢ δυοῖν λύραις ἐπαΐουσι· καὶ τῆς σφῶν ἀμουσίας κατατρυφήσω. Σοὶ δ' οὐκ οἶδ' ὅπως ὑπᾴσω, οὕτω μεμουσωμένῳ, καὶ σοφιστικῶς καὶ λαμυρῶς ἔχοντι τοῦ νοός. Ἐπεὶ δ' ἐπιστέλλων οἶδα (χρὴ δὲ τὴν ἐπιστολὴν ἀνθρωπίνως λαλεῖν, καὶ κατὰ τὸν Κωμικὸν ἀμαθέστερόν πως καὶ σαφέστερον), ἔγνων εἰς μάτην δειλιῶν τὴν γραφήν· κἀντεῦθεν γράφω. Ἢν δέ με πείσῃς, ὡς οὐ γελοῖος ἐγὼ παρά σοι, καὶ διαγεύσω, καὶ τριαγεύσω, καὶ τετάρτῳ ἐπιβαλοῦ-

μαι γράμματι. Ἐὰν δέ που δεήσῃ, καὶ ἐπὶ τάδε τοῦ γράφειν προβήσομαι. Πάντως δὲ πείσεις· εἰ μὴ καὶ σὲ ὁ δεῖνα παρήγαγεν, ὃ μὴ γένοιτο. Καὶ μὴν ἐγὼ καχυπόπτως ἔχω, καὶ δέδοικα, μὴ καὶ τὸ σὸν πρὸς τὸ ἑαυτοῦ ἦθος ἀπέξεσε. Τοῦτο δὲ μὴ σύ γε πείσῃ· μὴ καὶ, τοιοῦτον ἕκαστον εἶναι, οἷσπερ ἥδεται ξυνὼν, ἐπιφθέγξωμαί σοι, καί σε τοῦτο γοῦν τὸ μέρος ὕδατι παρεικάσω διὰ τὴν τοῦ ἤθους συνεξομοίωσιν. Φιλεῖ γάρ τοι κἀκεῖνο τοιοῦτον εἶναι, δι' ἧς ἂν γῆς πορεύηται. Οὐ μὴν ἀλλ' ὁ μὲν δεῖνα, εἰ μὲν βούλεται, στεργέτω· εἰ δ' οὖν ἀποστέργεται ἡμᾶς, ἐγὼ δὲ καὶ ἀπόντα φιλῶ. Προσθήσω δ', ὅτι τάχα καὶ ἄκοντα καὶ μὴ φθεγγόμενον προσφωνῶ, ὅμοιον ὡς [εἴ τ]ις ἀνδριάντα φιλοίη μηδὲν εἰδότα. Ἐκεῖνο μόνον οἶδα, ὡς ἐπιστέλλων αὐτῷ τοῦ λοιποῦ τὴν σύριγγα [προσθή]σομαι. Ἐκεῖσε γὰρ ὁ μέν τις καλαμίσκος τῶν ἄλλων ὑπερανίσταται· ὁ δὲ μετ' ἐκεῖνον δεύτερος ὑπολείπεται τῷ [μή]κει· καὶ ὁ τρίτος τοὺς πρὸ αὐτοῦ ὑποκάθηται. Ὁ δὲ μετὰ τοῦτον ἔτι πλεῖον ὑποκαταβαίνων, ὅμως τοῦ μετ' [αὐτὸν] ὑπερκάθηται· αὐτὸς δὲ εἰς βραχύτερον ἔτι συνέσταλται. Καὶ τοῦτο μέχρι πάσης τῆς σύριγγος, ἔστ' ἂν ἐσκον[θυλκὼς βρα]χὺ, καταλήξειε. Καὶ ἡμεῖς τὸ μὲν πρῶτον ἐγράψαμεν αὐτῷ μακρότερα· εἶθ' ὑποκαταβάντες συνεστ[άλημεν].

ΜΗ'.

Τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλὴν, μέγιστε τῶν πώποτε γεγενημένων Καισάρων καὶ ἀξιάγαστε, νῦν ἀπόναμαι, ἧς συνείλοχα, ὀγιότητος. Καὶ νῦν σοφὸς δοκῶ γεγενῆσθαι, καὶ ἐν τῷ καταλόγῳ τῶν λογίων συνηριθμῆσθαι, ὁπότε μου σὺ τῶν λόγων ἐρᾷς. Ἐν αὐχμῷ καὶ ταῦτα φιλομούσου καὶ γλώττης καὶ ἀκοῆς. Τί γὰρ ὄφελος αὐλητῇ, εἰ αὐλοὺς μὲν ἔχοι καλοὺς, οὐδεὶς δὲ αὐτῶν ἀκούειν βούλοιτο; Τί δὲ κιθαριστῇ, εἰ ἐντείνει μὲν καλῶς τὰς χορδὰς, οἱ δὲ ἐν γειτόνων τὴν ἐκείνου μουσικὴν ἀποστρέφονται; Εἰ δὲ καὶ δρομεὺς ἀγαθὸς εἴη, οὐδεὶς δὲ ὁρᾷν βούλοιτο ἱπτάμενον αὐτὸν ἐν τοῖς δρόμοις, τί ποτ' ἂν ἀπόναιτο τῆς ὠκύτητος; Οὕτως ἐγὼ τὸ μέχρι τοῦ νῦν κύμβαλον ἦν ἀλαλάζον, καὶ μάτην ἠχῶν· ἀλλὰ σύ με σεμνότερον διὰ τῆς ἐπιμελοῦς ἀπέδειξας ἀκροάσεως. Καὶ ἵνα σοι ἐξαγγείλω, ὃ πεπόνθα (ἀλλά μοι τῷ λόγῳ τὸν νοῦν πρόσεχε)· σημεῖον ποιοῦμαι τὴν σὴν περὶ τοὺς λόγους ἐπιθυμίαν τῆς σῆς ἀρίστης ψυχῆς, ἀφ' ἧς γίνεται τὸ ἐπιθυμεῖν. Ἐγὼ γὰρ (ἵνα σοι τάληθὲς ἐρῶ) οὐ ξηρὸς γέγονα τὴν σοφίαν, οὐδ' ὥσπερ οἱ πολλοὶ μέχρι τοῦ λέγειν προθυμηθέντες· ἀλλὰ παντοδαπῶς πᾶσι γέγονα πράγμασι, καὶ πᾶσαν φιλόκαλον ψυχὴν ἐπαινῶ· οὐ μόνον, ἥτις νοητοῦ κάλλους ἐρᾷ, ἀλλὰ καὶ ἥτις χρωμάτων ἀνθηρῶν, καὶ τέχνης ἀκριβοῦς, καὶ μαργαρίτου, καὶ σαπφείρου, καὶ ὑακίνθου. Τεκμήριον γὰρ τὴν περὶ ταῦτα ποιοῦμαι ἔφεσιν τῆς ὑψηλοτέρας ἐπιθυμίας καὶ κρείττονος. Ὅταν δέ τις λόγων κάλλους ἐρᾷ, οὗτος ἐμοὶ ὑψηλότερός ἐστι τὴν ἐπιβολὴν τῆς ψυχῆς. Ὥσπερ γὰρ ὁ παντάπασι τὴν γνώμην ἠλίθιος ἀκίνητός ἐστι πρὸς πᾶσαν μουσικὴν, καὶ οὐδὲν αὐτὸν αἱρεῖ τῶν ὅσα τερπνὰ, ἀλλ' ἐν ἴσῳ τίθεται, βορβόρῳ ἐγκαλινδεῖσθαι, καὶ ὑπὸ σύσκιον πάγκαλον ἀναπαύεσθαι· οὕτως ὁ γεγυμνασμένος τὰ αἰσθητήρια πρὸς διάκρισιν χείρονος καὶ βελτίοντος, ἐπὶ τοῖς τῶν πραγμάτων ἐνθουσιᾷ κάλλεσι· καὶ θέλγεται μὲν τοῖς ῥυθμοῖς, ἐπαγάλλεται δὲ συμφωνίαις· καὶ ἁρμονίαις· λόγων δὲ μάλιστα κόσμῳ καὶ κάλλει συνθήκης γοητεύεται ἀτεχνῶς. Ἐρῶ γάρ σοι λόγον ἀπόῤῥητον μὲν, φιλοσοφώτατον δέ. Ἡ ψυχὴ, κάλλιστε Καῖσαρ, μετὰ τοῦ νοητοῦ κάλλους τῷ σώματι προσαρμόζεται· ἰδεῖν δὲ τοῦτο ἐν τῷ ὑλικῷ κόσμῳ οὐ δύναται. Θὺ γὰρ χωρεῖ τὴν ἀῦλίαν ἡ ὕλη. Ἀπορρύσας δὲ τούτου καὶ ἴχνη ἐν σωματικοῖς θεωμένη κάλλεσιν, οἷστρεῖ καὶ μέμηνεν, οἰομένη, ἐκεῖνο εἶναι, ὅπερ ἐν τῷ σώματι γενομένη διέφθειρε. Διὰ ταῦτα περὶ τὰς πολυτίμους τῶν λίθων καὶ τὰ εὐειδῆ πρόσωπα καὶ τὰς μουσικὰς ἁρμονίας οἱ δέ γε φιλοσοφώτεροι περὶ τὸ τῶν λόγων κάλλος ἐπτόηνται· ὁποῖος εἶ σύ. Ἀλλ' ἔδει σε καὶ τοιούτου φιλοσόφου τυχεῖν, ὁποίου τοῦ Ἀριστοτέλους μὲν ὁ Ἀλέξανδρος, τοῦ Πλάτωνος δὲ ὁ Διονύσιος. Ἀλλὰ σὺ μὲν κρειττων ἐκείνων (καὶ ὡς ἐγὼ δικάζω καὶ ἀποφαίνομαι)· ἐγὼ δὲ χείρων παραπολύ. Πλὴν τοσοῦτον εὐτύχηκα, ὅτι μου μᾶλλον ἐρᾷς ἢ τῶν φιλοσόφων ἐκεῖνοι· καὶ διὰ ταῦτα τὸ παρ' ἐμοὶ ἔλαττον πλεῖον ἡγῇ τοῦ παρ' ἐκείνοις μείζονός τε καὶ πλείονος. Πλὴν καὶ τοῦτο ἴσθι, ὡς ἐκεῖνοι μὲν, ὧν ἀρτίως ἐμνήσθην, σφοδρότατοι ἐραστ[αὶ] τὸ κατ' ἀρχὰς ἐπὶ τοὺς φιλοσόφους γενόμενοι, ὕστερον ὥσπερ οἱ τῶν δρομέων ὀλίγωροι καθυφῆκαν αὐτοῖς τοῦ ἔρωτος. Καὶ διὰ ταῦτα καὶ Διονύσιος ἐν τυράννοις ἠρίθμηται, ὅτι τὰ Πλάτωνος ἠθέτησε δόγματα· καὶ Ἀλέξανδρος τῶν κρειττόνων ἐγκωμίων ἐστέρηται, ὅτι τῆς Ἀριστοτέλους σοφίας καταπεφρόνηκε. Περὶ σοὶ δὲ οὐδὲν τοιοῦτον ὑπονοῶ, ὅτι καὶ κρειττων ἐκείνων πολλῷ καὶ τὴν ψυχὴν καὶ τὴν σύνεσιν. Ἔδει δὲ καὶ τοὺς βασιλεῖς τοῖς σοφοῖς ἐκείνοις μνησικακῆσαι, ὅτι οὔτ' Ἀριστοτέλης ἐγκώμιον Ἀλεξάνδρου, οὔτε Πλάτων Διονυσίου πεποίηται. Διὰ ταῦτα ὥσπερ ὑβρισμένοι παρὰ τούτων, δίκην παρ' αὐτῶν τῆς ὕβρεως ἑκάτεροι ἀπειλήφασι. Καὶ ἵνα σοι καὶ τὸ περὶ ἐκείνων ἀνακαλύψω, εἰς ἄκρον μὲν φιλοσοφίας ἐληλάκεισαν ἄμφω· λόγων δὲ χάριτας οὐκ ἐσχήκασι. Διὰ ταῦτα ἐλάττους ἐν τοῖς ἐγκωμίοις γεγόνασιν· ἐγὼ δέ σοι ἥττων μὲν τὴν σοφίαν ἐκείνων, κρείττων δὲ τὴν γλῶτταν περὶ τὴν εὐφημίαν εἰμί.

ΜΘ'.

Πρὸς μὲν τυροὺς καὶ ὄδνα, ἴσως δὲ καὶ μύρα καὶ πέμματα καὶ ἀρώματα, ὑπερθαύμαστέ μοι Καῖσαρ, ἐπιστέλλειν καὶ ἀνταμείβεσθαι δύναμαι· πρὸς δὲ ἵππον οὕτω μὲν καλὸν, οὕτω δὲ μέγαν, οὕτω δὲ τρυφερὸν, οὕτω δὲ ταχὺν καὶ εὐκίνητον, ἐπιστολὴν ἰσόμετρόν τε καὶ ἰσοδύναμον ποιῆσαι ἀμηχανῶ. Εἰ γὰρ καὶ μὴ τοιοῦτος ἦν, μηδὲ τοσούτοις ἐκεκόσμητο κάλλεσιν, ὁπόσοις οὐδ' ὁ τοῦ Ἀλεξάνδρου παράσημος ἵππος (ἐκεῖνος γὰρ θυμοειδὴς ἄλλως ἦν, ἀποπτύων τε τὸν χαλινὸν, καὶ δι' ὑπερβολὴν ἀγερωχίας ἐπιβάτην μὴ προσιέμενος)· ἀλλ' ἐπειδὴ παρὰ τοιούτου ἀνδρὸς δῶρόν μοι ἀπέσταλται, ὁποίῳ ἂν οὐδεὶς τῶν ἀπ' αἰῶνος γηγενῶν ἀντερίσειεν, πῶς ἂν διαμιλλη-

σαίμην λόγῳ πρὸς τὴν τοῦ πέμψαντος ἀρετήν; Ἐπεὶ δὲ καὶ ὁ πεπομφὼς ἄνω που κάθηται τῶν νεφῶν, καὶ τὸ πεμφθὲν μικροῦ δεῖν τοῖς ὁμοειδέσι ζώοις ἀσύγκριτον· πρὸς δύο τηλικαῦτα, τὸ κάλλος ὁμοῦ καὶ τὸ μέγεθος δ', Ἡρακλῆς ἐκεῖνος ἀνταγωνίσαιτο, ἡ παροιμία φησίν. Ἀλλ' ὅταν μὲν πρὸς τὴν σὴν ἐπιμύσας ὑπεροχὴν, τὸν ἵππον θαυμάσαι βουλήσομαι, κάτω που τούτου καὶ τὸν Βουκεφάλαν καὶ τὸν Πήγασον τίθεμαι. Τί γὰρ, εἰ ὁ μὲν εὔσαρκος μέν τις ἦν, καὶ πιότατος, καὶ βοὸς κεφαλῇ διεσχημάτιστο ἐπὶ τοῦ μηροῦ, θρασύτατος δὲ τἄλλα, καὶ τὴν ἡνίαν μὴ προσιέμενος· ὁ δὲ εἰς ἀέρα ἐπτέρωτο, καὶ τὸν ἐπιβάτην πολλάκις τῶν νώτων ἀπέκρουεν; Ἀλλ' ὅ γε πεμφθεὶς ἐμοὶ καὶ τῷ κάλλει μὲν καὶ τῷ μεγέθει ἐκείνοις ἀνθάμιλλος· ἔχει δὲ μετὰ τῶν δυοῖν τούτων ἀρετῶν καὶ τὸ μὴ πρὸ πολλοῦ γιγεννῆσθαι, ἀλλ' ὄρτι ἡβᾷν τὴν ἵππειον ἥβην, ἡμερόν τε εἶναι, καὶ [μὴ] πρὸς θίξιν χειρὸς ἀγριαίνειν, μήτε δεῖσθαι τοῦ περιποππύζεσθαι, καὶ οἷον τιθασεύεσθαί τε καὶ κολακεύεσθαι. Ὅταν μὲν οὖν πρὸς τὸν ἵππον ἀπίδω, οὕτως τοῦτον ὑπερεκπέπληγμαι, καὶ ἀσύγκριτον πρὸς τοὺς λοιποὺς τίθεμαι· εἰ δὲ πρὸς τὸν ἀποστολέντα μεταβιβάσω τὴν ἔννοιαν, τηνικαῦτα τὸ λυχνιαῖον φῶς θαυμάζειν ἀφείς, τοῦ ἡλίου τέθηπα τὴν μαρμαρυγήν. Ἔδει μὲν οὖν σε, ὅσον ἐπὶ ταῖς τῶν πραγμάτων ὑπεροχαῖς, ὑπερνεφεῖν τε καὶ οἷον ἀεροβατεῖν, καὶ καταφρονεῖν τῶν ἐφημέρων ἡμῶν· νῦν δὲ, ὃ τοῖς ἄλλοις τὰς ὀφρῦς ὑπὲρ τὸ μέτωπον τίθησι, σοὶ καὶ τοὺς ὀφθαλμοὺς αἰδοῦς ἐμπιπλᾷ, καὶ μετριοφροσύνην ἄῤῥητον ἐμποιεῖ. Ἐγὼ δὲ ἔ[τι] οὐ τὰ μεγάλα μόνον θαυμάζειν προῄγμαι, ἀλλά σου καὶ τὰ πάρεργα ἀσύγκριτα καὶ ἀπαράμιλλα ἥγημαι· καὶ ὁ τὴν χθές π[ου] τοῖς καλλίστοις υἱοῖς σου συσσιτούμενος, ὡς ἐπίστασαι, οὐκ ἀποκρύψομαι, ἀλλὰ λαμπρῶς διηγήσομαι. Ὁ γὰρ πε[ρι]πόθητός μοι Ἀνδρόνικος τὸ τῶν γεράνων ἡδέως μοι διηγούμενος κυνηγέσιον, καὶ ὡς τὸ βραχύτατον ζῶον τὸ τοῦ γένους ἐπιβουλότατον θηρᾶται, τοῦτον τὸν γέρανον, ὑπερνεφοῦντα τοῖς πτέρυξι, καὶ ὑπὸ τὴν ἀγκάλην ἠρέμα ὑπεισιὸν πολιορκεῖ τε, καὶ ὡς τεῖχος μέγιστον καθαιρεῖ, καὶ ταῖς ὄνυξιν ἐκείνου διασπαράττεται· εἶτά μοι τὸν λόγον καταβιβάσας, ὅτι σοι καὶ πρὸ ὀλίγου θαυμάσιον ζῶον ὑπὸ γεράνου διέφθαρται, σὺ δὲ τοσούτου ἐδεήθης ἀλγῆσαι, ὥστε καὶ περιεγάννυσο, καὶ μικροῦ δεῖν τῷ τοῦ ζώου σπαραγμῷ ἐπεσκίρτησας, ἐπειπών, ὅτι ἀνῃρέθη μαχόμενον, καὶ ὥσπερ ἐν πολέμῳ ἀπέθυσε τὴν ζωὴν, ὥσπερ ἐπεκήδειόν τινα λόγον ἐπάσας τῷ ζώῳ, εἶτα δὴ οὐδὲ ἠξίωσας ἀποδῦσαι τοῦ ὁπλισμοῦ, ἀλλὰ μετὰ τοῦ θώρακος καὶ τῆς λοιπῆς κατέθαψας προβολῆς· σκιρτῆσαι πεποίηκε νὴ τὴν ἱεράν σου ψυχὴν ἐπὶ τῷ θαυμασίῳ τούτῳ καὶ ὑπερφυεῖ καὶ γενναίῳ διηγήματι. Οὐ γὰρ ἀριστεῖαι μόνον καὶ στρατηγήματα τὸν ἄνδρα δεικνύουσιν· ἀλλὰ καὶ νεῦμα, καὶ λόγος, καὶ γέλως σεμνὸς, καὶ ἀπόφθεγμα Χαρίτων μεστὸν τήν γε ἀρίστην ψυχὴν ἐξεικονίζουσιν ἀκριβῶς. Ἀλλὰ σὺ μὲν καὶ θηρᾶσαι δεινὸς, καὶ ἱππάσασθαι περιδέξιος, καὶ ὄχθους ὑπερπηδῆσαι γενναῖος καὶ ἀδεὴς, καὶ διολισθέντα τὸν ἵππον εὐθὺ ἀνεῖρξαι καὶ ἀναστῆσαι σύντομός τε καὶ ἐπιτήδειος. Ἐγὼ δὲ (καὶ ὁρκοποιοῦμαι τὴν σὴν φιλτάτην ψυχὴν) οὕτως τοὺς ἵππους δέδοικα πέφρικά τε καὶ ἐπτόημαι, ὥσπερ δὴ οἱ λοιποὶ τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας· κἂν βραχύ τι περικινήσῃ τὴν κεφαλὴν ὁ φέρων ἐμὲ, εὐθὺς αὐτὸς τῆς ἕδρας ἀπολισθαίνω, καὶ ἀκρατής μοι ἡ χεὶρ τοῦ χαλινοῦ γίνεται. Ἀλλ' εἴ μοι τοῦτο πρότερον ἐξ ἀπαλῆς καὶ δειλῆς φύσεως, νῦν δέ μοι καὶ τὸ προσγενόμενον νόσημα τὴν φυσικὴν πτοίαν ἐδίπλασεν. Ἀλλ' εἰ καὶ [τοὺς] ἄλλους ἵππους πεφόβημαι, ἐπί γε τοῦ σοῦ θαῤῥούντως ὀχήσομαι. Οὕτω σου θαῤῥῶ οὐ τὴν ψυχὴν μόνον, ἀλλ' εἴ τινας ἔχοις καὶ λέοντας.

Ν'.

Εἶτα δὴ ἀγνοεῖς, ὑπερφυέστατε Καῖσαρ, ὅτι τὸ ὕδνον ἀτελές ἐστι τῆς γῆς γέννημα, καὶ ὡς εἰπεῖν ἀμβλωθρίδιον; Οὐ γὰρ ἀποτίκτει τοῦτο καὶ ἡ μήτηρ, οὐδὲ ταῖς ὠδῖσιν ἐξάγει πρὸς φῶς· ἀλλ' οἱ τὴν ἐμβρυουλκίαν εἰδότες τοῦ θαυμασίου τούτου τόκου, ἐπειδὰν τὴν γαστέρα τῆς γῆς ἐξογκωθεῖσαν θεάσωνται, τὰ σπλάγχνα ταύτης (εἰ χρὴ οὕτως εἰπεῖν) διασπαράξαντες, τὸ κυόμενον ὑπεξάγουσι· καὶ διὰ ταῦτα ἄμορφόν ἐστι τὴν θέαν καὶ ἀκαλλές. Ἡ δέ γε μήτηρ περιμυθουμένη τούτου τὴν ἀμορφίαν, ἡδονὴν ἐντέθεικεν ἄῤῥητον· ὥσπερ δὴ τῷ δημαγωγῷ τῶν Ἀθηναίων τῷ σοφῷ τὴν γνώμην καὶ μεγαλοφυεῖ Περικλεῖ, προμήκει τὴν κεφαλὴν γεγονότι, νοῦν ἐμμελῆ κατέσπειρεν ὁ Θεός. Αὐτίκα καὶ ὁ Ἀριστοτέλης ὑπόψελλος ἦν τὴν γλῶτταν, καὶ ὁ Πλάτων ἐπίκυρτος, καὶ ὁ Μακεδὼν ἐκεῖνος Ἀλέξανδρος παρεγκεκλιμένος τὸν τράχηλον. Οἷς μὲν γὰρ τὰ ἔξω περικαλλῆ, τὰ ἔνδον νοσεῖ· οἷς δὲ φαύλη ἡ περιβολὴ, τὸ ἐγκεκρυμμένον θαυμάσιον. Ἄκανθα γοῦν καὶ τοῦ ῥόδου προβέβληται· καὶ ἡ κυπάριττος ἄκαρπος. Τοιοῦτον δὴ καὶ τὸ ὕδνον ἐστί· τὸ μὲν φαινόμενον ἄμορφον, τὸ δὲ κρυπτόμενον τρόφιμον. Ἡ σὴ ψυχὴ μόνη ὑπεξῃρήσθω τοῦ λόγου· μᾶλλον δὲ τὸ σὸν κρᾶμα, τὸ συγχεόμενον ἐκ ψυχῆς τε καὶ σώματος. Ἥ τε γάρ σοι τοῦ σώματος περιβολὴ θαυμασία ὄντως καὶ ἡρωϊκὴ, ἥ τε τῆς ψυχῆς φύσις νοῦ καὶ Χαρίτων μεστή. Ἀλλ' ἐπιλέλησμαι τῶν ἐμῶν κακῶν ὑπὸ τῶν σῶν ἀγαθῶν. Κεῖται γάρ μοι ψυχορῥαγοῦν τὸ θυγάτρι[ον]. ἡ νῦν πρώτως μετὰ τὰ σὰ δῶρα μετηνέχθη πρὸς τὴν ζωήν. Ἀλλ' ἡ μὲν ἡμίπνους, ἐγὼ δὲ (νὴ τὴν ἱεράν σου κεφαλὴν) ἄπνους, τῷ σῷ μόνῳ νεύματί τε καὶ πνεύματι ἀναφέρων τε καὶ ζωογονούμενος.

ΝΑ'.

Τοσαῦτα, φιλοτιμότατε Καῖσαρ. Μήποτε δέ σοι ἡ γῆ ἐκπεπόρνευται, καὶ διὰ τὴν ὥραν ἀπηναισχύντηκας· ὥστε μηδὲ προφαίνειν τοὺς οἰκείους μαστοὺς, ἀλλὰ καὶ ἐπιδιδόναι τοῖς ἀφελεῖν βουλομένοις. Εἰ δὲ καὶ μὴ μαστοὶ, ἀλλὰ καὶ γοναὶ κρύφιοι, οὐκ ἐρυθριᾷ ἐφ' οὕτω πολλοῖς καὶ ἀμόρφοις τόκοις· οὐκ ἐν ῥόδοις καὶ κάλυξιν ἀνθέων ἑτέρων, ἀλλ' ἐν εἰδεχθέσιν ὕδνοις ἐπιδεικνυμένη τὸ γόνιμον. Ἀλλ' (ὡς ἔοικε) πρὸς τὴν τοῦ μύθου ἀλώπεκα ἐαυτὴν περιβάλλουσα, οὐ τῷ ἔξωθεν ἀμόρφῳ, ἀλλὰ τῷ κεκρυμμένῳ τῆς ἡδονῆς ἐνσεμνύνεται. Εἰσάγεται γὰρ ἐν

τῆς Αἰσώπου μύθοις ἡ πάρδαλις ἐπισκώπτουσα τὴν ἀλώπεκα, ὡς ἡ μὲν ποικίλη τε εἴη καὶ τοῖς φολίδεσσι κατάστικτος, ἡ δὲ αὐχμηρὰ τὴν δορὰν καὶ τὴν χρόαν παντάπασιν ἀκαλλής· ἀλλ' ἡ γε ἀλώπηξ, σὺ μὲν τοῖς φαινομένοις νικᾷς, ἔφησε, κάλλεσιν· ἐγὼ δὲ τοῖς κρυφίοις τε καὶ λανθάνουσι. Τοιοῦτόν ἐστι καὶ τὸ ὕ[δνον, οὔ]τε εὐανθὲς, οὔτε τῷ σχήματι ἁπαλόν· ἀλλὰ κατατέτμηται καὶ ἐκτετράχυνται, καθαπερεὶ ὄχθοις καὶ φάραγξιν. Εἰ δὲ κατατέμοις, εἰ δὲ προσαγάγοις τῷ στόματι, καὶ λεανεῖς τοῖς ὀδοῦσιν, ἀπορρήτου τινὸς αἰσθήσῃ παντάπασιν ἡδονῆς. Ἀλλὰ μὴ οὕτως, μηδὲ κατὰ πλῆθος ἐπιδείκνυσο ἡμῖν τὴν δεξίωσιν· ἀλλ' οἷον παραδείκνυε ἡμῖν τῆς ἡδονῆς τὴν πηγὴν, ἵνα μᾶλλον ἐξάπτῃς τὸν ἔρωτα. Τὴν Ἥραν ὁ Ὅμηρος, οἷα δή τις σοφὸς ποιητὴς, ζηλότυπον μὲν ποιεῖ τῷ Διΐ, οὐκ εἰς εὐνὰς δὲ τούτου B ἀφικνουμένην, οὐδὲ τὴν ὥραν αὐτῷ θεωρίζουσαν· ἐπεὶ δέ ποτε ταύτην πολυτελῶς καθωράϊσκε, καὶ τὸν κεστὸν ἐνδύσας προσήνεγκε τῷ ἀνδρὶ, ἐξύβρισε μᾶλλον, ἢ ἐπέραστον ἔδειξεν. Ὁ γάρ τοι Ζεὺς κόρον (ὡς ἔοικε) σχὼν τοῦ πρὸς αὐτὴν ἔρωτος, οὐχ ὡς ἐρωμένην ἠγάπησεν, ἀλλ' ὡς ἀπατήσασαν κατῆσχυνε καὶ ἠτίμασεν. Οὕτως ὁ κόρος ὕβριν γεννᾷ. Ἀλλὰ τί μοι τὰ ὕδνα νῦν; Τί δὲ οὐχ (ὥσπερ οἱ μουσικοὶ) μεταβάλλεις μοι τὰ μέλη καὶ τοὺς ῥυθμούς; Ὁ γὰρ καιρὸς ὑμῖν μὲν τοὺς ταῶνας καὶ τοὺς γαλαθηνοὺς ἀρνειοὺς ἐπανήγαγεν· ἡμῖν δὲ τὸ γάλα, καὶ τοὺς τυροὺς, καὶ τὸ βούτυρον, καὶ τὰ τῶν ἀλεκτορίδων ὠά. Ἄλλαξον τὴν χορδήν· τούτοις γενοῦ μοι φιλότιμος. Πυνθάνομαι δέ σου, [τῆς] πάντα καλλίστης καὶ ἀσυγκρίτου ψυχῆς· καὶ πυνθάνομαι οὐ (μὰ τὴν ἱερὰν σου καὶ τριπόθητον κεφαλὴν) χρειωδῶς, ἀλλὰ [βασι]λικῶς, ἵν' ἔχοις τρυφᾷν καὶ γελᾷν. Πυνθάνομαι δ' οὖν· οὐχὶ πατρὶς ἡ πολυύμνητος Παφλαγονία ἐστὶν, ὅθεν [ἐστὶ] ταρίχη κρέα τὰ ὕεια; Τί δ' οὖν ἐγέλασας; Μήποτέ τι ᾠήθης; Εἰσὶ καὶ παρ' ἡμῖν λέοντες, οὐν ὁπτὰ καὶ ἑφθὰ καὶ ταρίχη, ἀλλὰ καὶ ὠμὰ μικροῦ δεῖν ταῦτα θοινούμενοι.

NΒ'.

Τὴν πρόδρομόν σοι τῶν ὁπωρῶν ἀπέσταλκα. Ἀλλ' οὐχ ὥσπερ τῶν νυμφῶν αὕτη προθέουσα, ἐκείναις καταλείπει τὸ σεμνοτέρας εἶναι τῶν προτρεχουσῶν· προαντανίσχει δὲ τῶν ἄλλων, οἷα δή τις ὁδηγὸς ἐκείναις δεικνυμένη καὶ προδεικνύουσα τὴν εἰς τὸν D βίον ὁδόν· οὐ διαταῦτα δὲ μόνον καλλίστη, ἀλλ' ὅτι καὶ ἡδίστη τῶν ἄλλων ἐστίν. Οὔτε γὰρ γλυκεῖ ἐκταράττει τὸν γεγευμένον χυμῷ, οὔτε δυσχεραίνειν ποιεῖ τῷ πικρῷ, οὔτε συνάγει τὴν γλῶτταν τῷ στύφοντι· καὶ τὸ ὀξὺ δὲ ταύτης οὐκ ἄμετρον, ἀλλὰ συγκέκραται τῷ ἡδύνοντι. Χωρεῖ δὲ οὐ διὰ τῶν χαύνων μόνον, ἀλλ' ἤδη καὶ τῶν στερεῶν· μετρεῖ δὲ ἑαυτὴν τῷ ἐσθίοντι. Ὥσπερ γὰρ τὸ ῥόδον κολάζει τὸν ἄτακτον θεριστὴν τῇ ἀκάνθῃ, καὶ εἰ μή τις ἠρέμα δρέψαιτο, αἰσθήσαιτο πάντως τοῦ πλήξαντος· οὕτω δὴ καὶ αὐτὴ, εἰ μή τις ἐπιστημόνως διαμασσήσαιτο, καὶ ὅσον εἰκὸς μεταλάβοι, ἐγχρίψει τι τοῖς ὀδοῦσιν ἀνιαρὸν, καὶ αἱμωδιάσουσιν οἱ γομφίοι, ὥσπερ δίκας ἀποτινύντες τῆς ἁπλήστου τροφῆς.

Προανατέλλει μὲν οὖν (ὥσπερ εἴρηται) συμπασῶν τῶν ἄλλων ὁπωρῶν· καὶ ἔστι τις πρώτη χάρις τοῦ ἔαρος, καὶ πλέον τῶν ἄλλων τῶν ἡλιακῶν αὐγῶν ἐπαισθάνεται. Ὁμοῦ τε γὰρ ἐκεῖνος ἐπὶ τὸ ἰσημερινὸν σημεῖον ἐλήλυθε, καὶ προστυπήντησεν αὕτῃ τῶν ἀκρεμόνων ἐγκύψασα. Κἂν ὁ φωστὴρ σκυθρωπάσῃ, καὶ μὴ λαμπρὰς ἐπαφήσει τῷ φυτῷ τὰς ἀκτῖνας, ἐφ' ἑαυτῷ κέκρυπται, καὶ τοῖς φύλλοις μόνοις τότε τὸ δένδρον κομᾷ. Καὶ τῶν μὲν ἄλλων ὁπωρῶν ἡ μέν τις κεκρυμμένην ἔχουσα τὴν τροφὴν, ἄβρωτός ἐστι τῷ προβεβλημένῳ· ἡ δὲ, τρέφουσα τῷ φαινομένῳ, τῷ κρυφίῳ οὐχ ἑστιᾷ. Αὕτη δὲ τὰ μὲν πρῶτα πρὸς πᾶσαν ἡδύτητα ἀρκεῖ τῇ φαινομένῃ περιβολῇ οὐδὲν ἧττον, καὶ τῇ κεκρυμμένῃ. Εἶτα δὴ, τοῦ χρόνου προβαίνοντος, τὸ μὲν δεικνύμενον αὖον καὶ ἄβρωτον δείκνυσι· τὸ δὲ κρυπτόμενον ῥέμα παχύνασα, ἐδώδιμον ἀκριβῶς κατεργάζεται. Ὧδε καὶ στερεᾷ τροφῇ χρήσαιο, καὶ (εἰ βούλει) καὶ ὑγροτέρᾳ. Γάλακτος γὰρ ἀπορρήτους ἔχει πηγὰς, ὀπηνίκα καὶ βρωτόν ἐστι καὶ ποτὸν, καὶ τοῖς Ἀσκληπιάδαις εἰς ἀμφότερα αὐτάρκες.

NΓ'.

Κάρυον μὲν δὴ καὶ τοῦτο· καὶ τἆλλα μὲν ὅμοιον τῷ κυρίως, ἔλαττον δὲ μόνον τοῦ μεγέθους ἐκείνου, πλὴν εἰ καὶ κατὰ τὸ σχῆμα σώζει τὴν ὁμοιότητα. Ἀλλὰ τὸ γένος ἕτερον παρὰ τὸ λοιπόν. Ἐκείνῳ μὲν οὖν πάντες κύκλοι, καὶ ὁ ἔσωθεν καὶ ὁ ἔξωθεν· τούτῳ δὲ ἑτέρως ἔχει ἡ ἔξω περιβολή. Ἔοικε γοῦν αὕτη μυωπίᾳ, καὶ ὁ καρπὸς ἀποδιδράσκοντι, εἶτα δὴ ὑποδύντι τὸ τρῆμα. Γελῶ γοῦν, ὅταν ἴδω τὸν ὡσανεὶ δραπέτην ὑπελθόντα τὸ σπήλαιον, ἵνα τὰς διωκούσας ἀποδράσῃ χεῖρας. Τοσοῦτον δὲ αὐτὸν διέλαθεν, ὅτι μὴ ψηφῖδα αὐτοῦ προέθηκεν, ὥσπερ ἡ σηπία προχέουσα τὸν θολὸν, ἵν' ἐκφύγῃ τὸν θηρατήν. Ἀλίσκεται γοῦν φαινόμενος, ὥσπερ ὁ βολδὸς τῷ βλαστῷ. Ὁ δὲ οὐκ αὐτίκα διέξ[εισι], εἰ μή τις αὐτῷ πολιορκήσει τὸ φρούριον· ἢν δὲ ἐπιχειρήσῃ, προαλισθαίνει εὐθὺς, καὶ βούλεται διεκφυγεῖν καὶ ἄλους. Ἀλλ' ἐλάθομεν, ὦ βελτίστη κεφαλὴ, ψυχοῦντες; τὸ ἄψυχον. Τὸ δὲ οὔτε ἀπίδρασεν, οὔτε πέφευγεν, ἀλλὰ προὔκυψεν ἐξ ἀρχῆς μετὰ τοῦ συμφυοῦς καλύμματος. Τοιοῦτο δὲ ἡ τέχνη τῆς φύσεως. Οὐ σπαργανοῖ καθ' ἓν ἅπαντα τὰ κυήματα· ἀλλ' ἕτερον ἄλλο τι ἐπενδύει, τὰ δὲ καὶ γυμνὰ τίθησιν, ἔσωθεν αὐτὰ περισφίγξασα. Τοὺς γοῦν λόγους ἡμῖν θεωρητέον τῶν ἐκείνης μνημάτων, ἵν' ἔχοιμεν λόγων λόγῳ κατατρυφᾷν.

NΔ'.

Σὺ μὲν δυσχεραινεῖς ἴσως καὶ πρὸς τὰς λεπτὰς τῶν Καστάνων περιβολάς· καὶ μάλιστα πρὸς τὴν τελευταίαν, ὅτι ἀπριξ ἔχεται τοῦ καρποῦ, καὶ τοὺς ὄχθους αὐτῆς ὑποδύεται. Ἐγὼ δὲ, ὀπηνίκα τῶν δένδρων ἀπέσπων αὐτὰ, εὐαφῶς ὥσπερ ῥόδων ἡπτόμην, τὰς ἀκάνθας αὐτῶν ὑφορώμενος. Οὐκ οἶδα γὰρ, ὅτι γνοῦσα ἡ φύσις σκληρὰν οὕτως ὀπώραν, οὕτω πως ἠσφαλίσατο καὶ δυσεπιβουλότατον εἰργάσατο τὸν καρπόν. Ἡ τάχα που (ἵνα τι προσπαίξας εἴπω), ἐπεὶ δρῖον δρεῖον τὰ πολλὰ τὸ φυτὸν, καὶ ἔμελλον αὐτὴ ἀβρότεραι χεῖρες τρυγᾷν, διαταῦτα ἀκανθώδες

αὐτὸ ἡ πλάττουσα φύσις ἐποίησε. Ποιμένων γὰρ χεῖρες καὶ γεωργῶν τετυλωμέναι, ὡς οἶσθα, καὶ οὐ πάνυ τι τῆς ἀκάνθης αἰσθάνονται. Οὐ παντὶ δὲ τῷ καρπῷ ὁ ἐσωτέρω προσπέφυκε φλοιός, ἀλλ' ὅσοις μὴ ἐν τῷ δένδρῳ ἡ πέψις ἐγεγόνει· μηδὲ ἡ ἄκανθα ἔσχισται. Τὸ δὲ σχῆμα τῶν περιβόλων αὐτῷ — ὁ μὲν ἀκριβὴς σφαῖρα, εἴ τις ἀφέλοι τὴν ἄκανθαν· ὁ δὲ ἡμισφαίριον. Οἷος οὖν ἐγὼ περιττὸς, τῷ παντὶ τὴν ὀπώραν ἀπείκασα. Τούτου γὰρ ὁ μὲν οὐρανὸς ἀκριβὴς σφαῖρα. Τὰ δέ γε στοιχεῖα βούλονται μὲν οὕτως εἶναι· ἀλλ' οὐ σώζει τὴν ὁμοιότητα, παρά τι δὲ τοῦ ἀκριβοῦς ἔρχεται σχήματος. Τοῦτό σοι τοῦ καρποῦ τὸ ἀπόῤῥητον. Καὶ τοῦτο μὲν ἐν ψυχῇ κατάθου, τὸ δὲ φαινόμενον δίδου τῷ σώματι.

ΝΕ'.

Μάτην μετὰ τοῦ πέπονος ἡ ἐπιστολή. Ἀρκεῖ γὰρ αὐτὸς ἑαυτῷ ἀντὶ παντὸς λόγου καὶ πάσης ποιήσεως, εἰ καὶ ὁ ποιητὴς εἰς ὄνειδος τοὔνομα προφέρει τοῖς Ἀχαιοῖς. Εἰ γὰρ εἰς ἐμὴν κρίσιν ἀναθείη τις τὰ εἴδη τῶν ὀπωρῶν, οὐδ' ἂν ὅλως ἀμφισβητήσας τὰ πρωτεῖα κατὰ τῶν ἄλλων θήσω τῷ πέπονι. Ἔστι γὰρ οἷον κεφαλὴ, καὶ τῷ σχήματι ὁ αὐτὸς, καὶ πολυσχήμων τοῖς εἴδεσιν ὤν. Βέβηκε μὲν γὰρ κατὰ κύβον· ἀνέστηκε δὲ κατὰ πυραμίδα· περιῄρηται δὲ κατὰ σφαῖραν. Ἀλλὰ τί ἀπὸ τούτων τὸν πέπονα, καὶ μὴ οἰκοθεν καὶ παρ' ἑαυτοῦ; Ἔστι γάρ τι χρῆμα, οἷον οὐκ ἄλλο· καὶ οὐ χρῷ δῆλον, ἀλλὰ τῷ σώματι. Ὅλος γὰρ διόλου ἡδονῆς ἐστιν ἀῤῥήτου μέτοχος· καὶ οὔτε σκληρὸς κατὰ τὸ μᾶλλον ἐστιν, οὔτε παντάπασιν ἁπαλὸς καὶ ἀπόῤῥυτος· ἀλλ' ἔσφιγκται μὲν ὅσον μέτριον, εἴκει δὲ τοῖς ἁλεαίνουσιν, ὁπόσον καὶ τοῖς μακροβίοις ἐστὶν ἀποχρῶν. Τὸ δὲ τῆς ἡδονῆς καὶ αὐτόθεν, καὶ διὰ τοῦ φάρυγγος· καὶ μέχρι τοῦ στήθους ἀμβροσία τις ἐπίκηρος ὠσανεὶ καὶ ὀρκῶν ἀντὶ νέκταρος. Οὐ γὰρ παρεικάσαις αὐτοῦ τὴν ἡδονὴν οὐδεμιᾷ τῶν ἐν τοῖς καιροῖς ὀπωρῶν. Ἔστι δὲ κατὰ τὰς τοῦ παντὸς ὥρας καὶ τὰς τῶν στοιχείων χάριτας· μικροῦ γὰρ οὐδ' ὠνητός ἐστιν, ἀλλὰ δυεῖν δραχμῶν γυργάθους ἀρεῖς δέκα τῆς ὀπώρας μετρούς. Ἄφθονον γάρ ἐστι τἀγαθὸν, ὡς ὁ ἀὴρ, ὡς τὸ πῦρ, ὡς ἡ θάλα[σσ]α. Οἶμαι δὲ, μηδὲ σκεπτικὸν ἄνδρα ἐνδοιάσαι περὶ τῆς τούτου γλυκύτητος, μηδ' ἐριῖν οὐδέν τι μᾶλλον, μηδὲ εἰς ἐποχὴν ἐλθεῖν, ἀλλ' ἀποφήνασθαι, ὅτι συμπασῶν κρατεῖ τῶν ἄλλων ὀπωρῶν.

ΝΖ'.

Ἑοίκατον ἄμφω πρὸς ἄλληλα, ἐπιστολή τε καὶ σταφυλή· καὶ οὐκ ἄν τις παρὰ τὸ εἰκὸς ἢ τὴν ἐπιστολὴν τῇ σταφυλῇ ἀπεικάσειεν, ἢ τὴν σταφυλὴν τῇ ἐπιστολῇ. Ὅ τε γὰρ λόγος ἡδύ τι ἄλλο, εἴπερ τι χρῆμα, ψυχῇ· καὶ τῇ σταφυλῇ ποία τῶν ὀπωρῶν εἰς ἡδύτητα ἀντερίσειεν; Εὐφραίνει μέν τοι αὐτίκα τὸν προσιέμενον· καὶ ὥσπερ ταύτης τὸ μέν τι αὐτόθεν καὶ ἀνέργαστον τὸ ἡδύ, τὸ δέ τι πλέον καὶ ποτιμώτερον, ληνοβατηθεισῶν τῶν ῥαγῶν· οὕτω καὶ τοῦ λόγου διττὸν τὸ εἶδος (λέγω δὲ τοῦ σοφοῦ)· τὸ μὲν αὐτίκα καὶ ἐκ χειλέων· τὸ δὲ εἴ τις διαιρεῖν ἐθέλοι, καὶ ὁπόσον ἔνδον εἴη, ἐκκενοῦν τῷ προῤῥημένῳ πιεῖν· κἂν εἴ τις τὸν μὲν ἐν προφορᾷ λόγον τῇ ἀνεκθλίπτῳ σταφυλῇ ἀπεικάζῃ, τὸν δέ γε ἐν νοήσει· κρεῖττονι τῇ ἱκανῶς διαιρεθείσῃ καὶ εἰς ῥεῦμα τὸν οἶνον προχεομένῃ, εὐστοχώτερον ἂν εἴποις, ἁπανταχῇ τὰς ἀναλογίας σκοπῶν. Εἰ δὲ καὶ τῶν σταφυλῶν αἱ μὲν χρυσίζουσιν ἀκριβῶς, αἱ δ' οὐχ οὕτως· ἀλλ' ἢ λευκότεραί εἰσιν, ἢ μελάντεραι· αἱ δὲ ποικιλώτεραι τὴν χροιάν· ἀλλ' οὐδὲ τῶν λόγων τὸ εἶδος ἁπλοῦν· ἀλλὰ τὸ μὲν ὑπόλευκον, τῆς εὐαγγελικῆς καθαρότητος σύμβολον· τὸ δὲ ἀτεχνῶς μέλαν, τῆς παλαιᾶς σκιᾶς σύνθημα· τὸ δὲ ποικίλον καὶ μηδέτερον καθαρῶς· ταύτῃ τοι καὶ χρεὼν μήτε ἐπιστολὴν μόνως, ἀλλὰ καὶ σταφυλὴ[ν], μήτε σταφυλὴν μόνως ἐκπέμπειν.

ΝΗ'.

Κριτὴς εἰς οἶκον κριτοῦ· καὶ ὁ δημώδης λόγος ἐνήλλακται. Εἰ δὲ τὴν βουλγαροποιμελλαρίαν ἀγωγὴν οὐκ ἐπίσταται, οὐδὲ τὴν ὀρφανικὴν οἶδεν ἀποκατάστασιν, ἀλλὰ καὶ Βουλγάροις καὶ Σκύθαις καὶ ὀρφανοῖς, καὶ ἁπαξαπλῶς σύμπασιν, ὅσοι δὴ ἄναυδα κατὰ τοὺς ἀοιδοὺς θύουσιν, ἡ τούτου κακία ἀνέῳκται· κἂν εἰς τὴν τούτου ἀρχεγονίαν ἀναπλεύσῃς, εὕρῃς τὸ γένος τὸν ἀρχαῖον βίον ζηλώσαντα. Καὶ θαύμασον, ὅτι τὸν πάντας ὑποδεξάμενον αὐτὸς ὑποδέδεξαι. Καὶ ὥσπερ τὴν σελήνην θαυμάζομεν, ὅτι τὰς κράσεις τῶν στοιχείων μεταποεῖ· καὶ ἐπὶ μᾶλλον τὸν ἥλιον, ὅτι τοῦ φωτὸς αὐτῇ μεταδίδωσι· καὶ τούτου ἐπὶ μάλιστα τὸ στερέωμα, ὅτι περιάγει τοῦτον στρεφόμενον· καὶ ἐπὶ πᾶσι τὴν ἐξωτάτω περιοχὴν, ὅτι σύμπαντα εἰς ἑαυτὴν σπαργανοῖ· οὕτω δὴ καὶ σὲ ἐκθειάσομεν, τὸν μέγαν τουτονὶ Κρόνον εἰς ἑαυτὸν συνελίσσοντα. Ἔστι δὲ οὐ κατ' ἐκεῖνον

δριμὺς, οὐδὲ τὴν κράσιν ψυχρός. Ἀλλὰ πρὸς τὰ νυκτερινὰ φῶτα σχηματιζόμενος. ἐναλλάττει τὴν φύσιν, καὶ γλυκὺς, εἴπερ τις ἄλλος, ἐστίν· οὐκ ἀπειλούμενός τισιν, οὐ φιλίας διαταράττων θεσμοὺς, οὐκ ἄλλο τι τῶν ἀτοπωτέρων ποιῶν. Τρόπον μὲν οὖν τινα ἠλλοτρίωταί σοι μισοῦντι τῆς ἀμπέλου τὸ γέννημα ὁ αὐτὸς, πρῶτος δὴ ὢν Οἰνεύς. Εἰ δέ σοι τὴν φύσιν μεταποιήσει, καί σοι τὴν δίκην οἰκείαν εὐμούσως συγκερασάμενος προσενέγκοι, τοῦτο δὴ δῶρον τύχης, καὶ κρεῖττον εὐχῆς. Σὺ δὲ μὴ ἀπαξιώσῃς τὴν κύλικα· ἢν δὲ βούλῃ, τὸν βομβυλιόν. Οἷς γὰρ ὁ ἀνὴρ ἐντέθραπται, τούτοις σε δεξιώσεται.

Ν϶.

Ὁ ἐπίσκοπος οὗτος ἔχει μὲν καὶ σεμνότητα ἀρχιερεῖ πρέπουσαν, ἔχει δὲ καὶ ἦθος πολιτικὸν καὶ γλυκύ· οὐκ ἐπιτετηδευμένον, οὐδὲ εὐτράπελον, ἀλλὰ φυσικὸν καὶ ἔμφυτον. Εἰ μὲν οὖν τὸ σεμνὸν τιμᾷς καὶ ἀσπάζῃ, εὑρήσεις τοῦτο παρὰ τῷ ἀνδρί. Εἰ δὲ τὸ ἱλαρὸν καὶ εὔχαρι, πλουτεῖ καὶ ταῦτα ὁ ἄνθρωπος. Εἰ δὲ τὸ ἐξ ἀμφοῖν σύγκρατον, συνήρμοσται ἐξ ἀμφοτέρων. Ἢ τοίνυν ἐκ τῶν ἁπλῶν, ἢ ἐκ τῆς κράσεως τίμησον. Ἢ ταῦτα μὲν ἄφες, δι' ἐμὲ δὲ σαυτῷ τοῦτον οἰκείωσον. Καὶ ὅπως μὲν ἔχει οὗτος, ἔστω δὴ οὕτως· διὰ δὲ τὴν ἐμὴν γραφὴν καὶ ἀξίωσιν τῆς κρείττονος παρὰ σοὶ εὐμοιρησάτω καὶ μερίδος καὶ ὑπολήψεως.

Ξ'.

Τῷ συγκέλλῳ καὶ πρωτοταρίχῳ τοῦ δρόμου.

Φίλτατε ἀδελφὲ, τὰ μὲν σὰ τοιαῦτα καὶ οὕτως ἔχοντα. Τίνα ταῦτα; Ἐλαφηβολίαι· θηροφονεῖαι· ἐπεμβοήσεις· ἐπεξελάσεις· καταλαβεῖν τὰ μετέωρα· δῆσαι τὴν θηρατικὴν φάλαγγα· τὸν μηρὸν πλῆξαι τῇ μάστιγι, καὶ ἐπαγεῖραι τὸν πτῶκα, ἐπιθωῦξαντά τι θηρατικὸν καὶ γενναῖον· τὸ μεῖζον, ἀπολαῦσαι τῶν θηραμάτων, ἐπὶ στιβάδος αὐτοσχεδίου ἀναπαυόμενον. Τὰ δὲ ἡμέτερα τούτοις πᾶσιν ἀντίρροπα (καὶ ἔτι βαρὺς ὁ κανών)· μὴ θίξαι, μὴ γρῦξαι. μὴ ἐς θέατρον περικύψαι· μὴ ἰδεῖν κυνηγέσιον· μὴ περιτυχεῖν ἀκοντίζουσι· μὴ περιγενέσθαι τοξεύουσιν, ἀλλ' οἴκοι καθῆσθαι· μᾶλλον δὲ μηδὲ οἴκοι· μηδὲ καθῆσθαι, ἀλλ' ἐπ' ἀλλοτρίας ἑστάναι· ἢ μηδὲ τοῦτο, ἀλλὰ κύπτειν ἀεὶ καὶ ἀποτυλοῦν τὸ γόνυ, καὶ ἀπολιθοῦν τὸν δάκτυλον. Σὺ δὲ οὔτε τῶν σῶν ἡμῖν μεταδίδως, οὔτε τῶν ἡμετέρων μεταλαμβάνεις. Ἀδικεῖς οὖν τὸ φίλτρον, καὶ συγχεῖς ὅρια φιλίας κοινά. Πρὸς Θεοῦ, ἔραμαι κυσὶ θωῦξαι (τοῦτο δὴ τῆς τραγῳδίας τὸ ἔπος)· ἔραμαι μὲν, ἀλλά μοι ὁ ἔρως ἀτέλεστος. Τίς ὁ καινὸς ἡμῖν νομοθέτης; Τίς ὁ βαρὺς ζυγὸς, καὶ δεσμὸς, καὶ ἡ ἐργώδης αὕτη ζωὴ, καὶ ἡ τῶν ἐπιταγμάτων ἀνάγκη; Γλυκὺς ὁ τῆς ὀπώρας καρπός· ἀλλὰ μὴ λάβῃς. Ἡδὺ τὸ τῆς πηγῆς πόμα· σὺ δὲ μὴ πίῃς. Εὐανθὴς ὁ λειμὼν, ἀλλὰ μὴ προσέλθῃς. Τὸ θέατρον ἡδεία διατριβή· ἀλλὰ μὴ δώσεις πρὸς τοῦτο ὀφθαλμόν. Ἡ θήρα χρῆμα ἐπιτερπές· ἀλλὰ μὴ ἴδῃς ἐκθορόντα λαγὼν, μηδὲ κύνα διώκοντα, μηδ' ἄλλο τι τῶν καταθελγόντων ψυχήν. Δέδοικα, μὴ καὶ τὴν γῆν ἡμᾶς ἀφαιρήσωσιν οἱ νομοθετοῦντες, μὴ καὶ τῆς ἀναπνοῆς τοῦ ἀέρος ἀπείρξωσι. Τί ποτ' οὖν; Ἀληθεύω οὕτως ἐπιστέλλων; Οὐ νὴ τὴν ἱεράν σου ψυχήν. Μὴ γὰρ οὕτως ἐκστείην φρενῶν, μηδέ τι ζηλώσαιμι τῶν ὄντως καλῶν· μὴ νοῦν, μὴ τὸ ὄν, μὴ σοφίαν, μὴ τὸ ἓν, μὴ Θεόν. Ἐγὼ δὲ οὐδ' ἄλλως ποτὲ τὴν θηροφονείαν τεθαύμακα. Πρῶτον μὲν γὰρ τυραννίδι τὸ πρᾶγμα ἔοικε, καὶ ψυχῆς ἐστι ζώου ἀφαίρεσις, καὶ πόλεμος ἄντικρυς, καὶ φύσεων ἡμέρων ἀκήρυκτος ὄλεθρος. Ἔπειτα οὐδ' ἄλλως ἡδὺ τὸ χρῆμα· ὑπὸ ψυχρῷ ἀέρι, καὶ ἐπὶ τέλματος καὶ πηλοῦ ἐκ ποδὸς δίωξις, κραυγή τε συμμιγὴς καὶ φωνὴ ἄσημος. Ὁρᾷς ἐκ θατέρου τὸν λόγον νενικηκότα; Τὸ δέ γε ἡμέτερον καὶ φιλόσοφον, κρείττονος μετουσία, καὶ σχολὴ φίλη Θεῷ, καὶ νοῦς μετέωρος, καὶ ψυχῆς ὕψωσις, καὶ ὁπόσα τῶν καλῶν ἄῤῥητά τε καὶ κρύφια. Ἀλλ' οὐδὲ βαρὺς ὁ ζυγὸς, ἀλλὰ καὶ ἐλαφρὸς πάνυ κατὰ τὴν τοῦ Κυρίου φωνήν. Ἠλευθερώμεθα γὰρ καὶ πληθούσης ἀγορᾶς, καὶ δήμου κυμαίνοντος, καὶ τῶν ἐν μέσῳ ταραχῶν, καὶ ὁπόσα ἐν τοῖς βασιλείοις δεινά. Ὁ δέ γε δεσμὸς ἐλευθερία δεσμοῦ· ἀπολύει γοῦν ἀπὸ τοῦ σώματος τὴν ψυχήν. Τί δὲ ἡμῖν καὶ τὸ μαραινόμενον ἄνθος, καὶ τὸ διαῤῥέον ὕδωρ, καὶ ὁ πίπτων καρπός; Μόνον γὰρ ἀγαθὸν τὸ ἑστὼς, οὗ δεῖ ἐφίεσθαι μόνου τὸν φιλοσοφοῦντα νοῦν. Σὲ μὲν οὖν τερπέτω ὄρνις ἁλισκομένη μετέωρος· ἐμὲ δὲ θέλξει νοῦς ὑψηλὸς, ὑποπίπτων εἰς νόησιν. Εἰ δὲ βούλει, μεταδῶμεν ἀλλήλοις ἀλλήλων. Καὶ σὺ μὲν ἡμᾶς τοῖς ἀπὸ τῆς θήρας δεξιοῦ ἀγαθοῖς· ἐγὼ δέ σε τοῖς ἐμοῖς ἀντιδεξιώσομαι γράμμασιν.

ΞΑ'.

Τῷ κριτῇ Ὀψικίου.

Τῷ χοιροσφάκτῃ ἐκείνῳ Μιχαὴλ, περίβλεπτε Κύριέ μου, υἱός ἐστι[ν] ἐνταῦθα κοσμιώτατος μὲν καὶ λογιώτατος, οὕπω δὲ βίου δραξάμενος εὐκλεοῦς· ὅθεν τὴν τύχην ἰδὼν ἀντικειμένην αὐτῷ, συνέστειλέ τε τὸν ἑαυτοῦ βίον, καὶ ζῇ γλίσχρως καὶ ἐνδεῶς ἀπὸ βραχυτάτης εἰσόδου τοῦ ἐν τοῖς Πυθίοις αὐτοῦ κτήματος. Ἀλλ' ἤ γε συμπαρομαρτοῦσα τούτῳ πονηρὰ τύχη καὶ κατὰ πόλεις καὶ κατ' ἀγροὺς ἐνοχλεῖν εἴωθεν· ὅθεν ἐπανέστησε τοῖς τὸ προάστειον αὐτοῦ διοικοῦσιν ἄνδρα βιαιότατον, γειτονοῦντα αὐτῷ· ἀγρότην μὲν καὶ τῶν ἀνωνύμων, τὴν βίαν δὲ καὶ τὰς χεῖρας κατ' οὐδὲν τοῦ Ἡρακλέος δεύτερον. Οὗτος τὸν μὲν ὕβρισε τῶν οἰκετῶν αὐτοῦ· τὸν δὲ ἐμαστίγωσε· κατὰ δὲ τοῦ ἀνατεθραμμένου αὐτὸν πρεσβυτάτου ἀνδρὸς οὐδεμιᾶς ὕβρεως ἐφείσατο ἡ πληγῆς. Ὁ μὲν οὖν, ὡς φασιν, ἐπὶ ταῖς ἀφορήτοις αἰκίαις τὰς τελευταίας ἀφῆσιν ἀναπνοάς· οὗτος δὲ λίαν τοῦ πρεσβύτου κηδόμενος κατέφυγεν ἐπ' ἐμὲ, ἀξιῶν ἀξιῶσαί σε δίκας λαβεῖν περὶ τοῦ ὑβρικότος, περὶ ὧν πέπονθε. Τοῦτο οὖν αὐτὸ ἀξιῶ. Σὺ δὲ καὶ φίλος καὶ δικαστὴς ὤν, ὡς μὲν δικαστὴς τοὺς νόμους τοῖς ἀδικηθεῖσι περισώσοις· ὡς δὲ φίλος οὐκ εἰς ἀναβολὴν θήσεις τὸ πρᾶγμα, ἀλλὰ ταχεῖαν ἐνέγκῃς ἀπόφασιν.

ΞΒ'.

Ἀξιῶ, λογιώτατε, μήτε ἐμὲ προσδέξασθαι περὶ τῶν τοὺς παρόντας ἀδικούντων, ὥστε ἀδίκων τυχεῖν, μήτε ἕτερους περικινοῦντάς σε, ὥστε μὴ τῶν δικαίων τούτους τεύξεσθαι. Ὁρᾷς, οἷα ἡ ἀξίωσις, μετρία τε καὶ φιλόσοφος, καὶ σοὶ μάλιστα συμβαίνου-

σα, καὶ τὸ πλέον δικαστική, καὶ ἐς τὸ τοῦ Ῥαδαμάνθυος ἦθος τὴν σὴν ψυχὴν ἐπανάγουσα; Ἀλλὰ σύ γε τοῦτο ποιῶν, οὐχ εἷς; ἂν δόξῃς τῶν ἐξ Ἀλκμήνης παίδων τῷ Διΐ, ἀλλὰ θεῖος ἀνὴρ καὶ ἀγχίσπορος ὄντως τοῦ μόνου Θεοῦ.

ΞΓ'.

Τῷ πατριάρχῃ τῷ Λειχούδῃ.

Ἀνεμνήσθην ἰδὼν τὸν ἰχθύν, θεοτίμητε δέσποτα· ἀνεμνήσθην — τίνος; Τοῦ πάλαι μὲν ἐνστερνισαμένου με, νῦν δὲ (οὐκ οἶδ' ὅπως εἰπῶ) ἀπωσαμένου με. Ἀνεμνήσθην ἀπὸ τῆς αἰσθητῆς ταύτης τροφῆς καὶ καταγλυκαινούσης τὴν φάρυγγα, τῆς ψυχοτρόφου καὶ νοητῆς, τῆς τῶν σῶν λόγων ἀμβροσίας, φημί. Ἀνεμνήσθην μὲν, ἀλλὰ μόλις, ὥσπερ ἐπιλαθόμενος καὶ τῆς εἰκόνος καὶ τοῦ παραδείγματος. Τοῦτο ἐκεῖνο τὸ περισπούδαστον· ὁ ἐπιπόθητος ὄντως οὗτος ἰχθύς· ὁ ποταμοῖς ἐμφιλοχωρῶν καὶ θαλάσσαις, καὶ ἀμφοτέρους τοὺς κλήρους κληρωσάμενος οἰκητήρια· ὁ καὶ ἐκ μέρους καλὸς καὶ ὅλος περικαλλής· ὁ πρὸς τοὺς λοιποὺς τῶν ἰχθύων ὁμώνυμος, ὑπερκείμενος δὲ ὁμοίως καὶ πτηνῶν καὶ πλωτῶν. Εἰ δὲ ὁ ἰχθὺς τοιοῦτος, ὁποῖος ὁ πεπομφὼς, εἰ τὸ αἰσθητὸν ὑπερφυές· τὸ νοητὸν κάλλος σὺ, πρὸς ὃν ἡ ἀνάμνησις, τίνι παρεικασθήσῃ; Οὗτος μὲν γὰρ ἐπιχωριάζει τοῖς ὕδασι, καὶ μέρος τοῦ παντὸς ἀπελήφθην ἐν διαίτῃ. Σὺ δὲ δεσπόζεις τῆς κτίσεως, μὴ συγχυθεὶς τὴν κατ' εἰκόνα μορφὴν, ἀλλ' ἀταπείνωτον τετηρηκὼς τὸ ἀξίωμα· μᾶλλον δὲ ὁ νοητὸς σὺ τυγχάνεις παράδεισος. Ἀλλὰ πῶς δὴ ἀποδύρωμαι; πῶς δὲ τὴν ἐμὴν τύχην ἀπολοφύρωμαι; Ἔνδον γὰρ πάλαι τυγχάνων τῆς σῆς ὡραιότητος, νῦν ἀπελήλαμαι. Πάλιν οὖν ὄψις, καὶ πάλιν πλάσματα· καὶ πολὺς ὁ ἰὸς, καὶ ἡ κατήγορος γλῶσσα σφοδρὰ, οὐ τὰ στήθη παίουσα, βάλλουσα δὲ τὰ μετάφρενα. Διαταῦτα ἀπῶσμαι, καὶ καταδεδίκασμαι ἐρήμην κατακρινόμενος. Ἀλλὰ ταῦτα μὲν πάλαι τε ἀπωδυρόμην, καὶ μετὰ ταῦτα κλαύσομαι. Τὰ δὲ νῦν αἰθρία, πανήγυρις, παῖνες, λαμπρότητες, καὶ τῶν ἀπευκτῶν ἀθρόων μετάμειψις. Εἰ γοῦν ἰδὼν τὴν ἰχθὺν, οὕτως ὀξέως μετήνεγκα πρός σε τὴν ψυχὴν, καὶ ἀκάθεκτός εἰμι τὴν ὁρμὴν· εἰ ἀπογευσομαι· εἰ γλυκανθήσομαι· ἐνθουσιάσω πάντως εὐθὺς, καὶ πετασθήσομαι καὶ καταπαύσω πρός σε. Οὐδέν μοι τὸ τοῦ φθόνου μεσότοιχον· σαθρὸν τῆς βασκανίας τὸ διατείχισμα. Εἰ δὲ καὶ καρτερὰ τὰ ἐρύματα, ἀλλὰ ψυχικαῖς προθυμίαις καὶ νοεροῖς δρόμοις ὑποχωρεῖ πάντα καὶ ὑποστέλλεται. Οὕτως ἐγώ σου ἁπλήστως ἔχομαι τῆς ψυχῆς· ἀλλ' ὁ δράκων τὴν πτέρναν τηρεῖ, καὶ ἀνείργει τὴν πρόοδον. Ἀλλ' ἐπιβήσομαί ποτε, καὶ καταπατήσω τὸν θῆρα, κἂν λέων ἐστὶν ὠρυόμενος· κἂν ἄρκτος ἀπορουμένη· κἂν βασιλίσκος, κἂν ἄλλο τι τῶν δεινοτέρων καὶ ἀποβλήτων. Τί μοι λάθρα προσυλακτοῦσιν οἱ κύνες; Τί με κρύβδην οἱ θῆρες διασπαράττουσι; Σός εἰμι· καὶ ἀπορρηγνύμενος μερὶς τῆς σῆς προνοίας, καὶ διασχιζόμενος ἅπαξ τούτοις ἀντιβρυχήσομαι. Καὶ τότε γνώσῃ, οἷα μὲν λεόντων ὁρμήματα, οἷα δὲ πιθήκων μιμήματα.

ΞΔ'.

Καινόν τί μοι πρᾶγμα προσήγγειλεν ὁ παρών. Ἔφησε γὰρ, ὅτι βουλόμενον ἀνεγεῖραι καταλυθεῖσαν τὴν οἰκίαν αὐτοῦ ἐγγειτόνων τις οἰκῶν οὐκ ἐᾷ· οὐ κωλύων αὐτὸν ἐπιχειροῦντα μετασχηματίσαι τὸ πεπτωκὸς, ἀλλ' ὅλως τὸ καταλελυμένον κτίσαι παρεμποδίζων. Ἐγὼ μὲν οὖν ἀκούσας εὐθὺς ἐγέλασα ἄλλο τι εἶναι νομίσας τὸ κωλυόμενον. Ὁ δὲ μέχρι παντὸς ἐνίστη μοι, τοῦτο αὐτὸ εἶναι, ὅπερ ἐξ ἀρχῆς εἴρηκε. Τοῦτο δὲ ἄλλο ἐστὶν, ἢ καινὴ τυραννίς; Ἀλλ' ἐπειδὴ πένης ἐστὶν ὁ τυραννῶν, ἐπὶ μὲν τυραννικοῖς ἐγκλήμασιν οὐκ αἰτιαθήσεται· ὡς δέ γε αὐθάδης καὶ βίαιος, ἢ μᾶλλον πάντῃ ταχὺς καὶ ἀνήνητος, τοῖς προσήκουσιν ἐπιτιμίοις σωφρονισθήσεται. Εἰ δ' ἄλλως ἔχει τὸ πρᾶγμα, ἄφελε τοὺς κήρυκας, αἰτιῶ τὸν Ἀγαμέμνονα.

ΞΕ'.

Ὁ παρὼν οὗτος ἡμέτερός ἐστι φίλος· ὑπὲρ οὗ ἀξιώσαντος ἡμᾶς, ἀξιοῦμεν τὴν σὴν ἐνδοξότητα συνεργίαν δοῦναι αὐτῷ, ὥστε ἀπαιτῆσαι, ἃ κατέλιπε, λοιπαδάρια. Εἰ μὲν γὰρ ἅπαξ ἀπαιτήσας, δευτέρας αὖθις πειρᾶται ἀπαιτήσεως, ὡς ματαίαν τὴν ἀξίωσιν λόγισαι· εἰ δὲ οἱ ἀπαιτούμενοι ἐκακούργησαν περὶ τὴν τῶν δημοσίων λειτουργημάτων ἀπόδοσιν, πᾶν δίκαιον, διὰ τὴν ἐκείνων κακουργίαν τε καὶ ἀπείθειαν τοῦτον ὑποστῆναι ζημίαν, ὧν οὐκ ἐπέρδησε. Διαταῦτα γενέσθω αὐτῷ ἡ εὐγένειά σου εἰς μεγάλην βοήθειαν, καὶ τὸ δικαστικὸν ἀξίωμα ἐπὶ τοιαύτῃ χαρακτήριον ὑποθέσει. Δικαστοῦ δὲ οὐδὲν οὕτως, ὡς τὸ βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ τοῖς ἀδικοῦσιν ἐπεξιέναι.

ΞΖ'.

Ὁ νοτάριος οὗτος· μᾶλλον δὲ — εἰ φημὶ νοτάριον, ὃν δὴ κάλλιον πτωχὸν ὀνομάσαι Θρᾳκήσιον; Οὗτος οὖν ὁ πτωχὸς Θρᾳκήσιος, ἀποστελλόμενος παρ' ἐμοῦ εἰς τὸ ὑπό σε θέμα, ἐφ' ᾧ τινα προσήκουσαν ἐμοὶ δουλείαν ἀνῦσαι, ἠξίωσέ με, μετὰ τὸ ταύτην ἐκπληρῶσαι, ὑπὸ τὴν σὴν γενέσθαι ἀντίληψιν, καὶ βραχείας τινὸς ὠφελείας τυχεῖν. Σκέπτεσον οὖν, οἷος ἐγὼ σὸς φίλος· ὅτι βέβαιος· ὅτι ἀληθής· καὶ τὸ, περὶ οὗ ἡ ἀξίωσις, ὁποῖον, ὅτι εὐπετὲς καὶ καταπραχθῆναι ῥᾴδιον. Καὶ ἀνεξετάσας τοῦτο πρὸς τὴν φιλίαν ἡμῶν, ἀνενδοιάστως κατάπραξον. Ὁ γὰρ νοτάριος οὗτος οὔτε ἵππον κεκτημένος πολλὴν, οὔτε μεγάλων ἐπιθυμῶν κερδῶν, ἐλάχιστόν τι μέρος φανεῖται τῷ θέματι. Εἰ δὲ σὺ διὰ τὴν ἡμετέραν φιλίαν εὐμενῶς αὐτὸν ἴδοις, οὐδὲ τὸ ἐλάχιστον τοῦτο φανεῖσαι.

ΞΖ'.

Ἐπέτεινέ μοι τὴν πρός σε φιλίαν ὁ ἄνθρωπος, περὶ οὗ σε ἠξίωσα, δηλώσας ἐν γραφαῖς αὐτοῦ, ὅσων καὶ οἵων δι' ἐμὲ τοῦτον ἠξίωσας ἀγαθῶν, καὶ ὡς περιεφύλαξας, καὶ περιέσωσας ἀπὸ τῶν ἐπηρεάζειν αὐτῷ βουλομένων· ὑπὲρ ὧν καὶ εὐχαριστῶ, καὶ χάριτάς σοι ὁμολογῶ, καὶ πρὸς ἀντιδόσεις τῆς τοιαύτης διαθέσεως εὐτρεπίζομαι. Μᾶλλον δὲ οὐχ ὑπὲρ τούτων, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων πολλῶν χρεώστης σοι καθέστηκα, καὶ πρὸς τὴν ἀπόδοσιν τοῦ χρέους οὐκ ἀναβάλλομαι. Πρόσθες οὖν ἐν τῇ πρὸς τὸν ἄνθρωπον διαθέσει σου, καὶ μᾶλλον ἐπαύξησον τὴν εἰς αὐτὸν σου εὔνοιαν· καὶ θερμότερα ἀντιλαβοῦ τῶν κατ' αὐτὸν πραγμάτων. Καὶ οὕτω ποίησον· ἵνα μὴ μόνον

ἐπιδημοῦντός σου αὐτόθι, ἀλλὰ καὶ ἀποδημήσαντος εὖ ἔχῃ τὰ κατ' αὐτόν.

ΞΗ'.

Τῷ μαγίστρῳ καὶ κριτῇ Θρᾴκης καὶ Μακεδονίας Πόθῳ, τῷ Υἱῷ τῆς Δρουγγαρίας.

Λαμπρότατε Κύριέ μου καὶ ἠγαπημένε ἀνεψιέ. Χεῖρα κατὰ τῆς ἀχειροποιήτου, καὶ δουλείαν κατὰ τῆς ἐλευθερωσάσης ἡμᾶς, καὶ ἐπήρειαν κατὰ τῆς ἀπαλλαξάσης τὴν φύσιν. Ὀχλήσεως μὴ σύ γε· μηδὲ οὕτως ἔχοιο φιλοσοφίας, μηδὲ ἀπόναιο τῶν σῶν ἰδεῶν. Εἰ μὲν οὖν ψευδὴς ἡ προσαγγελία, ἔχου τῶν συνήθων ἠθῶν· εἰ δ' ἀληθής, ἐφ' ἕτερον μετάβηθι λογισμὸν, καὶ φεῖσαι τῶν θείων, καὶ μὴ κίνει τὰ ἀκίνητα. Εἰ δέ σοι μή τις ἔνεστι τῶν θειοτέρων φενδών, ἀλλὰ τῶν ἀνθρωπικωτέρων ἐπιστράφηθι χρυσοβουλλίων, ἑτέρων δικαιωμάτων, συνηθείας χρονίου, τῆς Β τῶν πρὸ σοῦ δικαστῶν αἰδοῦς περὶ τὴν μονήν. Εἰ δὲ μὴ καὶ τούτων σοι μέλει, ἀλλ' ἡμῶν γε ἕνεκα τῶν φίλων καὶ διδασκάλων ἔνδειξίν τινα ἀγαθότητος περὶ τὴν κτῆσιν ἐπίδειξον τῆς μονῆς. Οὐκ ἀκαρδής σοι ἡ χάρις οὔτε παρ' ἡμῶν, οὔτε παρὰ τῆς θεομήτορος.

ΞΘ'.

Οἱ τοῦ χωρίου Μαμύτζης οἰκήτορες ἀδικοῦσι τὸ μέρος τῶν μοναχῶν τῆς κατὰ τὴν ἀχειροποίητον μονήν. Προάστειον γὰρ τῷ μοναστηρίῳ πρόσῃκον τῷ τοιούτῳ χωρίῳ παράκειται· Στρόβηλος τῷ κτήματι ὄνομα. Ἐν τούτῳ μῦλοι τρεῖς δι' ὅλου τοῦ χρόνου ἐνεργοῦντες ἑστᾶσι, τοῦ κινοῦντος αὐτοὺς ὕδατος διὰ πλῆθος ἀρκοῦντος ἐπιῤῥοῆς. Οἱ δὲ τὸ C δηλωθὲν χωρίον οἰκοῦντες, ἑνὸς εὐπορουῦντες μύλου, καὶ τούτου χειμερίου, ἐτόλμησαν τὸ τοὺς τρεῖς μύλους κινοῦν ὕδωρ μετοχετεῦσαι, καὶ πρὸς τὸ[ν] ἴδιον μεταγαγεῖν μύλωνα, προφάσεις ἀναπλασάμενοι καὶ αἰτίας κενάς. Ἀξιοῦμεν οὖν σε, ἵνα καὶ δι' ἡμᾶς, καὶ δι' αὐτὸ τὸ δίκαιον, καὶ διὰ τὴν πρὸς τὴν θεοτόκον πίστιν σου καὶ εὐλάβειαν μὴ μόνον τὸ τοιοῦτον ῥεῦμα ἐς τὴν προτέραν μεταβιβάσῃς ὁδόν· ἀλλὰ καὶ τοὺς ἀνελεῖν τολμήσαντας χωρὶς εὐλογοφανοῦς αἰτίας καὶ δικαστικῆς ἀποφάσεως, καὶ ἑτέραν ὁδὸν ὑπανοῖξαι τῷ ῥέοντι ὕδατι, τιμωρήσῃς κατὰ τὸ εἰκὸς τιμωρίαν τὴν πρέπουσαν· ἵνα μήτε αὐτοὶ, μήθ' ἕτεροι τοιαῦτα τολμῶεν, τῷ κατ' αὐτοὺς σωφρονισθέντες περιδείγματι.

Ο'.

Περὶ τοῦ παρόντος ἀνθρώπου καὶ ἐξιόντα σε τῆς πόλεως ἠξιώσαμεν, καὶ νῦν αὖθις ἀξιοῦμεν, ἀντιλαμβάνεσθαι αὐτοῦ ἐν ταῖς εἰσπράξεσι, καὶ εὐμενῶς βλέπειν, καὶ ὡς οἰκείου ἀντέχεσθαι. Ἀκούσαντες δὲ μικρῷ πρόσθεν, ὡς χαλεπῶς πρὸς αὐτὸν διετέθης, οὐκ ἠνιάθημεν, ἀλλ' ᾠήθημεν, ὡς ἐκόλασας, πρὸς βραχὺ ἀδικοῦντα εὑρών. Ἀλλὰ νῦν μεταβλήθητι πρὸς τὸ ἡμερώτερον, καὶ μὴ πάντα φαίνου τούτῳ πικρός. Ἀποβλέπων γὰρ οὗτος πρὸς τὰς ἐξόδους, ἃς κατεβάλετο, οὐ δύναται διὰ πάντων τῷ δικαίῳ στοιχεῖν· ἐπεὶ οὐδ' ἂν ἐξισωθείη ταῖς ἀπὸ τοῦ δικαίου εἰσπράξεσι πρὸς τὴν τῶν συνηθειῶν ποσότητα. Ἀλλὰ σὺ μὴ πρὸς τοῦτο βλέπων συγχώρει ἀδικεῖν, ἀλλὰ τὰ πολλὰ παράβλεπε, ὥστε σε ὁρῶντα μὴ ὁ[ρᾶ]ν, καὶ ἀκούοντα μὴ ἀκούειν. Οὕτω γὰρ ἂν μόνως καὶ τὴν κατὰ τῶν δικαστῶν μέμψιν ἐκφύγῃς, καὶ τοῖς φορολογοῦσι μέτριος φανήσῃ. καὶ ἐπιεικής.

ΟΑ'.

Εὐχαριστῶ σοι, κύριέ μου, ἐφ' οἷς ἐξετώσας εἰσήκουσμαι. Ἠξίωσα δὲ πρώην περὶ τοῦ ἐμοῦ συγγενοῦς, ἵν' ὡς ἐμοῦ ἀντέχῃ τούτου καὶ τὰ δυνατὰ συνεργοίης. Κἀγὼ μὲν ὡς ᾠήθην ἐν μέρει τυχεῖν, ὧν ἠξίωσα· ὁ δὲ οὐ τοῦτό με δοξάζειν πεποίηκεν· ἀλλ' ὅτι τὸ βραχύτατόν μοι ἐκεῖνο γραμμάτιον ἤρκεσεν αὐτῷ εἰς ὅλην τὴν εἴσπραξιν. Τοσοῦτόν ἐστι ψυχὴ βαθεῖα καὶ πίων· βραχύτατον μὲν σπέρμα δεχομένη, τὸν δὲ καρπὸν ἀποδιδοῦσα μυρισπλασίως. Ἀλλὰ πρώην μὲν ἠξίωσα· νῦν δὲ, ὡς ὁρᾷς, εὐχαριστῶ, οἷς ἔτυχον· μείζων δὲ ἡ εὐχαριστία τῆς ἀξιώσεως. Ἀντιμέτρησον οὖν καὶ σὺ τῇ εὐχαριστίᾳ πλείονα τὴν ἀντίδοσιν, καὶ γενοῦ μᾶλλον τοῦ πράκτορος ἐπιμελέστερος συνεργός· ἵν' οὗτος μὲν ἡμῖν γράφῃ, ἃ τυγχάνει εὐεργετούμενος· ἡμεῖς δὲ ὑπόθεσιν ταῦτα πλείονος εὐχαριστίας ποιήσωμεν.

ΟΒ'.

Παράδειγμά σοι ἔστω τῆς πρὸς ἐμέ σου φιλίας καὶ διαθέσεως ὁ σὸς μὲν ἀπὸ φύσεως ἀδελφὸς, ἐμὸς δὲ ἀπὸ πνεύματος, ἔν τε ἄλλοις, κἀν τῷ παρόντι νοταρίῳ καὶ ὁμωνύμῳ τοῦ σοῦ θέματος. Αὐτόθεν γὰρ ὡρμημένος, τὴν τῆς ὑπὸ ὑπὸ σὲ ἐπαρχίας προσηγορείαν ἐκτήσατο. Περὶ γὰρ τούτου ἠξίωσα πρὸς ἐκεῖνον ἐν γράμμασιν· ὁ δὲ ἀσμένως προσηκάμενος τὴν ἀξίωσιν, τά τε ἄλλα εὖ τοῦτον πεποίηκε, καὶ μετὰ τῶν γνησιωτάτων αὐτοῦ ἀνθρώπων ἠρίθμησεν. Ἐφείλκετο δὲ τοῦτον καὶ εἰς ὃ μετετέθη θέμα· ὁ δέ γε σφόδρα φιλόπατρις ὤν, αὐτόθι καταμένειν ἠθέλησεν. Εἰ μὲν οὖν βούλει πρὸς παράδειγμα βλέπειν, τὸν ἀδελφὸν ἰδών, τὰ ὅμοια περὶ τὸν ἄνθρωπον ποίησον. Εἰ δὲ σαυτὸν ἔχεις παράδειγμα τῆς πρὸς ἡμᾶς φιλίας σου, ταῖς προλαβούσαις χάρισιν ὁμοίαν τὴν περὶ τοῦ νοταρίου προσάρμοσον. Καὶ δεξάμενος τοῦτον εὐνοϊκῶς, τά τε ἄλλα προστάτης αὐτοῦ γενοῦ, καὶ τῆς προσηκούσης αὐτῷ οἰκίας ἀντιποιοῦ. Ἀλλὰ τί περὶ πολλῶν αἰτοῦμαι; Εἰ γὰρ συναρίθμιον μόνον τοῖς ὑπὸ σὲ ποιήσεις, αὐτόματα τἄλλα τῷ πρώτῳ τούτῳ εὐεργετήματι ἕψεται.

ΟΓ'.

Οὐ μικρὰν παρηγορίαν τῆς σῆς στερήσεως τὰ σὰ γράμματα ἔχομεν· δοκοῦμεν γὰρ δι' αὐτῶν ὁμιλεῖν, ἔμψυχον συνουσίαν τὰς ἀψύχους σου προσφωνήσεις οἰόμενοι. Παροτρύνεις δὲ ἡμᾶς ἐν τοῖς γράμμασί σου, εὐφήμους φωνὰς ὑπὲρ σοῦ συνεισάγειν εἰς τὸ τοῦ μεγάλου [βασιλέως] συνέδριον. Αὐθόρμητοι γάρ ἐσμεν εἰς τοὺς περὶ σοῦ ἐπαίνους. Μάρτυς ὁ [κύριος], καὶ οὐ δεόμεθα γλώσσης διεγειρούσης ἡμᾶς. Καὶ ὅτι μὲν οὐδὲν ἔτι σοι παρ' ἡμῶν ἐπωφελὲς προσεγένετο, οὐκ ἀγνοοῦμεν· ἴσθι δὲ, ὡς ἅπανά σοι πεπροοιμίασται, καὶ οἷον τὰ ἐπεισόδια τῆς ὠφελείας ἐγένετο. Σὺν ἐπαίνῳ γὰρ ὁ βασιλεὺς τοῦ σοῦ μνημονεύει ὀνόματος, καὶ χρηστότερον πρὸς τὰς ἐπελθούσας σοι συμφορὰς διατίθεται, καὶ οἷον ἕτοιμός ἐστι[ν] ἀντεπενεγκεῖν τοῖς χείροσι τὰ βελτίονα. Δήλωσον δὲ ἡμῖν, ὁπότερα βούλει· εἰσελήλυθέναι τι εἰς τὴν βα-

σιλίδα, καὶ τῆς ἐνταῦθα προνοίας τυχεῖν· ἢ εἰς κρεῖττον θέμα;

Τὰ πρὸς Ὄλυμπον.

Οὐδὲν τῶν ὄντων ὑπὲρ τὸν Ὄλυμπον. Καὶ ἵνα τὰ τελευταῖα τοῦ λόγου πρῶτα ποιήσωμαι· πεποίκιλται μὲν οὐρανὸς ἀστράσιν, ἀλλ' ἄψυχα ταῦτα σώματα, καὶ μένοντα ἐφ' ἧς ἐγένοντο φύσεως. Ὁ δὲ λογικαῖς κατακεκόσμηται φύσεσι, προκοπτούσαις ἀεὶ, καὶ εἰς θεὸν ἀναβαινούσαις διὰ τῆς τῶν ἀρετῶν κλίμακος. Χωρίον τρυφηλὸν ἡ Ἐδὲμ, καὶ ἐν καλῷ τῆς συμπάσης κείμενον γῆς· ἀλλ' οὔπω ἀνθρώπους Θεῷ καθομοιωθέντας ἐκληρώσατο. Ὑπερφυὴς ὁ παράδεισος· ἀλλὰ δυοῖν ποτε οἰκητόρων ηὐμοίρησεν. Οὗτοι δὲ ἅμα τε τῶν ἐκείνου καρπῶν ἐγεύσαντο, καὶ τῆς πανευδαίμονος ἐκείνης τρυφῆς ἀπηλάθησαν. Τὸ δέ γε θεῖον τοῦτο καὶ πάμφορον ὄρος ἀνάγει μὲν ἀνθρώπους Θεῷ, κατάγει δὲ ἀνθρώποις Θεόν. Καὶ κοινόν ἐστιν οἰκητήριον τῶν τε ὑπερφυῶν τάξεων, καὶ τῶν τεταγμένων φύσεων. Ὁ τε καρπὸς αὐτῷ ξύμπας τῶν ἀρετῶν οὐκ ἐδώδιμος μόνον, ἀλλὰ καὶ τρόφιμος, καὶ παίνων τὸν νοῦν τῷ τε γλυκεῖ καὶ ζωηφόρῳ τοῦ πνεύματος. Οὐ τὰ κρείττω δὲ, ἀλλὰ καὶ τὰ πρὸς αἴσθησιν τούτῳ, πάσης ἄλλης ἡδίω τέρψεώς τε καὶ χάριτος· ὑδάτων πηγαὶ καθαραὶ· πόαι μαλακαί· εὐθαλεῖς δένδρων τροφαί· ὀρνίθων ᾠδαί· εὔπνους ἀήρ· ἡλίου βολαὶ διαυγεῖς· ὡρῶν συμμετρία· πνεῦμα μὴ λυποῦν. Πάντων μέν ἐστιν ὀρῶν ὑπερκείμενος, βάσιμος δὲ μᾶλλον ἢ τῶν πεδίων τὰ ὄπτια. Τό τε μετέωρον οὐχ οἷον ἀπότομον, καὶ ἡ κάθοδος ἠρέμα ἐπικλινής. Εἶπω τὸ ξύμπαν· οὐδὲν αὐτῷ τῶν πάντων πρὸς σύγκρισιν αὐτάρκες.

Ὄλυμπε, θεῖον ὄρος, αὐτῆς τε τῆς Σιὼν καὶ τοῦ Ἀερμὼν ὑπερκείμενον, καὶ πηγὰς ἀῤῥήτους τὴν ἡδονὴν τῆς νοητῆς Ἱερουσαλὴμ κατακέον· τί ποτέ σοι προσφθέγξομαι; Τίνα δέ σοι ἀναθήσομαι χαριστήρια; Ἀπὸ ποίων δέ σε τῶν οἰκείων μερῶν ἀναδήσομαι; Ὡς παντοδαπὸς εἶ, οὐ τὰς θειοτέρας μόνον Χάριτας, ἀλλὰ καὶ τὰς ἀνθρωπικὰς καὶ θελγούσας τὴν αἴσθησιν. Καί σε κρᾶμα πεποίηται ὁ Θεὸς τῆς διπλῆς ἀρετῆς, ὅση περὶ τὸν οὐρανὸν καὶ ὅση περὶ τὴν γῆν. Οἷον μὲν γάρ σοι τοῦ Δαυὶδ τὸ ψαλτήριον δέκα φθόγγοις ἐντεταμένον, καὶ τὰς ἰσαρίθμους αἰσθήσεις τῆς τε ψυχῆς καὶ τοῦ σώματος ἀντὶ χορδῶν προβαλλόμενον, καὶ ἕκαστον ἑκάστῳ καὶ πάντα πρὸς ἅπαντα ποιῶν σύμφωνα. Οἷα δὲ ἡ τῆς ἀηδόνος ἠχώ. Παντοδαπὸν μέν σοι τὸ ἀμφιλαφὲς τῶν δένδρων καὶ σύσκιον. Ὁποῖόν τε τὸ τῶν ἀρετῶν ὑψίκομον καὶ δασὺ, πνεῦμα εἰσάγον μέτριον, καὶ τὸ φλογῶδες ἀποτειχίζον τοῦ καύσωνος, ὅστι; οὗτός ἐστι. Τὸ δὲ ξύμπαν, ἥρισαν ἐπί σοι οὐρανός τε καὶ γῆ, τίνος ἂν μᾶλλον γίνοιο. Ὑπερεβάλετο δὲ οὐρανὸς, καί σε δικαίως Ὄλυμπον ἐπωνόμακεν ὡς δεύτερον οὐρανόν.

Ὅπη σου τῶν μερῶν τρέψω τὸν ὀφθαλμὸν, Ὄλυμπε, ἀκήρατοί μοι εὐθὺς προσβάλλουσιν ἡδοναί· λειμῶνες ἐνταῦθα· ἐκεῖσε δένδρων εὐθαλεῖς κόμαι· ἡ αὔλαξ βαθεῖα, ἐρίβωλος καὶ πίων ἡ ἄρουρα· ὁ καρπὸς τεθηλώς. Ἀλλ' ἔαρος ταῦτα δῶρα. Ἀλλὰ καὶ τὸ θέρος εὔπνουν, καὶ οὐ μάλα σου τῶν μερῶν κατα- A δυναστεύει ὁ ἥλιος· εἰ δέ ποτε τὰ μεσημβρινὰ καταφλέγει, ἀλλ' αἵ γε τῶν πηγῶν αὖραι ἀντὶ πάσης ἀρκοῦσιν ἀναψυχῆς. Χειμῶνος δὲ ἡ μὲν ἄλλη ξύμπασα γῆ μετεσχηματίσθαι δοκεῖ, καὶ τὸ ἐαρινὸν κάλλος ἀποκεκάρθαι· σοῦ δὲ οὐδέποτε ἡ καλλίστη τῶν ὡρῶν ὑπερλέλησται. Χλοάζεις γὰρ ἀπανταχόσε, ὥσπερ αἱ οὕτω τῶν λίθων ἐκ φύσεως ἔχουσαι. Ἐκκέχυνται γοῦν σε πάντοθεν καὶ μυῤῥίναι καὶ σμίλαξ καὶ κιττοί· ἥ τε δάφνη σε στεφανοῖ, καὶ ἡ πίτυς καταχλοάζει· οὐδὲ δρῦς ἐπὶ σοὶ γηράσκει, οὐδὲ φυλλοδολεῖ ἡ συκῆ, ἀλλ' ἐπ' ἀθανάτῳ σοι καὶ ἀγήρῳ ἀθάνατα καὶ ταῦτα φύεται. Ἀλλὰ πόθεν σοι οὕτως ἡρμένῳ τῆς γῆς αἱ ἀφανεῖς τῶν ὑδάτων πηγαί; Ἢ πάντως ἐπὶ τῶν ἀθανάτων ἐκείνων πηγῶν ἔφυ τὸ ῥίζωμα, ἃς Χριστὸς δίδωσι τοῖς διψῶσιν· ὅθεν οἱ τῶν ναμάτων B σου ἐμφορούμενοι, εἰ καὶ μὴ ἀθάνατοι πάντῃ, ἀλλά γε καθεστᾶσι μακροβιώτατοι.

Βασιλειά σοι, Ὄλυμπε, καὶ τὰ ὄρεια· καὶ ὅτι, κἄν τις ἐκεῖθεν ἦκων τὴν ἐπὶ σοὶ δυσχεράνῃ διαγωγὴν, ἀλλ' εἰ βούλοιτο περιδραμεῖν σοι τὰς ἀφανεῖς οἰκήσεις, ὁπόσα τέ σοι κατὰ πετρῶν ὤρυκται, ἢ αὐτομάτως κεκοίλανται, εὑρήσει, ὅπῃ τρυφήσειεν. Εἰ μὲν γὰρ ὑπέλθοι δένδρου σκιὰν, αὐτίκα τοῦτον ἐπιξενώσονται κάτωθεν μὲν γῆς εὐναὶ μαλακαί· ὑπὲρ δὲ κεφαλὴν τὴν ὀπώραν κοσμοῦσιν αἱ Χάριτες. Τὸ δέ γε ἀναβλύζον ἢ παραῤῥέον ὑδάτιον ἀντὶ πάσης εὐφροσύνης γενήσεται· κἂν δεήσῃ ἀναβῆναι κλίμακα, καὶ ὑπὸ στέγην τρυφῶσαν γενέσθαι, ἐπιλήσεται ταχὺ μάλα τῶν ἐν τοῖς ἀστράσι λαμπροτήτων. Παντοδαπὴ γὰρ ἡ λίθος κἀνταῦθα καὶ ποικίλη τοῖς χρώμασιν· C αἵ τε κέδρινοι ὄροφαι οὐ μάλα χείριον ἀντιπίπτουσαι, ἀλλ' ὁμαλῶς διῄρηνται καὶ γεγλύφανται. Καὶ ἡ γράφουσα ταύτας χεὶρ ἐπίσημος ὧδε μᾶλλον, ἢ ἐν ταῖς πόλεσιν. Ἀτυχήσει δὲ οὐδὲ τῶν ἄλλων τινός. Ἀλλὰ καὶ γῆ, καὶ θάλαττα, καὶ ἀὴρ — ἡ μὲν βοσκήματα, ὁ δὲ ὄρνις, ἡ δὲ ἰχθὺς δωροφορήσουσι. Κἂν θηρᾶν αἱροῖτο, ἕτοιμος ὁ λαγώς· καὶ ὁ πέρδιξ τοῦτον ὑποπτερύξεται· ἀκοντιεῖ δὲ καὶ κατὰ κάπρων· καὶ ἡ ἄρκτος οὐχ ὑπερδραμεῖται αὐτοῦ τὴν βολήν. Ἐπανάγοντα δὲ ἐκ τῆς θήρας πνεῦμά τε ὑποδέξεται εὔπνουν, καὶ στιβὰς σχίδιος ἐγγύθι κελαρύζοντος νάματος.

ΟΔ'.

Ἦν ὅτε πεθεινὸς ἦν τῷ μεγάλῳ δεσπότῃ μου, τῷ D Καίσαρι· καί μοι προσεῖχε τὸν νοῦν καὶ λέγοντι καὶ συγγράφοντι, καὶ τὰς ἐπιστολὰς περὶ πλείονος ἐτίθει σπουδῆς, καὶ συγγράμματα ἐν βιβλίοις ἀπεθησαύριζε· καὶ ὅ τι εἴποιμι, ὅ τι ἐνθυμηθείην, ὅ τι ψιλῶς ἐννοήσαιμι, ἠσπάζετό τε καὶ περιεῖχετο. Νῦν δέ μοι καὶ τὸ εὐτύχημα τοῦτο μετὰ τῶν ἄλλων ἀφῄρηται. Κἀμοὶ μὲν ἴσως οὐ παντάπασιν οἱ λόγοι κατεμαράνθησαν. Σὺ δέ μοι πρὸ τῆς παρακμῆς τὴν ἰσχὺν τῆς ἀγάπης κατέβαλες, καὶ τούς τε διαλόγους ἡμῖν ἐσμίκρυνας, καὶ ἀπροσόδευτον ἀφεὶς τῆς πόλεως ἐξελήλυθας· οὔτε τὴν χεῖρα ἐπιβαλὼν, οὔτε πόῤῥωθεν ἐγκραγών. Οὕτω μοι εἰς τοὐναντίον τὰ πρότερα καλὰ συνερῥύηκεν· οὕτως ἐγὼ μετὰ τῶν ἄλλων λαμπρῶν καὶ τὸ κεφάλαιον τῆς λαμπρότητος, τὸν Καίσαρα, ἀπώλεσα. Καὶ οὐδὲν οἶδα, εἴ ποτε αὖθις

ἴδοιμι, ἢ ὁμιλήσαιμι, ἢ ἑτέραν πέμψω ἐπιστολήν, ἢ ἀμοιβαίαν δέξομαι τῆς πεμφθείσης. Βουλοίμην γάρ, εἴ γε καὶ δυναίμην ἐπ' ἐμαυτοῦ ζῆσαί ποτε, καὶ εἶσω τῶν περιῤῥαντηρίων γενέσθαι, ἢ καὶ αὐτοῦ παρὰ τοῖς ἀδύτοις καταπετάσμασιν. Εἰ μὲν οὖν οὕτως βιῴην, καὶ ἀγαπῴην ἂν καὶ πάνυ μὲν οὖν. Εἰ δ' οὖν σὺ μὲν καὶ αὖθις ὑποκνήσεις μοι τὰς ἐρωτικὰς A φροντίδας καὶ ἀποστραφήσῃ, ἐγὼ δὲ ἕξομαι καὶ ἀνθέξομαι καὶ θέλοντος καὶ μὴ θέλοντος· καὶ ἐπιστελῶ πολλὰς καὶ πολλάκις, καὶ ἐπαινέσομαι καὶ θαυμάσομαί σε καὶ πάλιν, ὥσπερ εἰῴθειν, καὶ παγίου φρονήματος καὶ τῆς ἄκρας συνέσεως, ἢ τῆς ἁπλουστάτης.....]

INDEX

AD

ANTONII MELISSÆ

LOCOS COMMUNES.

Littera *a* pars prior, *b* posterior indigitatur. Numeri, non paginarum, sed sermonum ordinem denotant.

A

Absurditatis odium, *b* 39.
Actio vel opus, *a* 46, 47.
Admonitio, *a* 49.
Adulatio, *a* 25.
Adulterium, *a* 15.
Adultera, *b* 34.
Ægrotantes, *a* 57.
Æmulatio, vel imitatio, proba, *b* 65. Mala, *b* 66.
Æterna beatitudo, *b* 93.
Æterna pœna, *b* 94.
Ambitiosi, *b* 74.
Ambitio. *Vide* Gloria inanis.
Amici, et Amicitia, *a* 24.
Amici mali, *a* 15.
Amor et timor Dei, *a* 2. Contrarium ejus, *a* 4.
Amor et pax, *b* 67. Odium, *b* 98.
Amor fraternus, *a* 23. Charitas, *a* 26.
Amor sui, *b* 75.
Anima, *a* 55.
Arcana, et taciturnitas, *a* 73. Effutientes ea, *a* 74.
Arrogantes, *b* 74.
Avaritia, *a* 34, 35.

B

Beatitudo æterna, *b* 93.
Beneficentia in pauperes, *a* 27. Contrarium ejus, *a* 28.
Beneficia et gratia, *a* 29.
Benignitas simplex, ἀκακία, *b* 54.
Benignitas, χρηστότης, *b* 83.
Biliosus, *b* 72.
Boni vel mali, aut justi et injusti : Respub. Reges, Principes, Magistratus, Judices, Cives. Viri, Mulieres, Monachi, Episcopi, Liberi, Filius, Filia, Juvenes, Senes, Domini, Servi, Parentes, Amici, Divites, Creditores, Mutuum accipientes, Locatores seu mercede conducentes, Virorum societas, Cor, Conscientia, Mores, Æmulatio vel Imitatio, Pudor, Nomen, id est fama, Mensuræ, Pondera. Horum singula reperies in nominibus substantivis.

C

Calumnia, *a* 22, 53.
Candidi et grati, *b* 57. Contrarium, *b* 58.
Castitas, *a* 14.
Cautio et mansuetudo, εὐλαβεία καὶ πραότης, *b* 84.
Charitas. *Vide* Amor.
Ciborum et mensarum diversitas, et de illis qui propter cibos offenduntur, *b* 97.
Cives boni, *b* 41. Mali, *b* 41.
Cœnæ Domini sacramentum, *b* 100.
Cogitationes puræ, *b* 87. Pravæ, *b* 88.
Cognitio sui, *a* 59.
Colloquium, *a* 48.
Concordia, *b* 67.
Conducentes mercede. *Vide* Locatores.
Confessio, *a* 17.
Conscientia, *b* 81. Pura, *b* 87. Impura, *b* 88.
Consilium, et consulte agere, *a* 10. Contrarium ejus, *a* 11.
Consilium serum, *ibid.*
Consilium et reprehensionem non admittens, *b* 60. Locus, 59, de admittente consilium, desideratur.
Consuetudo, *b* 80.
Contemptus bonorum et sanctorum virorum, 58.
Contentionis studiosi, *b* 68, 71.
Contentus sorte sua, *a* 56. Ὀλιγόδεια, id est, paucarum rerum indigentia, *a* 30.
Contradictio, *b* 71.
Continentia et jejunium, *a* 38. Contrarium, *a* 39.
Contumacia sermonis reprehenditur, *a* 75.
Contumelia, ὕβρις, *b* 69.
Conversatio, societas, conventus, *a* 48.
Conversatio cum bonis ineunda, *b* 55. Malorum fugienda, *b* 56.
Cor (id est cogitationes) purum, *b* 87. Pravum, *b* 88.
Creditores boni, *b* 25. Mali, *b* 26.
Curiositas, et distractio in negotiis mundi, *b* 76. Tranquillitas, in eisdem locis, *ibid.*
Custodia linguæ, *a* 75.

D

Desperatio et tristitia, ἀθυμία, *a* 72.
In Deum non sperantes, *a* 6. In Deum pietas et fides, *a* 1. Impietas, *a* 2.
Dei amor et timor, *a* 3. Eorumdem contraria, *a* 4. In Deum spes, *a* 5
Ejus contrarium, *a* 6.
Diabolus sobrios non lædet, *b* 99.
Dilectio. *Vide* Amor.
Diligentia. *b* 45. Negligentia, *b* 46. *Vide* Industria.
Disciplina et philosophia, *a* 50.
Divitiæ, et honestus earum usus, *a* 31. Ejus contrarium, *a* 32.
Divitiis freti, et non Deo, *a* 6.
Doctrina et sermo, *a* 48.
Dolosus, *b* 86.
Domini boni, *b* 21. Mali, *b* 22.

E

Ebrietas, *a* 41.
Educatio liberorum recta, *b* 9. Neglecta, *b* 10.
Egeni, *a* 33.
Eleemosyna, *a* 27. Contrarium ejus, *a* 28.
Episcopi boni, *b* 3. Mali, *b* 4.
Eruditio et philosophia, *a* 50.

F

Fama. *Vide* Nomen.
Familiaritas. *Vide* Conversatio.
Fastuosi, *b* 74.
Felicitas et Infelicitas, quod ad fortunam, *a* 70.
Fides, et quod operibus juncta maxime splendeat, *a* 1, 44.
Fidei prævaricatio, *a* 2.
Filia pudica et honesta, *b* 15. Impudica et inhonesta, *b* 16.
Filius prudens, *b* 13. Imprudens, *b* 14. *Vide* Liberi.
Fortis et temperans mulier, *b* 33.
Fortitudo, et robur, *a* 12.
Fortuna secunda, et adversa, *a* 70.
Fortunæ inconstantia. *Vide* Inæqualitas.
Fratres, et fratrum amor vel odium, *a* 23.
Fraudulentus, *b* 86.
Frugalitas, vel αὐτάρκεια, 36. Ὀλιγόδεια, *a* 30.

G

Garrulitas, *b* 70.

Gaudentes malis, *b* 40.
Gloria, *a* 61.
Gloria inanis, *b* 74.
Grati accepto mutuo, *b* 27. Ingrati, *b* 28.
Grati et candidi, *b* 57. Contrarium, *b* 58.
Gratia et beneficentia, *a* 29.
Gula et intemperantia, *a* 39.

H

Hominum et divitiarum, non Dei subsidio freti, *a* 6. Quod non confidendum sit hominibus, *a* 5.
Honor conferendus in bonos et sanctos viros, *b* 37.
Honoranda virtus, *a* 68.
Honorandi parentes, *b* 11.
Humiles et pauperes spiritu, *b* 75.

I

Ignavia, *b* 46.
Ignobilitas et Nobilitas, *b* 79.
Ignoscere oportere, et oblivisci injuriarum, *b* 55. De illis qui non ignoscunt, *b* 56.
Illiberales, *a* 28.
Imitatio. *Vide* Æmulatio.
Immorigeri, *b* 92.
Impatientia, *b* 90.
Imperium et potestas, *b* 1.
Impietas in Deum, *a* 2.
Impietatis pœna, *b* 94.
Imprudentia, *b* 46.
Imprudentia senum, *b* 18. Juvenum, *b* 20. Filii, *b* 14.
Impudens, *b* 72.
Inconstantes, *a* 18.
Inconstantes, et statim ad pravum ingenium redeuntes. *Vide* Mutabiles.
Inconstantia fortunæ. *Vide* Inæqualitas.
Indigentia paucarum rerum, *a* 30.
Infamia. *Vide* Nomen.
Ingrati, *b* 58.
Inimicitia, *b* 68.
Injuria. *Vide* Contumelia.
Injuriarum oblivio. *Vide* Oblivio.
Injusti. Injustitia, *a* 16, 55. *Vide* Boni.
Innocentia morum et simplicitas, ἀκακία καὶ μνησικακία, *b* 54, 85. Ei contrarium, *b* 86.
Inobedientia, et vitiosa respub., *b* 92.
Inopia, et paucarum rerum indigentia, *a* 30.
Insensatus, *b* 48.
Insipiens, *a* 9.
Insomnia, *a* 43.
Intellectus, *a* 8.
Invidia, *a* 62.
Involuntarium et Voluntarium, *a* 65.
Ira et animi fervor seu iracundia, *b* 53.
Iracundus, fervidus, bilioeus, *b* 72.

J

Jejunium, *a* 38. Contrarium ei, *a* 39.
Judicandus nemo, nec offendendus, *b* 98.
Judicium futurum, *a* 20.
Judicia recta Deo gratissima, *b* 7.
Judices justi, *b* 7. Injusti, *b* 8. Non jurandum temere, vel omnino non jurandum, et de proclivibus ad juramenta, *b* 65.
Jurantes frequenter, et juramenta exigentes, *b* 64.
Justi, et injusti diversi. *Vide* Boni.
Justitia, *a* 13.
Juvenes prudentes, *b* 19. Imprudentes, *b* 20.

L

Laborandum esse, *b* 45.
Laus, laudatio, *a* 51. Vituperium, *a* 52.
Lex, *a* 67.
Lenitas. *Vide* Longanimitas.
Libertas, *b* 82.
Libertas dicendi. *Vide* Fiducia.
Liberorum educatio recta, *b* 9. Neglecta, *b* 10.
Liberorum in parentes honor et obedientia, *b* 11. Inobedientes et parricidæ, *b* 12. *Vide* Filius, Filia.
Linguæ custodia, *a* 75.
Locatores operarum, seu mercede conducentes boni, *b* 29. Mali, *b* 30.
Longanimitas et patientia, *b* 89. Pusillanimitas, *b* 90. *Vide* Mansuetudo.
Loquaces et arcana effutientes, *a* 74. Linguam suam custodientes, *a* 75.
Loquacitas, *b* 70.
Loquendi libertas, et redargutio, *b* 78.
Loquendum non dure, nec minaciter, *a* 75.
Luxuria, *a* 40. Ebrietas, *a* 41.

M

Magistratus (et potestas) bonus et malus, *b* 1, 2. Rex bonus et malus, *b* 1, 2. Principes boni et mali, *b* 5, 6.
Majorem partem non semper esse meliorem, *a* 37.
Malitia facilis, virtus difficilis, *a* 60.
Malitia punienda, *a* 68.
Malitia. *Vide* Vitia.
Mali, et mala diversa. *Vide* Boni.
Malis et vitiis gaudentes, *b* 40.
Malorum oblivio. *Vide* Oblivio injuriarum.
Mansuetudo et cautio, πραότης καὶ εὐλάβεια, *b* 84. *Vide* Longanimitas.
Matrimonium honestum, *a* 14.
Medici, *a* 56.
Memoria, *a* 54.
Mendacium, *a* 22.
Mensarum et ciborum diversitas, *b* 97.
Mensuræ justæ, *b* 51. Injustæ, *b* 52.
Mercenarii boni, *b* 29.
Merces. *Vide* Retributio.
Mercenariorum conductores boni, *b* 29. Mali, *b* 30.
Metus, *a* 66.
Misericordia, *a* 27. Contrarium, *a* 28.
Mœror et tristitia, *a* 72.
Monachi boni, *b* 43. Ad malitiam redeuntes, *b* 44.
Monachorum præfectus, *b* 96.
Monastica vita, et mundi valedictio, *b* 93.
Moribus innocens et simplex, *b* 85. Contrarius ei, *b* 86.
Moribus malis præditi, et inobedientes, *b* 92.
Mors, *a* 58.
Mos et consuetudo, *b* 80.
Mulieres bonæ, *b* 33. Malæ, *b* 34.
Munera non capientes judices, *b* 7.
Muneribus corrupti, *b* 8.
Mutabiles cito, qui statim deserta virtute ad vitia redeunt, *a* 18.
Mutuo accepto grati, *b* 27. Ingrati, *b* 28.
Mysteriorum divinorum participatio, *b* 100.

N

Negligentia, *b* 46.
Negligentes in religione, *b* 99.
Negotiosa et occupationibus distracta vita, *b* 77.
Nobilitas et Ignobilitas, *b* 79.
Nosce teipsum, *a* 59.
Nomen bonum, seu fama bona, *b* 49. Infame, *b* 50.
Nuptiæ honestæ, *a* 4.

O

Oblivio injuriarum, *b* 54, 55. Contrarium ejus, *b* 56.
Obedientia et respub. honesta, *b* 91. Inobedientia, *b* 92.
Obedientia liberorum erga parentes, *b* 11.
Obedientia in monastica vita, *b* 93.
Obtrectatio et vituperium, *a* 53, *b* 59.
Occupationes variæ, *b* 77.
Odium, *b* 68.
Odium in fratres, *a* 23.
Odium vitiorum, *b* 59.
Offendendus homo, nec judicandus, *b* 98.
Offensio propter cibos, *b* 97.
Opus vel actio, *a* 46.
Opera bona fidei conjuncta, *a* 1.
Oratio vel precatio, *a* 46.

P

Parci, *a* 28.
Parentes boni, et diligentes in liberorum educatione, *b* 9. Negligentes, *b* 10. In parentes honor, *b* 11.
Parricidæ, *b* 12.
Patientia et longanimitas, *b* 89. Impatientia, *b* 90.
Paucarum rerum indigentia, αὐτάρκεια, *a* 30.
Pauperes, *a* 33.
Pauperes (in) beneficentia, *a* 27. Contrarium, *a* 28.
Pauperes et humiles spirita, *b* 75.
Paupertas, *a* 30.
Pax et Pacifici, *b* 27. Inimicitia, *b* 28.
Peccatum, *a* 16.
Pecuniæ studium, *a* 34.
Philosophia et disciplina, *a* 50.
Pietas in Deum, *a* 1.
Pietatis retributio, *b* 93. Impietatis, *b* 94. Quod plus est, non semper præstare, *a* 37.
Plus habendi studium. *Vide* Avaritia.
Pœna perpetua, *b* 94.
Pœnitentia, *a* 17, *b* 25. Non pœnitentes, *a* 19.
Pondera justa, *b* 51. Injusta, *b* 52.
Potestas. *Vide* Magistratus.
Præfectus monachorum, *b* 96.
Precatio, *a* 46.
Principes boni, *b* 5. Mali, *b* 6.
Providentia, *a* 45.
Proximo (de) quod onera ejus ferenda sint, communi ope juvandus, amice arguendus, et delictis ejus ignoscendum, *b* 55. Non ignoscentes, *b* 56.
Prudens et fortis mulier, *b* 33.
Prudens. *Vide* Senatus.
Prudentia et consilium, *a* 8.
Prudentia senum, *b* 17. Contrarium, *b* 18.
Prudentia juvenum, *b* 19. Filii, *b* 15.
Pudica filia, *b* 13.
Pudor bonus, *b* 61. Malus, *b* 62.
Pulchritudo, *a* 60.
Puniendæ vitia. *Vide* Vitia.
Puritas cordis, cogitationum, conscientiæ, *b* 87. Impuritas, *b* 88.
Pusillanimitas, *b* 90.

Q

Quies a negotiis mundi, et tranquillitas curiositati opposita, *b* 76.

R

Ratio et Rationalis, *a* 64.

Redargutio, et libertas loquendi, *b* 78.
Reprehensio. *Vide* Consilium.
Respub. laudabilis, *b* 91. Culpabilis, *b* 92.
Retributio vitæ piæ, *b* 93. Impiæ, *b* 94.
Rex bonus et justus, *b* 1. Malus, *b* 2.
Risus, *a* 63.
Robur et fortitudo, *a* 12.

S

Sancti viri. *Vide* Viri, Virorum.
Sapientia, *a* 8.
Scandalum. *Vide* Offendere, Offensio.
Scortatio, *a* 15
Secreta et taciturnitas, *a* 73. Effutientes ea, *a* 74.
Senes boni et prudentes, *b* 17. Stulti et improbi, *b* 18.
Sensatus homo, *b* 47. Insensatus, *b* 48.
Sermo et doctrina, *a* 47.
Sermo durus, contumax, minax, *a* 75.
Servi boni, *b* 23. Mali, *b* 24.
Silentium. *Vide* Taciturnitas.
Simplex et innocens, ἄκακος, *b* 85. Contrarium ei, *b* 86.
Simplicitas, ἀκακία, *b* 54.
Sobrios non lædet diabolus, *b* 99.
Societas. *Vide* Conversatio.
Socordes in religione, *b* 99.
Somnus, *a* 42. Insomnia, *a* 43.
Spes in Deum, *a* 5. Contrarium, *a* 6.
Spiritu humiles et pauperes, *b* 73.
Stateræ justæ, 51. Injustæ, *b* 52.
Stultus, *a* 9.
Subjectio in monastica vita, *b* 95.
Superbi, *b* 74.

T

Taciturnitas et secreta, *a* 73.
Temeritas, *a* 11, *b* 71, 72.
Temperantia, *a* 14.
Temperantia et jejunium, *a* 38. Contrarium, *a* 39.
Temperans et prudens mulier, *b* 53.
Testimonium verum, *a* 21. Falsum, *a* 22.
Timor, *a* 66.
Timor et amor Dei, *a* 5. Contrarium, *a* 4.
Tolerantia, *b* 89.
Tranquillitas contraria curiositati et negotiis mundi, *b* 76.
Tristitia, *a* 72.

V

Valedictio rerum mundanarum et exercitatio vitæ monasticæ, *b* 95.
Verecundia. *Vide* Pudor.
Versutus, *b* 86.
Veritas, *a* 21.
Verum testimonium, *a* 22.
Virorum bonorum et sanctorum honor, *b* 37. Contemptus, *b* 38.
Virorum bonorum conventus, *b* 35. Malorum, *b* 36.
Viri boni et honesti, *b* 31. Mali et improbi, *b* 32.
Virginitas, *a* 14.
Virtus, *a* 7.
Virtus honoranda, vitia punienda, *a* 68.
Virtus difficilis acquisitu, vitium facile, *a* 69.
Virtus scnum, *b* 17. Contrarium, *b* 18.
Vita negotiosa, et occupationibus distracta, *b* 77.
Vitæ inæqualitas, et inconstantia fortunæ, *a* 71.
Vitæ piæ retributio, *b* 93. Impiæ, *b* 94.
Vita facilia, virtus difficilis, *a* 69.
Vitia punienda, virtus honoranda, *a* 68.
Vitiorum odium, *b* 39.
Vituperatio et calumnia, *a* 53.
Voluntarium et involuntarium, *a* 65.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

EUSTATHIUS THESSALONICENSIS METROPOLITA.

OPERUM CONTINUATIO.

De Thessalonica urbe a Latinis capta. 9
Laudatio S. Philothei Opsiciani. 141
S. Demetrii martyris Invocationes. 161
Panegyricus sermo de eodem. 169
Ad Stylitam quemdam Thessalonicensem. 217
De SS. Alpheo et sociis martyribus. 265
De SS. martyribus Ananiæ, Azariæ et Misaele in fornacem conjectis. 289
De obedientia magistratui Christiano debita. 301
Prologus ad Pindarica. 339
De simulatione. 373
Contra injuriarum memoriam. 407
Interpretatio hymni pentecostalis Damasceni. 501
Epistolæ. 1245

ANTONIUS MELISSA.

SENTENTIÆ SIVE LOCI COMMUNES EX SACRIS ET PROFANIS AUCTORIBUS COLLECTI.

PARS I. Sermo I [*al.* CLX]. — De fide et pietate in Deum, et quod omnibus bonis antecellant, quando maxime per bona opera resplendent. 765
Sermo II [*al* CLXI] — De illis qui pietatem ac fidem prævaricantur, et in Deum sunt impii. 773
Sermo III [*al.* CLXIII]. — De dilectione et timore Dei. 781
Sermo IV [*al.* CLXIV]. — De illis qui Deum nec timent nec diligunt. 785
Sermo V [*al.* CLXV]. — De spe in Deum, et quod spes in Deum non in humana præsidia collocari debeat. 785
Sermo VI [*al.* CLXVI]. — De iis qui divitiis et hominibus fidunt, nec in Deo spem et fiduciam omnem sitam habent. 789
Sermo VII [*al.* I]. — De virtute. 791
Sermo VIII [*al.* XXIII]. — De sapientia, et intellectu, et prudentia. 795
Sermo IX [*al.* XXVIII]. — De imprudente, stolido, imperito et stulto. 797
Sermo X [*al.* XXVII]. — De consilio et quod omnia consulto considerateque agenda sint. 799
Sermo XI [*al.* XXX]. — De temerario et tardo consilio, et quod noxium sit inconsiderate agere. 801
Sermo XII [*al.* XXXIX]. — De fortitudine et robore. 803
Sermo XIII [*al.* XL]. — De justitia. 803
Sermo XIV [*al.* LXIV]. — De virginitate, et castitate, et temperantia, et nuptiis honestis. 807
Sermo XV [*al.* LXV]. — De scortatione et adulterio. 813
Sermo XVI [*al.* CLXXI]. — De injustitia et peccato et confessione. 815
Sermo XVII [*al.* CLXXIX]. — De pœnitentia et confessione. 825
Sermo XVIII [*al.* CLXXX]. — De illis qui cito mutantur in deteriorem statum et de pœnitentia. 831
Sermo XIX [*al.* CLXXXI]. — De illis qui ad pœnitentiam non convertuntur. 833
Sermo XX [*al.* CLVII]. — De futuro judicio 835

Sermo XXI [*al.* XLV]. — De veritate et testimonio fideli. 841

Sermo XXII [*al.* XLVII]. — De mendacio et calumnia, et falso testimonio. 843

Sermo XXIII [*al.* CXXXVI]. — De fratribus, et amore ac odio in fratres. 845

Sermo XXIV [*al.* CXXXV]. — De amicis et amore fraterno. 847

Sermo XXV [*al.* CXXXVII]. — De amicis improbis. 851

Sermo XXVI [*al.* LVI]. — De charitate, seu dilectione, pace, concordia et pacificis. 853

Sermo XXVII [*al.* LVII]. — De eleemosyna et beneficentia in pauperes. 861

Sermo XXVIII [*al.* LIX]. — De parcis et illiberalibus, et eleemosynam non facientibus. 873

Sermo XXIX [*al.* LVIII]. — De beneficentia et gratia et ingratitudine. 873

Sermo XXX [*al.* XXXIII]. — De inopia et paucarum rerum indigentia. 879

Sermo XXXI [*al.* CXLI]. — De divitiis et divitibus, qui bene ac decenter vivunt. 881

Sermo XXXII [*al.* CXLII]. — De divitibus qui male vivunt, et de malis eos sequentibus. 885

Sermo XXXIII [*al.* CXLIII]. — De egenis et pauperibus. 889

Sermo XXXIV [*al.* XLII]. — De avaritia. 893

Sermo XXXV [*al.* XLI]. — De avaritia, et qualibet in re plus habere volentibus et injustis. 895

Sermo XXXVI [*al.* XXXII]. — De virtute quæ animum suis et præsentibus rebus contentum reddit. 901

Sermo XXXVII [*al.* XIV]. — Quod major pars non semper melior sit. 903

Sermo XXXVIII [*al.* LXVI]. — De jejunio et continentia. 905

Sermo XXXIX [*al.* LXVII]. — De gula et incontinentia circa mensam. 907

Sermo XL [*al.* LV]. — De prodigalitate et luxuria. 915

Sermo XLI [*al.* LXVIII]. — De ebrietate. 915

Sermo XLII [*al.* LXIX]. — De somno. 919

Sermo XLIII [*al.* LXX]. — De insomniis. 921

Sermo XLIV [*al.* CLIX]. — De fide. 921

Sermo XLV [*al.* CLVIII]. — De Providentia. 923

Sermo XLVI [*al.* CLXVIII]. — De oratione. 923

Sermo XLVII [*al.* CLXIX]. — De actione. 927

Sermo XLVIII [*al.* CLXX]. — De doctrina quæ tum sermone tum conversatione fit. 927

Sermo XLIX [*al.* L]. — De admonitione. 929

Sermo L [*al.* CXXXIII]. — De disciplina et philosophia. 931

Sermo LI [*al.* LI]. — De laude. 937

Sermo LII [*al.* VIII]. — De adulatione. 939

Sermo LIII [*al.* LIII). — De vituperio et calumnia. 943

Sermo LIV [*al.* LXXXIV]. — De memoria. 947

Sermo LV [*al.* CLXVII]. — De anima. 949

Sermo LVI [*al.* CXLVI]. — De medicis. 951

Sermo LVII [*al.* CXLV]. — De ægrotantibus. 953

Sermo LVIII [*al.* CLV]. — De morte. 955

Sermo LIX [*al.* LXXX]. — De cognoscendo seipsum. 959

Sermo LX [*al.* CX]. — De pulchritudine. 959

Sermo LXI [*al.* CXI]. — De gloria. 961

Sermo LXII [*al.* XCIX]. — De invidia. 967

Sermo LXIII [*al.* LXXI]. — De risu. 969

Sermo LXIV [*al.* XXXVI]. — De rationali, et ratione seu cogitatione. 971

Sermo LXV [*al.* IV]. — De voluntario et involuntario. 971

Sermo LXVI. — De timore Domini, et de timore in genere. 973

Sermo LXVII [*al.* CI]. — De lege. 975

Sermo LXVIII [*al.* II]. — Virtutem honorandam, et vitium puniendum esse. 977

Sermo LXIX [*al.* III]. — Malitiam esse facilem et virtutem acquisitu difficilem. 979

Sermo LXX [*al.* CXLVIII]. — De fortuna bona et mala. 981

Sermo LXXI [*al.* CXLVII]. — De vitæ inæqualitate. 985

Sermo LXXII [*al.* CXLIV]. — De *tristitia* et mœrore. 985

Sermo LXXIII [*al.* XCIII]. — De silentio et arcanis. 989

Sermo LXXIV [*al.* XCVI]. — De multiloquis et festinate loquentibus, et arcana efferentibus. 993

Sermo LXXV [*al.* XCIV]. — De illis qui linguam suam et os custodiunt, et de sermone non duro neque contumace. 995

PARS II. Sermo I [*al.* CIII]. — De rege commodo et æquo : et de magistratu ac potestate. 995

Sermo II [*al.* CIV]. — De rege non multum admirando (vel de rege malo). 1009

Sermo III [*al.* CLXXIII]. — De episcopis moderatis et Dei mandata observantibus ; gravem et talem quæ reprehendi non possit vitam eorum documentum esse iis quibus præsint. 1011

Sermo IV [*al.* CLXXIV]. — De episcopis improbis, nec Dei præcepta observantibus. 1021

Sermo V [*al.* CVI]. — De principibus moderatis. 1029

Sermo VI [*al.* CVII]. — De principibus improbis. 1031

Sermo VII [*al.* CVIII]. — De judicibus incorruptis et puras habentibus manus, quique justitiam exercent. Et acceptum esse Deo recte vereque judicia exercere. 1035

Sermo VIII [*al.* CIX]. — De judicibus nummariis et munera accipientibus, et contra jus et fas condemnantibus. 1037

Sermo IX [*al.* CXXVI]. — De parentibus bonis, et quod oporteat liberos diligenter ac decenter institui. 1041

Sermo X [*al.* CXXVII]. — De parentibus liberorum educationem neglectim curantibus. 1045

Sermo XI [*al.* CXXVII]. — De liberis parentes honorantibus, et quæ bona consequantur qui illis obtemperarint. 1045

Sermo XII [*al.* CXXIX]. — De patricidis et matricidis, et quæ eos secutura sint mala. 1049

Sermo XIII [*al.* CXXX]. — De filio sapiente. 1049

Sermo XIV [*al.* CXXXI]. — De filio insipiente, improbo et inerudito. 1051

Sermo XV [*al.* CXXXII]. — De filia honesta et modesta. 1051

Sermo XVI [*al.* CXXXIII]. — De filia minime honesta et immodesta. 1053

Sermo XVII [*al.* CLIII]. — De senibus virtute et prudentia ornatis. 1053

Sermo XVIII. — De senibus inhonestis et imprudentibus. 1055

Sermo XIX [*al.* CLI]. — De juvenibus eruditione et prudentia ornatis. 1057

Sermo XX [*al.* CLII]. — De juvenibus in imprudentia et ignoratione vitam degentibus. 1059

Sermo XXI [*al.* CXVI]. — De bonis et benignis dominis. 1061

Sermo XXII [*al.* CXVII]. — De improbis dominis. 1063

Sermo XXIII [*al.* CXVIII]. — De frugi servis. 1065

Sermo XXIV [*al.* CXIX]. — De servis improbis. 1065

Sermo XXV [*al.* LXI]. — De probis creditoribus. 1067

Sermo XXVI [*al.* LXIII]. — De avaris et improbis creditoribus. 1069

Sermo XXVII [*al.* LX]. — De iis qui mutuantur et quod æquum est creditoribus gratos esse. 1071

Sermo XXVIII [*al.* LXI]. — De ingratis cum mutuum sumpserint. 1071

Sermo XXIX [*al.* CXX]. — De mercede conducentibus, seu operariorum dominis probis. 1073

Sermo XXX [*al.* CXXI]. — De mercede conducentibus, seu operariorum dominis improbis. 1075

Sermo XXXI [*al.* IX]. — De viris bonis et probis. 1075

Sermo XXXII [*al.* XV]. — De malis et improbis viris. 1079

Sermo XXXIII [*al.* CXXIII]. — De muliere forti, et temperanti, et sagace. 1083

Sermo XXXIV [*al.* CXXIV]. — De improbis mulieribus et adulteris omnique vitio plenis. 1087

Sermo XXXV [*al.* X]. — De congregatione bonorum virorum; et præstantissimis adhærendum esse, non item improbis. 1091

Sermo XXXVI [*al.* XX]. — De congregatione malorum virorum; et quod oportet sodalitates improborum exitiosas evitare. 1093

Sermo XXXVII [*al.* XII]. — De illis qui optimos et sanctos viros honorant. 1095

Sermo XXXVIII [*al.* XXI]. — De iis qui sanctos et præstantes viros ignominia afficiunt. 1097

Sermo XXXIX [*al.* VII]. — De improbitatis odio, ac de iis qui quæ absurda sunt defendant. 1101

Sermo XL [*al.* XVII]. — De iis qui malis delectantur, probantque improbitatem. 1103

Sermo XLI [*al.* XI]. — De bonis civibus. 1105

Sermo XLII [*al.* XXIX]. — De civibus improbis. 1105

Sermo XLIII [*al.* XIII]. — De monachis probis et bonis præfectis. 1107

Sermo XLIV [*al.* XXII]. — De monachis inconstantibus et ad vitia revertentibus. 1115

Sermo XLV [*al.* LXXXIX]. — De iis qui opus libenter faciunt et studiose. Item laborandum esse, quod labor utilitatem habeat. 1119

Sermo XLVI [*al.* XC]. — De osoribus laborum et operum, ac pigris, nihil curantibus et incuriis. 1123

Sermo XLVII [*al.* XXV]. — De præstanti sensu et intellectu præditis. 1127

Sermo XLVIII [*al.* XXIX]. — De nullo sensu aut intellectu præditis. 1129

Sermo XLIX [*al.* CXIII]. — De nomine bono et gratiam habente. 1129

Sermo L [*al.* CXIII]. — De nomine malo et gratiam non habente. 1129

Sermo LI [*al.* XLII]. — De ponderibus, stateris et mensuris. 1129

Sermo LII. — De ponderibus et stateris et mensuris iniquis. 1131

Sermo LIII [*al.* LXXVII]. — De excandescentia et ira. 1131

Sermo LIV [*al.* VIII]. — De simplicitate et injuriarum memoria. 1135

Sermo LV [*al.* LXXIV]. — De proximo; quod proximi onera ferenda sint, eique succurrendum, et quod amice reprehendere deceat, si quid indecenter egerit, non autem inimicitias cum illo gerere. 1139

Sermo LVI [*al.* LXXV]. — De iis qui non remittunt, at injurias meminerunt. 1145

Sermo LVII [*al.* XLIII]. — De gratis et beneficia agnoscentibus. 1147

Sermo LVIII [*al.* XLIV]. — De ingratis et beneficia non agnoscentibus. 1149

Sermo LIX. — De consultore et illis qui consilium et reprehensionem admittunt, et quod intelligere oporteat quis sit consultor. (*Desideratur.*)

Sermo LX [*al.* XXXI]. — De iis qui consilium et reprehensionem non admittunt. 1151

Sermo LXI [*al.* XCI]. — De pudore honesto. 1153

Sermo LXII [*al.* XCII]. — De verecundia improbanda. 1153

Sermo LXIII [*al.* LXXXV]. — De iis qui jurejurando frequenter utuntur : item non licere frustra usurpare jusjurandum, aut omnino jurare. 1155

Sermo LXIV [*al.* LXXXVII]. — De multum jurantibus et jusjurandum exigentibus. 1157

Sermo LXV [*al.* VII]. — De zelo bono et imitatione bona. 1157

Sermo LXVI [*al.* XVIII]. — De zelo et imitatione prava. 1159

Sermo LXVII. — De charitate, pace, concordia et pacificis. 1161

Sermo LXVIII [*al.* LXXVI]. — De odio et inimicitiis, et pugnas serentibus. 1161

Sermo LXIX [*al.* LIV]. — De oblocutoribus, et contumelia. 1165

Sermo LXX [*al.* XCV]. — De loquacitate et temeritate in dicendo. 1167

Sermo LXXI [*al.* LXXIX]. — De contradictione, et audacia, et contentione. 1169

Sermo LXXII [*al.* LXXVII]. — De temerario et impudente, et iracundo, et effervescente ira, et extremæ biis homine. 1171

Sermo LXXIII [*al.* XXXIV]. — De modestis et spiritu pauperibus. 1173

Sermo LXXIV [*al.* XXXV]. — De superbis et protervis et arrogantibus, et inanis gloriæ cupidis. 1179

Sermo LXXV [*al.* LXXXI]. — De amore sui. 1185

Sermo LXXVI [*al.* XXXVII]. — De curiositate et securitate et quiete, ac quietum esse Dei cognitionem conciliare. 1187

Sermo LXXVII [*al.* XXXVI] — De negotiorum sollicitudine et distractione. 1191

Sermo LXXVIII [*al.* XLIX]. — De libertate reprehendendi. 1195

Sermo LXXIX [*al.* CXXXIX]. — De generis nobilitate et ignobilitate. 1195

Sermo LXXX [*al.* CII]. — De consuetudine et more. 1197

Sermo LXXXI [*al.* CXXXVIII]. — De conscientia. 1199

Sermo LXXXII. — De conscientia. 1199

Sermo LXXXIII [*al.* XCVII]. — De benignitate. 1199

Sermo LXXXIV [*al.* XCVIII]. — De clementia et verecundia. 1201

Sermo LXXXV [*al.* VI]. — De viro simplici et innocente. 1205

Sermo LXXXVI [*al.* XVI]. — De versuto, et doloso, et perversis moribus prædito. 1205

Sermo LXXXVII [*al.* LXXXII]. — De puro corde et cogitationibus, et de iis qui puram habent conscientiam. 1207

Sermo LXXXVIII [*al.* LXXXIII]. — De corde versuto, deque mala conscientia. 1209

Sermo LXXXIX [*al.* LXXII].— De patientia et lenitate, vel longanimitate. 1215

Sermo XC [*al.* LXXIII]. — De non patientibus et animo parvo præditis. 1219

Sermo XCI [*al.* C]. — De republica honesta, et de obedientia. 1221

Sermo XCII [*al.* C]. — De republica vituperanda, e inobedientibus ac rebellibus, deque iis qui moribus improbandis præditi sunt. 1223

Sermo XCIII [*al.* CLVII], — De remuneratione eorum qui bene et ex virtute vixerunt, in beatitudine sempiterna. 1225

Sermo XCIV [*al.* CLVII]. — De remuneratione eorum qui in vitio et illicite vixerint : perpetuumque illis et interminatum propositum esse supplicium. 1227

Sermo XCV [*al.* CLXXV]. — Quomodo subjici quis debeat, et valedicere mundo et postea exercere. 1231

Sermo XCVI [*al.* CLXXII]. — De præfecto. 1235

Sermo XCVII [*al.* CLXXVII]. — De iis qui ob cibos offendantur, et de mensarum differentia. 1235

Sermo XCVIII [*al.* CLXXVI]. — De non offendendo nec judicando quoquam. 1237

Sermo XCIX. [*al.* CLXXVII]. — De negligentibus et inertibus : et quod, si vigilemus, nihil nos diabolus possit lædere. 1239

Sermo C [*al.* CLXXXII]. — De participatione divinorum Christi mysteriorum. 1241

Index ad Antonii Melissæ locos communes. 1353

FINIS TOMI CENTESIMI TRICESIMI SEXTI.

6079 025

Parisiis. — Ex Typis J.-P. MIGNE.

THIS VOLUME
DOES NOT CIRCULATE
OUTSIDE THE LIBRARY

3 2044 054 100 201